Digitized by Google

44. 1268.

Digitized by Google

44. 1268.

Digitized by Google

44. 1268.

Digitized by Google

DIONIS CHRYSOSTOMI

OPERA

GRAECE.

E RECENSIONE

ADOLPHI EMPERII.

BRUNSVIGAE,

IMPENSIS G. WESTERMANNI.

1844.

Digitized by Google

BIBLIOTHECA·BODLEIANA

Digitized by Google

VIR PRAESTANTISSIME

IACOBE GEELI,

ego quantum Tibi debeam, non adtinet exponere; Dio quantum debeat, declarabo. Consilium quondam ceperas totius Dionis edendi, quod posthac ita abiécisti, ut Olympicam eius orationem et ederes et commentariis illustrares luculentissimis, simul autem plurimis aliorum locorum corruptelis medicinam adhiberes. Cumque videres librorum MSS. fide novae Dionis editioni vel maxime opus esse, Olympicam critica supellectile adornasti locupletissima et reliquis quoque Dionis scriptis saepe commemoranda scripturae diversitate lucem adtulisti. Quae vero habebas novae editionis egregia instrumenta, ea omnia liberalissime mihi concessisti, quem existimares Dionis editorem si non idoneum, industrium certe futurum esse. Nam L. Dindorfius, qui quondam novae recensionis spem fecerat, et Tuam et reliquorum Dionis studiosorum exspectationem nimium morabatur. Atqui editoris officio utrum satisfecerim nec ne, Tu iudicabis et si quis alius iudex integer est et idoneus. Omnibus autem difficultatibus et mendis Dionem expedire non erat unius hominis, nedum ut meum.

Reliquum est, ut virorum quorumdam de hoc libro optime meritorum officium praedicem. Primum Westermanni, Professoris Lipsiensis, qui et consilio me adiuvit et corrigendarum plagularum laborem mea et fratris caussa,

Digitized by Google

redemtoris optimi, suscepit. Non autem tantum typographi, sed meos saepenumero errores sanavit. Bamberger quoque meus in plagulis plerisque perlustrandis humanissime mihi adfuit; eundem de locis difficilioribus saepe consului. Marquardo, Professori Gymnasii Gedanensis, Pflugkiani chirographi usum debeo; specimina quaedam librorum Florentinorum D. Roulez, Professor apud Belgas, et L. Kayserus, Professor Heidelbergensis, liberalissime ad me transmiserunt. Gildemeistero vero et Cobeto, qui libros MSS. egregia diligentia examinarunt eorumque scripturas Tecum communicarunt, plurimum acceptum referimus. Per Schneidevinum meum bibliotheca Gottingensis mihi patuit. Denique Hasii, viri illustrissimi Tuique amantissimi, benignitatem nunquam obliviscar. Nam huius intercessione librum B explorandum curavi. Idem quaerenti mihi de quibusdam Dioneis officiosissime respondit. Codicis B vero partem priorem contulit Millerus, posteriorem Sybsomo, viri doctissimi.

Scribebam Brunsvigae Idib. Sept. 1843.

A. C. W. EMPERIUS,
Professor Collegii Carolini.

Digitized by Google

PRAEFATIO.

CAPUT I.

DE INSTITUTO HUIUS EDITIONIS.

§ 1. Constabit haec Dionis editio e duobus voluminibus. Vol. I. (Pars I. et II.) omnia Dionis Opera cum diversitate scripturae continebit. Praemissa est subsidiorum criticorum brevis recensio. Alterum volumen commentarios habebit cum introductionibus singularum orationum et argumenti expositionibus, porro e Suida, Photio, Philostrato, Synesio et Anonymis quibusdam quae ad Dionem pertinent, commentationem meam de vita Dionis et scriptis, denique indicem nominum propriorum diligentius confectum quam qui nunc feruntur.

§ 2. In Vol. I. Dionis orationem exegi ad libros, quos reliquis praestare intellexeram. Hi valde discrepant a vulgata scriptura, quam a Turrisano introductam Morellus passim e libris meliori-
§ 3. bus, Reiskius de sua aliorumque coniectura, correxerunt. Cum librorum MSS. scriptura commemoravi propemodum omnia, quaecunque mihi innotuerunt, emendandi conamina a viris doctis facta, paucis quibusdam consulto omissis, quae vel erroris manifesta erant vel quae scirem ab ipsis eorum auctoribus repudiata. Meas quoque hariolationes omisi, quas vel ante quam meliorum librorum scripturas cognovissem vel posthac retractandas viderem. Accepi vero Geelianas illas opes et Parisinas postquam Censuram
§ 4. et libri Geeliani et Programmatis Ungeriani conscripsi. Intelligetur autem, quoties Casaubonus, Seldenus, Reiskius, Iacobsius, Geelius, Pflugkius divinando verum assecuti sint. Meas quoque coniecturas sat multas in Observationibus, in Programmate, in

Digitized by Google

Censura libri Geeliani propositas, denique multas non publicatas, de quibus ideo tacendum fuit, librorum auctoritate munitas
§ 5. repperi. Plures vero ubi in eandem coniecturam inciderant, eum solum commemoravi, qui primus eam publicasset, etiamsi alter alterius inventi ignarus idem repperisset, vel prior is publicasset, qui posterior coniecisset. Ita factum est, ut multae emendationes, quas recentiores ut novas protulerunt, iam ad alios auctores relatae sint. Id quod ipsi mihi saepissime accidit. In primis autem huius voluminis plagulis, ad quas omnino nolim diligentiam meam exigi, huius generis quaedam omisi. Et haec et si quid aliud erraverimus in Commentariis corrigemus.
§ 6. Pflugkius quoque, cui utinam per fata licuisset eximiam doctrinam et acumen felicissimum diutius ad Dionem conferre, nullis propemodum subsidiis instructus schedas illas conscripsisse videtur, quas per Marquardum mihi usurpare licuit. Itaque saepissime ei usu venit, ut ea coniiceret, quae ab aliis dudum occupata essent. Haec non potui commemorare; at si quid ipse conieceram, nondum publicatum, quod in Pflugkiano quoque chirographo erat, utrumque coniecturae auctorem nominavi, ita tamen, ut si in libris MSS. eadem esset scriptura, meum nomen omitterem. Ita et Pflugkii laudibus et instituto meo satisfieri putabam.

§ 7. Quae vel emendationes vel explicationes locorum Dioneorum a viris doctis aliud agentibus hic illic prolatae sunt, harum omnium me rationem habuisse non praesto. Nam Dionis edendi consilium, quamvis dudum eius studiosus, nuper demum cepi. Multa huius generis Geelio et Iacobsio accepta refero. E Wyttenbachianis autem adnotationibus ad Plutarchum quae ad Dionem pertinent enotavit mihi Sintenis meus.

§ 8. In admittendis vero eiusmodi emendationibus, quae sola coniectura nituntur, ne temerarium me iudicent lectores, hoc velim apud animum suum reputent. Multae virorum doctorum coniecturae nunc librorum meliorum auctoritate firmantur. At hi quoque libri multis vitiis inquinati sunt, neque licet sperari fore, ut his multo meliores unquam inveniantur. Nihil igitur in hoc temeritatis est, ut eo genere corrigendi utamur, quod solum relinquitur, cum praesertim tantumdem peccare videatur, qui certam emendationem excludat et qui incertam admittat.

Digitized by Google

§ 9. Oratio Dionis autem cum nullo propemodum corruptelae genere non sit affecta, longe difficillimi sunt ad sanandum aliquot loci interpolati. Horum quidam eiusmodi sunt, ut, quoniam de duplici recensione ipsius auctoris vix cogitari potest, imitatoris aemulationem agnoscas. Quae imitamenta nescio quo casu in Dionis orationem intrusa sunt. De his vero aliquid nobis
§ 10. liceat hariolari. Synesius Dionem lectitabat diligentissime. Idem de Dione librum reliquit, qui exstat etiamnum. In hoc locus reperitur vel maxime notabilis, e quo exscribam, quae ad hanc quaestionem pertinent. Universus autem sententiarum nexus talis est, ut neget se exemplum suum operum Dioneorum emendasse, quoniam aliquid utilitatis afferant exempla non emendata.
§ 11. Ingenia enim acuere et ad imitandi studium incitare. Iam singula videamus p. 41 apud Reiskium (in editione Dionis): *τὰ γὰρ διημαρτημένα ταῦτα βιβλία τὸν νοῦν ἐπιζητεῖν ἔοικεν ἐπιστατοῦντα ταῖς ὄψεσι. — οὐ γὰρ μέγα τὸ ἔργον στοιχεῖον ἢ συλλαβὴν, ἔστω δὲ καὶ λέξιν, εἰ δὲ βούλει, καὶ μίαν ὅλην περίοδον λόγου ἁρμόσαντα πάλιν ἑτοίμως χρῆσθαι τοῖς ἀπὸ τοῦ βιβλίου. — ἐγὼ τοίνυν πρὸς μὲν ἄλλον οὐδένα νεανιεύσο-*
§ 12. *μαι, πρὸς δὲ τά γε ἀληθῆ. πολλάκις δὲ οὐδὲ περιμένειν ἀξιῶ τοῦ βιβλίου τὴν συμφορὰν, ἵν' ἀγαθόν τί μοι γένηται, ἀλλ' αὐτὸς ἀνέχω τοὺς ὀφθαλμοὺς καὶ τῇ συγγραφῇ προγυμνάζομαι μὴ δι'* (sc. *μηδ'*) *ἀκαρῆ διαλιπὼν, ἀλλ' ἐφιεὶς τῷ καιρῷ καὶ εἴρων ὥσπερ ἑξῆς ἀναγινώσκων ἀπὸ τῆς διανοίας, ὅ τι μοι δοκεῖ τὸ ἀκόλουθον εἶναι. κᾆτα ἐξετάζω πρὸς τὰ γεγραμμένα τὰ λελεγμένα, καὶ πολλάκις μὲν οἶδα τυχὼν τοῦ αὐτοῦ μὲν νοῦ, τῆς αὐτῆς δὲ καὶ λέξεως· ἤδη δέ ποτε τοῦ μὲν ἐνθυμήματος εὔστοχος γέγονα, ὅ τι δὲ καὶ παραλλάττοι τῆς λέξεως, ἀλλ' ὅτι μάλιστα εἴκαστο πρὸς τὴν ἁρμονίαν τοῦ συγγράμματος. εἰ δὲ καὶ ὁ νοῦς ἕτερος, ἀλλὰ πρέπον γε ἐκείνῳ τἀνδρὶ τῷ τὸ βιβλίον ποιήσαντι καὶ ὃν οὐκ* (*ἂν*) *ἀπηξίωσεν, εἰ ἐνε-*
§ 13. *θυμήθη. ἤδη δέ ποτε οἶδα, περικαθημένων ἀνθρώπων ἐτύγχανον μὲν τῶν εὐγενῶν καὶ στασίμων τι συγγραμμάτων ἔχων ἐν ταῖν χεροῖν, δεομένων δὲ ἀναγινώσκειν εἰς κοινὴν ἀκοὴν ἐποίουν οὕτως· εἰ δέ ποτε παρείχοι, προσεξεῦρον ἄν τι καὶ προσηρμήνευσα. οὐ μὰ τὸν λόγιον οὐκ ἐπιτηδεύσας, ἀλλ' ἐπελθὸν οὕτως συνεχώρησα τῇ γνώμῃ καὶ τῇ γλώττῃ· καὶ δῆτα θόρυβος ἤρθη πολὺς καὶ κρότος ἐῤῥάγη τὸν ἄνδρα*

ἐπαινούντων ἐκεῖνον, ὅτου τὸ σύγγραμμα ἦν, ἐπ' αὐταῖς οὐχ
§ 14. *ἥκιστα ταῖς προσθήκαις. οὕτω μοι τὴν ψυχὴν ὁ θεὸς ἁπαλὸν ἐκμαγεῖον ἐποίησε τῶν ἐν λέξεσί τε καὶ ἤθεσι χαρακτήρων· εἰ δὲ καὶ τῷ τοῖς ἀδιορθώτοις τῶν βιβλίων ἐγγεγυμνάσθαι τὴν προσοχὴν ἐπέτεινον, εἰς τοῦτο τὴν ἕξιν ἐπήγαγεν ἡ φύσις, ὥσπερ οἶμαι* (vulgo *ὡς πειρωμένῳ*) *τοὺς ἐξηυλημένους τὰ ὦτα παραπέμπει τις ἠχὼ καὶ πεπαυμένου τοῦ μέλους καὶ μένουσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι. ἐγὼ δὲ θαμὰ καὶ τραγῳδίαις ἐπετραγῴδησα* etc. — *εἴποις ἂν ἡλικιώτην εἶναι νῦν μὲν Κρατίνου καὶ Κράτητος, νῦν δὲ Διφίλου τε καὶ Φιλήμονος, καὶ οὐδ' ἔστιν ἰδέα φιλομετρίας τινὸς ἢ ποιήσεως, πρὸς ἥντινα οὐ διαίρομαι καὶ ἐπεξάγω τὴν πεῖραν, καὶ ὅλα συγγράμματα πρὸς ὅλα ποιῶν καὶ τεμαχίοις παρα-*
§ 15. *βαλλόμενος.* Ad haec si exigimus quasdam Troianae aliarumque Orationum interpolationes, ad eam suspicionem delabimur, a Synesio esse ista insiticia. Nam qui ore imitaretur Dionem, cur a stylo abstineret? Poterant autem ista Synesii commenta
§ 16. ipso invito in Dioneae orationis continuitatem inseri. Accedit aliud. Legitur enim apud Synesium quaedam scilicet Dionis de crine declamatio, cui ipse suam, quae est de calvitie, opponit. At ista neque ab alio quoquam memoratur neque, ut mihi quidem videtur, Dione digna est. Vide igitur, ne augescente paullatim audacia a singulorum locorum imitatione ad totam declamationem confingendam progressus sit Synesius.

DE
CRITICIS AD DIONEM EMENDANDUM SUBSIDIIS.

CAPUT II.
DE LIBRIS MSS.

§ 1. Dionis opera quando et a quonam collecta et sic digesta sint, ut nunc feruntur, ignoramus. Philostratus et Synesius aliquot Dionis scripta viderant, quae hodie non exstant. ordinem

vero Orationum iam antiquitus diversum fuisse Synesius testatur, et nunc quoque alius est in aliis libris. Photius LXXX. Dionis Orationes, quae etiamnum exstant, commemorat, at ordine a vulgari diverso. De his vero accuratius exponetur in volumine secundo.

§ 2. Mendosa fuisse antiquitus Dionis exempla e Synesii verbis intelligitur, qui purgat se filio commenticio, quod orationem Dionis non emendaverit. conf. Synesii Dion. p. 39 in ed. Dionis Reisk. Libri MSS. operum Dioneorum exstant sat multi, quorum maior pars tantum aliquot Orationes continet; alii omnes complectuntur.

§ 3. Duo autem librorum genera facile dignoscuntur, alterum altero aliquanto melius. Melius illud e codice vetusto, literis maiusculis nullis verborum intervallis scripto, manasse videtur. ordinem autem Orationum in hoc eum fuisse suspicor, qui est apud Photium. qui omnes orationes complectatur unus tantum huius generis liber collatus est, M (Meermannianus); at in hoc quoque deest Orat. III. et pars Orat. IV. antiquissimus omnium, quotquot novimus, est V (Vaticanus), qui tantum aliquot Orationes continet. plures habet C (Parisinus), qui partim transscriptus est e cod. Palatino 117, omnium longe praestantissimo.

§ 4. Deteriores libri plerique Florentia oriundi sunt. huius generis sunt: D et E (Florentini), A (Parisinus), T (Venetus), N et O (Monacenses), U (Urbinas). at ne his quidem sine detrimento careri potuerat. nam aliquoties vera scriptura in his reperitur, ubi libri meliores corrupti sunt.

§ 5. Denique sunt quidam libri utriusque generis tamquam medii, qui ab aliquo exemplo derivari videntur e codice diversi generis correcto. talis est B (Parisinus) et L (Mediolanensis).

Sequitur ut libros MSS., quotquot in notitiam nostram venerunt, sigillatim recenseamus. conf. Fabric. Bibl. Graec. P. IV, c. 12, p. 132 ed. Harl.

CODICES ROMANI.

§ 6. Romae multa adhuc delitescere ad Dionis crisin pertinentia mihi quidem persuasum est. neque ego spem abieci, istic codicum meliorum archetypum aliquando repertum iri. quae de libris Romanis cognovi, manca sunt et incerta. certiora vero mox inde me habiturum spes mihi facta est. et accepi iam scripturae varietatem e cod. Romano (V ut videtur) a Cobeto enotatam (Orat. I. § 30—

Orat. II. § 49) et e Palatino 117 Orat. VIII. et haec et si quid interim novi accesserit, ad calcem voluminis primi typis exaranda curabo.

§ 7. (V) Vaticanus 99 membranaceus saec. XI. continet Philostrati Vit. Soph. et Dionis Oratt. I—VI, VIII, X, XI. fol. 37—108. conf. Kayser. Praef. ad Philostr. V. S. VI. liber vetustissimus est omnium, quotquot nobis innotuerunt et notae melioris. cum hoc fere conspirat M, ita tamen, ut non ex hoc exscriptus esse, sed tantum communem cum eo originem habuisse videatur. contulit cum hoc Orat. VIII. Kayserus et denuo Cobetus, exemplo usi Reiskiano. alia quaere ad calcem huius voluminis.

§ 8. Vaticanus 91, de quo nunc nihil mihi constat.

§ 9. Vaticanus 123. huius specimen vid. in extremo hoc volumine.

§ 10. (U) Urbinas, quem Romae esse scimus, sed nihil praeterea. contulit cum hoc in Geelii usum Orationem XII. I. C. G. Boot. generis est deterioris. ubi scripturam habet vulgata meliorem, plerorumque ea librorum MSS. communis est.

§ 11. In Biblioth. Vaticanam ex Heidelbergensi translati sunt hi libri MSS. (conf. Fr. Sylburgii Catalogus codicum Graecorum MSS. olim in Bibl. Palatina, nunc Vaticana asservatorum. Francof. ad Moen. 1701, p. 37.):

§ 12. Cod. 117, Dionis Chr. form. 4. continet Oratt. XXXI. has: I—VI, VIII, X, LIII, LIV, LVI—LVIII, LXIII—LXXVI, VII, XIII, XII. interiectis quibusdam aliorum scriptorum operibus, Dionis Chrysostomi Orat. I, LXV, LII, LIV; sequitur Plutarchi Tract. de Virt. et Vit. et eiusdem de Educatione liber mutilus. postrema est ad Imperatorem exhortatio, ut more veterum amplectatur philosophiam, cuius hoc est initium: *ἄρα ἢ μή τις* (sic) *ἐκ πόλεως ἥκοι μεγάλης*. ad finem huius orationis quum e Philostrato quaedam de Dione adnotata sint, Dionem eius auctorem esse suspicatur Sylburgius; est vero Synesius. De eodem libro Cobetus: „Palatin. 117, chart. saec. XV". contulit cum hoc Cobetus Orat. VIII. exempli Reisk. (vid. ad calcem huius voluminis). est omnium quos novi longe praestantissimus. conf. § 27.

§ 13. Porro Cod. 300. form. max. continet Orat. I—IV.

§ 14. (M) CODEX MEERMANNIANUS (NUNC GEELII).

Hic liber in Meermanni possessionem emtione cessit. fuit quondam Iesuitarum Claromontanorum. conf. Geel. Praef. XX, Catalog. Meerm. MSS. Graec. n. 303 et Catalog. Iesuit. a. 1664 n. CCCLIX.

chartaceus est form. max. foll. 352, scriptus nitidissime saec. XVI ineunte, ut videtur. continet Oratt. omnes praeter Orat. III et partem Orat. IV. hunc quam diligentissime ipse et totum uno tenore contuli cum exemplo Reiskiano, et ubicunque aliqua dubitatio orta erat, passim denuo inspexi. nam Dionem edenti mihi semper ad manum fuit. verba persaepe male divisa sunt; interpunctio perversissima est; accentuum pravorum ingens multitudo. *ι* subscriptum constanter omittitur, *ν* ephelc. pro lubitu usurpatum est, ita tamen, ut plerumque ante consonas quoque legatur. nomina propria ubique literis minusculis exarata sunt. haec sigillatim enotare supersedi, plerumque ne verba quidem perperam divisa, si modo literae cum literis congruerent. facile intelligitur, librum M manasse e codice perantiquo literis maiusculis nullis verborum intervallis exarato, qualis est Dionis Cassii codex, cuius exemplum vid. apud Reimar. Dion. Cass. p. 1546. neque vero ex ipso illo vetusto libro eum transscriptum esse existimo, sed per aliquot vices exemplorum inde propagatum. librarius vero, qui vetusto libro primus usus est, Graeci sermonis parum gnarus fuisse videtur. inde multae illae, quas diximus, mendae. at plurimum tamen huic libro debetur. nam a communi meliorum librorum fonte propius abest, quam praeter codicem Palatinum 117 et V ullus alius. dico autem libri M primam manum. nam passim correctus est et interpolatus ex aliquo deterioris generis libro. iam si tantum aut margini adiectae aut superscriptae essent istae emendationes, egregie de libro meritus esset Claudius Naulotius (hoc enim correctori nomen fuit); at saepe erasit, quod a prima manu erat, ut iam dignosci difficillimum sit. igitur et quid a prima manu esset et quid a correctore, denique quid erasum, diligenter indicandum fuit. ceterum ne Naulotium quidem graece doctiorem fuisse suspicor, qui falsissimis saepe vera permutaverit. ipse vero cavit, ne nominis sui memoria intercideret. nam in extrema pagina haec leguntur: *Κλαύδιος ὁ Ναυλώτιος κοιλαδεὺς Ἀυαλλωναῖος*: Claudius Naulotius Vallensis Avallonaeus: Claude Naulot du Val Avallonais 1573. *ἀνέγνωκε ταῦτα δηλονότι.* Haec scilicet legendo agnovit. Il a leu et recognu cecy. ordo Orationum fere conspirat cum Photiano. est autem hic: I. II (deest III. et initum IV.). prior pars VI (usque ad § 39). V. VI. VIII — XIII. VII. XXXI — LXXX. XIV — XXIX. XXVIII. XXX.

CODICES VINDOBONENSES.

§ 15. Cod. XII. conf. Nesselii Catalog. P. IV, p. 10. chartac. formae max. antiquus, optimae notae. foll. habet 340. fuit quondam Ioannis Sambuci. continet Oratt. omnes.

§ 16. Cod. CIX. fuit quondam Sambuci. conf. Ness. P. IV. p. 63. et alia multa continet et a fol. 252—319 Dionis Chrysost. Oratt. XIX. hoc titulo: *Δίωνος τοῦ παρ' Ἕλλησι Χρυσοστόμου ῥητορικαὶ μελέται.* sunt autem hae: Orat. LXVI, LXVII, LXIII—LXV, LVIII, XII, LX, I—V, XI, LIII, LIV, XVII. fol. 319—320 *ἐκλογαὶ τῶν λοιπῶν τοῦ Δίωνος συγγραμμάτων.* fol. 321 Orat. LXII, LII.

§ 17. Cod. XXIII. quondam Sambuci. chartac. bonae notae form. 4. folia habet 78. continet Dionis Orat. I. et II. et declamationem Libanii. conf. Ness. P. IV, p. 121.

§ 18. Praeterea in Bibl. Vindobonensi codex reperitur chartaceus antiquus, forma quadrata, misere lacerus et aqua marina foedatus. hic quoque Sambuci quondam fuit. constat nunc foll. 169. continet Dionis Orat. I. et II. et quaedam aliorum auctorum opera. conf. Biblioth. Acroamaticae p. 728 (Hannov. 1712).

CODICES FLORENTINI.

§ 19. (D) Laurentianus Plut. LIX, c. 22. fuit olim Franc. Philelphi, postea venit in possessionem P. Laur. de Medicis. conf. Bandin. T. II, p. 528. bombyc. form. 8. folia habet 460. *Δίωνος τοῦ χρυσοστόμου ῥητορικαὶ μελέται.* continet Oratt. omnes ordine vulgari. praemissus est Index diligentissimus et Prolegomena Graeca in Dionem pluribus capitibus distincta. I. *Ἀρέθα ἀρχιεπισκόπου.* incip. *σοφὸς οὑτοσὶ*—des. *τῷ ἀσκρέστῳ* (*Ἀσκραίῳ*) *πιστεύων ποιμένι.* II. *Δίωνος τοῦ Προυσαέως βίος.* incip. *οὗτος ὁ Δίων*—des. *τῆς εἰς ἅπαν μέμψεως ἀπολύοιτο τὸ ἔργον.* III. *περὶ Δίωνος καὶ τῶν κατ' αὐτὸν καὶ τῆς τοῦ λόγου αὐτοῦ ἰδέας.* incip. *ὁ Δίων οὗτος ἦν μὲν Προύσης τῆς πρὸς τῷ Μυσῷ Ὀλύμπῳ*—des. *ἐξαίρων διὰ σεμνότητος.* singulis Orationibus brevia argumenta praemissa sunt. contulit cum hoc libro Cobetus Orat. VIII. et Kayserus Orat. XVIII. denique Geelius aliquot Orationis XII. locos inspiciendos curavit. deterioris generis est, sed tamen passim a vulgata scriptura ita discedit, ut cum melioribus libris conspiret.

§ 20. (E) Laurentianus Plut. LXXX, c. 2. conf. Bandin. T. III, p. 221. saec. XIV, chartac. form. 4 minore, literis valde minutis et perplexis exaratus, passim manu elegantissima saec. XV. suppletus. continet Oratt. omnes ordine vulgari. non habet Prolegomena Graeca, sed tantum Oratt. Indicem Latinum. in duobus foliis inter Indicem et Orat. I. interiectis reperiuntur *προβλήματα ῥητορικὰ εἰς τὰς στάσεις*. inter Orat. LXXII. et LXXIII. leguntur Septem Sapientum Apophthegmata. in fronte voluminis nomen librarii scriptum est: *Χριστὲ βοήθει μοι τῷ σῷ δούλῳ Γεωργίῳ. θεοτόκε βοήθει μοι.* singulis Oratt. praemissa sunt argumenta. folia habet 265. collata est cum hoc cod. Orat. XVIII. a Kaysero, qui Morelliano exemplo usus est. generis est deterioris. nam rarius etiam quam D a vulgata discrepat.

§ 21. Codex Laur. Plut. IV, c. 22. conf. Bandin. I, p. 555. chartac. saec. XV, forma 12. folia habet 117. praeter alia continet Dionis Orationes X. hoc ordine: I, II, LII—LVIII, LXII.

§ 22. Codex Laur. Plut. LIX, c. 37. Bandin. II, p. 568. chart. forma 8. saec. XV. folia habet 92. continet praeter alia VI. Oratt. Dionis hoc ordine: XI, XIX, XVIII, XXI, XXII, XIII. ultimae duae titulo carent; XIII. vero in fine mutila est. desinit verbis *πράττειν οὐδὲ σκοπεῖν* (§ 13). post haec v. duo folia vacua relicta sunt.

§ 23. Codex Laur. Plut. LVII, c. 12. conf. Bandin. II, p. 353. folia habet 158. chart. saec. XV. 4 mai. continet praeter alia foll. 124 Dionis Orationem XXXI.

§ 24. Codex Laur. Plut. LIX, c. 30. conf. Bandin. II, p. 646. membran. saec. XIII, form. 4. folia habet 269. continet duo fragmenta Dionis Orat. I. et II. in duobus extremis foliis manu diversa scripta. a v. *εἰ δ' ἄρα* (§ 49) usque ad finem Orat. I. et Orat. II, § 13—17 (*ὁ Φίλιππος—κηρύττεσθαι*).

§ 25. Dionis Orat. LIII. (de Homero) duo habent Homeri codd. Florentini. conf. Bandin. II, p. 126 et p. 604.

§ 26. Praeterea Montfaucon in Diar. Italic. p. 367 testatur inter codd. Monasterii Florentini nescio cuius Dionis codicem esse, qui omnia eius opera contineat, Theodori Dociani, Simeonis filii, manu exaratum anno 1328.

CODICES PARISINI.

§ 27. (B) Biblioth. Reg. n. 2958 (quondam 2779) saec. XIV. exeuntis vel init. saec. XV. conf. Catal. Codd. MSS. Bibl. Reg. T. I. p. 580. chartac. nitide scriptus. foll. habet 262. emtione in Bibl. Reg. venit a. 1688. Oratt. continet omnes. in primo fol. index est (*πίναξ*), qui titulos Oratt. continet et numeros paginarum, quibus singulae incipiunt. in folio secundo versibus 22 leguntur haec: *περὶ Δίωνος καὶ τῶν κατ' αὐτὸν καὶ τῆς λόγου αὐτοῦ ἰδέας* cett. vid. huius cap. § 19. ad calcem Orat. LXXX. duo versiculi reperiuntur: *Τέρμα Δίωνος ὀγδοήκοντα λόγων, οὓς Μάζαρις ἔγραψεν, κρατοῦντος λόγῳ.* Mazaris iste fortasse idem est (Hasii vero haec est coniectura), cuius Satyram *Ἐπιδημία ἐν ᾅδου* Boissonadius publicavit Anecd. Graec. Vol. III, p. 112—186. conf. etiam Hasii Notices et Extraits de Manuscrits T. IX. P. II. p. 113 seqq. hunc vero Mazaridem saeculo XIV. exeunte vixisse constat. codex iste medius est quodammodo deterioris et melioris generis. plerumque cum vulgata scriptura convenit, sed tamen multis locis meliorum librorum scripturam sequitur. intelligitur autem ab homine eum scriptum esse graece docto. nam orthographiam habet satis emendatam. continet Oratt. omnes. totum conferendum curavi cum exemplo Reiskii.

§ 28. (A) Bibl. Reg. 2959. e Bibl. Henr. IV, olim Medicaeus. scriptus eleganter Caesaris Strategi manu cum parvis scholiis marginalibus. membran. saec. XV. hunc passim contulit Morellus, at non ea fide, ut ex eius silentio quidquam colligi posset. itaque in eo mihi acquiescendum fuit, ut sicubi Morellus eius scripturam diserte indicasset, hoc repeterem. diligentius Orat. XXXII. (Alexandrinam) pater meus contulit. qui minora fere omisit, quoniam non edendae huius Orationis caussa, sed historiam Alexandriae scripturus, codicem examinabat. Orat. XII. accuratius conferendam curavit Geelius ad ornandam huius editionem. idem Orationis XXXIII. integram scripturam mecum communicavit, qua passim in Commentario usus erat. generis deterioris est, et sicubi scripturas habet vulgata meliores, eaedem in plerisque aliis libris reperiuntur. hinc igitur nihil bonae frugis Dioni sperandum fuit.

§ 29. (C) Bibl. Reg. 3009. chartac. saec. XVI. continet I—XIII, LII—LVIII, LXII—LXXIX. contulit diligentissime cum exemplo Reisk. Gildemeisterus. huius libri scriptura passim in

Commentariis usus est Geelius, qui omnes Gildemeisteri schedas ad me transmisit. est autem haud dubie idem liber, quem Morellus Foxii Caramanii Comitis quondam fuisse significat. conf. Geel. Praef. XX. nam multae marginis Morell. scripturae in hoc solo libro reperiuntur. Morellus vero solita levitate eo usus est. scriptus est duabus manibus diversis, at librarius, qui priora scripsit, postea totum codicem emendasse videtur. altera manus infit ab Or. VIII, § 27. originem duxit ex egregio exemplo, partim e Palatino 117 aut huius simillimo. librarius vero socors fuit. sic enim intelligi potest, cur locis plurimis solus veram scripturam servaverit, saepe vero a vulgata scriptura solus perperam discrepet. eo autem cautius hoc libro utendum est, quod passim lectiones habet a viro haud indocto excogitatas. quantum huic libro tribuerim, facile apparebit. at plus ei tribuendum fuisse docuit me specimen cod. Palatini 117 (Orat. VIII), quod a Geelio commodum mihi redditum est. igitur iam nunc poenitet me locis non nullis huius libri auctoritatem sprevisse. de quo explicatius dicetur ad calcem huius voluminis et in Commentariis.

§ 30. Reg. Bibl. n. 2924. chart. saec. XV. continet et alia quaedam et Dionis Orat. XXXI. (Rhodiacam) eiusdem librarii manu bis scriptam.

§ 31. Reg. Bibl. n. 2930. continet Isocratis et Aeschinis plerasque Oratt. et Dioneas has: extremam partem Orat. LIII. (de Homero) et Orat. LIV, utramque sine nomine auctoris; Orat. LVII. cum nomine Dionis.

§ 32. Reg. Bibl. n. 2960. chart. saec. XV. praeter alia continet Dionis Oratt. I—IV.

CODICES MONACENSES.

§ 33. Cod. 5. chartac. saec. XVI. 413 foll. form. maximae, haud eleganter, sed distincte exaratus. continet et multa alia et Dionis Oratt. I—VII. index codici praemissus omnes Dionis Oratt. pollicetur. scripturas Or. I. a Kaysero enotatas publicavit Fr. Iacobs. in Annal. Darmstad. a. 1832, p. 236 seqq. in his quosdam meos errores excusari velim. nam Monacensium scripturam minus accurate mihi transscripseram. ista corrigentur in Commentariis. scripturam Orat. VII. usque ad § 124 Kayserus nobis

transmisit. conf. Catalog. MSS. Bibl. Monaco Bavar. p. 54. generis est deterioris, ubi vero a vulgata scriptura discrepat, meliorem cum plerisque aliis libris habet communem.

§ 34. (O) Cod. 59. praeter alia continet Dionis Orationes I—IV (inde a fol. 168. conf. Catal. Bibl. Monac. Bavar. p. 83). literis exaratus est minutis et nitidis, non eadem manu, cum scripturae varietate margini adnotata. lacunas aliquot habet. scriptus est a Michaële Malcensi Epidaurio Florentiae saec. XVI. collata est cum hoc libro Orat. I. usque ad § 32 a Kaysero. vel deterior est codice N. uterque cod. Monac. cum exemplo Reisk. comparatus est.

CODICES VENETI.

§ 35. (T) Cod. Bibl. Marc. 421. membran. forma max. saec. XV. conf. Iac. Morelli Bibl. Manuscr. Graec. et Latin. Bassani 1802. p. 293. continet Orationes omnes. scriptus est iussu Bessarionis cum scholiis nonnullis, quorum pars exigua in editione Turrisani prodiit; reliqua adhuc latent, nullo Dionis detrimento. fere conspirat cum editione Turrisani, quae hinc expressa videtur. contulit Orat. XVIII. cum exemplo Morell. Kayserus.

§ 36. Cod. Bibl. Marc. 422. saec. XV. continet Oratt. omnes. hic quoque cum ed. Turrisani fere conspirat; at est ubi ab ea discrepet, ut in Orat. XII, § 5, 4 haec habet: *τοῦτο δὲ ταὼς ποικίλους, ὅπερ ἐστὶ σοφιστὰς πολλοὺς* (idem est in C, nisi quod ibi *πολλοὺς σοφιστὰς* legitur).

§ 37. Cod. Bibl. Marc. chartac. form. 4. saec. XV. continet Macarii Chrysocephali *Ῥοδωνιάν*, in qua passim Dionea excerpta sunt. conf. Villois. Anecdot. II, p. 4 seqq., Walz. Arsen. Viol. Praef. et Iacob. Morelli Bibl. MS. Gr. et Lat. p. 318.

(L) CODEX MEDIOLANENSIS.

§ 38. Ambr. E. III. forma max. saec. XIV—XV. continet Platonis Phaedonem, Dionis Oratt. I—IX. et opusculum *περὶ μέτρων*. ad Dionem adscripta sunt scholia futilia et subinde *χρήσιμον τὸ χωρίον*. collata est Orat. VII, § 1—44 a Cobeto, qui exemplo usus est Morelliano. fere conspirat cum B; ubi ab hoc libro deficit, cum M. igitur hic quoque medius est utriusque generis. ubi solus veram scripturam servaverit, non repperi; mendas autem suas habet sat multas.

§ 39. (R) CODEX MOSQUENSIS.

Num praeter Orat. XVIII. alia contineat Dionea ignoro. scripturae varietatem enotavit Matthaei. conf. Cap. III, § 10. non autem ea id diligentia mihi fecisse visus est, ut ex eius silentio quidquam colligere auderem; contulit vero cum exemplo Morelliano.

CODICES NEAPOLITANI.

§ 40. In Bibl. Reg. chartac. saec. XV. continet Orationes VII. vid. Fabric. Bibl. Gr. IV, 12. p. 133.

§ 41. Ibid. Cod. chart. saec. XVI. continet Orat. I—III.

CODICES MATRITENSES.

§ 42. Cod. XXI. fol. 272 ex Orat. LIII (de Homero). conf. Fabric. B. Gr. l. l.

§ 43. Cod. C. fol. 126 et 136. continet Oratt. I et II. conf. Fabric. l. l.

§ 44. (S) CODEX IGNOTUS.

Libri cuiusdam scripturas Hemsterhusius margini exempli sui Morelliani adscripsit. enotaverat autem e plagellis, quas se dicit a P. Burmanno accepisse. conf. Geel. p. XXI et 417. pertinent ab Orat. LVI § 10. usque ad Orat. LXII extremam, et rursus ab Orat. LXXIII usque ad Orat. LXXIV § 8. valde iste liber a vulgata discrepat, maxime in ordine verborum, ut videatur ab homine scriptus non de singulis verbis, sed de universa sententia sollicito. multis autem locis, ubi scriptura dissidet, cum melioribus libris ei convenit.

§ 45. Ab hoc libro non admodum diversus est is, cuius aliquot lectiones Morelliano exemplo Bibliothecae Gothanae adscriptas publicavit Iacobsius. nam quas ille pro viri docti coniecturis habuit, magna ex parte e libro MS. petitas esse dubitari nequit. quoniam autem non constabat, quid libris deberetur quidve coniecturae, Anonymo haec assignavimus (Anonym. apud Jacobs.).

CAPUT III.

LIBRI TYPIS EXPRESSI.

Horum eos solos commemorabimus, e quibus ad Dionem emendandum aliquid utilitatis derivari potuit.

§ 1. Editio princeps quae fuerit, nondum constat. vid. Fabric. Bibl. Gr. T. V, p. 134, qui haec habet:

,,Dionis Opera gr. per Dionysium Paravisinum. Mediol. 1476. 4. rarissimam hanc editionem repperit Comes Anton. Simoneta in bibliotheca Comitis de Pembrok Londini, ut refert Saxius in Histor. Typogr. litterar. Mediol. p. 4. et DLXVI.'' post Simonetam nemo, quod sciam, oculis suis hunc librum vidit.

§ 2. Editio F. Turrisani 8. Venet. sine anno. alii anno 1551 eam prodiisse dicunt. conf. Ebert. Lex. I, p. 480. adiecta est in extremo libro scripturae varietas e cod. MS. enotata. non mihi haec editio ad manum fuit, quam usurpavit Reiskius, sane paullo negligentius. passim vero Morellus huius scripturas in margine editionis suae notavit. facilius hoc libro carui, quia codex Meermannianus semper mihi praesto fuit, ut haud facile me fugeret, si quid novasset Morellus.

§ 3. Quasdam Dionis Orationes a Io. Caselio et Io. Potinio editas non operae pretium fuit evolvisse.

§ 4. Dionis Oratio de Ilio non capto gr. et lat. interprete Laur. Rhodomanno et cum eius notis ad Q. Calabri Paralipomena Homeri. Hanov. 1604. 8. repetita videtur Francof. 1614. Praefationi subscriptus est a. 1603. erat Rhodomannus graece doctissimus idemque multum versatus in arte rhetorica, ut non tantum singula verba, sed totam orationis compagem diligentius examinaret, quo huic potissimum libro, interpolationibus turpato, opus fuit. quapropter haud frustra Rhodomannum sedulo consului.

§ 5. Dionis Chrysostomi Oratt. LXXX. cum vetustis Codd. MSS. Regiae Biblioth. sedulo collatae eorumque ope innumeris mendis liberatae restitutae, auctae Photii excerptis Synesiique censura illustratae. Ex interpretatione Thomae Naogeorgi accurate recognita et recentata et emendata Fed. Morelli Prof. Reg. opera. Cum Is. Casauboni Diatriba et eiusdem Morelli Scholiis Animadversionibus et Coniectaneis (Collectaneis). Accessit rerum et verborum Index locupletissimus. Lutetiae 1604 (et 1623 bibliopolae fraude). Morellus usus est libris MSS, at negligentissime. plurimum vero tribuit libro A, qui deterioris notae est. haec vero de subsidiis suis criticis in Praefatione scripsit „Venetae editionis maculas plerasque eluimus et lacunas etiam aliquot replevimus, ut magna pridem ex parte feceramus eodem codice Veneto cum veteribus membranis ex Bibliotheca Patrum societatis Iesu diligenter collato et cum alio MS, cuius copiam benigne nobis fecerat vir Illustrissimus vetustate familiae armisque et literis ornatissimus I. Foxius Carmanii Comes μακαρίτης“ Horum prior est M, alter C, quod primus intellexit Geelius Praef. XX. ex his autem Morellus lectiones aut recepit aut margini adscribendas curavit, ita tamen, ut cuiusnam quaeque libri esset, non significaret et ne a suis quidem coniecturis ubique distingueret. contra libri A scripturas adnotationibus inseruit. praeterea H. Stephani exemplum „notulis et interpunctionibus quibusdam raptim distinctum“ sibi commodatum esse praedicat. Haud sane Dioni emendando par fuit Morellus, quem eo nomine acerbius reprehendit Reiskius in Praef. ad Dionem p. XVII, neque multum interpretationi profuit. nam scholia eius et collectanea maxima ex parte futilia sunt et magis ostentandae eruditionis caussa quam Dionis explicandi scripta esse videntur. quo longius autem ista adnotatio procedit, eo fit exilior, ut aliquot Orationes prorsus praetermissae sint.

§ 6. At quasi quoddam lumen I. Casauboni Diatribam habet editio Morelliana, festinantius illam quidem scriptam, sed tamen tanto ingenio dignam. quae quantum Dioni profuerit, propemodum singulis paginis intelligetur.

§ 7. Post Casaubonum Henricus Valesius Dioni manum admovit, haud multum illo inferior et iudicio et doctrina. egit autem de Dione passim in adnotationibus ad Ammianum Marc. et totus

Emendationum L. II ad Dionem refertur. vid. H. Valesii Emendationum L. V. edente P. Burmanno. Amstelod. 1740.

§ 8. Subsecutus est Dionis emendator, quem nunc scimus Seldenum fuisse. publicavit eius adnotationes I. Ch. Wolfius in Anecdotis Graec. Tom. II, p. 217—298 Hamb. 1722. hoc titulo „Notae et emendationes viri docti nescio cuius ad exemplum Dionis Chrysostomi edit. Paris. a. 1623 fol. adscriptae, quod exstat in Bibliotheca Bodleiana.“ At in bibl. Leydensi apographum exstat hoc titulo: Seldeni castigationes (Geel.). Seldenus plurimis locis certam medelam adtulit, acumine egregius et qui Dionis consuetudinem optime nosset. Casaubonum saepe et iure et immeritum reprehendit verbis non nunquam acerbioribus, quibus opinor abstinuisset, si haec ipse publicasset. iniquius de Seldeno, quem Anglum appellat, iudicavit Reiskius Praef. p. XIX, nec qua debebat diligentia, ut ipse fatetur, adnotationes eius excussit. hoc ego feci, nec me poenituit.

§ 9. Aliquot locos Dionis tractarunt Gisb. Koenius ad Gregor. Corinthium, Lambertus Bos in Animadvers. in script. Graecos Franecker 1715, p. 19—21 (quem non potui consulere), Toupius in Emendat. in Suidam et Hesychium, Valckenarius in adnot. ad Herodotum et Euripidem, Wesselingius in adnotat. ad Herodot. et in Observationibus var. Traiect. ad Rhen. 1740. 8. p. 46 et 225—27. pleraeque Wesselingii emendationes e Stobaeo petitae sunt. Porro I. Bern. Koehler (Periculum Criticum ad Dionem Chrysost. ad calcem Observ. philol. in loca selecta sacri Codicis Lugdun. Batav. 1765. 8. et in Prolusione Academica ad Orationes Tarsicas. Gotting. 1770.). Koehleri librorum neuter ad manum mihi fuit. apud Reiskium saepius citatur.

§ 10. Dionis Orationem XVIII. edidit Matthaei „Isocratis Demetrii Cydon. et Mich. Glycae Epist. nec non Dionis Chr. Orat. *περὶ λόγου ἀσκήσεως* e Codd. Mosquensibus 1776. Mosq. 8.“ conf. Cap. II, § 39.

§ 11. Post Morellianam interiectis fere CLXX annis nova prodiit editio: Dionis Chrysostomi Orationes ex recens. Io. Iac. Reiske. cum eiusdem aliorumque animadversionibus Voll. II. Lips. 1784. A libris MSS. nihil subsidii Reiskio fuit, ab ingenio plurimum, nec ullus interpretum tot mendis Dionem liberavit, quot Reiskius

maturus autem Dionis studium, diu intermissum, repetiit, cuius iuvenis specimen publicaverat in Miscellaneis Amstelodamensibus Vol. IX, Tom. III, p. 375—79 (Observationes ad Orat. XXXIII). Idem omnes Dionis Orationes pertractavit in Animadversionibus ad Graecos autores. Lips. 1757. hunc librum non opus erat inspicere, quia editioni Reiskianae inserta sunt, quaecunque illorum eum scripsisse non poenituit. Neque vero ipse Dioni edendo praefuit (obiit enim antea), sed uxor Ern. Chr. Reiskia, quae ut in mulieribus docta, ita huic negotio impar erat. quod si igitur Reiskiana editio et Dionis orationem habet satis mendosam et in adnotationibus plurima insunt festinationis vestigia, non tam Reiskius accusandus est quam praematura fati necessitas. in Reiskiano Commentario saepius mentio fit Anonymi cuiusdam, qui emendationes suas ad marginem edit. Venetae adscripserat (Anonym. ap. Reisk.). conf. Reisk. Praef. p. XVI. inserta sunt Reiskii editioni Casaubonianae Diatribae compendium et selecta Morelli Scholia et Collectanea, porro e Photio et Suida quae ad Dionem referuntur, denique Philostrati et Synesii Dio. Censura libri legitur in Ephemer. Lips. lit. a. 1784, p. 70 et a. 1785 nr. I. (quae non ad manum fuit).

§ 12. Multos Dionis locos tractavit Wyttenbachius in adnotat. ad Plut. Morall. et in Indice Plut.

§ 13. Nostra memoria de Dione optime meritus est Fr. Iacobsius, qui et alibi et in Additamentis ad Athenaeum plurimis locis lucem adtulit. multae vero eius emendationes nunc Dionis orationi insertae sunt. de observationibus eius, quae in Annalibus Darmstadiensibus leguntur, infra dicetur.

§ 14. Nova Dionis editio prodiit, vel potius non prodiit, haec: *Δίων ὁ Χρυσ. ἐκδοθεὶς ὑπὸ Νεοφύτου Δούκα ἐν Βιέννῃ τῆς Αὐστρίας* voll. III. 1810. 8. quam mihi non contigit ut nanciscerer.

§ 15. Meae Observationes in Dionem editae sunt Lips. 1830. subsidia tum habebam prope nulla. quo accidit, ut quaedam proferrem ut mea, ab aliis dudum inventa.

Anno 1832 Programma edidi de Oratione Corinthiaca falso Dioni Chrysostomo adscripta, Brunsvig. idem libellus et Corinthiacae et aliorum quorundam Dionis locorum emendationes continet.

§ 16. Eodem anno cum Programmate Gymnasii Vitebergensis I. Goerlitzius Orat. XVIII. edidit et docto commentario illustravit.

§ 17. Denuo ad Dionem accessit Iacobsius in Annalibus Darmstadiensibus *(Allgemeine Schulzeitung)* A. 1832, p. 1236—1246, Orat. I—III. A. 1833, p. 310—312, Orat. IV—VI et p. 830—832, Orat. VII. A. 1834 *(Zeitschrift für die Alterthumswissenschaft)*, 689—694, Orat. IX—XII. A. 1836, p. 170—178, Orat. XIII—XXII et p. 1111—1120, Orat. XXIII—XXXI. A. 1837, p. 1137—1141, Orat. XXII. A. 1838, p. 1167—1170, Orat. XXXIII. A. 1839, p. 476—482, Orat. XXXIV—XXXVII. A. 1840, p. 999—1006, Orat. XXXVIII—LIX. A. 1841, p. 5—19, Orat. LX—LXXX. Haec religiosissime a me perlustrata esse non adtinet commemorare.

§ 18. Interim in lucem prodiere a. 1835 Iulii Pflugkii Schedae Criticae, quae plurima continent Dionea. egregium in hoc viro acumen fuit et audacia saepe felix. concessum vero fuit nobis, ut iis quoque Pflugkii inventis uteremur, quae per fatum praematurum ipsi publicare non licuit. conf. Cap. I, § 6.

§ 19. Orationem VIII. edidit et luculento commentario illustravit, alia quoque Dionea tractavit Fr. Nic. Gisl. Baguetus (specimen literarium inaugurale, exhibens Dionis Chrysostomi orat. VIII. animadversionibus illustratam), Lovanii a. 1823. 8. (quem non potui consulere).

§ 20. Magnum nobis adiumentum fuit Iacobi Geelii liber: Dionis Chrysostomi Ὀλυμπικός. Lugd. Bat. 1840. continet autem non tantum hanc orationem cum commentario locupletissimo, sed plurimas reliquorum Dionis operum aliorumque scriptorum emendationes et interpretationes. Geelius autem primus ad librorum MSS. fidem Orationem Olymp. revocavit, et passim alios quoque Dionis locos ex illis emendavit.

§ 21. Libri censuram scripsit L. Kayserus in Actis Monacensibus 1840, N. 140—142. Alteram ego in Annal. Darmst. 1841, p. 337—372. Huius censurae quodammodo censorem egit R. Ungerus in Epistola ad L. Krahnerum edita cum Programmate Gymnasii Friedlandensis. Brandenb. Novi 1841. Ego respondi in Annal. Darmst. a. 1842, p. 220—234. Ungerus rursus et mihi respondit

et nova quaedam protulit in Ann. Darmst. a. 1842, p. 1137—1206. in his quaedam insunt minime spernenda.

§ 22. Latine vertit Dionem Thom. Naogeorgius (Kirchmaier) Basil. 1555 (et Venet. 1585) fol. quem passim emendatum repetiit Morellus in editione sua. Naogeorgius Dionis mentem haud raro expressit, ubi Graeca corrupta erant, saepe autem ab ea aberravit nullo Graecorum vitio obscurata. Quaedam vero Dionis Orationes latine versae prodierunt ante editionem Turrisani.

TABULA SIGLORUM.

Literae maiusculae indicant libros MSS. β partem codicis M. ubi duplex scriptura reperta est in eodem MS., alteram uncis inclusi. — Literae minusculae editiones Dionis significant. — Nomina virorum doctorum, quorum coniecturas memoravimus, aut integra scripta sunt aut literis postremis curtata.

I. Libri MSS. conf. Praef. Cap. II.
A = Parisinus. conf. § 28.
B = Parisinus. conf. § 27.
β = Codicis M pars. conf. § 14.
C = Parisinus. conf. § 29.
D = Florentinus. conf. § 19.
E = Florentinus. conf. § 20.
L = Mediolanensis. conf. § 38.
M = Meermannianus. conf. § 14.
N = Monacensis. conf. § 33.
O = Monacensis. conf. § 34.
R = Mosquensis. conf. § 39.
S = Ignotus. conf. § 44.
T = Venetus. conf. § 35.
U = Urbinas. conf. § 10.
V = Vaticanus. conf. § 7.

II. Editiones. conf. Praef. Cap. III.
g = Geelii Orat. XII. conf. § 20.
m = Morelli. conf. § 5.
mrg. m = margo edit. Morelli. conf. § 5.
r = Reiskii. conf. § 11.
v = Veneta. conf. § 2.
var. l. v. = scripturae varietas ad calcem ed. Venetae.
vulg. = scriptura a me vulgata.

III. Nomina eorum cuius emendationes commemoravi. conf. Praef. Cap. III.

Anonym. = conf. Cap. III. § 11 et Cap. II, § 45.
Casaub. = Casauboni Diatriba. conf. § 6.
Cens. = Censura mea libri Geeliani. conf. § 21.
Geel. = Geelii commentarius. conf. § 20.
Iacobs. = Iacobsii Spicilegium adnot. in Dionem in Ephem. Darmst. conf. § 17. quae alibi a Iacobsio de Dione scripta sunt, accuratius indicavimus. conf. § 13.
Interpr. = Naogeorgius. conf. § 22.
Obs. = Observationes meae in Dionem. conf. § 15.
Pflugk. = Pflugkii chirographus. quae in Schedis criticis publicata sunt, numero paginae addito indicavimus. conf. § 18.
Progr. = Programma meum de Orat. Corinth. conf. § 15.
Selden. = Seldeni (Angli) adnotationes. conf. § 8.
Vales. = Valesii Emendationes. conf. § 7.
Unger. = Ungeri commentatio in Annal. Darmst. Unger. Progr. vel Unger. Ep. significat eius Programma. conf. § 21.

ΛΟΓΟΣ ά

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 Φασί ποτε Ἀλεξάνδρῳ τῷ βασιλεῖ τὸν αὐλητὴν Τιμόθεον 43 R. 1 M.
τὸ πρῶτον ἐπιδεικνύμενον αὐλῆσαι κατὰ τὸν ἐκείνου τρόπον
μάλα ἐμπείρως καὶ μουσικῶς· οὐ μαλακὸν αὔλημα οὐδὲ ἀνα-
βεβλημένον οὐδὲ τῶν πρὸς ἄνεσιν καὶ ῥᾳθυμίαν ἀγόντων·
ἀλλ᾽ αὐτὸν οἶμαι τὸν ὄρθιον, τὸν τῆς Ἀθηνᾶς ἐπικαλούμενον
2 νόμον. καὶ τὸν Ἀλέξανδρον εὐθὺς ἀναπηδῆσαι πρὸς τὰ ὅπλα
τοῖς ἐνθέοις ὁμοίως. οὕτω σφόδρα ἐπαρθῆναι αὐτὸν ὑπὸ τοῦ
μέλους τῆς μουσικῆς καὶ τοῦ ῥυθμοῦ τῆς αὐλήσεως. τὸ δὲ
τούτου αἴτιον οὐχ οὕτως ἡ τῆς μουσικῆς δύναμις, ὡς ἡ τοῦ 44 R.
3 βασιλέως διάνοια, σύντονος οὖσα καὶ θυμοειδής. ἐπεὶ Σαρ-
δανάπαλον οὐκ ἄν ποτε ἤγειρεν ἐκ τοῦ θαλάμου καὶ παρὰ
τῶν γυναικῶν, οὐχ ὅπως Τιμόθεος ἢ ἄλλος τις τῶν νεωτέ-
ρων, ἀλλ᾽ οὐδὲ Μαρσύας αὐτὸς ἢ Ὄλυμπος. δοκεῖ δ᾽ ἔμοιγε,
μηδὲ τῆς Ἀθηνᾶς, εἰ δυνατὸν, διεξιούσης τὸν αὑτῆς νόμον, 2 M.
ἅψασθαί ποτε ὅπλων ἐκεῖνος· πολὺ δ᾽ ἂν πρότερον ὀρχήσα-
σθαι ἀναστὰς ἢ φυγεῖν· οὕτως ἀθλίως εἶχεν ὑπὸ ἐξουσίας
4 καὶ τρυφῆς. οὐκοῦν καὶ ἡμᾶς εἰκός ἐστι μὴ χείρους ἀνδρὸς
αὐλητοῦ γενέσθαι περὶ τὸ ἡμέτερον ἔργον, μηδὲ ἧττον ἀν-
δρείους καὶ μεγαλόφρονας εὑρεῖν λόγους τῶν ἐκείνου κρουμά-

Orat. I. Collati sunt BCMNO. — Titul. περὶ βασιλείας ά. περὶ ἀλεξάν-δρου C. — 1, 2. πρῶτον. πρὸς τὸν (mrg. vulg.) M. ‖ 3. ἐμπείρως. ὑπείρως C. ‖ οὐδὲ ἀναβεβλημένον. οὐδὲν ἀναβεβλημένον v. ‖ 5. ὄρθιον. ὄρθρον (corr. ὄρθιον) C. — 2, 2. ἐνθέοις. ἐν θεοῖς r. — 3, 2. καὶ παρά. καὶ om. C. ‖ 4. δ᾽ BCM, δὲ reliq. ‖ 5. δυνατὸν BMNO, δυνατὸν ἐρεῖν reliq. ‖ διεξιούσης. ἐξιούσης C. ‖ τὸν αὑτῆς. sic dedi. τὸν αὐτῆς CM. mrg. m, τὸν αὐτὸν reliq. ‖ 6. πολύ. πολλὺ C. ‖ 7. οὕτως. τοῦ C. ‖ ὑπ᾽. ὑπὸ CM. — 4, 1. οὐκοῦν. οὐκ ἦν (mrg. vulg.) M. ‖ 3. χρουμάτων. κρουσμάτων (corr. vulg.) M.

5 των· ἔτι δὲ μὴ ἕνα τρόπον ἡρμοσμένους, ἀλλὰ τοὺς αὐτοὺς
σφοδρούς τε καὶ πρᾴους, καὶ πολεμικοὺς ἅμα καὶ εἰρηνικούς,
καὶ νομίμους καὶ τῷ ὄντι βασιλικούς, ἅτε, οἶμαι, πρὸς ἀν-
δρεῖον βουλόμενον εἶναι καὶ νόμιμον ἡγεμόνα, πολλοῦ μὲν 45 R.
6 δεόμενον θάρσους, πολλῆς δὲ καὶ ἐπιεικείας. ὁ γοῦν Τιμό-
θεος, εἰ, καθάπερ πολεμικόν τινα διελθεῖν ᾔδει νόμον, οὕτως
ἠπίστατο αὔλημα δικαίαν καὶ φρόνιμον καὶ σώφρονα τὴν
ψυχὴν καὶ φιλάνθρωπον δυνάμενον παρασχεῖν, μὴ πρὸς ὅπλα
ὁρμῶσαν μόνον, ἀλλὰ ἐπί τε εἰρήνην καὶ ὁμόνοιαν καὶ θεῶν
τιμὰς καὶ ἀνθρώπων ἐπιμέλειαν, τοῦ παντὸς ἂν ἦν ἄξιος
7 Ἀλεξάνδρῳ παρεῖναί τε καὶ ἐπαυλεῖν, οὐ θύοντι μόνον, ἀλλὰ
καὶ ἄλλως, ὁπότε ἢ πενθῶν ἀκρίτως τύχοι παρὰ τὴν ἀξίαν
καὶ τὸ πρέπον, ἢ κολάζων πικρότερον τοῦ νομίμου καὶ ἐπιει-
κοῦς, ἢ χαλεπαίνων τοῖς αὑτοῦ φίλοις τε καὶ ἑταίροις, ἢ ὑπερ-
8 ορῶν τοὺς θνητούς τε καὶ ἀληθεῖς γονέας. ἀλλὰ γὰρ οὐ
πᾶσαν ἴασιν οὐδὲ ὠφέλειαν ὁλόκληρον ἠθῶν ἱκανὴ παρασχεῖν
ἡ μουσικῆς ἐπιστήμη τε καὶ ἕξις· οὐ γὰρ οὖν, ὥς φησιν ὁ
ποιητής,

οὐδ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός.

μόνος δὲ ὁ τῶν φρονίμων τε καὶ σοφῶν λόγος· οἷοι γεγόνασιν
οἱ πολλοὶ τῶν πρότερον· ἀνενδεὴς καὶ τέλειος ἡγεμὼν καὶ 46 R.
βοηθὸς εὐπειθοῦς καὶ ἀγαθῆς φύσεως, πρὸς πᾶσαν ἀρετὴν
9 παραμυθούμενός τε καὶ ἄγων ἐμμελῶς. τίς ἂν οὖν πρέπουσα
καὶ ἀξία φανείη διατριβὴ τῆς σῆς προθυμίας; καὶ πόθεν ἂν
εὕροιμεν ἡμεῖς τέλειον οὕτω λόγον, ἄνδρες ἀλῆται καὶ αὐτουρ- 3 M.
γοὶ τῆς σοφίας, πόνοις τε καὶ ἔργοις, ὡς δυνάμεθα, χαίρον-

5, 1. μή. μὴ μὴ (corr. vulg.) M, ἵνα μὴ NO, νὴ Δία μὴ Iacobs. ‖ 2. σφοδρούς. φαιδρούς (mrg. vulg.) M. mrg. m. ‖ πολεμικούς. εἰρεμικοὺς (mrg. vulg.) M. ‖ εἰρηνικούς. ἠρεμικοὺς mrg. m. — 6, 2. τινα διελθεῖν om. C. ‖ 3. ἠπίστατο. ἐπίσταται C. ‖ αὔλημα δικαίαν. sic dedi. αὔλημα δίκαιον (?) C, δὴ καὶ αὔλημα δικαίαν Reisk., δίκαιον αὔλημα reliq. ‖ καὶ φρόνιμον. καὶ om. C. ‖ 5. ὁρμῶσαν. ὁρμώσης C. ‖ 6. ἄξιος CMO, ἄξιον reliq. — 7, 1. οὐ θύοντι μόνον. οὔθε τὸν τιμόμενον C. ‖ 3. πρέπον. ἀρεστὸν C. ‖ τοῦ νομίμου. ἢ. νομίμου C. ‖ 4. αὑτοῦ. αὐτοῦ BM. ‖ ὑπερορῶν. ὑπεροχῶν C. – 8, 2. ἴασιν. ἴσασιν (corr. vulg.) M. ‖ 3. ἡ. ἢ M. ‖ 5. τοῦτο γ'. τοῦτο γε C. ‖ 6. σοφῶν. σφοδρῶν (mrg. vulg.) M. ‖ 7. προτέρων BCO, πρότερον (mrg. προγόνων) M. var. l. v, προγόνων reliq. ‖ 9. ἐμμελῶς CM, ἐπιμελῶς reliq. — 9, 2. καὶ πόθεν BC. corr. MON, καὶ om. reliq. ‖ 3. ἀλῆται. αὐλῆται (sed αυ in rasura) C. mrg. m, ἀθληταὶ H. Stephan. ‖ 4. ὡς. ὅσον CM.

τες τὰ πολλά· τοὺς δὲ αὖ λόγους παρακλήσεως ἕνεκεν φθεγ-
γόμενοι πρὸς αὐτοὺς καὶ τῶν ἄλλων ἀεὶ τὸν ἐντυγχάνοντα· 47 R.
ὥσπερ οἱ κινοῦντες καὶ μεταφέροντες οὐκ εὔφορον βάρος
φθέγγονταί τε καὶ ᾄδουσιν ἡσυχῇ τὸ ἔργον παραμυθούμενοι,
10 ἐργάται ὄντες, οὐκ ᾠδοί τινες οὐδὲ ποιηταὶ μελῶν; πολλοὶ
μὲν οὖν κατὰ φιλοσοφίαν λόγοι καὶ πάντες ἀκοῆς ἄξιοι καὶ
θαυμαστὴν ὠφέλειαν ἔχοντες τοῖς μὴ παρέργως ἀκροωμένοις.
ἀλλὰ δεῖ τὸν ἐγγύς τε καὶ μάλιστα ἁψόμενον ἀνευρόντας καὶ
παρακαλέσαντας Πειθώ τε καὶ Μούσας καὶ Ἀπόλλωνα, ὡς
11 δυνατὸν, προθύμως διελθεῖν. φέρε εἴπωμεν τά τε ἤθη καὶ
τὴν διάθεσιν τοῦ χρηστοῦ βασιλέως, ἐν βραχεῖ περιλαμβάνον-
τες, ὡς ἔνεστιν,

ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσιν.

12 πάνυ γὰρ οὖν καλῶς σὺν ἄλλοις πλείοσιν Ὅμηρος, ἐμοὶ δοκεῖν,
καὶ τοῦτο ἔφη, ὡς οὐχ ἅπαντας παρὰ τοῦ Διὸς ἔχοντας τὸ
σκῆπτρον οὐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνους τοὺς ἀγα-
θούς· οὐδὲ ἐπ' ἄλλοις τισὶ δικαίοις, ἢ τῷ βουλεύεσθαι καὶ
13 φροντίζειν ὑπὲρ τῶν ἀρχομένων· οὐχ ὥστε ἀκολασταίνειν καὶ 48 R.
σπαθᾶν, ἀνοίας καὶ ὕβρεως καὶ ὑπερηφανίας καὶ πάσης ἀνο-
μίας ἐμπιμπλάμενόν τε, καὶ ἀποπιμπλάντα ἐξ ἅπαντος αὐτοῦ
τὴν ψυχὴν τεταραγμένην ὀργαῖς τε καὶ λύπαις καὶ φόβοις
καὶ ἡδοναῖς καὶ παντοίαις ἐπιθυμίαις· ἀλλ' ὡς οἷόν τε, προσ-
έχοντα τὸν νοῦν αὑτῷ τε καὶ τοῖς ὑπηκόοις, νομέα καὶ ποι-
μένα τῷ ὄντι τῶν λαῶν γιγνόμενον, οὐχ ἑστιάτορα καὶ δαιτυ-

5. δὲ αὖ. δ' αὖ M. ‖ 6. αὐτούς. αὑτοὺς BM. ‖ ἀεὶ τόν. τὸν ἀεὶ Geel. ‖ τὸν ἐντυγχάνοντα C. mrg. m. r, τῶν ἐντυγχανόντων ἕνεκεν (at ἕνεκεν obelo notat.) M, τῶν ἐντυγχανόντων reliq. ‖ 7. εὔφορον. εὐφρονον (mrg. vulg.) M. ‖ 9. ᾠδοί τινες. ᾄδοι τινῶν C, ᾠδῷ τινες (corr. vulg.) M. ‖ οὐδέ. οὐδὲ ἡ M. — 10, 2. λόγοι καί. λόγιο οὐ C. ‖ 4. δεῖ. δὴ BC. ‖ ἁψόμενον BCO. Reisk., ἑψόμενον reliq. (at M in rasura). ‖ 5. τε καί. τας καὶ C. — 11, 1. εἴπωμεν. εἴπομεν B. ‖ 4. ᾧ. ὡς C. ‖ 5. σφίσι βουλεύῃσιν BM, σφίσι βουλεύησι ON. v, σφίσι βουλίβησι C, σφίσιν ἐμβασιλεύῃ mr. ex Hom. Il. 2, 206. — 12, 1. οὖν. καὶ BO, om. N. ‖ πλείοσιν. πλείωσιν M. ‖ 4. ἐπ' ἄλλοις τισὶ Reisk., πολλοῖς τισι reliq. ‖ βουλεύεσθαι BC MAON. Interpr., βασιλεύεσθαι reliq. — 13, 2. ὑπερηφανίας. ὑπεριφανίας M. ‖ 3. ἐμπιμπλάμενόν τε. ἐμπιπλάμενόν τε M. offendit Geelium. malim ἔμπλεων ὄντα vel ἐμπεπλησμένον. ‖ ἀποπιμπλάντα. ἀποπιπλάντα M. ‖ 3. αὐτοῦ. τρόπου Geel. ‖ 6. αὑτῷ. αὐτῷ BM. ‖ τε om. B. ‖ 7. γιγνόμενον. γινόμενον B. ‖ δαιτυμόνα. δαιτίμονα B.

μόνα, ὡς ἔφη τις· οἷον οὐδὲ καθεύδειν αὐτὸν ἀξιοῦν δι' ὅλης
14 τῆς νυκτός, ὡς οὐκ οὖσαν αὐτῷ σχολὴν ῥαθυμεῖν. ταῦτα
γάρ φησι καὶ Ὅμηρος ὁμοίως τοῖς ἄλλοις σοφοῖς τε καὶ ἀλη- 4 M
θέσιν ἀνδράσιν, ὡς οὐδείς ποτε πονηρὸς καὶ ἀκόλαστος καὶ
φιλοχρήματος οὔτε αὐτὸς ἑαυτοῦ γενέσθαι δυνατὸς ἄρχων
οὐδ' ἐγκρατής, οὔτε τῶν ἄλλων οὐδενός· οὐδ' ἔσται ποτὲ
ἐκεῖνος βασιλεύς, οὐδ' ἂν πάντες φῶσιν Ἕλληνες καὶ βάρ-
βαροι, καὶ ἄνδρες καὶ γυναῖκες· καὶ μὴ μόνον ἄνθρωποι θαυ-
μάζωσιν αὐτὸν καὶ ὑπακούωσιν, ἀλλ' οἵ τε ὄρνιθες πετόμενοι 49 R.
καὶ τὰ θηρία ἐν τοῖς ὄρεσι μηδὲν ἧττον τῶν ἀνθρώπων συγ-
15 χωρῇ τε καὶ ποιῇ τὸ προσταττόμενον. οὐκοῦν λέγωμεν ὑπὲρ
τοῦ καθ' Ὅμηρόν τε καὶ τῇ ἀληθείᾳ βασιλέως. οὗτος γὰρ ὁ
λόγος, ἁπλῶς λεγόμενος ἄνευ πάσης κολακείας ἢ λοιδορίας,
αὐτὸς ἀφ' αὑτοῦ τὸν μὲν ὅμοιον τῷ ἀγαθῷ γνωρίζει τε καὶ
ἐπαινεῖ, καθόσον ἐστὶν ἐκείνῳ ὅμοιος· τὸν δὲ ἀνόμοιον ἐξελέγ-
χει τε καὶ ὀνειδίζει. ἔστι δὴ πρῶτον μὲν θεῶν ἐπιμελὴς καὶ
16 τὸ δαιμόνιον προτιμῶν. οὐ γὰρ δυνατὸν ἄλλῳ τινὶ πεποιθέ-
ναι μᾶλλον τὸν δίκαιον ἄνδρα καὶ ἀγαθόν, ἢ τοῖς δικαιοτά-
τοις τε καὶ ἀρίστοις θεοῖς. ὅστις δὲ κακὸς ὢν ἡγεῖταί ποτε
θεοὺς ἀρέσκειν, κατ' αὐτὸ τοῦτο πρῶτον οὐχ ὅσιός ἐστιν.
17 ἢ γὰρ ἀνόητον ἢ πονηρὸν νενόμικε τὸ θεῖον. μετὰ δὲ τοὺς
θεοὺς ἀνθρώπων ἐπιμελεῖται· τιμῶν μὲν καὶ ἀγαπῶν τοὺς
ἀγαθούς, κηδόμενος δὲ πάντων. τίς μὲν γὰρ ἀγέλης βοῶν
κήδεται μᾶλλον τοῦ νέμοντος; τίς δὲ ποιμνίοις ὠφελιμώτερός
τε καὶ ἀμείνων ποιμένος; τίς δὲ μᾶλλον φίλιππος τοῦ πλείστων
μὲν ἄρχοντος ἵππων, πλεῖστα δὲ ἀφ' ἵππων ὠφελουμένου; 50 R.
18 τίνα δὲ εἰκὸς οὕτως εἶναι φιλάνθρωπον, ἢ ὅστις πλείστων
μὲν ἀνθρώπων ἐγκρατής ἐστι, μάλιστα δὲ ὑπὸ ἀνθρώπων

8. οἷον. ἀλλ' οἷον C, om. BON, in M obel. notat. ‖ αὐτόν. sic dedi. αὑτόν reliq. ‖ ἀξιοῦν C. Reisk., ἀξιοῖ reliq. ‖ 9. οὖσαν αὐτῷ σχολὴν C M (corr. οὔσης αὐτῷ σχολῆς), οὔσης αὐτῷ σχολῆς reliq. — 14, 2. ὁμοίως. πρὸς M (mrg. vulg.). ‖ 3. οὐδείς ποτε. οὐ δεῖ ποτε B. ‖ 6. φῶσιν om. C. ‖ 7. καὶ ἄνδρες καὶ γυναῖκες. καὶ ἄνδρες δὲ γυναῖκες v, unde καὶ ἄνδρες δὲ καὶ γυναῖκες Reisk. ‖ θαυμάζωσιν Reisk., θαυμάζουσιν reliq. (sed M ου in litura.) ‖ 8. ὑπακούωσιν CM. Reisk., ὑπακούουσιν reliq. ‖ 9. συγχωρῇ M. Reisk., συγχωρεῖ reliq. ‖ 10. τε καί. ὅτε καὶ M. ‖ ποιῇ M. Reisk., ποιεῖ reliq. ‖ προσταττόμενον. προστασσόμενον C, πραττόμενον B. — 15, 1. λέγωμεν. λέγωμέν τε O, λέγομεν C. ‖ 2. οὗτος. οὕτως C. ‖ 5. ἐκείνῳ ὅμοιος. ἐκεῖνος ὁμοίως C. — 16, 4. θεούς. in M ου in litura. — 17, 5. τε καί. τε om. N. — 18, 1. εἶναι om. B.

*θαυμάζεται; δεινὸν γάρ, εἰ οἱ ἀλλοφύλων καὶ ἀγρίων ἄρχον-
τες θηρίων εὐνούστεροί εἰσι τοῖς ἀρχομένοις τοῦ βασιλεύοντος
19 ἀνθρώπων ἡμέρων καὶ ὁμοφύλων. καὶ μέντοι καὶ φιλοῦσι καὶ
ἀνέχονται μάλιστα πάντων ἀγέλαι μὲν νομεῖς, ἵπποι δὲ ἡνιόχους.
κυνηγέται δὲ ὑπὸ κυνῶν φυλάσσονται καὶ ἀγαπῶνται, καὶ τὰ* 5 M.
*20 ἄλλα οὕτως ἀγαπᾷ τὰ ἀρχόμενα τοὺς ἄρχοντας. πῶς οὖν
εἰκός, τὰ μὲν ἄφρονα καὶ ἀγνώμονα εἰδέναι καὶ φιλεῖν τοὺς
ἐπιμελουμένους· τὸ δὲ πάντων συνετώτατον καὶ μάλιστα
ἀποδοῦναι χάριν ἐπιστάμενον ἀγνοεῖν καὶ ἐπιβουλεύειν; ἀλλὰ
γὰρ ἀνάγκη, τὸν ἥμερον καὶ φιλάνθρωπον βασιλέα μὴ μόνον
φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐρᾶσθαι. ταῦτ' οὖν εἰδὼς
καὶ φύσει τοιοῦτος ὤν, ἵλεων καὶ πρᾶον παρέχει τὴν ψυχὴν
21 πᾶσιν, ἅτε πάντας ἡγούμενος εὔνους καὶ φίλους. καὶ μὲν δὴ
οἴεται δεῖν πλέον ἔχειν διὰ τὴν ἀρχήν, οὐ τῶν χρημάτων οὐδὲ
τῶν ἡδονῶν, ἀλλὰ τῆς ἐπιμελείας καὶ τῶν φροντίδων. ὥστε
καὶ φιλόπονος μᾶλλόν ἐστιν, ἢ πολλοὶ τῶν ἄλλων φιλήδονοι
καὶ φιλοχρήματοι. ἐπίσταται γάρ, ὅτι αἱ μὲν ἡδοναὶ τοὺς
ἀεὶ συνόντας τά τε ἄλλα λυμαίνονται καὶ ταχὺ ποιοῦσιν
ἀδυνάτους πρὸς αὐτάς· οἱ δὲ πόνοι τά τε ἄλλα ὠφελοῦσι καὶ
22 ἀεὶ μᾶλλον παρέχουσι δυναμένους πονεῖν. οὐκοῦν μόνῳ ἔξε-* 51 R.
*στιν αὐτῷ, τοὺς μὲν στρατιώτας συστρατιώτας προσειπεῖν,
τοὺς δὲ συνήθεις φίλους, μὴ καταγελῶντα τοῦ ὀνόματος τῆς
φιλίας· πατέρα δὲ τῶν πολιτῶν καὶ τῶν ἀρχομένων οὐ λόγῳ
κεκλῆσθαι μόνον, ἀλλὰ τοῖς ἔργοις τοῦτο ἐπιδείκνυσθαι·
δεσπότην δέ, οὐχ ὅπως τῶν ἐλευθέρων, ἀλλὰ μηδὲ τῶν δού-
23 λων χαίρειν καλούμενον. βασιλεύειν γὰρ οὐχ αὐτοῦ χάριν
οἴεται μᾶλλον ἑνὸς ὄντος, ἢ τῶν ἀνθρώπων ἁπάντων. καὶ*

3. *γάρ εἰ* om. O. ‖ *ἄρχοντες. ἄρχοντος* C. ‖ 5. *ἀνθρώπων* om. O. — 19, 2. *πάντων* om. ON, in M obel. notat. ‖ 3. *νομεῖς* M. mrg. m, *νομῆς* C, *νομέων* reliq. ‖ *ἡνιόχους* CM. mrg. m, *ἡνιόχων* reliq. ‖ 3. *καὶ ἀγαπῶνται* in M mrg. adscript. ‖ 4. *ἀλλὰ οὕτως. ἄλλα δὲ οὕτως* Reisk. — 20, 3. *ἐπιμελουμένους. ἐπιμελεστάτους* (mrg. vulg.) M. ‖ *πάντων. παντὶ* (corr. vulg.) M. ‖ *συνετώτατον. οὐ συνετώτατον* (corr. vulg.) M. ‖ 7. *παρέχει. παρέχειν* BM. — 21, 2. *δεῖν πλέον* B. var. l. v, *πλεῖον δεῖν* ON, *δεῖν πλεῖον* reliq. ‖ *διὰ τὴν ἀρχὴν* om. C. ‖ 6. *λυμαίνονται. καὶ μαίνονται* (corr. vulg.) M. ‖ 7. *αὐτάς. αὐτὰς* M. ‖ *ὠφελοῦσι καὶ ἀεὶ* Reisk., *ὠφελοῦντες ἀεὶ* reliq. ‖ 8. *παρέχουσι. παρέχουσιν* CM. ‖ *πονεῖν. ποιεῖν* CO. — 22, 2. *προσειπεῖν. εἰπεῖν* C. ‖ 3. *τοὺς δε* Reisk., *δὲ* om. reliq. ‖ *μὴ* CM ON. v, *μὴ δὲ* reliq. — 23, 1. *οὐχ αὐτοῦ. οὐκ αὐτοῦ* BON.

τοίνυν εὐεργετῶν ἥδεται πλείω τῶν εὐεργετουμένων, καὶ μόνης
ταύτης τῆς ἡδονῆς ἐστιν ἀκόρεστος. τὰ μὲν γὰρ ἄλλα τῆς
βασιλείας ἀναγκαῖα νενόμικε· τὸ δὲ τῆς εὐεργεσίας μόνον
24 ἑκούσιόν τε καὶ εὔδαιμον. καὶ τῶν μὲν ἀγαθῶν ἀφειδέστα-
τός ἐστιν, ὡς οὐδέποτε ἐπιλειψόντων· κακοῦ δὲ ἧττον αἴτιος
γίγνεσθαι πέφυκεν, ἥπερ ὁ ἥλιος τοῦ σκότους. ὃν οἱ μὲν
ἰδόντες καὶ συγγενόμενοι οὐκ ἐθέλουσιν ἀπολιπεῖν· οἱ δὲ 6 M.
ἀκούοντες ἐπιθυμοῦσιν ἰδεῖν μᾶλλον ἢ παῖδες ἀγνοουμένους
25 πατέρας ἀνευρεῖν. τοῦτον οἱ μὲν πολέμιοι δεδοίκασι, καὶ
οὐδεὶς ὁμολογεῖ πολέμιος εἶναι, οἱ δὲ φίλοι θαῤῥοῦσι· καὶ οἱ
σφόδρα ἐγγὺς ἡγοῦνται πάντων ἐν τῷ ἀσφαλεστάτῳ εἶναι.
οὗ τἀναντία ὑπάρχει τῷ κακῷ· τοὺς μὲν ἐχθροὺς θαῤῥύνειν,
τοὺς δὲ φίλους καὶ τοὺς ἐγγὺς ἐκπλήττειν καὶ φοβεῖν. τῷ
γε μὴν ἡμέρῳ καὶ ἀβλαβεῖ τοὺς μὲν προσλιπαροῦντας μετὰ
τοῦ πεποιθότος περιγίγνεται βιοῦν· τοὺς δὲ προσιόντας καὶ 52 R.
ὁρῶντας οὐκ ἔκπληξις οὐδὲ φόβος, ἀλλ᾽ αἰδὼς ὕπεισι, πολὺ
κρεῖττον καὶ ἰσχυρότερον φόβου. τοὺς μὲν γὰρ φοβουμένους
ἀνάγκη μισεῖν καὶ ἀποδρᾶναι θέλειν· τοὺς δὲ αἰδουμένους
26 παραμένειν καὶ θαυμάζειν. τὴν μὲν οὖν ἁπλότητα καὶ τὴν
ἀλήθειαν ἡγεῖται βασιλικὸν καὶ φρόνιμον· τὴν δὲ πανουρ-
γίαν καὶ τὴν ἀπάτην ἀνόητον καὶ δουλοπρεπὲς, ὁρῶν, ὅτι
καὶ τῶν θηρίων τὰ δειλότατα καὶ ἀγεννέστατα, ἐκεῖνα καὶ
27 ψεύδεται πάντων μάλιστα καὶ ἐξαπατᾷ. φιλότιμος δὲ ὢν τὴν
φύσιν καὶ εἰδὼς, ὅτι τοὺς ἀγαθοὺς πεφύκασιν οἱ ἄνθρωποι
τιμᾷν, ἧττον ἐλπίζει τιμᾶσθαι ἂν ὑπὸ ἀκόντων, ἢ παρὰ μι-
σούντων φιλίας τυγχάνειν. καὶ πολεμικὸς μὲν οὕτως ἐστὶν,

3. τοίνυν. τοὶν C. ‖ μόνης. μονῆς C (corr. μόνην). ‖ 4. τῆς om. N. ‖ 6. εὔδαιμον. εὐδαίμων M. — 24, 2. ἐστιν MN, ἔστιν C, ἐστὶ ante τῆς ἡδονῆς collocat B, ἐστι reliq. ‖ 3. ὁ ἥλιος. ὁ om. O. ‖ ὃν om. C. ‖ οἱ μέν. οἶμαι (mrg. vulg.) M. ‖ 4. ἀπολιπεῖν. ἀπολειπεῖν M. ‖ 6. ἀνευρεῖν. ἀνευρεῖναι N. — 25, 2. θαῤῥοῦσι. θαῤῥοῦσιν CM. ‖ 3. πάντων Reisk., πάντως vel πάντῃ Iacobs., πάντες reliq. ‖ ἡγοῦνται — περιγίγνεται βιοῦν. horum in C nihil nisi haec reperiuntur ἐκπλήττειν καὶ φοβεῖν. ‖ 4. οὗ. οὐ O. ‖ 5. ἐκπλήττειν. ἐκπλείττειν M. ‖ τῷ — βιοῦν mrg. add. in M. ‖ 7. πεποιθότος. πεποιθότως B. ‖ 10. ἀποδρᾶναι θέλειν. sic dedi. ἀποδιδρᾶν ἐθέλειν BONM (at litura inter haec verba). vm, ἀποδιδρᾶν ἐθέλην C, ἀποδιδρᾶναι ἐθέλειν var. l. v, ἀποδιδρᾶναι θέλειν r. ‖ αἰδουμένους. ἀδομένους C. — 26, 2. φρόνιμον. σωφρονικὸν C. ‖ 3. ὁρῶν. ὅρων M. ‖ ὅτι καί. καὶ om. B. ‖ 4. δειλότατα. δηλότατα M. ‖ ἀγεννέστατα. ἀγενέστατα BM. — 27, 1. ὤν. ὧν M. ‖ 2. καὶ εἰδὼς om. BMO. v. ‖ 3. ἐλπίζει. ἐλπίζειν C. ‖ 4. μέν. μὲν οὖν B.

ὥστ' ἐπ' αὐτῷ εἶναι τὸ πολεμεῖν· εἰρηνικὸς δὲ οὕτως, ὡς
μηδὲν ἀξιόμαχον αὐτῷ λείπεσθαι. καὶ γὰρ δὴ καὶ τόδε οἶδεν, 53 R.
ὅτι τοῖς κάλλιστα πολεμεῖν παρεσκευασμένοις, τούτοις μάλι-
28 στα ἔξεστιν εἰρήνην ἄγειν. φιλέταιρος δὲ καὶ φιλοπολίτης
καὶ φιλοστρατιώτης ὁμοίως πέφυκεν. ὅστις μὲν γὰρ ὑπερό-
πτης τῶν στρατευομένων, καὶ οὐδεπώποτε ἢ σπανίως ἑώρακε
τοὺς ὑπὲρ τῆς ἀρχῆς κινδυνεύοντας καὶ πονοῦντας, τὸν δὲ
ἀνόνητον καὶ ἄνοπλον ὄχλον διατελεῖ θωπεύων· ὅμοιόν γε
πέπονθε, καθάπερ εἰ ποιμὴν τοὺς [μὲν] συμφυλάττοντας
αὐτῷ κύνας ἀγνοοίη, καὶ μήτε τροφὴν αὐτοῖς ὀρέγοι μήτε
συναγρυπνήσειέ ποτε φυλάττουσιν. οὗτος γὰρ οὐ τὰ θηρία
μόνον, ἀλλὰ καὶ τοὺς κύνας ἀναπείθει μὴ ἀπέχεσθαι τῆς 7 M.
29 ποίμνης. ὅστις δὲ τοὺς μὲν στρατιώτας διαθρύπτει, μήτε
γυμνάζων μήτε πονεῖν παρακελευόμενος, τῶν δὲ ἄλλων ἀν-
θρώπων ἠμέλησεν, ὅμοιός ἐστι κυβερνήτῃ τοὺς μὲν ναύτας
διαφθείροντι πλησμονῇ τε καὶ ὕπνῳ δι' ἡμέρας, τῶν δὲ ἐπι-
30 βατῶν καὶ τῆς νεὼς ἀπολλυμένης οὐδὲν φροντίζοντι. εἰ δέ
τις πρὸς μὲν ταῦτα ἔχοι μετρίως, τοὺς δὲ πλησίον αὐτῷ καὶ
φίλους καλουμένους ἀτιμάζοι τε καὶ μὴ σκοποῖ τοῦτο, ὅπως
δόξουσι μακάριοι καὶ ζηλωτοὶ πᾶσι, λανθάνει προδότης αὐ- 54 R.
τοῦ καὶ τῆς ἀρχῆς γιγνόμενος· τοὺς μὲν ὄντας φίλους ἀθύ-
μους ποιῶν, τῶν δὲ ἄλλων μηδένα ἐπιθυμεῖν τῆς αὐτοῦ φιλίας·
ἀποστερῶν δὲ αὑτὸν τοῦ καλλίστου καὶ ὠφελιμωτάτου κτήμα-
31 τος, φιλίας. τίς μὲν γὰρ ἀοκνότερος πονεῖν, ὅταν τούτου
καιρὸς ᾖ, φίλου; τίς δὲ συγχαίρειν ἑτοιμότερος ἐν ταῖς εὐτυ-

5. ὥστ' BM, ὥστε reliq. ‖ τὸ πολεμεῖν BCMON. Interpr. r, τῷ πολεμεῖν v m. — 28, 1. φιλέταιρος. φιλότερος N. ‖ 3. οὐδεπώποτε. οὐδέποτε BC. ‖ 5. ἀνόνητον Reisk., ἀνόνιτον N, ἀνόητον reliq. ‖ διατελεῖ. ἀεὶ (mrg. vulg.) M. ‖ θωπεύων. θεραπέβων C, θεραπεύων mrg. m. ‖ 6. πέπονθε. πέπονθεν C. ‖ [μὲν] aut delendum, aut deest aliquid. Reisk. ‖ 7. αὐτῷ κύνας. sic dedi. κύνας om. reliq. ‖ ἀγνοοίη. ἀγνωοίη C, ἀγνοῇ (mrg. vulg.) M. ‖ μήτε CON. Casaub. r, μήτ' εἰ BM. vm. — 29, 3. ἐστι. ἐστιν C. ‖ ναύτας. αὔτας C. ‖ 4. δι'. δὴ C. ‖ 5. νεώς. sic dedi. νέως (mrg. νηὸς) M, νηὸς reliq. — 30, 2. ἔχοι BMON (corr. ἔχει), ἔχει reliq. ‖ 3. ἀτιμάζοι. sic dedi. ἀτιμάζει Iacobs. Add. p. 286, ἀναγκάζοι BM. vm, ἀναγκάζει reliq. ‖ σκοποῖ. σκοπεῖ vmr. ‖ 4. δόξουσι C. Iacobs., δόξουσιν M, δόξωσι reliq. ‖ ζηλωτοί. ζηλωταὶ N. ‖ αὐτοῦ. αὑτοῦ B MON. ‖ 5. γιγνόμενος MO, γινόμενος BC, γενόμενος reliq. ‖ 6. ἐπιθυμεῖν. ὧν ἐπὶ θῦμ C. ‖ 7. αὑτὸν Iacobs., αὐτὸν reliq. — 31, 1. πονεῖν. συμπονεῖν Geel. ‖ τούτου C. Casaub., τοιούτου reliq. ‖ 2. ᾖ. ἡ M. ‖ τίς δὲ συγχαίρειν ἑτοιμότερος ἐν ταῖς εὐτυχίαις; τίς δὲ δυσχεραίνειν ἐν ταῖς ἀτυχίαις. sic dedi secutus

χίαις; τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις; ὁ
παρὰ τίνος δὲ ἔπαινος ἡδίων, ἢ τῶν φίλων; παρὰ τίνος δὲ
τἀληθὲς ἀλυπότερον; τίς δὲ φρουρά; ποῖα δὲ ἐρύματα; ποῖα
δὲ ὅπλα βεβαιότερα καὶ κρείττω τῆς ἀπὸ τῶν εὐνοούντων
32 φυλακῆς; ὁπόσους γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρους, τοσού-
τοις μὲν ὀφθαλμοῖς, ἃ βούλεται, ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς,
ἃ δεῖ, ἀκούει, τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν
συμφερόντων. διαφέρει γὰρ οὐδὲν, ἢ εἴ τῳ θεὸς ἐν σῶμα
ἔχοντι πολλὰς ψυχὰς ἔδωκεν, ἁπάσας ὑπὲρ ἐκείνου προνοου-
33 μένας. ἵνα δὲ τὰ πολλὰ ἀφεὶς εἴπω τὸ φανερώτατον σημεῖον·
τοιοῦτός ἐστιν ὁ χρηστὸς βασιλεὺς, ὃν οἱ ἀγαθοὶ ἄνδρες οὐκ
αἰσχύνονται ἐπαινοῦντες οὔτε τὸν παρόντα χρόνον, οὔτε τὸν 55 R.
ὕστερον. καὶ μέντοι καὶ αὐτὸς, οὐ τὸν παρὰ τῶν βαναύσων
καὶ ἀγοραίων ἀγαπᾷ ἔπαινον, ἀλλὰ τὸν παρὰ τῶν ἐλευθέρων
34 καὶ γενναίων, οἷς οὐκ ἄξιον ζῆν ψευσαμένοις. τίς οὖν οὐκ
ἂν μακαρίσειε τὸν τοιοῦτον ἄνδρα τε καὶ βίον; πόθεν δὲ οὐκ
ἂν ἔλθοιεν ἐπ' ἐκεῖνον ὀψόμενοί τε αὐτὸν καὶ ἀπολαύσοντες
τῆς καλῆς διανοίας καὶ ἀγαθῆς; τί μὲν γὰρ σεμνότερον θέ-
αμα γενναίου καὶ φιλοπόνου βασιλέως; τί δὲ ἥδιον ἡμέρου
καὶ προσφιλοῦς, ἅπαντας μὲν εὖ ποιεῖν ἐπιθυμοῦντος, ἅπαν- 8 M.
35 τας δὲ δυναμένου; τί δὲ λυσιτελέστερον ἴσου καὶ δικαίου;
τίνος μὲν γὰρ ὁ βίος ἀσφαλέστερος, ἢ ὃν πάντες ὁμοίως φυ-
λάττουσιν; ὁ τίνος δὲ ἡδίων, ἢ τοῦ μηδένα ἐχθρὸν ἡγουμένου;
ὁ τίνος δὲ ἀλυπότερος, ἢ τοῦ μηδὲν ἔχοντος αὐτὸν αἰτιάσα-

Reisk., nisi quod ille enuntiationum ordinem invertit. τίς δὲ δυσχεραίνειν ἐν ταῖς ἀτυχίαις om. COM (mrg. δυσχεραίνειν pro συγχαίρειν), τίς δὲ συγχαίρειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις B, τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς εὐτυχίαις v, τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις reliq. ‖ 3. ὁ παρὰ τίνος. ὁ παρά τινος M, παρὰ τίνος (om. ὁ) C. ‖ 4. παρὰ τίνος δὲ. παρά τινος δὲ M. ‖ 5. ποῖα δὲ ἐρύματα; ποῖα om. B, ποῖα ἐρύματα. ποίων καὶ ἐρυμάτων C, ut videtur. ‖ ποῖα δὲ ὅπλα CMON, [ὁποίων] ποῖα δὲ ὅπλα mr, ὁποίους ποῖα δὲ ὅπλα v. ‖ 6. κρείττω. κρείττων C. — 32, 1. ὁπόσους. ὁποίους C. ‖ ᾖ. ἢ M. ‖ 5. ἔδωκεν. δέδωκεν M. ‖ ἐκείνου. αὐτοῦ (mrg. vulg.) M. — 33, 5. ἔπαινον BCMN. Reisk., τὸν ἔπαινον reliq. ‖ 6. ζῆν C, τὸ ζῆν reliq. (at in M. a corr. add.) ‖ ψευσαμένοις. ψευσαμένους C. — 34, 2. μακαρίσειε C, μακαρίσειεν reliq. ‖ 3. ὀψόμενοι. malim οἱ ὀψόμενοι. ‖ ἀπολαύσοντες. ἀπολαύσαντες M. ‖ 4. γὰρ om. C, in M a corr. add. ‖ 5. ἥδιον. ἡδεῖον M. ‖ 6. ἅπαντας Reisk., πάντας reliq. ‖ εὖ. δὴν C. — 35, 1. ἴσου. ἴσον C. ‖ 2. τίνος μὲν — ἡγουμένου om. C. ‖ 3. ὁ τίνος Reisk., ὁ om. reliq. ‖ 4. μηδὲν. διὰ μηδὲν CM (at corr. vulg.). ‖ 4. αὐτὸν. αὐτὸν BM.

σθαι; τίς δὲ εὐτυχέστερος ἐκείνου τοῦ ἀνδρὸς, ὅστις ἀγαθὸς
36 ὢν οὐδένα λανθάνει; ἐγὼ μὲν οὖν ἁπλῶς εἶπον τὰ περὶ τὸν
ἀγαθὸν βασιλέα. τούτων δὲ εἴ τι φαίνεται προσήκειν σοι,
μακάριος μὲν αὐτὸς τῆς εὐγνώμονος καὶ ἀγαθῆς φύσεως,
37 μακάριοι δὲ ἡμεῖς οἱ συμμετέχοντες. μετὰ δὲ τὸν νῦν εἰρημέ-
νον λόγον ἐγὼ μὲν ἐπεθύμουν διελθεῖν περὶ τοῦ μεγίστου καὶ 56 R.
πρώτου βασιλέως καὶ ἄρχοντος, ὃν χρὴ μιμουμένους ἀεὶ τοὺς
θνητοὺς καὶ τὰ τῶν θνητῶν διέποντας ἐπιμελεῖσθαι, πρὸς
ἐκεῖνον, ὡς δυνατόν ἐστιν, εὐθύνοντας καὶ ἀφομοιοῦντας τὸν
38 αὐτῶν τρόπον. διὰ τοῦτο γὰρ καὶ Ὅμηρος διοτρεφέας εἶναί
φησι τοὺς ἀληθῶς βασιλέας καὶ Διὶ τὴν βουλὴν ὁμοίους, καὶ
τὸν Μίνω, μεγίστην ἔχοντα δόξαν ἐπὶ δικαιοσύνῃ, τοῦ Διὸς
ὁμιλητὴν ἔφη γενέσθαι. καὶ σχεδὸν ὅσοι πώποτε ἐν Ἕλλησιν
ἢ βαρβάροις γεγόνασι βασιλεῖς οὐκ ἀνάξιοι τυγχάνειν ταύτης
τῆς προσηγορίας, τοῦ θεοῦ τούτου μαθητάς τε καὶ ζηλωτὰς
39 ὁ λόγος αὐτοὺς ἀποφαίνεται. Ζεὺς γὰρ μόνος θεῶν πατὴρ
καὶ βασιλεὺς ἐπονομάζεται καὶ Πολιεὺς καὶ Φίλιός τε καὶ
Ἑταιρεῖος καὶ Ὁμόγνιος· πρὸς δὲ τούτοις Ἱκέσιός τε καὶ Φύ-
ξιος καὶ Ξένιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις ἔχων, πάσας
40 ἀγαθὰς καὶ ἀγαθῶν αἰτίας· βασιλεὺς μὲν κατὰ τὴν ἀρχὴν
καὶ τὴν δύναμιν ὠνομασμένος· πατὴρ δὲ, οἶμαι, διά τε τὴν
κηδεμονίαν καὶ τὸ πρᾷον· Πολιεὺς δὲ κατὰ τὸν νόμον καὶ
τὸ κοινὸν ὄφελος· Ὁμόγνιος δὲ διὰ τὴν τοῦ γένους κοινωνίαν 57 R.
θεοῖς τε καὶ ἀνθρώποις· Φίλιος δὲ καὶ Ἑταιρεῖος, ὅτι πάν-
τας ἀνθρώπους ξυνάγει, καὶ βούλεται εἶναι ἀλλήλοις φίλους,
41 ἐχθρὸν δὲ ἢ πολέμιον μηδένα· Ἱκέσιος δὲ ὡς ἂν ἐπήκοός τε 9 M.
καὶ ἵλεως τοῖς δεομένοις· Φύξιος δὲ διὰ τὴν τῶν κακῶν ἀπό-
φευξιν· Ξένιος δὲ, ὅτι καὶ τοῦτο ἀρχὴ φιλίας, μηδὲ τῶν ξένων
ἀμελεῖν μηδὲ ἀλλότριον ἡγεῖσθαι μηδένα ἄνθρωπον· Κτήσιος
δὲ καὶ Ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος καὶ δοτὴρ πλού-
του καὶ κτήσεως, οὐ πενίας οὐδὲ ἀπορίας· ὡς εὐθὺς ἁπάσας

5. εὐτυχέστερος. malim εὐκλεέστερος vel ἐπικυδέστερος. ‖ ὅστις ἀγαθὸς ὢν C M (mrg. ὃς τῶν ἀγαθῶν). mrg. m, ὅς τῶν ἀγαθῶν reliq. — 36, 3. καὶ ἀγαθῆς. καὶ om. C. ‖ 4. ἡμεῖς BC. Casaub., ὑμεῖς reliq. — 37, 1. νῦν BMN. Reisk., νοῦν C, γοῦν reliq. ‖ 5. ἀφομοιοῦντας. ἀφομοιοῦντα C. ‖ 6. αὐτῶν. αὐτῶν BM, αὐτὸν C. — 38, 2. ὁμοίους. ὁμοίως C. ‖ 3. Μίνω. μείνω M. ‖ 4. πώποτε. ποτε C. ‖ 5. γεγόνασι. γεγόνασιν CM. — 39, 3. καὶ Φύξιος om. C, in M mrg. adscript. — 40, 3. τὸν νόμον. τὸ νόμιμον vel ἔννομον Reisk. ‖ 4. κοινὸν ὄφελος. malim κοινωφελές. — 41, 1. ἂν ἐπήκοος. ἀνεπήκοός M, ὢν ἐπήκοός Reisk. ‖ 5. ἅτε. τε M.

ταύτας δέον ἐγγενέσθαι τὰς δυνάμεις τῇ τοῦ βασιλέως δυνά-
42 *μει τε καὶ κλήσει. καλὸν οὖν εἰπεῖν ὑπὲρ τῶν ὅλων τῆς διοι-*
κήσεως, ὁποῖόν γε τὸ ξύμπαν· ὡς αὐτό τε εὔδαιμον καὶ σῶφρον
ἀεὶ διαπορεύεται τὸν ἄπειρον αἰῶνα συνεχῶς ἐν ἀπείροις πε-
ριόδοις μετὰ ψυχῆς τε ἀγαθῆς καὶ δαίμονος ὁμοίου καὶ προ-
νοίας καὶ ἀρχῆς τῆς δικαιοτάτης τε καὶ ἀρίστης, ἡμᾶς τε
ὁμοίους παρέχεται κατὰ φύσιν κοινὴν τὴν αὐτοῦ καὶ τὴν ἡμε-
τέραν, ὑφ' ἑνὶ θεσμῷ καὶ νόμῳ κεκοσμημένους καὶ τῆς αὐτῆς 58 R.
43 *μετέχοντας πολιτείας. ἣν ὁ μὲν τιμῶν καὶ φυλάττων καὶ*
μηδὲν ἐναντίον πράττων, νόμιμος καὶ θεοφιλὴς καὶ κόσμιος·
ὁ δὲ ταράττων, ὅσον ἐφ' ἑαυτῷ, καὶ παραβαίνων καὶ ἀγνοῶν,
ἄνομος καὶ ἄκοσμος, ὁμοίως μὲν ἰδιώτης, ὁμοίως δὲ καὶ ἄρχων
ὀνομαζόμενος· πολὺ δὲ μείζων καὶ φανερωτέρα πᾶσιν ἡ παρὰ
44 *τοῦ ἄρχοντος πλημμέλεια. ὥσπερ οὖν ὅσοι στρατηγοί τε καὶ*
ἄρχοντες στρατοπέδων καὶ πόλεων καὶ ἐθνῶν, ὅστις ἂν τὸν
σὸν μάλιστα μιμῆται τρόπον, καὶ τοῖς σοῖς ἤθεσιν ὅμοιον
αὐτὸν, ὡς δυνατὸν, φαίνηται παρέχων, οὗτος ἂν εἴη σοὶ πάν-
των ἑταιρότατος καὶ προσφιλέστατος· εἰ δέ τις ἐναντίος καὶ
ἀνόμοιος γίγνοιτο, δικαίως ἂν τυγχάνοι μέμψεώς τε καὶ ἀτι-
μίας, καὶ αὐτῆς γε τῆς ἀρχῆς ταχὺ παυσθεὶς παραχωρήσειεν
45 *ἑτέροις ἀμείνοσί τε καὶ ἄμεινον δυναμένοις διοικεῖν· οὕτω δὴ*
καὶ τῶν βασιλέων, ἅτε οἶμαι παρὰ τοῦ Διὸς ἐχόντων τὴν δύ-
ναμιν καὶ τὴν ἐπιτροπὴν, ὃς μὲν ἂν πρὸς ἐκεῖνον βλέπων,
πρὸς τὸν τοῦ Διὸς νόμον τε καὶ θεσμὸν κοσμῆται καὶ ἄρχῃ
δικαίως τε καὶ καλῶς, ἀγαθῆς τυγχάνει μοίρας καὶ τέλους 10 M.
46 *εὐτυχοῦς. ὃς δ' ἂν παραβῇ καὶ ἀτιμάσῃ τὸν ἐπιτρέψαντα*

7. *ἐγγενέσθαι* Reisk., *γενέσθαι* reliq. — 42, 2. *γε τὸ. τε τὸ* (corr. vulg.) M. ‖ *ὡς αὐτό τε.* sic dedi. *αὐτό τε γὰρ* C, *ὡς ἂν αὐτό τε* M (at *ὡς ἂν* add. a corr.). Casaub. r, *ὡς ἂν αὐτός τε* vm. ‖ *εὔδαιμον* CM, *τὸ εὔδαιμον* reliq. ‖ *καὶ σῶφρον ἀεί. καὶ σῶφρον καὶ ἀεὶ* C, *καὶ σοφὸν ἀεὶ* M, *καὶ σῶφρον ὂν ἀεὶ* Casaub. ‖ 3. *διαπορεύεται* M. Reisk, *διαπορέβεται* C, *διαπορεύηται* reliq. ‖ *ἐν. ἓν* M. ‖ 4. *ψυχῆς. τύχης* Geel. conf. Orat. III, 45. ‖ *ὁμοίου* C. Geel., *ὁμοίως* reliq. ‖ 6. *παρέχεται* BCM, *παρέχηται* reliq. ‖ 7. *νόμῳ* BCM. Iacobs., *νόμοις* reliq. ‖ *αὐτῆς. αὐτοῦ* C. — 43, 2. *κόσμιος. κεκοσμημένος* C. ‖ 4. *δε καὶ* C, *δὲ* reliq. ‖ 5. *πολύ. πολλὺ* C. ‖ *μείζων. μεῖζον* C, *μείζω* M. ‖ *παρὰ τοῦ. παρὰ* om. B, *τοῦ* om. N. — 44, 1. *ὥσπερ. ὥσπερ οἶμι* (postr. verb. in rasura) C. ‖ 4. *αὐτόν. αὐτὸν* M. ‖ 7. *αὐτῆς γε* C, *αὐτῆς δὲ* Reisk., *αὐτῆς τε* reliq. ‖ *παυσθεὶς* M. var. l. v, *παυθεὶς* reliq. ‖ 8. *ἑτέροις. ἑταίροις* B. — 45, 3. *καὶ τὴν ἐπιτροπὴν — Διὸς* om. C. ‖ 4. *κοσμῆται* M (corr. *κοσμῇ*), *κοσμῇ* reliq., unde Iacobs. *κοσμῇ τὴν ἀρχήν.*

καὶ δόντα τὴν δωρεὰν ταύτην, οὐδὲν ἀπώνατο τῆς πολλῆς
ἐξουσίας καὶ δυνάμεως, ἢ τοσοῦτον μόνον, ὅσον φανερὸς πᾶσι
γενέσθαι τοῖς καθ' αὑτὸν καὶ τοῖς ὕστερον πονηρὸς καὶ ἀκό-
λαστος ὤν, τὸν μυθευόμενον Φαέθοντος ἀναπληρώσας πότ-
μον· ἅτε ἰσχυροῦ καὶ θείου παρὰ μοῖραν ἐπιβὰς ἅρματος, 59 R.
47 οὐχ ἱκανὸς ὢν ἡνίοχος. λέγει δὲ καὶ Ὅμηρος ὧδέ πως·

ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
τῷδε καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
πάντας ἐπ' ἀνθρώπους, πολλοί δέ μιν ἐσθλὸν ἔειπον.

48 τὸ μὲν οὖν ἐμόν, ὅπερ ἔφην, ἥδιστ' ἂν καὶ προθυμότατα
τοῦτον εἴποιμ' ἂν τὸν λόγον, τὸν ὑπὲρ τοῦ Διός, καὶ τῆς τοῦ
παντὸς φύσεως. ἐπεὶ δὲ πλείων ἐστὶ παντὸς τοῦ καιροῦ τοῦ
παρόντος καὶ δεόμενος ἀποδείξεων ἀκριβεστέρων, αὖθίς ποτε
49 ἴσως γένοιτ' ἂν σχολὴ διελθεῖν αὐτόν. εἰ δ' ἄρα μῦθόν τινα
ἐθέλοις ἀκοῦσαι, μᾶλλον δὲ ὑγιῆ καὶ ἱερὸν λόγον σχήματι
μύθου λεγόμενον, τυχὸν· οὐκ ἄτοπός σοι φανήσεται νῦν τε
καὶ ὕστερον ἐνθυμουμένῳ κατὰ σαυτόν, ὃν ἐγώ ποτε ἤκουσα
γυναικὸς Ἠλείας ἢ Ἀρκαδίας ὑπὲρ Ἡρακλέους διηγουμένης.
50 ὡς γὰρ ἔτυχον ἐν τῇ φυγῇ ποτε ἀλώμενος· καὶ πολλήν γε
χάριν οἶδα τοῖς θεοῖς, ὅτι με οὐκ εἴασαν θεατὴν γενέσθαι 60 R.
πολλῶν καὶ ἀδίκων πραγμάτων· ἐπῄειν δ' οὖν, ὡς ἐδυνάμην, 11 M.
πλείστην γῆν ἐν ἀγύρτου σχήματι καὶ στολῇ, τοῦτο μὲν παρ'
Ἕλληνας, τοῦτο δὲ παρὰ βαρβάρους,

46, 2. καί. sic dedi. ἢ reliq. ‖ ἀπώνατο. ἀπόνατο C. ‖ τῆς C, τῶν ἀπὸ τῆς reliq. ‖ 5. ὤν. τῶν M. ‖ πότμον. ποταμὸν M. var. l. v. ‖ 6. ἅρματος. ὀχήματος C. — 47, 2. ἀπηνής. ἀπήνη καὶ M. ‖ 3. ὀπίσσω. ο πείσω M. ‖ 4. ἀτάρ BC. Reisk. Hom. Od. 19, 331, αὐτὰρ reliq. ‖ τεθνεῶτι. τεθνηῶτι B. ‖ 6. μέν τε C, μέντοι reliq. ‖ 7. δέ μιν. τέ μην C, τέ μιν M. ‖ ἔειπον. εἶπον C. — 48, 1. ἥδιστ' ἄν. ἥδιστα CM. ‖ 3. πλείων ἐστὶ CM. Casaub., πλεῖόν ἐστι reliq. ‖ 4. δεόμενος CM. Casaub., δεομένου B, δεόμενον reliq. ‖ 5. σχολή. σχολῇ MN. mv, in C ambiguum. — 49, 1. μῦθόν τινα ἐθέλοις ἀκοῦσαι. μῦθον ἐθέλοις τινὰ ἀκοῦσαι BC, μῦθόν τινα ἀκοῦσαι ἐθέλοις N. ‖ 2. ὑγιῆ καὶ ἱερόν. καὶ ἱερὸν καὶ ὑγιῆ C, ἱερὸν καὶ ὑγιῆ M. ‖ 3. ἄτοπος. ἄτοπον C. ‖ 4. ἐνθυμουμένῳ. ἐν εὐθυμουμένω M. — 50, 3. πολλῶν καί. καὶ om. M. ‖ δ' οὖν. sic dedi. γοῦν reliq. ‖ ἐδυνάμην. ἐν δυνάμει C. ‖ 4. ἀγύρτου. ἀγυράτου C. ‖ παρ'. παρὰ M.

αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.
51 καὶ δή ποτε ἀφικόμενος εἰς Πελοπόννησον ταῖς μὲν πόλεσιν
οὐ πάνυ προσῄειν, περὶ δὲ τὴν χώραν διέτριβον, ἅτε πολλὴν
ἱστορίαν ἔχουσαν, νομεῦσι καὶ κυνηγέταις, γενναίοις τε καὶ
52 ἁπλοῖς ἤθεσιν, ἐπιμιγνύμενος. καὶ δὴ βαδίζων ὡς ἀφ' Ἡραίας
εἰς Πῖσαν παρὰ τὸν Ἀλφειὸν μέχρι μέν τινος ἐπετύγχανον
τῆς ὁδοῦ, μεταξὺ δὲ εἰς ὕλην τινὰ καὶ δυσχωρίαν ἐμπεσὼν
καὶ πλείους ἀτραποὺς ἐπὶ βουκόλι' ἅττα καὶ ποίμνας φερού- 61 R.
σας, οὐδενὶ συναντῶν οὐδὲ δυνάμενος ἐρέσθαι, διαμαρτάνω
τε καὶ ἐπλανώμην μεσημβρίᾳ σταθερᾷ. ἰδὼν οὖν ἐπὶ ὑψηλῷ
τινι δρυῶν συστροφὴν, οἷον ἄλσους, ᾠχόμην ὡς ἀποψόμενος
53 ἐντεῦθεν ὁδόν τινα ἢ οἰκίαν. καὶ καταλαμβάνω λίθους τέ
τινας εἰκῇ ξυγκειμένους καὶ δέρματα ἱερείων κρεμάμενα καὶ
ῥόπαλα καὶ βακτηρίας, νομέων τινῶν ἀναθήματα, ὡς ἐφαί-
νετο· ὀλίγον δὲ ἀπωτέρω καθημένην γυναῖκα ἰσχυρὰν καὶ
μεγάλην, τῇ δὲ ἡλικίᾳ πρεσβυτέραν, τὰ μὲν ἄλλα ἄγροικον
54 στολὴν ἔχουσαν, πλοκάμους δέ τινας πολιοὺς καθεῖτο. ταύ-
την ἕκαστα ἀνηρώτων. ἡ δὲ πάνυ πρᾴως καὶ φιλοφρόνως
δωρίζουσα τῇ φωνῇ τόν τε τόπον ἔφραζεν, ὡς Ἡρακλέους
ἱερὸς εἴη, καὶ περὶ ἑαυτῆς, ὅτι παῖδα ἔχοι ποιμένα, καὶ πολ-
λάκις αὐτὴ νέμοι τὰ πρόβατα, ἔχειν δὲ μαντικὴν ἐκ μητρὸς
θεῶν δεδομένην, χρῆσθαι δὲ αὐτῇ τούς τε νομέας πάντας
τοὺς πλησίον καὶ τοὺς γεωργοὺς ὑπὲρ καρπῶν καὶ βοσκημά-
55 των γενέσεως καὶ σωτηρίας. καὶ σὺ δὲ ἐπεὶ ἐλήλυθας, ἔφη,
οὐκ ἄνευ θείας τύχης εἰς τόνδε τὸν τόπον, οὐκ ἐάσω σε ἀπελ-

6. ἀκόλους. ἀκώλους v, ἀκολούθους M. var. l. v. conf. Od. 17, 222. ‖ ἄορας. ἄρνας vm. — 51, 1. Πελοπόννησον. πελοπόνησον B. ‖ 2. περί. πε C. ‖ 3. γενναίοις. γενναί C. — 52, 2. Πῖσαν. πίσαν BC, πείσαν M. ‖ τὸν Ἀλφειὸν BCON. mrg. m. r, τὸν ἄλφιον M, τοῦ ἀλφειὸν v, τοῦ Ἀλφειοῦ m. ‖ ἐπετύγχανον CM. Reisk., ἀπετύγχανον reliq. ‖ 4. βουκόλι' CM. mrg. m, βουκώλια var. l. v, βουκολίοις reliq. ‖ ποίμνας CM, ποίμναις reliq. ‖ 5. διαμαρτάνω CM, διημάρτανον reliq. ‖ 6. μεσημβρίᾳ. μεσημβρίας M. ‖ 7. ἄλσους. ἄλσος C. Reisk. — 53, 1. καὶ καταλαμβάνω. in M καὶ add. a corr., καταλαμβάνω οὖν C. ‖ 2. ἱερείων. ἱερίων M. ‖ 3. ἀναθήματα, ὡς ἐφαίνετο. ὡς ἐφαίνετο, ἀναθήματα B. ‖ 4. γυναῖκα. γυναῖκα καὶ (corr. vulg.) M. ‖ 6. πολιούς. πολείους M. — 54, 3. ἔφραζεν. ἔφραξεν C. ‖ 3. Ἡρακλέους ἱερὸς BCM, ἱερὸς Ἡρακλέους reliq. ‖ 4. ἑαυτῆς. αὐτῆς CM (corr. αὑτῆς). ‖ ἔχοι. ἔχει BC. ‖ 5. νέμοι. νέμει C. ‖ ἔχειν. ἔχει N. ‖ 6. αὐτῇ. αὐτὴν C. ‖ 7. καὶ τοὺς γεωργοὺς om. BN, in M obel. notat. ‖ 8. γενέσεως. γεννήσεως C. — 55, 1. ἐπεὶ om. C, in M mrg. adscript. ‖ 2. οὐκ. οὐ γὰρ C. ‖ τόνδε. δὲ M.

θεῖν μάτην. καὶ μετὰ τοῦτο δὴ προέλεγεν, ὅτι οὐ πολὺς χρόνος ἔσοιτό μοι τῆς ἄλης καὶ τῆς ταλαιπωρίας· οὔτε σοί,
56 εἶπεν, οὔτε τοῖς ἄλλοις ἀνθρώποις. ταῦτα δὲ ἔλεγεν, οὐχ ὥσπερ οἱ πολλοὶ τῶν λεγομένων ἐνθέων ἀνδρῶν καὶ γυναικῶν, 62 R. 12 M.
ἀσθμαίνουσα καὶ περιδινοῦσα τὴν κεφαλὴν καὶ πειρωμένη δεινὸν ἐμβλέπειν, ἀλλὰ πάνυ ἐγκρατῶς καὶ σωφρόνως. συμβαλεῖς δέ, ἔφη, ποτὲ ἀνδρὶ καρτερῷ, πλείστης ἄρχοντι χώρας καὶ ἀνθρώπων· τούτῳ μή ποτε ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, εἰ καί σου καταφρονεῖν τινες μέλλοιεν ὡς ἀδολέσχου
57 καὶ πλάνητος. οἱ γὰρ ἀνθρώπων λόγοι καὶ τὰ πάντα σοφίσματα οὐδενὸς ἄξια πρὸς τὴν παρὰ τῶν θεῶν ἐπίπνοιαν καὶ φήμην. ὅσοι γάρ ποτε σοφοὶ καὶ ἀληθεῖς κατ' ἀνθρώπους λόγοι περὶ θεῶν τε καὶ τοῦ ξύμπαντος, οὐκ ἄνευ θείας τε βουλήσεως καὶ τύχης ἐν ψυχῇ ποτε ἀνθρώπων ἐγένοντο [ὡς ἔστι μαθεῖν] διὰ τῶν πρώτων μαντικῶν τε καὶ θείων ἀνδρῶν.
58 οἷον ἐν Θρᾴκῃ τινὰ λέγουσιν Ὀρφέα γενέσθαι Μούσης υἱόν, ἄλλον δὲ ποιμένα ἐν ὄρει τινὶ τῆς Βοιωτίας αὐτῶν ἀκοῦσαι τῶν Μουσῶν. ὅσοι δὲ ἄνευ δαιμονίου κατοχῆς καὶ ἐπιπνοίας λόγους τινὰς ὡς ἀληθεῖς παρ' αὐτῶν ἐκόμισαν εἰς τὸν βίον, ἀτόπους καὶ πονηρούς. ἄκουε δὴ τοῦδε τοῦ μύθου σφόδρα 63 R.
ἐγρηγορώς τε καὶ τὸν νοῦν προσέχων, ὅπως διαμνημονεύσας ἀπαγγείλῃς πρὸς ἐκεῖνον, ᾧ φημί σε συμβαλεῖν. ἔστι δὲ περὶ
59 τοῦδε τοῦ θεοῦ, παρ' ᾧ νῦν ἐσμέν. ἦν μὲν γάρ, ὡς πάντες λέγουσι, Διὸς υἱὸς ἐξ Ἀλκμήνης, βασιλεὺς δὲ οὐ μόνον Ἄργους, ἀλλὰ καὶ τῆς Ἑλλάδος ἁπάσης. τοῦτο δὲ οἱ πολλοὶ οὐκ ἴσασιν, ἀλλ' ὅτι αὐτὸς ἀπεδήμει στρατευόμενος καὶ φυλάττων

3. καὶ μετὰ τοῦτο δὴ mr, καὶ μετὰ τοῦτο δὲ C, καὶ μετὰ τοῦτον δὴ M, καὶ μετὰ τούτων δὴ B N. v. mrg. m. ‖ 4. ἄλης M. Boissonad. ad Phil. Her. p. 477, ἄλης B, ἄλλης reliq. — 56, 1. ταῦτα δέ. δὲ om. C. ‖ 2. ἐνθέων om. N. ‖ 3. περιδινοῦσα. περιδεινοῦσα M. ‖ πειρωμένη. πειρωμένους C. ‖ 4. συμβαλεῖς δέ. δὲ om. C. ‖ 5. ἀνδρὶ Reisk., ἀνδρί τε reliq. ‖ πλείστης. πλείστης τε Reisk. ‖ 6. ὀκνήσῃς. ὀκνήσεις M. ‖ 7. εἰ καί. κἂν C. ‖ μέλλοιεν. μέλοιεν C. ‖ ὡς om. C. — 57, 2. ἐπίπνοιαν C. Casaub., ἐπίνοιαν reliq. ‖ 3. ποτε. τοι (corr. vulg.) M. ‖ 4. θείας τε Reisk., θείας ποτὲ reliq. ‖ 5. ἐγένοντο. ἐγένετο C. ‖ [ὡς ἔστι μαθεῖν] om. CM. — 58, 2. ἄλλον. ἄλλως C. ‖ 3. ἐπιπνοίας. ἐπινοίας M. ‖ 5. ἄκουε δὴ BCM (mrg. διόπερ δὴ ἄκουε), διόπερ ἄκουε δὴ var. l. v, διόπερ δὴ ἄκουε reliq. ‖ τοῦδε. τούτου δὲ mrg. MN. ‖ 6. ἐγρηγορώς. ἐγρηγόρως CN. vm. ‖ 7. ᾧ. ἕ (corr. ωι) C. ‖ σε. γε v. mrg. m. ‖ 8. ᾧ νῦν. ὧν νῦν M, ὧν ἦν C. — 59, 2. λέγουσι. λέγουσιν CM. ‖ 3. ἀλλὰ in M add. a corr.

τὴν ἀρχήν, οἱ δ' Εὐρυσθέα φασὶ βασιλεύειν τότε· ταῦτα μὲν
60 οὖν λέγεται μάτην ὑπ' αὐτῶν. ἐκεῖνος δέ, ὃς ἦν [πάντων φιλοπονώτατος καὶ] πολὺ κρείττων, οὐ μόνον τῆς Ἑλλάδος ἦν βασιλεύς, ἀλλ' ἀπ' ἀνίσχοντος ἡλίου μέχρι δυομένου πάσης ἦρχε γῆς καὶ τῶν ἀνθρώπων ἁπάντων, παρ' οἷς ἱερά ἐστιν
61 Ἡρακλέους. ἦν δὲ καὶ πεπαιδευμένος ἁπλῶς, οὐ πολυτρόπως 64 R.
οὐδὲ περιττῶς σοφίσμασι καὶ πανουργήμασιν ἀνθρώπων κα- 13 M.
κοδαιμόνων. λέγουσι δὲ καὶ ταῦτα περὶ Ἡρακλέους, ὡς
62 γυμνὸς ᾔει, μόνον ἔχων λεοντῆν καὶ ῥόπαλον. τοῦτο δὲ οὕτω λέγουσιν, ὅτι ἐκεῖνος οὔτε χρυσίον οὔτε ἀργύριον οὔτε ἐσθῆτα περὶ πολλοῦ ἐποιεῖτο, ἀλλὰ ταῦτα πάντα ἐνόμιζε τοῦ μηδενὸς ἄξια, πλὴν ὅσον δοῦναι καὶ χαρίσασθαι. πολλοῖς γοῦν οὐ μόνον χρήματα ἄπειρα καὶ γῆν καὶ ἀγέλας ἵππων καὶ βοῶν, ἀλλὰ βασιλείας καὶ πόλεις ὅλας ἐδωρήσατο. ἐπίστευε γὰρ αὑτοῦ πάντα εἶναι καὶ οὐδὲν ἀλλότριον· προσγενέσθαι δὲ τοῖς
63 δοθεῖσι τὴν εὔνοιαν τῶν λαβόντων. οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἀληθές φασιν, ὅτι δὴ περιῄει μόνος ἄνευ στρατιᾶς. οὐ γὰρ δυνατὸν πόλεις τε ἐξαιρεῖν, καὶ τυράννους ἀνθρώπους καταλύειν, καὶ πᾶσι πανταχοῦ προστάττειν χωρὶς δυνάμεως. ὅτι δὲ αὐτουργὸς ἦν καὶ τῇ ψυχῇ πρόθυμος καὶ τὸ σῶμα ἱκανὸς, καὶ πάντων μάλιστα ἐπόνει, μόνον αὐτὸν ἔφασαν βαδίζειν
64 καὶ πράττειν ἅπαντα ὅσα βούλοιτο. καὶ μὴν ὅ γε πατὴρ αὐτοῦ πολλὴν ἐπιμέλειαν ἐποιεῖτο, ὁρμάς τε ἀγαθὰς ἐπιπέμπων καὶ εἰς ὁμιλίας ἀνθρώπων ἀγαθῶν ἄγων. ἐσήμαινε δὲ καὶ δι' οἰωνῶν καὶ δι' ἐμπύρων καὶ διὰ πάσης μαντικῆς ἕκαστα.

5. οἱ δ' BCON. r, οὐ δ' M. vm. ‖ τότε. ταῦτα μὲν οὖν λέγεται μάτην ὑπ' αὐτῶν. ἐκεῖνος δέ, ὃς ἦν [πάντων φιλοπονώτατος καὶ] πολὺ κρείττων, οὐ μόνον. sic dedi. τότε, ὃς ἦν πάντων φιλοπονώτατος καὶ πολὺ κρείττων τῶν ἐκεῖ. ταῦτα δὴ λέγεται μάτην ὑπό των. ἐκεῖνος δὲ οὐ μόνον vulgo. ‖ ταῦτα μὲν οὖν BCM (corr. ταῦτα δή), ταῦτα δὴ reliq., ταῦτα δὲ Reisk. ‖ 6. ὑπ' αὐτῶν Iacobs, ὑπό των reliq. — 60, 2. κρείττων. sic dedi. κρείττων τῶν ἐκεῖ reliq. Postrema verba orta e repetitione syllabarum ὑπ' αὐτῶν ἐκεῖνος viam emendandi vel maxime monstrant. In M a prima man. fuerat κρείττων ἐκεῖ, sed τῶν add. a corr. ‖ 3. ἀλλ' ἀπ' ἀνίσχοντος. ἀλλὰ πάντες ἴσχοντος C. ‖ 4. καὶ τῶν. εἰ τῶν v, ἢ τῶν mrg. m, εἰς τῶν Reisk. — 61, 1. πεπαιδευμένος. πεπαιδευμένως M. ‖ πολυτρόπως BMN. Reisk., πολύτροπος reliq. ‖ 2. περιττῶς Reisk., περιττοῖς Iacobs., περιττὸς reliq. ‖ 4. ᾔει. εἴη BCM. var. l. v. — 62, 1. οὔτω M, οὕτως reliq. — 63, 7. βούλοιτο. βούλετο C. — 64, 2. ἐποιεῖτο. ἐπιεῖτο M. ‖ ὁρμάς τε ἀγαθὰς ἐπιπέμπων καὶ εἰς ὁμιλίας ἀνθρώπων ἀγαθῶν ἄγων. ὁρμάς τε διδοὺς ἀγαθῶν ἀγώνων (ceteris omiss.) C. ‖ 3. ἐσήμαινε. sic dedi. ἐσήμηνε reliq. ‖ δὲ καί. τε C. ‖ 4. καὶ διὰ πάσης. καὶ om. N. ‖ μαντικῆς. μαντικὴ mrg. m.

65 ἐπειδὴ δὲ ἑώρα βουλόμενον ἄρχειν αὐτὸν, οὐ τῶν ἡδονῶν
οὐδὲ τῶν πλεονεξιῶν ἐπιθυμοῦντα, ὧν ἕνεκεν οἱ πολλοὶ τούτου
ἐρῶσιν, ἀλλ' ὡς ἂν δύνηται πλεῖστα καὶ πλείστους εὖ ποιεῖν·
ἐπιστάμενος αὐτοῦ γενναίαν οὖσαν τὴν φύσιν, ὅμως δὲ ὑπο- 65 R.
νοῶν ὅσον ἦν ἐν αὐτῷ θνητὸν, καὶ ὅτι πολλὰ παραδείγματα
ἐν ἀνθρώποις πονηρὰ εἴη τρυφῆς καὶ ἀκολασίας, καὶ πολλὰ
παρατρέπουσιν ἄκοντα τὸν πεφυκότα ὀρθῶς ἔξω τῆς αὐτοῦ
φύσεώς τε καὶ γνώμης· ταῦτα λογιζόμενος, Ἑρμῆν ἔπεμψε,
66 κελεύσας, ἃ δεῖ ποιεῖν. ὁ δὲ, ἀφικόμενος εἰς Θήβας, ἔνθα
νέος ὢν ἐτρέφετο Ἡρακλῆς, ἔφραζέ τε, ὅς εἴη καὶ παρ' ὅτου
πεμφθείς, καὶ ἄγει λαβὼν αὐτὸν ἄφραστον καὶ ἄβατον ἀν-
θρώποις ὁδὸν, ἕως ἦλθεν ἐπί τινα ὑπεροχὴν ὄρους περιφανῆ 14 M.
καὶ σφόδρα ὑψηλὴν, τὰ δὲ ἔξωθεν δεινῶς ἀπότομον κρημνοῖς
ὀρθίοις καὶ βαθείᾳ φάραγγι, ποταμοῦ κύκλῳ περιῤῥέοντος
πολὺν ψόφον τε καὶ ἦχον ἀναδιδόντος, ὡς τοῖς κάτωθεν
ἀναβλέπουσι μίαν ὁρᾶσθαι τὴν ἄνω κορυφήν· τὸ δὲ ἀληθὲς
ἦν δίδυμος ἐκ μιᾶς ῥίζης, καὶ πολύ γε ἀλλήλων διεστήκεσαν.
67 ἐκαλεῖτο δὲ αὐτῶν ἡ μὲν βασίλειος ἄκρα, ἱερὰ Διὸς βασιλέως·
ἡ δὲ ἑτέρα τυραννικὴ, Τυφῶνος ἐπώνυμος. δύο δὲ εἶχον
ἔξωθεν ἐφόδους εἰς αὐτὰς, μίαν ἑκατέρα. ἡ μὲν βασίλειος 66 R.
ἀσφαλῆ καὶ πλατεῖαν, ὡς ἀκινδύνως τε καὶ ἀπταίστως δι'
αὐτῆς εἰσιέναι ἐφ' ἅρματος ἐλαύνοντα, εἴ τῳ δεδομένον εἴη
παρὰ τοῦ μεγίστου θεῶν· ἡ δὲ ἑτέρα στενήν τε καὶ σκολιὰν
καὶ βίαιον, ὡς τοὺς πλείστους πειρωμένους αὐτῆς οἴχεσθαι
κατὰ τῶν κρημνῶν καὶ τοῦ ῥεύματος, ἅτε, οἶμαι, παρὰ δίκην
68 ἰόντας. φαίνεται μὲν οὖν, ὅπερ ἔφην, τοῖς πολλοῖς, ἅτε ὁρῶσι
μακρόθεν, ἄμφω μία τε καὶ ἐν ταὐτῷ σχεδὸν, ὑπερέχει δὲ

65, 1. ἐπειδὴ δὲ. ἐπεὶ δὲ CM (corr. vulg.). ‖ αὐτὸν. sic dedi. ἑαυτοῦ reliq. ‖ 2. οὐδὲ om. N. ‖ τούτου. sic dedi. πλούτου reliq. ‖ 5. ὅτι πολλὰ. ὅτι BN, ὅτε M. ‖ 6. ἐν ἀνθρώποις om. BN, in M obel. notat. ‖ πολλὰ Iacobs., πολλοὶ reliq. ‖ 7. πεφυκότα CM (mrg. πεφυλαγμένον). A. mrg. m, πεφυλαγμένον reliq., unde μὴ πεφυλαγμένον Iacobs. — 66, 2. ἔφραζέ. ἔφραξέ M. ‖ παρ' ὅτου BC. mrg. m, παρὰ τοῦ M, παρά του reliq. ‖ 3. πεμφθείς. πεμφείη C. ‖ 4. ὄρους. ὅρους M. ‖ περιφανῆ. περιφανοῦς C. mrg. m. ‖ 7. πολὺν. πολλὴν C. ‖ 9. γε. τε (corr. vulg.) M. — 67, 2. τυραννικὴ. ἡ τυραννικὴ Reisk. ‖ Τυφῶνος. τύφωνος M. ‖ 3. αὐτάς. sic dedi. αὐτὰς reliq. ‖ μίαν ἑκατέρα Reisk., ἑκατέρας C, ἑκατέρα reliq. ‖ 4. ἀσφαλῆ καὶ πλατεῖαν BC. Reisk., ἀσφαλὴ καὶ πλατεῖα M, ἀσφαλὴς καὶ πλάτεια reliq. ‖ ἀπταίστως. ἀπτίστως M. ‖ 6. στενήν. στενὴ C. — 68, 2. ταὐτῷ. αὐτῷ C.

ἡ βασίλειος κορυφὴ τοσοῦτον, ὥστε ἐκείνη μὲν ἐπάνω τῶν
νεφῶν ἐστιν, ἐν αὐτῷ τῷ τε καθαρῷ καὶ αἰθρίῳ ἀέρι· ἡ δὲ
ἑτέρα πολὺ κατωτέρω περὶ αὐτὴν μάλιστα τὴν τῶν νεφῶν
69 συστροφὴν, σκοτεινὴ καὶ ἀχλυώδης. ἄγων οὖν ἐκεῖσε ὁ Ἑρ-
μῆς ἐπέδειξε τὴν φύσιν τοῦ χωρίου. τοῦ δὲ Ἡρακλέους, ἅτε
νέου καὶ φιλοτίμου, προθυμουμένου θεάσασθαι τὰ ἔνδον·
οὐκοῦν ἕπου, φησὶν, ἵνα καὶ σαφῶς ἴδῃς τὴν διαφορὰν τῶν
70 ἄλλων, ἃ λανθάνει τοὺς ἀνοήτους. ἐπεδείκνυεν οὖν αὐτῷ 67 R.
πρῶτον ἐπὶ τῆς μείζονος κορυφῆς καθημένην ἐν θρόνῳ λαμ-
πρῷ γυναῖκα εὐειδῆ καὶ μεγάλην, ἐσθῆτι λευκῇ κεκοσμημένην,
σκῆπτρον ἔχουσαν οὐ χρυσοῦν οὐδὲ ἀργυροῦν, ἀλλ' ἑτέρας
φύσεως καθαρᾶς καὶ πολὺ λαμπροτέρας· ὁποίαν μάλιστα τὴν
71 Ἥραν γράφουσιν· τὸ δὲ πρόσωπον φαιδρὸν ὁμοῦ καὶ σεμνὸν,
ὡς τοὺς μὲν ἀγαθοὺς ἅπαντας θαῤῥεῖν ὁρῶντας, κακὸν δὲ
μηδένα δύνασθαι προσιδεῖν, μὴ μᾶλλον, ἢ τὸν ἀσθενῆ τὴν
ὄψιν ἀναβλέψαι πρὸς τὸν τοῦ ἡλίου κύκλον· καθεστηκὸς δὲ
καὶ ὅμοιον αὐτῆς τὸ εἶδος ὁρᾶσθαι καὶ τὸ βλέμμα οὐ μετα-
72 τρεπόμενον· πολλὴν δ' εὐφημίαν τε καὶ ἡσυχίαν ἀθόρυβον 15 M.
κατέχειν τὸν τόπον· εἶναι δὲ ἅπαντα μεστὰ καρπῶν τε καὶ
ζώων εὐθηνούντων ἀπὸ παντὸς γένους· παρῆν δὲ καὶ χρυσὸς
αὐτόθι ἄπλετος σεσωρευμένος. καὶ ἄργυρος καὶ χαλκὸς καὶ
σίδηρος. οὐ μὴν ἐκείνη γε οὐδὲν τῷ χρυσῷ προσεῖχεν οὐδὲ
73 ἐτέρπετο, ἀλλὰ μᾶλλον τοῖς καρποῖς τε καὶ ζώοις. ἰδὼν οὖν
αὐτὴν ὁ Ἡρακλῆς ᾐδέσθη τε καὶ ἠρυθρίασε, τιμῶν καὶ σε-
βόμενος, ὡς ἂν ἀγαθὸς παῖς μητέρα γενναίαν. καὶ ἤρετο,
τίς ἐστι θεῶν, τὸν Ἑρμῆν· ὁ δὲ εἶπεν· αὕτη σοι μακαρία δαί-
μων Βασιλεία, Διὸς βασιλέως ἔκγονος. ὁ δὲ Ἡρακλῆς ἐχάρη

3. ὥστε. ὥστ' M. ‖ ἐκείνη. ἐκείνους C. ‖ 4. αἰθρίῳ. ἀθρίῳ C, αἰθερίῳ MN. ‖ 5. κατωτέρω. κατωτέρα CM. ‖ 6. ἀχλυώδης. ἀχλυάδης M. — 69, 1. ὁ Ἑρμῆς BMN, ὁ om. reliq. ‖ 2. τοῦ δὲ C, τοῦτο δὲ ἦν reliq. ‖ 3. τὰ ἔνδον. τἄνδον C. ‖ 5. ἄλλων. ἀκρῶν Casaub., ἄνω Iacobs. — 70, 2. πρῶτον. πρῶτον μὲν Geel. ‖ καθημένην. καθ' ἣ μὲν ἦν M. ‖ 3. μεγάλην. μεγάλης C. ‖ 4. ἔχουσαν. ἔχουσα C. ‖ χρυσοῦν. χρυσὸν C. ‖ ἀργυροῦν. ἀργυρὸν C. ‖ ἀλλ'. ἀλλὰ C. ‖ 6. γράφουσιν. γράφουσαν C. — 71, 1. ὁμοῦ. νόμου M. ‖ 2. κακὸν CM. var. l. v, κακῷ N, κακῶν reliq. ‖ 3. μὴ. καὶ N. ‖ 5. ὅμοιον. ὅμοιον ἀεὶ Iacobs., ὁμαλὸν Geel., σεμνὸν Fabric. (Reisig.) ad Plut. T. Gracch. p. 59. ‖ αὐτῆς BCM. Fabric. l. l., αὐτῇ reliq. — 72, 2. κατέχειν. malim κατέχουσαν. ‖ εἶναι δέ. malim ἦν δὲ. ‖ ἅπαντα. ἅπαντας M. mrg. m. ‖ μεστά. μετὰ M. mrg. m. ‖ 3. εὐθηνούντων. εὐθυνούντων B. — 73, 3. ἀγαθὸς παῖς. ἀγαθός τις παῖς C. ‖ 5. Διός. δεῖ ὡς M.

καὶ ἐθάῤῥησε πρὸς αὐτήν. καὶ αὖθις ἐπήρετο τὰς σὺν αὐτῇ
γυναῖκας· τίνες εἰσίν, ἔφη, ὡς εὐσχήμονες καὶ μεγαλοπρεπεῖς
74 καὶ ἀῤῥενωποί. ἥδε μέν, ἔφη, σοὶ ἡ προσορῶσα γοργόν τε καὶ
πρᾶον, ἐκ δεξιῶν καθημένη, Δίκη, πλείστῳ δὴ καὶ φανερωτάτῳ λάμπουσα κάλλει. παρὰ δὲ αὐτὴν Εὐνομία πάνυ ὁμοία
75 καὶ μικρὸν διαφέρουσα τὸ εἶδος. ἐκ δὲ τοῦ ἐπὶ θάτερα μέρους
γυνὴ σφόδρα ὡραία καὶ ἀβρῶς ἐσταλμένη καὶ μειδιῶσα ἀλύπως· Εἰρήνην καλοῦσιν αὐτήν. ὁ δ' ἐγγὺς οὗτος ἑστηκὼς
τῆς Βασιλείας παρ' αὐτὸ τὸ σκῆπτρον ἔμπροσθεν ἰσχυρὸς
ἀνήρ, πολιὸς καὶ μεγαλόφρων, οὗτος δὲ καλεῖται Νόμος· ὁ
δὲ αὐτὸς καὶ λόγος ὀρθὸς κέκληται, σύμβουλος καὶ πάρεδρος,
οὗ χωρὶς οὐδὲν ἐκείναις πρᾶξαι θέμις οὐδὲ διανοηθῆναι.
76 ταῦτα μὲν οὖν ἀκούων καὶ ὁρῶν ἐτέρπετο καὶ προσεῖχε τὸν
νοῦν, ὡς οὐδέποτε αὐτῶν ἐπιλησόμενος. ἐντεῦθεν δὲ ἐπεὶ
κατιόντες ἐγένοντο κατὰ τὴν τυραννικὴν εἴσοδον· δεῦρο, ἔφη,
θέασαι καὶ τὴν ἑτέραν, ἧς ἐρῶσιν οἱ πολλοί, καὶ περὶ ἧς
πολλὰ καὶ παντοδαπὰ πράγματα ἔχουσι, φονεύοντες ἀλλήλους
καὶ ἐπιβουλεύοντες οἱ ταλαίπωροι, παῖδές τε γονεῦσι πολλάκις καὶ γονεῖς παισὶ καὶ ἀδελφοὶ ἀδελφοῖς, τὸ μέγιστον
κακὸν ἐπιποθοῦντες καὶ μακαρίζοντες, ἐξουσίαν μετὰ ἀνοίας. 16 M.
77 καὶ δὴ πρῶτον μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ἐδείκνυεν, ὡς
μία μὲν ἐφαίνετο, πρόδηλος καὶ αὐτή, σχεδὸν ὁποίαν τὴν 69 R.
πρότερον εἶπον, ἐπισφαλὴς δὲ καὶ παρ' αὐτὸν φέρουσα τὸν
κρημνόν. πολλαὶ δὲ ἄδηλοι καὶ ἀφανεῖς διαδύσεις· καὶ κύκλῳ
πᾶς ὑπόνομος ὁ τόπος καὶ διατετμημένος ὑπ' αὐτόν, οἶμαι,
τὸν θρόνον. αἱ δὲ πάροδοι καὶ ἀτραποὶ πᾶσαι πεφυρμέναι
αἵματι καὶ μεσταὶ νεκρῶν. διὰ δὲ τούτων οὐδεμιᾶς ἦγεν

ἔκγονος. ἔγκονος m. — 74, 2. καθημένη BCM. Reisk., καὶ καθημένη reliq. ‖ 3. πάνυ. πάν N. ‖ 4. εἶδος BM (mrg. κάλλος), ἦθος C, κάλλος reliq. — 75, 2. ἀβρῶς. ἀβρίως (corr. vulg.) ‖ ἐσταλμένη. ἐσσαμένη v. ‖ μειδιῶσα. μηδιῶσα M. ‖ 3. αὐτήν. Post hoc verbum Reiskius φιλίας mentionem desiderat. conf. 82 ἀντὶ δὲ φιλίας κολακεία παρῆν. ‖ 7. οὐδέ. τοῦδε (corr. vulg.) M. — 76, 2. δὲ Reisk., δὴ reliq. ‖ 5. παντοδαπὰ — ταλαίπωροι om. N. ‖ ἔχουσι M, ἔχουσιν reliq. ‖ ἀλλήλους καὶ ἐπιβουλεύοντες om. C. ‖ 6. πολλάκις. πολλάκις ἐπιβουλεύαντες C. ‖ 8. ἐπιποθοῦντες καί. ἐπιποθοῦντας C. ‖ ἀνοίας. ἀνομίας Geel. — 77, 2. καὶ αὐτή. καὶ τοιαύτη Geel., qui infra ὁποίαν πρότερον retinet. ‖ ὁποίαν. ὁποῖον N. ‖ τὴν πρότερον Reisk. (vel τὴν προτέραν), τὴν om. reliq. ‖ 3. δὲ καί. δὲ om. CM. ‖ 5. πᾶς CM (corr. που), που reliq. ‖ 7. δὲ in M a corr. add. ‖ τούτων. τοῦτον M.

αὐτὸν, ἀλλ' ἔξωθεν καθαρωτέραν, ἅτε οἶμαι θεατὴν ἐσόμε-
78 νον. ἐπεὶ δὲ εἰσῆλθον, καταλαμβάνουσι τὴν Τυραννίδα
καθημένην ὑψηλὴν ἐξεπίτηδες, προσποιουμένην καὶ ἀφομοιοῦ-
σαν αὐτὴν τῇ Βασιλείᾳ, πολὺ δὲ, ὡς ἐνόμιζεν, ὑψηλοτέρῳ
καὶ κρείττονι τῷ θρόνῳ, μυρίας τινὰς ἄλλας ἔχοντι γλυφὰς,
καὶ διαθέσει χρυσοῦ καὶ ἐλέφαντος καὶ ἠλέκτρου καὶ ἐβένου
καὶ παντοδαπῶν χρωμάτων πεποικιλμένῳ· τὴν δὲ βάσιν οὐκ ἦν
ἀσφαλὴς ὁ θρόνος οὐδὲ ἡδρασμένος, ἀλλὰ κινούμενός τε καὶ
79 ὀκλάζων. ἦν δὲ οὐδ' ἄλλο οὐδὲν ἐν κόσμῳ διακείμενον, ἀλλὰ 10 R.
πρὸς δόξαν ἅπαντα καὶ ἀλαζονείαν καὶ τρυφήν· πολλὰ μὲν
σκῆπτρα, πολλαὶ δὲ τιάραι καὶ διαδήματα ἐπὶ τῆς κεφαλῆς.
καὶ δὴ μιμουμένη τὸ ἐκείνης ἦθος ἀντὶ μὲν τοῦ προσφιλοῦς
μειδιάματος ταπεινὸν ἐσεσήρει καὶ ὕπουλον· ἀντὶ δὲ τοῦ
80 σεμνοῦ βλέμματος σκυθρωπὸν ὑφεωρᾶτο καὶ ἄγριον. ἵνα
δὲ φαίνοιτο μεγαλόφρων, οὐ προσέβλεπε τοὺς προσιόντας,
ἀλλ' ὑπερεώρα καὶ ἠτίμαζεν. ἐκ δὲ τούτου πᾶσιν ἀπηχθά-
νετο, πάντας δὲ ὑπενόει. καθημένη δὲ ἀτρεμίζειν οὐκ ἐδύ-
νατο, θαμινὰ δὲ κύκλῳ περιέβλεπε, καὶ ἀνεπήδα πολλάκις ἐκ
τοῦ θρόνου. τὸ δὲ χρυσίον αἴσχιστα ἐφύλαττεν ἐν τοῖς κόλ-
ποις, πάλιν δὲ ἐῤῥίπτει φοβηθεῖσα ἀθρόον, εἶτ' εὐθὺς ἥρ-
81 παζεν, ὅ τι ἔχοι τις τῶν παριόντων, καὶ τὸ βραχύτατον. ἡ
δὲ ἐσθὴς παντοδαπὴ, τοῦτο μὲν ἁλουργῶν, τοῦτο δὲ φοινι-
κῶν, τοῦτο δὲ κροκωτῶν· ἦσαν δὲ καὶ λευκοί τινες φαινόμενοι 17 M.
τῶν πέπλων· πολλὰ δὲ καὶ κατέῤῥηκτο τῆς στολῆς. χρώματα
δὲ παντοδαπὰ ὑφίει φοβουμένη καὶ ἀγωνιῶσα καὶ ἀπιστοῦσα
καὶ ὀργιζομένη. καὶ ποτὲ μὲν ὑπὸ λύπης ταπεινή, ποτὲ δὲ

8. καθαρωτέραν BCMN, καθαρωτέρας reliq. — 78, 1. εἰσῆλθον. εἰσῆλθεν vm. ‖ 4. ἄλλας τινὰς CM, ἄλλας om. B, τινὰς ἄλλας ἐπ' ἄλλαις Reisk., τινὰς καλὰς Geel. malim τέ τινας ἄλλας (vel τινὰς ἄλλως). ‖ 5. διαθέσει Reisk., διαθέσεις reliq. ‖ 7. κινούμενος. κεινούμενος M. ‖ 8. ὀκλάζων. ἀκμάζων BMN. — 79, 2. ἀλαζονείαν. ἀλαζονίαν M. ‖ 3. δὲ τιάραι. δέ τι ἄρα M. ‖ 4. ἀντὶ C. Reisk., καὶ ἀντὶ reliq. ‖ 5. ἐσεσήρει BCM. Causab. r, ἐσεσύρου mrg. m, ἐπεσήρου vm. ‖ 6. σεμνοῦ om. N, in M obel. notat. — 80, 2. προσέβλεπε. προσέβλεπεν C. ‖ 3. ὑπερεώρα Reisk., ὑφεώρα reliq. ‖ ἠτίμαζεν. ἐτίμαζεν C. ‖ ἐκ δὲ τούτου BCM, ἐκ τούτου δὲ reliq. ‖ 4. ὑπενόει. sic dedi, ἠγνόει reliq. ‖ ἐδύνατο BCM, ἠδύνατο reliq. ‖ 5. περιέβλεπε C, περιέβλεπεν reliq. ‖ 6. ἐφύλαττεν. ἐφύλατεν M. ‖ 7. ἐῤῥίπτει. ἐῤῥειπτει M. ‖ εἶτ'. εἴτ' M. ‖ ἥρπαζεν. ἥρπασεν C. ‖ 8. ἔχοι. μὴ ἔχοι mrg. m. — 81, 2. ἁλουργῶν. ἁλουργίδων CM (mrg. vulg.). ‖ τοῦτο δὲ φοινικῶν in M mrg. adscript. ‖ 5. ὑφίει m, ἐφίει C, ἠφίει reliq. ‖ ἀπιστοῦσα. ἀπισοῦσα M. ‖ 6. λύπης. λίπης M. ‖ ταπεινή. ταπεινή. ποτὲ δὲ ὑπὸ λύπαις ταπεινή C. ‖ δὲ. δὴ N.

ὑφ' ἡδονῆς μετέωρος ἑωρᾶτο. καὶ νῦν μὲν ἐγέλα τῷ προσώπῳ
82 πάνυ ἀσελγῶς, πάλιν δὲ εὐθὺς ἐθρήνει. ἦν δὲ καὶ ὅμιλος 71 R.
περὶ αὐτὴν γυναικῶν οὐδὲν ἐκείναις ὁμοίων, αἷς ἔφην εἶναι
περὶ τὴν Βασιλείαν· ἀλλ' Ὠμότης καὶ Ὕβρις καὶ Ἀνομία καὶ
Στάσις, αἳ πᾶσαι διέφθειρον αὐτὴν καὶ κάκιστα ἀπώλλυον.
ἀντὶ δὲ Φιλίας Κολακεία παρῆν, δουλοπρεπὴς καὶ ἀνελεύθε-
ρος, οὐδεμιᾶς ἧττον ἐπιβουλεύουσα ἐκείνων, ἀλλὰ μάλιστα
83 δὴ πάντων ἀπολέσαι ζητοῦσα. ὡς δὲ καὶ ταῦτα ἱκανῶς ἐτε-
θέατο, πυνθάνεται αὐτοῦ ὁ Ἑρμῆς, πότερα αὐτὸν ἀρέσειε
τῶν πραγμάτων καὶ ποτέρα τῶν γυναικῶν. ἀλλὰ τὴν μὲν
ἑτέραν, ἔφη, θαυμάζω καὶ ἀγαπῶ, καὶ δοκεῖ μοι θεὸς ἀλη-
θῶς εἶναι, ζήλου καὶ μακαρισμοῦ ἀξία· ταύτην δὲ τὴν ὑστέ-
ραν ἐχθίστην ἔγωγε ἡγοῦμαι καὶ μιαρωτάτην. ὥστε ἥδιστα
ἂν αὐτὴν ὤσαιμι κατὰ τούτου τοῦ σκοπέλου καὶ ἀφανίσαιμι.
84 ταῦτ' οὖν ἐπῄνεσεν ὁ Ἑρμῆς καὶ τῷ Διὶ ἔφρασεν. κἀκεῖνος
ἐπέτρεψεν αὐτῷ βασιλεύειν τοῦ σύμπαντος ἀνθρώπων γένους,
ὡς ὄντι ἱκανῷ. τοιγαροῦν ὅπου μὲν ἴδοι τυραννίδα καὶ τύ-
ραννον, ἐκόλαζε καὶ ἀνῄρει παρά τε Ἕλλησι καὶ βαρβάροις·
ὅπου δὲ βασιλείαν καὶ βασιλέα, ἐτίμα καὶ ἐφύλαττε. καὶ διὰ
τοῦτο τῆς γῆς καὶ τῶν ἀνθρώπων σωτῆρα εἶναι, οὐχ ὅτι τὰ
θηρία αὐτοῖς ἀπήμυνεν· πόσον γὰρ ἄν τι καὶ βλάψειε λέων
ἢ σῦς ἄγριος; ἀλλ' ὅτι τοὺς ἀνημέρους καὶ πονηροὺς ἀνθρώ-
πους ἐκόλαζε, καὶ τῶν ὑπερηφάνων τυράννων κατέλυε καὶ 72 R.
ἀφῃρεῖτο τὴν ἐξουσίαν. καὶ νῦν ἔτι τοῦτο δρᾷ, καὶ βοηθός
ἐστι καὶ φύλαξ σοι τῆς ἀρχῆς, ἕως ἂν τυγχάνῃς βασιλεύων.

7. ἑωρᾶτο. ὥρατα C. — 82, 4. αἳ πᾶσαι. αἳ ἁρπάσασαι Geel. ‖ 5. Κολακεία. κολακία M. ‖ δουλοπρεπής. δουλοπρεπῶς C. ‖ 7. ἀπολέσαι CM (mrg. ἀπολέσθαι). mrg. m. r, ἀπολέσθαι BN. vm. — 83, 1. ὡς δὲ in M a corr. add. ‖ ἐτεθέατο. sic dedi. τεθέατο C, ἐθεᾶτο (corr. ἐθεάσατο) M, ἐθεάσατο reliq. ‖ 2. αὐτόν. αὐτῶν BCM. ‖ 3. τῶν πραγμάτων Reisk., τὰ πράγματα reliq., τῶν πραγμάτων καὶ ποτέρα om. C. ‖ ποτέρα. πότερα M. ‖ 4. ἀληθῶς CM (corr. ἀληθής). mrg. m. var. l. v, ἀληθὴς reliq., ὡς ἀληθῶς Reisk. ‖ 5. ἀξία. ἀξίαν C. ‖ 6. ἐχθίστην. ἐθίστην C. — 84, 3. ὅπου—βαρβάροις om. N. ‖ 6. σωτῆρα εἶναι. σωτὴρ λέγεται Geel. Possit et σωτὴρ καλεῖται. σωτῆρα νομίζομεν εἶναι Reisk., σωτῆρα λέγουσιν εἶναι Iacobs. ‖ 7. ἀπήμυνεν. ἀπήμηνε C. ‖ πόσον CM (corr. πῶς). var. l. v, πῶς reliq. ‖ τι. τις C. mrg. m. ‖ βλάψειε. βλάψοι C. mrg. m. ‖ 8. ἀνημέρους BCN, ἀνιμέρους M, ἀνημένους v, ἀνειμένους mr. ‖ 11. σοι τῆς C, τῆς σῆς B, τῆς reliq. ‖ τυγχάνῃς. τυγχάνοις C.

ΛΟΓΟΣ β

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 *Λέγεταί ποτε Ἀλέξανδρον τῷ πατρὶ Φιλίππῳ, μειράκιον* 18 M.
ὄντα, διαλεχθῆναι περὶ Ὁμήρου μάλα ἀνδρείως καὶ μεγαλο-
φρόνως. οἱ δὲ αὐτοὶ λόγοι οὗτοι σχεδόν τι καὶ περὶ βασι-
λείας ἦσαν. ἐτύγχανε μὲν γὰρ ὁ Ἀλέξανδρος στρατευόμενος
ἤδη μετὰ τοῦ πατρός, καίτοι τοῦ Φιλίππου κωλύοντος· ὁ δὲ
οὐχ οἷός τ' ἦν κατέχειν αὐτόν, ὥσπερ οἱ γενναῖοι σκύλακες
οὐχ ὑπομένουσιν ἀπολείπεσθαι τῶν ἐπὶ θήραν ἐξιόντων, ἀλλὰ
2 *ξυνέπονται, πολλάκις ἀποῤῥήξαντες τὰ δεσμά. ἐνίοτε μὲν* 73 R.
οὖν ταράττουσιν ἐν τῷ ἔργῳ διὰ τὴν νεότητα καὶ τὴν ἐπιθυ-
μίαν φθεγγόμενοι καὶ πρὸ τοῦ καιροῦ τὸ θηρίον ἀνιστάντες·
ἐνίοτε γε μὴν εἷλον αὐτοὶ προπηδήσαντες. τοιαῦτα ἐκεῖνος
ἔπασχε τὸ πρῶτον, ὥστε καὶ τῆς ἐν Χαιρωνείᾳ μάχης τε καὶ
νίκης φασὶν αὐτὸν αἴτιον γενέσθαι, τοῦ πατρὸς ὀκνοῦντος
τὸν κίνδυνον. τότε δ' οὖν ἀπὸ στρατείας ἥκοντες ἐν Δίῳ τῆς
Πιερίας ἔθυον ταῖς Μούσαις, καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων
3 *ἐτίθεσαν, ὅν φασιν ἀρχαῖον εἶναι παρ' αὐτοῖς. ἤρετο οὖν*
αὐτὸν ὁ Φίλιππος ἐν τῇ συνουσίᾳ· διὰ τί ποτε, ὦ παῖ, σφόδρα
οὕτως ἐκπέπληξαι τὸν Ὅμηρον, ὥστε διατρίβεις περὶ μόνον
τῶν ποιητῶν. ἐχρῆν μέντοι μηδὲ τῶν ἄλλων ἀμελῶς ἔχειν·

Oratio II. Comparati sunt BCMN. — 1, 4. *γὰρ ὁ* BMN, *ὁ* om. reliq. ‖ 5. *καίτοι – πατρὸς* in M infim. pag. adscript. ‖ 6. *οὐχ οἷός τ' ἦν κατέχειν*. *οὐ χοῖος τηνὲς κατεχήνει* C. ‖ *αὐτὸν* M, *αὐτὸν* reliq. ‖ 8. *ξυνέπονται*. *συνέπονται* C. — 2, 3. *ἀνιστάντες*. *ἀνιστῶντες* C. ‖ 4. *ἐνιοτέ γε μὴν* Reisk., *ἐνίοτε μὲν* C M, *ἐνίοτε μὴν* reliq. ‖ 5. *ἔπασχε τὸ* BCMN. Casaub. r, *ἐπάσχετο* vm. ‖ *ὥστε*. *ὧ γε* N, *ᾧ γε* A. ‖ *Χαιρωνείᾳ*. *Χερωνείᾳ* B. ‖ 7. *ἀπὸ στρατείας* C. Reisk., *στρατιᾶς* reliq. ‖ *ἐν Δίῳ*. *ἐν δίῳ* vm., *ἐν ἰδίῳ* C. ‖ *τῆς Πιερίας*. *της πιερὶ* C, *τῆς πιερείας* BM. ‖ 9. *παρ'*. *πρὸς* C. — 3, 2. *αὐτόν*. *αὐτὸ* C. ‖ 3. *οὕτως*. *οὕτω* C. ‖ *ὥστε*. *ὧγε* B. mrg. M. N. v, *ὅς γε* mrg. m. ‖ *διατρίβεις*. *διατρίβης* C. ‖ *μόνον*. *μόνον αὐτὸν* Casaub., quod probat Geel.

σοφοὶ γὰρ οἱ ἄνδρες. καὶ ὁ Ἀλέξανδρος ἔφη· ὅτι δοκεῖ μοι,
ὦ πάτερ, οὐ πᾶσα ποίησις βασιλεῖ πρέπειν, ὥσπερ οὐδὲ στολή. 74 R.
4 τὰ μὲν οὖν ἄλλα ποιήματα ἔγωγε ἡγοῦμαι τὰ μὲν συμποτικὰ
αὐτῶν, τὰ δὲ ἐρωτικά, τὰ δὲ ἐγκώμια ἀθλητῶν τε καὶ ἵππων
νικώντων, τὰ δ' ἐπὶ τοῖς τεθνεῶσι θρήνους, τὰ δὲ γέλωτος
ἕνεκεν ἢ λοιδορίας πεποιημένα, ὥσπερ τὰ τῶν κωμῳδιοδιδασ-
5 κάλων καὶ τὰ τοῦ Παρίου ποιητοῦ. ἴσως δέ τινα αὐτῶν καὶ
δημοτικὰ λέγοιτ' ἄν, συμβουλεύοντα καὶ παραινοῦντα τοῖς 19 M.
πολλοῖς καὶ ἰδιώταις, καθάπερ οἶμαι τὰ Φωκυλίδου καὶ Θεό-
γνιδος· ἀφ' ὧν τί ἂν ὠφεληθῆναι δύναιτο ἀνὴρ ἡμῖν ὅμοιος,

πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν;

6 τὴν δέ γε Ὁμήρου ποίησιν μόνην ὁρῶ τῷ ὄντι γενναίαν καὶ
μεγαλοπρεπῆ καὶ βασιλικήν, ᾗ πρέπει τὸν νοῦν προσέχειν ἄν-
δρα μάλιστα μὲν ἄρξειν μέλλοντα τῶν ὅποι ποτὲ ἀνθρώπων·
εἰ δὲ μή, τῶν πλείστων καὶ φανερωτάτων ἀτεχνῶς γε ἐσόμε-
νον κατ' ἐκεῖνον ποιμένα λαῶν. ἢ πῶς οὐκ ἄτοπον, ἵππῳ μὲν
μὴ ἐθέλειν ἢ τῷ ἀρίστῳ χρῆσθαι τὸν βασιλέα, τῶν δὲ ποιη-
7 τῶν καὶ τοῖς ἥττοσιν ἐντυγχάνειν, ὥσπερ σχολὴν ἄγοντα. εὖ
ἴσθι, ἔφη, ὦ πάτερ, ἐγὼ οὐ μόνον ποιητὴν ἕτερον, ἀλλ' οὐδὲ
μέτρον ἄλλο, ἢ τὸ Ὁμήρου ἡρῷον, ἀκούων ἀνέχομαι. πάνυ 75 R.
οὖν ὁ Φίλιππος αὐτὸν ἠγάσθη τῆς μεγαλοφροσύνης, ὅτι δῆ-
λος ἦν οὐδὲν φαῦλον οὐδὲ ταπεινὸν ἐπινοῶν, ἀλλὰ τοῖς τε
8 ἥρωσι καὶ τοῖς ἡμιθέοις παραβαλλόμενος. ὅμως δὲ κινεῖν
αὐτὸν βουλόμενος· τὸν δὲ Ἡσίοδον, ὦ Ἀλέξανδρε, ὀλίγου
ἄξιον κρίνεις, ἔφη, ποιητήν; οὐκ ἔγωγε, εἶπεν, ἀλλὰ τοῦ παν-
τός· οὐ μέντοι βασιλεῦσιν οὐδὲ στρατηγοῖς ἴσως. ἀλλὰ τίσι

4, 2. ἀθλητῶν. ὁ θνητῶν (mrg. vulg.) M. ‖ 3. δ' ἐπί. δὲ ἐπὶ CM. ‖ τεθνεῶσι. τεθνεῶσιν C. ‖ θρήνους. θρόνους M (corr. vulg.). ‖ τὰ δέ. ὁ τὰ C. ‖ 4. ἕνεκεν. οὕνεκεν M. ‖ κωμῳδιοδιδασκάλων. κωμωδιοδασκάλων CM. — 5, 2. λέγοιτ'. λέγοιτο M. ‖ 3. πολλοῖς καί. πολλοῖς ἐν N, πολλοῖς ἢ M. ‖ ἰδιώταις. ἰδιωτε M. ‖ 5. πάντων μέν. πάντα (superscr. πάντων) μὲν γὰρ M. ‖ κρατέειν. κρατειν C. — 6, 2. ᾗ. ἡ M. ‖ ἄνδρα CM (mrg. vulg.), τὸν ἄνδρα mrg. m, τῶν ἄνδρα var. l. v, τῶν ἀνδρῶν reliq. ‖ 5. λαῶν. λαοῦ C. ‖ ἢ πῶς CM (mrg. vulg.), εἰ δὲ μή, πῶς reliq. ‖ ἵππῳ. ἵππον C. ‖ 6. ἐθέλειν. θέλειν C. ‖ 7. ἥττοσιν. ἥτισιν M (mrg. vulg.). — 7, 3. ἢ τό. ἢ του (superscr. ἢ το) M. ‖ ἀνέχομαι M (mrg. ἄχθομαι) mrg. m, ἀνέχωμαι C, ἄχθομαι reliq. ‖ 4. ὁ Φίλιππος αὐτὸν BCM, αὐτὸν ὁ Φίλιππος reliq. ‖ 6. παραβαλλόμενος CM. Toup. Emend. in Suid. I. p. 121, παραβαλλόμενον B. Casaub., παραβαλόμενον reliq. — 8, 2. ὀλίγου ἄξιον C Reisk., ὀλίγου reliq.

μήν; καὶ ὁ Ἀλέξανδρος γελάσας, τοῖς ποιμέσιν, ἔφη, καὶ τοῖς τέκτοσι καὶ τοῖς γεωργοῖς. τοὺς μὲν γὰρ ποιμένας φησὶ φιλεῖσθαι ὑπὸ τῶν Μουσῶν, τοῖς δὲ τέκτοσι μάλα ἐμπείρως παραινεῖ, πηλίκον χρὴ τὸν ἄξονα τεμεῖν, καὶ τοῖς γεωργοῖς,
9 *ὁπηνίκα ἄρξασθαι πίθου. τί οὖν; οὐχὶ ταῦτα χρήσιμα, ἔφη, τοῖς ἀνθρώποις, ὁ Φίλιππος; οὐχ ἡμῖν γε, εἶπεν, ὦ πάτερ, οὐδὲ Μακεδόσι τοῖς νῦν, ἀλλὰ τοῖς πρότερον, ἡνίκα νέμοντες καὶ γεωργοῦντες Ἰλλυριοῖς ἐδούλευον καὶ Τριβαλλοῖς· οὐδὲ τὰ περὶ τὸν σπόρον, ἔφη, καὶ τὸν ἀμητόν, ὁ Φίλιππος, ἀρέσ-* 20 M
κει σοι τοῦ Ἡσιόδου μεγαλοπρεπῶς οὕτως εἰρημένα·

> *Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων,*
> *ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ δυσομενάων.*

10 *πολύ γε μᾶλλον, εἶπεν ὁ Ἀλέξανδρος, τὰ παρ' Ὁμήρῳ γεωρ-* 76 R
γικά. καὶ ποῦ περὶ γεωργίας εἴρηκεν Ὅμηρος; ἤρετο ὁ Φίλιππος· ἢ τὰ ἐν τῇ ἀσπίδι μιμήματα λέγεις τῶν ἀρούντων καὶ θεριζόντων καὶ τρυγώντων; ἥκιστά γε, εἶπεν ὁ Ἀλέξανδρος, ἀλλὰ ἐκεῖνο πολὺ μᾶλλον·

> *οἱ δ', ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν*
> *ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν*
> *πυρῶν ἢ κριθῶν· τὰ δὲ δράγματα ταρφέα πίπτει·*
> *ὡς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες*
> *δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.*

11 *ταῦτα μέντοι ποιῶν Ὅμηρος ἡττᾶτο ὑπὸ Ἡσιόδου, ὁ Φίλιππος εἶπεν· ἢ οὐκ ἀκήκοας τὸ ἐπίγραμμα τὸ ἐν Ἑλικῶνι τὸ ἐπὶ τοῦ τρίποδος·*

> *Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν,*
> *ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον;*

5. *τοῖς ποιμέσιν ἔφη.* ἔφη τοῖς ποιμέσι (spatio post *ποιμέσιν* relicto) M. ‖ 6. *τέκτοσι.* τίκτοσιν M. ‖ 7. *τέκτοσι.* τεκοῦσι (superscr. vulg.) M. ‖ *ἐμπείρως.* ἐμπείρας C, in M addit. a manu recent., sed in spatio a prima relicto. ‖ 9. *ὁπηνίκα.* ὁπονίκα C. — 9, 4. *Ἰλλυριοῖς.* Ἰλλυροῖς C. ‖ 5. ἔφη in M a corr. add. ‖ ὁ. ἔφησεν ὁ (sed ἔφησεν obelo notat.) M. ‖ 7. *Ἀτλαγενέων.* ἀτλωγενάων C, ἀτλαγενάων M. ‖ 8. *ἀμητοῦ.* ἀμητοῖο M, ἀμήτοιο B. ‖ δυσομενάων B, δωλομενάων (superscr. δυσομενάων) M, δυσσομενάων reliq. — 10, 4. *τρυγώντων.* τρυγόντων. C. ‖ 5. *ἐκεῖνο πολὺ.* ἐκεῖνα πολλὰ C. ‖ 6. *οἱ δ'.* οἳ δ' M. ‖ 7. *ὄγμον.* ὄγκον C. ‖ ἐλαύνωσιν m. Hom. Il. 11, 67. ἐλαυνοσιν B, ἐλαύνουσιν C. vr. ‖ 10. *δῄουν.* δηίουν B, δήιουν M. ‖ *οὐδ' ἕτεροι.* οὐδέτεροι v. ‖ *φόβοιο.* φόβοις C. — 11, 1. *μέντοι* CM. Reisk., μὲν reliq. ‖ *ποιῶν Ὅμηρος* CM, Ὅμηρος ποιῶν reliq. ‖ *ἡττᾶτο.* ἡ ταὐτο (mrg. vulg.) M. ‖ 2. *τὸ ἐπὶ.* τὸ in M a corr. add.

12 καὶ μάλα δικαίως, εἶπεν ὁ Ἀλέξανδρος, ἡττᾶτο· οὐ γὰρ ἐν βασιλεῦσιν ἠγωνίζετο, ἀλλ' ἐν γεωργοῖς καὶ ἰδιώταις, μᾶλλον δὲ ἐν ἀνθρώποις φιληδόνοις καὶ μαλακοῖς. τοιγαροῦν ἠμύνατο τοὺς Εὐβοέας διὰ τῆς ποιήσεως Ὅμηρος. πῶς; ἤρετο θαυμάσας ὁ Φίλιππος. ὅτι μόνους αὐτοὺς τῶν Ἑλλήνων περιέκειρεν αἴσχιστα, κομᾶν ὄπισθεν ἀφείς, ὥσπερ οἱ νῦν τοὺς 77 R.
13 παῖδας τοὺς ἁπαλούς. καὶ ὁ Φίλιππος γελάσας λέγει· οἶδας, ὦ Ἀλέξανδρε, ὅτι δεῖ μὴ λυπεῖν τοὺς ἀγαθοὺς ποιητὰς μηδὲ 21 M.
τοὺς δεινοὺς συγγραφέας, ὡς κυρίους ὄντας, ὅ τι βούλονται, περὶ ἡμῶν λέγειν. οὐ πάντως, εἶπε, κυρίους. τῷ γοῦν Στησιχόρῳ ψευσαμένῳ κατὰ τῆς Ἑλένης οὐ συνήνεγκεν. ὁ μέντοι Ἡσίοδος, ὦ πάτερ, δοκεῖ μοι οὐδὲ αὐτὸς ἀγνοεῖν τὴν ἑαυτοῦ
14 δύναμιν, ὅσον ἐλείπετο Ὁμήρου. πῶς λέγεις; ὅτι ἐκείνου περὶ τῶν ἡρώων ποιήσαντος, αὐτὸς ἐποίησε γυναικῶν κατάλογον καὶ τῷ ὄντι τὴν γυναικωνῖτιν ὕμνησε, παραχωρήσας Ὁμήρῳ τοὺς ἄνδρας ἐπαινέσαι. ἐκ τούτου δὴ ἤρετο ὁ Φίλιππος· ἀλλὰ σύ, ὦ Ἀλέξανδρε, πότερον ἕλοιο ἂν Ἀγαμέμνων ἢ Ἀχιλλεὺς
15 ἢ ἐκείνων τις γεγονέναι τῶν ἡρώων, ἢ Ὅμηρος; οὐ μέντοι, ἦ δ' ὃς ὁ Ἀλέξανδρος, ἀλλὰ ὑπερβάλλειν πολὺ τὸν Ἀχιλλέα καὶ τοὺς ἄλλους. οὔτε γὰρ σὲ χείρονα νομίζω τοῦ Πηλέως, οὔτε τῆς Φθίας ἀσθενεστέραν τὴν Μακεδονίαν, οὔτε τὸν Ὄλυμπον ἀδοξότερον ὄρος τοῦ Πηλίου φαίην ἄν· ἀλλὰ μὴν οὐδὲ παι- 78 R.
δείας φαυλοτέρας ἐπιτετύχηκα ὑπ' Ἀριστοτέλους, ἢ ἐκεῖνος ὑπὸ Φοίνικος τοῦ Ἀμύντορος, φυγάδος ἀνδρὸς καὶ διαφόρου τῷ πατρί. πρὸς δὲ αὖ τούτοις ὁ μὲν Ἀχιλλεὺς ὑπήκουεν ἑτέροις, καὶ πέμπεται μετὰ μικρᾶς δυνάμεως οὐ κύριος, ἀλλ' ἄλλῳ συστρατευσόμενος· ἐγὼ δὲ οὐκ ἄν ποτε ὑπὸ ἀνθρώπων οὐδενὸς
16 βασιλευθείην. καὶ ὁ Φίλιππος μικροῦ παροξυνθείς· ἀλλ' οὐχ

12, 1. ἡττᾶτο. ἢ τοῦτο (mrg. vulg.) M. ‖ 6. κομᾶν. κομᾶς C. ‖ ἀφείς. φήσας CM (mrg. vulg.). — 13, 1. λέγει. εἶπεν C. ‖ οἶδας. ἢ δὸς CM (mrg. vulg.). ‖ 3. βούλονται BCMN, βούλωνται reliq. ‖ 4. τῷ. ὦ C. ‖ 5. ὁ μέντοι C, οὐ μέντοι reliq. — 14, 3. τὴν γυναικωνῖτιν. τὴν γυναικωνίτιν M, τὸν γυναικωνῖτιν C, τὴν γυναικαίτιν m, τῶν γυναικῶν τινὰς mrg. m. ‖ ὕμνησε CM, ὕμνησεν reliq. ‖ παραχωρήσας. παραχωρίσας M. ‖ 4. τούς. malim τοῦ. ‖ δή. δὲ B (superscr. vulg.) M. ‖ 5. σύ. καί (mrg. vulg.) M. ‖ 6. γεγονέναι. γέγονέν τι M. — 15, 1. ἦ δ'. ἢ vm. ‖ 5. ὄρος Reisk., ὅρους reliq. ‖ 7. φυγάδος. φυγάδι (superscr. vulg.) M. ‖ διαφόρου. ὅτι φόρου C. ‖ 8. αὖ τούτοις. αὐτοῖς C. ‖ 9. οὐ κύριος ἀλλ' ἄλλῳ M, οὐ κύριος ἀλλ' ἄλω C, οὐ κύριος ἄλλῳ var. l. v. H. Steph., οὐ κύριος, ἄλλῳ δὲ Morell., κυρίως ἄλλῳ reliq. — 16, 1. μικροῦ BCM, μικρὸν reliq. ‖ οὐχ ὑπ'. οὐχ om. B, οὐκ ὑπ' m.

ὑπ' ἐμοῦ γε σὺ βασιλεύῃ, ὦ Ἀλέξανδρε; οὐκ ἔγωγε, εἶπεν. οὐ
γὰρ ὡς βασιλέως, ἀλλ' ὡς πατρὸς ἀκούω σου. σὺ δή που
καὶ θεᾶς φήσεις μητρὸς γεγονέναι σεαυτὸν, ὥσπερ ὁ Ἀχιλ-
λεύς; εἶπεν ὁ Φίλιππος· ἢ Ὀλυμπιάδα συμβαλεῖν ἀξιοῖς Θέ-
τιδι; καὶ ὁ Ἀλέξανδρος ἡσυχῇ μειδιάσας· ἐμοὶ μὲν, εἶπεν, ὦ
17 πάτερ, ἀνδρειοτέρα δοκεῖ πασῶν τῶν Νηρηίδων. ἐνταῦθα
ὁ Φίλιππος γελάσας· οὐκ ἀνδρειοτέρα μόνον, ἔφη, ὦ παῖ,
ἀλλὰ καὶ πολεμικωτέρα· ἐμοὶ γοῦν οὐ παύεται πολεμοῦσα.
ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον ἅμα τι σπουδῇ ἐπαιξάτην. πάλιν
δὲ ἤρετο αὐτὸν ὁ Φίλιππος· ἀλλὰ τὸν Ὅμηρον οὕτω σφόδρα,
ὦ Ἀλέξανδρε, θαυμάζων, πῶς ὑπερορᾷς αὐτοῦ τὴν σοφίαν; 22 M. 79
ὅτι, ἔφη, καὶ τοῦ Ὀλυμπίασι κήρυκος ἥδιστα μὲν ἀκούοιμ'
ἂν φθεγγομένου μέγα καὶ σαφὲς, οὐ μέντοι κηρύττειν ἐβου-
λόμην ἂν αὐτὸς ἑτέρους νικῶντας, ἀλλὰ πολὺ μᾶλλον κηρύτ-
18 τεσθαι. ταῦτα δὲ λέγων ἐποίει φανερὸν, ὅτι τὸν μὲν Ὅμηρον
ἐνόμιζε δαιμόνιον καὶ θεῖον τῷ ὄντι κήρυκα τῆς ἀρετῆς, αὐ-
τὸν δὲ καὶ τοὺς ἄνδρας ἐκείνους ἀθλητάς τε καὶ ἀγωνιστὰς
τῶν καλῶν ἔργων ἡγεῖτο. οὐδὲν μὲν οὖν ἄτοπον, εἶπεν, ὦ
πάτερ, εἰ καὶ ποιητὴς ἀγαθὸς εἴην παρεχούσης τῆς φύσεως.
ἐπεί τοι καὶ ῥητορικῆς δέοι ἂν τῷ βασιλεῖ. σὺ γοῦν ἀντιγρά-
φειν πολλάκις ἀναγκάζῃ καὶ ἀντιλέγειν Δημοσθένει, μάλα
δεινῷ ῥήτορι καὶ γόητι, καὶ τοῖς ἄλλοις τοῖς Ἀθήνησι πολι-
19 τευομένοις. κἂν ἐβουλόμην γε, εἶπεν ὁ Φίλιππος παίζων,
παραχωρῆσαι Ἀθηναίοις Ἀμφιπόλεως ἀντὶ τῆς Δημοσθένους

2. σὺ βασιλεύῃ Reisk., βασιλεύειν C, οὐ βασιλεύῃ reliq. ‖ ὦ Ἀλέξανδρε. ὁ Ἀλέξανδρος C. ‖ 3. βασιλέως. βασιλέα C. ‖ 5. συμβαλεῖν. ξυμβαλεῖν C, οὐ συμβαλεῖν Reisk. (Geel. συμβαλεῖν ἀπαξιοῖς) frustra. ‖ 6. καὶ ὁ BCM, ὁ reliq. ‖ 7. τῶν Νηρηΐδων B, τῶν νηρεΐδων CM, Νηρηΐδων reliq. — 17, 4. ἅμα τι Reisk., ἅμα CM (mrg. ἅμα τῇ), ἅμα τῇ reliq. ‖ πάλιν δέ. πάλιν C. ‖ 6. ὦ Ἀλέξανδρε. ὦ om. CM (addit. a corr.) ‖ 7. ἔφη om. B, obelo notat. in M. ‖ κήρυκος. κήρεικος M. ‖ ἥδιστα μὲν Reisk., ἥδισται εἰ M (corr. ἥδιστ' ἄν), ἥδιστα Casaub., ἥδιστ' ἂν reliq. ‖ 8. ἂν φθεγγομένου. ἀναφθεγγομένου Iacobs. Add. p. 15. ‖ 9. ἂν αὐτός. sic dedi. αὐτὸν m, αὐτὸς reliq. ‖ πολύ. ποτ' ἂν C. — 18, 1. ἐποίει BCM, ἔποις v, ἐποίησε reliq. ‖ τὸν μέν. μὲν om. C. ‖ 2. τῷ ὄντι κήρυκα. κήρυκα τῷ ὄντι M. ‖ 3. ἐκείνους. ἐκείνου C. ‖ 5. εἴην CM. Seld. r, εἶαν mrg. m, εἴη B. vm. ‖ παρεχούσης. παρέχουσαν C. ‖ 6. σὺ γοῦν M (mrg. vulg.). ‖ 7. ἀντιλέγειν CM. Reisk., ἀντιλέγεις reliq. — 19, 1. κἂν. sic dedi. καὶ reliq. ‖ 2. Ἀθηναίοις. τοῖς Ἀθηναίοις M (at τοῖς a corr. add.). ‖ ἀντὶ BCM. Casaub. r, αὐτὸ vm. ‖ Δημοσθένους. δημοσθένησου ut videtur C.

δεινότητος. ἀλλὰ πῶς Ὅμηρον οἴει διανοεῖσθαι περὶ ῥητορικῆς; δοκεῖ μοι, ἔφη, τὸ πρᾶγμα θαυμάζειν, ὦ πάτερ. οὐ γὰρ ἄν ποτε Ἀχιλλεῖ διδάσκαλον τῶν λόγων ἐπήγετο τὸν Φοίνικα. φησὶ γοῦν πεμφθῆναι αὐτὸν ὑπὸ τοῦ πατρός,

μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων. 80 R.

20 τῶν τε ἄλλων τοὺς ἀρίστους καὶ βασιλικωτάτους ἐποίησεν ἐσπουδακότας οὐχ ἧττον περὶ τὴν τοιαύτην δύναμιν, τόν τε Διομήδη καὶ Ὀδυσσέα καὶ Νέστορα· τοῦτον μὲν καὶ ὑπερβάλλοντα τῇ συνέσει καὶ τῇ πειθοῖ. φησὶ γοῦν ἐν ἀρχῇ τῆς ποιήσεως,

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

21 ὥστε καὶ τὸν Ἀγαμέμνονα εὔχεσθαι, δέκα γέροντας αὐτῷ τοιούτους εἶναι μᾶλλον συμβούλους, ἢ νεανίσκους, οἷος ὅ τ' Αἴας καὶ Ἀχιλλεύς, ὡς θᾶττον ἂν ἁλούσης τῆς Τροίας. καὶ μὴν τὸ μέγεθος τῆς περὶ τοὺς λόγους χρείας ἐδήλωσεν ἐν
22 ἑτέρῳ. τῶν γὰρ Ἑλλήνων διὰ τὸ μῆκος τοῦ πολέμου καὶ τὴν χαλεπότητα τῆς πολιορκίας, ἔτι δὲ οἶμαι διὰ τὴν ἐπιλαβοῦσαν 23 M.
νόσον καὶ τὴν στάσιν τῶν βασιλέων, τοῦ τε Ἀγαμέμνονος καὶ τοῦ Ἀχιλλέως, ἀπειρηκότων ἤδη πρὸς τὴν στρατείαν· πρὸς δὲ αὖ τούτοις δημαγωγοῦ τινος ἐπαναστάντος αὐτοῖς καὶ ταράξαντος τὴν ἐκκλησίαν· τὸ πλῆθος ὥρμησεν ἐπὶ τὰς ναῦς, καὶ παραχρῆμα ἐμβάντες ἐβούλοντο φεύγειν, οὐδενὸς δυναμένου κατασχεῖν, οὐδὲ τοῦ Ἀγαμέμνονος ἔχοντος, ὅ τι χρήσεται
23 τοῖς παροῦσι πράγμασιν. οὐκοῦν ἐνταῦθα μόνος αὐτοὺς ἐδυνήθη μετακαλέσαι καὶ μεταβαλεῖν Ὀδυσσεύς, καὶ τέλος ἔπεισε δημηγορῶν μετὰ τοῦ Νέστορος μένειν. ὥστε τοῦτο μὲν τὸ ἔργον φανερῶς τῶν ῥητόρων ἐγένετο. πολλὰ δ' ἄν τις ἐπι-

5. ποτε. ποτε τῷ M (at ποτε a corr.). ‖ τῶν λόγων. λόγων B, λόγον C. ‖ 7. ῥητῆρ'. ῥηντῆρ' C. ‖ ἔμεναι. ἔμμεναι M. — 20, 1. ἐποίησεν. ἐπόνησεν C. ‖ 2. τόν τε C Reisk., τὸν δὲ reliq. ‖ 3. Διομήδην C, Διομήδη reliq. ‖ τοῦτον μὲν CM (mrg. τοῦτον μέντοι καὶ), τοῦτο μέντοι καὶ r, τοῦτον μέντοι καὶ reliq. ‖ 4. τε καὶ τῇ C, καὶ τῇ reliq. ‖ φησί. φησὶν C. ‖ 6. γλυκίων. γλυκύων B. — 21, 2. μᾶλλον συμβούλους. συμβούλους μᾶλλον B. ‖ ὅ τε. ὅτε C. ‖ 4. μὴν BCM. Reisk., μὲν reliq. — 22, 3. καὶ τοῦ CM (at τοῦ obel. notat.), καὶ reliq. ‖ 4. ἀπειρηκότων — τούτοις obelo notata in M. ‖ πρὸς τὴν στρατείαν. τῇ στρατιᾷ B. ‖ 5. ἐπαναστάντος BCMA, ἐπιστάντος reliq. ‖ ταράξαντος. τάξαντος (corr. vulg.) M. ‖ 6. ὥρμησεν. ὥρμησαν Geel. ‖ 7. ἐβούλοντο. ἐβουλεύοντο B. ‖ δυναμένου. δυνάμενον M. ‖ 8. κατασχεῖν CM (corr. κατέχειν), κατέχειν reliq. ‖ χρήσεται. χρήσηται B. — 23, 1. ἐδυνήθη. ἠδυνήθη M. ‖ 2. μετακαλέσαι. μετακαλέσει M. ‖ 4. ἐγένετο. ἐγίνετο M.

24 δείξειε καὶ ἕτερα. φαίνεται δ' οὐ μόνον Ὅμηρος, ἀλλὰ καὶ Ἡσίοδος οὕτω φρονῶν, ὡς φιλοσοφίας τε ἅμα καὶ ῥητορικῆς τῆς ἀληθοῦς τῷ βασιλεῖ προσῆκον, ἐν οἷς φησι περὶ Καλλιόπης·

ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ, 81 R.
ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων.

25 ἔπη μὲν οὖν ποιεῖν, ὦ πάτερ, ἢ λόγους πεζοὺς συγγράφειν, ὁποίας σὺ τὰς σὰς ἐπιστολὰς, ἀφ' ὧν σφόδρα σέ φασιν εὐδοκιμεῖν, οὐ πάντως ἀναγκαῖον τοῖς βασιλεῦσιν, εἰ μή γε νέοις οὖσιν ἔτι καὶ σχολὴν ἄγουσιν· ὥσπερ καὶ σὲ λέγουσιν
26 ἐν Θήβαις διαπονῆσαι τὰ περὶ τοὺς λόγους· οὐδ' αὖ φιλοσοφίας ἅπτεσθαι πρὸς τὸ ἀκριβέστατον, ἀπλάστως δὲ καὶ ἁπλῶς ἐνδεικνύμενον αὐτοῖς τοῖς ἔργοις φιλάνθρωπον ἦθος καὶ πρᾷον καὶ δίκαιον, ἔτι δὲ ὑψηλὸν καὶ ἀνδρεῖον καὶ μάλιστα δὴ χαῖρον εὐεργεσίαις, ὅπερ ἐστὶν ἐγγυτάτω τῆς τῶν θεῶν φύσεως· τῶν γε μὴν λόγων ἡδέως ἀκούοντα τῶν ἐκ φιλοσοφίας, ὁπόταν καιρὸς, ἅτε οὐκ ἐναντίων φαινομένων,
27 ἀλλὰ συμφώνων τοῖς αὐτοῦ τρόποις. τέρπεσθαι δὲ ποιήσει 24 M.
καὶ προσέχειν τὸν νοῦν, οὐχ ἁπάσῃ, τῇ δὲ καλλίστῃ καὶ μεγαλοπρεπεστάτῃ, συμβουλεύσαιμ' ἂν τῷ γενναίῳ καὶ βασιλικῷ τὴν ψυχὴν, οἵαν ὅλην ἴσμεν τὴν Ὁμήρου, καὶ τῶν Ἡσιόδου
28 τὰ τοιαῦτα καὶ εἴ τις ἄλλο τι λέγει χρηστόν. οὔτε γὰρ μουσικὴν, ἔφη, πᾶσαν μανθάνειν ἐθέλοιμ' ἂν, ἀλλὰ κιθάρᾳ μόνον ἢ λύρᾳ χρῆσθαι πρὸς θεῶν ὕμνους καὶ θεραπείας, ἔτι δὲ, οἶμαι, τῶν ἀγαθῶν ἀνδρῶν τοὺς ἐπαίνους· οὐδέ γε ᾄδειν τὰ Σαπφοῦς ἢ Ἀνακρέοντος ἐρωτικὰ μέλη πρέπον ἂν εἴη τοῖς

24, 3. προσῆκον CM (corr. προσηκόντων). Reisk., προσηκόντων reliq. ‖ 5. ἅμ'. ἀλλ' (mrg. vulg.) M. ‖ αἰδοίοισιν. αἰδοιοισι C, ἰδοίησιν (mrg. αἰδοίησιν) M. ‖ 6. τιμήσωσι BC mrg. m. Hesiod. Th. 80, τιμήσουσι reliq. ‖ κοῦραι. κοῦρι M. ‖ 7. γεινόμενον. γειγνομενον C, γενόμενον mrg. M. ‖ τ' ἐσίδωσι. τε ἴδωσι B. — 25, 2. τὰς σὰς C, τὰς reliq. — 26, 2. ἅπτεσθαι. ἅπτωται (corr. vulg.) M. ‖ 3. ἦθος. ἦκος (corr. vulg.) M. ‖ 5. χαῖρον. sic dedi. χαίρον CM (corr. χαίροντα), χαίροντα reliq. ‖ ἐγγυτάτω. ἀνύτη (mrg. vulg.) M. ‖ 8. αὐτοῦ. αὐτοῦ BM. — 27, 2. καὶ προσέχειν CM. Reisk., καὶ om. reliq. ‖ ἁπάσῃ. ἁπάσην C. ‖ 3. συμβουλεύσαιμ' ἄν. συμβουλεύσαιμεν. συμβουλεύουσι μ' ἂν M. ‖ 4. ὅλην. sic dedi. μόνην reliq. ‖ ἴσμεν om. M. ‖ τῶν. sic dedi. τῆς Reisk., τὴν reliq. (at in M a corr. add.). — 28, 2. πᾶσαν. τοῦ M (mrg. vulg.). ‖ 4. ᾄδειν. ἄδειν M. ‖ 5. τά. τὴν (corr. vulg.) M. ‖ ἐρωτικά. ἐρωτικὸν (corr. vulg.) M.

βασιλεῦσιν· ἀλλ', εἴπερ ἄρα, τῶν Στησιχόρου μελῶν ἢ Πιν-
29 δάρου, ἐὰν ᾖ τις ἀνάγκη. τυχὸν δὲ καὶ πρὸς τοῦτο ἱκανὸς
Ὅμηρος. ἦ γὰρ, εἶπεν ὁ Φίλιππος, πρὸς κιθάραν ἢ λύραν 82 R.
συμφωνῆσαί τινά σοι δοκεῖ ἂν τῶν Ὁμήρου; καὶ ὁ Ἀλέξαν-
δρος γοργὸν ἐμβλέψας, ὥσπερ λέων, ἐγὼ μὲν, εἶπεν, ὦ πάτερ,
οἶμαι πρέπειν πολλὰ τῶν Ὁμήρου ἐπῶν πρὸς σάλπιγγα ᾄδε-
σθαι, μὰ Δί' οὐ τὴν ἀνακαλοῦσαν, ἀλλὰ τὴν ἐποτρύνουσαν
καὶ παρακελευομένην· οὐχ ὑπὸ γυναικείου χοροῦ λεγόμενα ἢ
παρθένων, ἀλλ' ὑπὸ φάλαγγος ἐνόπλου, πολὺ μᾶλλον ἢ τὰ
30 Τυρταίου παρὰ τοῖς Λάκωσιν. ἐνταῦθα ἐπῄνεσεν ὡς καλῶς
αὐτὸν εἰπόντα ὁ Φίλιππος καὶ ἀξίως τοῦ ποιητοῦ. οὐκοῦν,
ἦ δ' ὅς, καὶ τοῦτο, οὗπερ νῦν ἐμνήσθημεν, Ὅμηρος ἐπιδεί-
κνυσι. τὸν γοῦν Ἀχιλλέα πεποίηκεν ὑστερίζοντα ἐν τῷ στρα-
τοπέδῳ τῶν Ἀχαιῶν οὐκ ἔκλυτα οὐδὲ ἐρωτικὰ μέλη ᾄδοντα·
καίτοι φησί γε ἐρᾶν αὐτὸν τῆς Βρισηίδος· ἀλλὰ κιθάρᾳ μὲν
χρῆσθαι, μὰ Δί', οὐκ ὠνησάμενον οὐδ' οἴκοθεν ἄγοντα παρὰ
τοῦ πατρός· ἀλλὰ ἐκ τῶν λαφύρων ἐξελόμενον, ὅτε εἷλε τὰς
Θήβας καὶ τὸν Ἠετίωνα ἀπέκτεινε τὸν τοῦ Ἕκτορος κηδεστήν.
31 τῇ ὅγε, φησὶ, θυμὸν ἔτερπεν· ἄειδε δ' ἄρα κλέα
ἀνδρῶν.
ὡς οὐδέποτε ἐκλανθάνεσθαι δέον τῆς ἀρετῆς οὐδὲ τῶν εὐ-
κλεῶν πράξεων, οὔτε πίνοντα οὔτε ᾄδοντα, τὸν γενναῖον ἄν-
δρα καὶ βασιλικόν· ἀλλ' ἀεὶ διατελεῖν ἢ πράττοντα αὐτὸν 25 M.
32 μέγα τι καὶ θαυμαστὸν, ἢ μεμνημένον τῶν ὁμοίων. ταῦτα
δὲ ἔλεγε πρὸς τὸν πατέρα ἐπιδεικνύμενος τὴν αὐτοῦ διάνοιαν.
καὶ γὰρ δὴ ἐτύγχανε τὸν μὲν Ὅμηρον ἀγαπῶν, τὸν Ἀχιλλέα
δὲ οὐ μόνον ἐθαύμαζεν, ἀλλὰ καὶ ἐζηλοτύπει τῆς Ὁμήρου 83 R.
ποιήσεως, ὥσπερ οἱ καλοὶ παῖδες ζηλοτυποῦσι τοὺς καλοὺς
ἐνίοτε κρειττόνων ἐραστῶν τυγχάνοντας. τὸν δὲ Ἀγαμέμνονα
οὐκ ἐμακάριζεν. ἤλπιζε γὰρ πολὺ πλειόνων ἄρξειν αὐτὸς, ἢ

29, 2. πρὸς κιθάραν ἢ λύραν BC, ἢ λύραν om. reliq. ‖ 4. ἐμβλέψας om. C. ‖ 7. λεγόμενα. λεγομένην C. ‖ 8. ἀλλ'. ἀλλὰ C. ‖ τὰ. τὴν (corr. vulg.) M. — 30, 1. ἐνταῦθα CM (mrg. ἔνθα), ἔνθα reliq. ‖ 3. τοῦτο οὗπερ Reisk., τούτου ὑπὲρ οὗ corr. M. v, τοῦτο ὑπὲρ οὗ reliq. ‖ ἐμνήσθημεν. ἐμερίσθημεν B. ‖ 4. ὑστερίζοντα. malim κιθαρίζοντα. ‖ 5. ἔκλυτα οὐδὲ in M mrg. add. ‖ ἐρωτικὰ. ἐρῶ τὰ C. ‖ ᾄδοντα. malim ᾄδειν. ‖ 6. ἐρᾶν αὐτὸν BCM, αὐτὸν ἐρᾶν reliq. — 31, 2. ἀνδρῶν. ἀνδρὸς C. — 32, 2. αὐτοῦ. αὐτοῦ M. ‖ 5. καλοὶ mrg. m. Naogeorg., κακοὶ reliq. ‖ 6. ἐραστῶν. ἐράστου M.

33 ὁπόσων ἐκεῖνος. τῶν δὲ ἄλλων ποιητῶν οὐ σφόδρα ἐφρόντιζεν. Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη· τοῦ μὲν ὅτι μιμητὴς Ὁμήρου γενέσθαι δοκεῖ, καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας· τοῦ δὲ Πινδάρου διά τε τὴν λαμπρότητα τῆς φύσεως, καὶ ὅτι τὸν πρόγονον αὐτοῦ καὶ ὁμώνυμον ἐπήνεσεν Ἀλέξανδρον, τὸν Φιλέλληνα ἐπικληθέντα, ποιήσας εἰς αὐτόν·

ὀλβίων ἐπώνυμε Δαρδανιδᾶν.

διὰ τοῦτο γὰρ καὶ Θήβας ὕστερον πορθῶν μόνην κατέλιπε τὴν οἰκίαν τὴν ἐκείνου, κελεύσας ἐπιγράψαι·

Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε.

ἦπου πολλὴν ἠπίστατο χάριν τοῖς αὐτὸν ἐγκωμιάζουσι μὴ
34 φαύλως, οὕτως ἄγαν φιλότιμος ὤν. τί δαί; εἶπεν ὁ Φίλιππος, ὦ παῖ, πάνυ γὰρ ἡδέως ἀκούω σου τὰ τοιαῦτα λέγοντος, οὐδὲ οἴκησιν ἀξιοῖς κατεσκευάσθαι τὸν βασιλέα πρὸς ἡδονήν, κεκοσμημένην χρυσῷ καὶ ἐλέφαντι καὶ ἠλέκτρῳ, τοῖς πολυτίμοις; οὐδαμῶς, εἶπεν, ὦ πάτερ, πολὺ δὲ μᾶλλον σκύλοις τε καὶ ὅπλοις πολεμίων ἀνδρῶν· καὶ τά γε ἱερὰ τοιούτοις κόσμοις ἀσκεῖσθαι· καθάπερ καὶ ὁ Ἕκτωρ ἠξίου προκαλούμενος τὸν ἄριστον τῶν Ἀχαιῶν· ὅτι κρατήσας τὸ μὲν σῶμα 84 R.
ἀποδώσει τοῖς συμμάχοις· τὰ δὲ ὅπλα, ἔφη, σκυλεύσω,

καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο.

35 τῷ παντὶ γὰρ κρείττων οὗτος κόσμος τῶν ἱερῶν, ἢ σμαράγδων καὶ σαρδίων καὶ ὀνύχων, οἷος ἦν ὁ Σαρδαναπάλου περὶ 26 M.
Νῖνον. οὐ γὰρ βασιλέως τὰ τοιαῦτα φιλοτιμήματα, οὐδαμῶς· ἀλλ' ἀνοήτου μὲν παίγνια κόρης, ἀκολάστου δὲ γυναικός.
36 οὔκουν οὐδὲ Ἀθηναίους οὕτως, ἔφη, ζηλῶ τῆς δαπάνης καὶ

33, 1. ἐφρόντιζε BCM, ἐφρόντισε reliq. ‖ 4. τῆς Τροίας. τὸν τροίας C. ‖ 6. ἐπικληθέντα. ἐπικληθέντι M. ‖ 8. ἐπώνυμε. ἐπώνυμα M. ‖ Δαρδανιδᾶν. δαρδανιδῶν M. ‖ 10. τὴν ἐκείνου CM (at τὴν obel. notat.), τὴν om. reliq. ‖ 11. μουσοποιοῦ. μουσοποίου C. ‖ τὴν om. BA, in M obel. notat. ‖ στέγην. μεγίστην C. ‖ 12. ἦπου— φιλότιμος ὢν delet Geel. ‖ αὐτὸν. αὑτὸν BM. ‖ 13. ὤν. ἦν Reisk. — 34, 1. δαί. δὲ BM. ‖ 3. οἴκησιν. οἴκημα (corr. vulg.) M. ‖ πρὸς ἡδονὴν κεκοσμημένην B, πρὸς ἡδονῆν κεκοσμημένην CM (corr. ante πρὸς add. καὶ), πρὸς ἡδονὴν om. reliq. ‖ 4. ἐλέφαντι καὶ ἠλέκτρῳ. ἠλέκτρῳ καὶ ἐλέφαντι CM. ‖ 7. ἀσκεῖσθαι Selden., ἀγλαΐζεσθαι Unger. Ann. p. 1195, ἱλάσκεσθαι reliq. ‖ 8. τὸν ἄριστον τῶν Ἀχαιῶν. τῶν Ἀχαιῶ τὸν ἄριστον C. — 35, 2. Σαρδαναπάλου Mor., Σαρδανάπαλλος B, Σαρδαναπάλης C, Σαρδανάπαλος reliq. ‖ περὶ Νῖνον BMA. Morell., περὶ νίνον C, περὶ οἶνον reliq. — 36, 1. Ἀθηναίους. Ἀθηναία C.

πολυτελείας τῆς περὶ τὴν πόλιν καὶ τὰ ἱερὰ, ὅσον τῶν ἔργων,
ἃ ἔπραξαν οἱ πρότερον· τὸν γὰρ ἀκινάκην τὸν Μαρδονίου 85 R.
πολὺ σεμνότερον καὶ κρεῖττον ἀνάθημα ἔχουσι καὶ τὰς Λα-
κώνων ἀσπίδας τῶν ἐν Πύλῳ ποτὲ ἁλόντων, ἢ τὰ προπύλαια
τῆς ἀκροπόλεως καὶ τὸ Ὀλύμπιον ἀπὸ πλειόνων ἢ μυρίων τα-
37 λάντων. οὐκοῦν, ἦ δ' ὃς ὁ Φίλιππος, ἐνταῦθα τὸν Ὅμηρον
οὐκ ἂν ἔχοις ἐπαινεῖν. τὰ γὰρ τοῦ Ἀλκίνου βασίλεια, ἀν-
δρὸς Ἕλληνος καὶ νησιώτου, διεκόσμησεν οὐ μόνον κήποις
καὶ φυτοῖς καὶ ὕδασιν, ὡς ἥδιστα ἐνοικεῖν, ἀλλὰ καὶ ἀγάλ-
μασι χρυσοῖς. ἔτι δὲ μᾶλλον τὴν τοῦ Μενελάου οἴκησιν, καὶ
ταῦτα ἀπὸ στρατείας ἥκοντος, ἆρ' οὐ Περσικήν τινα καὶ
Μηδικὴν ἐξηγεῖται, σχεδόν τι οὐ πολὺ ἀποδέουσαν Σεμιρά-
38 μιδος ἢ Δαρείου τε καὶ Ξέρξου τῶν βασιλείων; φησὶ γοῦν·

ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο
χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος.

39 τοῖς γὰρ Τρωικοῖς σκύλοις ἐχρῆν μᾶλλον λάμπειν αὐτὸ, ἢ
τούτοις, κατά γε τὴν σὴν διάνοιαν. καὶ ὁ Ἀλέξανδρος ἐπι-
σχών· οὐκ ἔγωγε, εἶπε, τὸν Ὅμηρον ἐάσειν μοι δοκῶ ἀναπο-
λόγητον· ἴσως γὰρ πρὸς τὸν τοῦ Μενελάου τρόπον ἐποίησε
τὰ βασίλεια, ὅν φησι μόνον εἶναι τῶν Ἀχαιῶν μαλθακὸν
40 αἰχμητήν. σχεδὸν γὰρ οὖν ἔοικεν οὐδὲ τῶν ἄλλων οὐδὲν μά-
την ὁ ποιητὴς οὗτος λέγειν, ἀλλὰ καὶ στολὴν καὶ οἴκησιν καὶ
δίαιταν πρὸς τὸ τῶν ἀνθρώπων ἦθος πολλάκις ἀπεικάζειν.
διὰ τοῦτο τὰ μὲν ἐν Φαίαξι βασίλεια ἐκόσμησεν ἄλσεσί τε
41 καὶ ὀπώραις δι' ἔτους καὶ κρήναις ἀεννάοις. ἔτι δὲ μᾶλλον 86 R. 27 M.

3. ἅ. μὲν (superscr. vulg.) M. ‖ τὸν γὰρ ἀκινάκην τὸν CM. (at γὰρ obelo notat.), τὸν ἀκινάκην τοῦ reliq., γὰρ addebat Iacobs. ‖ Μαρδονίου BCM, Μαρδωνίου reliq. ‖ 4. ἔχουσι M (corr. ἔχουσαν), ἔχουσιν C, ἔχουσαν reliq. ‖ 5. τῶν CM. Reisk., καὶ τῶν reliq. — 37, 2. τοῦ obelo notat. in M. ‖ Ἀλκίνου BCM, Ἀλκινόου reliq. ‖ 3. διεκόσμησεν. διεκόμησεν C. ‖ κήποις καὶ φυτοῖς BM, κητας (superscr. κητοις), καὶ φυτᾶς C, κήποις (om. καὶ φυτοῖς) reliq. ‖ 7. τι. τε BCM. ‖ Σεμιράμιδος. Σεμειράμιδος B. ‖ 8. τῶν om. B, in M obel. notat. ‖ βασιλείων Reisk., βασιλέων reliq. — 38, 2. αἴγλη. αἴγλης C. ‖ 3. ὑψερεφές. ὑψηρεφὲς M. — 39, 1. αὐτό. αὐτὴν CM (superscr. vulg.). ‖ 2. γε. τε C. ‖ 3. εἶπε. εἶπεν C. ‖ ἐάσειν. ἐάσόν C. ‖ 5. φησι. φησιν C. — 40, 1. οὐδὲν μάτην ὁ ποιητὴς οὗτος λέγειν. ὁ ποιητὴς οὐδὲν μάτην λέγειν οὗτον C, in B οὕτως pro οὗτος. ‖ 3. ἀπεικάζειν. ἀπεικάζει BCM. ‖ 4. ἄλσεσί M (mrg. vulg.). var. l. v, ἄλευσί C, ἄλσει reliq. ‖ 5. ὀπώραις. ὀπώρες C, ὀπόρεις (superscr. ὀπόραις) M. ‖ δι' ἔτους CM (mrg. ἡδίστοις), ἡδίστοις reliq. ‖

τὸ τῆς Καλυψοῦς, ἅτε ὡραίας καὶ φιλανθρώπου θεᾶς, ἐν νήσῳ καθ' αὐτὴν ἀπῳκισμένης· τοῦτο μὲν γὰρ εὐώδη διαφερόντως φησὶ τὴν νῆσον τῶν ἡδίστων ἐν αὐτῇ θυμιαμάτων, τοῦτο δὲ σύσκιον δένδροις εὐθαλέσι, κύκλῳ δὲ περὶ τὸ σπήλαιον ἄμπελον περιήκουσαν ὡραίαν, βότρυσι βριθομένην, ἔμπροσθεν δὲ λειμῶνας ἁπαλοὺς ἀναμὶξ σελίνων τε καὶ ἑτέρων, ἐν δὲ τῷ μέσῳ κρήνας τέτταρας λαμπροῦ καὶ διαφανοῦς ὕδατος πάντοσε ἀποῤῥέοντος, ἅτε οὐκ ὄντος ἑτεροκλινοῦς οὐδὲ ἀνίσου τοῦ χωρίου. πάντα γὰρ ταῦτα ὑπερφυῶς ἐρω-
42 τικὰ καὶ ἡδέα κατὰ τὸν τρόπον, οἶμαι, τῆς θεᾶς. τὴν δέ γε τοῦ Μενελάου πολυχρήματον καὶ πολύχρυσον αὐλήν, καθάπερ οἶμαι τῶν Ἀσιαγενῶν τινος βασιλέων. καὶ γὰρ οὗτος ἦν οὐ μακρὰν τοῦ τε Ταντάλου καὶ Πέλοπος, ὅθεν οἶμαι καὶ τὸν χορὸν Εὐριπίδης εἰς τοῦτο αἰνιττόμενον πεποίηκεν ἐν τῇ προόδῳ τοῦ βασιλέως·

Μενέλαος δὲ πολλῇ ἁβροσύνῃ δῆλος ὁρᾶσθαι,
τοῦ Ταντυλιδᾶν ἐξ αἵματος ὤν.

43 οὐ μὴν τήν γε τοῦ Ὀδυσσέως οἴκησιν οὐδαμῶς τούτοις ὁμοίαν, ἀλλ' ὡς ἂν ἀσφαλοῦς ἀνδρὸς πεποίηκε πρὸς αὐτὸ τοῦτο παρεσκευασμένην. λέγει γὰρ οὕτως·

ἐξ ἑτέρων ἕτερ' ἐστίν, ἐπήσκηται δέ οἱ αὐλὴ 87 R.
τοίχῳ καὶ θριγκοῖσι· θύραι δ' εὐερκέες εἰσὶ
δίκλιδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.

44 Δεῖ δὲ τοῦ ποιητοῦ τὰ μὲν ὡς συμβουλεύοντος καὶ παραι-

ἀεννάοις. ἀενάοις B. — 41, 2. τό. τά (mrg. vulg.) M. ‖ Καλυψοῦς. Καλυψοῦς ἄντρον vel σπήλαιον Geel. ‖ ἐν νήσῳ—νῆσον in M mrg. adscript. ‖ 4. τὴν νῆσον. τὴν ἦσον C. ‖ ἐν αὐτῇ. ἀΰτμῇ Obs. p. 7, ἐναύσει Geel. ‖ 5. περὶ CM (corr. τὰ περὶ). Reisk., τὰ περὶ reliq. ‖ 7. καὶ ἑτέρων om. B, καὶ ἴων vel καὶ ἑτέρων ἀνθῶν Geel. conf. Od. 5, 72. ‖ 9. πάντοσε. πάντος σε C. — 42, 2. καὶ πολύχρυσον CM. Reisk., καὶ om. reliq. ‖ 3. Ἀσιαγενῶν. ἀσιογενῶν M. ‖ 5. εἰς τοῦτο. τοῦτο CM (corr. vulg.). ‖ αἰνιττόμενον. αἰνιττόμενος C. ‖ τῇ προόδῳ B, τῷ προσώδω (corr. προσόδω) M, τῇ προσόδῳ reliq. ‖ 7. πολλῇ. πολὺ B, πολλύγ' C, πολλῇ γ' M. vid. Eurip. Orest. v. 337. ‖ ὁρᾶσθαι BCM, ὁρᾶται reliq. ‖ 8. Ταντυλιδᾶν BM (a corr.), Ταντυλιδῶν reliq. — 43, 1. Ὀδυσσέως. Ὀδυσέως M. ‖ 2. αὐτὸ τοῦτο BCM (a corr. τοῦτο obel. not.). Iacobs. Add. p. 11, τοῦτο om. reliq. ‖ παρεσκευασμένην CM. Reisk., παρεσκευασμένον reliq. ‖ 4. αὐλή. αὐτὴ C. ‖ 5. θύραι. θύασι (mrg. vulg.) M. ‖ εὐερκέες. εὐεργέες B, ἐνέργεις C, εὐεργέτες (corr. εὐεργέες) M. conf. Od. 17, 267, ubi utraque scriptura reperitur. ‖ 6. δίκλιδες. δίκλειδες B. ‖ ὑπεροπλίσσαιτο. ὑπεροπλήσσαιτο M. — 44, 1. παραινοῦντος. παραινῶντος M.

νοῦντος ἀποδέχεσθαι, τὰ δὲ ὡς ἐξηγουμένου μόνον, πολλὰ δὲ
ὡς ὀνειδίζοντος καὶ καταγελῶντος. ἔοικέ γε μὴν καὶ τὰ περὶ
κοίτην καὶ τὴν καθ' ἡμέραν δίαιταν ἱκανὸς εἶναι παιδεύειν
Ὅμηρος ἡρωικήν τινα καὶ βασιλικὴν τῷ ὄντι παίδευσιν, ὡς
τὰς Λακωνικὰς ἑστιάσεις τῶν φιλιτίων δείπνων μαθόντα
45 παρ' ἐκείνου Λυκοῦργον νομοθετῆσαι τοῖς Σπαρτιάταις.
ἐπεί τοι καί φασιν αὐτὸν ἐπαινέτην Ὁμήρου γενέσθαι, καὶ
πρῶτον ἀπὸ Κρήτης ἢ τῆς Ἰωνίας κομίσαι τὴν ποίησιν εἰς 28 M.
τὴν Ἑλλάδα. τὸν γοῦν Διομήδη πάνυ στερεῶς κατέκλινεν ἐπὶ
βύρσης ἀγραύλου βοός, κύκλῳ περιστήσας τὰ δόρατα ὀρθὰ
ἐπὶ σαυρωτῆρος· οὐ κόσμου χάριν, ἀλλ' ἕτοιμα λαβεῖν· εὐωχεῖ
γε μὴν ἀπὸ κρεῶν τοὺς ἥρωας καὶ τούτων βοείων, δηλονότι
46 ἰσχύος, οὐχ ἡδονῆς ἕνεκεν. τὸν γοῦν Ἀγαμέμνονα, τὸν ξυμ-
πάντων βασιλέα καὶ πλουσιώτατον, βοῦν ἀεί φησι θύειν καὶ
ἐπὶ τοῦτον καλεῖν τοὺς ἀρίστους. καὶ τὸν Αἴαντα μετὰ τὴν
47 νίκην φιλοφρονεῖται τοῖς νώτοις τοῦ βοός. ἰχθύων δὲ οὐδέ-
ποτε γευομένους αὐτοὺς ἐποίησε, καὶ ταῦτα ἐπὶ θαλάττης 38 R.
στρατοπεδεύοντας, καίτοι τὸν Ἑλλήσποντον, ὥσπερ ἐστὶν,
ἰχθυόεντα ἑκάστοτε καλῶν. πάνυ γὰρ ὀρθῶς αὐτὸ τοῦτο
ἀπεμνημόνευσεν ὁ Πλάτων. ἀλλ' οὐδὲ τοὺς μνηστῆρας ἰχθύ-
σιν ἑστιᾷ, σφόδρα ἀσελγεῖς καὶ τρυφεροὺς ὄντας, καὶ ταῦτα
48 ἐν Ἰθάκῃ ἑστιωμένους. ὅτι γε μὴν οὐκ ἄλλως διέξεισι ταῦτα·
φανερῶς αὐτὸς ἀποφαίνεται, ποίαν τινὰ δεῖ τὴν τροφὴν εἶναι
καὶ πρὸς τί γιγνομένην. ἣν γὰρ ἂν ἐθέλῃ ἐπαινέσαι, μενοει-
κέα δαῖτά φησι, τὴν οἵαν τε παρέχειν μένος, τουτέστιν ἰσχύν.
ταῦτα δὲ λέγει διδάσκων καὶ παραινῶν, ὡς δεῖ καὶ τραπέζης
ἐπιμελεῖσθαι τοὺς ἀγαθούς· ἐπεὶ τροφῆς γε παντοίας καὶ

3. γε μὴν. sic dedi. γε om. reliq. ‖ τὰ περὶ. τὰ om. C. ‖ 5. ὡς τὰς BCM, καὶ τὰς reliq. ‖ 6. φιλιτίων. φιδιτίων mrg. m. — 45, 4. πάνυ στερεῶς. πάνυστερεῶς M. ‖ 6. ἕτοιμα. αἴτημα C. ‖ 7. δηλονότι. δῆλος ὅτι C. — 46, 2. φησι CM. Reisk., φασι reliq. ‖ 3. τοὺς CM, ἀεὶ τοὺς reliq. ‖ 4. βοός. βοῦς C. — 47, 1. ἰχθύων CM var. l. vr. ἰχθύν B. vm. ‖ 2. ἐποίησε CM, ἐποίησεν reliq. ‖ θαλάττης BCM, θαλάσσης reliq. ‖ 3. στρατοπεδεύοντας. στρατοπαιδεύοντας B ‖ καίτοι τὸν CM var. l. vr, καὶ τὸν B. vm. ‖ ὥσπερ ἐστὶν CM, ὅπερ ἐστὶν reliq. ‖ 4. ἰχθυόεντα. ἰχθυόεαντα C. ‖ 6. καὶ ταῦτα ἐν Ἰθάκῃ Geel., ἐν Ἰθάκῃ καὶ ταῦτα reliq. — 48, 2. ποίαν τινὰ δεῖ M. Obs. p. 7, ποίαν δεῖ τινα C, ποίαν δέ τινα δεῖ reliq., ποίαν δή τινα δεῖ Iacobs. ‖ 3. γιγνομένην. γινομένην M. ‖ ἣν γὰρ ἂν ἐθέλῃ M (sed ἂν obelo notat.), ἣν γὰρ θέλει ἂν C, ἣν γὰρ θέλῃ B, ἣν γὰρ ἐθέλει reliq. ‖ 6. τροφῆς γε. τε ὃ φησ τε C.

πολυτελείας οὐκ ἐτύγχανεν ἄπειρος ὤν, ὥστε τοὺς περὶ ταῦ-
τα νῦν ἐπτοημένους, Πέρσας καὶ Σύρους καὶ τῶν Ἑλλήνων
Ἰταλιώτας καὶ Ἴωνας, μηδὲ ἐγγὺς ἐφικνεῖσθαι τῆς παρ' Ὁμήρῳ 89 R.
49 χορηγίας καὶ ἁβρότητος. τί δέ; εἶπεν ὁ Φίλιππος, οὐ δίδωσιν
ἐσθῆτα ὡς οἷόν τε καλλίστην τοῖς ἥρωσιν; νὴ Δία γε, ᾗ δ'
ὅς ὁ Ἀλέξανδρος, οὐ μέντοι γυναικείαν οὐδὲ ποικίλην, ἀλλὰ
πορφύρᾳ μόνον ἐκόσμησε τὸν Ἀγαμέμνονα· καὶ τὸν Ὀδυσσέα
δὲ μιᾷ χλαίνῃ τῇ οἴκοθεν. οὐδὲ γὰρ οἴεται δεῖν Ὅμηρος τὸν
ἡγεμόνα φαίνεσθαι ταπεινὸν οὐδὲ τοῖς πολλοῖς καὶ ἰδιώταις
ὅμοιον, ἀλλὰ καὶ στολῇ καὶ ὁπλίσει διαφέρειν παρὰ τοὺς
ἄλλους ἐπὶ τὸ μεῖζον καὶ σεμνότερον· οὐ μὴν τρυφῶντά γε
50 οὐδὲ παίζοντα. τὸν γοῦν Κᾶρα, τὸν χρυσῷ καλλωπιζόμενον 29 M.
εἰς τὸν πόλεμον, μάλα ὑβριστικῶς ἐλοιδόρησεν, εἰπών·

> ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη·
> νήπιος, οὐδέ τί οἱ τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον·
> ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
> ἐν ποταμῷ· χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.

51 καταγελῶν αὐτοῦ τῆς τρυφῆς ἅμα καὶ τῆς ἀφροσύνης, ὅτι
τοῖς πολεμίοις ἆθλα ἐκόμιζε τοῦ θανάτου σχεδόν. οὔκουν
φαίνεται χρυσοφορίας ἐπαινῶν ὁ Ὅμηρος, καὶ ταῦτα εἰς πό- 90 R.
λεμον, ψελλίων τε καὶ στρεπτῶν, ἔτι δὲ χρυσῶν φαλάρων
καὶ χαλινῶν, ὁποῖα τοὺς Πέρσας φασὶν ἐπιτηδεύειν· οὐ γὰρ
52 ἔχουσιν ἐπιτιμητὴν Ὅμηρον τῶν πολεμικῶν. ἐκ δὲ τούτων
τῶν ἐπιτηδευμάτων τούς τε ἄρχοντας πεποίηκεν ἀγαθοὺς καὶ
τὸ πλῆθος εὔτακτον. προΐασι γοῦν αὐτῷ

> σιγῇ, δειδιότες σημάντορας·

8. Σύρους. ἑτέρους (mrg. vulg.) M. ‖ 9. ἐφικνεῖσθαι. ἀφικνεῖσθαι CM. — 49, 2. ἥρωσιν C, ἥρωσι reliq. ‖ 3. γυναικείαν. γυναικείων (superscr. vulg.) M. ‖ 4. μόνον. μόνος C. ‖ ἐκόσμησε. ἐκόσμησα C. ‖ Ὀδυσσέα. Ὀδυσέα (superscr. vulg.) M. ‖ 5. χλαίνῃ. χλαίνην C. ‖ 6. οὐδὲ τοῖς. τοῖς om. B. ‖ 8. τρυφῶντα Reisk., τρυφῶντας reliq. ‖ 9. παίζοντα Reisk., σπουδάζοντας CM (superscr. vulg.) var. l. v, παίζοντας reliq. — 50, 3. δ' ἴεν. δὲ κίεν M a corr. (a prima manu vulg.). ‖ 4. νήπιος. νηπίη CM. conf. Hom. Il. 2, 873. ‖ οὐδέ τί οἱ. οὐδ' ἄρα οἱ BCM. ‖ τό γ'. τό γε CM. ‖ ἐπήρκεσε. ἐτήρκεσε (superscr. ἐτήρκησε ut videtur) C. ‖ 5. ἐδάμη. ἐδωμεν (superscr. vulg.) M. ‖ Αἰακίδαο. αἰκίδαο M. ‖ 6. Ἀχιλεύς. Ἀχιλλεύς BCM. ‖ ἐκόμισσε. ἐκόμισε BC. — 51, 4. ψελλίων. ψελίων B. ‖ φαλάρων. φαλάκρων C (superscr. vulg.). ‖ 5. χαλινῶν. χαλκείων CM (mrg. vulg.). ‖ ὁποῖα. ὁποίων M. ‖ 6. πολεμικῶν. πολεμίων C. — 52, 3. αὐτῷ CM (superscr. vulg.). Reisk., αὐτῶν B, αὐτοὶ reliq. ‖ 4. δειδιότες. δεδιότες m.

οἱ δὲ βάρβαροι μετὰ πολλοῦ θορύβου καὶ ἀταξίας ταῖς γεράνοις ὁμοίως· ὡς τοῦτο μάλιστα σωτήριον καὶ νικηφόρον ἐν τοῖς κινδύνοις, τὸ μὴ ἀδεεῖς εἶναι τῶν ἡγεμόνων τοὺς στρατιώτας. ὅσοι δ' ἂν ὦσιν ἄφοβοι τῶν σφετέρων ἀρχόντων,
53 οὗτοι τάχιστα ἂν φοβοῖντο τοὺς πολεμίους. καὶ μέντοι καὶ νικῶντας τοὺς Ἀχαιοὺς καθ' ἡσυχίαν φησὶ στρατοπεδεύειν· παρὰ δὲ τοῖς Τρωσὶν, ἐπειδή τι πλεονεκτεῖν ἔδοξαν, εὐθὺς εἶναι δι' ὅλης τῆς νυκτὸς

αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων.

ὡς καὶ τοῦτο ἱκανὸν σημεῖον ἀρετῆς ἢ κακίας, οἵτινες ἂν ἐγκρατῶς τὰς εὐτυχίας, ἢ τοὐναντίον μεθ' ὕβρεως φέρωσιν.
54 ἐμοὶ μὲν οὖν, ὦ πάτερ, ἱκανώτατος σωφρονιστὴς Ὅμηρος, καὶ ὁ τούτῳ πειρώμενος τὸν νοῦν προσέχειν εὐτυχέστατός τε καὶ ἄριστος βασιλεύς. αὐτὸς γὰρ σαφῶς ὑποτίθεται δύο τὰς βασιλικωτάτας ἀρετὰς, τήν τε ἀνδρείαν καὶ δικαιοσύνην, ὅπου φησίν·

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής· 30 M. 91 R.

55 ὡς τῶν ἄλλων ταύταις συνεπομένων. οὐ μέντοι μόνον αὐτὸν οἶμαι δεῖν διαφέρειν τὸν βασιλέα πρὸς τὸ ἀνδρεῖον καὶ σεμνόν, ἀλλὰ μηδὲ τῶν ἄλλων ἀκούειν μήτ' αὐλούντων μήτε κιθαριζόντων μήτε ᾀδόντων ἀνειμένα μέλη καὶ τρυφερά, μηδὲ αὖ λόγων διεφθορότων κακοὺς ζήλους παραδέχεσθαι, πρὸς ἡδο-
56 νὴν τῶν ἀμαθεστάτων γεγονότας· ἀλλὰ πάντα τὰ τοιαῦτα πρῶτον μὲν καὶ μάλιστα ἐκβαλεῖν ὡς πορρωτάτω καὶ ἀποπέμψαι τῆς αὑτοῦ ψυχῆς, ἔπειτα τῆς βασιλευούσης πόλεως· γέλωτάς τε ἀκράτους καὶ τοιούτου γέλωτος ποιητὰς μετὰ σκωμμάτων, ἐμμέτρους τε καὶ ἀμέτρους, ὀρχήσεις τε πρὸς τούτοις καταλύειν ἀσελγεῖς καὶ σχήματα ἑταιρικὰ γυναικῶν ἐν ὀρχήσεσιν ἀκολάστοις, αὐλημάτων τε ὀξεῖς καὶ παρανόμους

9. φοβοῖντο. φοβοῖτο CM. ‖ τοὺς πολεμίους. τὸν πόλεμον M (mrg. vulg.). — 53, 3. ἔδοξαν. ἔδοξεν corr. M. ‖ 5. τ' ἀνθρώπων. τὰ ἀνθρώπων C. ‖ 6. ὡς. ὡς δὲ C, malim ὡς δή. ‖ ἱκανόν. ἱκανὸς C. ‖ ἐγκρατῶς. ἀκρατῶς (superscr. vulg.) M. ‖ 7. τὰς εὐτυχίας om. B. ‖ φέρωσιν. φέρουσιν M. — 54, 1. μὲν οὖν. οὖν om. CM (at addit. in mrg.). ‖ ἱκανώτατος BCM. Reisk., ἱκανώτερος reliq. ‖ 6. ἀμφότερον. ἀμφοτέροις C. ‖ 7. ἄλλων. ἄλλων τῷ C. — 55, 1. αὐτὸν BM. Seld., αὐτός C, αὐτῶν reliq. ‖ 3. μηδὲ B. r, μὴ δὲ reliq. ‖ μήτε αὐλούντων μήτε κιθαριζόντων addit. mrg. in M. — 56, 2. καὶ μάλιστα. καὶ om. C. ‖ πορρωτάτω. πορρώτατος M. ‖ 4. ἀκράτους C, αἰράτους (mrg. ἀκρατεῖς) M, ἀκρατεῖς reliq. ‖ 5. ὀρχήσεις τε Reisk., τε om. reliq. ‖ 6. ἀσελγεῖς. ἀσελγιεῖς C.

ῥυθμοὺς καὶ κατεαγότα μέλη ἀμούσοις καμπαῖς καὶ πολυφώ-
57 νων ὀργάνων ποικιλίας. μόνην δὲ ᾠδὴν μὲν ᾄσεται καὶ πα-
ραδέξεται τὴν τῷ Ἐνυαλίῳ μάλα πρέπουσαν, ἰσχυρὰν καὶ
διάτορον, οὐχ ἡδονὴν οὐδὲ ῥαθυμίαν φέρουσαν τοῖς ἀκούου-
σιν, ἀλλ' ἀμήχανον φόβον καὶ θόρυβον. οἵαν ὅ τε Ἄρης αὐ-
τὸς ἤγειρεν,

ὀξὺ κατ' ἀκροτάτης πόλεως Τρώεσσι κελεύων·

ὅ τε Ἀχιλλεὺς φθεγξάμενος μόνον πρὶν ὀφθῆναι τροπὴν ἐποίησε 92 R
τῶν Τρώων, καὶ δώδεκα ἀνδράσιν αἴτιος ὑπῆρξεν ὀλέθρου
58 περὶ τοῖς αὐτῶν ἅρμασι καὶ ὅπλοις· καὶ τὴν ἐπὶ ταύτῃ ποιη-
θεῖσαν ὑπὸ τῶν Μουσῶν, τὴν ἐπινίκιον· ἢ οἷον ἐκέλευεν
Ἀχιλλεὺς τοῖς Ἀχαιοῖς τὸν παιᾶνα λέγειν ἅμα τῇ τοῦ Ἕκτο-
ρος ἀγωγῇ πρὸς τὰς ναῦς, αὐτὸς ἐξάρχων·

νῦν δ' ἄγ' ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
νηυσὶν ἐπὶ γλαφυρῇσι νεώμεθα, τόνδε τ' ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὐχετόωντο. 31 M

59 ἔτι δὲ οἶμαι τὴν παρακλητικήν, οἵα ἡ τῶν Λακωνικῶν ἐμ-
βατηρίων, μάλα πρέπουσα τῇ Λυκούργου πολιτείᾳ καὶ τοῖς
ἐπιτηδεύμασιν ἐκείνοις·

ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιητᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως πάλλοντες, 93 R

8. πολυφώνων ὀργάνων BC, πολύφωνον ὀργάνων M, ὀργάνων om. reliq. — 57, 1. ᾄσεται καὶ, καὶ om. C. ‖ 2. μάλα πρέπουσαν. πρέπουσα μαλις C, πρέπουσι μάλα M. ‖ 4. ἀλλ' ἀμήχανον φόβον καὶ θόρυβον. ἀλλὰ ἀμήχανος φόβου καὶ θορύβου C. ‖ οἵαν. οἷον CM. ‖ 5. ἤγειρεν CM. var l. v. mrg. m, ἤγγειλεν reliq. ‖ 6. πόλεως. πόλιος M. ‖ Τρώεσσι. Τρώεσι C. ‖ 7. ὀφθῆναι. ὠφθῆναι C. ‖ 8. αἴτιος. αἴτιον C. ‖ 9. περὶ M. Cens. p. 353, conf. Il. 18, 230, παρὰ reliq. ‖ ἅρμασι. ἅρμασιν C. — 58, 1. ποιηθεῖσαν. ποιηθεῖσι M. ‖ 2. ἢ οἷον Reisk., οἷον CM (mrg. οἵαν), οἵαν reliq. ‖ 4. αὐτὸς. αὐτοὺς corr. M. ‖ 6. τόνδε δ' ἄγωμεν B. Hom. Il. 22, 392, τόνδε δ' ἴωνεν M, τόνδε δ' ἴωμεν v, τόνδε τ' ἄγωμεν reliq. ‖ 7. ἐπέφνομεν. ἐπέφναμεν B. ‖ 8. Τρῶες. τρῶαν (corr. vulg.) M. — 59, 1. οἵα ἡ Reisk., οἷα ἡ CM (at ἡ obel. notat.), οἷα reliq., οἷα τὰ Iacobs. ‖ 2. πρέπουσα CM. Reisk., πρέπουσαν reliq. ‖ 3. ἐκείνοις. ἐκείνου B. v. ‖ 5. κοῦροι. κοῦρα M. ‖ πατέρων CMA, πρότερον mrg. m, πρῶτον reliq. ‖ πολιητᾶν G. Herm. ad Vig. p. 935, πολιητᾶς C, πολιητῶν (mrg. πολιῆται) M, πολιῆται reliq. ‖ 6. λαιᾷ μὲν v, λαᾷ μὲν C, λαιὰν μὲν M, λαιᾷ μέντοι mr. ‖ ἴτυν. ἴτην B. ‖ προβάλεσθε. προβάλλεσθε BCM. ‖ 7. εὐ-

μὴ φειδόμενοι τᾶς ζωᾶς,
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

60 *χόρευμα δὲ καὶ χοροὺς ἀνάλογον τούτοις οὐ σφαλλομένους οὐδὲ ἀκρατεῖς, ἀλλὰ ὡς οἷόν τε ἰσχυροὺς καὶ σώφρονας ἐπάγειν ἐν καθεστῶτι ῥυθμῷ, τὴν γιγνομένην τοῖς θεοῖς ἀπαρχὴν ἅμα καὶ μελέτην τῶν πολεμικῶν· ὄρχησίν γε μὴν τὴν ἐνόπλιον, ἧς φησιν ὁ ποιητὴς καὶ τὸν Μηριόνην ἔμπειρον εἶναι· τῶν γὰρ Τρώων τινὰ πεποίηκε λέγοντα·*

Μηριόνη τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα,
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ.

61 *ἢ σὺ οἴει ἄλλην τινὰ λέγειν ἐπίστασθαι τὸν τοῦ Μόλου υἱὸν, ἀριθμούμενον ἐν τοῖς ἀρίστοις τῶν Ἀχαιῶν, ἢ τὴν ἐνόπλιον, τὴν Κουρητικὴν, ἥπερ ἦν ἐπιχώριος τοῖς Κρησὶ, τὴν ὀξεῖαν καὶ ἐλαφρὰν κίνησιν πρὸς τὸ διακλῖναι καὶ φυλάξασθαι ῥα-*
62 *δίως τὸ βέλος; τούτοις γε μὴν ξυνέπεται, μηδὲ εὐχὰς εὔχεσθαι τὸν βασιλέα τοῖς ἄλλοις ὁμοίας, μηδὲ οὖν τοὺς θεοὺς* 94 R.
καλεῖν οὕτως εὐχόμενον, ὥσπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων·

ὦ 'ναξ, ᾧ δαμάλης Ἔρως
καὶ νύμφαι κυανώπιδες
πορφυρέη τ' Ἀφροδίτη
συμπαίζουσιν, ἐπιστρέφεαι δ'
ὑψηλὰς ὀρέων κορυφάς·
γουνοῦμαί σε, σὺ δ' εὐμενὴς
ἔλθ' ἡμῖν, κεχαρισμένης δ'
εὐχωλῆς ἐπακούειν. 32 M.

τόλμως. οὐ τόλμως v. ‖ *πάλλοντες* Thiersch., *βάλλετε* CM (sed superscr. *βάλλοντες*). var. l. v, *βάλλοντες* reliq. ‖ 8. *τᾶς ζωᾶς* M, *τὰς ζωᾶς* C, *ζωᾶς* reliq. ‖ 9. *οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ* CM (corr. *οὐ γὰρ πάτρι τῆς σπάρτας*), *οὐ γὰρ πατρὶ τᾶ Σπάρτα* B, *οὐ γὰρ πάτρι τᾶς σπάρτας* v, *περὶ πάτρας* mr. — 60, 1. *χορεύματα* CM (corr. *χόρευμα*). mrg. m, *χόρευμα* reliq. ‖ *ἀνάλογον. ἀνάλογος* C. ‖ 2. *ἀκρατεῖς. ἀκροαταῖς* M. ‖ 5. *ἐνόπλιον. ἔνοπλον* CM (superscr. vulg.). ‖ 7. *σε καί. καὶ* om. M. ‖ 8. *διαμπερές. διαπερὸς* C. — 61, 1. *ἄλλην. ἄλλῳ* C. ‖ *λέγειν. τελεῖν* Iacobs. ‖ 2. *ἀριθμούμενον* CM (mrg. *καὶ ἐξαριθμούμενον*), *καὶ ἐξαριθμούμενον* reliq. ‖ 3. *ἥπερ. ἤπερ* M. ‖ *Κρησί. κρισὶ* M. ‖ 4. *διακλῖναι* CM. Reisk., *διακρῖναι* reliq. ‖ *ῥᾳδίως—εὔχεσθαι* in M mrg. adscript. — 62, 2. *οὖν τούς. αὖ τοὺς* BCM. ‖ 4. *ὦ' ναξ. τοῦ ἄξ* C. ‖ *ᾧ* M. Anonym. apud. Reisk., *ὦ* reliq. ‖ 6. *τ'. τε* B. ‖ 7. *συμπαίζουσιν* BCM. v, *συμπαίζουσ'* reliq. ‖ *ἐπιστρέφεαι* BM. (mrg. vulg.) Barnes., *ἐπιστρέφεται* reliq. ‖ 8. *δ'. δὲ* BCM. ‖ *ὑψηλὰς* BCM, *ὑψηλῶν* reliq. ‖ 10. *ἔλθ' ἡμῖν. ἔλθοις μοι* CM (mrg. vulg.). ‖ 11. *εὐχωλῆς. εὐχόλης* C. ‖ *ἐπακούειν. ἐπακούων*

Κλευβούλῳ δ' ἀγαθὸς γενεῦ
σύμβουλος· τὸν ἐμὸν δ' ἔρωτ'
ὦ Δεύνυσε δέχεσθαι.

63 *ἢ νὴ Δία τὰς τῶν Ἀττικῶν σκολιῶν τε καὶ ἐποίνων εὐχὰς* 95 R.
οὐ βασιλεῦσι πρεπούσας, ἀλλὰ δημόταις καὶ φράτορσιν ἱλαροῖς καὶ σφόδρα ἀνειμένοις·

εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.
εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με γυνὴ καλὴ φοροίη. 96 R.

64 *πολὺ δὲ μᾶλλον ὡς Ὅμηρος πεποίηκεν εὐχόμενον τὸν βασιλέα τῶν πάντων Ἑλλήνων·*

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
πρίν με καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηίοιο θύρετρα·
Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι,
χαλκῷ ῥωγαλέον, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.

65 *πολλὰ δὲ καὶ ἄλλα ἔχοι τις ἂν εἰπεῖν παρ' Ὁμήρῳ παιδεύματα καὶ διδάγματα ἀνδρεῖα καὶ βασιλικὰ, ὑπὲρ ὧν ἴσως μακρότερον τοῦ νῦν ἐπεξιέναι. πλὴν ὅτι γε τὴν αὐτοῦ γνώμην ἅπασαν ἀποδείκνυται σαφῶς, ὅτι πάντων ἄριστον οἴεται δεῖν τὸν βασιλέα εἶναι· μάλιστα δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος, ὅτε τὸ*

CM (superscr. vulg.). ‖ 12. *Κλευβούλῳ. κατευβουλω* M. ‖ *δ'. γ'* CM. ‖ *γενεῦ* C, *γένευ* B, *γενοῦ* reliq. ‖ 13. *δ' ἔρωτ'. δ' ἔρωτα* B, *δέ τ' ἔρωτα* CM. ‖ 14. *ὦ Δεύνυσε* M. Obs. p. 41, *ὦ δευνυ σε* C, *ὧδ' εὖ νῦν σε* BA, *ὧδ' οὐ νῦν σε* reliq. — 63, 1. *ἢ* M, *ἡ* reliq. ‖ *Δία τὰς* M, *διὰ τὰς* C, *τὰς* om. reliq. ‖ *ἐποίνων εὐχὰς* BC. Cens. p. 354, *ἐποίρων εὐχὰς* M, *εὐχὰς ἐπαίνων* reliq. ‖ 2. *δημόταις. δημώταις* C. ‖ *φράτορσιν. φράτορσι* C. ‖ *ἱλαροῖς* BCM (mrg. *ἀγαθοῖς*), *ἀγαθοῖς* reliq. ‖ 4. *γενοίμην.* sic dedi. *γενοίμαν* reliq. ‖ *ἐλεφαντίνη* M (superscr. *ἐλεφαντία*), *ἐλεφαντίους* C, *ἐλεφαντίνα* BA, *ἐλεφαντία* reliq. ‖ 5. *φέροιεν* CM (corr. *φορέοιεν*), *φορέοιεν* reliq. ‖ 6. *ἄπυρον. ἄπειρον* M. ‖ *γενοίμην.* sic dedi. *γενοίμαν* reliq. ‖ 7. *γυνὴ καλή. καλὴ γυνὴ* Schneidewin. Del. poet. lyr. p. 460. ‖ *φοροίη* M. Anonym. ap. Reisk. Schneidewin., *φοροιεν* C, *φοροῖεν* B. v. — 64, 1. *πολύ. πολλὰς* C. ‖ *εὐχόμενον τὸν βασιλέα. τὸν βασιλέα εὐχόμενον* M. ‖ 2. *πάντων* BCM, *ἁπάντων* reliq. ‖ 5. *βαλέειν. βαλεῖν* C. ‖ 9. *κονίῃσιν. κονίῃσι* M. ‖ *λαζοίατο. λαβοίατο* CM (superscr. vulg.). — 65, 1. *παρ'. παρὰ* M. ‖ 4. *ἅπασαν. ἅπασα* M, malim *ἐν ἅπασιν.* ‖ *πάντων* CM (corr. *πάντα*), *πάντα* reliq. ‖ 5. *τὸ* addit. a corr. in M.

πρῶτον παρατάττει τὴν στρατιὰν καὶ τοὺς ἄλλους ἡγεμόνας
66 ξύμπαντας καταλέγει καὶ πλῆθος τῶν νεῶν. ἐκεῖ γὰρ οὐδὲ
ἅμιλλαν τῶν ἄλλων οὐδενὶ καταλέλοιπεν ἡρώων πρὸς αὐτόν· 33 M
ἀλλ' ὅσον ταῦρος ἀγέλης ὑπερφέρει κατὰ ῥώμην καὶ μέγεθος,
τοσοῦτον διαφέρειν φησὶ τὸν βασιλέα, οὑτωσὶ λέγων·

ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
τοῖον ἄρ' Ἀτρείδην θῆκε Ζεὺς ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν.

67 τοῦτο δὲ οὐχ ἁπλῶς εἴρηκεν, ἐμοὶ δοκεῖν, τὴν ἰσχὺν αὐτοῦ 97 R.
μόνον ἐπαινῶν καὶ ἐπιδεῖξαι βουλόμενος· οὕτω μὲν γὰρ δὴ
καὶ λέοντι παραβαλὼν καλῶς ἂν αὐτὸν ἐδόκει ἀφομοιῶσαι·
τὸ δὲ ἥμερον τῆς φύσεως ἐνδεικνύμενος καὶ τὴν ὑπὲρ τῶν
ἀρχομένων προμήθειαν. ὁ γὰρ ταῦρος οὐκ ἔστι τῶν γενναίων
μόνον ζώων, οὐδὲ αὑτοῦ χάριν χρῆται τῇ ἀλκῇ, καθάπερ ὅ
τε λέων καὶ σῦς, οἵ τε ἀετοί, οἱ διώκοντες τὰ λοιπὰ ζῶα,
[καὶ] κρείττους γιγνόμενοι, τροφῆς ἕνεκα τῆς αὑτῶν· διὸ δὴ
καὶ μᾶλλον ἄν τις αὐτοὺς φαίη τυραννίδος παράδειγμα ἢ βα-
68 σιλείας γεγονέναι· ὁ δὲ ταῦρος σαφῶς, ἐμοὶ δοκεῖν, πρὸς βα-
σιλείαν καὶ βασιλέως εἰκόνα πεποίηται. τροφῇ τε γὰρ ἑτοίμῃ
καὶ ῥᾳδίᾳ διαίτῃ χρῆται, ἡσυχῇ νεμόμενος, ὥστε μηδένα δεῖν
βιάζεσθαι μηδὲ πλεονεκτεῖν ταύτης ἕνεκεν· ἀλλ', ὥσπερ τοῖς
ὀλβίοις βασιλεῦσιν, ἀνελλιπῆ καὶ ἄφθονα ὑπάρχει τὰ τῆς
69 ἀναγκαίου κτήσεως. βασιλεύει δὲ καὶ ἄρχει τῶν ὁμοφύλων
μετ' εὐνοίας, ὡς ἂν εἴποι τις, καὶ κηδεμονίας, τοῦτο μὲν ἐξη-

6. ἄλλους om. BC, in M add. a corr. ‖ 7. νεῶν. νέων M. — 66, 4. φησὶ. φησὶν C, φημὶ v. mrg. m. ‖ 6. βόεσσι. βόεσι C. ‖ ἀγρομένῃσι. ἀγρομένοισι CM. ‖ 7. τοῖον. οἷον C. ‖ θῆκε BCM, θῆκεν reliq. ‖ ἤματι. ἥματι M. ‖ 8. πολλοῖσι. πολλοῖσιν C. ‖ ἡρώεσσιν. ἡρώεσι C, ἡρώεσσι M. — 67, 1. εἴρηκεν, ἐμοὶ δοκεῖν C. Reisk., εἴρηκε (corr. εἰρηκέναι) ἐμοὶ δοκεῖν M, εἰρηκέναι μοι δοκεῖν B, εἰρηκέναι μοι δοκῶν reliq. ‖ 3. καλῶς ἂν Iacobs. Add. p. 15, ἂν om. reliq. ‖ 5. προμήθειαν. προθυμίαν CM. ‖ 7. σῦς. malim λύκος. ‖ οἱ διώκοντες. sic dedi. οἱ om. reliq. ‖ 8. [καὶ] delendum. ‖ γιγνόμενοι CM, γινόμενοι reliq. ‖ αὑτῶν BM, αὐτῶν reliq. — 68, 1. βασιλείαν CM, βασιλέα reliq. ‖ 2. τροφῇ. τροφὴ B. ‖ ἑτοίμῃ καὶ ῥᾳδίᾳ διαίτῃ χρῆται, ἡσυχῇ Reisk. (praeterquam quod ἡσυχῇ χρῆται), ἑτοίμῃ καὶ διαίτῃ ῥᾳδίᾳ C. var. l. v, ἐρίμῃ καὶ διαίτῃ χρῆται M (mrg. ἑτοίμῃ καὶ ῥαδίᾳ ἡσυχῇ τε), ἑτοίμῃ καὶ ῥᾳδίᾳ ἡσυχῇ τε reliq. ‖ 3. νεμόμενος. νεμομένοις B. ‖ μηδένα. μηδὲν C. ‖ δεῖν obelo notat. in M. ‖ 5. ἀνελλιπῆ M. Reisk., ἀνελιπῆν C, ἀνελλειπῆ reliq. ‖ ὑπάρχει. ὑπάρχειν C. ‖ 6. ἀναγκαίου. ἀναγκαίας corr. M. ‖ κτήσεως. κτίσεως C. — 69, 2. εὐνοίας. εὐμενοίας C (voluit εὐμενείας Geel.).

γούμενος νομῆς, τοῦτο δὲ θηρίου φανέντος οὐ φεύγων, ἀλλὰ
πάσης τῆς ἀγέλης προμαχόμενος καὶ τοῖς ἀσθενέσι βοηθῶν
καὶ προμηθούμενος σώζειν τὸ πλῆθος ἀπὸ τῶν χαλεπῶν καὶ
ἀγρίων θηρίων· ὥσπερ καὶ τὸν ἄρχοντα χρὴ καὶ βασιλέα τῷ
70 ὄντι καὶ τῆς μεγίστης ἐν ἀνθρώποις οὐκ ἀνάξιον τιμῆς. ἐνίοτέ
γε μὴν ἄλλης ἀγέλης ἐπιφανείσης ἀγωνίζεται πρὸς τὸν ἐκεί-
νης ἡγεμόνα νίκης ἕνεκα, ὡς κρείττω μὲν αὐτὸν φανῆναι, 98 R. 31
κρείττω δὲ τὴν αὐτοῦ ἀγέλην. καὶ μὴν τό γε ἀνθρώποις μὴ
πολεμεῖν, ἀλλὰ τῶν ἀφρόνων ζώων ἡγεμονικώτατον καὶ ἄρι-
στον πεφυκότα ὅμως προσίεσθαι τὴν τοῦ κρείττονος ἡγεμο-
νίαν, ἰσχύι μὲν καὶ θυμῷ καὶ βίᾳ μηδενὸς ἡττώμενον μηδὲ
ὑπείκοντα, λογισμῷ δὲ καὶ φρονήσει ἑκόντα ὑποταττόμενον,
πῶς οὐχὶ καὶ τοῦτο θείη τις ἂν παίδευμα καὶ δόγμα βασιλι-
71 κὸν τῶν σωφρόνων βασιλέων; τὸ δεῖν ἀνθρώπων μὲν τῶν
ὁμοίων κρείττονα φαινόμενον ἄρχειν, δικαίως καὶ κατὰ φύσιν
ἔχοντα τὴν ἡγεμονίαν, καὶ τὸ μὲν πλῆθος σώζειν τῶν ὑπη-
κόων, προβουλεύοντα καὶ προπολεμοῦντα, ὅταν δέῃ, καὶ
φυλάττοντα ἀπὸ τῶν ἀγρίων καὶ παρανόμων τυράννων· πρὸς
δὲ τοὺς ἄλλους βασιλέας, εἴ τινες ἄρα εἶεν, ἁμιλλᾶσθαι περὶ
τῆς ἀρετῆς καὶ ζητεῖν, εἰ δυνατὸν εἴη, πάντων ἐπ' ὠφελείᾳ
72 τῶν ὁποίποτε ἀνθρώπων κρατεῖν· θεοῖς γε μὴν τοῖς ἀμείνοσιν
ἕπεσθαι, καθάπερ οἶμαι νομεῦσιν ἀγαθοῖς, καὶ τὴν κρείττω
καὶ μακαριωτέραν φύσιν προτιμᾶν, δεσπότας αὐτοῦ καὶ ἄρ-
χοντας νομίζοντα ἐκείνους, καὶ τοῦ μεγίστου καὶ πρώτου βα-
σιλέως θεοῦ κτῆμα ἀποφαίνοντα πρῶτον μὲν καὶ τιμιώτατον
73 αὑτόν, ἔπειτα τοὺς ἄλλους τοὺς ὑπ' αὐτῷ τεταγμένους. καὶ
γὰρ δὴ ὥσπερ οἱ σώφρονες νομεῖς, ἐπειδὰν χαλεπὸς καὶ ἄγριος

3. φεύγων. φευγην (corr. vulg.) M. ‖ 4. προμηθούμενος. προθυμούμενος CM (mrg. vulg.). ‖ 6. ἀγρίων θηρίων Upton. ad Arrian. p. 18, 2 (Geel.). ‖ ἄρχοντα χρὴ CM. Reisk., χρὴ om. reliq. — 70, 2. ἀγέλης. καὶ ἀγέλης C. ‖ 3. ὡς κρείττω. ὥστε κρεῖττον C. ‖ φανῆναι. δόξαι CM (mrg. vulg.). ‖ 4. κρείττω. κρεῖττον C. ‖ τό γε BC. Casaub. r, τό γε ἐν reliq. (sed in M ἐν obelo notat.). ‖ μή. post μὴ in M spatium, cui superscr. ποτε, μήποτε B. ‖ 5. καί. τε καὶ M. ‖ 6. προσίεσθαι. προσεῖσθαι B. — 71, 3. σώζειν τῶν ὑπηκόων CM, τῶν ὑπηκόων σώζειν reliq. ‖ 6. ἄλλους C, ἄλλων reliq. ‖ βασιλέας. βασιλείας M. ‖ εἴτινες M, οἵτινες reliq. ‖ 7. πάντων om. C, in M mrg. add. — 72, 3. καὶ μακαριωτέραν CM (corr. καὶ τὴν μακαριωτέραν), καὶ τὴν μακαριωτέραν reliq. ‖ 5. πρῶτον μὲν καὶ τιμιώτατον. τιμιώτατον, πρῶτον μὲν CM. ‖ 6. αὑτόν. αὐτὸν B. ‖ τοὺς ἄλλους τοὺς BCM, τοὺς reliq. ‖ ὑπ'. ἀπ' M.

ταῦρος γενόμενος ἄρχῃ ἀσελγῶς παρὰ φύσιν, τῆς μὲν αὐτοῦ
καταφρονῶν ἀγέλης καὶ λυμαινόμενος, τοῖς δὲ ἔξωθεν ἐπιβου-
λεύουσιν ὑποχωρῶν καὶ προβαλλόμενος τὸ ἀδύνατον πλῆθος· 99 R.
μηδενὸς δὲ χαλεποῦ παρόντος, ὑβρίζων καὶ θρασυνόμενος,
τοῦτο μὲν ὀξὺ καὶ ἀπειλητικὸν μυκώμενος, τοῦτο δὲ ὀρθοῖς
τοῖς κέρασι παίων τὸν οὐκ ἀνθιστάμενον· ἐπιδεικνύμενος δὲ
τὴν ἰσχὺν ἐν τοῖς ἥττοσι καὶ τοῖς οὐ μαχομένοις· τὸ δὲ τῶν
βοῶν πλῆθος οὐκ ἐῶν νέμεσθαι καθ' ἡσυχίαν δι' ἔκπληξιν
καὶ φόβον· τότε τοῦτον οἱ δεσπόται καὶ βουκόλοι μετέστησαν 35 M.
καὶ ἠφάνισαν, ὡς οὐκ ἐπιτήδειον οὐδὲ συμφέροντα ἡγεῖσθαι
74 τῆς ἀγέλης. τὸν δὲ πρᾷον μὲν ταῖς ἑπομέναις βουσίν, εὔψυ-
χον δὲ καὶ ἄφοβον πρὸς τὰ θηρία, σεμνὸν δὲ καὶ μεγαλο-
πρεπῆ καὶ δυνατὸν φυλάττειν καὶ προηγεῖσθαι τῆς ἀγέλης,
τοῖς δέ γε νομεῦσιν εἴκοντα καὶ πειθόμενον, ἐῶσι μέχρι γήρως
75 ὑστάτου, κἂν ἤδη βαρύτερος τὸ σῶμα γένηται. ὁμοίως δὲ
καὶ οἱ θεοὶ καὶ ὁ δὴ μέγας βασιλεὺς βασιλέων, ἅτε κηδεμὼν
καὶ πατὴρ κοινὸς ἀνθρώπων καὶ θεῶν, Ζεύς, ὃς ἂν ἀνθρώ-
πων γένηται βίαιος καὶ ἄδικος καὶ παράνομος ἄρχων, τὴν
ἰσχὺν οὐ τοῖς πολεμίοις ἐνδεικνύμενος, ἀλλὰ τοῖς ὑπηκόοις
καὶ τοῖς φίλοις, ἄπληστος μὲν ἡδονῶν, ἄπληστος δὲ χρημά-
των, ὑπονοῆσαι ταχύς, ἀμείλικτος ὀργισθείς, ὀξὺς πρὸς δια-
βολάς, ἀπειθὴς λόγοις, πανοῦργος, ἐπίβουλος, ταπεινός, αὐ-
θάδης, τοὺς κακοὺς αὔξων, τοῖς κρείττοσι φθονῶν, παιδείας
ἀσύνετος, φίλον οὐδένα νομίζων οὐδ' ἔχων, ὡς ἔλαττον αὐ-
76 τοῦ τὸ κτῆμα· ἐκεῖνον ἐκποδὼν ἐποιήσατο καὶ μετέστησεν, 100 R.
ὡς οὐκ ἄξιον ὄντα βασιλεύειν οὐδὲ κοινωνεῖν τῆς αὑτοῦ τιμῆς
καὶ ἐπωνυμίας, μετά τε αἰσχύνης καὶ προπηλακισμοῦ, καθά-
περ οἶμαι Φάλαρίν τε καὶ Ἀπολλόδωρον καὶ πολλοὺς ἄλλους 101 R.
77 τῶν ὁμοίων. τὸν δέ γε ἀνδρεῖον καὶ φιλάνθρωπον καὶ τοῖς

73, 4. τοῖς δὲ ἔξωθεν ἐπιβουλεύουσιν. τοὺς δὲ ἔξωθεν ἐπιβουλεύοντας B. v (var. l. v. vulg.). ‖ 5. ὑποχωρῶν. ὑποχιρρῶν v. ‖ 7. ὀρθοῖς τοῖς B, τοῖς om. reliq. ‖ 8. τόν. τὸ Reisk. ‖ 9. ἥττοσι CM, ἥττοσιν reliq. ‖ 11. καὶ βουκόλοι. καὶ in M a corr. addit. — 74, 1. ἑπομέναις. ἑπομένων C. ‖ 5. βαρύτερος. βαρύτερον B. — 75, 3. καὶ θεῶν om. C. ‖ 4. παράνομος. παρανόμως B. ‖ 7. ὀξὺς πρὸς διαβολάς. sic dedi. ὀξύτερος διαβολῆς C. v, ὀξύτερος ὑπὸ διαβολῆς M, ὀξύτερος διαβολαῖς reliq. ‖ 9. τοὺς κακοὺς BCM (at τοὺς obelo notat.), τοὺς om. reliq. ‖ αὔξων. ἄξων C. ‖ 10. φίλον. φίλων C. ‖ αὑτοῦ. sic dedi. αὐτοῦ reliq. — 76, 2. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 4. Ἀπολλόδωρον. Ἀπολλόδωρου C.

ὑπηκόοις εὔνουν καὶ τιμῶντα μὲν τὴν ἀρετὴν καὶ συναγω-
νιῶντα, μή τινος τῶν ἀγαθῶν δόξῃ φαυλότερος, τοὺς δὲ
ἀδίκους μετανοεῖν ἀναγκάζοντα, τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα·
τῆς ἀρετῆς ἀγάμενος ὡς τὸ πολὺ μὲν ἄγει πρὸς γῆρας, καθά-
περ ἀκούομεν Κῦρόν τε καὶ Δηιόκην τὸν Μῆδον καὶ Ἀγά-
θυρσον τὸν Σκύθην καὶ Λεύκωνα καὶ πολλοὺς τῶν Λακωνι-
78 κῶν βασιλέων καὶ τῶν ἐν Αἰγύπτῳ πρότερόν τινας. ἐὰν δὲ
τὸ τῆς εἱμαρμένης ἀναγκαῖον ἐπείγῃ πρὸ τοῦ γήρως, ἀλλ' οὖν
μνήμης γε ἀγαθῆς καὶ παρὰ πᾶσιν εὐφημίας εἰς τὸν ἀεὶ χρό-
νον ἠξίωσεν, καθάπερ, εἶπεν ὁ Ἀλέξανδρος, τὸν ἡμέτερον
πρόγονον, τὸν νομισθέντα τοῦ Διὸς διὰ τὴν ἀρετήν, Ἡρακλέα. 36 M.
79 ταῦτα δὲ ἀκούσας ὁ Φίλιππος ἡσθείς· οὐ μάτην, εἶπεν, Ἀλέξ-
ανδρε, περὶ πολλοῦ ποιούμεθα τὸν Ἀριστοτέλη, καὶ τὴν
πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν [Στάγειρα τῆς
Ὀλυνθίας οὖσαν]. ὁ γὰρ ἀνὴρ ἄξιος πολλῶν καὶ μεγάλων 102 R.
δωρεῶν, εἰ τοιαῦτά σε διδάσκει περί τε ἀρχῆς καὶ βασιλείας,
εἴτε Ὅμηρον ἐξηγούμενος, εἴτε καὶ ἄλλον τρόπον.

ΛΟΓΟΣ γ

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 Σωκράτης Ἀθήνησι, πρεσβύτης ἀνὴρ καὶ πένης, ὃν καὶ σὺ γιγνώσκεις ἀκοῇ πρὸ πάνυ πολλῶν ἐτῶν γενόμενον, πυθο-

77, 2. ὑπηκόοις. ὑπηκόας C. ‖ 3. μή τινος Reisk., μή τις CM, μή τι reliq. ‖ 6. Κῦρόν. κύρον M. ‖ Ἀγάθυρσον. Ἀγάθυρον m, Ἰδάνθυρσον Wytt. ad Plut. p. 174 E. ‖ 7. Λεύκωνα. λάκωνα M. ‖ Λακωνικῶν. Λακώνων C. — 78, 2. ἀναγκαῖον—μνήμης om. C. ‖ 3. μνήμης γε Reisk., μνήμης τε reliq. ‖ 4. ἠξίωσεν. ἠξίωσαν BM. ‖ καθάπερ CM (mrg. καὶ καθάπερ). Reisk., καὶ καθάπερ reliq. — 79, 2. περὶ πολλοῦ. περὶ πολλοὺς C. ‖ Ἀριστοτέλη. ἀριστοτέλην M. ‖ 3. [Στάγειρα τῆς Ὀλυνθίας οὖσαν] Reisk. aliena esse intellexit, sed tamen defendit. ‖ Στάγειρα B, Στάγειραν reliq. ‖ 6. εἴτε καί. εἴτε CM (εἴτε καὶ corr.).

Orat. III. Collati sunt BC. In M deest et haec oratio et Orat. IV initium usque ad v. καὶ γὰρ δὴ ᾐσθάνετο § 78.

μένου τινὸς, εἰ εὐδαίμονα νομίζοι τὸν Περσῶν βασιλέα· τυχὸν,
εἶπεν, εὐδαίμων· οὐκ ἔφη δὲ αὐτὸς εἰδέναι διὰ τὸ μὴ συγγε-
νέσθαι αὐτῷ μηδὲ γιγνώσκειν, ὁποῖός ἐστι τὴν διάνοιαν· ὡς
οὐκ ἀλλαχόθεν οἶμαι γιγνόμενον τὸ εὐδαιμονεῖν, ἀπὸ χρυσω-
μάτων ἢ πόλεων ἢ χώρας ἢ ἄλλων ἀνθρώπων· ἑκάστῳ δὲ
2 παρά τε ἑαυτοῦ καὶ τῆς αὑτοῦ διανοίας. ὁ μὲν οὖν Σωκρά-
της, ὅτι ἐτύγχανεν ἄπειρος ὢν τοῦ Πέρσου τῆς ψυχῆς, ἄπει-
ρος ἡγεῖτο εἶναι καὶ τῆς εὐδαιμονίας αὐτοῦ. ἐγὼ δὲ, ὦ γεν-
ναῖε αὐτοκράτορ, παραγέγονά σοι, καὶ τυχὸν οὐδενὸς ἧττον
ἔμπειρός εἰμι τῆς φύσεως, ὅτι τυγχάνεις χαίρων ἀληθείᾳ καὶ 103 R.
3 παῤῥησίᾳ μᾶλλον ἢ θωπείᾳ καὶ ἀπάτῃ. αὐτίκα τὰς μὲν
ἀλόγους ἡδονὰς ὑποπτεύεις, καθάπερ ἀνθρώπους κόλακας,
τοὺς δὲ πόνους ὑπομένεις, ἐλέγχους ὑπολαμβάνων εἶναι τῆς
ἀρετῆς. ἐπειδὴ δὲ καὶ ὁρῶ σε, αὐτοκράτορ, ἐντυγχάνοντα
τοῖς παλαιοῖς ἀνδράσι καὶ συνιέντα φρονίμων καὶ ἀκριβῶν
λόγων, φημὶ δὴ σαφῶς ἄνδρα εἶναι μακάριον, τὸν μεγίστην
μὲν ἔχοντα δύναμιν μετὰ τοὺς θεοὺς, κάλλιστα δὲ τῷ δύνα-
4 σθαι χρώμενον. ᾧ γὰρ ἐξὸν ἁπάντων μὲν ἀπολαύειν τῶν
ἡδέων, μηδενὸς δὲ πειρᾶσθαι τῶν ἐπιπόνων, ῥᾳθυμοῦντα δὲ 37 M.
ὡς οἷόν τε βιοτεύειν, συνελόντι δὲ εἰπεῖν, πράττοντα ὅ τι
βούλεται, οὐ μόνον κωλύοντος οὐδενὸς, ἀλλὰ καὶ ἐπαινούν-
5 των ἁπάντων· οὗτος ὁ ἀνὴρ, ὅταν ᾖ νομιμώτερος μὲν δικα-
στὴς τῶν κατὰ κλῆρον δικαζόντων, ἐπιεικέστερος δὲ βασιλεὺς
τῶν ὑπευθύνων ἐν ταῖς πόλεσιν ἀρχόντων, δικαιότερος δὲ
στρατηγὸς τῶν ἑπομένων στρατιωτῶν, φιλοπονώτερος δὲ ἐν
ἅπασι τοῖς ἔργοις τῶν ὑπ' ἀνάγκης πονούντων, ἔλαττον δὲ

3. τυχὸν. τυχὰν C. ‖ 4. ἔφη. ἔφθη corr. B. ‖ 6. χρυσωμάτων C. Reisk., χρυσευμάτων reliq., χρυσοῦ ἢ σωμάτων Iacobs. malim χρημάτων ‖ 7. ἄλλων ἀνθρώπων. πολλῶν ἀνθρώπων C, ἀνθρώπων delet Iacobs., ἄλλων ἀνθρώπῳ Reisk. ‖ 8. ἑαυτοῦ. αὐτοῦ C. ‖ αὑτοῦ B, αὐτοῦ reliq. — 2, 3. ἡγεῖτο. ἡγεῖται C. — 3, 1. αὐτίκα — ἀρετῆς. suspecta sunt haec verba. omnino vero aliquid hic turbatum esse videtur. nam in proximis compellatio αὐτοκράτορ paucis verbis interiectis repetita non caret offensione. ‖ 4. ἐπειδὴ δὲ καὶ C, ἐπεὶ δὲ καὶ Reisk., ἐπεὶ δὲ B. v, ἔπειτα καὶ Selden., ἔπειτα δὲ Geel., qui in proximis φημὶ δὲ retinet, ἐπειδὴ καὶ reliq. ‖ 6. φημὶ δὴ BC. Iacobs., φημί σε Reisk., φημὶ δὲ reliq. — 4, 1. ἀπολαύειν Reisk., ἀπολάβον C, ἀπολαύοντα reliqui, quo admisso infra δὲ delet Iacobs. ‖ 2. δὲ ὡς. τε ου C. ‖ 3. συνελόντι BC. Reisk., συνελόντα reliq. ‖ 4. οὐδενὸς C. Geel., οὐδενὸς ὅ τι βούλεται reliq. ‖ ἐπαινούντων ἁπάντων BC. v, ἁπάντων om. reliq. — 5, 1. ὁ ἀνήρ. ὁ om. C. ‖ 3. δικαιότερος displicuit Geelio. malim ἀοκνότερος vel κοσμιώτερος. ‖ 5. ἀνάγκης. ἀνάγ-

βουλόμενος τρυφᾶν τῶν μηδεμιᾶς εὐπορούντων τρυφῆς, εὐ- 104 R.
νούστερος δὲ τοῖς ὑπηκόοις τῶν φιλοτέκνων πατέρων, φοβε-
ρώτερος δὲ τοῖς πολεμίοις τῶν ἀνικήτων καὶ ἀμάχων θεῶν·
πῶς οὐκ ἂν εἴποι τις τοῦδε τοῦ ἀνδρὸς ἀγαθὸν εἶναι τὸν δαί-
6 *μονα, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν; τῶν*
μὲν γὰρ πολλῶν ἀνθρώπων καὶ ἰδιωτῶν ἢ μικράν τινα ἀρχὴν
ἐχόντων ὀλίγος ὁ δαίμων καὶ μόνον τοῦ ἔχοντος· ὅτῳ δὲ παμ-
πληθεῖς μὲν ὑπακούουσι πόλεις, πάμπολλα δὲ ἔθνη κυβερνᾶ-
ται διὰ τῆς ἐκείνου γνώμης, ἀναρίθμητα δὲ φῦλα ἀνθρώπων
ἄμικτα ἀλλήλοις ἀποβλέπει πρὸς μίαν φρόνησιν· πάντων οὗ-
τος ἀνθρώπων γίγνεται σωτὴρ καὶ φύλαξ, ἄνπερ ᾖ τοιοῦτος.
7 *τοῦ γὰρ πάντων ἄρχοντος καὶ κρατοῦντος ἡ μὲν φρόνησις*
ἱκανὴ καὶ τοὺς ἄφρονας ὠφελεῖν· βουλεύεται γὰρ ὁμοίως
ὑπὲρ πάντων· ἡ δὲ σωφροσύνη καὶ τοὺς ἀκολαστοτέρους
σωφρονεστέρους ποιεῖ· ἐφορᾷ γὰρ ὁμοίως ἅπαντα· ἡ δὲ δι-
καιοσύνη καὶ τοῖς ἀδίκοις αὐτῆς μεταδίδωσιν, ἡ δὲ ἀνδρεία
καὶ τοὺς ἧττον εὐψύχους οὐ μόνον σώζειν, ἀλλὰ καὶ θαῤῥα-
8 *λεωτέρους ποιεῖν δύναται. οὔτε γὰρ δειλὸς οὕτως ἄγαν οὐ-*
δείς, ὥστε μὴ θαῤῥεῖν ἑπόμενος μεθ' οὗ νικᾶν ἕτοιμον, οὔτε
ἐπὶ τοσοῦτον ἀνειμένος, ὥστε ῥᾳθυμεῖν προστάττοντα ὁρῶν
ᾧ μόνῳ τὸ προστάττειν ἔνειμεν ὁ θεός, οὐδ' αὖ σφόδρα
οὕτως ἀναίσχυντος, ὥστε παρὼν ᾧ τὸ πονεῖν οὐκ ἀναγκαῖον,
9 *τούτῳ δὲ μὴ συμπονεῖν ἐθέλειν. δοκεῖ μοι καὶ Ὅμηρος αὐτὸ* 38 M.
τοῦτο φράζειν. μνησθεὶς γὰρ τοῦ χρηστοῦ βασιλέως, ἐπὶ
πᾶσιν εἴρηκεν·

ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ. 105 R.

ὁ γὰρ τοιοῦτος βασιλεὺς τοῖς μὲν ἄλλοις καλὸν κτῆμα τὴν
10 *ἀρετὴν νενόμικεν, αὐτῷ δὲ καὶ ἀναγκαῖον. τίνι μὲν γὰρ δεῖ*

κην B. v. ‖ 6. *τρυφῆς. τροφῆς* B. v. ‖ 7. *τῶν. ἢ τῶν* C. ‖ 9. *εἴποι. εἴπῃ* B. ‖ 10. *οὐκ αὐτῷ. οὐχ αὐτῷ* C. — 6, 2. *ἢ μικράν.* sic dedi. *μικρὰν* reliq. ‖ 4. *ὑπακούουσι* B, *ὑπακούωσι* reliq. ‖ 5. *ἀναρίθμητα. ἀνηρίθμαι* C. ‖ 6. *ἄμικτα ἀλλήλοις* C. Casaub., *ἄμικτα ἀνθρώποις* mrg. m, *μικτὰ ἀνθρώποις* reliq. ‖ *πάντων οὗτος.* sic dedi. *πάντων οὖν τῶν* C, *πάντων δὴ οὗτος* Selden., *πάντων δὲ οὗτος* reliq. — 7, 1. *γάρ. δὲ* B. ‖ 5. *αὐτῆς* Selden. r, *αὐτὴν* B, *αὐτοῖς* C, *αὐτῆς* reliq. — 8, 2. *νικᾶν. νικῶν* C. ‖ 3. *προστάττοντα. παρατάττοντα* C. ‖ 4. *ᾧ μόνῳ. οὐ μόνον* C. ‖ 5. *παρὼν ᾧ τὸ πονεῖν οὐκ* Casaub., *περὶ ἑτέρων πονῆν* C, *παρὼν ᾧ τὸ πονεῖν* reliq. (nisi quod r *ποιεῖν*). ‖ 6. *τούτῳ. τοῦτο* C. ‖ *συμπονεῖν. συμπαθεῖν* C. — 9, 6. *νενόμικεν. ἐνόμικεν* C. ‖ *αὐτῷ. αὐτῶ* B. — 10, 3. *τίνι δὲ ἀνδρείας ἰσχυροτέρας, ἢ ὑφ' οὗ πάντα σώζεται; τίνι δὲ σωφροσύνης ἐγκρατεστέρας, ἢ ὅτῳ πάντα ἔξεστιν;]* *τίνι δὲ σωφροσύνης ἐγκρατεστέ-*

πλείονος φρονήσεως ἢ τῷ βουλευομένῳ περὶ μεγίστων; τίνι
δὲ ἀκριβεστέρας δικαιοσύνης ἢ τῷ μείζονι τῶν νόμων; τίνι δὲ
ἀνδρείας ἰσχυροτέρας ἢ ὑφ' οὗ πάντα σώζεται; τίνι δὲ σω-
11 φροσύνης ἐγκρατεστέρας ἢ ὅτῳ πάντα ἔξεστιν; τίνα δὲ μᾶλ-
λον εὐφραίνει τὰ ἔργα τῆς ἀρετῆς ἢ τὸν σύμπαντας ἀνθρώ-
πους θεατὰς καὶ μάρτυρας ἔχοντα τῆς αὐτοῦ ψυχῆς; ὥστε
μήποτε πράξαντι μηδὲν οἷόν τε λαθεῖν, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ
πορεύεσθαι διὰ σκότους· πάντα γὰρ τὰ ἄλλα ἀναφαίνων
12 πρῶτον ἑαυτὸν ἐπιδείκνυσιν. καὶ λέγω ταῦτα οὐκ ἀγνοῶν,
ὅτι τὰ ῥηθέντα νῦν ὑπ' ἐμοῦ πλείονι χρόνῳ ἀνάγκη λέγεσθαι·
ἀλλ' οὐκ ἔστι δέος, μήποτε ἐγὼ φανῶ τι κολακείᾳ λέγων. οὐ
γὰρ ὀλίγην οὐδὲ ἐν ὀλίγῳ χρόνῳ δέδωκα βάσανον τῆς ἐλευ-
13 θερίας. εἰ δὲ ἐγὼ πρότερον μέν, ὅτε πᾶσιν ἀναγκαῖον ἐδόκει
ψεύδεσθαι διὰ φόβον, μόνος ἀληθεύειν ἐτόλμων, καὶ ταῦτα
κινδυνεύων ὑπὲρ τῆς ψυχῆς, νῦν δέ, ὅτε πᾶσιν ἔξεστι τἀληθῆ
λέγειν, ψεύδομαι, μηδενὸς κινδύνου παρεστῶτος, οὐκ ἂν εἰ-
14 δείην οὔτε παῤῥησίας οὔτε κολακείας καιρόν. καίτοι σύμπαν-
τες οἱ πράττοντες ὁτιοῦν ἑκόντες ἢ χρημάτων ἕνεκα πράττου-
σιν ἢ δόξης ἢ δι' ἡδονήν τινα ἄλλην ἢ λοιπόν, οἶμαι, δι' ἀρε-
15 τὴν καὶ τὸ καλὸν αὐτὸ τιμῶντες. ἐγὼ δὲ χρήματα μὲν λαβεῖν 106 R.
παρ' οὐδενὸς πώποτε ἠξίωσα, πολλῶν δοῦναι βουλομένων·
τῶν ἐμαυτοῦ δέ, ὀλίγων ὑπαρχόντων, οὐ μόνον μεταδιδοὺς
16 ἑτέροις, ἀλλὰ καὶ ῥίπτων φανήσομαι πολλάκις. ἡδονὴν δὲ
ποίαν ἐθηρώμην, ὁπότε καὶ τῶν κολάκων οἱ φανερῶς πεπαιη- 33 R.
μένοι τέχνην ταύτην ὁμολογοῦσιν ἁπάντων ἀηδέστατον τὸ
κολακεύειν; πῶς γὰρ ἡδύ, ἵν' ἄλλον ἀδίκως ἐπαινῇ τις, αὐ-
17 τὸν δικαίως ψέγεσθαι; καὶ μὴν οὐδὲ ἔνδοξον οὐδὲ καλὸν εἶναι

ρας, ἢ ὅτῳ πάντα ἔξεστιν; τίνι δὲ ἀνδρείας ἰσχυροτέρας, ἢ ὑφ' οὗ πάντα σώζεται BC. ‖ 5. ἔξεστιν C, ἔξεστι reliq. — 11, 2. εὐφραίνει C, εἰ φρανεῖ reliq. ‖ 3. αὐτοῦ. ἑαυτοῦ C. ‖ 4. μήποτε πράξαντι μηδὲν C, μήτε πράξαντι reliqui, unde μήτ' εἰπόντι τι, μήτε πράξαντι Reisk., μηδὲν πράξαντι Casaub. ‖ 6. ἐπιδείκνυσιν C, ἐπιδείκνυσι reliq. — 12, 1. καὶ λέγω. λέγω δὲ C. ‖ 2. πλείονι. ἐν πλείονι C. ‖ 3. φανῶ. φανῶν C. — 13, 3. ἔξεστι. ἔξεστιν C. ‖ 5. παῤῥησίας οὔτε. παρησιάσονται C. — 14, 1. καίτοι σύμπαντες Reisk., καὶ τοίνυν πάντες reliq. ‖ 4. αὐτό. τό. — 15, 2. δοῦναι. δ' οὖν καὶ B. — 16, 2. ποίαν BC. v, πάνυ reliq. ‖ ἐθηρώμην. ἐθερώμην C, ἀθηρώμην v. ‖ ὁπότε. sic dedi. ὁπόταν reliq. ‖ οἱ mrg. m, οἳ B, εἰς C, καὶ reliq. ‖ 3. τέχνην. τέχνη C. ‖ ἀηδέστατον Reisk., ἀειδέστερον marg. m, ἀηδίστερον reliq. ‖ 4. ἵν' ἄλλον ἀδίκως ἐπαινῇ τις, αὐτὸν δικαίως ψέγεσθαι C, ἄλλον ἀδίκως ἐπαινεῖν, ὃς ἂν ἀγαπῴη αὐτὸν δικαίως ψέγεσθαι reliqui (nisi quod ἀγαπᾷ B, ἀγαποῖ v.). — 17, 1. οὐδέ.

Digitized by Google

δοκεῖ τὸ κολακεύειν, ἵνα τιμῆς ἕνεκεν ἢ δι' ἀρετὴν τοῦτο ἐπι-
τηδεύῃ. πασῶν γάρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν αἰσχίστην
18 τις ἂν εὕροι τὴν κολακείαν. πρῶτον μὲν γὰρ τὸ κάλλιστον
καὶ δικαιότατον διαφθείρει, τὸν ἔπαινον, ὥστε μηκέτι δοκεῖν
πιστὸν μηδὲ ἀληθῶς γιγνόμενον, ἢ τό γε πάντων δεινότατον
τὰ τῆς ἀρετῆς ἔπαθλα τῇ κακίᾳ δίδωσιν. ὥστε πολὺ χεῖρον
δρῶσι τῶν διαφθειρόντων τὸ νόμισμα· οἱ μὲν γὰρ ὕποπτον
ποιοῦσι τὸ νόμισμα, οἱ δὲ τὴν ἀρετὴν ἄπιστον ἐργάζονται. 107 R.
19 ἔπειτα δέ, οἶμαι, ἀεί ποτε μὲν ὁ πονηρὸς ἀνόητος λέγεται καὶ
ἔστιν ὄντως· τῷ δὲ ἄφρονι πάντας ὑπερβέβληκεν ὁ κόλαξ.
μόνος γὰρ τῶν ἀφανιζόντων τὴν ἀλήθειαν πρὸς ἐκείνους
θαῤῥεῖ τὰ ψευδῆ λέγειν τοὺς μάλιστα εἰδότας, ὅτι ψεύδεται.
τίς γὰρ ἄπειρός ἐστι τῶν ἑαυτοῦ πραγμάτων; ἢ τίς ἠλίθιος
οὕτως, ὅστις οὐκ οἶδε, πότερον πόνοις ἢ ῥαθυμίᾳ χαίρει; καὶ
πότερον ἥδεται πλέον ἔχων εἶναι ἢ τὰ δίκαια πράττων; καὶ
πότερον ἡδονῶν ἥττων ἐστὶν ἢ τῶν καλῶν πράξεων ἐραστής;
20 καὶ τοίνυν ὃ μάλιστα οἴεται, χαρίζεσθαι τοῖς ἐπαινουμένοις,
ἐμοὶ δοκεῖ τούτου καὶ μάλιστα ἀποτυγχάνειν· τοὐναντίον
γὰρ ἀπεχθάνεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς μὴ τελέως
21 κούφοις. αὐτίκα ὁ τὸν πένητα μακαρίζων ὡς πλούσιον αὐτὸς 108 R.
μὲν ψεύδεται, τῷ δὲ μακαριζομένῳ τὴν πενίαν ὀνειδίζει. πάλιν
ὁ τὸν αἰσχρὸν ὡς καλὸν ἐπαινῶν ἄλλο τι ἢ προφέρει τὸ αἶσχος
αὐτῷ; ἢ ὁ τὸν ἀνάπηρον ὁλόκληρον εἶναι λέγων πῶς ἂν χαρι-
ζοιτο ὑπομιμνήσκων τῆς ἀτυχίας; ὁ δὲ αὖ τὸν ἀνόητον ὡς φρό-

οὐδὲν C. ‖ 2. ἵνα BC. v, ὅςτις reliq., ὥστε Obs. p. 8 (et infra ἐπιτηδεύειν). ‖ ἀρετήν τις τοῦτο C, ἀρετὴν τοῦτο reliq. ‖ ἐπιτηδεύῃ. sic dedi. ἐπιτηδεύει reliq. ‖ 4. τις ἂν εὕροι. sic dedi. τις om. B, τοις ἂν εὕροι C, ἂν εὕροι τις reliq. — 18, 2. διαφθείρει. διαφθείρειν C. ‖ 3. ἀληθῶς Geel., ἀληθὲς reliq. ‖ γιγνόμενον C, γινόμενον reliq. ‖ ἤ. sic dedi. οἶ B, καὶ C. Iacobs., ἢ reliq. ‖ τό γε. τό τε C. ‖ 4. δίδωσιν Reisk., δίδωσι C, διδόασιν reliq. ‖ 5. οἱ μὲν γὰρ ὕποπτον ποιοῦσι τὸ νόμισμα, οἱ δὲ C, idem, ut videtur, Canterus in libro mscr. repperit (vid. Morell. ad h. l.), qui οἱ μὲν γὰρ ὕποπτον αὐτὸ ποιοῦσι, οἱ δὲ tentat, οἵδε (celeris omiss.) reliqui, unde οἵδε οἱ Iacobs., οἱ ὧδε Reisk. ‖ ἐργάζονται Geel., om. C, ἐργαζόμενοι reliq. — 19, 1. ἀεί ποτε. sic dedi. πᾶς Reisk., ποτὲ reliq. ‖ 2. ὄντως. ὄντος C. m. ‖ 5. ἑαυτοῦ. ἐν αὐτῷ C. ‖ ἠλίθιος. ἤλιθος C. ‖ 6. οὕτως. οὗτος C. ‖ ἤ. καὶ C. ‖ καὶ πότερον — πράττων om. C. ‖ 7. πλέον ἔχων εἶναι. πλέον ἔχων τινὸς Geel., πλεονεκτῶν Reisk., πλέον ἔχων αἰεὶ Iacobs. — 20, 3. ἀπεχθάνεσθαι. ἀπέχεσθαι var. l. v. ‖ ἢ C. Seld., ἢ μὴ reliq. ‖ τοῖς μὴ τελέως κούφοις C, τῷ μὴ τελέως κούφῳ reliq. — 21, 1. ὁ τόν. ὁ om. BC. ‖ 3. αἰσχρὸν Reisk., αἴσχιστον reliq. ‖ 4. εἶναι λέγων B, λέγων εἶναι λέγων C, λέγων εἶναι reliq.

νιμον ὑμνῶν, οὗτος ἂν τυχὸν ἁπάντων εἴη πιθανώτατος διὰ
τὴν ἄνοιαν τοῦ ἀκούοντος, καὶ τοσούτῳ γε μείζονα ἐργάζεται
βλάβην. ἀναπείθει γὰρ τὰ ὑπὲρ ἑαυτὸν βουλεύεσθαι καὶ 40 M.
22 μὴ τοῖς φρονίμοις ἐπιτρέπειν. ὁ μὲν γὰρ τὸν δειλὸν ὡς ἀν-
δρεῖον θαυμάζων, οὗτος δικαιότατα χρῆται τῇ ἀνοίᾳ τοῦ
κολακευομένου. τάχιστα γὰρ ἄν, οἶμαι, ἀπόλοιτο πειθόμενος
23 αὐτῷ καὶ τῆς ἀνδρείας τὰ ἔργα ἐπιχειρῶν. καθόλου δὲ φωρα-
θεὶς μὲν ὁ κόλαξ οὐ καταγιγνώσκεται μόνον, ἀλλὰ καὶ μισεῖ-
ται· δοκεῖ γὰρ καταγελῶν λέγειν· πείσας δέ, ὡς ἀληθῶς λέγει,
οὐ μεγάλης τινὸς τυγχάνει χάριτος. τί γὰρ καὶ δοκεῖ χαρί-
24 ζεσθαι τἀληθῆ λέγων; πολύ γε μὴν πονηρότερός ἐστι τῶν
ψευδομένων μαρτύρων. οἱ μὲν γὰρ οὐ διαφθείρουσι τὸν
δικαστήν, ἀλλὰ μόνον ἐξαπατῶσιν· ὁ δὲ κολακεύων ἅμα δε-
25 κάζει τῷ ἐπαίνῳ. ἵνα δὲ μήτε ἐγὼ κολακείας αἰτίαν ἔχω τοῖς 100 R.
θέλουσι διαβάλλειν, μήτε σὺ τοῦ κατ' ὀφθαλμοὺς ἐθέλειν
ἐπαινεῖσθαι, ποιήσομαι τοὺς λόγους ὑπὲρ τοῦ χρηστοῦ βασι-
λέως, ὁποῖον εἶναι δεῖ, καὶ τίς ἡ διαφορὰ τοῦ προσποιουμέ-
νου μὲν ἄρχοντος εἶναι, πλεῖστον δὲ ἀπέχοντος ἀρχῆς καὶ βα-
26 σιλείας. εἰ δέ τις φήσει με τοὺς αὐτοὺς ποιεῖσθαι λόγους,
τοῦτο ἂν εἴη κοινὸν ἐμοὶ τὸ ἔγκλημα καὶ Σωκράτει. φασὶ
γάρ ποτε Ἱππίαν τὸν Ἠλεῖον, διὰ χρόνου πλείονος ἀκούοντα
τοῦ Σωκράτους περὶ δικαιοσύνης καὶ ἀρετῆς λέγοντος καὶ
παραβάλλοντος, ὥσπερ εἰώθει, τοὺς κυβερνήτας καὶ ἰατροὺς
27 καὶ σκυτοτόμους καὶ κεραμέας, εἰπεῖν, ἅτε σοφιστήν· πάλιν
σὺ τὰ αὐτά, Σώκρατες; καὶ ὃς γελάσας ἔφη· καὶ περὶ τῶν
αὐτῶν. σὺ μὲν γάρ, ὡς ἔοικεν, ὑπὸ σοφίας, οὐδέποτε ταὐτὰ
περὶ τῶν αὐτῶν λέγεις· ἡμῖν δὲ ἓν τοῦτο δοκεῖ τῶν καλλίστων
εἶναι. τοὺς μὲν γὰρ ψευδομένους οἴδαμεν πολλὰ καὶ ἀνόμοια

6. εἴη. εἴη τι B. ‖ πιθανώτατος Reisk., πιθανώτερος reliq. ‖ 7. τοσούτῳ BC, τοσοῦτόν reliq. ‖ 8. τὰ ὑπὲρ ἑαυτὸν B. v. mrg. m, ὑπὲρ ἑαυτοῦ (om. τὰ) C, τὰ ὑπὲρ ἑαυτοῦ reliq. — 22, 2. δικαιότατα. δὴ καιριώτατα Geel., possit εἰκαιότατα vel δὴ σκαιότατα. — 23, 2. καταγιγνώσκεται. sic dedi. καταγινώσκεται reliq. — 24, 3. δεκάζει B. Morell. r, δικάζει C, δικάζειν v. — 25, 2. ἐθέλειν B. Casaub., ἐθέλην C, ἐθέλῃς reliqui, delebat Iacobs. ‖ 4. ὁποῖον. τὸ ποῖον B. v. ‖ 5. μὲν ἄρχοντος BC, μὲν om. reliq. — 26, 1. αὐτούς. αὐτοὺς ἀεὶ Iacobs. ‖ ποιεῖσθαι Geel., ποιῆσθαι C, ποιῆσαι reliq. ‖ 2. φασὶ C, φησὶ reliq. ‖ 5. εἰώθει C, εἴωθε reliq. — 27, 2. τὰ αὐτὰ BC, ταὐτὰ Reisk., ταὐτὰ ταῦτα Valcken. ad Xenoph. Memorab. 4, 4, 16, ταῦτα reliq. ‖ ἔφη, καί. ἀλλ', ἔφη, καὶ Valck. l. l. ‖ 5. οἴδαμεν C. Casaub., οἶδα μὲν reliq.

λέγοντας, τοῖς δὲ ἀληθεύουσιν οὐχ οἷόν τε ἕτερα εἰπεῖν τῶν
28 ἀληθῶν. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἄλλην τινὰ ὑπόθεσιν σπου- 110 R.
δαιοτέραν ἢ σοὶ μᾶλλον προσήκουσαν, ἐκείνην ἂν ἐπεχείρουν
ποιήσασθαι. νῦν δὲ οὔτε ἰατρὸν ἄλλους τινὰς ἀκούειν ἢ λέ-
γειν λόγους φαίην ἂν ὀρθῶς, ἢ τοὺς περὶ ὑγείας σώματος
καὶ νόσου· οὗτοι γὰρ ὑγιεινοὶ καλοῦνται ἰατροῖς· οὔτε κυ-
βερνήτην, ἢ τοὺς περὶ ὡρῶν καὶ ἀνέμων καὶ ἄστρων· οὗτοι 41 M.
γὰρ κυβερνητικοὶ δικαίως λέγονται· οὔτε ἄρχοντα καὶ βασι-
29 λέα, ἢ τοὺς περὶ ἀρχῆς τε καὶ διοικήσεως ἀνθρώπων. ὡς δὲ
καὶ περὶ τούτων ἐνόμιζε Σωκράτης, πειράσομαι εἰπεῖν. μετὰ
γὰρ τὴν ἀπόκρισιν τὴν περὶ τῆς εὐδαιμονίας ἐπύθετο τοῦ
30 Σωκράτους ὁ ἐκεῖνο τὸ ἐρώτημα ἐρωτήσας· ὦ Σώκρατες, ἔφη,
τοῦτο μὲν ἐπίστασαι παντὸς μᾶλλον, ὅτι τῶν ὑπὸ τὸν ἥλιον
ἀνθρώπων ἐκεῖνός ἐστιν ἰσχυρότατος καὶ μηδὲ τῶν θεῶν αὐ-
τῶν ἥττονα ἔχων δύναμιν, ᾧ γε ἔνεστι καὶ τὰ ἀδύνατα δο-
κοῦντα ποιῆσαι δυνατά· εἰ βούλοιτο, πεζεύεσθαι μὲν τὴν θά-
λατταν, πλεῖσθαι δὲ τὰ ὄρη, τοὺς δὲ ποταμοὺς ἐκλείπειν ὑπὸ
31 ἀνθρώπων πινομένους. ἢ οὐκ ἀκήκοας, ὅτι Ξέρξης ὁ τῶν
Περσῶν βασιλεύς, τὴν μὲν γῆν ἐποίησε θάλατταν, διελὼν τὸ
μέγιστον τῶν ὀρῶν καὶ διαστήσας ἀπὸ τῆς ἠπείρου τὸν Ἄθω,
διὰ δὲ τῆς θαλάττης τὸν πεζὸν στρατὸν ἄγων ἤλαυνεν ἐφ᾽
ἅρματος; ὥσπερ, οἶμαι, τὸν Ποσειδῶνά φησιν Ὅμηρος· καὶ
τυχὸν ὁμοίως οἵ τε δελφῖνες καὶ τὰ κήτη κάτωθεν ὑπέπλει
32 τὴν σχεδίαν, ὁπότε ἐκεῖνος ἤλαυνεν. καὶ ὁ Σωκράτης· οὐδὲ 111 R.
τοῦτό σοι ἔχω εἰπεῖν, εἴτε μέγιστον ὁ ταῦτα ποιῶν δύναται,
καθάπερ σὺ λέγεις, εἴτε ἐλάχιστον ἢ τὸ παράπαν οὐδέν. σκό-
πει γὰρ τοῦτο αὐτίκα· εἰ μὲν ἦν σώφρων καὶ ἀνδρεῖος καὶ
δίκαιος καὶ μετὰ γνώμης ἔπραττεν ὅσα ἔπραττεν, ἰσχυρὸν

6. ἀληθεύουσιν. sic dedi. ἀληθέβουσιν C, ἀληθεύουσι reliq. — 28, 1. ἄλλην τινά. τινὰ om. BC. || 2. ἐκείνην in C ambiguum, utrum ἐκείνως an ἐκείνου || 3. ἄλλους τινάς. τινας ἄλλους C. || 5. ἰατροῖς. ἰατροὶ C, ἰατρὸν v, καὶ ἰατρικοὶ Iacobs. || 7. ἄρχοντα BC. Reisk., ἄρχοντας reliq. — 29, 4. ὁ ἐκεῖνο. sic dedi. ὁ ἐκείνου C, ὁ om. reliq., Reisk. ὁ collocabat ante τοῦ Σωκράτους. — 30, 4. ἥττονα. κρίττονα C. || 5. πεζεύεσθαι μὲν τὴν θάλατταν. sic dedi. πεζεῦσαι μὲν θάλατταν C, μὲν ποιῆσαι πεζεύεσθαι θάλασσαν reliqui (nisi quod θάλατταν B.). — 31, 1. οὐκ ἀκήκοας. κακήκοας C. || 2. θάλατταν BC, θάλασσαν reliq. || 3. διαστήσας BC. Reisk., διηστήσας v, δυστήσας reliq. || 6. ὑπέπλει BC, ὑπέπλου v, ὑπέπλουν reliq. — 32, 1. καὶ ὁ — σὺ λέγεις om. C. || 3. σκόπει γὰρ τοῦτο om. C. || 5. ἰσχυρὸν C, ἰσχυρὰν reliq.

33 αὐτὸν ἡγοῦμαι καὶ μεγίστην ἔχειν τῷ ὄντι δύναμιν. εἰ δὲ αὖ
δειλὸς καὶ ἀνόητος καὶ ἀσελγὴς καὶ παράνομος καὶ δι' ὕβριν
ταῦτα ἐπιχειρῶν, τοὐναντίον ἔμοιγε ἀσθενέστερος εἶναι δοκεῖ
τῶν σφόδρα πενήτων καὶ μηδὲ ἕνα γῆς κεκτημένων βῶλον, ὥστε
διατρῖψαι μακέλλῃ τροφῆς ἕνεκεν, οὐχ ὅπως τὰ μέγιστα δια-
34 θρύπτειν ὄρη, καθάπερ σὺ φῄς. ὁ γὰρ ἀδύνατος μὲν ὀργὴν
ἐπικατασχεῖν, πολλάκις ὑπὲρ σμικρῶν γιγνομένην, ἀδύνατος
δὲ ἐπιθυμίαν παῦσαι τῶν αἰσχίστων, ἀδύνατος δὲ ἀπώσασθαι
λύπην, ἐνίοτε μηδενὸς λυπηροῦ παρόντος, οὐ δυνάμενος δὲ 42 M.
ὑπομεῖναι πόνους οὐδὲ τοὺς ἡδονῆς ἕνεκεν γιγνομένους, ἀδύ-
νατος δὲ τῆς ψυχῆς ἀπελάσαι φόβον, οὐδὲν ὠφελοῦντα ἐν
τοῖς δεινοῖς, ἀλλὰ τὰ μέγιστα βλάπτοντα· πῶς οὐκ ἀσθενὴς
οὗτος σφόδρα, ἡττώμενος μὲν γυναικῶν, ἡττώμενος δὲ εὐνού-
35 χων; ἢ σὺ τοῦτον ἰσχυρὸν εἶναι λέγεις τὸν καὶ τοῦ μαλακω-
τάτου πάντων ἀσθενέστερον, ὕπνου; ὑφ' οὗ ξυμποδισθεὶς
πολλάκις ἄνευ δεσμῶν οὐχ ὅπως ἄλλῳ, ἀλλ' οὐδ' ἑαυτῷ δύ-
ναται βοηθεῖν οὐδὲ ἐπίκουρον οὐδένα καλέσαι τῶν βουλομέ- 112 R.
36 νων ἀμύνειν; ταῦτα δὲ ἀκούσας εἶπεν· ἐκεῖνο μέντοι οἶσθα
δήπου, Σώκρατες, ὅτι τῆς ἁπάσης οἰκουμένης τοῦ πλείστου
καὶ ἀρίστου βασιλεύει μέρους. ἔξω γὰρ τῆς Ἑλλάδος καὶ τῆς
Ἰταλίας καί τινων ὀλίγων ἐθνῶν ἄλλων τῶν κατὰ τὴν Εὐρώ-
37 πην ξύμπαντα τἆλλα ὑφ' ἑαυτῷ πεποίηται. καὶ τῆς μὲν κα-
λουμένης Ἀσίας ὅλης ἄρχει μέχρις Ἰνδῶν· πολλοὺς δὲ καὶ αὐ-
τῶν φασιν ὑπακούειν· τῆς δὲ Λιβύης τοῦ πλείονος μέρους, ἐν
δὲ τῇ Εὐρώπῃ Θρᾴκης καὶ Μακεδονίας, ἁπάντων τούτων,
κρατεῖ· ὅθεν δὴ καὶ μέγας βασιλεὺς κέκληται μόνος ἐκεῖνος.
38 καὶ ὁ Σωκράτης εἶπεν· ἀλλ' οὐδὲ τοῦτο οἶδα ὅλως γε, εἰ βα-
σιλεύς ἐστι τὴν ἀρχὴν οὐδεμιᾶς πόλεως ἢ κώμης. σὺ ἄρα,

33, 3. ἀσθενέστερος C. Reisk., ἀσθενέστατος reliq. ‖ 4. μηδὲ ἕνα γῆς. sic dedi. μὴ δὲ ἐν ἀγῆς C, μηδένα γῆς reliq. ‖ βῶλον. βώλων C. ‖ 5. διατρῖψαι. sic dedi. διατρίψαι reliq. ‖ διαθρύπτειν. malim διορύττειν. — 34, 1. μὲν ὀργὴν — ἀδύνατος om. C. ‖ 5. τοὺς Reisk., τῆς reliq. ‖ ἕνεκεν. ἕνεκα B. ‖ 7. τὰ μέγιστα. καὶ μέγιστα C. ‖ ἀσθενὴς οὗτος. ἄνανδρος C (om. οὗτος). — 35, 1. ἢ. ἦ m. ‖ τοῦτον. τὸν C. ‖ 2. ξυμποδισθεὶς. συμποδισθεὶς B. ‖ 3. ἄλλῳ, ἄλλ' B. vr, ἄλλοις C, ἄλλῳ reliq. ‖ οὐδ' ἑαυτῷ. οὐδὲ αὐτῷ C. — 36, 1. μέντοι. sic dedi. μέντοι οὐκ C, μὲν reliq. ‖ 2. Σώκρατες. ὦ Σώκρατες C. ‖ ὅτι τῆς C, ὅτι reliq. ‖ 5. τἆλλα. δοῦλα C. — 37, 2. πολλοὺς δὲ καὶ αὐτῶν C, πολλοὶ δὲ καὶ αὐτῆς reliq. ‖ 3. τῆς δὲ Λιβύης τοῦ πλείονος μέρους C, τῆς Λιβύης τοὺς πλείονας reliq. ‖ 5. κρατεῖ C. Reisk., κρατεῖν reliq. — 38, 1. ὅλως. ὅλος C. ‖ 2. ἄρα. sic dedi. ἆρα reliq.

εἶπε, μόνος ἀνήκοος εἶ τούτων, ὧν ἅπαντες ἴσασιν; ἀκούω, ἔφη, πολλῶν λεγόντων, ἃ σὺ λέγεις, καὶ Ἑλλήνων καὶ βαρβάρων· ὃ δὲ οὐκ ἐᾷ με γιγνώσκειν ὃ λέγω, τοιοῦτόν ἐστιν·
39 οὐκ οἶδα, ὦ ἄριστε, εἰ νομίμως καὶ δικαίως τούτων ἁπάντων προέστηκε καὶ τοιοῦτος ὢν, ὁποῖον εἴρηκα πολλάκις· εἰ μὲν γὰρ εὐγνώμων καὶ φιλάνθρωπος καὶ νόμιμος ὢν ἐπὶ σωτηρίᾳ καὶ τῷ συμφέροντι τῶν ἀρχομένων ἐπιμελεῖται, αὐτὸς πρῶτος εὐδαίμων ὤν, καθάπερ εἶπον, καὶ τοῖς ἄλλοις μεταδιδοὺς τῆς αὐτοῦ εὐδαιμονίας, οὐ δίχα θεὶς τό τε ἑαυτοῦ καὶ τὸ 113 R.
τῶν ἀρχομένων συμφέρον, ἀλλὰ τότε χαίρων μάλιστα καὶ τότε νομίζων ἄριστα πράττειν, ὅταν ὁρᾷ καλῶς πράττοντας τοὺς ἀρχομένους· δυνάμει τε μέγιστός ἐστι καὶ βασιλεὺς ἀληθῶς.
40 εἰ δὲ φιλήδονος καὶ φιλοχρήματος καὶ ὑβριστὴς καὶ παράνομος, αὐτὸν οἰόμενος αὔξειν μόνον ὡς ἂν πλεῖστα μὲν χρήματα 43 M.
κεκτημένος, μεγίστας δὲ καὶ πλείστας καρπούμενος ἡδονάς, ῥᾳθύμως δὲ διάγων καὶ ἀπόνως, τοὺς δὲ ὑπηκόους ἅπαντας
41 ἡγούμενος δούλους καὶ ὑπηρέτας τῆς αὐτοῦ τρυφῆς, οὐδὲ ποιμένος ἐπιεικοῦς ἔχων ἦθος, σκέπης καὶ νομῆς προνοούμενος τοῖς αὐτοῦ κτήνεσιν, ἔτι δὲ θῆρας ἀπαμύνων καὶ φῶρας προφυλάττων, ἀλλ᾽ αὐτὸς πρῶτος διαρπάζων τε καὶ διαφθείρων καὶ τοῖς ἄλλοις ἐπιτρέπων, καθάπερ, οἶμαι, πολεμίων λείαν· οὐκ ἄν ποτε εἴποιμι τὸν τοιοῦτον ἄρχοντα ἢ αὐτοκράτορα ἢ βασιλέα, πολὺ δὲ μᾶλλον τύραννον καὶ λευστῆρα, ὅ ποτε προσεῖπεν ὁ Ἀπόλλων τὸν Σικυώνιον τύραννον· εἰ καὶ 114 R.
πολλὰς μὲν ἔχοι τιάρας, πολλὰ δὲ σκῆπτρα ὑπακούοιεν αὐτῷ.

3. τούτων, ὧν. sic dedi. τούτων C, τοῦτον ὃν reliq. ‖ 5. ὃ δὲ om. C. ‖ γιγνώσκειν B, γινώσκειν reliq. — 39, 2. προέστηκε. sic dedi. προέστικε C, προέστηκεν reliq. ‖ εἴρηκα C. Obs. p. 8, εἴρηκας reliq. ‖ μὲν γάρ. μὲν οὖν C. ‖ 5. εὐδαίμων ὤν. sic dedi. καὶ φρόνιμος εὐδαίμων ὢν C, καὶ εὐδαίμων καὶ φρόνιμος ὢν reliqui. fortasse φρόνιμος ad superiora retrahendum est, aut divers. lect. verbi νόμιμος. ‖ μεταδιδοὺς C. Reisk., διδοὺς reliq. ‖ 6. τῆς Reisk., καὶ τῆς reliq. ‖ δίχα θεὶς τό τε ἑαυτοῦ. δὲ τό τε αὐτοῦ C (αὐτοῦ est in B quoque). ‖ 9. ἐστι om. C. — 40, 2. οἰόμενος. ὁ οἰόμενος C. — 41, 2. νομῆς Obs. p. 8, μονῆς reliq. ‖ προνοούμενος. πρὸ κτήνεσιν νοούμενος C, προνοουμένου Reisk. ‖ 3. κτήνεσιν. sic dedi. κτήνεσι καὶ κτήμασι mrg. m, in C. κτήνεσιν supra insertum scripturam corrupit. ‖ 4. ἀλλ᾽ αὐτὸς Obs. p. 8, ἀλλὰ (om. αὐτός) reliq. ‖ διαφθείρων. φθείρων BC. ‖ 7. καὶ λευστῆρα B (conf. Herodt. 5, 67), ὃ κελευστῆρα C, καὶ λῃστῆρα reliq. ‖ ὅ. ὡς C. ‖ 8. Ἀπόλλων. Ἀπολλώνιος C. mrg. m. ‖ 9. σκῆπτρα ὑπακούοιεν. Reisk. aliquid excidisse suspicatur. fortasse σκῆπτρα, πολλὰ δὲ ἔθνη ὑπακούοιεν.

42 τοιαῦτα μὲν ἐκεῖνος εἰώθει λέγειν, προτρέπων ἀεὶ πρὸς ἀρε-
τὴν καὶ βελτίους ποιῶν καὶ ἄρχοντας καὶ ἰδιώτας. ὅμοια δὲ
εἰρήκασι περὶ ἀρχῆς καὶ βασιλείας οἱ μετ' αὐτὸν, ὡς οἷόν τε
43 ἑπόμενοι τῇ σοφωτάτῃ γνώμῃ. αὐτὰ δὲ πρῶτα δηλοῖ τὰ ὀνό-
ματα τὴν διαφορὰν τῶν πραγμάτων. λέγεται γὰρ ἡ μὲν
ἀρχὴ νόμιμος ἀνθρώπων διοίκησις καὶ πρόνοια ἀνθρώπων
κατὰ νόμον, βασιλεία δὲ ἀνυπεύθυνος ἀρχή, ὁ δὲ νόμος βα-
44 σιλέως δόγμα. ὁ δὲ τύραννος καὶ ἡ τυραννὶς ἐναντίον τού-
τοις βίαιος καὶ παράνομος χρῆσις ἀνθρώπων τοῦ δοκοῦντος
ἰσχύειν πλέον. [οὕτω δὲ καὶ ἡμεῖς διανοούμεθα καὶ φαμὲν
περὶ τοῦ θείου καὶ θεοφιλοῦς καὶ αὐτοκράτορος βασιλέως.]
45 τρία γὰρ εἴδη τὰ φανερώτατα πολιτειῶν νομίζεται, γιγνομέ- 115 R.
νων κατὰ νόμον καὶ δίκην μετὰ δαίμονός τ' ἀγαθοῦ καὶ τύχης
ὁμοίας. μία μὲν ἡ πρώτη καὶ μάλιστα συμβῆναι δυνατὴ, περὶ
ἧς ὁ νῦν λόγος, εὖ διοικουμένης πόλεως ἢ πλειόνων ἐθνῶν ἢ
συμπάντων ἀνθρώπων ἑνὸς ἀνδρὸς ἀγαθοῦ γνώμῃ καὶ ἀρετῇ·
46 δευτέρα δὲ ἀριστοκρατία καλουμένη, οὔτε ἑνὸς οὔτε πολλῶν 44 M.
τινων, ἀλλὰ ὀλίγων τῶν ἀρίστων ἡγουμένων, πλεῖον ἀπέχουσα
ἤδη τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. τοῦτο ἔμοιγε δοκεῖ
καὶ Ὅμηρος εἰπεῖν διανοηθείς·

οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.

47 τρίτη δὲ πασῶν ἀδυνατωτάτη σχεδὸν, ἡ σωφροσύνῃ καὶ ἀρετῇ
δήμου προσδοκῶσά ποτε εὑρήσειν κατάστασιν ἐπιεικῆ καὶ
νόμιμον, δημοκρατία προσαγορευομένη, ἐπιεικὲς ὄνομα καὶ
48 πρᾶον, εἴπερ ἦν δυνατόν. τρισὶ δὲ ταύταις, ὥσπερ εἴρηται,

42, 3. οἷόν τε. οἷοί τε C. — 43, 1. αὐτὰ C. Reisk., καὶ αὐτὰ Iacobs., ταῦτα reliq. ‖ 3. ἀρχή. ἄρχων C, ἀρχή. βασιλεὺς δὲ καὶ αὐτοκράτωρ· ὁ αὐτὸς ἀνυπεύθυνος ἄρχον B. — 44, 2. βίαιος C. Reisk., βίαιον reliq. ‖ 3. [οὕτω — βασιλέως] eiicienda esse sensit Reisk. ‖ οὕτω. οὕτως C. ‖ 4. θεοφιλοῦς καί. καὶ om. C. ‖ βασιλέως. καὶ βασιλέως B. — 45, 1. νομίζεται. ὀνομάζεται BC. mrg. m. ‖ γιγνομένων. τῶν γιγνομένων Iacobs., γιγνόμενον v, γιγνόμενα Reisk. ‖ 2. μετὰ δαίμονός τ' ἀγαθοῦ καὶ τύχης ὁμοίας. suspecta: conf. Orat. I, 42. ‖ 4. ὁ νῦν. νῦν ὁ C. ‖ εὖ om. B. ‖ 5. ξυμπάντων BC, συμπάντων reliq. — 46, 6. ἀγκυλομήτεω. ἀγγυλομήτω C. — 47, 1. ἀδυνατωτάτη. ἀδυνατώτατον C. ‖ ἡ Reisk., om. C, reliq. καί. ‖ σωφροσύνῃ καὶ ἀρετῇ. σωφροσυνῇ καὶ ἀρετῇ (corr. σωφροσυνὴν καὶ ἀρετὴν) B. ‖ 2. δήμου C. mrg. m, δήμων Reisk., δήμῳ reliq. ‖ κατάστασιν C. Casaub., καὶ κατάστασιν reliq. ‖ 3. νόμιμον C. mrg. m, νόμον reliq.

πολιτείαις τρεῖς ἐναντίαι παράνομοι διαφθοραί· ἡ μὲν πρώτη 116 R.
τε καὶ ἀρίστη καὶ μόνη δυνατὴ, τυραννίς, ἑνὸς ὕβρει καὶ βίᾳ
τοῦ κακίστου τῶν ἄλλων ἀπολλυμένων. ἡ δὲ μετ' ἐκείνην
ὀλιγαρχία, σκληρὰ καὶ ἄδικος πλεονεξία, πλουσίων τινῶν καὶ
49 *πονηρῶν ὀλίγων ἐπὶ τοὺς πολλοὺς καὶ ἀπόρους σύστασις. ἡ δὲ*
ἑξῆς ποικίλη καὶ παντοδαπὴ φορὰ πλήθους οὐδὲν εἰδότος
ἁπλῶς, ταραττομένου δὲ ἀεὶ καὶ ἀγριαίνοντος ὑπὸ ἀκολάστων
δημαγωγῶν, ὥσπερ κλυδῶνος ἀγρίου καὶ χαλεποῦ ὑπὸ ἀνέμων
σκληρῶν μεταβαλλομένου. τούτων μὲν οὖν ὁ λόγος ἄλλως
ἐπεμνήσθη, πολλὰ παθήματα καὶ συμφορὰς ἑκάστης αὐτῶν
50 *ἐκ τοῦ πρότερον χρόνου δεῖξαι δυνάμενος. περὶ δὲ τῆς εὐδαί-*
μονός τε καὶ θείας καταστάσεως τῆς νῦν ἐπικρατούσης χρὴ
διελθεῖν ἐπιμελέστερον. πολλαὶ μὲν οὖν εἰκόνες ἐναργεῖς καὶ
παραδείγματα οὐκ ἀμυδρὰ τῆσδε τῆς ἀρχῆς, ἔν τε ἀγέλαις
καὶ σμήνεσιν ἐπισημαινούσης τῆς φύσεως τὴν κατὰ φύσιν τοῦ
κρείττονος τῶν ἐλαττόνων ἀρχὴν καὶ πρόνοιαν· οὐ μὴν φανε-
ρώτερον ἂν οὐδὲ κάλλιον ἕτερον γένοιτο τῆς τοῦ παντὸς ἡγε-
μονίας, ᾗ ὑπὸ τῷ πρώτῳ τε καὶ ἀρίστῳ θεῷ τάττεται, τῷ
51 *Διί. τοιοῦτος δὲ ὢν πρῶτον μέν ἐστι θεοφιλὴς, ἅτε τῆς μεγί-* 45 M.
στης τυγχάνων παρὰ θεῶν τιμῆς καὶ πίστεως. καὶ πρῶτόν
γε καὶ μάλιστα θεραπεύει τὸ θεῖον, οὐχ ὁμολογῶν μόνον,
ἀλλὰ καὶ πεπεισμένος εἶναι θεοὺς, ἵνα δὴ καὶ αὐτὸς ἔχῃ τοὺς 117 R.
52 *κατ' ἀξίαν ἄρχοντας. ἡγεῖται δὲ τοῖς ἄλλοις ἀνθρώποις*
συμφέρειν τὴν αὑτοῦ πρόνοιαν οὕτως, ὡς αὑτῷ τὴν ἐκείνων
ἀρχήν. καὶ μὴν ἐκεῖνο ἑαυτῷ συνειδὼς, ὡς οὔποτε δῶρον δέ-
ξεται παρὰ τῶν κακῶν ἀνδρῶν, οὐδὲ τοὺς θεοὺς ἀναθήμασιν
οὐδὲ θυσίαις οἴεται χαίρειν τῶν ἀδίκων ἀνδρῶν, παρὰ μόνων

48, 2. *παράνομοι.* sic dedi. *καὶ παράνομοι* reliq. ‖ 3. *ἀρίστη καί. αἰσχίστη καὶ* Geel., malim *μάλιστα ἢ καί.* ‖ *μόνη δυνατὴ* C. Reisk., *μονῇ δυνατωτάτη* Geel., *μόνη δυνατωτάτη* reliq. ‖ *ἑνὸς. ἐν ἑνὸς* ut videtur C. ‖ 6. *σύστασις. συστᾶσα* C. — 49, 6. *ἐπεμνήσθη. ὑπεμνήσθη* C. ‖ 7. *πρότερον* C, *προτέρου* reliq. — 50, 1. *εὐδαίμονος. εὐδαιμονίας* C. ‖ 5. *σμήνεσιν ἐπισημαινούσης. σκήνεσι διασημαινούσης* C. ‖ 6. *φανερώτερον ἂν* Iacobs., *φανερώτερον* reliq. ‖ 8. *τῷ Διί. τὰ περὶ τοῦ Διὸς* C. — 51, 1. *τοιοῦτος δὲ* Reisk., *τοσοῦτον δὲ* C, *τοσοῦτος δὲ* reliq., *τοιοῦτος γὰρ* Geel. ceterum Reiskius ante *τοιοῦτος* quaedam excidisse opinatus est. ‖ 3. *θεραπεύει* Casaub. r, *θεραπεύσει* C, *θεραπεύειν* B. vm. ‖ *μόνον* C. Casaub. r, *οὐ μόνον* B. vm. ‖ 4. *ἔχῃ* C, *ἔχοι* reliq. ‖ 5. *κατ'. κατά.* C. — 52, 1. *ἡγεῖται. νομίσει* C. ‖ 2. *συμφέρειν* BC. Reisk., *συμφέρειν εἶναι* reliq. ‖ 3. *ἐκεῖνο. ἐκεῖνος* C. ‖ 4. *παρὰ τῶν. τῶν* om. BC. ‖ 5. *θυσίαις. θυσίαν* C. ‖ *παρὰ μόνων* C. Anonym. apud Reisk.,

δὲ τῶν ἀγαθῶν προσίεσθαι τὰ δεδομένα. τοιγαροῦν θερα-
πεύει ἀφθόνως αὐτοὺς καὶ τούτοις· ἐκείνοις γε μὴν οὐδέποτε
παύσεται τιμῶν, τοῖς καλοῖς ἔργοις καὶ ταῖς δικαίαις πράξε-
σιν. [ἕκαστόν γε μὴν τῶν θεῶν ἱλάσκεται κατὰ τὴν τοῦ θεοῦ
53 δύναμιν.] ἡγεῖται δὲ τὴν μὲν ἀρετὴν ὁσιότητα, τὴν δὲ κακίαν
πᾶσαν ἀσέβειαν. εἶναι γὰρ ἐναγεῖς καὶ ἀλιτηρίους οὐ μόνον
τοὺς ἱερὰ συλῶντας ἢ λέγοντάς τι βλάσφημον περὶ τῶν θεῶν,
ἀλλὰ πολὺ μᾶλλον τούς τε δειλοὺς καὶ ἀδίκους καὶ ἀκρατεῖς
καὶ ἀνοήτους καὶ καθόλου τοὺς ἐναντίον τι πράττοντας τῇ
54 τε δυνάμει καὶ βουλήσει τῶν θεῶν. οὐ μόνον δὲ ἡγεῖται
θεούς, ἀλλὰ καὶ δαίμονας καὶ ἥρωας ἀγαθούς, τὰς τῶν ἀγα- 118 R.
θῶν ἀνδρῶν ψυχὰς μεταβαλούσας ἐκ τῆς θνητῆς φύσεως·
55 τοῦτο δὲ βεβαιοῖ τὸ δόγμα οὐχ ἥκιστα χαριζόμενος αὐτῷ. τήν
τε τῶν ἀνθρώπων ἐπιμέλειαν οὐ πάρεργον οὐδὲ ἀσχολίαν
ἄλλως νενόμικεν, βαρυνόμενος, οἶμαι, τὰς φροντίδας, ἀλλὰ
ἔργον αὐτοῦ καὶ τέχνην ταύτην. καὶ ὅταν μὲν ἄλλο τι ποιῇ,
οὐδὲν ἡγεῖται σπουδαῖον οὐδὲ τῶν αὐτοῦ πράττειν· ὅταν δὲ
ἀνθρώπους ὠφελῇ, τότε νομίζει τὸ προσῆκον ἀποτελεῖν, ἅτε
ὑπὸ τοῦ μεγίστου θεοῦ ταχθεὶς ἐπὶ τοῦτο τὸ ἔργον, ᾧ ἀπει-
56 θεῖν οὐ θέμις οὐδὲν οὐδὲ ἄχθεσθαι. [οὐδεὶς γὰρ οὕτω μαλα-
κὸς οὐδὲ φιλήδονος, ὃς οὐχ ἥδεται τῇ αὑτοῦ πράξει, κἂν 46 M.
τύχῃ ἐπίπονος. ὡς ἥκιστα μὲν κυβερνήτης ἀχθεσθείη τοῖς
ἐν θαλάττῃ πόνοις, ἥκιστα δὲ γεωργὸς τοῖς περὶ γεωργίαν
ἔργοις, ἥκιστα δὲ κυνηγέτης οἷς δεῖ θηρῶντα κάμνειν· καί-
τοι σφόδρα μὲν ἐπίπονον γεωργία, σφόδρα δὲ κυνηγεσία.

παράνομον reliq. ‖ 6. ἀγαθῶν C, θεῶν reliq., ὁσίων Geel., ἐσθλῶν Iacobs. Add. p. 330, δικαίων Anonym. apud Reisk., θεοφιλῶν Reisk. ‖ θεραπεύει. θεραπεύειν C. ‖ 7. αὐτούς. αὐτοὺς σπουδάσει C. ‖ ἐκείνοις C. Reisk., ἐκείνους reliq. ‖ 8. δικαίαις. δικαίοις C. ‖ 9. [ἕκαστον—δύναμιν.] suspecta. ‖ κατὰ τὴν BC. Reisk., μετὰ τὴν reliq. ‖ τοῦ θεοῦ. malim ἑαυτοῦ. — 53, 2. οὐ μόνον. οὐ μόνον οὐ B. ‖ 3. ἱερά. τὰ ἱερὰ C. — 54, 3. μεταβαλούσας Reisk., μεταβαλλούσας reliq. ‖ 4. αὐτῷ. αὑτῷ B. — 55, 5. οὐδέν. οὐδὲ m. ‖ αὑτοῦ Iacobs., αὐτοῦ reliq. ‖ 6. τότε. ποτε v. ‖ τὸ προσῆκον. τὸ om. m. ‖ 8. ἄχθεσθαι Geel., ἄχθεσθαι ἅτε προσηκούσας αὐτῷ νομίζων B.v, ἄχθεσθαι ἅτε προσηκούσας αὐτῶν νομίζων τὰς ἐργασίας C, ἄχθεσθαι ἅτε προσηκούσας αὐτῶν ἐργασίας νομίζων mrg.m., ἄχθεσθαι ἅτε προσήκοντας αὐτῷ νομίζων reliq. — 56, 1. οὕτω. sic dedi. οὔτε C, οὕτως reliq. ‖ 3. ἐπίπονος. ὡς. ἐπίπονος οὖσα Iacobs. Add. p. 364, ἐπίπονος οὖσα. ὡς Reisk. ‖ ἀχθεσθείη. ἂν ἀχθεσθείη Iacobs. l. l. ‖ 4. γεωργίαν C. Reisk., γεωργίας reliq. ‖ 5. οἷς δεῖ θηρῶντα κάμνειν. sic dedi. ὃς ἀεὶ θηρῶν κάμνει C, ὃν δεῖ θηρῶντα κάμνειν reliq. ‖ [καίτοι—κυνηγεσία] suspecta. ‖ 6. κυνηγεσία. Reiskius gubernationis mentionem

57 οὐ μὴν ἀπαξιοῖ τὸ κάμνειν καὶ ἐνοχλεῖσθαι τῶν ἄλλων ἕνεκεν, 119 R.
οὐδὲ ταύτῃ χεῖρον πράττειν νενόμικεν, ἐὰν δέῃ πλείστους αὐ-
τὸν ἀνέχεσθαι πόνους καὶ πλεῖστα πράγματα ἔχειν.] [ὁρᾷ γὰρ
καὶ τὸν ἥλιον, οὐδενὸς ἐλάττω τῶν θεῶν ὄντα, οὐκ ἀχθόμε-
νον, εἰ σωτηρίας ἕνεκεν ἀνθρώπων καὶ βίου τὸν αἰῶνα δια-
62 πράττεται πάντα ὅσα πράττει.] ὁρᾷς γὰρ, ὅτι πανταχοῦ τὸ 121 R.
βέλτιον τοῦ ἥττονος ἔταξεν ὁ θεὸς προνοεῖν τε καὶ ἄρχειν,
οἷον τέχνην μὲν ἀτεχνίας, ἀσθενείας δὲ δύναμιν, τοῦ δὲ ἀνοή-
του τὸ φρόνιμον προνοεῖν καὶ προβουλεύειν ἐποίησεν· ἐν πά-
σαις δὲ ταύταις ταῖς ἐπιμελείαις τὸ ἄρχειν οὐδαμῶς ῥάθυμον,
ἀλλ' ἐπίπονον, οὐδὲ πλεονεκτοῦν ἀνέσεως καὶ σχολῆς, ἀλλὰ 122 R.
63 φροντίδων καὶ πόνων. αὐτίκα ἐν νηὶ ἐπιβάταις ἔξεστιν ἀμε-
λεῖν μηδὲ ὁρᾶν τὴν θάλατταν, ἀλλὰ μηδὲ ὅποι γῆς εἰσι, τὸ
τοῦ λόγου, τοῦτο εἰδέναι· καὶ πολλοὶ τὸν τρόπον τοῦτον
πλέουσι ταῖς εὐδίαις, οἱ μὲν πεττεύοντες, οἱ δὲ ᾄδοντες, οἱ
δὲ εὐωχούμενοι δι' ἡμέρας· ὅταν δὲ καταλάβῃ χειμὼν, ἐγκα-
λυψάμενοι περιμένουσι τὸ συμβησόμενον· οἱ δέ τινες καθυ-
64 πνώσαντες οὐδὲ ἀνέστησαν, ἕως ἐγένοντο ἐν τῷ λιμένι. τῷ
κυβερνήτῃ δὲ ἀνάγκη μὲν ὁρᾶν πρὸς τὸ πέλαγος, ἀνάγκη δὲ
ἀποβλέπειν εἰς τὸν οὐρανὸν, ἀνάγκη δὲ προσκοπεῖν τὴν γῆν·
οὐ μὴν οὐδὲ τὰ ἐν τῷ βυθῷ χρὴ λανθάνειν αὐτὸν, ἢ λήσεται

desiderat. || Miserrime turbatum esse vulgo orationis nexum, neminem latere potest. nimirum factum est nescio quo casu, ut una schedula alieno loco insereretur. idem et infra usu evenisse apparebit. restituimus genuinum verborum ordinem, ita tamen ut numeri §§ vulgatum significarent. viam autem corrigendi monstrabant v. ὁρᾷ — πράττει, lemma eorum, quae suo loco deturbata infra leguntur. reiecimus igitur §§ 58 — 62 (καὶ τοίνυν — βασιλέως) post finem § 85 (ἐναντίων). in antecedentibus § 56—58 (οὐδεὶς — πράττει) ab interpolatore resarciendi nexus caussa interpositae sunt. — 57, 1. οὐ μήν. οὔτε μὴν C. || 2. πράττειν. πράττων v. || αὐτὸν ἀνέχεσθαι C, αὐτὸν ἀναδέχεσθαι Geel., αὐτὸς ἀναδέχεσθαι reliq. || 4. θεῶν ὄντα C, θεῶν reliq. || 5. ἀνθρώπων καὶ βίου C, ἀνθρώπου καὶ βίου reliqui. malim ἀνθρωπίνου βίου. — 62, 1. ὁρᾷς. malim ὁρᾷ. non latuit Reiskium, haec vulgo cum antecedentibus non satis nexa esse. itaque quaedam excidisse suspicatus est. || 2. τοῦ ἥττονος. εἶναι ἥττονος C (sed εἶναι librarius delere voluisse videtur). || 5. ταύταις. delet Geel. || ταῖς om. C. || τὸ ἄρχειν. τὸ ἄρχον Reisk. || 6. ἀλλ' ἐπίπονον C. Selden., οὐδὲ ἐπίπονον reliq., οὐδ' ἐπίφθονον Casaub. || πλεονεκτοῦν C, πλέον ἔχεται reliq., πλέον ἔχει Reisk., πλέον δέχεται Geel. — 63, 1. ἐν. κ' εν C. || ἐπιβάταις. malim ἐπιβάταις μέν. || ἔξεστιν. οὐκ ἔξεστιν m. || 2. μηδέ. καὶ μηδὲ Reiskius. aut sic, aut ἀμέλει in antecedentibus scribendum. || ἀλλὰ μηδέ. ἀλλὰ καὶ μηδὲ C. || 4. πεττεύοντες. πετέβοντες C, πεπτεύοντες m. || 7. ἕως. ἔστ' ἂν ὦσι Iacobs., qui servat γενόμενοι. || ἐγένοντο C, γενόμενοι reliq.

65 περιπεσὼν ὑφάλοις πέτραις ἢ ἀδήλοις ἕρμασι· μόνῳ δὲ ἐκείνῳ
τῆς μὲν νυκτὸς ἧττον ἔξεστι καθυπνῶσαι ἢ τοῖς νηχομένοις·
ἡμέρας δὲ εἴ πού τι βραχὺ κλέψειε τοῦ ὕπνου, καὶ τοῦτο με- 123 R.
τέωρον καὶ ἀμφίβολον, ὡς ἀναβοᾷν πολλάκις, ἢ τὸ ἱστίον
στέλλειν ἢ παραστῆσαι τὸ πηδάλιον ἢ ἄλλο τι τῶν ναυτικῶν.
ὥστε καὶ κοιμώμενος ἐκεῖνος μᾶλλον ἐπιμελεῖται τῆς νεὼς ἢ
66 τῶν ἄλλων οἱ σφόδρα ἐγρηγορότες. ἔν γε μὴν τῷ στρατεύε-
σθαι τῶν μὲν στρατιωτῶν ἕκαστος αὑτῷ μόνῳ ἐπιμελεῖται
καὶ ὅπλων καὶ τροφῆς, καὶ ταῦτα οὐ πορίζων, ἀλλ' ἕτοιμα
ἀξιῶν ἔχειν· μόνης δὲ φροντίζει τῆς ὑγείας τῆς ἑαυτοῦ, μόνης
67 δὲ τῆς σωτηρίας. τῷ στρατηγῷ δὲ ἔργον ἐστὶν ἅπαντας μὲν
ὡπλίσθαι καλῶς, ἅπαντας δὲ εὐπορεῖν σκέπης, οὐ μόνον δὲ 48 M.
τὰς τῶν ἀνθρώπων γαστέρας πληροῦν, ἀλλὰ καὶ τὰς τῶν
ἵππων· ἐὰν δὲ μὴ πάντες ἔχωσι τὰ ἐπιτήδεια, πολὺ μᾶλλον
ἄχθεται ἢ αὐτὸς νοσῶν· σωτηρίαν γε μὴν τὴν ἐκείνων οὐ
περὶ ἐλάττονος ποιεῖται τῆς αὑτοῦ. καὶ γὰρ δὴ νικᾷν μὲν
ἀδύνατον ἄνευ σωτηρίας τῶν στρατιωτῶν· ὑπὲρ δὲ τῆς νίκης
68 πολλοὶ τῶν ἀγαθῶν καὶ ἀποθνήσκειν αἱροῦνται. πάλιν δὲ
τοῖς καθ' ἕκαστον ἡμῶν τὸ μὲν σῶμα, ἅτε ἀνόητον, οὐδὲ
αὑτῷ βοηθεῖν ἱκανόν ἐστιν, οὐδὲ ὑπὲρ αὑτοῦ φροντίζειν πέ- 124 R.
φυκεν, ὅ γε τῆς ψυχῆς ἀπολειπούσης οὐδὲ ὀλίγον δύναται
διαμένειν, ἀλλὰ παραχρῆμα λύεται καὶ ἀπόλλυται· ἡ ψυχὴ δὲ
ὑπὲρ ἐκείνου πάσας μὲν φροντίδας φροντίζει, πάσας δὲ ἐπι-
69 νοίας σκύλλει, τὰ πολλὰ μετ' ἀνίας καὶ λυπουμένη. καὶ τὸ
μὲν σῶμα αὐτὸ παρούσης μόνον αἰσθάνεται τῆς ἀλγηδόνος·
ἡ ψυχὴ δὲ πρὶν ἢ γενέσθαι τὴν ἀλγηδόνα ἀνιᾶται, πολλάκις
δὲ καὶ μὴ μελλούσης γίγνεσθαι διοῤῥωδεῖ. θανάτου δὲ σῶμα

64, 5. περιπεσὼν BC. Selden., περιπεσεῖν reliq. ‖ ὑφάλοις πέτραις. ὑφάλας πέτρας C. ‖ ἕρμασι. ἕρμασιν C. — 65, 3. κλέψειε. βλάψειε C. ‖ 5. παραστῆσαι. παράγειν C. ‖ 6. ὥστε καὶ C, καὶ om. reliq. — 66, 2. αὑτῷ μόνῳ. αὐτοῦ μόνου C. ‖ 3. καὶ ταῦτα B. Obs. p. 7, ἐνταῦθα reliq. ‖ 4. τῆς ὑγείας. καὶ ὑγιείας C. ‖ 5. δὲ τῆς. τε C. — 67, 2. οὐ μόνον. οὐ μόνας B. ‖ 4. ἔχωσι τὰ ἐπιτήδεια. malim ἔχωσιν ἐπιτηδείως (vel τὰ σώματα ἔχωσιν ἐπιτήδεια). ‖ 5. ἄχθεται BC. var. lect. v, ἄχθεσθαι reliq. ‖ ἢ om. C. ‖ 8. αἱροῦνται. post hoc v. interponenda videntur ἐγρηγόρσεως — φυλασσόντων. conf. § 85. — 68, 2. τοῖς om. C. ‖ οὐδὲ αὑτῷ. οὐδ' ἑαυτῷ corr. B. ‖ 3. αὑτοῦ. αὐτοῦ B. ‖ 4. ὅ γε — ὀλίγον om. C. ‖ ὅ γε Reisk., ὅτε reliq. ‖ 7. σκύλλει. σκύλλα C, κυκλοῖ Obs. p. 7, κυκλεῖ Geel. ‖ τὰ πολλὰ μετ' ἀνίας καὶ λυπουμένη Obs. p. 7, καὶ πολλὰ μὲν ἀνιᾶται λυπουμένη reliq. — 69, 2. αὐτὸ παρούσης. αὐτῷ παρούσης corr. B, παρούσης αὐτῷ C. ‖ 3. ἀλγηδόνα. ἀλήδονα C. ‖ 4. μὴ om. B. ‖ γίγνεσθαι. sic dedi. γίνεσθαι reliq. ‖ διοῤῥωδεῖ. διορρωδεῖν B. vox suspecta Reisk. ‖ θανάτου δὲ C, θανάτου τε reliq.

μὲν οὐδέποτε ᾔσθετο· ψυχὴ δὲ καὶ τούτου συνίησι, καὶ πολλὰ
πάσχει ῥυομένη μὲν ἐκ νόσων τὸ σῶμα, ῥυομένη δ' ἐκ πολέ-
μων, ῥυομένη δ' ἐκ χειμῶνος, ῥυομένη δ' ἐκ θαλάττης. οὕτω 125 R
πανταχῇ ἐπιπονώτερον ψυχὴ καὶ ταλαιπωρότερον σώματος,
70 ὅμως δὲ θειότερον καὶ βασιλικώτερον. καὶ μὴν τῶν γε ἀν-
θρώπων πᾶς ἂν ὁμολογήσειεν ὡς ἰσχυρότερον καὶ ἡγεμονικώ-
τερον ἀνὴρ γυναικός. ἀλλ' ἐκείναις μὲν τὰ πολλὰ τῶν ἔργων
κατ' οἰκίαν ἐστὶ, καὶ ἄπειροι μὲν ὡς τὸ πολὺ χειμώνων διατε-
71 λοῦσιν, ἄπειροι δὲ πολέμων, ἄπειροι δὲ κινδύνων. τοῖς δὲ
ἀνδράσι προσήκει μὲν στρατεύεσθαι, [προσήκει δὲ πλεῖν,]
προσήκει δὲ ναυτιλίας, ἀνάγκη δὲ ἐν ὑπαίθρῳ τὰ ἔργα δια-
πονεῖν. ἀλλ' οὐ διὰ τοῦτο μᾶλλον ἄν τις μακαρίσειε τῶν
72 ἀνδρῶν τὰς γυναῖκας. ὅσοι δ' αὖ δι' ἀσθένειάν τε καὶ μα-
λακίαν ἐζήλωσαν τὸν ἐκείνων βίον, ὥσπερ Σαρδανάπαλος,
73 διαβόητοι μέχρι νῦν εἰσιν ἐπὶ τοῖς αἰσχροῖς. τὸ δὲ μέγιστον,
ὁρᾷς τὸν ἥλιον, πόσῳ μὲν τῶν ἀνθρώπων ὑπερέχει μακαριό- 49 M.
τητι, θεὸς ὤν· ὅτι δὲ οὐκ ἀναίνεται δι' αἰῶνος ἡμῖν ὑπουρ-
74 γῶν καὶ τῆς ἡμετέρας ἕνεκα σωτηρίας πράττων ἅπαντα. τί
γὰρ ἄλλο τις εἴποι τὸν ἥλιον ἐργάζεσθαι δι' αἰῶνος, ἢ ὁπό-
σων ἄνθρωποι δέονται; ποιοῦντα μὲν καὶ διακρίνοντα τὰς
ὥρας, αὔξοντα δὲ καὶ τρέφοντα πάντα μὲν τὰ ζῶα, πάντα δὲ
τὰ φυτὰ, χορηγοῦντα δὲ τὸ κάλλιστον καὶ ἥδιστον ὁραμάτων,
φῶς, οὗ χωρὶς οὐδὲ τῶν ἄλλων ὄφελος οὐδὲν τῶν καλῶν,
οὔτε οὐρανίων οὔτε ἐπιγείων, ἀλλ' οὐδὲ τοῦ ζῆν· καὶ ταῦτα 126 R.
75 οὐδέποτε κάμνει χαριζόμενος. ἦπού γε δουλείαν δουλεύειν
φαίη τις ἂν πάνυ ἰσχυράν; εἰ γὰρ καὶ σμικρὸν ἀμελήσειε καὶ
παραβαίη τῆς αὐτοῦ τάξεως, οὐδὲν κωλύει πάντα μὲν οὐρα-
νὸν, πᾶσαν δὲ γῆν, πᾶσαν δὲ θάλατταν οἴχεσθαι, πάντα δὲ
τοῦτον τὸν εὐειδῆ καὶ μακάριον κόσμον τὴν αἰσχίστην καὶ
76 χαλεπωτάτην ἀκοσμίαν φανῆναι. νῦν δὲ, ὥσπερ ἐν λύρᾳ

5. τούτου Reisk., τοῦτο reliq. ‖ συνίησι. συνιέσι C. ‖ 6. ῥυομένη μέν. ῥυο — μὲν C. ‖ δ' ἐκ. δὲ ἐκ C. ‖ 7. δ' ἐκ. δὲ ἐκ C. ‖ δ' ἐκ. δὲ ἐκ C. ‖ θαλάττης. θαλάσσης B. — 70, 2. ὁμολογήσειεν ὡς C, ὡς om. reliq. (Reisk. supplebat ὅτι). ‖ 4. ἐστὶ. ἐστὶν C. — 71, 2. ἀνδράσι. ἀνδράσιν C. ‖ [προσήκει δὲ πλεῖν] suspecta. ‖ πλεῖν. πλέειν C. — 72, 2. βίον. βίων C. ‖ Σαρδανάπαλος. Σαρδανάπαλλος B. ‖ 3. μέχρι BC, μὲν reliq. — 74, 4. τὰ ζῶα C, ζῶα reliq. ‖ 5. τὰ φυτὰ BC, φυτὰ reliq. ‖ 7. τοῦ BC. Reisk., τὸ reliq. — 75, 1. ἦπού Geel., ἢ που B, ἢ ποῦ m, ἤπου C. vr. ‖ 2. καὶ C, κἂν reliq. ‖ ἀμελήσειε BC. mr, σικελήσειε v, σικελίσειε mrg. m, unde τι πλημμελήσειε Reisk. possit τι ἐκλύσειε. ‖ 3. αὑτοῦ. αὐτοῦ B. ‖ οὐρανὸν B. Iacobs., ἄνθρωπον reliq.

φθόγγων ἁπτόμενος ἐμμελῶς, οὐδέποτε ἐξίσταται τῆς καθα-
ρᾶς τε καὶ ἄκρας ἁρμονίας, μίαν ἀεὶ καὶ τὴν αὐτὴν ἰὼν ὁδόν.
77 ἐπεὶ δὲ δεῖται μὲν ἀλέας ἡ γῆ ὥστε γεννῆσαι τὰ φυόμενα καὶ
ὥστε αὐξῆσαι καὶ ὥστε ἐπιτελέσαι, δεῖται δὲ τὰ ζῶα καὶ σω-
τηρίας ἕνεκεν τῶν σωμάτων καὶ ἡδονῆς τῆς κατὰ φύσιν, δεό-
μεθα δὲ καὶ ἡμεῖς πάντων μάλιστα, ἅτε πλείστης χρῄζοντες
βοηθείας· θέρος ἐποίησεν, ἀεὶ [καὶ] μᾶλλον ἐγγυτέρω προσ- 121 R.
ιὼν τῆς ἡμετέρας οἰκήσεως, ἵνα πάντα μὲν φύσῃ, πάντα δὲ
θρέψῃ, πάντα δὲ τελειώσῃ, θείαν δὲ καὶ θαυμαστὴν παρά-
78 σχῃ τοῖς ἀνθρώποις εὐφροσύνην τε καὶ ἑορτήν. ἐπεὶ δὲ αὖ
πάλιν τἄλλά τε καὶ ἡμεῖς ἐν χρείᾳ γιγνόμεθα τῆς ἐναντίας
κράσεως· δεῖται μὲν γὰρ ὑπὸ τοῦ ψύχους τὰ σώματα συνί-
στασθαι, δεῖται δὲ πυκνώσεως τὰ φυτά, δεῖται δὲ ὄμβρων ἡ
79 γῆ· πάλιν ἄπεισιν ἀφιστάμενος ἀφ' ἡμῶν τὸ μέτριον. οὕτω
δὲ πάνυ ἀσφαλῶς καὶ ἀραρότως τηρεῖ τοὺς ὅρους πρὸς τὸ
ἡμῖν συμφέρον, ὥστε εἴτε προσιὼν ὀλίγον ἐγγυτέρω γένοιτο, 50 M.
πάντα ἂν συμφλέξειεν, εἴτε ἀπιὼν σμικρὸν ὑπερβάλοι, πάντα
80 ἂν ἀποψυγείη τῷ κρύει. ἐπεὶ δὲ ἀσθενέστεροι φέρειν ἐσμὲν
τὴν μεταβολὴν ἀθρόαν γιγνομένην, κατ' ὀλίγον ταῦτα μηχα-
νᾶται, καὶ τρόπον τινὰ λανθάνει ἡμᾶς συνεθίζων διὰ τοῦ
ἦρος ὑπενεγκεῖν τὸ θέρος, προγυμνάζων δὲ διὰ τοῦ μετοπώ-
ρου χειμῶνα ἀνέχεσθαι, ἐκ μὲν τοῦ χειμῶνος θάλπων κατ'
ὀλίγον, ἐκ δὲ τοῦ θέρους ἀναψύχων, ὥστε ἀλύπως ἀφικνεῖ-
81 σθαι πρὸς ἑκατέραν τὴν ὑπερβολήν. ἐπεὶ δὲ αὖ τὸ φῶς ὁρᾶ-
σθαι μὲν ἥδιστον, πράττειν δὲ ἀδύνατον ὁτιοῦν χωρὶς αὐτοῦ,

76, 2. φθόγγων. φθόγγον C. ‖ 3. ἄκρας. μακρὰς C. ‖ μίαν ἀεὶ C, μίαν reliq. ‖ ἰὼν. sic dedi. ἀεὶ ἰὼν Reisk., ἀπιὼν reliq., ἐπιὼν Wyttenb. in Indic. Plut. v. ἔπειμι. — 77, 1. γῆ ὥστε C. Reisk., ὥστε om. reliq. ‖ 3. ἕνεκεν. ἕνεκα B. ‖ τῆς κατὰ C. Reisk., τῶν κατὰ reliq. ‖ δεόμεθα δὲ καὶ ἡμεῖς πάντων Reisk., δεόμεθα δὲ πάντων C, δεόμεθα καὶ ἡμεῖς πάντων reliq. ‖ 5. [καὶ] delendum videtur. ‖ 7. παράσχῃ r, παράσχει C, παράσχοι B. vm. — 78, 2. τἄλλά τε καὶ C, πολλὰ καὶ reliq., unde πολλαχῆ Iacobs. Add. p. 79. ‖ 5. ἀφιστάμενος ἀφ' ἡμῶν τὸ C, ἀφ' ἡμῶν ἀφιστάμενος (om. τὸ) reliq. — 79, 4, ὑπερβάλοι BC, ὑπερβάλλοι reliq. ‖ 5. ἀποψυγείη τῷ κρύει BC, τῷ κρύει om. reliq. — 80, 2. γιγνομένην BC, γινομένην reliq. ‖ 3. τρόπον τινὰ λανθάνει συνεθίζων μὲν ἡμᾶς διὰ τοῦ ἦρος C, καὶ τρόπον ἡμᾶς λανθάνων καὶ συνεθίζων τινὰ τοῦ ἦρος B, τρόπον ἡμᾶς ὥστε λανθάνειν καὶ συνεθίζων τινὰ τοῦ ἦρος A, καὶ τρόπον τινὰ ἡμᾶς λανθάνει συνεθίζων μὲν τοῦ ἦρος Reisk., καὶ τρόπον ἡμᾶς λανθάνων· καὶ συνεθίζει τινὰ (διὰ pro τινὰ Casaub.) τοῦ ἦρος reliq. ‖ 4. ὑπενεγκεῖν. ὑπενεγγεῖν C. ‖ δὲ διὰ τοῦ C. Casaub., δὲ τοῦ reliq. ‖ 5. κατ' ὀλίγον. κατ' ὀλίγων C.

κοιμώμενοι δὲ πᾶσαν μὲν ἡσυχίαν ἄγομεν, οὐδὲν δὲ χρώμεθα 128 R.
τῷ φωτί· ὅσον μὲν ἱκανὸν ἐγρηγορέναι, ἡμέραν ἐποίησεν, ὅσον
δὲ κοιμᾶσθαι ἀναγκαῖον, νύκτα ἀπέδειξε· περὶ πᾶσαν ἰὼν
γῆν, ἄλλοτε ἄλλους ἀναπαύων τε καὶ ἀνιστάς· ἀφιστάμενος
μὲν ἀπὸ τῶν μηκέτι δεομένων φωτὸς, τοῖς δὲ ἀεὶ δεομένοις
ἐπιφαινόμενος. καὶ ταῦτα μηχανώμενος δι' αἰῶνος οὐδέποτε
82 κάμνει. ὅπου δὲ θεὸς ὁ πάντων κάλλιστος καὶ φανερώτατος
οὐχ ὑπερορᾷ τὸν ἅπαντα χρόνον ἀνθρώπων ἐπιμελούμενος,
ἤπού γε ἄνθρωπον θεοφιλῆ καὶ φρόνιμον χρὴ βαρύνεσθαι
τὸ τοιοῦτον, ἀλλὰ μὴ καθ' ὅσον οἷός τέ ἐστι, μιμεῖσθαι τὴν
83 ἐκείνου δύναμιν καὶ φιλανθρωπίαν; ταῦτα δὲ λογιζόμενος
οὐκ ἄχθεται καρτερῶν. [κατανοεῖ δὲ τοὺς μὲν πόνους ὑγείαν
τε παρέχοντας καὶ σωτηρίαν, ἔτι δὲ δόξαν ἀγαθήν· τὴν δὲ 129 R.
αὖ τρυφὴν ἅπαντα τούτων τἀναντία. ἔτι δὲ οἱ μὲν πόνοι
αὐτοὺς ἐλάττους ἀεὶ ποιοῦσι καὶ φέρειν ἐλαφροτέρους, τὰς
δὲ ἡδονὰς μείζους καὶ ἀβλαβεστέρας, ὅταν γίγνωνται μετὰ
τοὺς πόνους. ἡ δέ γε τρυφὴ τοὺς μὲν πόνους ἀεὶ χαλεπωτέ-
ρους ποιεῖ φαίνεσθαι, τὰς δὲ ἡδονὰς ἀπομαραίνει καὶ ἀσθε-
84 νεῖς ἀποδείκνυσιν. ὁ γὰρ ἀεὶ τρυφῶν ἄνθρωπος, μηδέποτε
δὲ ἁπτόμενος πόνου μηδενὸς, τελευτῶν πόνον μὲν οὐκ ἂν οὐ- 51 M.
δένα ἀνάσχοιτο, ἡδονῆς δὲ οὐδεμιᾶς ἂν αἴσθοιτο, οὐδὲ τῆς
σφοδροτάτης. ὥστε ὁ φιλόπονος καὶ ἐγκρατὴς οὐ μόνον βα-
σιλεύειν ἱκανώτερός ἐστιν, ἀλλὰ καὶ ἥδιον βιοτεύειν πολὺ τῶν
85 ἐναντίων.] [ἐγρηγόρσεως δὲ καὶ ὕπνου τοῖς μὲν στρατιώταις
ἐξ ἴσου μέτεστι, τῶν μὲν φυλαττόντων ἐν μέρει, τῶν δὲ ἀνα-

81, 3. κοιμώνενοι. κοιμώμενος C. ‖ πᾶσαν μὲν C, μὲν om. reliq. ‖ οὐδὲν δὲ. δὲ om. C. ‖ χρόνον C, om. reliq. ‖ 5. περὶ C, περί τε reliq. ‖ 6. ἀφιστάμενος C mrg. m, παριπτούμενος v, παριπτάμενος reliq., malim παριστάμενος. ‖ 7. δὲ ἀεὶ C, δὲ δὴ reliq. — 82, 1. φανερώτατος. φανερώτερος v. ‖ 3. ἤπού. sic dedi. ἦ ποῦ reliq. ‖ 4. τὸ τοιοῦτον C, τὸ τοιοῦτο reliq. (at in B. corr. τῷ τοιούτῳ). ‖ μὴ corr. B (μὴν a prim. man.). C. Casaub., μὴν reliq. ‖ 5. ἐκείνου BC. Reisk., ἐκείνων reliq.—83, 2. [κατανοεῖ—84, 6. ἐναντίων] idem locus tractatur infra § 123, ut haec non libera sint a suspicione. praeterea orationis nexum turbant, et postrema verba ὥστε—ἐναντίων ineptam continent repetitionem v. οὐκοῦν—βασιλέως § 61. ‖ 3. ἔτι δὲ. καὶ C. ‖ 6. γίγνωνται BC, γίνωνται reliq. ‖ 7. ἡ δέ γε τρυφὴ τοὺς μὲν C, μὲν τρυφὴ mrg. m, ἡ τρυφὴ δὲ τοὺς μὲν Reisk., ἡ δ' αὖ τρυφὴ τοὺς Seld., εἰ γὰρ μὴ τοῦτο τοὺς reliq. (nisi quod in B τοὺς μὲν), ἡ δ' αὖ τοὐναντίον τοὺς Iacobs. Add. p. 369. ‖ 9. ἀποδείκνυσιν. ὑποδείκνυσιν C.—84, 2. πόνον. πόνου C.—85, 1. [ἐγρηγόρσεως—φυλαττόντων] aliena; pertinent ad eum locum, qui tractatur § 66—67. hoc quoque veri ordinis indicium est. ‖ 2. φυλαττόντων C, φυλασσόντων reliq.

πανομένων· ὁ δὲ στρατηγὸς ἀγρυπνότερός ἐστι τῶν ἀεὶ φυλατ-
58 τόντων.] καὶ τοίνυν τὴν μὲν ἀνδρείαν καὶ τὴν ἐγκράτειαν καὶ 46 M. 119 R.
τὴν φρόνησιν ἀναγκαίας νομίζει καὶ τοῖς ἀμελοῦσι τοῦ δι-
καίου καὶ βουλομένοις τυραννεῖν [εἰ μὴ τάχιστα ἀπολοῦν-
ται· ἀλλὰ καὶ μᾶλλον ἤ τινος τούτων ἑώρα δεομένους αὐ- 120 R.
59 τοῦ]· ὅσῳ δὲ πλείους μὲν ἔχει τοὺς μισοῦντας, πλείους δὲ
τοὺς ἐπιβουλεύοντας, οὐδένα δὲ πιστὸν οὐδὲ κηδόμενον· το-
σούτῳ δὲ μᾶλλον, εἰ σωθήσεταί τινα χρόνον, καὶ ἀγρυπνη-
τέον εἶναι καὶ φροντιστέον, ὡς ἀμυνόμενόν τε μὴ ἡττᾶσθαι
τῶν πολεμίων καὶ ἐπιβουλευόμενον μὴ ἀγνοεῖν τοὺς ἐπιβου-
λεύοντας, καὶ τῶν ἡδονῶν ἀφεκτέον καὶ γαστρὶ καὶ ὕπνῳ καὶ
ἀφροδισίοις ἐλάχιστα προσεκτέον, ἢ τῷ φιλουμένῳ μὲν ὑπὸ
60 πάντων, μηδένα δὲ ἔχοντι ἐπιβουλεύοντα. εἰ δὲ δεῖ τὰς αὐ-
τὰς μὲν φροντίδας ἔχειν ἢ καὶ πλείους, πολὺ δὲ μείζους ἀσχο-
λίας, ὁμοίως δὲ εὐλαβεῖσθαι τὰς ἡδονάς, ὁμοίως δὲ τοὺς κιν-
δύνους ὑπομένειν· πόσῳ γε κρεῖττον μετὰ δικαιοσύνης καὶ ἀρε-
τῆς ἢ μετὰ πονηρίας καὶ ἀδικίας πάντα ταῦτα ἐπιτηδεύειν; καὶ
μετὰ ἐπαίνου φαίνεσθαι τοιοῦτον ἢ μετὰ ψόγου; ἀγαπώμενον 121 R.
μὲν ὑπὸ ἀνθρώπων, ἀγαπώμενον δὲ ὑπὸ θεῶν, ἢ τοὐναντίον
61 μισούμενον; καὶ τοίνυν τὸ μὲν παρὸν βραχύ τι τῷ ἀνθρώπῳ
καὶ ἀσυλλόγιστον, κατέχει δὲ τοῦ βίου τὸ πλεῖστον ἡ μνήμη
τῶν προγεγονότων καὶ ἡ τῶν μελλόντων ἐλπίς. πότερον οὖν 24 M.
τοῖν ἀνδροῖν ἡγούμεθα εὐφραίνειν τὴν μνήμην, ἢ πότερον
ἀνιᾶν, καὶ πότερον θαρρύνειν τὰς ἐλπίδας καὶ πότερον ἐκ-

58, 1. ἀνδρείαν. ἀνδρίαν B. ‖ 2. ἀναγκαίας. ἀναγκαίους C. ‖ ἀμελοῦσι. ἀμελλοῦσι C. ‖ 3. εἰ μὴ τάχιστα ἀπολοῦνται C. mrg. m, οὐκ εἰ τάχιστα ἐσπούδασεν reliq. ‖ 4. ἀλλὰ καὶ μᾶλλον ἤ τινος τούτων C. mrg. m (nisi quod εἴ τινος pro ἤ τινος), ἀλλὰ καὶ μᾶλλον παρέχειν εἴ τι τούτους reliqui. haud dubie corrupta. ‖ αὐτοῦ. αὐτῶν Reiskius. verba [εἰ μὴ τάχιστα — αὐτοῦ] e margine perperam in Dioneam orationem recepta videntur. si τῷ ἀμελοῦντι et βουλομένῳ scribatur in antecedentibus, nihil ad integritatem sententiae desiderabitur. v. ἀλλὰ — αὐτοῦ Geelio quoque suspecta fuerunt. conf. Orat. VI, 50. — 59, 1. ἔχει. deest ὁ τύραννος vel tale quid. Reisk. ‖ 2. οὐδένα δὲ Reisk., οὐδενὸς δὲ C, οὐδένα reliq. ‖ τοσούτῳ δέ. τοσούτῳ γε C. ‖ 4. εἶναι. αὐτῷ εἶναι Geel. ‖ ὡς ἀμυνόμενόν — ἐπιβουλεύοντα suspecta sunt Geelio. ‖ ὡς. sic dedi. καὶ reliq. ‖ τε μὴ Reisk., γε μὴ reliq. ‖ 5. πολεμίων C. Reisk., πολεμικῶν reliq. ‖ 7. ἀφροδισίοις. ἀφροδισίας C. ‖ μὲν om. C. — 60, 2. ἢ καὶ Reisk., ἢ reliq. ‖ 4. πόσῳ γε C, πόσῳ δὴ reliq. — 61, 2. ἡ μνήμη BC. Iacobs. Add. p. 101, μνήμη reliq. ‖ 4. ἡγούμεθα. ἡγώμεθα Reisk. ‖ εὐφραίνειν. εὐφρονεῖν C. ‖ μνήμην Geel., γνώμην reliq. ‖ πότερον. ποτέροιν C. ‖ 5. πότερον. ποτέροιν C. ‖ ἐλπίδας καὶ. malim ἐλπίδας, ἤ. ‖ πότερον. ποτέροιν C.

Digitized by Google

πλήττειν; οὐκοῦν καὶ ἡδίονα ἀνάγκη τὸν βίον εἶναι τοῦ ἀγα-
86 *θοῦ βασιλέως. φιλίαν γε μὴν ἁπάντων νενόμικεν τῶν αὐτοῦ* 51 M. 129
κτημάτων κάλλιστον καὶ ἱερώτατον. οὐ γὰρ οὕτως αἰσχρὸν
εἶναι τῷ βασιλεύοντι οὐδὲ ἐπικίνδυνον χρημάτων ἀπορεῖν, ὡς 130 R.
φίλων· οὐδ' ἂν οὕτω τῇ χορηγίᾳ καὶ τοῖς στρατοπέδοις καὶ
τῇ ἄλλῃ δυνάμει διαφυλάττειν τὴν εὐδαιμονίαν, ὡς τῇ πίστει
87 *τῶν φίλων. μόνος μὲν γὰρ οὐδεὶς πρὸς οὐδὲν οὐδὲ τῶν ἰδίων*
ἱκανός ἐστι· τοῖς δὲ βασιλεῦσιν, ὅσῳ πλείω τε καὶ μείζω
πράττειν ἀνάγκη, πλειόνων δεῖ καὶ τῶν συνεργούντων καὶ
μετ' εὐνοίας πλείονος. ἀνάγκη γὰρ τὰ μέγιστα καὶ σπου-
δαιότατα τῶν πραγμάτων ἢ πιστεύειν ἑτέροις ἢ προΐεσθαι.
88 *καὶ τοίνυν τοῖς μὲν ἰδιώταις οἱ νόμοι παρέχουσι τὸ μὴ ἀδι-*
κεῖσθαι ῥᾳδίως ὑπὸ τούτων, οἷς ἂν συμβάλωσιν ἢ χρήματα
πιστεύσαντες ἢ οἶκον ἐπιτρέψαντες ἢ ἔργου τινὸς κοινωνήσαν-
τες, ζημιοῦντες τὸν ἀδικοῦντα· τοῖς δὲ βασιλεῦσι τὸ μὴ ἀδι-
κεῖσθαι πιστεύσαντας οὐκ ἔστι παρὰ τῶν νόμων ζητεῖν, ἀλλὰ
89 *παρὰ τῆς εὐνοίας. καὶ γὰρ ἰσχυροτάτους μὲν εἰκὸς ἁπάντων*
εἶναι τοὺς ἐγγὺς τῶν βασιλέων καὶ τὴν ἀρχὴν συνδιοικοῦν-
τας. ἀπὸ δὲ τούτων οὐκ ἔστιν ἄλλη φυλακὴ πλὴν τὸ ἀγα-
πᾶσθαι. ὡς τοῖς μὲν τυχοῦσιν οὐκ ἀσφαλὲς εἰκῇ μεταδιδόναι
δυνάμεως· ὅσῳ δ' ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιῇ, το-
90 *σούτῳ ἰσχυρότερος αὐτὸς γίγνεται. ὅρα δὲ, ὅτι τῶν μὲν*
ἄλλων κτημάτων τὰ μὲν ἀναγκαῖα μόνον καὶ χρήσιμα δοκεῖ 131 R.
πᾶσι, τέρψιν δὲ οὐδεμίαν παρέχεται· τὰ δὲ ἡδέα μόνον, συμ- 52 M.
φέροντα δὲ οὔ· τοὐναντίον δὲ τὰ πλεῖστα τῶν ἡδέων ἀσύμ-
91 *φορα εὑρίσκεται. [καὶ τοίνυν ὅσα μὲν ἀναγκαῖα καὶ χρήσιμα*
τῶν κτημάτων, οὐ πάντως οὐδ' ἡδονήν τινα ἔχει τοῖς κεκτη-
μένοις· ὅσα δὲ τερπνὰ, οὐκ εὐθὺς διὰ τοῦτο καὶ συμφέροντα.
τοὐναντίον γὰρ τὰ πολλὰ τῶν ἡδέων ἀσύμφορα ἐξελέγχεται.]

6. *οὐκοῦν.* *οὔκουν*, ut interrogantis, Geel. ‖ *ἡδίονα* r, *ἥδιον* B, *ἴδιον* C. v m, *ἡδίω* Casaub. — 86, 1. *φιλίαν γε μὴν.* *ὁ δὲ φιλίαν γε μὴν* C. ‖ *ἁπάντων νενόμικεν* BC, *νενόμικεν ἁπάντων* reliq. ‖ 3. *τῷ βασιλεύοντι* Selden., *τὸ βασιλεύειν* reliq. ‖ 4. *οὕτω.* sic dedi. *οὕτως* reliq. ‖ 5. *διαφυλάττειν* BC, *διαφυλάττοι* reliq. — 87, 2. *μείζω.* *μει ω* C (literae ω superscr. *τη*). ‖ 3. *δεῖ καί.* *δὴ καὶ* B. ‖ 4. *σπουδαιότατα* Reisk., *σπουδαιότερα* reliq. — 88, 2. *συμβάλωσιν* Reisk., *συμβάλωσι* C, *συμβάλλωσιν* reliq. ‖ 4. *βασιλεῦσι.* *βασιλεῦσιν* C. ‖ 5. *ἔστι.* *ἔστιν* C. — 89, 5. *τοσούτῳ.* *τοσοῦτο* C. — 90, 1. *ὅρα.* *ὁρᾷ* B. ‖ 4. *τὰ πλεῖστα.* *τὰ μετὰ πλεῖστα* B. — 91, 1. [*καὶ τοίνυν — ἐξελέγχεται.*] aliena esse primus intellexit Selden. ‖ 2. *οὐδ'* om. C. ‖ 3. *οὐκ εὐθὺς διὰ τοῦτο* C, *διὰ τοῦτο οὐκ εὐθὺς* reliq. ‖ 4. *τὰ πολλά.* *τὰ* om. C. ‖ *ἀσύμφορα.* *ἀξύμφορα* C.

92 αὐτίκα τείχη μὲν καὶ ὅπλα καὶ μηχανήματα καὶ στρατόπεδα
τῶν ἀναγκαίων ἐστὶ κτημάτων τοῖς κρατοῦσιν. ἄνευ γὰρ
τούτων οὐχ οἷόν τε σώζεσθαι τὴν ἀρχήν. τέρψιν δὲ οὐχ
93 ὁρῶ ποίαν δίχα γε τῆς ὠφελείας ἔχει. καλὰ δὲ ἄλση καὶ
οἰκίαι πολυτελεῖς καὶ ἀνδριάντες καὶ γραφαὶ τῆς παλαιᾶς τε
καὶ ἄκρας τέχνης καὶ χρυσοῖ κρατῆρες καὶ ποικίλαι τράπεζαι
καὶ πορφύραι καὶ ἐλέφας καὶ ἤλεκτρος καὶ μύρων ὀσμαί, καὶ
θεαμάτων τε παντοίων καὶ ἀκουσμάτων τέρψεις διά τε φωνῆς
καὶ ὀργάνων, πρὸς δὲ αὖ τούτοις γυναῖκες ὡραῖαι καὶ παιδία
ὡραῖα, ξύμπαντα ταῦτα οὐδεμιᾶς ἕνεκα χρείας, ἀλλ' ἡδονῆς
94 εὑρημένα φαίνεται. μόνῃ δὲ τῇ φιλίᾳ συμβέβηκεν ἁπάντων
μὲν εἶναι συμφορώτατον, ἁπάντων δὲ ἥδιστον. εὐθὺς οἶμαι
τῶν ἀναγκαίων τὰ μέγιστα, ὅπλα καὶ τείχη καὶ στρατεύματα 132 R.
καὶ πόλεις, ἄνευ τῶν διοικούντων φίλων οὔτε χρήσιμα οὔτε
συμφέροντα, ἀλλὰ καὶ λίαν ἐπισφαλῆ· οἱ δέ γε φίλοι καὶ
95 δίχα τούτων ὠφέλιμοι. καὶ ταῦτα μὲν ἐν πολέμῳ μόνῳ χρή-
σιμα, τοῖς δὲ ἀεὶ βιωσομένοις ἐν εἰρήνῃ, ἂν ᾖ δυνατόν, ἀχρεῖα
96 καὶ βαρέα· ἄνευ δὲ φιλίας οὐδ' ἐν εἰρήνῃ ζῆν ἀσφαλές. καὶ
μὴν ὧν εἶπον ἡδέων τὸ μὲν κοινωνεῖν φίλοις τερπνότατον,
μόνον δὲ ἀπολαύειν ἐν ἐρημίᾳ πάντων ἀηδέστατον, καὶ οὐδεὶς
ἂν ὑπομείνειεν· ἔτι δὲ λυπηρότερον, εἰ δεήσειε κοινωνεῖν τοῖς
97 μὴ ἀγαπῶσι. ποία μὲν γὰρ εὐφροσύνη προσφιλής, εἰ μὴ καὶ
πάντα παρείη τὰ μέγιστα; ποῖον δὲ συμπόσιον ἡδὺ χωρὶς
εὐνοίας τῶν παρόντων; ποία δὲ θυσία κεχαρισμένη θεοῖς
98 ἄνευ τῶν συνευωχουμένων; οὐ γὰρ καὶ τὰ ἀφροδίσια ταῦτα
ἥδιστα καὶ ἀνυβριστότατα, ὅσα γίγνεται μετὰ φιλίας τῶν
συνόντων καὶ ὅσοι μαστεύουσιν εὔνοιαν ἀνθρώποις ἐπῆλθε 53 M. 133 R.

92, 2. ἐστὶ κτημάτων C, ἐστὶ om. reliq. ‖ 4. δίχα γε C, γε δίχα reliq. — 93, 2. οἰκίαι Reisk., οια C, οἰκία reliq. ‖ πολυτελεῖς C. Reisk., καὶ πολυτελεῖς reliq. ‖ καὶ ἀνδριάντες Reisk., καὶ om. reliq. ‖ παλαιᾶς C, σπουδαίας reliq. ‖ 4. πορφύρα B, πορφύραι reliq. ‖ καὶ θεαμάτων τε. sic dedi. καὶ θεαμάτων C, θεαμάτων τε reliq. ‖ 5. τέρψεις. τέρψης m. ‖ 6. παιδία. παιδικὰ C. ‖ 7. ταῦτα. ταῦτα δὲ C. ‖ 8. εὑρημένα. εὕρημια C. — 94, 2. εὐθὺς C, εὐθὺς δὲ reliq., εὐθὺς γὰρ Reisk. ‖ 3. τῶν ἀναγκαίων. τὸν ἀναγκαῖον C. ‖ 5. φίλοι. φίλοις C. — 95, 1. μόνον BC, μόνῳ reliq. ‖ 2. βιωσομένοις. βιωσομίας C. ‖ 3. οὐδ'. οὐδὲ C. — 96, 2. τερπνότατον. τερπνότερον BC. ‖ 3. ἀπολαύειν. ἀπολάβειν C. — 97, 1. εἰ μή. εἰ δὲ μὴ C. ‖ καὶ πάντα παρείη τὰ μέγιστα. εἰ μὴ καὶ πασῶν παρείη ἡ μεγίστη Reisk., εἰ μὴ καὶ τἆλλα παρείη τὰ μέγιστα Iacobs., malim εἰ μὴ χάρματα παρείη τὰ μέγιστα. ‖ 2. ποῖον. ποῖαν C. — 98, 1. ταῦτα. αὐτὰ C. ‖ 3. καὶ ὅσοι μαστεύουσιν

Digitized by Google

99 παρὰ παιδικῶν ἢ παρὰ γυναικῶν. πολλαὶ μὲν γὰρ ἐπωνυμίαι
τῆς φιλίας, ὥσπερ ἀμέλει καὶ χρεῖαι· ἡ δὲ μετὰ κάλλους καὶ
ὥρας γιγνομένη φιλία δικαίως ἔρως ὠνόμασται, καὶ δοκεῖ
100 κάλλιστος τῶν θεῶν. καὶ μὴν τά γε ὠφέλιμα φάρμακα τοῖς
μὲν νοσοῦσιν ὠφέλιμα, τοῖς δὲ ὑγιαίνουσι περιττά. φιλίας
δὲ καὶ τοῖς ὑγιαίνουσιν ἀεὶ σφόδρα δεῖ καὶ τοῖς νοσοῦσιν· ἣ
συμφυλάττει μὲν πλοῦτον, ἐπαρκεῖ δὲ πενίᾳ, καὶ λαμπρύνει
101 μὲν δόξαν, ἀμαυροῖ δὲ ἀδοξίαν. μόνον δὲ τοῦτο τὰ μὲν δυσ-
χερῆ πάντα μειοῖ, τὰ δὲ ἀγαθὰ πάντα αὔξει. ποία μὲν γὰρ
συμφορὰ δίχα φιλίας οὐκ ἀφόρητος; ποία δὲ εὐτυχία χωρὶς
φίλων οὐκ ἄχαρις; εἰ δὲ σκυθρωπὸν ἐρημία καὶ πάντων φοβε-
ρώτατον, οὐ τὴν ἀνθρώπων ἐρημίαν χρὴ τοιοῦτον νομίζειν,
ἀλλὰ τὴν τῶν φίλων· ἐπεὶ τῶν γε μὴ εὐνοούντων πολλάκις ἡ
102 ἐρημία κρείττων. ἐγὼ μὲν γὰρ οὐδ' εὐτυχίαν νενόμικα ἐκεί-
νην, ἣ μηδένα ἔχει τὸν συνηδόμενον. ῥᾷον γὰρ ἄν τις συμ-
φορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων, ἢ μόνος εὐτυχίαν
τὴν μεγίστην. ὡς ἐκεῖνον ἀθλιώτατον ἐγὼ κρίνω δικαίως,
ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφηδομένους,
103 ἐν δὲ ταῖς εὐτυχίαις οὐδένα τὸν συνηδόμενον. ᾧ δὲ πλεῖ-
στοι μὲν καὶ ἄριστοι φίλοι, δυσμενὴς δὲ φαυλότατος, εἴ
τις ἄρα ἐστὶ, καὶ πολλοὶ μὲν οἱ ἀγαπῶντες, πλείους δὲ οἱ
ἐπαινοῦντες, ψέγειν δὲ οὐδεὶς δυνάμενος· πῶς ὁ τοιοῦτος οὐ
τελέως εὐδαίμων; [ὁ γὰρ τοιοῦτος ἀνὴρ πολλοὺς μὲν ἔχει τοὺς
συνηδομένους, οὐδένα δὲ ἐφηδόμενον καὶ διὰ τὸ εὐτυχεῖν ἐφ' 134 R.
ἅπασι καὶ διὰ τὸ πολλοὺς μὲν ἔχειν φίλους, μηδένα δὲ ἐχ-

εὔνοιαν ἀνθρώποις ἐπῆλθε παρά. mrg. m ὅσα pro ὅσοις. alii aliter tentarunt. καὶ ὅσοι μνηστεύουσι σὺν εὐνοίᾳ Selden., καὶ ὅσοις μαστεύουσιν εὔνοιαν ἄνθρωποι, οὐκ ἐπώνυμα ἦλθε Reisk., ὅσοις μαγγανεύουσιν οἱ ἄνθρωποι, ἐπῆλθε παρὰ Iacobs.; at ἐπῆλθε non videtur significare posse *obvenerunt*. malim καὶ ὅσα μαστεύουσιν εὔνοιαν ἀνθρώποις ἔπαθλα παρά. — 100, 2. φιλίας δὲ καὶ τοῖς ὑγιαίνουσιν ἀεὶ σφόδρα δεῖ καὶ C, φιλίας δὲ ἀεὶ μὲν καὶ τοῖς ὑγιαίνουσι σφόδρα δεῖ καὶ reliq., φιλίας δέ δεῖ μὲν καὶ τοῖς ὑγιαίνουσι, σφόδρα δὲ δεῖ καὶ Reisk. ‖ 3. νοσοῦσιν. μισοῦσι mrg. m. ‖ ἣ συμφυλάττει. sic dedi. ἣ συμφυλάττει C, καὶ συμφυλάττει reliq. ‖ 4. καὶ λαμπρύνει. καὶ om. C. — 101, 2. μὲν γάρ. γὰρ om. C. ‖ 3. οὐκ ἀφόρητος. εὐφόρητος C. ‖ 6. ἡ ἐρημία C, ἐρημία reliq. — 102, 1. οὐδ'. οὐδὲ C. ‖ νενόμικα ἐκείνην. ἐκείνην νενόμικα BC. ‖ 2. ἣ Reisk., ᾗ C, εἰ reliq. ‖ 3. μόνος. μόνως C. ‖ 5. ὃς. ὡς C. — 103, 1. δέ. sic dedi. γὰρ reliq. ‖ 2. φαυλότατος, εἴ τις C, οὔτις reliq. ‖ 4. δυνάμενος C, ὁ δυνάμενος reliq. ‖ 5. [ὁ γάρ—ἐχθρόν] eiicienda, id quod sensit Reisk. ‖ 7. μηδένα δέ. δὲ om. C.

104 θρόν.] εἰ δὲ ὀφθαλμοὶ καὶ ὦτα καὶ γλῶτται καὶ χεῖρες ἀν-
θρώπων τοῦ παντὸς ἄξια οὐ μόνον πρὸς τὸ ἥδεσθαι ζῶντας,
ἀλλὰ δύνασθαι ζῆν· τούτων οὐκ ἔλαττον, ἀλλὰ μᾶλλον φίλοι
105 χρήσιμοι. διὰ μὲν γὰρ τῶν ὀφθαλμῶν μόλις ὁρᾶν ἔστι τὰ
ἐμποδών, διὰ δὲ τῶν φίλων καὶ τὰ ἐν τοῖς γῆς πέρασι θεᾶ- 54 M.
σθαι. καὶ διὰ μὲν τῶν ὤτων οὐκ ἄν τις ἀκούσαι ἢ τῶν
σφόδρα ἐγγύθεν, διὰ δὲ τῶν εὐνοούντων οὐδενὸς τῶν ἀναγ-
106 καίων ὁποιδήποτε ἀνήκοός ἐστιν· καὶ τῇ μὲν γλώττῃ μόνοις
τοῖς παροῦσι σημαίνει, καὶ ταῖς χερσὶν, εἰ καὶ σφόδρα εἴη
καρτερὸς, οὐκ ἂν ἐργάσαιτο πλεῖον ἔργον ἢ δύ' ἀνδρῶν, διὰ
δὲ τῶν φίλων δύναται καὶ πᾶσιν ἀνθρώποις διαλέγεσθαι καὶ
πάντων ἔργων ἐφικνεῖσθαι. οἱ γὰρ εὐνοοῦντες πάντα ἐκείνῳ
107 συμφέροντα καὶ λέγουσι καὶ δρῶσιν. τὸ δὲ δὴ πάντων παρα-
δοξότατον· ἕνα γὰρ ὄντα ἐγχωρεῖ, ὅστις πολύφιλος, πολλὰ
μὲν ἐν ταὐτῷ χρόνῳ πράττειν, περὶ πολλῶν δὲ ἅμα βουλεύε- 135 R.
σθαι, πολλὰ δὲ ὁρᾶν, πολλὰ δὲ ἀκούειν, ἐν πολλοῖς δὲ ἅμα
εἶναι τόποις, ὃ καὶ τοῖς θεοῖς χαλεπόν· ὡς μηδαμοῦ μηδὲν
108 ἔρημον ἀπολείπεσθαι τῆς ἐκείνου προνοίας. καὶ τοίνυν οὐχ
ἧττον αἱ τῶν φίλων εὐπάθειαι τὸν ἀγαθὸν πεφύκασιν εὐ-
φραίνειν τῆς αὐτοῦ τινος τέρψεως. πῶς γὰρ οὐ μακαριστὸν,
ὅτῳ πάρεστι πολλοῖς μὲν σώμασιν ἡδόμενον εὐφραίνεσθαι,
[πολλαῖς δὲ διανοίαις φροντίζοντα βουλεύεσθαι,] πολλαῖς δὲ
109 ψυχαῖς εὐτυχοῦντα χαίρειν; εἰ δὲ δόξα τοῖς φιλοτίμοις περι-
σπούδαστον, πολλάκις ἂν εὐδοξεῖν εἴη τῶν φίλων ἐπαινουμέ-
νων. εἰ δὲ πλοῦτος πέφυκεν εὐφραίνειν τοὺς κτωμένους, πολ-
λάκις ἂν εἴη πλούσιος ὁ τοῖς φίλοις μεταδιδοὺς τῶν παρόν-
110 των. καὶ τοίνυν ἡδὺ μὲν χαρίζεσθαι τοῖς ἐλευθέροις ἀφθό-

104, 1. ὀφθαλμοὶ καὶ ὦτα καὶ Geel., καὶ ὦτα om. reliq. ‖ ἀνθρώπων. malim ἀνθρώπῳ et infra ζῶντα. — 105, 2. διὰ δὲ B, διά τε reliq. ‖ ἐν τοῖς γῆς C, ἐπὶ γῆς reliq. ‖ θεᾶσθαι C, θεάσασθαι reliq. ‖ 3. τῶν ὤτων BC. Iacobs. Add. p. 20, τῶν om. reliq. ‖ 4. διὰ δὲ BC. Geel., διά τε reliq. — 106, 1. γλώττῃ C, γλώσσῃ reliq. ‖ 2. σημαίνει B, σημαίνῃ reliq. ‖ 3. καρτερὸς C, κρατερὸς reliq. ‖ ἐργάσαιτο C, ἐργάσηται reliq. ‖ διὰ δὲ B. Geel., διά τε reliq. ‖ 4. καὶ om. B. ‖ πᾶσιν ἀνθρώποις BC, ἀνθρώποις om. reliq. ‖ 5. ἐφικνεῖσθαι. ἀφικνεῖσθαι C. ‖ ἐκείνῳ. ἐκείνων C. — 107, 2. πολλὰ μὲν ἐν — ὁρᾶν om. C. ‖ 3. χρόνῳ πράττειν. πράττειν χρόνῳ B. ‖ 4. πολλὰ Geel., περὶ πολλῶν reliq. ‖ 5. ὡς μηδαμοῦ C, καὶ μηδαμοῦ reliq. — 108, 2. ἧττον αἱ τῶν BC. Casaub. r, ἧττον αὐτῶν A. v, αὐτῶν m. ‖ εὐφραίνειν. εὐφραίνει C. ‖ 5. [πολλαῖς δὲ διανοίαις φροντίζοντα βουλεύεσθαι] inducenda. — 109, 2. εὐδοξεῖν εἴη C, εὐδοξοίη reliq.

νων ὄντων, ἡδὺ δὲ λαμβάνειν δῶρα δικαίως λαμβάνοντα καὶ δι' ἀρετήν· ὁ τοίνυν τοῖς φίλοις χαριζόμενος ἥδεται ἅμα μὲν ὡς διδοὺς, ἅμα δὲ ὡς αὐτὸς κτώμενος. καὶ γὰρ δὴ παλαιός ἐστιν ὁ λόγος ὁ κοινὰ ἀποφαίνων τὰ τῶν φίλων. οὐκοῦν ἀγαθῶν παρόντων τοῖς ἀγαθοῖς, οὐχ ἥκιστα ἂν εἴη ταῦτα
111 κοινά. ἐν μὲν οὖν τοῖς ἄλλοις οὐ πάντως ὑπερβάλλειν τοὺς ἰδιώτας ὁ τοιοῦτος βασιλεὺς βούλεται, πολλαχοῦ δὲ καὶ ἔλαττον ἐκείνων ἔχειν· οἷον σχολῆς, ῥᾳθυμίας, ἀνέσεως· ἐν μόνῃ 136 R.
128 δὲ φιλίᾳ βούλεται πλεονεκτεῖν. οὐχ οὕτω δ' ἡγεῖται μακά- 140 R.
ριον, ὅτι ἔξεστι κεκτῆσθαι καλλίστους μὲν ἵππους, κάλλιστα δὲ ὅπλα, καλλίστην δὲ ἐσθῆτα καὶ τἆλλα ὁμοίως, ἀλλ' ὅτι φίλους τοὺς καλλίστους· καὶ πολύ γε αἴσχιον, φιλίας ἐνδεέ-
129 στερον ἔχειν τῶν ἰδιωτῶν, ἢ τούτων τινός. ᾧ γὰρ ἐξ ἁπάντων ἀνθρώπων ἐκλέξασθαι τοὺς πιστοτάτους ὑπάρχει, καὶ σχεδὸν οὐδείς ἐστιν, ὃς οὐκ ἂν ἄσμενος ὑπακούσειεν αὐτῷ 141 R.
βουλομένῳ χρῆσθαι· πῶς οὐ καταγέλαστον τὸ μὴ χρῆσθαι τοῖς σπουδαιοτάτοις; οἱ μὲν γὰρ πολλοὶ τῶν δυναστῶν τοὺς ὁπωσδήποτε πλησίον γενομένους καὶ τοὺς κολακεύειν ἐθέλοντας, τούτους μόνους ὁρῶσι, τοὺς δὲ ἄλλους πάντας ἀπελαύ-
130 νουσι καὶ τούς γε βελτίστους ἔτι μᾶλλον. ὁ δὲ ἐξ ἁπάντων ποιεῖται τὴν ἐκλογὴν, ἄτοπον ἡγούμενος Νισαίους μὲν ἵππους μεταπέμπεσθαι, ὅτι βελτίους εἰσὶ τῶν Θετταλῶν, καὶ κύνας
131 Ἰνδικὰς, ἀνθρώποις δὲ μόνοις χρῆσθαι τοῖς ἐγγύς. πάντα γὰρ ὑπάρχει τούτῳ, δι' ὧν ἐστι φιλία κτητόν. προσάγεται

110, 3. χαριζόμενος. χαριζόμενος, ἅμα μὲν ὡς χαριζόμενος B. ‖ ἅμα μὲν ὡς διδοὺς C, διδοὺς reliq. — 111, 1. μὲν οὖν. μὲν γὰρ C. ‖ πάντως. πάντα C. ‖ 2. ἔλαττον C, ἐλάττων reliq. ‖ 3. ἐκείνων ἔχειν C, ἔχειν ἐκείνων Casaub. r, εἰκότων A, ἐκείνων B. vm. — 128—132. Neminem semel admonitum fugere potest, disputationem de amicitia vulgo miserrime laceratam esse. huius enim pars legebatur loco alienissimo post verba ὁδωτὴν ἐποίησεν § 127. hic quoque genuinum ordinem Dioni restitui ita, ut §§ numeri pristinum ordinem indicarent. ‖ 1. οὐχ οὕτω δ' B, οὐχ οὕτως δ' C. Reisk., οὐχ οὗτος δ' v, καὶ οὐχ οὗτος δ' mr, καὶ οὐχ οὕτως Iacobs. Add. p. 358. scripturae discrepantia transpositionis vestigium est. ‖ μακάριον. δεῖν εἶναι μακάριος C, μακάριος B. v. ‖ 4. φίλους. τοὺς φίλους C. — 129, 7. τούτους μόνους — πάντας om. v. ‖ τοὺς δὲ ἄλλους. οἱ δὲ τοὺς ἄλλους B. ‖ 8. ἔτι. ἐπὶ C. — 130, 2. Νισαίους C, νησῶν BA. v, ἐκ Νισῶν Reisk., Μυσῶν mr. de Nisaeis equis iam Casaub. cogitaverat. ‖ 3. Θετταλῶν. sic dedi. θεταλῶν C, Θεσσαλῶν reliq. ‖ 4. Ἰνδικάς. ἰνδικοὺς C — 131, 2. ἐστι φιλία κτητὸν BC, ἐπὶ φιλίᾳ κτητὴν v, unde ἐστι φιλία κτητὴ Reisk., ἐστι φιλίαν κτᾶσθαι mr.

γὰρ εἰς εὔνοιαν τοὺς μὲν φιλοτίμους ἔπαινος, τοὺς δὲ ἡγεμονι-
κοὺς τὸ ἀρχῶν μεταλαμβάνειν, τοὺς δὲ αὖ πολεμικοὺς τὸ
πράττειν τι τῶν πολεμικῶν, τοὺς δὲ ἐπιμελεῖς τὸ πράγματα
132 διοικεῖν· τούς γε μὴν φιλοστόργους ἡ συνήθεια. τίς οὖν δύ-
ναται μᾶλλον ἄρχοντας ἀποδεικνύειν; τίς δὲ πλειόνων δεῖται
τῶν ἐπιμελουμένων; τίς δὲ κύριος μειζόνων μεταδοῦναι πραγ-
μάτων; τίνι δὲ μᾶλλον ἔξεστιν ἑτέρῳ πιστεύειν τὰ πρὸς πόλε-
μον; αἱ παρὰ τίνος δὲ τιμαὶ φανερώτεραι; ἡ παρὰ τίνι δὲ
ἐνδοξοτέρα τράπεζα; εἰ δὲ ὠνητὸν ὑπάρχει φιλία, τίς εὐπο-
ρώτερος χρημάτων; ὥστε μηδένα ἔχειν τὸν ἀντιποιησόμενον· 58 M. 142 R.
112 καὶ οὐ μόνον οὐδὲν ἡγεῖται ποιεῖν ἄτοπον, ἀλλὰ καὶ ἀγάλλε- 136 R. 55 M.
ται μᾶλλον μὲν ὑπὸ τῶν νεωτέρων ἀγαπώμενος ἢ οἱ γονεῖς,
μᾶλλον δὲ ὑπὸ τῶν πρεσβυτέρων ἢ τοὺς παῖδας ἀγαπῶσι,
μᾶλλον δὲ ὑπὸ τῶν συνόντων ἢ τοὺς ἐξ ἴσου συνόντας ἀγα-
πῶσι, μᾶλλον δὲ ὑπὸ τῶν ἀκοῇ μόνον ἀκουόντων ἢ οἱ σφόδρα
113 ἐγγὺς ὄντες ἀγαπῶσιν. φιλοσυγγενέστατος δὲ ὢν καὶ φιλοι-
κειότατος, ἔσθ' ὅπη καὶ μεῖζον ἀγαθὸν νενόμικε τὴν φιλίαν
τῆς συγγενείας. ἄνευ μὲν γὰρ συγγενείας οἱ φίλοι χρήσιμοι, 137 R.
ἄνευ δὲ φιλίας οὐδὲ οἱ σφόδρα ἐγγὺς ὠφέλιμοι. τοσούτου
δὲ ἀξίαν κρίνει τὴν φιλίαν, ὥστε οὐδένα ἡγεῖται τῶν πώποτε
ἠδικῆσθαι ὑπὸ φίλου, ἀλλὰ τοῦτο δὴ τῶν λεγομένων ἀδυνά-
114 των εἶναι. ἅμα γάρ τις ἀδικῶν πεφώραται, καὶ δῆλον πε-

4. τὸ ἀρχῶν Anonym. apud Reisk., τὸ ἄλλων B, τὸ ἀρχὴν C, τὸ ἄρχειν mrg. m, τὸ ἀρχῆς Casaub., τῶν ἄλλων reliq. ‖ 5. τὸ πράγματα Geel., τὸ om. reliq. — 132, 3. μειζόνων C. mrg. m, πλειόνων reliq. ‖ 4. τίνι δὲ μᾶλλον Geel., μᾶλλον om. reliq. ‖ 6. ὑπάρχει. ὑπῆρχε BC. ‖ 7. ἀντιποιησόμενον, ἀντωνησόμενον Reisk. — 112, 1. οὐ μόνον Reisk., ἄλλο μὴν C, τοῦτο ποιῶν Casaub., ἄλλο μὲν reliq. ‖ 2. μᾶλλον μέν. μᾶλλον δὲ C. ‖ ἢ οἱ γονεῖς C. mrg. m, οἱ τῶν γονέων B, τῶν γονέων Reisk., ἢ τῶν γονέων reliq., ἢ τοὺς γονεῖς ἀγαπῶσι Geel. ‖ 3. ἢ C. Selden. r, οἱ B, οἱ vm. ‖ 4. ἢ τοὺς ἐξ Selden. r, ἢ οἱ τοὺς ἐξ C, οἱ τοὺς ἐξ reliq. ‖ 5. ἢ οἱ C, ἀπ' ἀλλήλων οἱ B, ἀπ' ἀλλήλων ἢ reliq. ‖ 6. ἐγγύς. ἐγγὶ C. totum locum sic constituit ἀκουόντων ἀπ' ἄλλων, ἢ ἀλλήλους οἱ σφόδρα ἐγγὺς ὄντες ἀγαπῶσι Casaub., ἀκουόντων ἢ ἀλλήλους οἱ σφόδρα ἐγγὺς ὄντες ἀγαπῶσι Reisk., ἀκουόντων παρ' ἄλλων, ἢ τοὺς σφόδρα ἐγγὺς ὄντας ἀγαπῶσι Geel., malim ἀκουόντων, ἢ οἱ σφόδρα ἐγγὺς ὄντες ἀλλήλους ἀγαπῶσιν. ceterum tota § 121 interpolatoris potius quam Dionis esse videtur. — 113, 2. ὅπη BC, ὅποι reliq. ‖ νενόμικε. ἐνόμικε C. ‖ 3. γάρ. γὰρ καὶ C. ‖ 5. ὥστε — εἶναι. haec delebat Geel. mihi proxima potius inducenda esse visa sunt. ‖ 6. ἠδικῆσθαι. ἠδικεῖσθαι C. ‖ δὴ ἓν C, ἓν om. reliq. ‖ ἀδυνάτων C. Casaub. r, ἀδύνατον B. vm. ‖ 7. εἶναι. post hoc v. vulgo leguntur haec, ὥστε καὶ παθεῖν ὑπὸ φίλου κακῶς τῶν ἀδυνάτων εἶναι κέκρικεν. in his τῶν ἀδυνάτων εἶναι om. C.]

*ποίηκεν, ὅτι οὐκ ἦν φίλος. ὅσοι δὲ πεπόνθασι δεινὸν, ὑπ'
ἐχθρῶν πεπόνθασι λεγομένων μὲν φίλων, ἀγνοουμένων δὲ
ὅτι ἦσαν ἐχθροί. δεῖ οὖν καταμέμφεσθαι τὴν αὐτῶν ἄγνοιαν,*
115 *ἀλλὰ μὴ ψέγειν τὸ τῆς φιλίας ὄνομα. καίτοι πατέρα γε ὄντα
οὐκ ἀδύνατον υἱὸν ἀδικῆσαι, καὶ παῖδα περὶ τοὺς γονέας
ἐξαμαρτεῖν· ὁμοίως δὲ ἀδελφοὺς ἀλλήλων κακόν τι ἀπολαῦσαι.
οὕτω δὲ πάνυ τὴν φιλίαν ἱερὸν νενόμικεν, ὥστε καὶ τοὺς*
116 *θεοὺς αὐτῷ πειρᾶται ποιεῖν φίλους. ἐν ἅπασι μὲν οὖν τοῖς
εἰρημένοις ἐστὶ συννοεῖν, ὅτι πάντα τἀναντία τοῖς τυράννοις
κακὰ πρόσεστιν ὧν ἐμνήσθημεν ἀγαθῶν, οὐχ ἥκιστα δὲ ἐν
τῷ νῦν λεγομένῳ. πάντων γὰρ ἀπορώτατός ἐστι φιλίας τύ-*
117 *ραννος· οὐδὲ γὰρ δύναται ποιεῖσθαι φίλους. τοὺς μὲν γὰρ
ὁμοίως αὐτῷ πονηροὺς ὄντας ὑφορᾶται, ὑπὸ δὲ τῶν ἀνομοίων
καὶ ἀγαθῶν μισεῖται. ὁ δὲ μισούμενος ἐχθρὸς καὶ τοῖς ἀδί-
κοις ἄδικος. οἱ μὲν γὰρ δικαίως μισοῦσιν αὐτόν, οἱ δὲ τῶν* 138 R.
118 *αὐτῶν ἐπιθυμοῦντες ἐπιβουλεύουσιν. [ὥστε ὁ μὲν Πέρσης
ἕνα τινὰ ἔσχεν ὀφθαλμὸν βασιλέως λεγόμενον, καὶ τοῦτον οὐ* 56 M.
σπουδαῖον ἄνθρωπον, ἀλλὰ ἐκ τῶν ἐπιτυχόντων· ἀγνοῶν ὅτι
119 *τοῦ ἀγαθοῦ βασιλέως οἱ φίλοι πάντες εἰσὶν ὀφθαλμοί.] φιλ-
οίκειος δὲ καὶ φιλοσυγγενὴς πῶς οὐκ ἂν εἴη διαφερόντως;
ὅς γε τοὺς οἰκείους καὶ τοὺς συγγενεῖς μέρος νενόμικε τῆς*
120 *αὐτοῦ ψυχῆς; καὶ προνοεῖ γε οὐ μόνον, ὅπως μετέχωσι τῆς
λεγομένης εὐδαιμονίας, πολὺ δὲ μᾶλλον, ὅπως ἄξιοι δοκῶσι
κοινωνεῖν τῆς ἀρχῆς· καὶ τοῦτο ἐσπούδακεν ἐξάπαντος, ὅπως
μὴ διὰ τὴν συγγένειαν αὐτοὺς, ἀλλὰ διὰ τὴν ἀρετὴν φαίνη-
ται προτιμῶν. καὶ τοὺς μὲν ἐγγίζοντας μάλιστα πάντων*
121 *ἀγαπᾷ, καὶ φίλους ἀναγκαίους νενόμικεν. τοὺς μὲν γὰρ φί-
λους ἐστὶ διαλύσασθαι δυσχέρειάν τινα ἐν αὐτοῖς ἐνιδόντα·*

114, 4. *δεῖ.* *δεῖν* Reisk. ‖ *καταμέμφεσθαι* Reisk., *καὶ μέμφεσθαι* reliq. ‖ 5. *ψέγειν.* *φαγεῖν* C. — 115, 4. *οὕτω* B. Iacobs., *οὕτως* C, *οὗτος* reliq. ‖ 5. *αὐτῷ.* sic dedi. *αὐτῷ* reliq. — 117, 1. *γὰρ* om. B. ‖ 3. *ὁ δὲ μισούμενος ἐχθρὸς καὶ τοῖς ἀδίκοις ἄδικος.* *ὁ δὲ μισούμενος ἐχθρός. ἐχθρὸς δὲ καὶ τοῖς δικαίοις καὶ τοῖς ἀδίκοις ὁ ἄδικος* Reisk., *ὁ δὲ μισούμενος ἐχθρὸς καὶ τοῖς ἀδίκοις καὶ μὴ ἀδίκοις* Iacobs., malim *ὅθεν μόνος ἐχθρὸς καὶ τοῖς ἀδίκοις καὶ τοῖς δικαίοις.* ‖ 4. *οἱ μὲν — ἐπιβουλεύουσιν* malim abesse. — 118, 1. [*ὥστε — ὀφθαλμοὶ*] aliena. ‖ 4. *οἱ φίλοι* om. C. — 120, 1. *προνοεῖ γε.* *προνοεῖται* aut *προνοεῖταί γε* Reisk. ‖ *μετέχωσι.* *μετέχουσι* C. ‖ 2. *ὅπως* CA. r, *ὅπερ* v, *οὗπερ* m. ‖ *δοκῶσι.* *δοκοῦσι* C. ‖ 4. *φαίνηται* BC. Reisk., *φαίνεται* reliq. ‖ 5. *καὶ τοὺς μὲν ἐγγίζοντας.* *τοὺς μὲν ζῶντας* C, malim *καὶ τοὺς μὲν γένει ἐγγίζοντας* cum Iacobsio.

πρὸς δὲ τοὺς συγγενεῖς οὐχ οἷόν τε διαλύσασθαι τὴν συγγέ-
νειαν, ἀλλ' ὁποῖοί ποτ' ἂν ὦσιν, ἀνάγκη τοῦτο ἀκούειν τὸ
122 ὄνομα. γυναῖκα δὲ οὐ κοίτης μόνον ἢ ἀφροδισίων κοινωνὸν
νενόμικε, βουλῆς δὲ καὶ ἔργων καὶ τοῦ ξύμπαντος βίου συνερ-
123 γόν. μόνος δὲ τὴν εὐδαιμονίαν οὐχ ἡδυπάθειαν νενόμικε,
πολὺ δὲ μᾶλλον καλοκαγαθίαν, τὴν δὲ ἀρετὴν οὐκ ἀνάγκην, 139 R.
ἀλλὰ βούλησιν, τὴν δὲ καρτερίαν οὐ ταλαιπωρίαν, ἀλλ' ἀσφά-
λειαν. καὶ τὰς μὲν ἡδονὰς αὔξει τοῖς πόνοις καὶ μείζους διὰ
124 τοῦτο καρποῦται, τοὺς δὲ πόνους ἐπελαφρύνει τῷ ἔθει. ταῦ-
τα δὲ ἡγεῖται συμφέροντα καὶ ἡδέα. ὁρᾷ γὰρ τοὺς μὲν ἰδιώ-
τας, εἰ μέλλουσιν ὑγιαίνειν καὶ παραμένειν εἰς γῆρας, οὔποτε
ἀργῷ καὶ ἀπόνῳ τῷ σώματι τροφὴν προσφέροντας, ἀλλὰ τοὺς
μὲν τέχνας ἐργαζομένους, ἐνίας δ' αὐτῶν καὶ πολὺν ἐχούσας
125 τὸν κάματον· τοὺς μὲν χαλκέας, τοὺς δὲ ναυπηγούς, τοὺς δὲ
οἰκοδόμους· ὅσοι δὲ κέκτηνται γῆν, διαπονοῦντας πρότερον
τὰ περὶ γεωργίαν, ὅσοι δὲ ἐν ἄστει διάγουσι, τῶν κατὰ πόλιν
126 τι πράττοντας· τῶν τε σχολὴν ἀγόντων τὰ γυμνάσια μεστὰ
καὶ τὰς παλαίστρας, καὶ τοὺς μὲν τρέχοντας ἐν τοῖς δρόμοις,
τοὺς δὲ αὖ παλαίοντας, τοὺς δὲ ἄλλο τι περὶ τὴν ἀγωνίαν,
οὐκ ὄντας ἀθλητάς. ἁπλῶς δὲ εἰπεῖν, ἑκάστων τῶν μὴ σφό- 57 M.
δρα ἀνοήτων καὶ σιτίων καὶ λουτρῶν καὶ ὑγιεινῶν καὶ πάν-
127 των, ὁ ἄρχων ἁπάντων τούτων διαφέρει τῷ μὴ μάτην πονεῖν
μηδὲ τὸ σῶμα μόνον αὔξειν, ἀλλ' ἕνεκα πράξεων· ἢ γὰρ ἦλθε
πρός τι τῶν δεομένων προνοίας, ἢ ἔφθασεν ὅπου δεῖ τάχους,

4. ὁποῖοί. ὅποι C. — 123, 2. ἀνάγκην. ἀνάγκη C. ‖ 5. τοὺς δὲ πόνους. τὰς δὲ σπουδὰς B. — 124, 5. ἐνίας δ'. ἐνίας C. ‖ πολὺν. πολλὴν C. ‖ 6. τὸν κάματον C, τὸν om. reliq. — 125, 1. τοὺς μὲν C, καὶ τοὺς μὲν reliq. ‖ τοὺς μὲν χαλκέας, τοὺς δὲ ναυπηγούς, τοὺς δὲ οἰκοδόμους. Reisk. aut ὄντα addi voluit, aut χαλκεύοντας — ναυπηγοῦντας — οἰκοδομοῦντας scribi. nimirum ille καὶ ante τοὺς legebat. ‖ 2. διαπονοῦντας. διαπονοῦσι C. ‖ πρότερον. περιττότερον Iacobs. Add. p. 254, προθύμως Reisk. — 126, 2. καὶ τὰς παλαίστρας r, καὶ παλαίστρας Casaub., καὶ παλαίστραι C, καὶ παλαῖστραι B. vm. ‖ 3. τι περὶ. malim τι τῶν περὶ. ‖ 4. οὐκ ὄντας. malim ἀσκοῦντας, οὐκ ὄντας, quamvis verbum ἀσκοῦντας omitti potuit. totum locum ita scribit Reiskius, ἄλλο τι ἀσκοῦντας τῶν περὶ τὴν ἀγωνίαν, οὐκ ὄντας ἀθλητάς, Iacobsius τοὺς δὲ κατ' ἄλλο τι περὶ τὴν ἀγωνίαν ὄντας ἀθλητάς. ‖ ἑκάστων. ἑκάστοτε Geel. ‖ 5. σιτίων. σίτων C. ‖ καὶ ὑγιεινῶν καὶ πάντων. sententia tale quid poscit, ἕνεκα ὑγιεινῶν καμνόντων, vel καὶ τοῦ εὕδειν (vel καὶ ὕπνου) ἕνεκα πονούντων. conf. Obs. p. 8. — 127, 1. ὁ ἄρχων. ὁ om. C. ‖ τούτων. τούτῳ Iacobs. ‖ διαφέρει BC. Iacobs., διαφέροι reliq. ‖ 2. ἢ γάρ. καὶ γὰρ C.

ἢ κατήνυσέ τι τῶν οὐ ῥᾳδίων ἀνυσθῆναι, ἢ στρατιὰν ἐξέτα-
ξεν, ἢ χώραν ἡμέρωσεν, ἢ πόλιν ᾤκισεν, ἢ ποταμοὺς ἔζευξεν,
133 ἢ γῆν ὁδωτὴν ἐποίησεν. ἐπεὶ δὲ δεῖ, ἄνθρωπον ὄντα φύσει, 142 R.
τῶν ἐν τῷ βίῳ διαφερόντων καὶ τοῦτον τῶν ἄλλων τι ὥσπερ
παραμύθιον ἔχειν· ὅθεν δὴ πολλὰ πολλοῖς προσέπεσε νοσή-
ματα ἀγεννῆ καὶ λυμαινόμενα τὰς ψυχάς, ἔτι δὲ καθαι-
134 ροῦντα τὸ ἀξίωμα τῆς βασιλείας· ὁ μὲν γὰρ ὑπὸ ᾠδῆς ἀλοὺς
μινυρίζων διετέλει καὶ θρηνῶν ἐν τοῖς θεάτροις, ἀμελήσας δὲ
τῆς αὑτοῦ βασιλείας, τοὺς παλαιοὺς ὑποκρινόμενος ἠγάπα
135 βασιλέας· ὁ δὲ αὐλήσεως ἐραστὴς ἐγένετο· ὁ δὲ ἀγαθὸς βασι-
λεὺς τῶν μὲν τοιούτων οὐδέ ποτε ἀκροᾶται συνεχῶς, κάλλι-
στον δὲ εὕρεμα ἡγήσατο κυνηγεσίαν, καὶ τούτῳ μάλιστα χαί-
ρει· δι' οὗ τὸ μὲν σῶμα γίγνεται ῥωμαλεώτερον, ἡ ψυχὴ δὲ
136 ἀνδρειοτέρα, τὰ πολεμικὰ δὲ ἅπαντα ἀσκεῖται. καὶ γὰρ ἱπ-
πεῦσαι καὶ δραμεῖν ἀναγκαῖον καὶ ὑφίστασθαι πολλὰ τῶν
ἀλκίμων θηρίων καὶ καῦμα ἀνέχεσθαι καὶ ψῦχος ὑπομένειν,
πολλάκις δὲ καὶ λιμοῦ καὶ δίψους πειραθῆναι, διὰ δὲ τὴν 143 R.
ἐπιθυμίαν ἐθίζοντα καρτερεῖν μεθ' ἡδονῆς· οὐ μέντοι τήν
137 γε Περσικὴν θήραν. ἐκεῖνοι μὲν γὰρ παραδείσοις περιλα-
βόντες, ὁπότε ἐπιθυμήσειαν, ὥσπερ ἐν εἱρκτῇ, τὰ θηρία
ἔκτεινον, ὡς μήτε ζητοῦντες πονεῖν, μήτε αὖ κινδυνεύοντες,
ἅτε ἀσθενῆ καὶ δεδουλωμένα· ὁμοίως δὲ ἀφῃροῦντο τὴν ἐπὶ
τῷ εὑρεῖν χαρὰν καὶ τὴν ἐπὶ τῷ φθάσαι σπουδὴν καὶ τὴν
138 ἐπὶ τῷ συμβῆναι ἀγωνίαν. ὅμοιον γὰρ ἐποίουν, ὥσπερ εἰ πο-

4. ἐξέταξεν C. Reisk. (vel ἐξήτασιν), ἐξέταζεν reliq. ‖ 6. ὁδωτήν. ὁδευτὴν C. — 133, 1. ἐπεὶ δὲ δεῖ. ἐπειδὴ C. ‖ 2. τοῦτον. τοῦτο C. ‖ τῶν ἄλλων corrupta existimat Geel. ‖ τι om. C. ‖ 3. ἔχειν. ἔχειν δεῖ C. ‖ 4. καθαιροῦντα. καθαιροῦνται C. ‖ 5. τὸ ἀξίωμα. sic dedi. τὰ ἀξιώματα reliq. — 134, 1. μὲν γὰρ C. Reisk., μὲν reliq. ‖ 2. ἀμελήσας δὲ C. Reisk., ἀμελήσας δὴ reliq. ‖ 3. τοὺς παλαιοὺς — βασιλέας om. C. — 135, 2. μὲν τοιούτων BC. Reisk., μέντοι τούτων reliq. ‖ οὐδέ ποτε Obs. 9, οὐδέποτε reliq., οὐδὲν ποτε Iacobs., possit οὐδέποτ' οὐδ'. ‖ 3. ἡγήσατο. ἡγεῖται C. ‖ τούτῳ. τοῦτο (corr. vulg.) B. — 136, 3. καῦμα. ταῦτα C. ‖ ψῦχος C, ψύχος reliq. ‖ 4. δίψους. ψύχους B. ‖ διὰ δὲ τὴν B, διὰ τὴν A. v, διά τε τὴν reliq. ‖ 5. ἐπιθυμίαν BCA. v, θήραν ἐπιθυμίας mr, θήρας ἐπιθυμίαν Morell. — 137, 3. ἔκτεινον C, ἔκτειναν reliq. ‖ ζητοῦντες C. Casaub., ζητοῦντας reliq. ‖ μήτε αὖ. μήτι αὖ C. ‖ κινδυνεύοντες Casaub., malim κινδυνεύειν εὑρόντες (vel φονεύοντες vel συστάντες), κινδυνεύοντας reliq. ‖ 4. ἀφῃροῦντο. ἀφοροῦντο C. ‖ 5. εὑρεῖν. εὑρεῖν τε C. — 138, 1. ὅμοιον γὰρ ἐποίουν, ὥςπερ εἰ B (at pro ἐποίουν corr. ἐποίει). C. r, ὅμοιουν ἐποίει ὥσπερ οἱ v, ὅμοιον γὰρ ἐποίουν ὥσπερ m.

λεμικοὶ φάσκοντες εἶναι, ἀφέντες τὸ τοῖς πολεμίοις μάχεσθαι, 141 R. τοὺς αἰχμαλώτους οἴκοι λαβόντες ἔκτεινον.

ΛΟΓΟΣ δ

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 Φασί ποτε Ἀλέξανδρον Διογένει συμβαλεῖν οὐ πάνυ τι 59 M.
σχολάζοντα πολλὴν ἄγοντι σχολήν. ἦν γὰρ ὁ μὲν βασιλεὺς Μακεδόνων τε καὶ ἄλλων πολλῶν, ὁ δὲ φυγὰς ἐκ Σινώπης. ταῦτα δὲ λέγουσι καὶ γράφουσι πολλοὶ, τὸν Ἀλέξανδρον οὐχ ἧττον θαυμάζοντες, [ἢ ἐπαινοῦντες,] ὅτι τοσούτων ἄρχων καὶ τῶν τότε μέγιστον δυνάμενος οὐχ ὑπερεώρα πένητος ἀνθρώπου συνουσίαν, νοῦν ἔχοντος καὶ δυναμένου καρτερεῖν.
2 οἱ γὰρ ἄνθρωποι χαίρουσι φύσει πάντες τιμωμένην ὁρῶντες 145
φρόνησιν ὑπὸ τῆς μεγίστης ἐξουσίας τε καὶ δυνάμεως. ὥστε οὐ μόνον τἀληθῆ διηγοῦνται ὑπὲρ τῶν τοιούτων, ἀλλὰ καὶ αὐτοὶ πλάττουσιν ὑπερβάλλοντες, προσέτι καὶ τἆλλα ἀφαιρούμενοι τῶν φρονίμων, οἷον χρήματα καὶ τιμὰς καὶ τὴν τοῦ σώματος δύναμιν, ὅπως διὰ μόνην δόξωσι τιμᾶσθαι τὴν ξύνε-
3 σιν. ὡς δὲ εἰκὸς [ἐκείνοις] γενέσθαι τὴν ξυνουσίαν ἐκείνην, εἴποιμ' ἂν, ἐπειδὴ καὶ τυγχάνομεν σχολὴν ἄγοντες ἀπὸ τῶν
4 ἄλλων πραγμάτων. ἦν μὲν γὰρ, ὥς φασιν, ὁ Ἀλέξανδρος ἀνθρώπων φιλοτιμότατος καὶ μάλιστα δόξης ἐραστὴς καὶ τοῦ καταλιπεῖν ὡς μέγιστον αὐτοῦ ὄνομα ἐν πᾶσιν Ἕλλησι καὶ

3. ἔκτεινον B, ἔκτειναν reliq. ‖ Ad calcem addit. in BA. v ἐγγὺς παραινετικοῦ (παραινετικός B) ἐστιν, ὁποῖον εἶναι δεῖ τὸν βασιλέα.

Orat. IV. Collati sunt BC et inde a § 78 M. Titul. περὶ βασιλείας. Δίωνος τοῦ σοφοῦ περὶ Ἀλεξάνδρου λόγος γ' C. — 1, 2. ἄγοντι. ἄγοντα C. ‖ 5. [ἢ ἐπαινοῦντες] delenda vidit Reisk., qui pro οὐχ ἧττον praeterea οὐχ ἥκιστα scribebat. ‖ τοσούτων. τοσοῦτον C. ‖ 6. δυνάμενος. δυνάμενον C. — 2, 3. ὑπὲρ C, περὶ reliq. ‖ 4. ὑπερβάλλοντες C. Reisk., ὑπερβαλλόντως reliq. — 3, 1. [ἐκείνοις] delendum videtur. — 4, 2. ἐραστής. ἐξεταστὴς B. v mrg. m. ‖ 3. αὐτοῖ. αὐτοῦ B.

βαρβάροις. καὶ ἐπεθύμει γε τιμᾶσθαι σχεδὸν οὐχ ὑπὸ τῶν
ἀνθρώπων μόνον τῶν πανταχοῦ, ἀλλ' εἴ πως δυνατὸν ἦν, ὑπό
5 τε τῶν ὀρνίθων καὶ τῶν ἐν τοῖς ὄρεσι θηρίων. τῶν μὲν οὖν
ἄλλων ἁπάντων κατεφρόνει καὶ οὐδένα ᾤετο ἀξιόμαχον αὑτῷ
περὶ τούτου τοῦ πράγματος, οὔτε τὸν Πέρσην οὔτε τὸν Σκύ-
θην οὔτε τὸν Ἰνδὸν οὔτε ἐν τοῖς Ἕλλησιν οὐδένα οὔτ' ἄνδρα
6 οὔτε πόλιν. ᾐσθάνετο γάρ, ὅτι μικροῦ διεφθαρμένοι πάντες
εἰσὶ τὰς ψυχὰς ὑπὸ τρυφῆς καὶ ἀργίας καὶ τοῦ τε κερδαίνειν
καὶ ἡδονῆς ἥττονες. περὶ Διογένους δὲ πυνθανόμενος τῶν τε 146 R.
λόγων οὓς ἔλεγε καὶ τῶν ἔργων ἃ ἔπραττε, καὶ ὅπως διήνεγκε
τὴν φυγήν, ἐνίοτε μὲν κατεφρόνει τῆς τε πενίας τἀνδρὸς καὶ 60 M.
τῆς εὐτελείας, ἅτε νέος ὢν καὶ τραφεὶς ἐν βασιλικῷ τύφῳ·
7 πολλάκις δὲ ἐθαύμαζε καὶ ἐζηλοτύπει τῆς τε ἀνδρείας τοῦτον
καὶ τῆς καρτερίας καὶ μάλιστα τῆς δόξης, ὅτι τοιοῦτος ὢν
πᾶσι τοῖς Ἕλλησι γιγνώσκοιτο καὶ θαυμάζοιτο, καὶ οὐδεὶς
8 ἐδύνατο τῶν ἄλλων οἷος ἐκεῖνος γενέσθαι τῇ φιλοτιμίᾳ· καὶ
ὅτι αὐτῷ μὲν ἔδει τῆς Μακεδόνων φάλαγγος καὶ τοῦ Θετταλ-
λῶν ἱππικοῦ καὶ Θρᾳκῶν καὶ Παιόνων καὶ ἄλλων πολλῶν,
εἰ μέλλοι βαδίζειν ὅποι βούλοιτο καὶ τυγχάνειν ὧν ἐπιθυμοίη,
ὁ δὲ μόνος ἀπῄει πάνυ ἀσφαλῶς οὐ μόνον ἡμέρας, ἀλλὰ καὶ
9 νυκτός, ἔνθα αὐτῷ ἐδόκει· καὶ ὅτι αὐτὸς μὲν χρυσίου καὶ
ἀργυρίου παμπόλλου ἐδεῖτο, ὥστε ἐπιτελέσαι τι ὧν ἐβούλετο·
ἔτι δὲ εἰ μέλλοι πειθομένους ἕξειν Μακεδόνας καὶ τοὺς ἄλλους
Ἕλληνας, θεραπευτέον αὐτῷ τούς τε ἄρχοντας καὶ τὸν ἄλλον
10 ὄχλον λόγοις τε καὶ δώροις πολλάκις· ὁ δὲ οὐδένα ἀνθρώπων
ὑπῄει θωπεύων, ἀλλὰ τἀληθῆ πρὸς ἅπαντας λέγων καὶ οὐ-
δεμίαν δραχμὴν κεκτημένος ὡς ἐβούλετο ἔπραττε, καὶ τῶν
προκειμένων οὐδενὸς ἀπετύγχανε, καὶ τὸν βίον ἔζη μόνος, ὃν
ἡγεῖτο ἄριστον καὶ εὐδαιμονέστατον, καὶ οὐκ ἂν ἠλλάξατο
τὴν ἐκείνου βασιλείαν οὐδὲ τὸν τῶν Περσῶν τε καὶ Μήδων

4. ἐπεθύμει γε BC, ἐπεθύμησε reliq. ‖ 5. τῶν πανταχοῦ Reisk., παν πανταχοῦ C., πανταχοῦ reliq. ‖ ὑπό τε BC. Reisk., ὑπό γε reliq. — 5, 1. μὲν οὖν. μὲν om. C. ‖ 2. αὑτῷ. αὐτῷ B. ‖ 4. οὔτ' ἄνδρα Reisk., ἄνδρα reliq. — 6, 1. μικροῦ. μικρὸν C. ‖ 2. τοῦ τε. τε om. C. ‖ 3. καὶ ἡδονῆς. καὶ τῆς ἡδονῆς Reisk. ‖ Διογένους δὲ C, δὲ τοῦ Διογένους reliq. ‖ τῶν τε. ὥστε C. ‖ 4. ἃ ἔπραττε C, ἃ ἔπραξε B, ὧν ἔπραξε reliq. ‖ 5. τῆς τε BC, τῆς reliq. ‖ τἀνδρὸς. τοῦ ἀνδρὸς C. — 7, 1. τοῦτον. τούτου C. ‖ 2. ὅτι. ὅτοι C. ‖ 4. ἐδύνατο. ἠδύνατο C. — 8, 4. μέλλοι. μέλλει C. ‖ ἐπιθυμοίη. sic dedi. ἐπιθυμοῖ Reisk., ἐπιθυμεῖ reliq.

11 πλοῦτον ἀντὶ τῆς ἑαυτοῦ πενίας. διὰ ταῦτα δὴ δακνόμενος,
εἴ τις αὐτοῦ διοίσει ῥᾳδίως οὕτως καὶ ἀπραγμόνως ζῶν, καὶ
προσέτι οὐχ ἧττον ὀνομαστὸς ἔσοιτο· τυχὸν δέ τι καὶ ὠφε- 147 R.
ληθήσεσθαι νομίζων ἀπὸ τῆς συνουσίας τἀνδρός· πάλαι μὲν
12 ἐπεθύμει θεάσασθαι τὸν ἄνδρα καὶ συγγενέσθαι αὐτῷ· ἐπεὶ
δὲ ἧκεν εἰς Κόρινθον, καὶ τάς τε πρεσβείας ἀπεδέξατο τὰς
παρὰ τῶν Ἑλλήνων καὶ τἆλλα τὰ τῶν ξυμμάχων διῴκησεν,
ἔφη τοῖς περὶ αὐτὸν, ὅτι σχολάσαι τι βούλοιτο, καὶ ᾤχετο,
οὐκ ἐπὶ θύρας τοῦ Διογένους· οὐ γὰρ ἦσαν αὐτῷ θύραι, οὔτε
μείζους οὔτε ἐλάττους, οὐδὲ οἶκος ἴδιος οὐδὲ ἑστία, καθάπερ
13 τοῖς μακαρίοις· ἀλλὰ οἴκοις μὲν ἐχρῆτο ταῖς πόλεσι, καὶ ἐν-
ταῦθα διέτριβεν ἐν τοῖς κοινοῖς τε καὶ ἱεροῖς, ἅπερ ἱδρύονται
τοῖς θεοῖς, ἑστίαν δὲ ἐνόμιζε τὴν γῆν ἅπασαν, ἥπερ ἐστὶ κοινὴ 61 M.
14 τῶν ἀνθρώπων ἑστία καὶ τροφός. καὶ τότε ἐτύγχανεν ἐν τῷ
Κρανίῳ διατρίβων μόνος· οὐδὲ γὰρ μαθητάς τινας οὐδὲ
τοιοῦτον περὶ αὐτὸν ὄχλον εἶχεν, ὥσπερ οἱ σοφισταὶ καὶ αὐ-
λῆταὶ καὶ οἱ διδάσκαλοι τῶν χορῶν. προσῆλθεν οὖν αὐτῷ
καθημένῳ καὶ ἠσπάσατο. καὶ ὃς ἀνέβλεψε πρὸς αὐτὸν γορ-
γὸν, ὥσπερ οἱ λέοντες, καὶ ἐκέλευσεν ἀποστῆναι σμικρόν·
15 ἐτύγχανε γὰρ ἀλεαινόμενος πρὸς τὸν ἥλιον. ὁ οὖν Ἀλέξαν-
δρος εὐθὺς ἠγάσθη τοῦ ἀνδρὸς τὸ θάρσος καὶ τὴν ἡσυχίαν,
ὅτι οὐ κατεπλάγη ἐπιστάντος αὐτοῦ. καὶ γάρ πως πεφύκα-
σιν οἱ μὲν θαῤῥαλέοι τοὺς θαῤῥαλέους φιλεῖν, οἱ δὲ δειλοὶ
τοὺς μὲν ὑφορῶνται καὶ μισοῦσιν ὡς ἐχθροὺς, τοὺς δὲ ἀγεν-
νεῖς προσίενται καὶ ἀγαπῶσιν. ὅθεν τοῖς μὲν ἀλήθεια καὶ
παῤῥησία πάντων ἐστὶν ἥδιστον, τοῖς δὲ κολακεία καὶ ψεῦδος.
καὶ ἀκούουσιν ἡδέως οἱ μὲν τῶν πρὸς χάριν ὁμιλούντων· οἱ
16 δὲ τῶν πρὸς ἀλήθειαν. ὁ οὖν Διογένης ὀλίγον ἐπισχὼν ἤρετο
αὐτὸν, ὅστις εἴη, καὶ τί βουλόμενος ἥκοι πρὸς αὐτόν· ἦ, ἔφη, 148 R.
τῶν ἐμῶν τι ληψόμενος; ἦ γὰρ, ἔφη, χρήματά ἐστί σοι, καὶ
ἔχεις ὅτου ἂν μεταδῴης; πολλά γε, εἶπε, καὶ πολλοῦ ἄξια,
ὧν σὺ οὐκ οἶδα εἴ ποτε δυνήσῃ μεταλαβεῖν. οὐ μέντοι ἄορας

10, 7. ἑαυτοῦ. αὐτοῦ C. — 11, 3. δέ τι BC. v, δέ τις reliq. ‖ 5. τὸν ἄνδρα malim abesse. — 12, 6. οὐδὲ. sic dedi. οὔτε reliq. ‖ οὐδὲ ἑστία. sic dedi. οὐδεὶς C, οὐδὲ ἑστίαι reliq. — 14, 3. περὶ αὐτὸν ὄχλον. ὄχλον περὶ αὐτοῦ C. — 15, 3. αὐτοῦ C. mrg. m, αὐτῷ reliq. ‖ 7. ψεῦδος C, τὸ ψεῦδος reliq. — 16, 1. ἤρετο. εἴρετο B. ‖ 2. ὅστις — αὐτὸν om. C. ‖ 3. ληψόμενος. ληψόμενος ἥκεις C. ‖ ἦ B. Iacobs., ἢ vm, ἡ r. ‖ 4. ἔχεις B, ἔχοις reliq.

οὐδὲ λέβητας οὐδὲ κρατῆρας οὐδὲ κλίνας καὶ τραπέζας τυγχάνω κεκτημένος, ὥς τινές φασι κεκτῆσθαι Δαρεῖον ἐν Πέρ-
17 σαις. τί δὲ; ἔφη· οὐκ οἶσθα Ἀλέξανδρον τὸν βασιλέα; τό γε ὄνομα, ἔφη, ἀκούω πολλῶν λεγόντων, ὡς κολοιῶν περιπετομένων, αὐτὸν δὲ οὐ γιγνώσκω· οὐ γάρ εἰμι ἔμπειρος αὐτοῦ τῆς διανοίας. ἀλλὰ νῦν, ἔφη, γνώσῃ καὶ τὴν διάνοιαν. ἥκω γὰρ ἐπ' αὐτὸ τοῦτο, ἐμαυτόν τε παρέξων σοι καταμαθεῖν
18 καί σε ὀψόμενος. ἀλλὰ χαλεπῶς, ἔφη, με ἂν ἴδοις σύ, ὥσπερ τὸ φῶς οἱ τὰ ὄμματα ἀσθενεῖς. τόδε δέ μοι εἰπέ· σὺ ἐκεῖνος εἶ Ἀλέξανδρος, ὃν λέγουσιν ὑποβολιμαῖον; καὶ ὃς ἀκούσας ἠρυθρίασε μὲν καὶ ὠργίσθη, κατέσχε δὲ ἑαυτόν. μετενόει 62 M.
δέ, ὅτι εἰς λόγους ἠξίωσεν ἐλθεῖν ἀνδρὶ σκαιῷ τε καὶ ἀλα-
19 ζόνι, ὡς αὐτὸς ἐνόμιζεν. ὁ οὖν Διογένης καταμαθὼν αὐτὸν τεταραγμένον ἐβουλήθη μεταβαλεῖν αὐτοῦ τὴν ψυχήν, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις. εἰπόντος δὲ αὐτοῦ· πόθεν δέ σοι ἐπῆλθεν ἡμᾶς ὑποβολιμαίους εἰπεῖν; ὁπόθεν, ἔφη, καὶ τὴν μητέρα σου ἀκούω ταῦτα περὶ σοῦ λέγειν. ἢ οὐκ Ὀλυμ- 149 R.
πιάς ἐστιν ἡ εἰποῦσα, ὅτι οὐκ ἐκ Φιλίππου τυγχάνεις γεγονώς, ἀλλ' ἐκ δράκοντος ἢ Ἄμμωνος ἢ οὐκ οἶδα ὅτου ποτὲ θεῶν ἢ ἀνθρώπων ἢ θηρίων; καίτοι τοιοῦτος ὢν ὑποβολι-
20 μαῖος ἂν εἴης. ἐνταῦθα ὁ Ἀλέξανδρος ἐμειδίασε, καὶ ἥσθη ὡς οὐδέποτε, καὶ ἔδοξεν αὐτῷ ὁ Διογένης οὐ μόνον οὐ σκαιός, ἀλλὰ καὶ δεξιώτατος ἁπάντων καὶ μόνος εἰδὼς χαρίζεσθαι. τί οὖν; ἔφη, πότερον ἀληθὴς ἢ ψευδὴς εἶναι δοκεῖ ὁ λόγος,
21 [ἢ οὔκ; ἄδηλόν ἐστιν, ἔφη.] ἄδηλον, ἔφη, ἐστίν. ἐὰν μὲν γὰρ ᾖς σώφρων καὶ ἀνδρεῖος καὶ τὴν τοῦ Διὸς ἐπιστάμενος τέχ-

17, 1. τί δέ. τί δαὶ B. ‖ οὐκ οἶσθα C, σὺ οὐκ οἶδας reliq. ‖ 2. ἔφη om. B, εἶπεν C. ‖ περιπετομένων. sic dedi. περιπεττομένων C, πετομένων Reisk., πετωμένων reliq., ποτωμένων Iacobs. ‖ 3. γιγνώσκω. sic dedi. γινώσκω reliq. ‖ αὐτοῦ. αὑτοῦ B. ‖ 4. γνώσῃ BC, ὄψει reliq. ‖ 5. ἐμαυτόν τε Reisk., ἐμαυτόν γε reliq. — 18, 1. ἂν ἴδοις σὺ B, ἂν ἴδῃς σὺ mr, ἂν ὄψῃ C, ἂν ἴδηροι v. ‖ 2. τὸ φῶς οἱ τὰ ὄμματα ἀσθενεῖς. τὸν ἥλιον οἱ τυφλώττοντες C, τὸ φῶς οἱ τυφλώττοντες mrg. m. ‖ τόδε δέ. τόδε m. ‖ 4. ἠρυθρίασε. ἐρυθρίασε C. ‖ ἑαυτόν. αὐτὸν C. ‖ μετενόει δέ. μετενόειτε δὲ C. 19, 3. οἱ παῖδες τοῖς ἀστραγάλοις. οἱ παῖδας τοῖς ἀστραγάλοις Iacobs. Add. p. 351, οἱ παῖδες τοὺς ἀστραγάλους Reiskius, παίζοντες pro v. παῖδες Bamberger. videntur quaedam excidisse. ‖ 8. καίτοι τοιοῦτος Obs. p. 9, καὶ τοιοῦτος reliq. — 20, 4. πότερον BC. Geel., πότερον οὖν reliq. desidero σοι. ‖ ἢ ψευδὴς delebat Iacobs., qui servat infra ἢ οὔκ. ‖ 5. [ἢ οὔκ; ἄδηλόν ἐστιν ἔφη] inducenda vidit Geel., ἢ οὐκ om. C, ἄδηλόν ἐστιν ἔφη delet Iacobs. — 21, 1. ἄδηλον, ἔφη, ἐστίν. ἄδηλόν ἐστιν, ἔφη C.

22 νην τὴν βασιλικὴν, οὐδέν σε κωλύει τοῦ Διὸς εἶναι υἱόν· ἐπεὶ
τοῦτό γε καὶ Ὅμηρόν φασι λέγειν, ὅτι πατήρ ἐστιν ὁ Ζεὺς,
ὥσπερ τῶν θεῶν, καὶ τῶν ἀνδρῶν, ἀλλ' οὐ τῶν ἀνδραπόδων
οὐδὲ τῶν φαύλων τε καὶ ἀγεννῶν οὐδενός· ἐὰν δὲ δειλὸς ᾖς
καὶ τρυφερὸς καὶ ἀνελεύθερος, οὔτε σοι θεῶν οὔτε ἀνθρώ-
23 πων τῶν ἀγαθῶν προσήκει. ἀλλὰ τοῖς μὲν ἐν Θήβαις Σπαρ-
τοῖς ποτε λεγομένοις σημεῖον λέγεται εἶναι τοῦ γένους λόγχη
τις, οἶμαι, ἐπὶ τοῦ σώματος· ὅστις δὲ τοῦτο τὸ σημεῖον μὴ
ἔχοι, οὐ δοκεῖν τῶν Σπαρτῶν εἶναι· τοῖς δὲ τοῦ Διὸς ἐκγόνοις
οὐκ οἴει σημεῖον ἐνεῖναι τῇ ψυχῇ, ἐξ οὗ φανεροὶ ἔσονται τοῖς
δυναμένοις γνωρίζειν, εἴτε ἐξ ἐκείνου γεγονότες εἰσὶν, εἴτε 150 R.
24 μή; πάνυ οὖν ἥσθη τούτῳ τῷ λόγῳ ὁ Ἀλέξανδρος. μετὰ δὲ
τοῦτο ἤρετο αὐτόν· πῶς ἄν, ἔφη, κάλλιστα βασιλεύοι τις;
καὶ ὃς δεινὸν ὑποβλέψας· ἀλλ' οὐδὲ, ἔφη, ἔστι βασιλεύειν
κακῶς, οὐ μᾶλλον ἢ κακῶς ἀγαθὸν εἶναι. ὁ γὰρ βασιλεὺς
ἀνθρώπων ἄριστός ἐστιν, ἀνδρειότατος ὢν καὶ δικαιότατος
καὶ φιλανθρωπότατος καὶ ἀνίκητος ὑπὸ παντὸς πόνου καὶ 63 M.
25 πάσης ἐπιθυμίας. ἢ σὺ οἴει τὸν ἀδύνατον ἡνιοχεῖν, ἡνίοχον
τοῦτον εἶναι; ἢ τὸν ἄπειρον τοῦ κυβερνᾶν, κυβερνήτην; ἢ
τὸν οὐκ ἐπιστάμενον ἰᾶσθαι, ἰατρόν; οὐκ ἔστιν. καθάπερ οὖν
οὐκ ἔστι κυβερνᾶν μὴ κυβερνητικῶς, οὕτως οὐδὲ βασιλεύειν
μὴ βασιλικῶς, οὐδ' ἂν πάντες φῶσιν Ἕλληνες καὶ βάρβαροι,
καὶ πολλὰ διαδήματα καὶ σκῆπτρα καὶ τιάρας προσάψωσιν
αὐτῷ, καθάπερ τὰ περιδέραια τοῖς ἐκτιθεμένοις παιδίοις, ἵνα
26 μὴ ἀγνοῆται. καὶ ὁ Ἀλέξανδρος φοβηθεὶς, μὴ ἄρα ἄπειρος
ἀναφανῇ τῆς βασιλικῆς ἐπιστήμης· καὶ τίς, ἔφη, σοι δοκεῖ

3. οὐδέν. οὐθὲν B. — 22, 4. οὐδὲ τῶν. οὔτε τῶν B. ‖ 5. οὔτε σοι θεῶν. οὐδέν σοι θέων C, οὔτε σοι θεῶν οὐδὲν Reisk., malim οὐδέν σοι οὔτε θεῶν. ‖ 6. προσήκει C, προσήκοι reliq. — 23, 1. ἀλλὰ τοῖς μέν. ἀνθρώποις μὲν γὰρ C. ‖ 2. λεγομένοις. γενομένοις Reisk. ‖ 4. οὐ δοκεῖν C. Iacobs., οὐκ ἐδόκει Reisk., οὐ δοκεῖ reliq. ‖ 5. οἴει. οἴῃ C ‖ ἐνεῖναι Geel., εἶναι reliq. ‖ φανεροί. φανερὸν C. ‖ 6. γνωρίζειν. γνωρίζῃ C, χωρίζειν r. — 24, 1. λόγῳ ὁ BC, ὁ om. reliq. ‖ 2. κάλλιστα B. v, κάλιστα C, ἄριστα mr. ‖ βασιλεύοι τις C, βασιλεύοι B. v mrg. m, βασιλεύσω reliq. ‖ 3. ἔφη, ἔστι. ἔφη ἔστην C, ἐστὶν, ἔφη B. ‖ 4. οὐ μᾶλλον ἢ κακῶς ἀγαθὸν εἶναι. ἀγαθὸν ὄντα (ceteris om.) C. ‖ 5. ἄριστος BC. Anonym. ap. Reisk., ἄριστον reliq. — 25, 1. ἢ σὺ οἴει τόν. ἢ σὺ οἴει τὸ m. ‖ 2. τοῦτον εἶναι. εἶναι τοῦτον B. ‖ κυβερνήτην. καὶ κυβερνήτην C. ‖ 3. ἰατρόν; οὐκ ἔστιν BC, ἰατρὸν (om. ceteris) reliq. ‖ καθάπερ — βασιλικῶς huc transposui. legebantur post v. ἵνα μη ἀγνοῆται. ‖ 7. περιδέραια C. Reisk., δέρεα B, δέραια Casaub., δέρια reliq.

τὴν τέχνην ταύτην παραδιδόναι; ἢ ποῖ δεῖ πορευθέντα μαθεῖν; 151 R.
27 ὁ οὖν Διογένης εἶπεν· ἀλλ' ἐπίστασαι αὐτήν, εἴπερ ἀληθὴς ὁ
τῆς Ὀλυμπιάδος λόγος, καὶ γέγονας ἐκ τοῦ Διός· ἐκεῖνος γάρ
ἐστιν ὁ τὴν ἐπιστήμην ταύτην πρῶτος καὶ μάλιστα ἔχων καὶ
οἷς ἐθέλει μεταδιδούς· οἷς δὲ ἂν μεταδῷ, πάντες οὗτοι Διὸς
28 παῖδές εἰσί τε καὶ λέγονται. ἢ σὺ οἴει τοὺς σοφιστὰς εἶναι
τοὺς διδάσκοντας βασιλεύειν; ἀλλ' ἐκείνων μὲν οἱ πολλοὶ οὐχ
29 ὅπως βασιλεύειν, ἀλλ' οὐδὲ ζῆν ἴσασιν. οὐκ οἶσθα, ἔφη, ὅτι
διττή ἐστιν ἡ παιδεία, ἡ μέν τις δαιμόνιος, ἡ δὲ ἀνθρωπίνη;
ἡ μὲν οὖν θεία μεγάλη καὶ ἰσχυρὰ καὶ ῥᾳδία, ἡ δὲ ἀνθρωπίνη μικρὰ καὶ ἀσθενὴς καὶ πολλοὺς ἔχουσα κινδύνους καὶ
ἀπάτην οὐκ ὀλίγην, ὅμως δὲ ἀναγκαία προσγενέσθαι ἐκείνῃ,
30 εἰ ὀρθῶς γίγνοιτο. καὶ καλοῦσιν οἱ πολλοὶ ταύτην μὲν παιδείαν, καθάπερ οἶμαι παιδιάν, καὶ νομίζουσι τὸν πλεῖστα
γράμματα εἰδότα, Περσικά τε καὶ Ἑλληνικὰ καὶ τὰ Σύρων
καὶ τὰ Φοινίκων, καὶ πλείστοις ἐντυγχάνοντα βιβλίοις, τοῦτον σοφώτατον καὶ μάλιστα πεπαιδευμένον· πάλιν δέ, ὅταν
ἐντύχωσι τῶν τοιούτων τισὶ μοχθηροῖς καὶ δειλοῖς καὶ φιλαργύροις, ὀλίγου ἄξιόν φασι τὸ πρᾶγμα καὶ τὸν ἄνθρωπον·
τὴν δὲ ἑτέραν ἐνίοτε μὲν παιδείαν, ἐνίοτε δὲ ἀνδρείαν καὶ
31 μεγαλοφροσύνην. καὶ οὕτω δὴ Διὸς παῖδας ἐκάλουν οἱ πρότερον τοὺς τῆς ἀγαθῆς παιδείας ἐπιτυγχάνοντας καὶ τοὺς τὰς 64 M.
ψυχὰς ἀνδρείους καὶ πεπαιδευμένους ὡς Ἡρακλέα ἐκεῖνον. 152 R.
οὐκοῦν ὅστις ἂν ἐκείνην τὴν παιδείαν ἔχῃ καλῶς πεφυκώς,
ῥᾳδίως καὶ ταύτης γίγνεται μέτοχος, ὀλίγα ἀκούσας καὶ ὀλιγάκις, αὐτὰ τὰ μέγιστα καὶ κυριώτατα, καὶ μέμνηται καὶ
32 φυλάττει ἐν τῇ ψυχῇ. καὶ οὐδεὶς ἂν αὐτὸν ἔτι τούτων ἀφέ-

27, 3. πρῶτος. πρώτως corr. B (prim. man. vulg.) C. — 29, 2. ἐστιν ἢ C, ἐστι reliq. ‖ 3. ῥᾳδία. βεβαία Geel., ῥᾳδία καὶ ἀσφαλὴς Reisk. ‖ 6. γίγνοιτο. γίγνεται Geel. — 30, 1. καὶ καλοῦσιν. καλοῦσι δὲ C. ‖ παιδείαν. παιδίαν C. ‖ 2. παιδιὰν Reisk., παιδίαν (corr. παιδία) C, παιδείαν reliq. ‖ τόν. τοῦ C. ‖ 4. καὶ τὰ Φοινίκων. καὶ τῶν Φοινίκων B, κατὰ Φοινίκων C. ‖ 6. ἐντύχωσι. ἐντύγχωσι C. — 31, 1. Διὸς παῖδας Casaub., δίχα παιδείας reliq. ‖ πρότερον. πρότεροι B. ‖ 2. τοὺς τῆς. τοὺς om. B, τῆς om. C. ‖ ἐπιτυγχάνοντας. ἐπιτυγχάνοντα C. ‖ τοὺς τάς. τοὺς om. C. ‖ 3. καὶ πεπαιδευμένους. καὶ om. BC. ‖ 4. ἔχῃ B, ἔχει reliq. ‖ καλῶς. καλὸς corr. B. ‖ 5. γίγνεται. sic dedi. γίνεται reliq. ‖ 6. αὐτά. αὐτὰ δὲ Geel., ἀλλὰ Iacobs. ‖ μέμνηται. sic dedi. μεμύηται reliq. — 32, 1. καὶ οὐδεὶς—ὑπὸ τοῦ πυρὸς displicuerunt Reiskio. ‖ ἔτι. ἐνὶ corr. B (prim. man. vulg.), ἔτι τι Iacobs. Add. p. 298.

λοιτο οὔτε καιρὸς οὔτε ἄνθρωπος σοφιστὴς, ἀλλ' οὐδ' ἂν
πυρί τις ἐκκαῦσαι βουλόμενος· ἀλλὰ κἂν ἐμπρήσῃ τις τὸν ἄν-
θρωπον, ὥσπερ τὸν Ἡρακλέα φασὶν αὐτὸν ἐμπρῆσαι, μένοι
ἂν αὐτοῦ τὰ δόγματα ἐν τῇ ψυχῇ· καθάπερ οἶμαι τῶν κα-
τακαιομένων νεκρῶν τοὺς ὀδόντας φασὶ διαμένειν, τοῦ ἄλλου
33 σώματος δαπανηθέντος ὑπὸ τοῦ πυρός. οὐ γὰρ μαθεῖν, ἀλλ'
ὑπομνησθῆναι δεῖται μόνον· ἔπειτα εὐθὺς εἶδέ τε καὶ ἐγνώ-
ρισεν, ὡς ἂν ἐξ ἀρχῆς τὰ δόγματα ἔχων ταῦτα ἐν τῇ αὐτοῦ
διανοίᾳ· προσέτι δὲ, ἐὰν μὲν ἀνδρὶ περιπέσῃ ὥσπερ ὁδὸν ἐπι-
σταμένῳ, ῥᾳδίως ἐκεῖνος ὑπέδειξεν αὐτῷ, καὶ μαθὼν εὐθὺς
ἄπεισιν· ἐὰν δὲ ἀγνοοῦντι καὶ ἀλαζόνι σοφιστῇ, κατατρίψει
περιάγων αὐτὸν, ὁτὲ μὲν πρὸς ἀνατολὰς, ὁτὲ δὲ πρὸς δύσιν, 153 R.
ὁτὲ δὲ πρὸς μεσημβρίαν ἕλκων, οὐδὲν αὐτὸς εἰδὼς, ἀλλὰ εἰ-
κάζων, καὶ πολὺ πρότερον αὐτὸς ὑπὸ τοιούτων ἀλαζόνων
34 πεπλανημένος· ὥσπερ αἱ ἀμαθεῖς καὶ ἀκόλαστοι κύνες ἐν τῇ
θήρᾳ μηδὲν ξυνεῖσαι μηδὲ γνωρίσασαι τὸ ἴχνος ἐξαπατῶσιν
ἄλλας τῇ φωνῇ καὶ τῷ σχήματι ὡς εἰδυῖαί τε καὶ ὁρῶσαι,
καὶ πολλαὶ συνέπονται ταύταις, αἱ ἀφρονέσταται σχεδὸν,
35 ταῖς μάτην φθεγγομέναις. τούτων αἱ μὲν ἄφθογγοι καὶ
σιωπῶσαι μόναι αὐταὶ ἐξαπατῶνται, αἱ δὲ προπετέσταται
καὶ ἀνοητόταται μιμούμεναι τὰς πρώτας θορυβοῦσι καὶ φι-
λοτιμοῦνται ἄλλας ἐξαπατᾶν. τοιοῦτον εὕροις ἂν καὶ περὶ
τοὺς καλουμένους σοφιστὰς, πολὺν ὄχλον ἐνίοτε συνεπόμενον
ἀνθρώπων ἠλιθίων, καὶ γνώσῃ, ὅτι οὐδὲν διαφέρει σοφιστὴς
36 ἄνθρωπος εὐνούχου ἀκολάστου. καὶ ὃς ἀκούσας ἐθαύμασε, 65 M.
κατὰ τί σοφιστὴν εὐνούχῳ παρέβαλεν, καὶ ἤρετο αὐτόν. ὅτι,
εἶπε, τῶν εὐνούχων φασὶν οἱ ἀσελγέστατοι ἄνδρες εἶναι καὶ
ἐρᾶν τῶν γυναικῶν, καὶ συγκαθεύδουσιν αὐταῖς καὶ ἐνοχ-
λοῦσι, γίγνεται δ' οὐδὲν πλέον, οὐδ' ἂν τάς τε νύκτας καὶ 154 R.

2. σοφιστής. sic dedi. οὔτε σοφιστὴς reliq. ‖ 3. ἐκκαῦσαι C. Iacobs., ἐγκαῦσαι reliq. ‖ 4. μένοι ἂν Iacobs. Add. p. 2, μένει Reisk., μένειν reliq. — 33, 4. περιπέσῃ. περιπέσοι C. ‖ 5. ὑπέδειξεν. ἐπέδειξεν C. ‖ 6. κατατρίψει Casaub., κατατρίψῃ reliq. ‖ 8. οὐδὲν αὐτὸς. οὐ δυνατὸς C. — 34, 2. ξυνεῖσαι C, ξυνιεῖσαι reliq. ‖ γνωρίσασαι. γνωρίσαι C. ‖ 3. ὡς. οἱ v. ‖ εἰδυῖαί τε. εἰδέται C. ‖ ὁρῶσαι. ὡρῶσαι m. — 35, 1. τούτων αἱ. τούτων δ' αἱ BC. ‖ 2. μόναι BC, μόνον reliq. ‖ αὐταὶ Reisk., αὗται reliq. ‖ 3. φιλοτιμοῦνται Reisk., μιμοῦνται reliq. ‖ 4. ἄλλας. τὰς ἄλλας vel ἀλλήλας Geel. ‖ 5. συνεπόμενον. συνεπόμενοι C. ‖ 6. ἠλιθίων. ἠλιθίον m. ‖ 7. ἄνθρωπος Reisk., ἀνθρώπου reliq. — 36, 2. σοφιστὴν εὐνούχῳ. τὸν σοφιστὴν εὐνοῦχον C.

37 τὰς ἡμέρας συνῶσιν αὐταῖς. καὶ παρὰ τοῖς σοφισταῖς οὖν
πολλοὺς εὑρήσεις γηράσκοντας ἀμαθεῖς, πλανωμένους ἐν τοῖς
λόγοις πολὺ κάκιον ἢ τὸν Ὀδυσσέα φησὶν Ὅμηρος ἐν τῇ
θαλάττῃ, καὶ πρότερον εἰς ᾅδου ἂν ἀφίκοιτο, ὥσπερ ἐκεῖνος,
38 ἢ γένοιτο ἀνὴρ ἀγαθὸς λέγων τε καὶ ἀκούων. καὶ σύ, εἴπερ
οὕτω πέφυκας, ἐὰν τύχῃς ἐπισταμένου ἀνδρὸς, ἱκανή σοί ἐστι
μία ἡμέρα πρὸς τὸ συνιδεῖν τὸ πρᾶγμα καὶ τὴν τέχνην, καὶ
οὐδὲν ἔτι δεήσῃ ποικίλων σοφισμάτων ἢ λόγων· ἐὰν δὲ μὴ
τύχῃς διδασκάλου τοῦ Διὸς ἢ ἄλλου τοιούτου, ταχὺ καὶ
σαφῶς φράζοντος ἃ δεῖ ποιεῖν, οὐδέν σοι πλέον, οὐδὲ ἂν ὅλον
κατατρίψῃς τὸν βίον ἀγρυπνῶν τε καὶ ἀσιτῶν παρὰ τοῖς
39 κακοδαίμοσι σοφισταῖς. τοῦτο δὲ οὐκ ἐγὼ λέγω νῦν, ἀλλ'
Ὅμηρος ἐμοῦ πρότερος. ἢ οὐκ ἔμπειρος εἶ τῶν Ὁμήρου ἐπῶν;
ὁ δὲ Ἀλέξανδρος μέγιστον ἐφρόνει, ὅτι ἠπίστατο μὲν τὸ ἕτε-
ρον ποίημα ὅλον, τὴν Ἰλιάδα, πολλὰ δὲ καὶ τῆς Ὀδυσσείας.
θαυμάσας οὖν ἔφη· καὶ ποῦ διείλεκται περὶ τούτων Ὅμηρος;
40 ἐκεῖ, ἔφη, ὅπου τὸν Μίνω λέγει τοῦ Διὸς ὀαριστήν. ἢ οὐ τὸ
ὀαρίζειν ὁμιλεῖν ἐστιν; οὐκοῦν ὁμιλητὴν τοῦ Διός φησιν αὐτὸν 155 R.
εἶναι, ὥσπερ ἂν εἰ ἔφη μαθητήν. ἆρ' οὖν ὑπέρ τινων ἄλλων
αὐτὸν οἴει [μανθάνειν τε καὶ] ὁμιλεῖν τῷ Διὶ πραγμάτων ἢ
τῶν δικαίων καὶ βασιλικῶν; ἐπείτοι καὶ λέγεται δικαιότατος
41 ὁ Μίνως πάντων γενέσθαι. πάλιν δὲ ὅταν λέγῃ διοτρεφεῖς
τοὺς βασιλέας καὶ Διὶ φίλους, ἄλλο τι οἴει λέγειν αὐτὸν ἢ
τὴν τροφὴν ταύτην, ἣν ἔφη εἶναι διδασκαλίαν καὶ μαθη-
τείαν; ἢ σὺ οἴει λέγειν αὐτὸν ὑπὸ τοῦ Διὸς τοὺς βασιλέας
τρέφεσθαι ὥσπερ ὑπὸ τίτθης γάλακτι καὶ οἴνῳ καὶ σιτίοις,
42 ἀλλ' οὐκ ἐπιστήμῃ καὶ ἀληθείᾳ; ὁμοίως δὲ καὶ φιλίαν οὐκ 66 M.
ἄλλην ἢ τὸ ταὐτὰ βούλεσθαι καὶ διανοεῖσθαι, ὁμόνοιάν τινα
οὖσαν. οὕτω γὰρ δήπου καὶ τοῖς ἀνθρώποις δοκοῦσιν οἱ

37, 1. οὖν πολλοὺς C, οὖν om. reliq. || 2. πλανωμένους ἐν τοῖς λόγοις πολὺ κάκιον BC, πολὺ κάκιον πλανωμένους ἐν τοῖς λόγοις reliq. || 4. θαλάττῃ. sic dedi. θαλάττει C, θαλάσσῃ reliq. — 38, 1. εἴπερ Reisk., ἐπείπερ reliq. || 2. σοί ἐστι BC. Casaub., σοι ἔτι reliq. — 39, 5. διείλεκται Reisk., διείλκεται C, διειλεκτοι V, διειλέχθη reliq. — 40, 4. [μανθάνειν τε καὶ] malim abesse. || ἢ τῶν. ἢ οὐ τῶν B. || 6. Μίνως. Μίνος. C. — 41, 1. λέγῃ. λέγει C. || 2. ἄλλο τι οἴει. ἀλλ' ὅτι εἰ C. || 3. ταύτην C, αὐτῶν reliq. || 5. τρέφεσθαι om. B. — 42, 1. οὐκ malim abesse, ut haec interrogantis sint. || 2. ταὐτά. ταῦτα B. || βούλεσθαι BC. Reisk., βουλεύεσθαι reliq. || 3. οὕτω C, οὕτως reliq.

φίλοι πάντων μάλιστα ὁμονοεῖν καὶ μὴ διαφέρεσθαι περὶ μη-
43 δενός. ὃς ἂν οὖν τῷ Διὶ φίλος ᾖ καὶ ὁμονοῇ πρὸς ἐκεῖνον,
ἔσθ' ὅπως ἀδίκου τινὸς ἐπιθυμήσει πράγματος ἢ πονηρόν τι
καὶ αἰσχρὸν διανοηθήσεται; αὐτὸ δὲ τοῦτο ἔοικε δηλοῦν καὶ 156 R.
44 ὅταν ἐγκωμιάζων τινὰ λέγῃ τῶν βασιλέων ποιμένα λαῶν. τοῦ
γὰρ ποιμένος οὐκ ἄλλο τι ἔργον ἢ πρόνοια καὶ σωτηρία καὶ
φυλακὴ προβάτων· οὐχ ὥστε κατακόπτειν, οὐ μὰ Δία, καὶ σφάτ-
τειν καὶ δέρειν. καίτοι ἐνίοτε πολλὰ πρόβατα ἐλαύνει μάγειρος
εἷς ὠνησάμενος· ἀλλὰ πλεῖστον διαφέρει μαγειρική τε καὶ ποι-
45 μενική, σχεδὸν ὅσον βασιλεία τε καὶ τυραννίς. ὅτε γοῦν Ξέρ-
ξης καὶ Δαρεῖος ἄνωθεν ἐκ Σούσων ἤλαυνον πολὺν ὄχλον
Περσῶν τε καὶ Μήδων καὶ Σακῶν καὶ Ἀράβων καὶ Αἰγυ-
πτίων δεῦρο εἰς τὴν Ἑλλάδα ἀπολούμενον, πότερον βασιλικὸν
ἢ μαγειρικὸν ἔπραττον ἔργον λείαν ἐλαύνοντες κατακοπησο-
46 μένην; καὶ ὁ Ἀλέξανδρος· σοί, ἔφη, ὡς ἔοικεν, οὐ δοκεῖ βα-
σιλεὺς εἶναι οὐδὲ ὁ μέγας βασιλεύς; καὶ ὁ Διογένης μειδιάσας·
οὐ μᾶλλον, εἶπεν, ὦ Ἀλέξανδρε, ἢ ὁ σμικρὸς δάκτυλος. οὐδ'
47 ἄρα ἐγώ, ἔφη, καταλύσας ἐκεῖνον μέγας βασιλεὺς ἔσομαι; οὐ 157 R.
τούτου γε ἕνεκα, εἶπεν ὁ Διογένης. οὐδὲ γὰρ τῶν παίδων ὁ
νικήσας, ὅταν παίζωσιν, ὃν αὐτοί φασι βασιλέα, τῷ ὄντι βα-
σιλεύς ἐστιν. οἱ μέντοι παῖδες ἴσασιν, ὅτι ὁ νενικηκὼς καὶ
λεγόμενος βασιλεὺς σκυτοτόμου υἱός ἐστιν ἢ τέκτονος, καὶ δεῖ
μανθάνειν αὐτὸν τὴν τοῦ πατρὸς τέχνην· ὁ δὲ ἀποδρὰς παίζει
μεθ' ἑτέρων, καὶ τότε μάλιστα οἴεται σπουδάζειν· ἐνίοτε δὲ
48 καὶ δοῦλος καταλιπὼν τὸν δεσπότην. ἴσως οὖν καὶ ὑμεῖς
τοιοῦτόν τι ποιεῖτε, ἑκάτερος ὑμῶν παῖδας ἔχοντες τοὺς συμ-
φιλονεικοῦντας· ὁ μὲν Πέρσας καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν

43, 1. ᾗ. sic dedi. εἴη reliq. ‖ ὁμονοῇ. ὁμονοεῖ B. ‖ 2. ἐπιθυμήσει C. Reisk., ἐπι-θυμεῖ reliq. (at corr. B ἐπιθυμεῖν). ‖ τι Reisk., τε reliq. ‖ 3. ἔοικε C, ἔοικεν reliq. ‖ 4. λέγῃ. λέγει C. — 44, 3. οὐχ ὥστε. sic dedi. ὥστε reliq. ‖ κατακόπτειν. κατο-πτεύειν v. mrg. m. ‖ 4. καίτοι. καὶ τὴν v, καὶ μὴν mrg. m. ‖ 5. τε καὶ C, καὶ reliq. hinc incipit alia manus in C. ‖ 6. σχεδὸν. καὶ σχεδὸν C. ‖ βασιλεία C, βασιλικὴ reliq. — 45, 1. γοῦν Reisk., οὖν reliq. ‖ 2. ἐκ Σούσων. εἰς Σοῦσα C. ‖ 3. Σακῶν BC. Reisk., Σακκῶν reliq. ‖ 4. βασιλικὸν BC. Anonym. apud Reisk., βασιλικοῦν v, βασιλικῶν reliq. — 46, 3. οὐδ' C, ἢ οὐδ' Iacobs., ἢ οὐδ' reliq. — 47, 3. ὅταν. ὅται C. ‖ ὃν Casaub., ὡς reliq., quod servari potest, si infra pro βασιλέα scribitur βασιλεύς. ‖ βασιλέα. βασιλέας BCA. v. ‖ 4. ἴσασιν Obs. p. 9, φασιν reliq. — 48, 2. τοὺς συμφιλονεικοῦντας Reisk., συμφιλονεικοῦντας Casaub., τοὺς φιλο-νεικοῦντας reliq.

Ἀσίαν, σὺ δὲ Μακεδόνας τε καὶ τοὺς ἄλλους Ἕλληνας. καὶ 67 M.
ὥσπερ ἐκεῖνοι τῇ σφαίρᾳ στοχάζονται ἀλλήλων, ὁ δὲ πληγεὶς ἥττηται, καὶ σὺ νῦν Δαρείου στοχάζῃ καὶ σοῦ ἐκεῖνος, καὶ τυχὸν ἂν πλήξαις τε καὶ ἐκβάλοις αὐτόν· ἐπισκοπώτερος γὰρ
49 εἶναί μοι δοκεῖς. ἔπειτα οἱ μετ' ἐκείνου πρότερον ὄντες μετὰ σοῦ ἔσονται καὶ ὑποκύψουσι, καὶ σὺ ὀνομασθήσῃ βασιλεὺς 158 R
ἁπάντων. ὁ οὖν Ἀλέξανδρος πάλιν ἐλυπεῖτο καὶ ἤχθετο. οὐδὲ γὰρ ζῆν ἐβούλετο, εἰ μὴ βασιλεὺς εἴη τῆς Εὐρώπης καὶ τῆς Ἀσίας καὶ Λιβύης καὶ εἴ πού τίς ἐστι νῆσος ἐν τῷ ὠκεανῷ
50 κειμένη. ἐπεπόνθει γὰρ τοὐναντίον ἤ φησιν Ὅμηρος τὸν Ἀχιλλέα νεκρὸν πεπονθέναι· ἐκεῖνος μὲν γὰρ ἔλεγεν, ὅτι ζῶν βούλοιτο θητεύειν

> ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
> ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

ὁ δὲ Ἀλέξανδρος δοκεῖ μοι ἑλέσθαι ἂν καὶ τοῦ τρίτου μέρους τῶν νεκρῶν ἄρχειν ἀποθανών, ἢ ζῆν τὸν ἅπαντα χρόνον θεὸς γενόμενος, μόνον εἰ μὴ βασιλεὺς γένοιτο τῶν ἄλλων θεῶν.
51 μόνου δ' ἴσως οὐκ ἂν ὑπερεῖδε τοῦ Διός, ὅτι βασιλέα καλοῦσιν αὐτὸν οἱ ἄνθρωποι. ὅθεν καὶ ἐκόλαζεν αὐτὸν ὁ Διογένης πάντα τρόπον. ἔφη οὖν· ὦ Διόγενες, σὺ μέν μοι παίζειν δοκεῖς· ἐγὼ δὲ ἂν Δαρεῖον ἕλω καὶ ἔτι τὸν Ἰνδῶν βασιλέα, οὐδέν με κωλύει τῶν πώποτε βασιλέων μέγιστον εἶναι. τί γὰρ ἐμοὶ λοιπόν ἐστι κρατήσαντι Βαβυλῶνος καὶ Σούσων καὶ
52 Ἐκβατάνων καὶ τῶν ἐν Ἰνδοῖς πραγμάτων; καὶ ὃς ὁρῶν αὐτὸν φλεγόμενον ὑπὸ τῆς φιλοτιμίας κἀκεῖσε τῇ ψυχῇ ὅλον τεταμένον καὶ φερόμενον· ὥσπερ αἱ γέρανοι, ὅποι ἂν ὁρμή-
53 σωσιν, ἀποτείνασαι ἑαυτὰς πέτονται· ἀλλ' οὐδὲν ἕξεις, ἔφη, πλέον οὐδενός, οὐδὲ τῷ ὄντι βασιλεύσεις ἀφ' ἧς ἔχεις ταύτης

4. τοὺς ἄλλους Ἕλληνας C, ἄλλους om. reliq. ‖ 5. τῇ σφαίρᾳ C, τῇ om. reliq. — 49, 1. μετ'. sic dedi. μὲν reliq. — 50, 1. ἤ φησιν. ἥ (corr. η) C. ‖ 2. Ἀχιλλέα. Ἀχιλέα B. ‖ 4. πολὺς. πολύσιν C. ‖ 6. τοῦ. οὐ C. ‖ 7. θεὸς. ἐστὲ ὅς C. ‖ 8. μὴ om. C. ‖ γένοιτο. γένοι C. — 51, 1. οὐκ delebat Reisk. ‖ ὅτι C, εἰ καὶ reliq., ἢ καὶ Iacobs., malim ὅτι καὶ. ‖ 2. Διογένης πάντα τρόπον mrg. m., Διογένης πάντα τρόφον C, πάντα τρόπον om. reliq. ‖ 3. ἔφη οὖν, ὦ Διόγενες, σὺ μέν μοι παίζειν δοκεῖς C. mrg. m, οὐ μέντοι παίζειν, ἔφη, δοκεῖς (ceteris omissis) reliq. ‖ 4. τὸν Ἰνδῶν B, τῶν Ἰνδῶν reliq. — 52, 2. κἀκεῖσε τῇ Obs. p. 9, κἀκεῖ τῇ C, κακίστῃ reliq., κακῶς τῇ Wyttenb. ad Plut. Moral. p. 582. — 53, 1. οὐδὲν ἕξεις. οὐδὲ ἕξεις m. ‖ 2. πλέον οὐδενός. οὐδενὸς om. C. ‖ ἀφ' ἧς BC. Geel., ἐφ' ἧς reliq.

διανοίας, οὐδὲ ἂν ὑπεραλλόμενος τὸ ἐν Βαβυλῶνι τεῖχος οὕ- 159 R.
τως ἕλῃς τὴν πόλιν, ἀλλὰ μὴ διορύττων ἔξωθεν καὶ ὑπορύτ-
των, οὐδ' ἂν Κῦρον μιμησάμενος κατὰ τὸν ποταμὸν εἰσρυῇς,
ὥσπερ ὕδρος, ὁμοίως δὲ καὶ τὸ ἐν Σούσοις καὶ τὸ ἐν Βάκ-
τροις, οὐδ' ἂν ἑτέραν προσλάβῃς μείζω τῆς Ἀσίας ἤπειρον
54 τὸν ὠκεανὸν διανηξάμενος. [ἢ σὺ τοὺς ἀλεκτρυόνας οὐ καλεῖς 68 M.
νόθους, οἳ ἂν ὦσιν ἐξ ἀνομοίων; ἢ οὐ μείζων σοι δοκεῖ δια-
φορὰ θεοῦ πρὸς γυναῖκα θνητὴν ἢ γενναίου ἀλεκτρυόνος;
εἰ οὖν γέγονας οὕτως, καθάπερ φασί, καὶ σὺ νόθος ἂν εἴης,
ὥσπερ ἀλεκτρυών. τυχὸν δὲ καὶ μαχιμώτατος ἔσῃ τῶν ἄλλων
55 διὰ ταύτην τὴν νοθείαν.] καὶ τίς, εἶπεν, ἔτι μοι καταλείπε-
ται πολέμιος, ἂν ἕλω τούτους, οὓς εἶπον; ὁ πάντων, ἔφη,
δυσμαχώτατος, οὐ περσίζων οὐδὲ λυδίζων τῇ φωνῇ, καθά-
περ οἶμαι Δαρεῖος, ἀλλὰ μακεδονίζων τε καὶ ἑλληνίζων.
καὶ ὃς ἐταράχθη τε καὶ ἠγωνίασε, μή τινα ἐπίσταιτο ἐν Μα-
κεδονίᾳ ἢ ἐν τῇ Ἑλλάδι παρασκευαζόμενον ὡς πολεμήσοντα.
56 καὶ ἤρετο· τίς οὗτός ἐστιν ἐμὸς πολέμιος ἐν τῇ Ἑλλάδι ἢ
Μακεδονίᾳ; σύ, ἔφη, ἀγνοεῖς, πάντων μάλιστα γιγνώσκειν
οἰόμενος; ἔπειτα, ἔφη, οὐκ ἐρεῖς αὐτόν, ἀλλὰ κρύψεις; πάλαι
γάρ, εἶπεν, λέγω, σὺ δὲ οὐκ ἀκούεις, ὅτι σὺ αὑτῷ μάλιστα 160 R.
ἔχθιστος εἶ καὶ πολεμιώτατος, μέχρις ἂν ᾖς κακὸς καὶ ἀνόη-
τος. καὶ οὗτος, ἔφη, ἐστὶν ἁνήρ, ὃν σὺ ἀγνοεῖς, ὡς οὐδένα
57 ἄλλον. οὐδεὶς γὰρ τῶν ἀφρόνων καὶ πονηρῶν ἐπίσταται
ἑαυτόν. οὐ γὰρ ἂν τοῦτο πρῶτον προσέταττεν ὁ Ἀπόλλων
58 ὡς χαλεπώτατον ἑκάστῳ, γνῶναι ἑαυτόν. ἢ οὐ τὴν ἀφροσύ-
νην ἡγῇ μεγίστην καὶ τελεωτάτην πασῶν νόσον καὶ βλάβην
τοῖς ἔχουσι, καὶ τὸν ἄφρονα ἄνδρα αὐτὸν αὑτῷ βλαβερώτα-
τον; ἢ οὐ τὸν βλαβερώτατον ἑκάστῳ καὶ πλείστων κακῶν αἴ-
τιον, τοῦτον ἔχθιστον καὶ πολεμιώτατον ἐκείνῳ ὁμολογεῖς

3. ὑπεραλλόμενος. ὑπεραλλάμενος v. ‖ οὕτως ἕλῃς BC, οὕτως om. reliq. ‖ 5. οὐδ' ἂν—ὥσπερ ὕδρος. ita haec transposui, in reliq. leguntur post v. διανηξάμενος. ‖ 6. ὕδρος. ὕστερος v, ὕστριξ mrg. m. ‖ ὁμοίως δὲ καὶ C, καὶ om. reliq. ‖ 7. προσλάβῃς. sic dedi. προσλάβοις reliq. — 54, 1. [ἦ σὺ τοὺς—νοθείαν] inducenda Obs. p. 10, Geel. haec collocanda existimat post v. ὑποβολιμαῖος ἂν εἴης § 10. ‖ ἢ σύ. ἦ σὺ B. ‖ 2. ἢ οὐ. ἦ οὐ B. — 55, 2. πολέμιος Reisk., πόλεμος reliq. ‖ ἄν. ἐὰν C. ‖ 3. οὐδὲ λυδίζων Reisk., οὐ λυδίζων reliq. ‖ 5. ἠγωνίασε. ἠγωνίαζε m. — 56, 2. γιγνώσκειν C, γινώσκειν reliq. ‖ 4. αὑτῷ B. v. mrg. m, αὐτῷ C, σαυτῷ reliq. ‖ μάλιστα ἔχθιστος. ἔχθιστος μάλιστα C. ‖ 5. καὶ ἀνόητος. καὶ om. C. ‖ 6. ἁνήρ. sic dedi. ἀνὴρ reliq. — 58, 3. αὐτόν. τοῦτον B. v. mrg. m.

59 εἶναι; πρὸς ταῦτα χαλέπαινε καὶ πήδα, ἔφη, καὶ μιαρώτατον
ἀνθρώπων ἐμὲ νόμιζε καὶ λοιδόρει πρὸς ἅπαντας, ἐὰν δέ σοι
δόξῃ, τῷ δορατίῳ διαπερόνησον· ὡς ἀκούσῃ παρὰ μόνου ἀν-
θρώπων ἐμοῦ τἀληθῆ, καὶ παρ' οὐδενὸς ἄλλου [ἀνθρώπων]
ἂν μάθοις. πάντες γάρ εἰσι χείρους ἐμοῦ καὶ ἀνελευθερώ-
60 τεροι. ταῦτα δὲ ἔλεγεν ὁ Διογένης παρ' οὐδὲν μὲν ἡγούμενος,
εἰ καί τι πείσεται, πλὴν σαφῶς γε εἰδώς, ὅτι οὐδὲν ἔσοιτο. 69 M
ἠπίστατο γὰρ τὸν Ἀλέξανδρον δοῦλον ὄντα τῆς δόξης καὶ
61 οὐδέποτ' ἂν ἁμαρτόντα περὶ ἐκείνην. ἔφη οὖν· μηδὲ τὸ ση-
μεῖον τὸ βασιλικὸν ἔχεις; καὶ ὁ Ἀλέξανδρος θαυμάσας· οὐκ
ἄρτι ἔλεγες, ἔφη, ὅτι οὐδὲν δεῖ σημείων τῷ βασιλεῖ; ναὶ μὰ
Δί', εἶπε, τῶν γε ἔξωθεν, οἷον τιάρας καὶ πορφύρας· τούτων
γὰρ οὐδέν ἐστιν ὄφελος· τὸ δὲ ἐκ τῆς φύσεως αὐτῷ δεῖ προσ-
62 εἶναι πάντων μάλιστα. καὶ τί τοῦτό ἐστιν; ἔφη ὁ Ἀλέξαν- 161 R
δρος. ὃ καὶ τῶν μελιττῶν, ἦ δ' ὅς, τῷ βασιλεῖ πρόσεστιν. ἢ
οὐκ ἀκήκοας, ὅτι ἔστι βασιλεὺς ἐν ταῖς μελίτταις φύσει γιγνό-
μενος, οὐκ ἐκ γένους τοῦτο ἔχων, ὥσπερ ὑμεῖς φατε, ἀφ'
Ἡρακλέους ὄντες; τί οὖν τοῦτό ἐστιν, εἶπεν ὁ Ἀλέξανδρος, τὸ
63 σημεῖον; οὐκ ἀκήκοας, εἶπε, τῶν γεωργῶν, ὅτι μόνη ἐκείνη ἡ
μέλιττα ἄνευ κέντρου ἐστὶν, ὡς οὐδὲν αὐτῇ δέον ὅπλου πρὸς
οὐδένα; οὐδεμία γὰρ αὐτῇ τῶν ἄλλων μελιττῶν ἀμφισβητή-
σει περὶ τῆς βασιλείας, οὐδὲ μαχήσεται τοῦτο ἐχούσῃ. σὺ δέ
μοι δοκεῖς οὐ μόνον περιπατεῖν, ἀλλὰ καὶ καθεύδειν ἐν τοῖς
64 ὅπλοις. οὐκ οἶσθα, ἔφη, ὅτι φοβουμένου ἐστὶν ἀνθρώπου
ὅπλα ἔχειν; φοβούμενος δὲ οὐδέποτ' ἂν οὐδεὶς γένοιτο βασι-
λεὺς, οὐ μᾶλλον ἢ δοῦλος. ἀκούσας δὲ ὁ Ἀλέξανδρος ὀλίγου
65 ἐκ τῆς χειρὸς ἀφῆκε τὸ δοράτιον. ταῦτα δὲ ἔλεγεν ὁ Διογέ-
νης προτρέπων αὐτὸν εὐεργεσίᾳ πιστεύειν καὶ τῷ δίκαιον παρ-
έχειν αὐτὸν, ἀλλὰ μὴ τοῖς ὅπλοις. σὺ δὲ, ἔφη, καὶ τὸν
θυμὸν ἐν τῇ ψυχῇ φορεῖς ἠκονημένον, χαλεπὸν οὕτω καὶ

59, 3. ὡς. ὅμως Geel. ‖ μόνου. μόνων B. ‖ 4. καὶ παρ'. ἃ παρ' Geel. ‖ [ἀνθρώπων] malim deleri. ‖ 5. μάθοις. μηθῃς C. ‖ ἀνελευθερώτεροι Selden., ἀνελευθερώτατοι reliq. — 60, 4. ἁμαρτόντα. ἁμαρτῶντα B. ‖ ἐκείνην Geel., ἐκεῖνον reliq. — 61, 1. οὖν. οὖν αὐτὸν C, αὐτὸν fortasse emendatio verbi ἐκεῖνον, quod est in libris. οὖν. σὺ δὲ Iacobs. Add. p. 31. ‖ 4. εἶπε C, εἶπεν reliq. ‖ τῶν γε. γε om. C. ‖ οἷον om. B. — 62, 2. μελιττῶν C, μεγίστων B, μελισσῶν reliq. ‖ 3. ὅτι ἐστὶ—ἀκήκοας om. C. ‖ 4. ἀφ'. malim οἱ ἀφ'. — 63, 4. μαχήσεται C. Reisk., μάχεται reliq. ‖ ἐχούσῃ C. Reisk., ἐχούσης reliq. — 65, 2. καὶ τῷ. καὶ τὸ B. ‖ 4. οὕτω. sic dedi. οὕτως reliq.

66 *βίαιον κέντρον. οὐκ ἀποῤῥίψας οὖν ταῦτα, ἃ νῦν ἔχεις,*
ἐξωμίδα λαβὼν λατρεύσεις τοῖς αὐτοῦ κρείττοσιν, ἀλλὰ περιε-
λεύσῃ διάδημα ἔχων καταγέλαστος; μικρῷ δὲ ὕστερον ἴσως
λόφον φύσεις καὶ τιάραν, ὥσπερ οἱ ἀλεκτρυόνες. οὐκ ἐννε-
νόηκας τὴν τῶν Σακῶν ἑορτὴν, ἣν Πέρσαι ἄγουσιν, οὗ νῦν
67 *ὥρμηκας στρατεύεσθαι; καὶ ὃς εὐθὺς ἠρώτα· ποίαν τινά;* 162 R
ἐβούλετο γὰρ πάντα εἰδέναι τὰ τῶν Περσῶν πράγματα. λα-
βόντες, ἔφη, τῶν δεσμωτῶν ἕνα τῶν ἐπὶ θανάτῳ καθίζουσιν
εἰς τὸν θρόνον τὸν τοῦ βασιλέως, καὶ τὴν ἐσθῆτα διδόασιν 70 M
αὐτῷ τὴν βασιλικὴν, καὶ προστάττειν ἐῶσι καὶ πίνειν καὶ
τρυφᾶν καὶ ταῖς παλλακαῖς χρῆσθαι τὰς ἡμέρας ἐκείνας ταῖς
βασιλέως, καὶ οὐδεὶς οὐδὲν αὐτὸν κωλύει ποιεῖν, ὧν βούλεται.
μετὰ δὲ ταῦτα ἀποδύσαντες καὶ μαστιγώσαντες ἐκρέμασαν.
68 *τίνος οὖν ἡγῇ τοῦτο εἶναι σύμβολον; καὶ διὰ τί γίγνεσθαι*
παρὰ τοῖς Πέρσαις; οὐχ ὅτι πολλάκις ἀνόητοι ἄνθρωποι καὶ
πονηροὶ τῆς ἐξουσίας ταύτης καὶ τοῦ ὀνόματος τυγχάνουσιν,
ἔπειτα χρόνον τινὰ ὑβρίσαντες αἴσχιστα καὶ τάχιστα ἀπόλ-
69 *λυνται; οὐκοῦν τότε, ἐπειδὰν ἄρωσι τὸν ἄνθρωπον ἐκ τῶν*
δεσμῶν, εἰκός ἐστιν τὸν μὲν ἀνόητον καὶ ἄπειρον τοῦ πράγ-
ματος χαίρειν καὶ μακαρίζειν ἑαυτὸν ἐπὶ τοῖς γιγνομένοις, τὸν
δὲ εἰδότα ὀδύρεσθαι καὶ μὴ ἐθέλειν ἑκόντα συνακολουθεῖν,
70 *ἀλλὰ μᾶλλον, ὥσπερ εἶχε, μένειν ἐν ταῖς πέδαις. μὴ οὖν πρό-*
τερον, ὦ μάταιε, βασιλεύειν ἐπιχείρει, πρὶν ἢ φρονῆσαι. τέως
δὲ, ἔφη, κρεῖττον μηδὲν προστάττειν, ἀλλὰ μόνον αὐτὸν ζῆν
διφθέραν ἔχοντα. σὺ δὲ, ἔφη, κελεύεις ἐμὲ διφθέραν λαβεῖν
τὸν ἀφ' Ἡρακλέους γεγονότα καὶ τῶν Ἑλλήνων ἡγεμόνα καὶ
71 *Μακεδόνων βασιλέα; πάνυ γε, εἶπεν, ὥσπερ ὁ πρόγονός σου.* 163 R.
ποῖος, ἔφη, πρόγονος; Ἀρχέλαος. ἢ οὐκ αἰπόλος ἦν ὁ Ἀρχέ-

66, 1. *οὖν ταῦτα. οὖν* **om. C.** ‖ **2.** *αὐτοῦ. αὐτοῦ* **B.** ‖ **3.** *καταγέλαστος* **Reisk.,** *καταγέλαστον* **reliq.** ‖ *μικρῷ* **C,** *μικροῦ* **reliq.** ‖ **5.** *τὴν* **om. B.** ‖ *Σακῶν* **B,** *Σακκῶν* **reliq. — 67, 1.** *ποίαν τινά.* **sic dedi.** *ποῖά τινα* **m,** *ποιάν τινα* **reliq.** ‖ **4.** *τὸν τοῦ* **C,** *τὸν* **om. reliq.** ‖ **5.** *αὐτῷ τὴν βασιλικὴν καὶ προστάττειν ἐῶσι καὶ πίνειν καὶ τρυφᾶν* **C (nisi quod** *προστάττην***). mrg. m,** *αὐτῷ αὐτὴν καὶ τρυφᾶν* **(ceteris om.) reliq.** ‖ **8.** *ἀποδύσαντες. ἀποδήσαντες* **C. — 68, 1.** *ἡγῇ. ἡγοῦνται* **(corr.** *ἡγῇ***) C.** ‖ *γίγνεσθαι. γίνεσθαι* **B.** ‖ **4.** *χρόνον* **Reisk.,** *χρόνῳ* **reliq. — 69, 1.** *ἄρωσι.* **malim** *ἀνῶσι.* ‖ **3.** *ἐπί. ωυθ^λ* **C.** ‖ **4.** *ἐθέλειν* **BC,** *θέλειν* **reliq. — 70, 3.** *μηδέν. μηδὲν μηδενὶ* **Reisk.** ‖ *αὐτόν. αὐτὸς* **C.** ‖ **4.** *διφθέραν ἔχοντα* **BC. Casaub.,** *διφθέραν ἱμάτιον γεωργικὸν στερεὸν πρὸς ὄμβρων μάλιστα ἀποφυγὴν ἱκανὸν ἔχοντα* **reliq.** ‖ *σὺ δέ. δὲ* **om. C.** ‖ *ἐμὲ* **C,** *με* **reliq. — 71, 2.** *ὁ Ἀρχέλαος. ὁ* **om. B.**

λαος, οὐδὲ ἦλθεν εἰς Μακεδονίαν αἶγας ἐλαύνων; πότερον
οὖν αὐτὸν ἐν πορφύρᾳ μᾶλλον ἢ ἐν διφθέρᾳ οἴει τοῦτο ποιεῖν;
καὶ ὁ Ἀλέξανδρος ἀνείθη τε καὶ ἐγέλασε καὶ ἔφη· τὰ περὶ
72 τὸν χρησμὸν, ὦ Διόγενες, λέγεις. ὁ δὲ στρυφνῷ τῷ προσώπῳ·
ποῖον, εἶπε, χρησμόν; οὐκ οἶδα ἔγωγε· πλὴν ὅτι αἰπόλος ἦν ὁ
Ἀρχέλαος. ἀλλ' ἂν ἀπαλλαγῇς τοῦ τύφου καὶ τῶν νῦν πραγ-
μάτων, ἔσῃ βασιλεὺς, οὐ λόγῳ τυχὸν, ἀλλὰ ἔργῳ· καὶ κρατή-
σεις οὐ μόνον τῶν ἀνδρῶν ἁπάντων, ἀλλὰ καὶ τῶν γυναικῶν,
73 ὥσπερ ὁ Ἡρακλῆς, ὅν σου φῂς πρόγονον εἶναι. καὶ ὅς· ποίων,
ἔφη, γυναικῶν; ἢ δῆλον, ἔφη, ὅτι τῶν Ἀμαζόνων λέγεις; ἀλλ'
ἐκείνων, ἦ δ' ὅς, οὐδὲν ἦν κρατῆσαι χαλεπόν· ἑτέρου δέ τινος 71 M
γένους δεινοῦ καὶ ἀγρίου παντελῶς. ἢ οὐκ ἀκήκοας τὸν Λι-
74 βυκὸν μῦθον; καὶ ὃς οὐκ ἔφη ἀκηκοέναι. διηγεῖτο δὴ μετὰ
ταῦτα προθύμως καὶ ἡδέως, βουλόμενος αὐτὸν παραμυθή-
σασθαι, καθάπερ αἱ τίτθαι τὰ παιδία, ἐπειδὰν αὐτοῖς πλη- 161 R
γὰς ἐμβάλωσι, παραμυθούμεναι καὶ χαριζόμεναι μῦθον αὐ-
75 τοῖς ὕστερον διηγήσαντο. εὖ δὲ ἴσθι, ἔφη, ὅτι οὐ πρότερον
ἔσῃ βασιλεὺς, πρὶν ἂν ἱλάσῃ τὸν σαυτοῦ δαίμονα καὶ θερα-
πεύσας ὡς δεῖ ἀποδείξῃς ἀρχικόν τε καὶ ἐλευθέριον καὶ βασι-
λικόν, ἀλλὰ μὴ, ὡς νῦν ἔχεις, δοῦλον καὶ ἀνελεύθερον καὶ
76 πονηρόν. ἐνταῦθα δὴ ὁ Ἀλέξανδρος ἐκπεπληγμένος τοῦ ἀν-
θρώπου τὸ ἀνδρεῖον καὶ τὸ ἀδεὲς, νομίσας πλέον τι τῶν ἄλλων
ἐπίστασθαι αὐτὸν, παντοδαπὸς ἦν ἱκετεύων, μὴ φθονῆσαι
μηδένα τρόπον, ἀλλὰ φράσαι, τίς ἐστιν ὁ δαίμων αὐτοῦ καὶ
πῶς χρὴ ἱλάσασθαι αὐτόν. ἤλπιζε γὰρ ὄνομά τι ἀκούσεσθαι
δαίμονος καὶ θυσίας τινὰς ἢ καθαρμοὺς, οὓς δεῖ ἐπιτελέσαι.
77 κατιδὼν οὖν αὐτὸν ὁ Διογένης τεθορυβημένον καὶ σφόδρα

4. οὖν αὐτὸν C, αὐτὸν om. reliq. ‖ οἴει τοῦτο ποιεῖν. τοῦτο ποιεῖ (om. οἴει) C, εἴει τοῦτο ποιεῖν m. ‖ 5. ἀνείθη BC. Reisk., ἀνέθη Casaub., ἀνήθη v, ἀνέθει mr. ‖ ἐγέλασε C, ἐγέλασεν reliq. ‖ 6. λέγεις: λήγεις v. — 72, 1. στρυφνῷ. στρυφνεῖ v. mrg. m. ‖ 2. εἶπε. ἔφη C. ‖ χρησμόν; οὐκ. χρησμὸν, ὃν οὐκ Reisk. ‖ πλὴν ὅτι C. Reisk., ὅτι om. reliq. ‖ ἦν ὁ C, ὁ om. reliq. ‖ 5. ἀνδρῶν C, ἀνθρώπων reliq. ‖ 6. σου Reisk., σοι Morell., σὺ reliq. — 73, 2. δῆλον BC. v. mrg. m, τυχὸν mr. ‖ 4. γένους. γενίους C. — 74, 1. διηγεῖτο δὴ B, διηγεῖτο δὲ reliq. ‖ 3. ἐπειδὰν Iacobs., ἐπειδ' ἂν BC, ἐπειδὴ reliq. ‖ 4. ἐμβάλωσι BC. Reisk., ἐμβάλλωσι reliq. ‖ παραμυθούμεναι. παραμυθοῦμαι C. — 75, 4. ὡς C, ὃν reliq. ‖ δοῦλον. δ' ἄλον (mrg. vulg.) C. ‖ καὶ ἀνελεύθερον C, καὶ om. reliq. — 76, 1. τοῦ ἀνθρώπου τὸ ἀνδρεῖον. τὸ τοῦ ἀνθρώπου ἀνδρεῖον C. ‖ 5. ἱλάσασθαι BC, ἱλάσκεσθαι reliq. ‖ ἀκούσεσθαι. ἀκοῦσαι (mrg. ἀκούσεσθαι) C. — 77, 1. τεθορυβημένον B.

τῇ ψυχῇ μετέωρον, προσέπαιζε καὶ περιεῖλκεν, εἴ πως δύναιτο
κινηθεὶς ἀπὸ τοῦ τύφου καὶ τῆς δόξης μικρόν τι ἀνανῆψαι.
78 καὶ γὰρ δὴ ᾐσθάνετο αὐτὸν νῦν μὲν ἡδόμενον, νῦν δὲ λυπού-
μενον ἐν τῷ αὐτῷ καὶ τὴν ψυχὴν αὐτοῦ ἄκριτον οὖσαν, ὥσπερ
τὸν ἀέρα ἐν ταῖς τροπαῖς, ὅταν ἐκ τοῦ αὐτοῦ νέφους ὕῃ τε
καὶ λάμπῃ ὁ ἥλιος. συνίει δὲ, ὅτι καὶ τοῦ τρόπου κατεφρό- 165 R.
νει, ἐν ᾧ διελέγετο πρὸς αὐτὸν, ἅτε οὐδέποτε ἀκηκοὼς δεινοῦ
λέγειν ἀνδρὸς, ἀλλὰ τοὺς τῶν σοφιστῶν θαυμάζων λόγους
79 ὡς ὑψηλούς τε καὶ μεγαλοπρεπεῖς. βουλόμενος οὖν χαρίσασθαι
αὐτῷ, ἅμα τε ἐπιδεῖξαι, ὅτι οὐκ ἀδύνατός ἐστιν ὥσπερ ἵππον
εὐμαθῆ καὶ πειθόμενον, ὅταν αὐτῷ δοκῇ, τὸν λόγον ἐπᾶραι,
λέγει πρὸς αὐτὸν οὕτω περὶ δαιμόνων· ὅτι οὔκ εἰσιν ἔξωθεν
τῶν ἀνθρώπων οἱ πονηροὶ καὶ ἀγαθοὶ δαίμονες, οἱ τὰς συμ-
80 φορὰς καὶ τὰς εὐτυχίας φέροντες αὐτοῖς, ὁ δὲ ἴδιος ἑκάστου
νοῦς, οὗτός ἐστι δαίμων τοῦ ἔχοντος ἀνδρὸς, ἀγαθὸς μὲν ὁ 72 M.
τοῦ φρονίμου καὶ ἀγαθοῦ δαίμων, πονηρὸς δὲ ὁ τοῦ πονηροῦ,
ὡσαύτως δὲ ἐλεύθερος μὲν ὁ τοῦ ἐλευθέρου, δοῦλος δὲ ὁ τοῦ
δούλου, καὶ βασιλικὸς μὲν ὁ τοῦ βασιλικοῦ καὶ μεγαλόφρο-
81 νος, ταπεινὸς δὲ ὁ τοῦ ταπεινοῦ καὶ ἀγεννοῦς. ἵνα δὲ, ἔφη,
μὴ καθ᾽ ἓν ἕκαστον ἐπιὼν πολύ τι πλῆθος ἐπάγωμαι λόγων,
ἐρῶ τοὺς κοινοτάτους καὶ φανερωτάτους δαίμονας, ὑφ᾽ ὧν
ἅπαντες ὡς εἰπεῖν ἐλαύνονται τύραννοι καὶ ἰδιῶται καὶ
πλούσιοι καὶ πένητες καὶ ὅλα ἔθνη καὶ πόλεις. ἐνταῦθα δὴ
πάντα ἀνεὶς κάλων μάλα ὑψηλῶς καὶ ἀδεῶς τὸν ἑξῆς διε-
82 πέραινε λόγον. πολλαὶ μὲν, ὦ παῖ Φιλίππου, περὶ πάντα
κακίαι τε καὶ διαφθοραὶ τῶν ἀθλίων ἀνθρώπων, καὶ το-
σαῦται σχεδὸν, ὅσας οὐ δυνατὸν διελθεῖν. τῷ ὄντι γὰρ κατὰ
τὸν ποιητὴν

οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος 166 R.

Reisk., τεθορυβήμενον C, τεθορημένον v, τεθορυβούμενον mr. ‖ 2. περιεῖλκεν BC, περιῆλθεν reliq. ‖ 3. ἀνανῆψαι C, ἀνανεῦσαι reliq. — 78, 1. λυπούμενον. λυπόμενον M. ‖ 3. ὕῃ. ὕει B. ‖ 4. συνίει. συνήει C. — 79, 3. τὸν λόγον CM, τῷ λόγῳ reliq. — 80, 2. ἐστι δαίμων. εὐδαίμων M. — 81, 2. καθ᾽ ἓν ἕκαστον C, καθέκαστον reliq. ‖ ἐπιών. ἐπὶ M. ‖ 3. ἐρῶ om. M in lacuna. ‖ κοινοτάτους om. M in lacuna. ‖ 4. τύραννοι—ἔθνη om. M in lacuna. ‖ 6. κάλων CMA. Casaub. r, κάλον B, καλῶς vm. ‖ ὑψηλῶς. ὑψηλὸς C. ‖ διεπέραινε. διεπέρανε M. — 82, 1. πολλαί. πάλαι v. ‖ 2. διαφθοραί. διαφοραὶ M. ‖ ἀθλίων om. v. ‖ 5. οὐδέν. οὐδὲ C.

οὐδὲ πάθος οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

83 τριῶν δὲ ἐπικρατούντων, ὡς ἔπος εἰπεῖν, βίων, εἰς οὓς μάλιστα ἐμπίπτουσιν οἱ πολλοί, μὰ Δί' οὐ μετὰ λογισμοῦ σκεψάμενοι καὶ δοκιμάσαντες, ἀλόγῳ δὲ ὁρμῇ καὶ τύχῃ προσενεχθέντες, τοσούτους φατέον εἶναι καὶ δαίμονας, οἷς συνέπονται καὶ λατρεύουσιν ὁ πολὺς καὶ ἀμαθὴς ὅμιλος, ἄλλος ἄλλῳ, καθάπερ ἡγεμόνι πονηρῷ καὶ μαινομένῳ πονηρὸς καὶ ἀσελγὴς θίασος.
84 ἔστι δὲ τούτων ὧν ἔφην βίων ὁ μὲν ἡδυπαθὴς καὶ τρυφερὸς περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ δ' αὖ φιλοχρήματος καὶ φιλόπλουτος, ὁ δὲ τρίτος ἀμφοτέρων ἐπιφανέστερός τε καὶ μᾶλλον τεταραγμένος, ὁ φιλότιμος καὶ φιλόδοξος, ἐκδηλοτέραν καὶ σφοδροτέραν ἐπιδεικνύμενος τὴν ταραχὴν καὶ τὴν
85 μανίαν, ἐξαπατῶν αὑτόν, ὡς καλοῦ δή τινος ἐραστήν. φέρε οὖν, καθάπερ οἱ κομψοὶ τῶν δημιουργῶν ἐπὶ πάντα ἐν βραχεῖ φέρουσι τὴν αὑτῶν ἐπίνοιαν καὶ τέχνην, οὐ μόνον τὰς τῶν θεῶν ἀπομιμούμενοι φύσεις ἀνθρωπίνοις εἴδεσιν, ἀλλὰ 73 M.
καὶ τῶν ἄλλων ἕκαστον, ποταμούς τε ἐνίοτε γράφοντες ἀνδράσιν ὁμοίους καὶ κρήνας ἔν τισι γυναικείοις εἴδεσι καὶ νήσους καὶ πόλεις καὶ τἆλλα μικροῦ δεῖν ξύμπαντα· ὁποῖον καὶ 167 R
Ὅμηρος ἐτόλμησεν, ἐπιδείξας Σκάμανδρον φθεγγόμενον ὑπὸ
86 τῇ δίνῃ· κἀκεῖνοι φωνὰς μὲν οὐκ ἔχουσι προσθεῖναι τοῖς εἰδώλοις, εἴδη δὲ οἰκεῖα καὶ σημεῖα ἀπὸ τῆς φύσεως, οἷον τοὺς ποταμοὺς κατακειμένους γυμνοὺς τὸ πλέον, γένειον πολὺ καθ-
87 εικότας, μυρίκην ἢ κάλαμον ἐστεφανωμένους· οὐκοῦν καὶ ἡμεῖς μὴ χείρους μηδὲ φαυλότεροι περὶ τοὺς λόγους φανῶμεν ἤπερ ἐκεῖνοι περὶ τὰς αὑτῶν τέχνας, τῷ πλάττειν καὶ ἀφομοιοῦν τοὺς τρόπους τοῦ τριπλοῦ δαίμονος τῶν τριῶν βίων, τὴν ἐναντίαν ἕξιν καὶ ἀντίστροφον ἐπιδεικνύμενοι τῆς τῶν

6. συμφορὰ θεήλατος. συμφοραὶ δαιμόνιον C, συμφορὰν δαιμόνιον BM, συμφορὰν καὶ δαιμόνιον v. ‖ 7. ἄραιτ' ἄχθος. ἄραι τἄχθος M, ἄρατ' αἴχθος C, ἄραιτο ἄχθος BA. — 83, 3. καὶ δοκιμάσαντες BCM, ἢ δοκιμάσαντες reliq. ‖ 4. φατέον. σφεντέον (ut videtur) C. ‖ 5. ἄλλος CM, ἄλλοι reliq. ‖ 6. ἡγεμόνι πονηρῷ BCM, πονηρῷ ἡγεμόνι reliq. — 84, 1. ἔστι. ἔστιν C. ‖ 6. αὑτόν. αὐτὸν M. — 85, 2. πάντα. πάντας B. ‖ 6. καὶ νήσους. νήσους τε CM. ‖ 7. τἆλλα CM, τὰ ἄλλα reliq. ‖ μικροῦ. σμικροῦ B. ‖ 8. ἐπιδείξας. ἐπιδεῖξαι BM. — 86, 3. καθεικότας. καθήκοντας B. ‖ 4. μυρίκην. μυρρίκην M. ‖ κάλαμον CM, καλάμην reliq. — 87, 3. ἤπερ. ἢ C. ‖ τῷ πλάττειν. sic dedi (possit τὸ πλάττειν). τοῦ πλάττειν reliq.

88 *λεγομένων φυσιογνωμόνων* **ἐμπειρίας καὶ μαντικῆς.** οἱ μὲν
γὰρ ἀπὸ τῆς μορφῆς καὶ τοῦ εἴδους τὸ ἦθος γιγνώσκουσι καὶ
ἀπαγγέλλουσιν· ἡμεῖς δὲ ἀπὸ τῶν ἠθῶν καὶ τῶν ἔργων χα-
ρακτῆρα καὶ μορφὴν ἀξίαν ἐκείνων σπάσωμεν, εἰ ἄρα μᾶλλον 168 R.
ἅψασθαι δυνησόμεθα τῶν πολλῶν καὶ φαυλοτέρων, πρὸς τὸ
89 ἀποδεῖξαι τὴν τῶν βίων ἀτοπίαν. οὐδὲν γὰρ ἄσχημον οὐδὲ
νεμεσητὸν καὶ ποιηταῖς παραβαλλομένους καὶ χειροτέχναις
[καὶ καθαρταῖς] ὁρᾶσθαι, εἰ δέοι σπεύδειν, πανταχόθεν
εἰκόνας καὶ παραδείγματα πορίζοντας, ἄν πως ἰσχύσωμεν
ἀποτρέψαι κακίας καὶ ἀπάτης καὶ πονηρῶν ἐπιθυμιῶν, εἰς
90 ἀρετῆς δὲ φιλίαν προαγαγεῖν καὶ ἔρωτα ζωῆς ἀμείνονος· ἢ ὡς
εἰώθασιν ἔνιοι τῶν περὶ τὰς τελετὰς καὶ τὰ καθάρσια, μῆνιν
Ἑκάτης ἱλασκόμενοί τε καὶ ἐξάντη φάσκοντες ποιήσειν, ἔπειτα, 169 R.
οἶμαι, φάσματα πολλὰ καὶ ποικίλα πρὸ τῶν καθαρμῶν ἐξηγού-
μενοι καὶ ἐπιδεικνύντες, οἷά φασιν ἐπιπέμπειν χολουμένην τὴν
91 θεόν. εἶεν. ὁ μὲν δὴ φιλοχρήματος [δαίμων] χρυσοῦ καὶ ἀργύρου
καὶ γῆς καὶ βοσκημάτων καὶ συνοικιῶν καὶ πάσης κτήσεως ἐρα-
στής. ἆρα οὐκ ἂν σκυθρωπός τε καὶ συννεφὴς ἰδεῖν ἐν σχήματι
ταπεινῷ καὶ ἀγεννεῖ πλάττοιτο ὑπὸ δημιουργοῦ μὴ φαύλου τὴν 74 M.
τέχνην; αὐχμηρὸς καὶ ῥυπῶν, οὔτε παῖδας ἢ γονέας, οὔτε
πατρίδα φιλῶν, ἢ συγγένειαν ἄλλο τι νομίζων ἢ τὰ χρήματα,
τοὺς δὲ θεοὺς πλέον οὐδὲν εἶναι λογιζόμενος, ὅτι μὴ πολλοὺς

88, 2. γιγνώσκουσι CM, γινώσκουσι reliq. ‖ 3. ἀπαγγέλλουσιν. ἀπαγγέλουσιν B. ‖ 4. σπάσωμεν. πλάσωμεν Obs. p. 10. — 89, 1. οὐδὲν γὰρ C, οὐδὲν M, οὐδὲ γὰρ reliq. ‖ 3. [καὶ καθαρταῖς]. καὶ καθάπερ ταῖς C. mrg. m, καὶ καθαπερταῖς M, καὶ καθαρταῖς reliq., καὶ ἀγύρταις Geel. mihi delenda videntur Obs. p. 12. ‖ ὁρᾶσθαι. ἑ ὁρᾶσθαι C. ‖ εἰ δέοι. ἐνδέοι CM. ‖ σπεύδειν. malim σπουδῇ. ‖ 4. πορίζοντας CM. mrg. m. var. l. v, πορίζειν reliq. ‖ ἄν πως CM, εἴπως ἂν B, ὅπως ἂν reliq. ‖ 5. ἀποτρέψαι. ἀποστρέψαι M. ‖ 6. προαγαγεῖν. προσαγαγεῖν C. ‖ ζωῆς. καὶ ζωῆς CM. — 90, 2. τῶν περὶ Ruhnken. ad Tim. p. 108, περὶ (om. τῶν) CM, τὸ περὶ reliq. ‖ 3. ἱλασκόμενοι—ποιήσειν om. M in lacuna. ‖ 4. καὶ—καθαρμῶν om. M in lacuna. ‖ 5. οἷά. οἳ B, ἃ CM. ‖ χολουμένην om. M in lacuna. — 91, 1. εἶεν om. M. ‖ [δαίμων] delendum Obs. p. 12, conf. § 96. E regione horum v. in mrg. C haec leguntur: ✝ πῶς εὐσχαλάζει βασιλεὺς μακροῦ λόγου. ἀπειθαγζῶ σοι διέττη ἢ δίων (l. ἀπειθάνω σοι διαιτήσει vel διαθήσει ὦ). apparet Dionem ab aliquo critico reprehendi. ‖ 3. συννεφής. συνεφὴς B. ‖ ἐν BCM. v, εἰ ἐν reliq. ‖ 4. καὶ ἀγεννεῖ. καὶ om. C. ‖ 6. συγγένειαν. συγγενειῶν B. a loco suo duo verba videntur aberrasse; malim ἢ γονέας φιλῶν ἢ συγγένειαν, οὔτε πατρίδα ἄλλο. ‖ 7. πλέον οὐδὲν εἶναι CM, πλέον οὐκ εἶναι reliq., τέλεον οὐκ εἶναι Casaub., malim τέλεον οὐδὲν εἶναι (vel οὐδαμῇ). ‖ ὅτι μή. μή om. C.

Digitized by Google

αὐτῷ μηδὲ μεγάλους θησαυροὺς παραδεικνύουσιν ἢ θανάτους
οἰκείων τινῶν καὶ συγγενῶν, ὅπως ἔχοι κληρονομεῖν, τὰς δὲ
92 ἑορτὰς ζημίαν ἄλλως ἡγούμενος καὶ ματαίαν δαπάνην, ἀνίλα-
στος καὶ ἀμειδίατος, ὑφορώμενος ἅπαντας καὶ βλαβεροὺς
ἡγούμενος καὶ ἀπιστῶν πᾶσιν, ἁρπακτικὸν βλέπων, ἀεὶ κινῶν
τοὺς δακτύλους, ἤτοι τὴν αὑτοῦ λογιζόμενος οὐσίαν ἢ τῶν
ἄλλων τινὸς, τἄλλα δὲ ἀναίσθητος καὶ ἀμαθὴς, παιδείας καὶ
γραμμάτων καταγελῶν, πλὴν ὅσον περὶ λογισμοὺς καὶ συμ-
βόλαια, τυφλοῦ δικαίως καὶ λεγομένου καὶ γραφομένου τοῦ
93 πλούτου τυφλότερος ἐραστὴς, περὶ πάντα λυττῶν κτήματα
καὶ οὐδὲν ἀπόβλητον ἡγούμενος, οὐχ ὥσπερ τὴν μαγνῆτιν λίθον 170 R
ἕλκειν φασὶ πρὸς αὑτὴν τὸν σίδηρον, ἀλλὰ καὶ χαλκὸν καὶ μό-
λυβδον προσαγόμενος, κἂν ψάμμον ἢ λίθον διδῷ τις, πανταχῇ
καὶ περὶ πάντα σχεδόν τι τὸ ἔχειν τοῦ μὴ ἔχειν λυσιτελέστερόν
τε καὶ ἄμεινον ἡγούμενος, μάλιστα δὲ περὶ τὴν τοῦ ἀργυρίου
κτῆσιν ἔμφρων καὶ συντεταμένος, ὅτι δὴ τάχιστα καὶ ἀδαπανώ-
τατα πρόεισι, σὺν ἡμέρᾳ καὶ νυκτὶ προβαίνουσα καὶ φθάνουσα,
94 οἶμαι, τὰς τῆς σελήνης περιόδους, τὸ δὲ τῆς ἀπεχθείας καὶ
τὸ τοῦ μίσους καὶ βλασφημιῶν οὐδαμῇ λογιζόμενος, ἔτι δὲ τῇ
μὲν ἄλλῃ κτήσει καλλωπισμόν τινα προσεῖναι καὶ διατριβὴν
ἡγούμενος, τὸ δὲ ἀργύριον ὡς ἐν βραχυτάτῳ συνειληφέναι
95 τὴν τοῦ πλούτου δύναμιν. τοῦτο οὖν διώκει καὶ ζητεῖ παν-
ταχόθεν, οὐδέν τι μεταστρεφόμενος, οὔτε εἰ μετ' αἰσχύνης
οὔτε εἰ μετ' ἀδικίας γίγνοιτο, πλὴν ὅσον τὰς κολάσεις ὑφορώ-
μενος, ὁδοιδόκων ἀσφαλέστερος, δειλίᾳ κρατηθεὶς, κυνὸς
ἀχρήστου ψυχὴν ἔχων τὰ μὲν ἁρπάζοντος, ἐὰν ἐλπίσῃ λήσε-

10. ζημίαν. ζημίαι C. — 92, 1. ἀνίλαστος C, ἀνήλατος M, ἀγέλαστος reliq. || 2. ἀμειδίατος M, ἀμειδίαστος reliq. || 4. αὑτοῦ. αὐτοῦ BM. || 5. ἀναίσθητος. ἀναίσθητα M. || 6. ὅσον BCM, ὅσους v, ὅσης reliq. || συμβόλαια Reisk., σύμβολα reliq. || 7. δικαίως καὶ CM. Reisk., καὶ δικαίως reliq. — 93, 2. λίθον ἕλκειν — ἢ λίθον om. C. || 3. ἀλλὰ καί. καὶ om. M. || μόλυβδον. μόλιβδον B. || 4. ἤ. καὶ M. || διδῷ τις BCMA. Reisk., διδῶντις v, διδούς τις mrg. m, διδῷης mr. || 7. ἔμφρων. ἔκφρων BM. || ἀδαπανώτατα. δαπανώτατα BM. || 8. προβαίνουσα καὶ φθάνουσα. sic dedi. προβαίνων καὶ φθάνων reliq., unde Reiskius supra ὅτι δὴ ὁ τόκος τάχιστα, Iacobs. vero ἀργυρίου mutabat in ἀργύρου. || 9. τὰς τῆς. τὲ τῆς M. || περιόδους CM. var. l. v, γε ὁδοὺς reliq. — 95, 1. τοῦτο. τούτῳ B. || 2. οὔτε εἰ μετ' αἰσχύνης C, οὔτ' εἰ μετ' αἰσχύνης MA. mr, om. v. || 3. γίγνοιτο. γίγνοιντο B. || 4. ὁδοιδόκων Obs. p. 13, ὁ δὲ δὴ δοκῶν reliq. || κυνὸς ἀχρήστου CM. var. l. v. mrg. m, καὶ ἀχρήστου B, καὶ ἀχαρίστου reliq., malim καὶ κυνὸς ἀχρήστου. || 5. ἐὰν ἐλπίσῃ BC, ἐὰν

σθαι, τοῖς δὲ ἐπεμβλέποντος καὶ ἄκοντος ἀπεχομένου διὰ τοὺς 171 R.
96 ἐφεστηκότας φύλακας. ἔστω δὴ ὅδε ὁ δαίμων βραχὺς ἰδεῖν, 75 M.
δουλοπρεπὴς, ἄγρυπνος, οὐδέποτε μειδιῶν, ἀεί τῳ λοιδορού-
μενος καὶ μαχόμενος, πορνοβοσκῷ μάλιστα προσεοικὼς τό τε
σχῆμα καὶ τὸν τρόπον ἀναιδεῖ καὶ γλίσχρῳ, βαπτὸν ἀμπεχο-
μένῳ τριβώνιον μιᾶς τινος τῶν ἑταιρῶν ὧν ἴσμεν, [ὅδε ὁ δαί-
97 μων αἰσχρὸς καὶ ἀπρεπὴς,] τοὺς αὐτοῦ φίλους τε καὶ ἑταί-
ρους, μᾶλλον δὲ δούλους τε καὶ ὑπηρέτας λωβώμενος καὶ κατ-
αισχύνων πάντα τρόπον, ἐάν τε ἐν ἰδιώτου σχήματι λάβῃ
98 τινὰς, ἐάν τε ἐν βασιλέως. ἢ οὐ πολλοὺς τῶν καλουμένων
βασιλέων ἰδεῖν ἐστι καπήλους καὶ τελώνας καὶ πορνοβοσκούς;
ἀλλὰ Δρόμωνα μὲν καὶ Σάραμβον, ὅτι ἐν Ἀθήναις καπη- 172 R.
λεύουσι καὶ ὑπὸ Ἀθηναίων τοῦτο ἀκούουσι τοὔνομα, δικαίως
φαμὲν ἀκούειν· Δαρεῖον δὲ τὸν πρότερον, ὅτι ἐν Βαβυλῶνι
καὶ Σούσοις ἐκαπήλευε καὶ Πέρσαι αὐτὸν ἔτι καὶ νῦν κα-
99 λοῦσι κάπηλον, οἴει ὡς οὐ δίκαιος κεκλῆσθαι; ἴδιόν γε μὴν
τούτῳ συμβέβηκεν παρὰ τοὺς ἄλλους δαίμονας· ἐνίοτε μὲν
γὰρ ἄρχει καὶ κρατεῖ τῆς ψυχῆς, ἐνίοτε δὲ ἐκείνῃ συνέπεται
διὰ τὸ πάσης ἐπιθυμίας καὶ σπουδῆς ὑπηρέτην τε καὶ διάκο-
100 νον ἀπροφάσιστον εἶναι τὸν πλοῦτον. ἀλλ' ἐγὼ λέγω νῦν
ἡγούμενον αὐτὸν καὶ προεστηκότα τῆς τοῦ δυστυχοῦς ἀνθρώ-
που διανοίας, οὔτε ἐφ' ἡδονήν τινα οὔτε εἰς δόξαν ἀναφέ-
ροντα τὴν τῶν χρημάτων κτῆσιν, οὐδὲ ὡς ἀναλώσοντα καὶ
χρησόμενον ξυνάγοντα, ἀνέξοδον δὲ καὶ ἀχρεῖον φυλάττοντα

ἐλπὶς ᾖ M, ἐὰν ἐλπὶς ᾖ var. l. v, ἐὰν ἐλπίζῃ mrg. m, ἐν ἐλπίσι reliq. ‖ λήσεσθαι. λύσεσθαι M. ‖ 6. ἐπεμβλέποντος C, ἐπιβλέποντος reliq. — 96, 1. ἔστω δὴ ὅδε ὁ δαίμων Reisk., ὅδε ὁ δαίμων om. reliqui, nam aberrarunt ad v. 5. ‖ 5. ὧν ἴσμεν. ὧν om. M, malim ὡραϊσμὸν (vel κόσμον). conf. § 114. ‖ [ὅδε—ἀπρεπὴς] delenda. ‖ ὅδε ὁ δαίμων. sic dedi. ὁ δὲ ὁ δαίμων C, ὁ δὲ δαίμων reliqui. in alienum locum haec aberrasse verissime iudicavit Reisk.; at servabat v. αἰσχρὸς καὶ ἀπρεπής. — 97, 1. αὐτοῦ. αὐτοῦ BM. ‖ 2. λωβώμενος. λαβώμενος M, λωβούμενος B. ‖ 3. ἐν om. M. ‖ 4. ἐάν τε C. Reisk., ἄν τε reliq. — 98, 3. Δρόμωνα BCMA, Ἐρόμωνα reliq. ‖ Σάραμβον BM, σάραμβρον C, Σάραβον reliq. ‖ Ἀθήναις. ἀπήναις M. ‖ 4. τοὔνομα BM, τὸ ὄνομα reliq. ‖ 6. αὐτόν. αὐτοὶ Reisk. ‖ 7. οἴει ὡς om. M, οἴει πως Geel. ‖ δίκαιος κεκλῆσθαι Iacobs. Add. p. 72, δικαίως κεκλῆσθαι reliq., δικαίως κέκληται Reiskius. idem etiam de v. ὡς delendo cogitabat. — 99, 3. ἄρχει. sic dedi. κατέχει C, ἔχει reliq. ‖ ἐκείνῃ. ἐκείνοις BCM. ‖ 5. ἀπροφάσιστον C, καὶ ἀπροφάσιστον reliq. — 100, 1. ἀλλ' ἐγὼ λέγω νῦν. ἀλλ' ἐγὼ νῦν C. ‖ 2. αὐτὸν ἡγούμενον. sic dedi. τὸν αὐτὸν ἡγούμενον CM, ἡγούμενον τὸν αὐτὸν reliq., unde Reisk. ἡγούμενον αὐτόν. ‖ 3. ἀναφέροντα. ἀναφέροντος BM.

τὸν πλοῦτον, τῷ ὄντι κατάκλειστον ἔν τισι κρυπτοῖς καὶ ἀφεγ-
101 γέσι θαλάμοις· εἶεν. ὁ δὲ δὴ δεύτερος ἀνήρ τε καὶ δαίμων 173 R
ἐκείνου τοῦ ἀνδρὸς, ὁ τὰ τῆς ἡδονῆς ἀναφαίνων ὄργια καὶ
τὴν θεὸν ταύτην θαυμάζων καὶ προτιμῶν, ἀτεχνῶς γυναι-
κείαν θεὸν, ποικίλος καὶ πολυειδὴς καὶ περί τε ὀσμὰς καὶ
γεύσεις ἀπλήρωτος, ἔτι δὲ οἶμαι περὶ πάντα ὁράματα, πάντα
δὲ ἀκούσματα πρὸς ἡδονήν τινα φέροντα, πάσας δὲ ἁφὰς
προσηνεῖς τε καὶ μαλακὰς λουτρῶν τε ὁσημέραι θερμῶν,
μᾶλλον δὲ δὶς τῆς ἡμέρας, καὶ χρίσεων οὐ κάματον ἰωμένων,
102 πρὸς δὲ αὖ τούτοις ἐσθήτων τε μαλακῶν ἕλξεις καὶ κατα- 76 M
κλίσεις ἠσκημένας καὶ διακονίας ἀκριβεῖς καθ' ἑκάστην ἐπι-
θυμίαν τε καὶ χρείαν, περὶ πάντα ταῦτα δεινῶς ἐπτοημένος,
μάλιστα μέντοι καὶ ἀκρατέστατα περὶ τὴν τῶν ἀφροδισίων
ὀξεῖαν καὶ διάπυρον μανίαν θηλυκῶν τε καὶ ἀῤῥενικῶν μίξεων
καὶ ἔτι πλειόνων ἀῤῥήτων καὶ ἀνωνύμων αἰσχρουργιῶν· ἐπὶ 174 R
πάντα ὁμοίως τὰ τοιαῦτα φερόμενος καὶ ἄγων, οὐδὲν ἀπώ-
103 μοτον οὐδὲ ἄπρακτον ποιούμενος. νῦν γὰρ δὴ ἕνα τοῦτον
τίθεμεν τὸν ἁπάσας τὰς τοιαύτας παρειληφότα νόσους καὶ
ἀκρασίας τῆς ψυχῆς, ἵνα μὴ πολύν τινα ἀθροίσωμεν ἑσμὸν
μοιχικῶν τινων δαιμονίων καὶ φιλόψων καὶ φιλοίνων καὶ
ἄλλων δὴ μυρίων· ἀλλ' ἁπλῶς ἕνα δαίμονα τιθῶμεν, τὸν ἀκό-
104 λαστον καὶ δεδουλωμένον ὑφ' ἡδονῆς, ἐὰν μὲν ἐπιῤῥέῃ ποθὲν
ἀνελλιπὲς τὸ τῆς χορηγίας, χρημάτων βασιλικῶν ἤ τινος μεγά-
λης ἰδιωτικῆς ὑπούσης οὐσίας, ἐν πολλῇ καὶ ἀφθόνῳ κυλιν-
δούμενον ἀσελγείᾳ μέχρι γήρως· εἰ δὲ μὴ, ταχὺ μάλα ἐξανα-
λώσαντα τὰ παρόντα, πένητα ἀκρατῆ καὶ ἀκόλαστον ἐν σπά-
105 νει καὶ ἱμέρῳ, δεινῶς τῶν ἐπιθυμιῶν λειπόμενον. εἰ δέ τινας

7. θαλάμοις BCMA, βαλάκοις v, βαράθροις mr, θυλάκοις H. Stephan., βαλαντίοις Anonym. ap. Reiskium. ceterum excidisse quaedam de fraude huic deo addita demonstrat § 114 et 129. — 101, 2. ἀναφαίνων. ἀναφέρων C. ‖ 4. καὶ περί τε CM, καὶ om. reliq. ‖ 5. πάντα. πάντα τὰ CM, πάντα μὲν Reisk. ‖ 7. λουτρῶν τε CM. Reisk., λουτρῶν δὲ reliq. ‖ ὁσημέραι. ὡς ἡμέραι C. ‖ 8. δὶς τῆς. καὶ τὰς C, καὶ τῆς M. ‖ χρίσεων. χρήσειν CM. — 102, 1. ἕλξεις mrg. m, ἕλξεις C, ἕξει M, καὶ ἑλίξεις reliq. ‖ κατακλίσεις. κατακλήσεις C. mrg. m. ‖ 3. πάντα ταῦτα. ταῦτα πάντα CM. ‖ 4. μέντοι Iacobs., μὲν οὖν M, δὲ Reisk., μὲν reliq. ‖ 7. ἄγων CM, ἀγόμενος reliq. — 103, 1. τοῦτον M, τούτων reliq. ‖ 2. παρειληφότα. παραλειφότα C. ‖ 4. μοιχικῶν τινων CM. Casaub., τινῶν μοιχικῶν reliq. ‖ δαιμονίων. δαιμόνων Geel. ‖ φιλόψων C. Reisk., φιλοψύχων reliq. — 104, 2. ἀνελλιπὲς. ἀνέλιπες C. ‖ χρημάτων M. Reisk., χρῆμα τῶν reliq. ‖ 6. ἱμέρῳ, δεινῶς. ἱμέρῳ δεινῷ Reisk.

οὗτος τῶν ὑπ' αὐτοῦ κρατουμένων εἰς γυναικεῖον μετέβαλε
βίον τε καὶ σχῆμα, ὥσπερ οἱ μῦθοί φασι τοὺς μεταβαλόντας
ἐξ ἀνθρώπων εἰς ὄρνιθας ἢ θηρία, ἐὰν τύχωσι τοιαύτης
ἡττηθέντες ἡδονῆς, πάλιν δὲ κἀνταῦθα ἐν τῇ χορηγίᾳ πέφη- 175 R.
106 κεν. ὁ μὲν γὰρ ἀσθενής τε καὶ ἄτολμος ἐκ τούτου τοῦ γένους
δαίμων ἐπί τε τὰς γυναικείας νόσους καὶ ἄλλας αἰσχύνας,
ὁπόσαις πρόσεστι μυρία ὀνείδη, προσάγει ῥᾳδίως· ὅπου δὲ
ἡδονῶν τινων τιμωρίαι πρόσεισι θανάτοις ἢ δεσμοῖς κολάζου-
σαι τοὺς ἐξαμαρτάνοντας ἢ χρημάτων πολλῶν ἐκτίσεσιν, οὐ
107 πάνυ τι πρὸς ταῦτα ἐφίησιν. ὁ δὲ ἀτενέστερός τε καὶ θρα-
σύτερος πάντα ἁπλῶς ὑπερβαίνειν ἀναγκάζει, τά τε ἀνθρώ- 176 R.
πινα καὶ τὰ θεῖα. ἀλλ' ὁ μὲν ἀσθενής τε καὶ ἄτολμος [ἔνθα] 77 M.
προσθέμενος τὴν τοιαύτην αἰσχύνην ὁμολογεῖ, οὐδενὸς ἀν-
δρείου πράγματος ἁπτόμενος, ἀλλὰ παραχωρήσας τῶν
108 κοινῶν καὶ πολιτικῶν πράξεων τοῖς ἄμεινον βεβιωκόσιν· ὁ δὲ
ἰταμὸς καὶ ἄτρεπτος, πολλὰς ὕβρεις τε καὶ αἰσχύνας ὑπομεί-
νας, ὀστράκου φασὶ μεταπεσόντος, στρατηγὸς ἢ δημαγωγὸς
πέφηνεν. ὀξὺ καὶ διάτορον βοῶν, ὥσπερ οἱ τῶν δραμάτων
ὑποκριταὶ, ἀποῤῥίψας μεταξὺ τὴν γυναικείαν στολήν· ἔπειτα
στρατιώτου τινὸς ἢ ῥήτορος στολὴν ἁρπάσας περιέρχεται
109 συκοφάντης καὶ φοβερὸς, ἀντίον πᾶσι βλέπων. ἆρ' οὖν ἀῤ-
ῥενωπόν τι καὶ σεμνὸν εἶδος τῷ τοιούτῳ δαίμονι πρέπει, ἢ
μᾶλλον ὑγρόν τε καὶ μαλθακόν; οὐκοῦν τὸ οἰκεῖον αὐτῷ
σχῆμα προσθήσομεν, οὐχ, ὃ πλαττόμενος ἐνδύεται πολλάκις,
110 ἀνδρεῖον καὶ φοβερόν. προΐτω γε μὴν νὴ Δία τρυφῶν τε καὶ 177 R.

105, 3. μεταβαλόντας. μεταβάλλοντας CM. — 106, 3. πρόσεστι μυρία ὀνείδη. sic edi. προσεισιν μυριάον εἴδη M, πρόσεστι ζημία καὶ ὀνείδη reliq. ‖ προσάγει. προάγει M. ‖ 4. τινων om. M, τισι Reisk. ‖ τιμωρίαι πρόσεισι. τιμωρία πρόσεστιν M. ‖ 5. πολλῶν CM. var. l. v, πολλαῖς reliq. ‖ ἐκτίσεσιν. κτήσεσιν BM. ‖ 6. ἐφίησιν C, ἐφίεισι mrg. m, ἴασιν M, πρόεισιν reliq., προσίησι Geel. — 107, 1. ἀτενέστερός Iacobs. Add. p. 45, εὐγενέστερος Reisk., ἀγεννέστερος BM, ἀγενέστερος reliqui. possit ἀδεέστερος. ‖ 3. ἀλλ' om. M. malim ἔνθα δέ. ‖ [ἔνθα] προσθέμενος. ἐν φανερῷ προσθέμενος (volebat προθέμενος) Reisk., πάντα προέμενος Geel., ἔνδοθεν προσθέμενος Unger. Ann. 1188. ‖ 5. παραχωρήσας. παραχωρῶν C. ‖ 6. τοῖς. ἐν τοῖς BM. — 108, 2. ἄτρεπτος M. Reisk. (idem et ἄτρεστος), ἄτρεστος B, ἄτρετος C, ἄτροπος reliq. ‖ 4. ὀξὺ — βοῶν malim transponi post v. φοβερός. ‖ 5. ἀποῤῥίψας. ἀποῤῥείψας M. ‖ 6. ἁρπάσας. πάσας B. ‖ 7. ἀντίον. ἐνάντιον M. — 109, 2. πρέπει. πρέποι CM ‖ ἤ. ἢ B. — 110, 1. μὴν νὴ Δία τρυφῶν C. Reisk., μὴν διατρυφῶν reliq., μὴν malim abesse.

Digitized by Google

μύρου καὶ οἴνου ἀποπνέων ἐν κροκωτῷ μετὰ πολλοῦ καὶ ἀτά-
κτου γέλωτος, μεθύοντι προσεοικὼς κωμάζοντι μεθημέραν
ἀσελγῆ κῶμον, στεφάνους τινὰς ἐστεφανωμένος ἑώλους τήν
τε κεφαλὴν καὶ περὶ τῷ τραχήλῳ καὶ πλάγιος φερόμενος, ὀρ-
111 χούμενός τε καὶ ᾄδων θῆλυ καὶ ἄμουσον μέλος. ἀγέσθω δὲ
ὑπὸ γυναικῶν ἀναισχύντων καὶ ἀκολάστων, ἐπιθυμιῶν τινων
λεγομένων, ἄλλων ἐπ' ἄλλα ἑλκουσῶν, μηδεμίαν αὐτῶν ἀπω-
θούμενος μηδὲ ἀντιλέγων, ἀλλ' ἑτοίμως δὴ καὶ προθύμως
112 συνεπόμενος. αἱ δὲ μετὰ πολλοῦ πατάγου κυμβάλων τε καὶ
αὐλῶν φέρουσαι μαινόμενον αὐτὸν σπουδῇ προΐτωσαν. ὁ δ'
ἐκ μέσων ἀναβοάτω τῶν γυναικῶν ὀξύτερον καὶ ἀκρατέστε-
ρον λευκὸς ἰδεῖν καὶ τρυφερὸς, αἰθρίας καὶ πόνων ἄπειρος,
ἀποκλίνων τὸν τράχηλον, ὑγροῖς τοῖς ὄμμασι μάχλον ὑποβλέ-
πων, ἀεί ποτε τὸ σῶμα καταθεώμενος, τῇ ψυχῇ δὲ οὐδὲν
113 προσέχων οὐδὲ τοῖς ὑπ' αὐτῆς προσταττομένοις. τοῦτον ἀγαλ-
ματοποιὸς ἢ γραφεὺς ἀναγκαζόμενος εἰκάζειν οὐκ ἂν ὁμοιότε-
ρον ἄλλῳ ἐργάσαιτο ἢ τῷ Σύρων βασιλεῖ μετ' εὐνούχων καὶ
παλλακῶν ἔνδον διαβιοῦντι, στρατοπέδου τε καὶ πολέμου καὶ
114 ἀγορᾶς ἀθεάτῳ τὸ παράπαν. προηγείσθω δὲ καὶ τούτου 78 M.
ἀπάτη, πάνυ ὡραία καὶ πιθανὴ, κεκοσμημένη κόσμοις πορνι-
κοῖς, μειδιῶσα καὶ ὑπισχνουμένη πλῆθος ἀγαθῶν, ὡς ἐπ' αὐ- 178 R.
τὴν ἄγουσα τὴν εὐδαιμονίαν, ἕως ἂν εἰς τὸ βάραθρον κατα-
βάλῃ λαθοῦσα, εἰς πολύν τε καὶ ῥυπαρὸν βόρβορον, ἔπειτα
ἐάσῃ κυλινδεῖσθαι μετὰ τῶν στεφάνων καὶ τοῦ κροκωτοῦ.
115 τοιούτῳ δεσπότῃ λατρεύουσαι καὶ τοιαῦτα πάσχουσαι πλα-
νῶνται κατὰ τὸν βίον, ὅσαι ψυχαὶ πρὸς μὲν πόνους δειλαὶ
καὶ ἀδύνατοι, δεδουλωμέναι δὲ ἡδοναῖς, φιλήδονοι καὶ φιλο-
σώματοι βίον αἰσχρὸν καὶ ἐπονείδιστον οὐχ ἑλόμεναι ζῶσιν,

2. μύρου. μύρον v, unde Reisk. μύρων. ‖ 3. προσεοικώς. προσεοικὸς v. ‖ 4. ἀσελγῆ κῶμον. ἀσελγεῖ κώμῳ C. ‖ ἐστεφανωμένος. ἐστεφανωμένους M. — 111, 4. ἀλλ'. ἀλλὰ CM. ‖ ἑτοίμως δὴ BCM, ἑτοίμως δὲ reliq. ‖ προθύμως. προθύμος r. — 112, 1. πατάγου C. Obs. p. 13, καμάτου reliq. ‖ 2. σπουδῇ. σπουδὴ M. ‖ προΐτωσαν. προΐᾶσιν var. l. v. ‖ 4. καὶ τρυφερὸς BCM, ἐντρυφερὸς reliq., suspectum Reiskio. ‖ 5. ἀποκλίνων. ἀποκλείνων M. ‖ μάχλον. μαλακὸν C, μᾶλλον M. ‖ 6. ἀεί ποτε CM, ἀεὶ reliq. ‖ 7. προσταττομένοις BCM, προστασσομένοις reliq. — 113, 2. ἂν ὁμοιότερον. ἀνομοιότερον M. ‖ 5. ἀθεάτῳ. ἀθεάτως C, ἀθέατο v. — 114, 1. προηγείσθω. προηγεῖσθαι M. ‖ τούτου C, τοῦτον B, τούτων reliq. ‖ 2. κεκοσμημένη. καὶ κεκοσμημένη C. — 115, 3. ἡδοναῖς. ἡδονῆς C. ‖ 4. αἰσχρόν. αἰσχρὸς M. ‖ ἑλόμεναι. ἑλκόμεναι B.

116 ἀλλὰ ἐνεχθεῖσαι πρὸς αὐτόν. οὐκοῦν μετὰ τοῦτον ὁ λόγος
ὥσπερ ἐν ἀγῶνι σφύττει τρίτον εἰσάγειν, ὡς ἐκεῖ χορὸν, τὸν
φιλότιμον, οὐ πάνυ προθύμως τὸ νῦν ἀγωνιούμενον, καίτοι
φιλόνεικον ὄντα τῇ φύσει περὶ πάντα καὶ πρωτεύειν ἀξιοῦν-
τα· πλὴν οὐ περὶ δόξης ἢ τιμῆς ἡ κρίσις αὐτῷ τανῦν ἐνέστη-
117 κεν, ὑπὲρ δὲ πολλῆς καὶ δικαίας ἀδοξίας. φέρε δὴ ποῖόν τι
πλάττωμεν τό τε σχῆμα καὶ εἶδος τοῦ φιλοτίμου δαίμονος; ἢ
δηλονότι πτερωτόν τε καὶ ὑπηνέμιον κατὰ τὸ ἦθος αὐτοῦ καὶ
τὴν ἐπιθυμίαν, ἅμα τοῖς πνεύμασι φερόμενον; ὁποίους τοὺς
Βορεάδας ἐνεθυμήθησάν τε καὶ ἔγραψαν οἱ γραφεῖς, ἐλα-
φρούς τε καὶ μεταρσίους, ταῖς τοῦ πνεύματος αὔραις συνθέον- 179 R.
118 τας. ἀλλὰ ἐκεῖνοι μὲν, ὁπότε βουληθεῖεν, ἐπεδείκνυντο τὴν
αὑτῶν δύναμιν, τέως δὲ μετὰ τῶν ἄλλων ἡρώων ἐν τῇ Ἀργοῖ
συνέπλεον ναυτιλλόμενοι καὶ τἄλλα πράττοντες οὐδενὸς ἧττον.
ὁ δὲ τῶν φιλοδόξων ἀνδρῶν προστάτης ἀεὶ μετέωρος, οὐδέ-
ποτε γῆς ἐφαπτόμενος οὐδὲ ταπεινοῦ τινος, ἀλλὰ ὑψηλὸς καὶ
119 μετάρσιος, ὅταν μὲν αἰθρίας τύχῃ καὶ γαλήνης ἢ ζεφύρου
τινὸς ἐπιεικοῦς πνέοντος, ἀεὶ μᾶλλον ἀγαλλόμενός τε καὶ ἰὼν
εἰς αὐτὸν τὸν αἰθέρα, πολλάκις δ' ἐν σκοτεινῷ νέφει κρυπτό-
μενος, ἀδοξίας τινὸς συντρεχούσης καὶ ψόγου παρὰ τῶν πολ-
λῶν ἀνθρώπων, οὓς ἐκεῖνος θεραπεύει καὶ τιμᾷ καὶ τῆς εὐ-
120 δαιμονίας τῆς αὑτοῦ κυρίους ἀπέδειξεν. οὐδέν γε μὴν προσ- 73 M.
έοικεν ἀσφαλείας ἕνεκεν οὔτε ἀετοῖς οὔτε γεράνοις οὔτε
ἄλλῳ τινὶ πτηνῷ γένει τὴν φύσιν· ἀλλὰ μᾶλλον ἄν τις αὐτὸν
προσεικάσειε τῇ Ἰκάρου βιαίῳ καὶ παρὰ φύσιν φορᾷ, οὐ δυ-

116, 1. οὐκοῦν M, οὐκ οὖν reliq. ‖ 2. σφύττει CM, Σφηττοῖ reliq. ‖ εἰσάγειν BCM, εἰσάγει reliq. ‖ ὡς ἐκεῖ χορὸν, τὸν φιλότιμον. sic dedi. ὡς ἐκεῖ τὸν φιλότιμον χορὸν C, χορὸν ὡς ἐκεῖ τὸν φιλότιμον v, χορὸν, ὃς ἔχει τὸν φιλότιμον reliq. ‖ 3. τὸ νῦν M, τὰ νῦν C. Reisk., τὸν νῦν reliq. ‖ 5. ἐνέστηκεν Obs. p. 13, ἕστηκεν reliq. — 117, 5. ἐνεθυμήθησάν. ἐνεθύμησαν μὲν C. (mrg. vulg.), ἐνεθύμησαν M. ‖ ἐλαφρούς. ἐλάφους B, ἐλαφοὺς v. ‖ 6. πνεύματος. πάτρος B, πατρὸς M. — 118, 1 βουληθεῖεν. βουληθοῖεν M. ‖ 4. φιλοδόξων. φιλολόγων (corr. vulg.) C. ‖ 5. ταπεινοῦ C. mr, ὑψηλοῦ BM. v. mrg. m. possit ἀζήλου. ‖ ἀλλά. ἀλλ' ἀεὶ Iacobs. Add. p. 48. ‖ καί. ἀεὶ καὶ nunc Iacobs. — 119, 1. αἰθρίας. αἰθρίους C, αἰθερίας M. ‖ 2. ἐπιεικοῦς corr. CM, ἐπιεικῶς reliq. ‖ ἀγαλλόμενός. ἀταλλόμενός Reisk. ‖ ἰών. οἷον M. ‖ 3. εἰς. ἴες C. ‖ πολλάκις BCM, καὶ πολλάκις reliq. ‖ 4. ψόγου. sic dedi. φόβου reliq. — 120, 1. οὐδέν. οὐδενὶ m. ‖ 2. ἀσφαλείας ἕνεκεν om. C. ‖ 4. προσεικάσειε τῇ. προσεικάσει ἐν τῇ M. ‖ Ἰκάρου Reisk., εἰκαρίου M, Ἰκαρίου reliq.

Digitized by Google

121 νατὸν τέχνημα ἐπιχειρήσαντος Δαιδάλου τεχνήσασθαι. τοιγαρ-
οῦν ὑπὸ νεότητος καὶ ἀλαζονείας ἐπιθυμῶν ὑψηλότερος τῶν
ἄστρων φέρεσθαι χρόνον μέν τινα ἐσώζετο βραχὺν, χαλωμέ-
νων δὲ τῶν δεσμῶν καὶ τοῦ κηροῦ ῥέοντος ἐπωνυμίαν ἀπὸ
122 τοῦδε τῷ πελάγει παρέσχεν, οὗπερ ἠφανίσθη πεσών. κἀκεῖ- 180 R
νος ἀσθενέσι καὶ κούφοις τῷ ὄντι πιστεύσας πτεροῖς· λέγω
δὲ τιμαῖς τε καὶ ἐπαίνοις ὑπὸ τῶν ἀνθρώπων τῶν πολλῶν ὡς
ἔτυχε γιγνομένοις· ἐπισφαλῶς καὶ ἀσταθμήτως φέρεται καὶ
φέρει τὸν ἄνδρα τὸν αὐτοῦ ζηλωτήν τε καὶ ὑπηρέτην, νῦν
μὲν ὑψηλὸν καὶ μακάριον πολλοῖς φαινόμενον, πάλιν δὲ αὖ
ταπεινόν τε καὶ ἄθλιον τοῖς τε ἄλλοις καὶ πρώτῳ καὶ μάλιστα
123 αὐτῷ δοκοῦντα. εἰ δέ τῳ οὐ φίλον πτηνὸν αὐτὸν διανοεῖσθαι
καὶ ποιεῖν, ὁ δὲ ἀφομοιούτω αὐτὸν τῇ τοῦ Ἰξίονος χαλεπῇ
καὶ βιαίῳ φορᾷ τε καὶ ἀνάγκῃ, τροχοῦ τινος ῥύμῃ κύκλῳ
κινουμένου τε καὶ φερομένου. οὐ γὰρ ἀπεοικὸς οὐδὲ μακρὰν
δὴ τῶν σοφῶν τε καὶ κομψῶν εἰκασμάτων εἴη ἂν οὐδὲ ὁ τρο-
χὸς δόξῃ παραβαλλόμενος τῇ τε κινήσει καὶ τῇ μεταβολῇ,
πάνυ ῥᾳδίως περιθέων, ἐν δὲ τῇ περιφορᾷ παντοῖα σχήματα 181 R.
τὴν ψυχὴν ἀναγκάζων λαμβάνειν μᾶλλον ἢ ὁ τῶν κεραμέων
124 τὰ ἐπ᾽ αὐτῷ πλαττόμενα. ἄνδρα δὴ τοιοῦτον εἰλούμενον ἀεὶ
καὶ περιφερόμενον, κόλακα δήμων τε καὶ ὄχλων ἐν ἐκκλησίαις
ἢ ἐπιδείξεσιν ἢ βασιλέων ἢ τυράννων λεγομέναις δὴ φιλίαις
καὶ θεραπείαις, τίς οὐκ ἂν ἐλεήσειε τῆς φύσεως καὶ τοῦ βίου;
λέγω δὲ οὐχ ὃς ἂν ἀπὸ τοῦ βελτίστου προεστηκὼς πολύ τι
πλῆθος ἀνθρώπων πειθοῖ καὶ λόγῳ μετ᾽ εὐνοίας καὶ δικαιο-

5. *Δαιδάλου.* δαίδαλον M. — 121, 2. *ἀλαζονείας.* ἀλαζονίας M. — 122, 3. *ἐπαίνοις.* ἐπινοίαις B. v. mrg. m. ‖ 4. *γιγνομένοις* CM. Casaub., *γιγνομέναις* reliq. ‖ 5. *φέρει.* φέρειν M. ‖ *ἄνδρα τόν.* ἀνάρατον M. ‖ 7. *τοῖς τε ἄλλοις καὶ* C, *ἀλλὰ* reliq. — 123, 1. *οὐ.* οὗ B. ‖ *διανοεῖσθαι* M, *διανοῆσθαι* C, *διανοῆσαι* reliq. ‖ 2. *ὁ δὲ* CM. Obs. p. 13, *ὧδε* reliq. ‖ *ἀφομοιούτω* CM. Casaub. r, *ἀφωμοιοῦτο* B. v, *ἀφομοιοῦτο* m. ‖ *Ἰξίονος.* ξίονος C. ‖ 3. *ῥύμῃ.* ῥήμῃ m. ‖ 4. *μακρὰν.* μακραὶ C. ‖ 5. *σοφῶν τε.* τε om. C. ‖ *ἂν οὐδέ.* sic dedi. *ἂν οὖν* CM, *ἂν καὶ* reliq. ‖ 6. *τε.* γε Iacobs. ‖ *τῇ μεταβολῇ* C, *τῇ* om. reliqui. ceterum distinxi ante *πάνυ.* ‖ 7. *ἐν δέ.* ἔν τε Reisk. ‖ 8. *τὴν ψυχήν.* τῇ ψυχῇ CM. ‖ *ἀναγκάζων* Reisk., *ἀναγκάζει* reliq. ‖ 9. *ἐπ᾽ αὐτῷ.* ὑπ᾽ αὐτῶν C. — 124, 2. *ὄχλων.* ὄχλου M. ‖ 3. *ἐπιδείξεσιν ἤ.* sic dedi. *ἐπιδείξεσιν* M, *ἐπιδείξεσι* reliq. ‖ *λεγομέναις δή* CM, *λεγομέναις* B. Reisk., *λεγομένων* reliq. ‖ 4. *θεραπείαις.* θεραπίαις (at in litura) M. ‖ *τοῦ βίου* CM. mrg. m. var. l. v, *τῆς βίας* reliq. ‖ 5. *λέγω—βελτίω* suspecta Geelio. ‖ 6. *πειθοῖ.* ποθοῖ CM. ‖ 7. *πειρᾶται.* πεῖρα τε M.

125 σύνης πειρᾶται ῥυθμίζειν τε καὶ ἄγειν ἐπὶ τὰ βελτίω. ἐχέτω 182 R.
δὴ καὶ οὗτος ἡμῖν ὁ δαίμων τέλος, ἵνα μὴ νῦν στολάς τε καὶ
μορφὰς προστιθέντες αὐτῷ καὶ τἄλλα τὰ προσήκοντα πολὺν 80 M.
126 καὶ ἄπειρον εἰσφερώμεθα λόγων ὄχλον. εἴη δ' ἂν αὐτοῦ τὸ
ἦθος, ὡς ἐν βραχεῖ περιλαβεῖν, φιλόνεικον, ἀνόητον, χαῦνον,
ἀλαζονείᾳ καὶ ζηλοτυπίᾳ καὶ πᾶσι τοῖς τοιούτοις ἔγγιστα
[χαλεποῖς καὶ ἀγρίοις] πάθεσιν. ἅπαντα γὰρ ταῦτα φιλο-
τίμῳ τρόπῳ ψυχῆς ἀκοινώνητα καὶ ἄγρια καὶ χαλεπὰ ἀνάγκη
127 πᾶσα συνέπεσθαι· ἔτι δὲ αὐτὸν πολὺ μεταλλάττειν [εἰκὸς]
καὶ ἀνώμαλον ἔχειν τὴν διάνοιαν, ἅτε ἀνωμάλῳ δουλεύοντα
καὶ προσέχοντα πράγματι, πυκνότερον καὶ συνεχέστερον ἢ
τοὺς κυνηγέτας φασὶ χαίροντα καὶ λυπούμενον· ἐκείνοις γὰρ
δὴ μάλιστα τοῦτο πλεῖστον καὶ συνεχέστατον συμβαίνειν λέ-
128 γουσι, φαινομένης τε καὶ ἀπολλυμένης τῆς ἄγρας· ὅταν μὲν εὐ-
δοκιμήσεις τε καὶ ἔπαινοι ξυμβαίνωσιν αὐτῷ, ἡ ψυχὴ τοῦ τοιού-
του ἀνδρὸς αὔξει καὶ βλαστάνει καὶ θαυμαστὸν ἴσχει μέγε-
θος, καθάπερ Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν
ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ 183 R.
πάλιν συστέλλεται καὶ ταπεινοῦται καὶ φθίνει, ψόγου τινὸς
129 προσπεσόντος ἢ δυσφημίας. ἀπάτη δὲ καὶ τούτῳ παρέπεται
τῷ δαίμονι ἁπασῶν πιθανωτάτη. οὐ γὰρ ὡς ἡ τοῦ φιλαρ-
γύρου καὶ φιληδόνου λαμπρὸν μὲν οὐδὲν λόγῳ ἐδύναντο
ὑποσχέσθαι, οὐδ' ὡς ἐπὶ σεμνὰ καὶ λαμπρὰ προήγαγον τοὺς
ἀπατωμένους ὑπ' αὐτῶν, ἀλλὰ μόνον τὸ τῶν ἀγαθῶν αὐτοῖς
ὄνομα ἐπεφήμιζον καὶ προσετίθεσαν, οὕτως ἡ τοῦδε ἀπάτη,

125, 3. μορφάς. πορφύρας Geel. ‖ 4. εἰσφερώμεθα. εἰσφρώμεθα Geel. — 126, 1. εἴη δ' ἄν. §§ 26—29 molestam habent antecedentium repetitionem, ut interpolatoris potius quam Dionis esse videantur. ‖ 2. φιλόνεικον. φιλόνικον M. ‖ 3. ἀλαζονείᾳ. ἀλαζονίᾳ M. ‖ ἔγγιστα. μάλιστα M. ‖ 4. [χαλεποῖς καὶ ἀγρίοις] delenda ut glossema v. τοιούτοις. ‖ πάθεσιν. πάθεσι C. — 127, 1. ἔτι δὲ αὐτόν. ἔτι δὲ αὖ τὸ Geel. ‖ μεταλλάττειν [εἰκός] C (nisi quod εἶκος), μεταλλάττειν BM. mrg. m, μᾶλλον ἄττειν reliq. ‖ 3. πυκνότερον BCM, πυκνότερόν τε reliq. — 128, 2. εὐδοκιμήσεις CM, γὰρ εὐδοκιμήσεις Reisk., γὰρ εὐδοκιμήσης v. mrg. m, γὰρ εὐδοκιμήσῃ m. ‖ τε καὶ ἔπαινοι CM, τε om. B, τε καὶ om. reliq. ‖ ἔπαινοι CM, ἔπαινοί τε reliq. ‖ ξυμβαίνωσιν M, συμβαίνωσιν reliq. ‖ αὐτῷ m, αὐτίκα Geel., αὐτοῖς reliq. ‖ 3. ἴσχει. ἔχει C. ‖ 4. Ἀθήνησι—συστέλλεται. haec exscripsit auctor Mirab. Auscult. (Aristot.) 153 (164) p. 56 Paradox. Westerm. Legitur istic βλαστῆναι et συστέλλεσθαι. ‖ 6. συστέλλεται. σὺν στέλλεται. ‖ 7. δυσφημίας Reisk., δυσθυμίας reliq. — 129, 2. πιθανωτάτη. πιθανώτητος C. ‖ 3. ἐδύναντο C. r, ἐδύνατο reliq. ‖ 6. ἐπεφήμιζον. ἐπεφή-

ἀλλ' ἐπᾴδουσα καὶ γοητεύουσά φησι φιλόκαλον αὐτὸν εἶναι,
130 καὶ ὡς ἐπ' ἀρετήν τινα ἢ εὔκλειαν ἄγειν τὴν δόξαν. πάλιν 181 R.
οὖν ἐνθάδε κινδυνεύσω τὸ δεύτερον εἰς τὸν αὐτὸν πεσεῖν
μῦθον τοῦ Ἰξίονος. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐπιθυμήσαντα
τῶν Ἥρας μακαρίων γάμων, νεφέλῃ τινὶ συγγενόμενον σκο-
τεινῇ καὶ ἀχλυώδει ἄχρηστα καὶ ἀλλόκοτα γεννῆσαι τέκνα,
131 τὸ τῶν Κενταύρων γένος, ποικίλον καὶ συμπεφορημένον. ὁ
γὰρ εὐκλείας ἔρωτος διαμαρτών, ἔπειτα δόξης ἐπιθυμίᾳ συνών,
τῷ ὄντι νεφέλῃ λέληθεν ἀντὶ τῆς θείας καὶ σεμνῆς ὁμιλίας 81 M.
συνών. ἐκ δὲ τῶν τοιούτων συνουσιῶν ἢ γάμων ὠφέλιμον
μὲν ἢ χρήσιμον οὐδὲν ἂν γένοιτο, θαυμαστὰ δὲ καὶ ἄλογα,
προσεοικότα τοῖς Κενταύροις, δημαγωγῶν τινων πολιτεύματα
132 καὶ ξυγγράμματα σοφιστῶν. ξεναγοὶ γὰρ καὶ σοφισταὶ καὶ
δημαγωγοί· λέγω δὲ διακρίνων στρατηγούς τε καὶ παιδευτὰς 180 R.
καὶ πολιτικοὺς ἄνδρας ἀπὸ τῶν νῦν εἰρημένων· οὗτοι πάντες
ἐκείνῳ τῷ δαίμονι προσνέμεσθαι ἄξιοι καὶ τῆς ἐκείνου μερί-
133 δος τε καὶ ἑταιρείας ἀριθμεῖσθαι. καὶ δὴ νῦν μὲν ἐπεξῆλθον
τοὺς ὑφ' ἑνὸς ἑκάστου τῶν εἰρημένων δαιμόνων ἐλαυνομένους·
πολλάκις δὲ καὶ δύο τὸν αὐτὸν ἢ πάντες εἰλήχασι, τἀναντία
ἀλλήλοις προστάττοντες καὶ ἀπειλοῦντες, εἰ μὴ πείθοιτο,
134 μεγάλαις τισὶ περιβαλεῖν ζημίαις, ὁ μὲν φιλήδονος ἀναλίσκειν
εἰς τὰς ἡδονὰς κελεύων, καὶ μήτε χρυσοῦ μήτε ἀργύρου μήτε
ἄλλου κτήματος φείδεσθαι μηδενός, ὁ δ' αὖ φιλοχρήματος
καὶ μικρολόγος οὐκ ἐῶν, ἀλλὰ κατέχων τε καὶ ἀπειλῶν, εἰ
πείσεται ἐκείνῳ, λιμῷ τε καὶ δίψῃ καὶ ἁπάσῃ πενίᾳ τε καὶ
135 ἀπορίᾳ διολλύειν αὐτόν· πάλιν δὲ ὁ μὲν φιλόδοξος συμβου-
λεύει καὶ παρακαλεῖ προΐεσθαι τὰ ὄντα τιμῆς ἕνεκεν, ὁ δὲ
καὶ πρὸς τοῦτον ἀπομάχεται καὶ ἀντιβαίνει. καὶ μὴν ὅ γε
τῆς ἡδονῆς φίλος καὶ ὁ τῆς δόξης οὔποτε δύνανται συνᾷσαι

μιζον M. ‖ 7. ἐπᾴδουσα mr., ἐπαίρουσα BCM, ἐπαίκουσα v. ‖ 8. ἄγειν. malim ἄγει. — 130, 2. κινδυνεύσω. sic dedi. κινδυνεύσει BCM, κινδυνεύσῃ vmr, κινδυνεύσομεν Reisk. ‖ πεσεῖν. ἐμπεσεῖν Reisk. ‖ 5. ἀχλυώδει. ἀχλυώδη M. ‖ ἄχρηστα. ἄχριστα M. — 131, 2. ἔρωτος Reisk., ἔρωτιος C, ἔρωτι reliq. ‖ 7. σοφιστῶν. ξεναγοὶ γὰρ καὶ om. C. ‖ σοφιστῶν. post hoc v. aliquid excidit. καὶ ξεναγῶν ῥήματα supplet Iacobs. — 132, 2. παιδευτὰς BCM, σοφιστὰς reliq., σοφοὺς Wyttenb. ad Plut. Mor. p. 655 Oxon., σωφρονιστὰς Geel. ‖ 5. ἑταιρείας. ἑταιρίας M. — 133, 2. ὑφ' ἑνός. ἐφ' ἑνὸς m. ‖ 4. προστάττοντες CM, πράττοντες reliq. ‖ 5. περιβαλεῖν. περιβάλλειν M. — 134, 5. δίψῃ. δίψει C, δίφη M. ‖ 6. διολλύειν. διαλύειν C, διολέσειν M. — 135, 2. ἕνεκεν BCM, ἕνεκα reliq. ‖ 4. οὔ-

οὐδὲ τὸ αὐτὸ εἰπεῖν. ὁ μὲν γὰρ καταφρονεῖ τῆς δόξης καὶ
λῆρον ἡγεῖται καὶ τὸ τοῦ Σαρδαναπάλου προφέρεται πολλά-
κις ἐλεγεῖον,

τόσσ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος 186 R.
τέρπν' ἔπαθον· τὰ δὲ λοιπὰ καὶ ὄλβια πάντα λέλειπται,

136 καὶ μάλιστα τὸν θάνατον ἀεὶ πρὸ ὀφθαλμῶν δείκνυσιν, ὡς
οὐδενὸς ἔτι τῶν ἡδέων δυνησομένῳ μετασχεῖν· ὁ δὲ φιλόδοξος
ἄγει τε καὶ ἀφέλκει τῶν ἡδονῶν τά τε ὀνείδη καὶ τὰς λοιδο-
137 ρίας ἐπανατεινόμενος. οὐκ ἔχων οὖν, ὃ ποιήσῃ καὶ ὅποι τρά-
πηται καὶ καταδύσεται, ἀποδιδράσκει πολλάκις εἰς τὸ σκότος
καὶ πειρᾶται λανθάνων τῷ ἑτέρῳ χαρίζεσθαι καὶ ὑπηρετεῖν· 82 M.
138 ὁ δὲ ἀποκαλύπτει καὶ εἰς τὸ μέσον αὐτὸν ἕλκει. οὕτω δὴ
ψυχὴν διαφορουμένην τε καὶ διασπωμένην, ἀεί ποτε ἐν μάχῃ
καὶ στάσει διηνεκεῖ πρὸς αὑτὴν οὖσαν, ἀνάγκη πρὸς πᾶσαν
ἀφικνεῖσθαι δυστυχίαν. ὥσπερ γὰρ τὰ νοσήματα ἀλλήλοις
ἐπιπλεκόμενα, τἀναντία δοκοῦντα πολλάκις, χαλεπὴν καὶ
ἄπορον ποιεῖ τὴν ἴασιν, τὸν αὐτὸν οἶμαι τρόπον ἀνάγκη γίγνε-
σθαι καὶ τῶν τῆς ψυχῆς συμμιγνυμένων τε καὶ συμπλεκομέ- 187 R.
139 νων εἰς τὸ αὐτὸ παθῶν. ἀλλὰ δὴ μεταβαλόμενοι καθαράν
τε καὶ κρείττω τῆς πρότερον ἁρμονίας τὸν ἀγαθὸν καὶ σώ-
φρονα ὑμνῶμεν δαίμονα καὶ θεόν, οἷς ποτε ἐκείνου τυχεῖν
ἐπέκλωσαν ἀγαθαὶ μοῖραι παιδείας ὑγιοῦς καὶ λόγου μεταλα-
βοῦσιν. [καὶ δὴ πεπρωμένον αὐτοῖς ἐκ θεῶν ἐγένετο.]

ποτε—ἡγεῖται om. C. ‖ δύνανται. δύνηται B. ‖ 6. λῆρον. σκληρὸν M. ‖ Σαρδαναπάλου. Σαρδαναπάλλου B. ‖ 8. ὅσσ'. ος M. ‖ ἐφύβρισα. ἐνύβρισα C. ‖ ἔρωτος CM, ἐρώτων reliq. ‖ 9. λοιπὰ (vid. Naeck. de Choer. p. 196 et 237). genuinum πολλὰ Geel. ‖ λέλειπται. λέλιπται M. — 136, 1. ὡς CM. var. l. v, ἐξ οὗ reliq. ‖ 2. δυνησομένῳ Reisk., δυνησόμενος reliq. ‖ 3. ἄγει. ἀπάγει Reisk. ‖ λοιδορίας. λοιδορείας M. — 137, 1. ποιήσῃ M, ποιήσει reliq. ‖ τράπηται. τράπῃ τε M, τρέψεται Geel. ‖ 2. καταδύσεται BCM. v, καταδύσηται mr. ‖ 3. λανθάνων CM. Reisk., λανθάνειν reliq. — 138, 2. ἀεί ποτε. ἀεί τε C. ‖ 3. αὑτήν. αὐτὴν M. ‖ 6. γίγνεσθαι BM, γίνεσθαι reliq. ‖ 7. καὶ τῶν. καὶ τὴν τῶν Iacobs. ‖ 8. παθῶν. παθεῖν B. — 139, 1. μεταβαλόμενοι. in C superscript. μεταλαβόντες, μεταβαλλόμενοι BM. v. ‖ 3. οἷς CM. Reisk., οἱ reliq. ‖ 4. ἀγαθαὶ μοῖραι C. Reisk., ἀγαθὴ μοῖρα M, ἀγαθῇ μοίρᾳ reliq. ‖ 5. [καὶ δὴ πεπρωμένον αὐτοῖς ἐκ θεῶν ἐγένετο] delenda. Synesius sic citat finem huius orat., ὅτε ποτὲ πεπρωμένος ἐκ θεῶν ἐγένετο. nimirum more suo Dionis sententiam aliis verbis indicasse videtur, quae ipsa fortasse corruptelae caussa fuit. in fine leguntur Διογένης ἢ περὶ βασιλείας πρὸς Ἀλέξανδρον τὸν μακεδόνα in A. v, Διογένης περὶ βασιλείας ά. διάλεξις διογένους καὶ ἀλεξάνδρου

ΛΟΓΟΣ ε

ΛΙΒΥΚΟΣ ΜΥΘΟΣ.

1 Μῦθον Λιβυκὸν ἐκπονεῖν καὶ περὶ τὰ τοιαῦτα κατατρί- 188 R.
βειν τὴν περὶ λόγους φιλοπονίαν οὐκ εὐτυχὲς μέν, οὐ γὰρ
οὖν τῶν πρὸς ζῆλον τοῖς ἐπιεικεστάτοις ἀνθρώπων ἀπονευόν-
των, ἀλλ' ὅμως οὐκ ἀφεκτέον ὀλιγωρίᾳ τῆς περὶ τὰ τοιαῦτα
ἀδολεσχίας. τάχα γὰρ ἄν ποτε καὶ ἡμῖν χρείαν οὐ φαύλην
παράσχοι ἑλκόμενά πῃ πρὸς τὸ δέον καὶ παραβαλλόμενα τοῖς
2 οὖσι καὶ ἀληθέσιν. ἡ δὲ τοιαύτη δύναμις καὶ ἐπιχείρησις
ὁμοία μοι δοκεῖ τῇ τῶν γεωργῶν ἐμπειρίᾳ περὶ τὰ φυτά, ἐάνπερ
ἱκανῶς γίγνηται. ἐκεῖνοι γὰρ ἐνίοτε τοῖς ἀκάρποις καὶ ἀγρίοις
ἐνθέντες καὶ ἐμφυτεύσαντες τὰ ἥμερα καὶ καρποφόρα χρήσι- 189 R.
μον ἀντὶ ἀχρήστου καὶ ὠφέλιμον ἀντὶ ἀνωφελοῦς ἀπέδειξαν
3 τὸ φυτόν. οὕτω δὴ καὶ τοῖς ἀνωφελέσι μυθεύμασι λόγος
ἐμβληθεὶς χρήσιμος καὶ συμφέρων οὐδὲ ἐκεῖνα εἴασε μάτην

περὶ τοῦ ποῖον εἶναι τὸν βασιλέα M. in C haec oratio cum proxima sic copulata est, ἐκ θεῶν ἐγένετο

γὰρ ἀπώλεσάς με μὴ περάνας τὸ λόγον
που δ' ἔνθεν ἀλέξανδρος ἐκπέφαγέ σε

e regione autem horum versiculorum λίβυκος μύθος ἐ rubro scripta. τάχα γὰρ ἄν ποτε καὶ ἡμῖν. deest igitur ut in M initum orat. V. versiculi sic emendandi sunt:

παραπώλεσάς με μὴ περάνας τὸν λόγον·
ποῦ δ' ἔνθεν Ἀλέξανδρος ἐκπέφευγέ σε;

Orat. V. Collati sunt BCM. — 1, 1. Μῦθον—ἀδολεσχίας om. CM. vid. ad calcem orat. IV adnotata. ‖ 2. οὐ γὰρ οὖν τῶν Wyttenb. ad Plut. Moral. p. 660, οὐ γὰρ ἓν τῶν Reisk., οὐ γὰρ ὤτων Unger. Ann. p. 1191, οὐ γὰρ οὐ τῶν reliq. ‖ 3. τοῖς ἐπιεικεστάτοις. τῆς ἐπιεικεστάτοις v, τοῖς ἐπιεικέσι Reisk., malim τοῖς ἐπιεικεστέροις. ‖ ἀνθρώπων ἀπονευόντων B, ἀνθρώπων ἀποσευόντων v, ἀνθρώπων ἀπιστευόντων reliq., unde ἅτε πάντων ἀπιστούντων Wyttenb. ad Plut. l. l., τῶν ἀνθρώπων ἀπιστεύεσθαι Reisk., malim ἄνθρωποι ἀπονεύοντες. ‖ 5. οὐ om. M. — 2, 2. μοι δοκεῖ CM, μοι om. reliq. ‖ τῇ. τῆς M. ‖ 5. ἀντί. ἀντ' M. — 3, 2. εἴασε. εἴασεν εἶναι C.

λελεγμένα. τυχὸν δὲ καὶ οἱ πρῶτοι συντιθέντες αὐτὰ πρός τι τοιοῦτον συνέθεσαν αἰνιττόμενοι καὶ μεταφέροντες τοῖς
4 δυναμένοις ὀρθῶς ὑπολαμβάνειν. τόδε μὲν δὴ προοίμιον, ὡς 83 M.
ἔφη τις, τοῦ νόμου. τὸ λοιπὸν δ' ἂν ἔτ' αὐτὸν εἴη τὸν νόμον ἢ τὸν μῦθον λέγειν τε καὶ ᾄδειν, ὁποίῳ μάλιστα ἀφομοιοῦμεν
5 εἰκάσματι τὰς ἐπιθυμίας. λέγεται γάρ πάλαι ποτὲ θηρίων εἶναί τι γένος χαλεπὸν καὶ ἄγριον, πλεῖστον καὶ μάλιστα γιγνόμενον ἐν τοῖς ἀοικήτοις τῆς Λιβύης. ἥδε γὰρ ἡ χώρα καὶ νῦν ἔτι δοκεῖ παντοδαπὰς φέρειν ζώων φύσεις, ἑρπετῶν
6 τε καὶ ἄλλων θηρίων. ἐν οἷς εἶναι καὶ τοῦτο τὸ γένος, ὑπὲρ οὗ νῦν ὁ λόγος, σύνθετον τὴν τοῦ σώματος ἰδέαν σχεδὸν ἐκ τῶν πλεῖστον διαφερόντων, παντελῶς ἄτοπον. πλανᾶσθαι δὲ αὐτὸ μέχρι τῆσδε τῆς θαλάττης ἐπὶ τὴν Σύρτιν τροφῆς ἕνεκα.
7 θηρᾶν μὲν γὰρ καὶ τἄλλα θηρία, τούς τε λέοντας καὶ παρδάλεις, ὡς ἐκεῖνα τάς τε ἐλάφους καὶ τοὺς ἀγρίους ὄνους καὶ τὰ πρόβατα, μάλιστα δὲ ἥδεσθαι τῇ τῶν ἀνθρώπων ἄγρᾳ. 190 R.
ὧν δὴ καὶ ἕνεκεν ἐγγὺς ἀφικνεῖσθαι τῶν οἰκουμένων μέχρι
8 τῆς Σύρτεως. ἔστι δὲ ἡ Σύρτις κόλπος θαλάττης εἰσέχων ἐπὶ πολὺ τῆς χώρας καὶ τριῶν ἡμερῶν, φασί, πλοῦς ἀκωλύτως πλέουσιν. τοῖς δὲ κατενεχθεῖσιν οὐκ εἶναι τὸν ἔκπλουν
9 δυνατόν. βραχέα γὰρ καὶ διθάλαττα καὶ ταινίαι μακραὶ μέχρι πολλοῦ διήκουσαι παντάπασιν ἄπορον καὶ δύσκολον παρέχουσι τὸ πέλαγος. οὐ γάρ ἐστι κατ' ἐκεῖνα τὸ τῆς θαλάττης ἀγγεῖον καθαρὸν, κοῖλος δὲ καὶ ψαμμώδης ὁ τόπος
10 ὧν ἐκδέχεται τὸ πέλαγος, οὐδὲν ἔχων στερεόν. ὅθεν οἶμαι θῖνές τε μεγάλαι καὶ χώματα ἐν αὐτῷ γίγνονται τῆς ψάμμου, καθάπερ ἐν τῇ χώρᾳ συμβαίνει τὸ τοιοῦτον ἀπὸ πνευμάτων· ἐκεῖ δὲ μᾶλλον ὑπὸ τοῦ κλύδωνος. ἔστι δὲ καὶ τὰ κύκλῳ
11 τοιαῦτα σχεδὸν, ἐρημία καὶ θῖνες. ἀλλὰ γὰρ δὴ τούς τε ναυα-

3. λελεγμένα. λεγόμενα C. ‖ αὐτὰ BC. mrg. m. r, αὐτοῖς vm, αὐτὰ—συνέθεσαν om. M. ‖ 4. αἰνιττόμενοι. ἂν αἰνιττόμενοι M. — 4, 1. τόδε. τὸ δὲ M. ‖ 2. ἔτ' αὐτὸν C, ἐπ' αὐτὸν M, ἑαυτὸν B. vm, αὐτὸν r. — 5, 3. γιγνόμενον. γινόμενον BC, γινόμενον M. — 6, 1. in marg. inferiore pagin. C, quae respondet Orat. IV, 138 — Orat. V, 6, leguntur haec eadem, ut videtur, manu ut reliqua, sed atramento pallidiore scripta, τάχα βασιλεὺς οὐ σχολάζων εἰς β'γους παρῆλθε καὶ δάκνοντα τὸν θρασὺν κύνα. — 7, 4. ἕνεκεν CM, ἕνεκα reliq. — 8, 3. πλέουσιν M, πλέουσι reliq. — 9, 1. καὶ delet. Geel. ‖ διθάλαττα. διαθάλαττα C. ‖ ταινίαι. τενίαι M. ‖ 5. ὧν. ὃν B. — 10, 2. θῖνες. θεῖνες M. ‖ 4. ἐκεῖ δὲ. δὲ om. CM. ‖ 5. ἐρημία M, ἔρμια C, ἐρημίαι reliq. ‖ θῖνες. θεῖνες M. — 11, 1. ναυαγοὺς CM, ναυηγοὺς reliq.

γοὺς ἀπὸ τῆς θαλάττης ἐπανίοντας καὶ εἴ τινας τῶν Λιβύων
κατ' ἀνάγκην διεξιόντας ἢ πλανωμένους ἐπιφαινόμενα ἥρπαζε
12 τὰ θηρία. ἡ δὲ φύσις αὐτῶν τοῦ σώματος καὶ ἡ ἰδέα τοιάδε.
τὸ μὲν πρόσωπον γυναικεῖον εὐειδοῦς γυναικὸς, μαστοὶ δὲ καὶ
στήθη πολύ τι κάλλιστα καὶ τράχηλος, ὁποῖα οὔτε παρθένου 84 M.
θνητῆς γένοιτ' ἂν οὔτε νύμφης ἀκμαζούσης οὔτε πλάττων ἢ
γράφων οὐδεὶς δυνήσεται ἀπεικάσαι· τό τε χρῶμα λαμπρότα- 191 R.
τον, καὶ ἀπὸ τῶν ὀμμάτων φιλοφροσύνη καὶ ἵμερος ταῖς ψυ-
13 χαῖς ἐνέπιπτεν, ὁπότε προσίδοι τις. τὸ δὲ λοιπὸν σῶμα σκλη-
ρόν τε καὶ ἄῤῥηκτον φολίσι, καὶ τὸ κάτω πᾶν ὄφις· ὑστάτη
δὲ κεφαλὴ τοῦ ὄφεως μάλα ἀναιδής. τὰ δὲ θηρία ταῦτα
πτερωτὰ μὲν οὐ λέγεται γενέσθαι, καθάπερ αἱ σφίγγες, οὐδὲ
διαλέγεσθαι, ὡς ἐκεῖναι, οὐδὲ ἄλλην ἱέναι φωνὴν, ἀλλὰ συρίτ-
14 τειν μόνον, ὥσπερ οἱ δράκοντες, ὀξύτατα. τῶν δὲ πεζῶν
ἁπάντων τάχιστα, ὡς μηδὲν ἄν ποτε ἐκφυγεῖν αὐτά· καὶ τῶν
μὲν ἄλλων ἀλκῇ κρατεῖν, ἀνθρώπων δὲ ἀπάτῃ παραφαίνοντα
τὰ στήθη καὶ τοὺς μαστοὺς, καὶ ἅμα προσβλέποντα κατα-
γοητεύειν τε καὶ ἔρωτα ἐμβάλλειν δεινὸν τῆς ὁμιλίας· καὶ τοὺς
μὲν προσιέναι καθάπερ γυναιξὶ, τὰ δὲ μένειν ἀτρεμοῦντα καὶ
15 κάτω πολλάκις βλέποντα, μιμούμενα γυναῖκα κοσμίαν, γενό-
μενον δ' ἐγγὺς συναρπάζειν· ἔχειν γὰρ δὴ καὶ χεῖρας θηριώ-
δεις, ἃς ὑποκρύπτειν τέως. ὁ μὲν οὖν ὄφις εὐθὺς δακὼν ἀπέ- 192 R.
κτεινεν ἀπὸ τοῦ ἰοῦ· τὸν δὲ νεκρὸν κατεσθίουσιν ἅμα τε ὁ
16 ὄφις καὶ τὸ ἄλλο θηρίον. ὅδε μὲν δὴ ὁ μῦθος, οὐ παιδίῳ
πλασθεὶς, ὡς ἂν ἧττον ᾖ θρασὺ καὶ ἀκόλαστον, ἀλλὰ τοῖς
μείζοσι καὶ τελειοτέραν ἀφροσύνην ἔχουσιν ὑφ' ἡμῶν δεῦρο
μετενεχθεὶς τάχ' ἂν ἱκανῶς ἐπιδεῖξαι δύναιτο, ὁποῖόν ἐστι τὸ
τῶν ἐπιθυμιῶν γένος, ὅτι ἄλογοι οὖσαι καὶ θηριώδεις, ἔπειτα

12, 3. ὁποῖα. ὁποία M. ‖ 6. ἵμερος. ἥμερος M. ‖ 7. προσίδοι. προσίδι v. — 13, 3. ταῦτα Reisk., αὐτὰ reliq. ‖ 5. ἱέναι. ἀφιέναι mrg. m. — 14, 2. ἁπάντων. ἁπάντων εἶναι Reisk. ‖ μηδὲν. sic dedi. μὴ δὲν C, μηδένα reliq. ‖ 4. καταγοητεύειν τε CM. Obs. p. 13, καταγοητεύειν δὲ reliq. ‖ 5. ὁμιλίας. ὁμειλίας M. ‖ τοὺς μὲν Reisk., τοῦ Anonym. apud Reisk. mrg. m, τοὺς reliq. — 15, 1. γενόμενον. γενομένους (vel γενομένων) Reisk. ‖ 2. δ' C, δὲ reliq. ‖ γὰρ δὴ M. Obs. p. 13, γὰρ δεῖ B, γὰρ δὲ reliq. ‖ 3. ὑποκρύπτειν BCM. Reisk., ἀποκρύπτειν v, ὑποκρύπτει mr. ‖ δακὼν C. Reisk., δακῶν reliq. ‖ 4. ὁ ὄφις BCM. Reisk., ὁ om. reliq. — 16, 2. θρασὺ M, θρασὺς reliq. ‖ ἀκόλαστον M, ἀκόλαστος reliq. ‖ 3. μείζοσι. μείζω BCM. ‖ τελειοτέραν B, τελειωτέραν M, τελεωτέραν reliq. ‖ 4. μετενεχθεὶς. μετανεχθεὶς vm.

ἡδονήν τινα παραδεικνύουσαι, προσαγόμεναι τοὺς ἀνοήτους
ἀπάτῃ καὶ γοητείᾳ, διαφθείρουσιν οἴκτιστα καὶ ἐλεεινότατα.
17 ἃ χρὴ δεδιέναι πρὸ ὀφθαλμῶν ἔχοντας, ὥσπερ ἐκεῖνα τοὺς
παῖδας ὁπόταν παρὰ καιρὸν τροφῆς ἢ παιδιᾶς ἢ ἄλλου τινὸς
ὀρέγωνται, καὶ ἡμᾶς, ὁπόταν ἢ τροφῆς ἢ χρημάτων ἢ ἀφρο-
δισίων ἢ δόξης ἢ ἄλλης τινὸς ἡδονῆς ἐρῶμεν, μήποτε προσιόν- 85 M.
τες ταῖς πανούργοις ταύταις συναρπασθῶμεν ὑπ' αὐτῶν ἐπ' 193 R.
18 ὀλέθρῳ καὶ διαφθορᾷ πασῶν αἰσχίστῃ. καὶ γάρ τοι καὶ τὸ
λοιπὸν τοῦ μύθου ταύτῃ τρέπειν οὐ χαλεπὸν ἀνδρὶ ἀδολέσχῃ
καὶ πλείω σχεδὸν ἢ ἔδει σχολὴν ἄγοντι. προστιθέασι γάρ,
ὡς δὴ βασιλεύς τις τῶν Λιβύων ἐπεχείρησεν ἀνελεῖν τόδε τὸ
φῦλον τῶν θηρίων ἀγανακτῶν τῇ διαφθορᾷ τοῦ λαοῦ. καὶ
γὰρ τυγχάνειν αὐτῶν πολλὰς αὐτοῦ κατῳκισμένας, τὸν ὑπὲρ
τὴν Σύρτιν δρυμὸν καταλαβούσας, πυκνόν τε καὶ ἄγριον.
19 συναγαγόντα δὴ πλῆθος στρατοῦ πολύ· εἶναι γὰρ οὐκ ἀφα-
νεῖς τοῖς τε σύρμασι τῶν ὄφεων καὶ ὀσμῆς αὐτόθεν δεινῆς 194 R.
φερομένης· οὕτω περισχόντα πανταχόθεν πῦρ ἐμβαλεῖν· καὶ
τὰς μὲν ἀποληφθείσας ἀπολέσθαι μετὰ τῶν σκύμνων, τοὺς
δὲ Λίβυας φεύγειν κατὰ τάχος ἀπὸ τοῦ χωρίου, μήτε νύκτα
μήτε ἡμέραν ἀναπαυομένους, μέχρι νομίζοντες πολὺ προειλη-
20 φέναι κατέζευξαν παρὰ ποταμόν τινα. τῶν δὲ θηρίων ὁπόσα
ἀπῆν κατὰ θήραν, ἐπειδὴ τάχιστα ᾔσθοντο ἀπολωλότας τοὺς
φωλεούς, καταδιώξαντα τὴν στρατιὰν πρὸς τὸν ποταμόν,
τοὺς μὲν ὕπνῳ καταλαβόντα, τοὺς δὲ ἄλλους ἀπειρηκότας
21 ὑπὸ τοῦ κόπου, διαφθεῖραι πασσυδί. τότε μὲν οὖν ἀτελὲς
αὐτῷ γενέσθαι τὸ ἔργον τῆς διαφθορᾶς τοῦ γένους. ὕστερον

17, 1. ἃ χρή. sic dedi. καὶ χρὴ reliq. ‖ ἔχοντας. ἔχοντα C. ‖ ἐκεῖνα C, ἐκεῖναι BM, αἱ τίτθαι reliq. ‖ 3. ὀρέγωνται. ὀρέγονται M. ‖ ἡμᾶς BCM. Reisk., ἡμεῖς reliq. ‖ τροφῆς. τρυφῆς Reisk. ‖ ἢ ἀφροδισίων. ἢ om. M. — 18, 2. τρέπειν Interpr. r, πρέπειν BCM. vm. ‖ ἀνδρί. ἀνδρεὶ M. ‖ ἀδολέσχῃ CM, ἀδολεσχει B, ἀδολέσχῳ reliq. ‖ 3. καὶ πλείω. καὶ om. m. ‖ ἢ ἔδει C, ἔδει M, ἢ δεῖ reliq. ‖ 5. φῦλον. φῦλος M. ‖ διαφθορᾷ. διαφορὰ C. ‖ καὶ γὰρ τυγχάνειν. καὶ τυγχάνειν M, τυγχάνειν δὲ C. ‖ 6. τὸν ὑπέρ. τὸν om. CM. — 19, 1. συναγαγόντα BCMA. Reisk., συναγαγόντας reliq. ‖ ἀφανεῖς CM. Casaub. r, ἀφανὴς B. vm. ‖ 2. δεινῆς. ἧς M. ‖ 3. οὕτω CM, οὕτως reliq. ‖ ἐμβαλεῖν C. Reisk., ἐμβάλλειν reliq. ‖ 4. ἀποληφθείσας Selden., ἀπολειφθείσας reliq. ‖ 5. Λίβυας. λυκίας M. ‖ ἀπό. ὑπὲρ B. — 20, 2. ἐπειδή. ἐπὶ C. ‖ 4. ὕπνῳ. Reiskius supplet ἁλόντας, malim ἐν ὕπνῳ. ‖ καταλαβόντα BCM. Casaub., καταλαβόντας reliq. ‖ 5. διαφθεῖραι Geel., διέφθειραν reliq. ‖ πασσυδί. sic dedi. πασσυδιι M, πανσυδὶ reliq. — 21, 2. αὐτῷ. malim αὖ. ‖ 3. δὲ CM, δὲ

δὲ Ἡρακλέα τὴν σύμπασαν γῆν καθαίροντα ἀπό τε τῶν θηρίων καὶ τῶν τυράννων κἀκεῖσε ἀφικέσθαι, καὶ τόν τε τόπον ἐμπρῆσαι καὶ τὰ φεύγοντα ἐκ τοῦ πυρὸς τὰ μὲν τῷ ῥοπάλῳ παίοντα κατακαίνειν, ὁπόσα ὁμόσε ᾔει, τὰ δὲ ἀποδιδράσκοντα 195 R
22 τοῖς βέλεσιν. τυχὸν ἂν οὖν ὁ μῦθος αἰνίττεται λέγων, τῶν πολλῶν μὲν εἴ πού τις ἐπεχείρησε καθᾶραι τὴν αὑτοῦ ψυχὴν ὥσπερ ἄβατον καὶ μεστόν τινα θηρίων χαλεπῶν τόπον, ἐξελὼν δὴ καὶ ἀπολέσας τῶν ἐπιθυμιῶν εἶδος, εἶτ' ἐλπίσας ἀπηλλάχθαι καὶ διαπεφευγέναι, οὐκ ἰσχυρῶς αὐτὸ δράσας, ὀλίγον ὕστερον ὑπὸ τῶν λειπομένων ἐπιθυμιῶν ἀπολέσθαι καὶ δια-
23 φθαρῆναι. Ἡρακλέα δὲ τὸν Διὸς καὶ Ἀλκμήνης ἐπεξελθεῖν 86 M.
καὶ ἀποφῆναι καθαρὰν καὶ ἥμερον τὴν αὑτοῦ διάνοιαν. καὶ
24 τοῦτο αὐτῷ βούλεσθαι δηλοῦν τῆς γῆς τὴν ἡμέρωσιν. βούλεσθε οὖν βραχύ τι καὶ τῶν νεωτέρων λόγων ἐπιχαρισώμεθα 196 R.
τοῦ μυθολογήματος; οὕτω γὰρ πάνυ πείθονται αὐτῷ καὶ νομίζουσιν ἀληθές, ὥστε ὕστερόν ποτέ φασιν ἐπιφανῆναι τοῦ γένους τούτου βαδίζουσιν εἰς Ἄμμωνος Ἕλλησι θεωροῖς μετὰ
25 πολλῆς δυνάμεως παραπεμπούσης ἱππέων καὶ τοξοτῶν. δόξαι γὰρ αὐτοῖς ἐπὶ θινός τινος κατακεῖσθαι γυναῖκα διφθέραν ἐπιβεβλημένην ἄνωθεν, ὥσπερ αἱ Λίβυσσαι, ἐπιδεικνύειν δὲ τὰ στήθη καὶ τοὺς μαστοὺς καὶ τὸν τράχηλον ἀνακλῶσαν. καὶ αὐτοὺς ὑπολαβεῖν ἔκ τινος κώμης τῶν ἑταιρουσῶν τινα
26 γυναικῶν ἐνταῦθα ἰέναι πρὸς τὸν ὄχλον. δύο δέ τινας νεανίσκους ἐκπλαγέντας τὸ εἶδος ἰέναι πρὸς αὐτὴν, θάτερον τὸν

τὸν reliq. ‖ 5. καὶ τὰ φεύγοντα. καταφεύγοντα M. ‖ ἐκ τοῦ. αὐτοῦ v. mrg. m. ‖ τὰ μὲν BCM. Reisk., τὸ μὲν reliq. ‖ 6. κατακαίνειν CA, κατακαίειν reliq. ‖ ὁμόσε. ὁμόσαι M. ‖ ᾔει. ἴῃ C. — 22, 1. ἂν malim abesse. ‖ τῶν πολλῶν. τοὺς πολλοὺς CM. mrg. m. ‖ 2. εἴ πού. εἴ ποι BA. v. ‖ αὑτοῦ corr. B, αὐτοῦ reliq. ‖ 3. ἄβατον. ἄβατο m. ‖ χαλεπῶν. χαλεπὸν C. ‖ ἐξελών. ἐξελθὼν CM. ‖ 4. δὴ BM, τε Geel., δὲ reliq. ‖ τῶν. sic dedi. τὸ τῶν reliqui. possit τι τῶν. ‖ εἶδος CM, om. BA. v, γένος reliq. ‖ εἶτ' om. CM. ‖ 5. ἰσχυρῶς. ἰσχυροῖς C. ‖ αὐτὸ δράσας BCM, ἀποδράσας reliq., unde ἀποδρὰς Geel. ‖ ὀλίγον. ὀλίγων C. ‖ 6. λειπομένων. λιπομένων. — 23, 2. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 3. τοῦτο αὐτῷ C. Casaub. r, τοῦτο αὐτὸ BM. v, τοῦτον αὐτὸ m. — 24, 1. βούλεσθε. βούλεσθαι M. ‖ 2. τῶν νεωτέρων B. vr, τοῖς νεωτέροις CM. m. ‖ ἐπιχαρισώμεθα. ἐπιχαρισόμεθα C, ἔτι χαρισώμεθα M. ‖ 3. αὐτῷ. αὐτῶν M. ‖ 4. ἐπιφανῆναι. ἐπιφανεῖναι M. — 25, 2. θινός. θεινός M. ‖ 3. ἐπιδεικνύειν. possit ἐπιδεικνύουσαν. ‖ 4. καὶ τόν. καὶ delet Geel. ‖ 5. καὶ αὐτούς. sic dedi. καὐτοὺς Casaub., καὶ τοὺς CM, κᾆτα reliq., unde κᾆτα τοὺς μὲν Geel. — 26, 2. αὐτήν. αὐτὸν C. ‖ θάτερον τὸν ἕτερον C, θάτερον om. reliq.

ἕτερον φθάνοντα. τὸ δὲ θηρίον, ὡς ἔλαβεν αὐτὸν, κατασύ-
27 ρων εἰς κοῖλόν τι τῆς ψάμμου κατεσθίειν. καὶ τὸν ἕτερον νεανίσκον ὑπερβαλόντα θεάσασθαι καὶ ἀνακραγεῖν, καὶ οὕτως ἐπιβοηθῆσαι τὸ λοιπὸν πλῆθος. τὸ δὲ θηρίον ἐφορμῆσαι τῷ νεανίσκῳ προϊσχόμενον τὸν ὄφιν καὶ ἀποκτεῖναι οἴχεσθαι μετὰ συριγμοῦ. τὸν δὲ νεκρὸν εὑρεθῆναι σαπρὸν ἤδη καὶ μυδῶντα· καὶ τοὺς Λίβυας τοὺς ἡγεμόνας τῆς ὁδοῦ οὐκ ἐᾶν ἅπτεσθαι τοῦ σώματος, ὡς ἅπαντας ἀπολουμένους.

ΛΟΓΟΣ ϛ

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΤΥΡΑΝΝΙΔΟΣ.

1 Διογένης ὁ Σινωπεὺς, ὅτε ἔφυγεν ἐκ Σινώπης, ἀφικόμε- 197 R.
νος εἰς τὴν Ἑλλάδα διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ, ποτὲ δὲ Ἀθήνησιν. ἔφη δὲ μιμεῖσθαι τοῦ Περσῶν βασιλέως τὴν δίαιταν· καὶ γὰρ ἐκεῖνος τοῦ μὲν χειμῶνος ἐν Βαβυλῶνι καὶ Σούσοις, ἐνίοτε δ' ἐν Βάκτροις διῆγεν, ἐν τοῖς εὐδιεινοτάτοις τῆς Ἀσίας, τοῦ δὲ θέρους ἐν Ἐκβατάνοις τῆς Μηδικῆς, ὅπου 87 M.
ψυχρότατος ὁ ἀὴρ ἀεί ποτέ ἐστι καὶ τῷ περὶ Βαβυλῶνα χει-
2 μῶνι τὸ θέρος ὅμοιον. οὕτω δὲ καὶ αὐτὸς μεταλλάττειν τὴν οἴκησιν κατὰ τὰς ὥρας τοῦ ἔτους. τὴν μὲν γὰρ Ἀττικὴν μήτε ὄρη μεγάλα ἔχειν μήτε ποταμοὺς διαῤῥέοντας, καθάπερ τήν τε Πελοπόννησον καὶ Θετταλίαν· εἶναι γὰρ τὴν χώραν ἀραιὰν καὶ τὸν ἀέρα κοῦφον, ὡς μήτε ὕεσθαι πολλάκις μήτε ὑπομένειν τὸ γιγνόμενον ὕδωρ, περιέχεσθαί τε ὀλίγου πᾶσαν αὐτὴν 198 R.

27, 5. ἤδη Geel., τε C, τι δὴ M.

Orat. VI. Collati sunt BCM. initium huius orat. usque ad προσιόντας μήτις § 39 bis legitur in M. alterum exemplum notabitur litera β. — 1, 4. τοῦ μὲν χειμῶνος CMβ, τῷ μὲν χειμῶνι reliq. ‖ 5. εὐδιεινοτάτοις. εὐδινωτάτοις B, εὐδεινοτάτοις β. ‖ 7. ἀήρ. ἀνὴρ M. — 2, 1. οὕτω δέ. οὕτως δὲ CMβ, malim οὕτω δή. ‖ μεταλλάττειν. μεταλλάττων m. ‖ 4. ἀραιάν. ἀρεάν (corr. vulg.) β. ‖ 5. ἀέρα. ἄῤῥα M. ‖ 6. γιγνόμενον Obs. p. 14, πινόμενον reliq. ‖ περιέχεσθαί. περιέλεσθαί M.

ὑπὸ τῆς θαλάττης· ὅθεν δὴ καὶ τοὔνομα λαβεῖν, οἷον ἀκτήν
τινα οὖσαν· τὴν δὲ αὖ πόλιν ἐν τῷ χθαμαλῷ κεῖσθαι καὶ
3 πρὸς μεσημβρίαν. σημεῖον δέ· τοὺς γὰρ ἀπὸ τοῦ Σουνίου
καταίροντας εἰς τὸν Πειραιᾶ μὴ δύνασθαι ἄλλως ἢ Νότῳ
καταρ̃αι. εἰκότως οὖν τὸν χειμῶνα γίγνεσθαι πρᾷον· ἐν δὲ
τῇ Κορίνθῳ τὸ θέρος εὔπνουν διὰ τοὺς εἰσέχοντας κόλπους,
ἀεί ποτε τῶν πνευμάτων ἐκεῖσε συῤῥεόντων· ὅ τε Ἀκροκόριν-
θος ἐπισκιάζει, καὶ αὐτὴ μᾶλλον ἐπὶ τὸ Λεχαῖον καὶ πρὸς 199 R.
4 τὴν ἄρκτον ἀποκλίνει. πολὺ δὲ καλλίονας ὑπάρχειν τὰς πό-
λεις ταύτας Ἐκβατάνων καὶ Βαβυλῶνος, καὶ πολὺ ἄμεινον
κατεσκευάσθαι τῶν ἐκεῖ βασιλείων τό τε Κράνιον καὶ τὴν
Ἀθήνησιν ἀκρόπολιν καὶ τὰ προπύλαια, μεγέθει δὲ λείπεσθαι
μόνον· καίτοι διακοσίων σταδίων εἶναι τὴν περίμετρον τῶν
Ἀθηνῶν, τοῦ Πειραιῶς συντιθεμένου καὶ τῶν διὰ μέσου
τειχῶν πρὸς τὸν περίβολον τοῦ ἄστεος· οἰκεῖσθαι γὰρ οὐ
πάλαι καὶ ταῦτα ξύμπαντα· ὥστε τὸ ἥμισυ ἔχειν Ἀθήνας
5 Βαβυλῶνος, εἰ τυγχάνει ἀληθῆ λεγόμενα περὶ τῶν ἐκεῖ. καὶ
μὴν τό γε τῶν λιμένων κάλλος, ἔτι δὲ ἀνδριάντας καὶ γραφὰς
καὶ χρυσόν τε καὶ ἄργυρον καὶ χαλκόν, τό τε νόμισμα καὶ
τὰ ἔπιπλα καὶ τὴν τῶν οἰκιῶν κατασκευήν, ὑπερβάλλειν μὲν
6 τὰ ἐνταῦθα· πλὴν αὐτῷ γε οὐ πολὺ μέλειν τῶν τοιούτων. τὸ 200 R.
δὲ τῆς ὁδοῦ μῆκος ἐκείνῳ μέν, ὥστε μεταβῆναι, πάμπολυ γίγ-
νεσθαι· σχεδὸν γοῦν αὐτὸν ἐν ὁδῷ διάγειν τοῦ χειμῶνος καὶ
τοῦ θέρους τὸ πλέον. αὐτὸν δὲ πλησίον καταλύσαντα Μεγα-
ράδε Ἀθήνησι γενέσθαι τῇ ὑστεραίᾳ πάνυ ῥᾳδίως, εἰ μὲν 88 M.
βούλοιτο, ἐπ' Ἐλευσῖνος, εἰ δὲ μή, βραχυτέραν διὰ Σαλαμῖ-

7. ἀκτήν. ἀκτὶν β. ‖ 8. πόλιν r, πάλιν reliq. — 3, 1. τοῦ. τοὺς β. ‖ 2. ἢ Νότῳ. ἦν ὁ τῷ β. ‖ 4. εἰσέχοντας Reisk., εἰσήκοντας reliq. ‖ 5. ἐκεῖσε CM, ἐκεῖ reliq. ‖ ὅ τε. ἥ τε m. ‖ 6. ἐπισκιάζει. ἐπισκευάζει corr. β. v. (at var. l. vulg.) mrg. m. ‖ αὐτὴ BCM. Casaub. r, αὐτῇ vm, αὕτη β. ‖ Λεχαῖον. Λέχειον B, λέχεον β. — 4, 3. Κράνιον. κράνειον CMβ. ‖ 6. Πειραιῶς CMβ (corr. Παιραιέων), παιραιέως reliq. ‖ 7. τειχῶν. τειχίων CMβ (corr. τειχῶν). ‖ ἄστεος. ἀστέως β. ‖ οὐ πάλαι CMβ, οὐ om. reliq. ‖ 8. ἥμισυ. ἥμισυν B. ‖ ἔχειν. ἔχων r. ‖ 9. τυγχάνει. τυγχάνειν m. — 5, 2. τῶν λιμένων Casaub. ex Interpr., λιμνῶν C, τῶν λιμνῶν reliq. ‖ δὲ. δὲ καὶ M. ‖ 3. τό τε CMβ. Reisk., τὸ δὲ reliq. ‖ 4. ὑπερβάλλειν. ὑπερβαλεῖν β. — 6, 2. γίγνεσθαι. γίνεσθαι B, γενέσθαι β. ‖ 3. γοῦν CM, οὖν reliq. ‖ αὐτὸν CMβ, αὐτῷ B. v, αὐτὸν μὲν reliq. ‖ 4. Μεγαράδε. μέγαρα δὲ β, μεγάρων CM. ‖ 5. γενέσθαι. malim γίγνεσθαι. ‖ 6. εἰ δὲ. ἔτι δέ, unde conieceris totum locum sic scribendum esse, ἔτι δὲ βραχυτέραν διὰ Σαλαμῖνος, μὴ δι' ἐρήμων. ‖ Σαλαμῖνος. σαλαμόνος C.

τος, οὐ δι' ἐρήμων σταθμῶν πορευόμενον· ὥστε πλεονεκτεῖν
βασιλέως καὶ μᾶλλον τρυφᾶν· ἄμεινον γὰρ κατεσκευάσθαι
7 τὴν οἴκησιν. ταῦτα δὲ εἰώθει μὲν παίζων λέγειν· ὅμως δὲ
ἐνεδείκνυτο τοῖς θαυμάζουσι τὸν πλοῦτον τοῦ Πέρσου καὶ
τὴν λεγομένην εὐδαιμονίαν, ὅτι οὐδέν ἐστι τῶν ἐκείνου πραγ-
μάτων, οἷον νομίζουσιν. τῶν μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, τὰ
8 δὲ καὶ σφόδρα πένησιν ἐξεῖναι ποιεῖν. οὐδὲ γάρ, ὡς ἐνόμιζον
ἔνιοι τῶν ἀφρόνων, ἀμελὲς ἦν αὐτῷ περὶ τοῦ σώματος. ἀλλ'
ἐκεῖνοι μέν, ὁρῶντες ῥιγοῦντα καὶ θυραυλοῦντα καὶ διψῶντα
πολλάκις, ἡγοῦντο ἀμελεῖν τοῦ ὑγιαίνειν καὶ τοῦ ζῆν· ὁ δὲ
ταῦτα πάσχων μᾶλλον μὲν ὑγίαινε τῶν ἀεὶ ἐμπιπλαμένων,
μᾶλλον δὲ τῶν ἔνδον μενόντων καὶ μηδέποτε μήτε ψύχους
9 μήτε καύματος πειρωμένων. ἔτι δὲ ἥδιον μὲν ἀλεαινόμενος 201 R.
ᾐσθάνετο, ἥδιον δὲ σιτίοις προσεφέρετο, πολὺ δὲ μάλιστα
ταῖς ὥραις ἔχαιρεν. καὶ τοῦτο μὲν εὐφραίνετο θέρους προσ-
ιόντος, ὁπότε ἤδη διαχέοι τὸν ἀέρα, τοῦτο δὲ οὐκ ἤχθετο
παυομένου, ἅτε ἀπαλλαττόμενος τοῦ σφοδροῦ καύματος. ταῖς
δὲ ὥραις ξυνεπόμενος καὶ κατ' ὀλίγον αὐτῶν πειρώμενος ἀλύ-
10 πως ἀφικνεῖτο πρὸς ἑκατέραν τὴν ὑπερβολήν. πυρὶ δὲ ἢ σκιᾷ
ἢ σκέπῃ σπανίως ἐχρῆτο, προλαμβάνων τὸν καιρόν· οὐδὲ
ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, ὅτι μὲν ἔξεστιν αὐτοῖς ἀεὶ πῦρ
καίειν, εὐποροῦσι δὲ ἐσθῆτος, ἔχουσι δὲ οἰκίας, ἐὰν καὶ σμι-
κρὸν αἴσθωνται ψύχους, εὐθὺς ἀποδιδράσκουσι τὸν ἀέρα καὶ
τὰ σώματα ἀχρεῖα ποιοῦσι καὶ ἀδύνατα ἀνέχεσθαι χειμῶνος,
11 ὅτι δὲ ἔξεστιν αὐτοῖς σκιᾷ μὲν ἀφθόνῳ χρῆσθαι τοῦ θέρους, 202 R.

7. οὐ δι'. sic dedi. οὐ om. reliq. ‖ ἐρήμων: ἐρημένων C. ‖ 8. κατεσκευάσθαι. κατεσκευάσει B, κατασκευᾶσθαι M. — 7, 4. οὐδέν. οὐδέν ἐστιν (sed ἐστιν obel. notat.) β. — 8, 1. οὐδέ. οὐδὲν Bβ. ‖ 2. ἀμελὲς ἦν αὐτῷ περὶ τοῦ σώματος. ἀμελὴς ἦν τῶν περὶ τὸ σῶμα Reisk. ‖ 3. ῥιγοῦντα. ῥιγῶντα β. ‖ θυραυλοῦντα. θηραυλοῦντα β. ‖ 5. μὲν ὑγίαινε τῶν CM, μὲν ὑγιαινούντων β, μὲν τῶν (om. reliq.) reliq. ‖ 6. καί. αἱ C. ‖ 7. πειρωμένων CMβ. (corr. πειρωμένων ὑγίαινέ τε καὶ ἔζη), πειρωμένων ὑγίαινέ τε καὶ ἔζη reliq. — 9, 1. ἥδιον. ἡδεῖον β. ‖ ἀλεαινόμενος. λεαινόμενος β. ‖ 2. σιτίοις. σιτία Reisk. ‖ μάλιστα. μᾶλλον Reisk. ‖ 4. ὁπότε. ὁπότε δὲ Mβ, ὁ δὲ C. ‖ τοῦτο δέ. τοῦτο B, τοῦτον CMβ. ‖ ἤχθετο. ἤχθετο δὲ B, ἤχετο β. — 10, 1. σκιᾷ. σκιῶ M, οἰκίᾳ Pflugk. Ephem. Schol. 1831. p. 23. ‖ 2. προλαμβάνων. οὐ προλαμβάνων Pflugk. l. l. ‖ 3. ὅτι. ὅτε B. ‖ ἀεὶ om. M. ‖ 4. καίειν. κάειν B. ‖ εὐποροῦσι δέ. εὐποροῦσιν β. ‖ ἐὰν καί. καὶ om. C. ‖ σμικρὸν corr. B, μικρὸν reliq. ‖ 6. ἀχρεῖα BCMβ, ἄχρηστα reliq. — 11, 1. σκιᾷ Geel., οἰκίᾳ reliq. ‖ ἀφθόνῳ CMβ, ἀφθόνως reliq.

πίνειν δὲ οἶνον ὁπόσον βούλονται, διὰ τοῦτο ἄπειροι μὲν ἡλίου
διατελοῦσιν, ἄπειροι δὲ τοῦ διψῆν κατὰ φύσιν, οἰκότροφοι 89 M.
μὲν οὐχ ἧττον τῶν γυναικῶν, ἄπονοι δὲ καὶ ἀργοὶ τὰ σώματα,
κραιπάλης δὲ καὶ λήθης τὰς ψυχὰς γέμοντες. ὅθεν δὴ καὶ
ἐπιμηχανῶνται αὑτοῖς καὶ σιτία πονηρὰ καὶ βαλανεῖα τού-
του χάριν. τῆς δ' αὐτῆς ἡμέρας πολλάκις δέονται μὲν ἀνέ-
μου, δέονται δὲ ἐσθῆτος, δέονται δὲ ὁμοῦ χιόνος καὶ πυρός.
τὸ δὲ πάντων ἀτοπώτατον· ἐπιθυμοῦσι καὶ λιμοῦ καὶ δίψης.
12 ἀκόλαστοι δὲ ὄντες οὐχ ἥδονται ἀφροδισίοις διὰ τὸ μὴ περι-
μένειν ὀρέγεσθαι αὐτῶν· ὅθεν ζητοῦσιν ἀχαρίστους καὶ ἀτερ-
πεῖς ἡδονάς. ὁ δὲ λιμῷ μὲν ἐχρῆτο καὶ δίψει πρὸ τῆς τροφῆς
ἑκάστοτε, καὶ ἐνόμιζε τοῦτο ἱκανώτατον καὶ δριμύτατον τῶν
ὄψων. τοιγαροῦν ἥδιον μὲν προσεφέρετο μάζαν ἢ οἱ ἄλλοι
τὰ πολυτελέστατα τῶν σιτίων, ἥδιον δὲ ἔπινε τοῦ ῥέοντος
13 ὕδατος, ἢ οἱ ἄλλοι τὸν Θάσιον οἶνον. κατεγέλα δὲ τῶν, ὁπότε
διψῷεν, τὰς μὲν κρήνας παρερχομένων, ζητούντων δὲ, ὁπόθεν
πάντως ὠνήσαιντο Χῖον ἢ Λέσβιον, καὶ πολὺ ἔφασκεν ἀφρο-
νεστέρους εἶναι τῶν βοσκημάτων· ἐκεῖνα γὰρ οὐδέποτε διψῶν-
τα κρήνην οὐδὲ ῥεῦμα καθαρὸν παρελθεῖν, οὐδὲ πεινῶντα 203 R.
ἀπέχεσθαι τῶν ἁπαλωτάτων φύλλων καὶ πόας τῆς ἱκανῆς
14 τρέφειν. οἰκίας δὲ τὰς καλλίστας καὶ τὰς ὑγιεινοτάτας ἐν
ἁπάσαις ταῖς πόλεσιν ἔχειν ἀναπεπταμένας, τά τε ἱερὰ καὶ τὰ
γυμνάσια. ἱμάτιον δὲ ἓν ἐξήρκει τοῦ θέρους αὐτῷ καὶ τοῦ
χειμῶνος· τοῦ γὰρ ἀέρος ἠνείχετο ῥᾳδίως, ἅτε δὴ συνήθης
15 αὐτῷ γενόμενος. τοὺς δὲ πόδας οὐδέποτε ἔσκεπεν· οὐ γὰρ
ἔφη τρυφερωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου.
ταῦτα γὰρ, ἀσθενέστατα πεφυκότα, μάλιστα ἀνέχεσθαι τὸ
ψῦχος διὰ τὸ γεγυμνῶσθαι ἀεί. μὴ γὰρ εἶναι τοῖς ἀνθρώ-

3. οἰκότροφοι μὲν CM. mrg. m, οἰκία τροφὴ β, οἰκείαν. καὶ τροφῇ μὲν reliq. ‖ 5. κραιπάλης. κρεπάλης β. ‖ ὅθεν δή. ὅθεν δὲ M. ‖ 6. αὑτοῖς. sic dedi. αὐτοῖς reliq. ‖ 8. ἐσθῆτος. αἰσθητὸς β. ‖ χιόνος. χείμονος C, χειμῶνος M. mrg. m. ‖ 9. δίψης. δίψους M. — 12, 2. ἀχαρίστους. ἀχαρίτους B. ‖ 3. δίψει BCMβ (corr. δίψῃ), δίψῃ reliq. ‖ 4. ἱκανώτατον. malim λιχνότατον ‖ 5. ἢ οἱ. οἱ om. CM. ‖ 7. ἢ οἱ. οἱ om. M. — 13, 2. μὲν κρήνας. κρήνας μὲν M, κρίνας μὲν β. ‖ 3. πάντως om. CM, πάντες Bβ. ‖ 4. διψῶντα. διφῶντα M. ‖ 6. ἁπαλωτάτων. ἁπαλωτέρων Obs. p. 14. ‖ 7. τρέφειν. τάφειν C. — 14, 2. ἔχειν. εἶχεν (vel ἔχειν ἔφη) Geel. ‖ ἀναπεπταμένας. ἀνεπταμένας (corr. vulg.) β. ‖ 4. ἀέρος. ἀέρως B. ‖ ἠνείχετο. ἀνείχετο B. — 15, 2. τρυφερωτέρους. τρυφερωτέρα C. ‖ 4. γεγυμνῶσθαι CM, γυμνοῦσθαι reliq.

ποις δυνατὸν καταδησαμένους τὰ ὄμματα βαδίζειν, ὥσπερ
τοὺς πόδας. ἔφη δὲ τοὺς πλουσίους ὁμοίους εἶναι τοῖς νεο-
16 γνοῖς βρέφεσι· δεῖσθαι γὰρ ἀεί ποτε σπαργάνων. ὑπὲρ οὗ δὲ
πλεῖστα μὲν πράγματα ἔχουσιν ἄνθρωποι, πλεῖστα δὲ χρή-
ματα ἀναλίσκουσι, πολλαὶ δὲ ἀνάστατοι πόλεις διὰ ταῦτα 90 M.
γεγόνασι, πολλὰ δὲ ἔθνη τούτων ἕνεκεν οἰκτρῶς ἀπόλωλεν·
ἁπάντων ἐκείνῳ χρημάτων ἀπονώτατον ἦν καὶ ἀδαπανώτα-
17 τον. οὐ γὰρ ἔδει αὐτὸν οὐδαμόσε ἐλθεῖν ἀφροδισίων ἕνεκεν,
ἀλλὰ παίζων ἔλεγεν ἁπανταχοῦ παρεῖναι αὐτῷ τὴν Ἀφροδί-
την προῖκα, τοὺς δὲ ποιητὰς καταψεύδεσθαι τῆς θεοῦ διὰ
τὴν αὑτῶν ἀκρασίαν, πολύχρυσον καλοῦντας. ἐπεὶ δὲ πολλοὶ
τοῦτο ἠπίστουν, ἐν τῷ φανερῷ ἐχρῆτο καὶ πάντων ὁρώντων·
καὶ ἔλεγεν, ὡς εἴπερ οἱ ἄνθρωποι οὕτως εἶχον, οὐκ ἂν ἑάλω 204 R.
ποτὲ ἡ Τροία, οὐδ' ἂν ὁ Πρίαμος, ὁ Φρυγῶν βασιλεύς, ἀπὸ
18 Διὸς γεγονώς, ἐπὶ τῷ βωμῷ τοῦ Διὸς ἐσφάγη. τοὺς δὲ Ἀ-
χαιοὺς οὕτως εἶναι ἄφρονας, ὥστε καὶ τοὺς νεκροὺς νομίζειν
προσδεῖσθαι γυναικῶν καὶ τὴν Πολυξένην σφάττειν ἐπὶ τῷ
τάφῳ τοῦ Ἀχιλλέως. ἔφη δὲ τοὺς ἰχθύας σχεδόν τι φρονι-
μωτέρους φαίνεσθαι τῶν ἀνθρώπων· ὅταν γὰρ δέωνται τὸ
σπέρμα ἀποβαλεῖν, ἐλθόντας ἔξω προσκνᾶσθαι πρὸς τὸ τραχύ.
19 θαυμάζειν δὲ τῶν ἀνθρώπων τὸ τὸν μὲν πόδα μὴ θέλειν ἀρ-
γυρίου κνᾶσθαι μηδὲ τὴν χεῖρα μηδὲ ἄλλο μηδὲν τοῦ σώμα-
τος, μηδὲ τοὺς πάνυ πλουσίους ἀναλῶσαι ἂν μηδεμίαν ὑπὲρ
τούτου δραχμήν, εἰς δὲ ἐκεῖνο τὸ μέρος πολλάκις πολλῶν τα-
λάντων, τοὺς δέ τινας ἤδη καὶ τῇ ψυχῇ παραβαλλομένους.
20 ἔλεγε δὲ παίζων τὴν συνουσίαν ταύτην εὕρεμα εἶναι τοῦ

5. καταδησαμένους. καταδυσαμένους B. ‖ 7. ἀεί ποτε. in β ποτε a corr. addit. — 16, 1. οὗ. οὐ β. ‖ 2. δὲ. δὲ δὲ M. ‖ 4. τούτων. τούτω C. ‖ οἰκτρῶς. οἰκτροὺς C, οἰκτροῖς M. ‖ 5. ἐκείνῳ χρημάτων. ἐκεῖνο χρημάτων M, χρημάτων ἐκεῖνο β. ‖ ἀπονώτατον Casaub., ἐτοιμότατον Anonym. apud Reisk., ἀτοπώτατον reliq. ‖ ἦν om. CM. ‖ ἀδαπανώτατον. ἀδαπανώτατον εἶναι CM. — 17, 1. οὐδαμόσε. οὐδαμόσαι β. ‖ 4. αὑτῶν. αὐτῶν M. ‖ ἀκρασίαν. ἀκρατίαν β. ‖ 5. τοῦτο. τούτω CM. ‖ 6. ὡς εἴπερ CM, ὡς om. reliq. ‖ 7. ἀπὸ BCMβ, ἀπὸ τοῦ reliq. ‖ 8. E regione horum verborum ad mrg. C haec scripta sunt, περὶ τούτου σαφέστερον ἐν τῇ διέγνω θνη γαληνός. — 18, 2. οὕτως εἶναι CMβ (mrg. οὕτω φᾶναι), οὕτω φάναι reliq., unde οὕτω φῦναι Reisk. ‖ 5. δέωνται. δέονται CM. ‖ 6. ἐλθόντας. ἰόντας CM. var. l. v. ‖ προσκνᾶσθαι. προσσεῖσθαι M. ‖ πρὸς τὸ. πρός τι Geel. — 19, 1. τὸ τὸν μὲν CM. Reisk., τὸ om. reliq. ‖ 3. πάνυ om. C. ‖ ἂν μηδεμίαν CMβ, μηδεμίαν om. reliq. ‖ 4. δὲ BCMβ, δὲ δὴ Reisk., δὴ reliq. — 20, 1. τὴν Mβ (corr. καὶ τὴν), καὶ τὴν reliq. ‖

Digitized by Google

Πανὸς, ὅτε τῆς Ἠχοῦς ἐρασθεὶς οὐκ ἐδύνατο λαβεῖν, ἀλλ' ἐπλα-
νᾶτο ἐν τοῖς ὄρεσι νύκτα καὶ ἡμέραν. τότε οὖν τὸν Ἑρμῆν
διδάξαι αὐτὸν οἰκτείραντα τῆς ἀπορίας, ἅτε υἱὸν αὐτοῦ. καὶ
τὸν, ἐπεὶ ἔμαθε, παύσασθαι τῆς πολλῆς ταλαιπωρίας· ἀπ'
21 ἐκείνου δὲ τοὺς ποιμένας χρῆσθαι μαθόντας. τὰ μὲν οὖν
τοιαῦτα ἐνίοτε τῶν ἀνθρώπων καταγελῶν ἔλεγε τῶν τετυφω-
μένων καὶ ἀνοήτων· μάλιστα δὲ ὕβριζε τοὺς σοφιστὰς, τοὺς
σεμνοὺς εἶναι θέλοντας καὶ πλέον τι τῶν ἄλλων εἰδέναι οἰομέ-
νους. ἔλεγε δὲ διὰ τὴν μαλακίαν τοὺς ἀνθρώπους ἀθλιώτε-
22 ρον ζῆν τῶν θηρίων. ἐκεῖνα γὰρ ὕδατι μὲν ποτῷ χρώμενα, 205 R.
τροφῇ δὲ βοτάνῃ, τὰ πολλὰ δὲ αὐτῶν γυμνὰ ὄντα δι' ἔτους,
εἰς οἰκίαν δὲ οὐδέποτε εἰσιόντα, πυρὶ δὲ οὐδὲν χρώμενα ζῆν 91 M
μὲν ὁπόσον ἡ φύσις ἑκάστοις ἔταξε χρόνον, ἐὰν μηδεὶς ἀναιρῇ,
ἰσχυρὰ δὲ καὶ ὑγιαίνοντα διάγειν ὁμοίως ἅπαντα, δεῖσθαι δὲ
23 μηδὲν ἰατρῶν μηδὲ φαρμάκων. τοὺς δὲ ἀνθρώπους οὕτω μὲν
πάνυ φιλοζώους ὄντας, τοσαῦτα δὲ μηχανωμένους πρὸς ἀνα-
βολὴν τοῦ θανάτου, τοὺς μὲν πολλοὺς αὐτῶν μηδὲ εἰς γῆρας
ἀφικνεῖσθαι, ζῆν δὲ νοσημάτων γέμοντας, ἃ μηδὲ ὀνομάσαι
ῥᾴδιον, τὴν δὲ γῆν αὐτοῖς μὴ ἐξαρκεῖν παρέχουσαν φάρμακα,
24 δεῖσθαι δὲ καὶ σιδήρου καὶ πυρός. καὶ μήτε Χείρωνος μήτε
Ἀσκληπιοῦ μήτε τῶν Ἀσκληπιαδῶν ἰωμένων μηδὲν αὐτοῖς
ὄφελος εἶναι διὰ τὴν αὐτῶν ἀκολασίαν καὶ πονηρίαν, μηδὲ
25 μάντεων μαντευομένων μηδὲ ἱερέων καθαιρόντων. εἰς δὲ τὰς
πόλεις συνελθόντας, ὅπως ὑπὸ τῶν ἔξωθεν μὴ ἀδικῶνται,
τοὐναντίον αὐτοὺς ἀδικεῖν καὶ τὰ δεινότατα πάντα ἐργάζε- 206 R.
σθαι, ὥσπερ ἐπὶ τοῦτο ξυνεληλυθότας. διὰ ταῦτα δὲ δοκεῖν
αὐτῷ καὶ τὸν μῦθον λέγειν, ὡς τὸν Προμηθέα κολάζοι ὁ
Ζεὺς διὰ τὴν εὕρεσιν καὶ μετάδοσιν τοῦ πυρὸς, ὡς ἀρχὴν

2. Πανὸς. πᾶν ὃς β. ‖ ἐδύνατο. ἠδύνατο M. ‖ 3. ἡμέραν. ἡμέρα β. ‖ τὸν Ἑρμῆν CM, τὸν om. reliq. ‖ 4. τῆς ἀπορίας. τὴν ἀπορίαν BMβ. ‖ ἅτε CMβ (mrg. ὥς γε), ὥς γε reliq. ‖ αὐτοῦ. αὐτοῦ M. ‖ καὶ τὸν om. M. — 21, 1. μὲν οὖν CM, οὖν om. reliq. ‖ 2. τῶν ἀνθρώπων BMβ (mrg. τῶν ἄλλων), ἀνθρώπων C, τῶν ἄλλων reliq. — 22, 2. γυμνά. γυμνὰς C. ‖ 3. χρώμενα. χριόμενα C. ‖ ζῆν μὲν BCMβ. var. l. v, τοῦτο μὲν ζῆν reliq. ‖ 4. ἔταξε. ἔταξεν Cβ. ‖ 5. ἰσχυρὰ δὲ CM. var. l. v, τοῦτο δὲ ἰσχυρὰ reliq. ‖ διάγειν. διάσειν C. — 23, 1. οὕτω. οὕτως CMβ. ‖ 5. μὴ BMβ (corr. μηδὲ), μηδὲ reliq. — 24, 2. Ἀσκληπιαδῶν. sic dedi. Ἀσκληπιάδων reliq. — 25, 2. ὅπως BCMβ. mrg. m., ὅπερ v, ἵνα μὴ mr. ‖ μὴ CMβ, μηδὲν reliq. ‖ 3. αὐτούς. αὐτοὺς Bβ, αὐτοὺς αὐτοὺς Casaub. ‖ 4. τοῦτο. τούτω CM, τούτῳ non displicet Reiskio. ‖ δοκεῖν. δοκεῖ B.

τοῦτο καὶ ἀφορμὴν τοῖς ἀνθρώποις μαλακίας καὶ τρυφῆς. οὐ
γὰρ δὴ τὸν Δία μισεῖν τοὺς ἀνθρώπους οὐδὲ φθονεῖν αὐτοῖς
26 ἀγαθοῦ τινος. ἐπεὶ δὲ ἔλεγόν τινες οὐ δυνατὸν εἶναι ζῆν τὸν
ἄνθρωπον ὁμοίως τοῖς ἄλλοις ζώοις διὰ τὴν ἁπαλότητα τῶν
σαρκῶν καὶ διότι ψιλός ἐστιν, οὔτε θριξὶ σκεπόμενος, ὥσπερ
τὰ πολλὰ τῶν θηρίων, οὔτε πτεροῖς, οὐδὲ δέρμα ἰσχυρὸν
27 ἐπαμπέχεται, πρὸς ταῦτα ἀντέλεγεν, οὕτω μὲν σφόδρα ἁπα-
λοὺς εἶναι διὰ τὴν δίαιταν· φεύγειν μὲν γὰρ ὡς τὸ πολὺ τὸν
ἥλιον, φεύγειν δὲ τὸ ψῦχος, τὴν δὲ ψιλότητα τοῦ σώματος
μηδὲν ἐνοχλεῖν. ἐπεδείκνυε δὲ τούς τε βατράχους καὶ ἄλλα
οὐκ ὀλίγα ζῶα πολὺ μὲν ἁπαλώτερα ἀνθρώπου, πολὺ δὲ ψιλώ-
τερα, καὶ ἔνια τούτων ἀνεχόμενα οὐ τὸν ἀέρα μόνον, ἀλλὰ
28 καὶ ἐν τῷ ψυχροτάτῳ ὕδατι ζῆν δυνάμενα τοῦ χειμῶνος. ἐπε-
δείκνυε δὲ τῶν ἀνθρώπων αὐτῶν τούς τε ὀφθαλμοὺς καὶ τὸ
πρόσωπον οὐδὲν δεόμενον σκέπης. καθόλου δὲ ἐν μηδενὶ 92 M
τόπῳ γίγνεσθαι ζῶον, ὃ μὴ δύναται ζῆν ἐν αὐτῷ· ἢ πῶς ἂν
ἐσώθησαν οἱ πρῶτοι ἄνθρωποι γενόμενοι, μήτε πυρὸς ὄντος
μήτε οἰκιῶν μήτε ἐσθῆτος μήτε ἄλλης τροφῆς ἢ τῆς αὐτο-
μάτου; ἀλλὰ τὴν πανουργίαν τοῖς ὕστερον καὶ τὸ πολλὰ εὑρί-
σκειν καὶ μηχανᾶσθαι πρὸς τὸν βίον οὐ πάνυ τι συνενεγκεῖν. 201 R.
29 οὐ γὰρ πρὸς ἀνδρείαν οὐδὲ δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ
τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονήν· διώκοντας οὖν τὸ ἡδὺ
[καὶ] ἐξ ἅπαντος ἀεὶ ζῆν ἀηδέστερον καὶ ἐπιπονώτερον, καὶ
δοκοῦντας προμηθεῖσθαι σφῶν αὐτῶν κάκιστα ἀπόλλυσθαι
διὰ τὴν πολλὴν ἐπιμέλειάν τε καὶ προμήθειαν. καὶ οὕτω δὴ
τὸν Προμηθέα δικαίως λέγεσθαι δεδεμένον ἐν πέτρᾳ κείρε-
30 σθαι τὸ ἧπαρ ὑπὸ τοῦ ἀετοῦ. ὁπόσα μὲν οὖν πολυδάπανα καὶ
δεόμενα πραγματείας καὶ ταλαιπωρίας, ταῦτα μὲν ἀφῄρει
καὶ βλαβερὰ τοῖς χρωμένοις ἀπέφαινεν· ὅσα δὲ ῥᾳδίως καὶ
ἀπραγμόνως ἐστὶν ἐπικουρεῖν τῷ σώματι καὶ πρὸς χειμῶνα

26, 3. ψιλός. ψειλὸς β. ‖ 4. οὐδὲ. sic dedi. οὔτε reliq. ‖ 5. ἐπαμπέχεται. ἐπαμπέχηται C. — 27, 1. οὕτω. οὕτως CM. ‖ ἁπαλοὺς. ἁπλοὺς M. ‖ 3. ψιλότητα. ψειλότητα β. — 28, 4. ἐν αὐτῷ. ἐν om. CM. ‖ 5. ἄνθρωποι γενόμενοι BCMβ, γενόμενοι ἄνθρωποι reliq. ‖ 6. οἰκιῶν. οἰκείων M. ‖ 7. ὕστερον. ἕτερον M. ‖ τὸ BCMβ (corr. τὰ) Casaub., τὰ reliq. — 29, 1. οὐ γάρ. οὐδὲ γάρ B. ‖ ἀνδρείαν. ἀνδρίαν B. ‖ 3. [καὶ] ἐξ ἅπαντος. καὶ om. CMβ (add. a corr.), ἀεὶ καὶ ἐξ ἅπαντος Casaub. ‖ 5. οὕτω. οὕτως CM. ‖ 6. κείρεσθαι. κειρῆσθαι C. — 30, 3. βλαβερὰ. οὐχ ὑγιερὰ M. ‖ 4. ἀπραγμόνως. ἀπραγμόνους M.

καὶ πρὸς λιμὸν καὶ πρὸς τὸ παῦσαί τινα ὄρεξιν τοῦ σώματος,
οὐ παρέπεμπεν οὐδὲν αὐτῶν, ἀλλὰ καὶ τόπους ᾑρεῖτο τοὺς
ὑγιεινοὺς μᾶλλον ἢ τοὺς νοσώδεις, καὶ τοὺς εὐφόρους ἑκάστῃ 208 R.
31 τῇ ὥρᾳ, καὶ τροφῆς ὅπως εὐπορήσει τῆς ἱκανῆς ἐπεμελεῖτο
καὶ ἐσθῆτος τῆς μετρίας, πραγμάτων δὲ καὶ δικῶν καὶ φιλο-
νεικιῶν καὶ πολέμων καὶ στάσεων ἐκτὸς ἦν. καὶ μάλιστα
ἐμιμεῖτο τῶν θεῶν τὸν βίον. ἐκείνους γὰρ μόνους φησὶν
Ὅμηρος ῥᾳδίως ζῆν, ὡς τῶν ἀνθρώπων ἐπιπόνως καὶ χαλεπῶς
32 βιούντων. τὰ δὲ τοιαῦτα ἔφη καὶ τὰ θηρία διορᾷν. τοὺς
μὲν γὰρ πελαργοὺς τὰ θερμὰ τοῦ θέρους ἀπολείποντας εἰς
τὸν εὔκρατον ἀέρα ἀφικνεῖσθαι, καὶ διαγαγόντας ἐνταῦθα
ὁπόσον ἥδιστον τοῦ χρόνου, μετὰ ταῦτα ἀθρόους ἀπιέναι,
τὸν χειμῶνα ὑποχωροῦντας. τὰς δὲ γεράνους ἐπιφοιτᾷν τῷ
σπόρῳ χειμῶνα μετρίως φερούσας καὶ τῆς τροφῆς ἕνεκα.
33 τὰς δὲ ἐλάφους καὶ τοὺς λαγὼς τοῦ μὲν ψύχους εἰς τὰ πεδία 209 R.
καὶ τὰ κοῖλα καταβαίνειν ἐκ τῶν ὀρῶν κἀνταῦθα ὑποστέλ-
λειν τοῖς ἀπηνέμοις καὶ προσηνέσι, τοῦ δὲ καύματος εἰς τὴν 93 M.
34 ὕλην ἀποχωρεῖν καὶ τὰ βορειότατα τῶν χωρίων. ὁρῶν δὲ
τοὺς ἄλλους ἀνθρώπους ἅπαντα μὲν τὸν βίον ταραττομένους,
ἅπαντας δὲ ἀλλήλοις ἐπιβουλεύοντας, ἀεὶ δὲ ἐν κακοῖς ὄντας
μυρίοις, μηδέποτε δὲ ἡσυχίαν δυναμένους ἄγειν, ἀλλὰ μηδὲ
ἐν ταῖς ἱερομηνίαις μηδὲ ἂν ἐκεχειρίαν ἐπαγγέλλωσι, καὶ ταῦ-
τα ξύμπαντα δι' οὐδὲν ἕτερον τὰ μὲν δρῶντας, τὰ δὲ πάσχον-
τας, ἢ ὅπως ζῆν δυνήσονται, καὶ μάλιστα δὴ δεδιότας μή-
ποτε αὐτοὺς ἐπιλίπῃ τἀναγκαῖα δὴ λεγόμενα, ἔτι δὲ φροντί- 210 R.
ζοντας καὶ ζητοῦντας, ὅπως παισὶ τοῖς αὑτῶν καταλίπωσι

6. οὐδέν. οὐδὲ v. ‖ 7. εὐφόρους. ἐφόρους M. v, φοροὺς Goerlitz., malim προσφόρους vel συμφόρους. ‖ ἑκάστῃ τῇ. ἑκάστη CM. — 31, 1. εὐπορήσει. εὐπορήσῃ M. — 32, 1. διορᾷν CMβ (mrg. δρᾷν), δρᾷν reliq. ‖ 2. ἀπολείποντας. ἀπολιπόντας β. ‖ εἰς τόν. εἰς τὸ M. ‖ 3. καὶ om. m. ‖ 4. ὁπόσον. ὅπως M. ‖ 5. ὑποχωροῦντας Lobeck. ad Aiac. p. 108, ἀποχωροῦντας reliq. ‖ ἐπιφοιτᾷν. ἐπιφοιτῶν C. — 33, 2. ὀρῶν. ὁρῶν Mβ. ‖ 3. ἀπηνέμοις. ἀπονέμοις m. ‖ προσηνέσι. προσηνοῖς Bβ. ‖ 4. βορειότατα. βορεινότατα β, ὀρεινότατα Geel. — 34, 3. ἅπαντας. ἅπαντα BMβ. ‖ ἐπιβουλεύοντας. ἐπιβουλεύοντα M. ‖ κακοῖς. καιροῖς M. ‖ 4. ἡσυχίαν. ἡ σύων M. ‖ μηδὲ ἂν BCMβ, μηδὲ ἐὰν reliq. ‖ 5. ἐπαγγέλλωσι Cβ. Casaub. r, ἐπανέλλωσι M, ἀπαγγέλλωσι B. vm. ‖ 6. οὐδέν. οὐδενὸς M. ‖ 7. ζῆν δυνήσονται β. Casaub., ζῆν δυνήσωνται BCM. vr, δυνήσονται (om. ζῆν) m. ‖ 8. ἐπιλίπῃ. ἐπειλίπῃ β. ‖ τἀναγκαῖα BCMβ, τὰ ἀναγκαῖα reliq. ‖ φροντίζοντας. φροντίζοντα Mβ (at α in rasura). ‖ 9. τοῖς αὑτῶν καταλίπωσι B (nisi quod αὐτῶν habet) CMβ, καταλείπωσι τοῖς αὐ-

πολλὰ χρήματα, ἐθαύμαζεν, ὅτι μηδὲν αὐτὸς πράττοι τοιοῦ-
τον, ἀλλὰ μόνος δὴ τῶν ἁπάντων ἐλεύθερός ἐστι, καὶ ὡς
35 οὐδεὶς ἄλλος συνίησι τῆς αὑτοῦ μάλιστα εὐδαιμονίας. ὥστε
οὐκ ἔθ' αὑτὸν ἠξίου τῷ Περσῶν βασιλεῖ παραβάλλειν· πολὺ
γὰρ εἶναι τὸ μεταξύ· τὸν μὲν γὰρ ἀθλιώτατον ἁπάντων τυγ-
χάνειν, φοβούμενον μὲν ἐν τοσούτῳ χρυσῷ πενίαν, φοβούμε-
νον δὲ νόσους, τῶν δὲ νοσερῶν ἀπέχεσθαι μὴ δυνάμενον, ἐκ-
πεπληγμένον δὲ τὸν θάνατον καὶ πάντας ἐπιβουλεύειν αὑτῷ
36 νομίζοντα μέχρι τῶν παίδων τε καὶ ἀδελφῶν. διὰ δὲ ταῦτα
μήτε ἐσθίοντα ἥδεσθαι τῶν ἡδίστων αὐτῷ παρόντων, μήτε
πίνοντα ἐπιλανθάνεσθαι τῶν ὀχληρῶν. μηδεμίαν δὲ ἡμέραν
διάγειν ῥᾳδίως, ἐν ᾗ βλέπειν αὐτὸν εἶναι μὴ τὰ δεινότατα
πάσχοντα. καὶ τοῦτο μὲν νήφοντα ἐπιθυμεῖν μέθης, ὡς τότε
ἀπαλλαγησόμενον τῶν συμφορῶν, τοῦτο δ' αὖ μεθύοντα
37 ἀπολωλέναι νομίζειν, ὡς ἀδύνατον αὐτῷ τι βοηθεῖν. ἔτι δὲ 211 R.
ἐγρηγορότα μὲν εὔχεσθαι καθυπνῶσαι, ὅπως ἐπιλάθηται τῶν
φόβων, κοιμώμενον δὲ ἀναστῆναι τὴν ταχίστην, ἅτε ὑπ' αὐ-
τῶν τῶν ἐνυπνίων ἀπολλύμενον. τῆς δὲ χρυσῆς αὐτῷ πλα-
τάνου καὶ τῶν Σεμιράμιδος οἰκοδομημάτων καὶ τῶν ἐν Βα-
38 βυλῶνι τειχῶν μηδὲν ὄφελος γιγνόμενον. τὸ δὲ δὴ πάντων
παραλογώτατον· φοβεῖσθαι μὲν τοὺς ἀνόπλους, πιστεύειν δ'
ἑαυτὸν τοῖς ὡπλισμένοις, καὶ διερευνᾶσθαι μὲν τοὺς προσιόν-
τας, μή τις ἔχοι σίδηρον, ἐν μέσῳ δὲ ζῆν τῶν σιδηροφορούν-
των. φεύγειν δὲ ἀπὸ μὲν τῶν ἀνόπλων πρὸς τοὺς ὡπλισμέ-
νους, ἀπὸ δὲ τῶν ὡπλισμένων χωρεῖν πρὸς τοὺς ἀνόπλους· 94 M.

τῶν reliq. ‖ 10. μηδὲν. μηδένα β. ‖ πράττοι CM, πράττει Reisk., πράττων reliq. ‖ τοιοῦτον. τὸ τοιοῦτον β (at τὸ obel. notat.). ‖ 11. ἐστι. ἐστὶν Cβ. ‖ καὶ ὡς οὐδεὶς C, ὡς om. reliq. ‖ 12. αὑτοῦ. αὐτοῦ BMβ. — 35, 2. οὐκ ἔθ' αὑτόν. οὐκ ἔτ' αὐτὸν β (at in rasura), οὐ καθ' ἑαυτὸν B. ‖ παραβάλλειν. παραβάλλει β. ‖ 3. ἁπάντων—πενίαν om. B. ‖ 5. νόσους. νοσοῦσιν β. ‖ ἐκπεπληγμένον. ἐκπεπληγμένων m. ‖ 6. δὲ τόν. δὲ om. CM. (add. a corr.) ‖ 7. τε καὶ BCMβ, τε om. reliq. — 36, 2. μήτε. sic dedi. μηδὲ reliq. ‖ αὐτῷ. αὐτοῦ M. ‖ 4. αὐτὸν εἶναι. sic dedi. αὐτὸν BCMβ, αὐτὸν ἦν Reisk., αὐτὴν reliq. ‖ δεινότατα. δεινότατα πάντα M. ‖ 5. ὡς τότε Cβ. var. l. v, καὶ τότε M, ὥς γε mrg. m, ὥστε reliq. ‖ 6. δ'. δὲ Mβ. ‖ 7. τι in Mβ a corr. add. ‖ βοηθεῖν. βοηθεῖ. — 37, 3. ἅτε. οὔτε M (mrg. vulg.). ‖ 6. γιγνόμενον. γινόμενον CMβ. — 38, 2. δ' ἑαυτὸν B, δὲ αὐτὸν r, δὲ αὑτὸν Mβ. vm. ‖ 3. ὡπλισμένοις. post hoc verbum in M et β obelus cernitur. ‖ καὶ διερευνᾶσθαι—τοὺς ὡπλισμένους om. B. ‖ διερευνᾶσθαι. διερευνᾶν M. ‖ 4. μή τις. post hoc verbum in β vacuum spatium relictum est. sequuntur v. καὶ γὰρ δὴ ᾐσθάνετο orat. IV, 78. ‖ 6. χω-

ἀπὸ μὲν γὰρ τοῦ πλήθους φυλάττεσθαι τοῖς δορυφόροις, ἀπὸ δὲ τῶν δορυφόρων εὐνούχοις. οὐκ ἔχειν δέ, οἷς ἂν πιστεύσας οὐδὲ ὅποι τραπόμενος δυνήσεται ζῆσαι μίαν ἡμέραν ἀφόβως.
39 ὑφορᾶσθαι δὲ καὶ τὰ σιτία καὶ τὸ ποτὸν καὶ τοὺς προπειράσοντας ταῦτα ἔχειν, ὥσπερ ἐν ὁδῷ πολεμίων γεμούσῃ τοὺς προερευνῶντας. ἀλλὰ μηδὲ τοῖς ἀναγκαίοις θαῤῥεῖν, μήτε παισὶ μήτε γυναικί. οὕτω δὲ χαλεποῦ ὄντος τοῦ πράγματος καὶ δυστυχοῦς τῆς μοναρχίας, μηδὲ ἀπαλλαγῆναί ποτε αὐτοῦ
40 μήτε βούλεσθαι μήτε δύνασθαι. καίτοι πάντα, ὅσα δεινὰ τοῖς ἀνθρώποις, παραμυθίαν ἔχει τὸ τυχὸν ἀναπαύσασθαι αὐτῶν. καὶ γὰρ ὅστις ὑπὸ δεσμῶν ἔχεται, προσδοκᾷ ποτε 212 R.
λυθῆναι, καὶ τῷ τὴν πατρίδα φεύγοντι οὐκ ἀδύνατον κατελθεῖν, καὶ τῷ νοσοῦντι μέχρι τῆς τελευτῆς ἔστιν ἐλπίζειν τὴν ὑγίειαν· τῷ δὲ οὐκ ἔστιν ἀπαλλαγῆναι τοῦ πράγματος, ἀλλ' οὐδ' εὔξασθαι γοῦν, εἰ μή γε ἕτερον. ὅσοις δὲ ἀνιᾶσθαι συμβέβηκε τῶν φίλων τινὸς ἀποθανόντος, σαφῶς ἐπίστανται, ὅτι παύσονταί ποτε λυπούμενοι τῷ χρόνῳ· τοῖς δὲ τοὐναντίον
41 ἐπιτείνεται μᾶλλον τὰ χαλεπά. οὐ ῥᾴδιον μὲν γὰρ ἄνδρα γηρᾶσαι τύραννον· χαλεπὸν δὲ τυράννου γῆρας, οὐχ οἷον ἵππου φασίν. οἵ τε γὰρ πεπονθότες κακῶς πλείους, οἵ τε καταφρονοῦντες· αὐτὸς δὲ τῷ σώματι βοηθεῖν ἀδύνατος αὐτῷ. πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας, καὶ πενία καὶ
42 φυγὴ καὶ δεσμοὶ καὶ ἀτιμία. τοῦ θανάτου δὲ εἴ τις ἀφέλοι τὸ δέος, οὐδὲν ὑπολείπεται δυσχερές. οὐ γὰρ μόνον αὐτὸς ὁ θάνατος οὐκ ἐνοχλεῖ τοὺς παθόντας, ἀλλ' οὐδὲν ἔτι λυποῦν-

ρεῖν om. CM. ‖ 7. μὲν γάρ. μέν γε C. ‖ πλήθους. πλίθους M. ‖ 8. ἔχειν CMβ. r, ἔχει B. vm. ‖ 9. ζῆσαι CM, ζῆν reliq. — 39, 1. καὶ τὰ BCM, καὶ om. reliq. ‖ τὸ ποτὸν BCM, τὸν πότον reliq. ‖ προπειράσοντας BC. mrg. m, προπειράσαντας reliq. ‖ 3. προερευνῶντας. προερευνήσοντας mrg. m. ‖ μήτε παισὶ μήτε γυναικὶ BCM, μήτε γύναικὶ παισὶ, μήτε m, μήτε γυναικὶ μήτε παισὶ reliq. ‖ 4. οὕτω. οὕτως CM. — 40, 2. τὸ τυχὸν BCA, τὸ τειχὸν M, τὸ μικρὸν τυχὸν reliq., unde Casaub. τὸ μικρὸν ὕστερον (vel τὸ μικρὸν ὕστερον τυχὸν, et ἀναπαύσεσθαι). ‖ 7. οὐδ' C, οὐδέ γε reliq. ‖ εἰ μή γε mrg. mr, εἰ μή τε C, εἰ μή τι BM, μήτε m, εἰ μήτε v. ‖ 8. ἐπίστανται. ἐπίσταντα M. ‖ 9. ἐπιτείνεται Geel., ἐπιτείνεσθαι Iacobs., ἐπιγίνεσθαι CM (at γιγ in litura), ἐπιγίγνεται quondam Geel., ἐπιγίγνεσθαι reliq. — 41, 1. οὐ ῥᾴδιον μὲν γὰρ CM (corr. καὶ οὐ ῥᾴδιον μὲν), οὐ ῥᾴδιον μὲν B, καὶ οὐ ῥᾴδιον μὲν reliq. ‖ 3. φασίν BC. Wyttenb. ad Plut. p. 107 a, φησὶν reliq. ‖ 4. αὐτῷ. αὐτῷ M. ‖ 5. ἐκπλήττειν. ἢ πλήττειν M. — 42, 1. ἀφέλοι τὸ. ἀφέλοιτο M. ‖ 3. οὐ-

ται. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέ-
λαβον τὸ ἔργον· οἱ μὲν ἐν νηὶ χειμαζόμενοι οὐ περιέμειναν 213 R.
καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀπέσφαξαν, οἱ
δὲ πολεμίων περιειληφότων, σαφῶς εἰδότες, ὅτι οὐδὲν πεί-
43 σονται δεινότερον. τοῦτο δὴ τὸ χαλεπὸν ἀεὶ πάρεστι τοῖς
μονάρχοις, ὁμοίως μὲν ἡμέρας, ὁμοίως δὲ νυκτός. καὶ τοῖς 95 M.
μὲν καταδικασθεῖσιν ἡμέρα ῥητὴ πρόκειται, ἐν ᾗ δεῖ ἀποθνή-
σκειν· τοῖς δὲ καὶ τοῦτο ἄδηλον, εἴτε μετ' ὀλίγον, εἴτε ἤδη·
καὶ οὐδεὶς καιρὸς, οὐδὲ ὁ βραχύτατος, ἀπήλλακται τούτου
τοῦ δέους· ἀλλὰ καὶ ἐσθίοντα ἀνάγκη δεδιέναι καὶ θύοντα
44 τοῖς θεοῖς. εἰ δέ ποτε ἐπέλθοι παίζειν τοῖς τοιούτοις, καὶ
πρὸς ἀφροδισίοις γιγνόμενον, ἐὰν καὶ πάνυ τύχῃ ἐρῶν, μεμνῆ-
σθαι τοῦ θανάτου, ὡς τυχὸν ὑπ' αὐτῶν τῶν ἐρωμένων ἀπο-
λούμενον, καὶ συμπίνειν τούτῳ τῷ φόβῳ καὶ συγκαθεύδειν.
45 ὥστε μοι δοκεῖ τότε μόνον χαίρειν, ἐπειδὰν πληγῇ, ἀνὴρ
τύραννος, ὡς τοῦ μεγίστου κακοῦ ἀπηλλαγμένος. τὸ δὲ πάν-
των ἀτοπώτατον· οἱ μὲν γὰρ ἄλλοι ἴσασιν ἐν ταῖς ἀνιάτοις
γινόμενοι συμφοραῖς, ὥστε οὐ πολὺν χρόνον κακοπαθοῦσιν,
οἷς ἂν μὴ ἀδύνατον ᾖ τὸ ἀποθνήσκειν· οἱ δὲ τύραννοι τὰ
μέγιστα κακὰ ἔχοντες ἐν τοῖς μεγίστοις νομίζουσιν ἀγαθοῖς
εἶναι, οἶμαι, τῇ δόξῃ τῶν ἄλλων ἀνθρώπων ἐξηπατημένοι
46 τῶν ἀπείρων τοῦ πράγματος. καὶ ταύτην ὁ θεὸς αὐτοῖς τὴν 214 R.
ἄγνοιαν συνέζευξεν, ἵνα παραμένωσι κολαζόμενοι. δοκεῖ δὲ
τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ μὲν βίος ἀμείνων, ὁ
47 δὲ θάνατος διὰ τοῦτο λυπηρότερος. οἱ δὲ αὖ κακῶς ζῶντες
τὸν βίον δοκοῦσι δυσχερέστερον φέρειν, τὸν δὲ θάνατον ἥδιον

δὲν ἔτι CM (a corr.; prim. man. οὐδὲ ἔτι) var. l. v, οὐδὲ ἔτι reliq. ‖ 5. οὐ C, οὐδὲ Reisk., οὔτε reliq. ‖ 6. ναῦν. νᾶν C. ‖ αὐτοὺς. αὑτοὺς M. ‖ 7. περιειληφότων Obs. p. 14, παρειληφότων CM, προειληφότων reliq. — 43, 1. δὴ BCM, δὲ reliq. ‖ 4. ὀλίγον. ὀλίγων C. ‖ 5. οὐδὲ Iacobs., οὔτε reliq. (at in M τε in rasura). ‖ 6. ἐσθίοντα. ἑστιῶντα Geel. — 44, 1. παίζειν τοῖς τοιούτοις BCM, τοῖς τοιούτοις παίζειν reliq. ‖ 2. γιγνόμενον. οὗτος γιγνόμενος C. ‖ 3. ἀπολούμενον. ἀπολούμενος C. ‖ 4. συμπίνειν τούτῳ τῷ φόβῳ καὶ συγκαθεύδειν Geel. transponit post v, θύοντα τοῖς θεοῖς. idem τῷ φόβῳ mutat in τὸν φόβον. — 45, 1. μόνον Iacobs. Add. p. 321, om. C. Reisk., μὲν reliq. ‖ ἐπειδὰν BCM. Iacobs. Add. l. l., ἐπειδὴ reliq. ‖ 4. γινόμενοι. malim γενόμενοι (in M lit. ι in rasura est). ‖ 8. τῶν ἀπείρων τοῦ CM, τῶν ἀπείρων om. reliq. — 46, 1. καὶ ταύτην ὁ θεὸς αὐτοῖς. κατ' αὐτὴν ὁ θεὸς αὐτοῖς M, ὁ θεὸς γὰρ αὐτοῖς C, ταύτην αὐτοῖς ὁ θεὸς B. ‖ 4. διὰ τοῦτο om. B. — 47, 2. δοκοῦσι om. BM. ‖ ἥδιον C, ἡδεῖον M, ἤδη reliqui. haec sic scripta

προσδέχεσθαι. τοῖς δέ γε τυράννοις ἀμφότερα ταῦτα χαλε-
πώτερα ἢ τοῖς ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν
πάνυ ἐπιθυμούντων τεθνάναι, τὸν δὲ θάνατον οὕτω δεδοί-
48 κασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ. πεφυκότος δὲ τοῦ τὰ
μὲν ἡδέα μᾶλλον εὐφραίνειν, ὅταν ᾖ σπάνια, τοῖς δὲ συνεχῶς
χρωμένοις εἰς ἀηδίαν περιστασθαι, τὰ δὲ κακὰ χαλεπώτερα
εἶναι μηδέποτε ἀπαλλαττόμενα, σχεδὸν ἀμφότερα τοῖς τυράν-
νοις καὶ τὰ ἡδέα καὶ τὰ λυπηρὰ ἀεὶ πάρεστιν, ὡς λυπούμενον
μὲν μηδέποτε παύεσθαι σχεδὸν, ἡδόμενον δὲ μηδέποτε αἰσθά-
49 νεσθαι. δέδοικε δὲ ἀεί ποτε τῶν μὲν πλουσίων τὴν δύναμιν,
τῶν δὲ ἀπόρων τὴν ἐπιθυμίαν τοῦ πλούτου. μόνοις δὲ τοῖς
μονάρχοις τῶν μὲν εὖ παθόντων οὐδεὶς οἶδε χάριν· οὐδέποτε
γὰρ ἡγοῦνται τῶν ἱκανῶν τυγχάνειν· οἱ δὲ μὴ τυγχάνοντες 96 M.
50 ὧν βούλονται πάντων μάλιστα μισοῦσιν αὐτούς. καὶ μὴν
ἐπιφθονώτατος ἁπάντων ὁ πλεῖστα, κἂν δικαίως, ἔχων· ὥστε
οὐδεὶς τυράννου ἐπιφθονώτερός ἐστιν. πρὸς δὲ τούτοις ἀνάγκη
μὲν αὐτῷ χαρίζεσθαι τοῖς περὶ αὐτόν· εἰ δὲ μὴ, τάχιστα
ἀπολεῖται. χαρίζεσθαι δὲ πολλάκις πολλοῖς οὐ ῥάδιον μὴ
ἄλλων ἀφαιρούμενον. ἔχει δὴ καὶ τοὺς ἀφαιρεθέντας ἐχθροὺς 215 R.
καὶ τοὺς εἰληφότας ὑπόπτους καὶ ζητοῦντας ὅτι τάχιστα
ἀπηλλάχθαι. τὰ μὲν οὖν πόῤῥω διὰ τὸ πολὺ ἀφεστάναι
φοβεῖται, τὰ δὲ ἐγγὺς, ὅτι πλησίον ἐστὶν αὐτοῦ. καὶ παρὰ
μὲν τῶν μακρόθεν ὑφορᾶται πόλεμον, παρὰ δὲ τῶν ἐγγὺς
51 δόλον. καὶ τὴν μὲν εἰρήνην ἀσύμφορον νομίζει διὰ τὴν τῶν
ἀνθρώπων σχολὴν, τὸν δὲ πόλεμον, ὅτι ἀνάγκη τοὺς ὑπηκόους
ἐνοχλεῖν καὶ χρήματα πορίζοντα καὶ στρατεύεσθαι προσα-
ναγκάζοντα. τοιγαροῦν πολέμου μὲν ὄντος εἰρήνης ἐρῶσιν,
52 εἰρήνης δὲ γενομένης εὐθὺς μηχανῶνται πόλεμον. καὶ τοῦτο
μὲν τῶν ἐπιτηδείων ἀφθόνων ὄντων δεδοίκασι τοῦ πλήθους
τὴν ὕβριν, τοῦτο δὲ εἴ τις ἔνδεια καταλαμβάνοι, τὴν ὀργήν.
ἡγοῦνται δὲ μήτε ἀποδημεῖν ἀσφαλὲς μήτε μένειν μήτε προϊέ-

apud Stob. T. XLIX, 27, τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται Geel. — 48, 6. μηδέποτε παύεσθαι CM. var. l. v, μηδὲ παύσασθαι reliq. — 49, 4. μή. μήπω C, μήτε m. — 50, 2. κἂν. μὴ C, κἂν μὴ M (at μὴ obel. notat.). ‖ 3. τυράννου. τυράννους M. ‖ ἐστιν M, ἐστι reliq. ‖ 5. πολλοῖς. ἃ πολλοῖς (at ἃ obel. notat.) M. ‖ 6. ἄλλων. ἄλλον B. ‖ δή. sic dedi. δὲ reliq. ‖ 7. ὅτι. ὅτι καὶ B. ‖ 9. αὐτοῦ. αὐτῷ CM (corr. vulg.). — 52, 4. ἀσφαλὲς C, ἀσφαλῶς reliq.

ναι μήτ' ἔνδον διαιτᾶσθαι παρ' αὐτοῖς, ἀλλὰ μηδὲ ἐπιβαίνειν,
οὗ ἂν ἐπιβαίνωσιν, ἀσφαλῶς, ἅπαντα δὲ εἶναι μεστὰ ἐνέδρας
53 καὶ δόλων. ἀναλογίζεται δὲ ἕκαστος αὐτῶν καὶ τοὺς θανά-
τους τῶν τυράννων καὶ τὰς ἐπιβουλὰς, ὅσαι πώποτε γεγόνασι,
καὶ ξύμπαντα ταῦτα ἐπ' αὐτὸν εἶναι νομίζει, καὶ οὕτως ἔχει
περιφόβως, ὡς ξύμπαντας ἐκείνους τοὺς θανάτους ἀποθανού-
μενος· καὶ περιβλέπειν μὲν ἀεὶ καὶ περιστρέφεσθαι βούλεται,
πληγήσεσθαι πανταχόθεν οἰόμενος, αὐτὸ δὲ τοῦτο οὐκ ἔξεστι 216 R.
54 ποιεῖν ὑπὸ αἰσχύνης ἅμα καὶ φόβου· ὅσῳ γὰρ ἂν ἐνδηλότερος
ᾖ φοβούμενος ἀνὴρ τύραννος, τοσούτῳ μᾶλλον ἐπιβουλεύουσι
καταφρονοῦντες τῆς δειλίας. ἔστιν οὖν ὁ βίος ὅμοιος, ὥσπερ
εἴ τις καθείρξειέ τινα ἐν εἱρκτῇ μικρᾷ, τῶν μὲν ἄνωθεν ξιφῶν 91 M.
κρεμαμένων, τῶν δὲ κυκλόθεν περιπεπηγότων, καὶ τούτων
55 ἁπτομένων τοῦ χρωτός· οὕτως οὐ τῷ σώματι μόνον, ἀλλὰ
καὶ τῇ ψυχῇ τοῦ τυράννου περιπέπηγε τὰ ξίφη, ὥστε τὸν ἐν
ᾅδου Τάνταλον, ὅν φασι

κεφαλῆς ὑπερτέλλοντα δειμαίνειν πέτρον,

πολὺ ῥᾷον διάγειν. οὐ γὰρ δὴ ἔτι φοβεῖται ὁ Τάνταλος μὴ
ἀποθάνῃ· τῷ δὲ τυράννῳ ζῶντι τοῦτο ξυμβέβηκεν, ὃ ἐκείνῳ
56 νεκρῷ λέγουσιν. ὅσοι μὲν οὖν μιᾶς γεγόνασι τύραννοι πόλεως
ἢ χώρας ὀλίγης, τούτοις δὲ οὐκ ἀδύνατον ἀποδράντας ἐκ τῆς
ἀρχῆς καὶ ἀλλαχόσε ποι καταφυγόντας ζῆν· καίτοι οὐδεὶς
ἄνδρα ἀγαπᾷ τύραννον, ἀλλὰ μισοῦσί τε καὶ ὑποπτεύουσι
καὶ ῥᾳδίως ἐκδιδόασι τοῖς ἠδικημένοις· ὅσοι δὲ πολλῶν πόλεων
ἄρχουσι καὶ ἐθνῶν καὶ ἀπείρου γῆς, ὥσπερ ὁ τῶν Περσῶν
βασιλεύς, τούτοις δέ, οὐδ' ἂν ποτε παραστῇ συνεῖναι τῶν κα- 217 R.
κῶν κἂν θεῶν τις ἀφέλῃ τὴν ἄγνοιαν αὐτῶν, οὐ δυνατὸν

5. μήτ' CM, μήτε reliq. ‖ αὐταῖς. sic dedi. αὐτοῖς reliq. ‖ 6. μεστὰ mrg. mr, μετὰ reliq. — 53, 1. θανάτους. θανόντας C. ‖ 2. ὅσαι. ὅσα M. v. ‖ 5. βούλεται CM (corr. βουλεύεται). Casaub., βουλεύεται reliq. ‖ 6. πληγήσεσθαι πανταχόθεν CM, δὲ πληγήσεσθαι πανταχόθεν B, δὲ πανταχόθεν πληγήσεσθαι reliqui (δὲ delebat Casaub.). — 54, 1. ἐνδηλότερος BM (corr. ἐνδειλότερος). r, ἐνδειλότερος A, ἐν δειλότερος v, ἀδηλότερος C. — 55, 1. οὕτως οὐ BCM, οὕτως om. reliq., unde οὐ γὰρ Reisk. ‖ 2. καὶ τῇ. καὶ om. C, in M a corr. add. ‖ τὰ ξίφη. τὰ om. BM. ‖ 4. δειμαίνειν. δειμαίνων B. ‖ 5. ῥᾷον BCM. Reisk., ῥᾴδιον reliq. ‖ 6. ἀποθάνῃ. ἀποθάνοι C. — 56, 2. ἀποδράντας C, ἀποδιδράσκειν Iacobs., ἀποδράσειν reliq. ‖ 3. καὶ om. C, in M a corr. add. ‖ ζῆν in M mrg. adscript. ‖ 7. τούτοις δὲ BCM, δὲ om. reliq. ‖ οὐδ' ἂν C, οὐδὲ ἂν reliq. ‖ παραστῇ. παρ' αὐτῇ M. ‖ 8. ἀφέλῃ BCM, ἀφέλοι reliq.

Digitized by Google

57 *ἐκφυγεῖν. δοκεῖ δὲ οὐδέποτε ἂν ἀσφαλῶς ζῆν, οὐδ' εἰ χαλ-*
κοῦς ἢ σιδηροῦς γένοιτο, ἀλλὰ καὶ οὕτως ἂν κατακοπεὶς ἢ
καταχωνευθεὶς ἀπολέσθαι. ἐὰν μὲν οὖν τις αὐτῷ διαλέγηται
θαῤῥῶν, ὁ δὲ ὀργίζεται καὶ δέδοικε τὴν παῤῥησίαν· ἐὰν δὲ
θεραπεύων καὶ ὑποκατακλινόμενος, ὑποπτεύει τὴν θεραπείαν.
58 *καὶ ὑπὸ μὲν τῶν ἐλευθερίως προσερχομένων οἴεται ὑβρίζε-*
σθαι, ὑπὸ δὲ τῶν ταπεινοτέρως ἐξαπατᾶσθαι. καὶ λοιδορού-
μενος πολλαπλασίως ἀνιᾶται ἢ ἄλλος, ὅτι δὴ τύραννος ὢν
ἀκούοι κακῶς, ἐπαινούμενος δὲ οὐχ ἥδεται. οὐ γὰρ φρονοῦν-
59 *τας οὕτως οἴεται λέγειν. τοῦ δὲ καλλίστου καὶ λυσιτελεστά-*
του κτήματος ἁπάντων ἐστὶν ἀπορώτατος, εὐνοίας καὶ φιλίας.
ἐλπίσαι δὲ οὐδὲν δύναται παρ' οὐδενός, ἀλλὰ πρότερον τοὺς
ἀγρίους λέοντας οἱ τρέφοντες ἀγαπήσουσιν ἢ τοὺς τυράννους
60 *οἱ θεραπεύοντες καὶ προσιόντες. ἐγὼ δὲ βαδίζω μὲν ὅποι*
βούλομαι νύκτωρ, βαδίζω δὲ μεθ' ἡμέραν μόνος, θαῤῥῶ δέ,
εἰ δέοι, καὶ διὰ στρατοπέδου πορευόμενος ἄνευ κηρυκείου καὶ
διὰ λῃστῶν· οὐδεὶς γάρ ἐμοὶ πολέμιος οὐδ' ἐχθρός ἐστι βαδί- 98 M. 216
ζοντι. ἂν δὲ ἅπας μὲν ἐκλίπῃ ὁ χρυσός, ἅπας δὲ ὁ ἄργυρος, ἅπας
61 *δὲ ὁ χαλκός, οὐκ ἂν ἐγὼ βλαβείην οὐδὲ μικρόν. ἂν δὲ ἅπασαι*
μὲν αἱ οἰκίαι πέσωσιν ὑπὸ σεισμοῦ, καθάπερ ἐν Σπάρτῃ ποτέ,
καὶ πάντα διαφθαρῇ τὰ πρόβατα, ὡς μηδένα ἐσθῆτος εὐπο-
ρῆσαι, μὴ μόνον δὲ τὴν Ἀττικήν, ἀλλὰ καὶ Βοιωτίαν καὶ
Πελοπόννησον καὶ Θετταλίαν ἀπορία καταλάβῃ, ὥσπερ ἤδη
πρότερόν φασιν, οὐδὲν ἐγὼ χεῖρον οὐδὲ ἀπορώτερον βιώσομαι.
62 *παρὰ πόσον μὲν γὰρ ἔσομαι γυμνότερος τοῦ νῦν, πόσῳ δὲ*
ἀοικότερος; ἱκανὰ δέ μοι τροφὴν παρασχεῖν καὶ μῆλα καὶ

57, 1. *ἂν* om. C. ‖ 3. *καταχωνευθείς. καταχονευθεὶς* B, *καταχὼν εὐθείας* (mrg. vulg.) M. ‖ 4. *θαῤῥῶν. παῤῥῶν* m. ‖ 5. *ὑποκατακλινόμενος. ὑποκλινόμενος* C, *ὑπερκλινόμενος* m. — 58, 1. *ἐλευθερίως* BC. Casaub. r, *ἐλευθερίων* reliq. ‖ 2. *ταπεινοτέρως* Casaub. r, *ταπεινοτέρων* reliq. ‖ 3. *ἢ ἄλλος* CM (at *ἢ* obel. notat.), *ἄλλως* reliq., unde *ἄλλων* Reisk. ‖ *τύραννος ὤν. τυραννουσῶν* M. ‖ 4. *ἐπαινούμενος. ὑπαινούμενος* r. — 59, 3. *πρότερον* Reisk., *πρότερον ἂν* C, *πρότερον οἱ* reliq. ‖ 4. *οἱ τρέφοντες* Reisk., *οἱ* om. reliq. ‖ *ἀγαπήσουσιν. ἀγαπήσωσιν* C. ‖ *ἢ τοὺς* B, *ἢ γοῦν* C, *ἢ* reliq. — 60, 2. *βούλομαι. βουλομαί φησι* C. ‖ *θαῤῥῶ* C. Reisk., *θαῤῥῶν* reliq. ‖ 3. *κηρυκείου. κηρυκίου* BM. ‖ 4. *οὐδ'* M, *οὐδὲ* reliq. ‖ 5. *μὲν* B, om. reliq. — 61, 1. *ἄν. ἐὰν* CM. ‖ 2. *σεισμοῦ* BC. Anonym. apud Reisk. r, *σισμοῦ* M, *σεισμὸν* vm. ‖ 3. *διαφθαρῇ. διεφθαρῇ* M. ‖ 5. *ἀπορία* BCM. Anonym. apud. Reisk. r, *ἀπορίᾳ* vm. — 62, 2. *ἀοικότερος. ἀοικότερος τοῦ νῦν* C. ‖ *μῆλα. μᾶλα* v.

κέγχροι καὶ κριθαὶ καὶ ὄροβοι καὶ τὰ εὐτελέστατα τῶν ὀσπρίων καὶ φηγὸς ὑπὸ τῇ τέφρᾳ, καὶ ὁ τῆς κρανείας καρπὸς, ᾧ φησιν Ὅμηρος εὐωχεῖν τοὺς τοῦ Ὀδυσσέως ἑταίρους τὴν Κίρκην· ὑφ᾽ ὧν ἀντέχει τρεφόμενα καὶ τὰ μέγιστα θηρία.

ΛΟΓΟΣ ζ.

ΕΥΒΟΙΚΟΣ Η ΚΥΝΗΓΟΣ.

1 *Τόδε μὴν αὐτὸς ἰδὼν, οὐ παρ᾽ ἑτέρων ἀκούσας διηγή-* 219 R.
σομαι. ἴσως γὰρ οὐ μόνον πρεσβυτικὸν πολυλογία καὶ τὸ
μηδένα διωθεῖσθαι ῥᾳδίως τῶν ἐμπιπτόντων λόγων, πρὸς δὲ
τῷ πρεσβυτικῷ τυχὸν ἂν εἴη καὶ ἀλητικόν. αἴτιον δὲ, ὅτι
πολλὰ τυχὸν ἀμφότεροι πεπόνθασιν, ὧν οὐκ ἀηδῶς μέμνην-
ται. ἐρῶ δ᾽ οὖν, οἵοις ἀνδράσι καὶ ὅντινα βίον ζῶσι συνέ-
2 *βαλον ἐν μέσῃ σχεδόν τι τῇ Ἑλλάδι. ἐτύγχανον μὲν ἀπὸ Χίου*
περαιούμενος μετά τινων ἁλιέων ἔξω τῆς θερινῆς ὥρας ἐν
μικρῷ παντελῶς ἀκατίῳ. χειμῶνος δὲ γενομένου χαλεπῶς 220 R.
καὶ μόλις διεσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας. τὸ μὲν δὴ
ἀκάτιον εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς ἐκβαλόν-
τες διέφθειραν, αὐτοὶ δὲ ἀπεχώρησαν πρός τινας πορφυρεῖς
ὑφορμοῦντας ἐπὶ τῇ πλησίον χηλῇ, κἀκείνοις συνεργάζεσθαι

2. ὄροβοι. ὄρεβοι C. ‖ καὶ τὰ C, καὶ om. reliq. (at M in litura). ‖ 4. φηγός. φυγὸς M. ‖ τῇ τέφρᾳ. τὴν τέφραν C, in M vulg., at in litura. ‖ κρανείας. κρανίας M. ‖ ᾧ Reisk. conf. Od. 10, 242, ἣ (corr. ὧν) C, ἣ M, ἣ m, ἣ reliq. ‖ 6. ἀντέχει. ἀντέχειν M. ‖ μέγιστα. μεγάλα A.

Orat. VII. Collati sunt BCMI. (usque ad § 44). N (usque ad § 124). — 1, 1. τόδε CA. Casaub., τό γε BM (corr. τὸ δὲ). L, τὸ δὲ reliq. ‖ 3. διωθεῖσθαι. διαιρεῖσθαι C. ‖ λόγων. λέγων N. ‖ 4. πρεσβυτικῷ BML. Wyttenb. ad Plut. Mor. p. 767 Oxon., πρεσβυτέρῳ reliq. ‖ 5. ἀμφότεροι CM, οἱ πρεσβύτεροι reliq. ‖ 6. συνέβαλον. συνέβαλλον N. ‖ 7. σχεδόν τι BM, τι om. reliq. — 2, 1. μὲν CM (corr. μὲν οὖν), μὲν οὖν reliq. ‖ Χίου. χείου M. ‖ 4. μὲν δή. δὴ om. C. ‖ 6. ἀπεχώρησαν. ὑπεχώρησαν BL.

3 διενοοῦντο αὐτοῦ μένοντες. καταλειφθεὶς δὴ μόνος, οὐκ ἔχων 99. M.
εἰς τίνα πόλιν σωθήσομαι, παρὰ τὴν θάλατταν ἄλλως ἐπλανώμην, εἴ πού τινας ἢ παραπλέοντας ἢ ὁρμοῦντας ἴδοιμι. προεληλυθὼς δὲ συχνὴν ἀνθρώπων μὲν οὐδένα ἑώρων, ἐπιτυγχάνω δὲ ἐλάφῳ νεωστὶ κατὰ τοῦ κρημνοῦ πεπτωκότι, παρ' αὐτὴν τὴν ῥαχίαν ὑπὸ τῶν κυμάτων παιομένῳ, φυσῶντι ἔτι. καὶ μετ' ὀλίγον ἔδοξα ὑλακῆς ἀκοῦσαι κυνῶν ἄνωθεν μόλις
4 πως διὰ τὸν ἦχον τὸν ἀπὸ τῆς θαλάττης. προελθὼν δὲ καὶ προσβὰς πάνυ χαλεπῶς πρός τι ὑψηλὸν τούς τε κύνας ὁρῶ ἠπορημένους καὶ διαθέοντας· ὑφ' ὧν εἴκαζον ἀποβιασθὲν τὸ ζῶον ἀλέσθαι κατὰ τοῦ κρημνοῦ· καὶ μετ' ὀλίγον ἄνδρα κυνηγέτην ἀπὸ τῆς ὄψεως καὶ τῆς στολῆς, τὰ γένεια ὑγιῆ, 221 R.
κομῶντα οὐ φαύλως οὐδὲ ἀγεννῶς ἐξόπισθεν· οἵους ἐπὶ Ἴλιον Ὅμηρός φησιν ἐλθεῖν Εὐβοέας, σκώπτων, ἐμοὶ δοκεῖν, καὶ καταγελῶν, ὅτι τῶν ἄλλων Ἀχαιῶν καλῶς ἐχόντων οἱ δὲ ἐξ
5 ἡμίσους ἐκόμων. καὶ ὃς ἀνηρώτα με· ἀλλ' ἦ, ὦ ξένε, τῇδέ πῃ φεύγοντα ἔλαφον κατενόησας; κἀγὼ πρὸς αὐτόν· ἐκεῖνος, ἔφην, ἐν τῷ κλύδωνι ἤδη· καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας οὖν αὐτὸν ἐκ τῆς θαλάττης τό τε δέρμα ἐξέδειρε μαχαίρᾳ κἀμοῦ ξυλλαμβάνοντος, ὅσον οἷός τε ἦν, καὶ τῶν σκελῶν ἀποτεμὼν τὰ ὀπίσθια ἐκόμιζεν ἅμα τῷ δέρματι. παρεκάλει δὲ κἀμὲ
6 συνακολουθεῖν καὶ συνεστιᾶσθαι τῶν κρεῶν. εἶναι δὲ οὐ μακρὰν τὴν οἴκησιν. ἔπειτα ἕωθεν παρ' ἡμῖν, ἔφη, κοιμηθεὶς ἥξεις ἐπὶ τὴν θάλατταν· ὡς τά γε νῦν οὐκέτι πλώϊμα. καὶ μὴ τοῦτο, εἶπε, φοβηθῇς. βουλοίμην δ' ἂν ἔγωγε καὶ μετὰ 222 R.

3, 1. καταλειφθεὶς BL. Reisk., καταλιφθεὶς M, καταληφθεὶς reliq. ‖ 2. εἰς τίνα. εἴς τινα MN, malim ἢ εἴς τινα. ‖ 3. εἴ που. ἤπου B. ‖ 4. δὲ. δὴ BML. ‖ συχνὴν. συχνὸν MLN. ‖ ἐπιτυγχάνω. ἐπιτυγχάνῃ C. ‖ 5. δὲ. δ' M. ‖ 6. ῥαχίαν. ῥάχην C. ‖ 7. μόλις. μόλις δὲ Reisk. — 4, 1. δὲ καὶ. καὶ om. C. ‖ 2. προσβὰς Selden., προβὰς reliq. ‖ ὁρῶ CML. Reisk., ὁρῶν reliq. ‖ 4. ἀλέσθαι. ἀλᾶσθαι L. ‖ 5. τῆς στολῆς. τῇ στολῇ M. ‖ 6. ἀγεννῶς. ἀγενῶς L. ‖ 7. Ὅμηρός φησιν BCML, φησιν Ὅμηρος reliq. ‖ Εὐβοέας. εὐβοίας L. ‖ σκώπτων. σκόπτων N. vm. ‖ δοκεῖν. δοκεῖ CM. ‖ 8. δὲ. δέον C, malim δὲ μόνον. — 5, 1. ἀλλ' ἦ ὦ ξένε corr. M (prim. man. ἀλλ ὦ ξεῖνε) N. Pflugk., ἀλλ' ἢ ὦ ξένε reliq. ‖ τῇδέ πῃ Pflugk., τῇδέ που reliq. ‖ 3. ἔφην. ἔφη L. ‖ ἐν. ἐνὶ M. ‖ 5. ξυλλαμβάνοντος. ξυλαμβάνοντος L. ‖ ὅσον. οἷον C. ‖ ἀποτεμὼν τὰ BCMLN. Casaub. r, ἀποτεμῶντα v, ἀποτεμόντα m. ‖ 7. συνακολουθεῖν. ξυνακολουθεῖν L. ‖ συνεστιᾶσθαι. ξυνεστιᾶσθαι L. — 6, 2. παρ' ἡμῖν, ἔφη BCM, ἔφη, παρ' ἡμῖν reliq. ‖ 3. οὐκέτι πλώϊμα. οὐκ ἔτι πλόϊμα B, οὐκ ἔστι πλόϊμα M. ‖ 4. εἶπε. εἶπεν M, εἶπον BAL ‖ φοβηθῇς. φοβηθεὶς AL. m. ‖ βουλοί-

πέντε ἡμέρας λῆξαι τὸν ἄνεμον· ἀλλ' οὐ ῥᾴδιον, εἶπεν, ὅταν
οὕτω πιεσθῇ τὰ ἄκρα τῆς Εὐβοίας ὑπὸ τῶν νεφῶν, ὥς γε
νῦν κατειλημμένα ὁρᾷς. καὶ ἅμα ἠρώτα με, ὁπόθεν δὴ καὶ
ὅπως ἐκεῖ κατηνέχθην, καὶ εἰ μὴ διεφθάρη τὸ πλοῖον. μικρὸν 100 M.
ἦν παντελῶς, ἔφην, ἁλιέων τινῶν περαιουμένων, κἀγὼ μόνος
ξυνέπλεον ὑπὸ σπουδῆς τινος. διεφθάρη δ' ὅμως ἐπὶ τὴν γῆν
7 ἐκπεσόν. οὔκουν ῥᾴδιον, ἔφη, ἄλλως. ὅρα γάρ, ὡς ἄγρια
καὶ σκληρὰ τῆς νήσου τὰ πρὸς τὸ πέλαγος. ταῦτ', εἶπεν,
ἐστὶ τὰ κοῖλα τῆς Εὐβοίας λεγόμενα, ὅπου κατενεχθεῖσα
ναῦς οὐκ ἂν ἔτι σωθείη· σπανίως δὲ σῴζονται καὶ τῶν ἀν-
θρώπων τινές, εἰ μὴ ἄρα, ὥσπερ ὑμεῖς, ἐλαφροὶ παντελῶς 223 R.
πλέοντες. ἀλλ' ἴθι καὶ μηδὲν δείσῃς. νῦν μὲν ἐκ τῆς κακο-
παθείας ἀνακτήσῃ σαυτόν· εἰσαύριον δέ, ὅ τι ἂν ᾖ δυνατόν,
8 ἐπιμελησόμεθα, ὅπως σωθῇς, ἐπειδή σε ἔγνωμεν ἅπαξ. δοκεῖς
δέ μοι τῶν ἀστικῶν εἶναί τις, οὐ ναύτης οὐδ' ἐργάτης, ἀλλὰ
ἄλλην τινὰ ἀσθένειαν τοῦ σώματος ἀσθενεῖν ἔοικας ἀπὸ τῆς
ἰσχνότητος. ἐγὼ δὲ ἄσμενος ἠκολούθουν. οὐ γὰρ ἐπιβου-
9 λευθῆναί ποτε ἔδεισα, οὐδὲν ἔχων ἢ φαῦλον ἱμάτιον. καὶ
πολλάκις μὲν δὴ καὶ ἄλλοτε ἐπειράθην ἐν τοῖς τοιούτοις και-
ροῖς, ἅτε ἐν ἄλῃ συνεχεῖ, ἀτὰρ οὖν δὴ καὶ τότε, ὥς ἐστι
πενία χρῆμα τῷ ὄντι ἱερὸν καὶ ἄσυλον, καὶ οὐδεὶς ἀδικεῖ, πολύ
γε ἧττον ἢ τοὺς τὰ κηρύκεια ἔχοντας. ὡς δὴ καὶ τότε θαῤ-
10 ῥῶν εἰπόμην [ἅτε ἔχων οὐδὲν ἢ φαῦλον ἱμάτιον]. ἦν δὲ σχε-
δόν τι περὶ τὰ τετταράκοντα στάδια πρὸς τὸ χωρίον. ὡς οὖν 224 R.
ἐβαδίζομεν, διηγεῖτό μοι κατὰ τὴν ὁδὸν τὰ αὑτοῦ πράγματα

μην. βουλόμην m. ‖ 5. ἀλλ' οὐ. ἀλλὰ N. ‖ 6. οὕτω. οὕτως M. ‖ 8. κατηνέχθην. κατηνέχθη L. ‖ καὶ εἰ μή. καὶ οἷόν μοι Casaub. ‖ 9. ἁλιέων. λιέων M. ‖ 10. ξυνέπλεον BLN. Reisk., συνέπλεον CM, ξυνέπλον v, ξυνέπλουν reliq. — 7, 1. οὔκουν. οὐκοῦν N, οὐκ ἦν AL. Selden. ‖ 2. νήσου. νόσου N. ‖ ταῦτ' CM (corr. καὶ ταῦτ'), καὶ ταῦτα N, καὶ ταῦτ' reliq. ‖ 5. ὑμεῖς. ἡμεῖς vm. ‖ ἐλαφροί. ἐλαφρὸν L. ‖ 6. δείσῃς. δείσας (vel in proximis νῦν μὲν γὰρ) Reisk. ‖ κακοπαθείας. κακοπαθίας M. ‖ 7. εἰσαύριον. εἰς αὔριον B. ‖ 8. ἐπιμελησόμεθα CML, ἐπιμεληθησόμεθα reliq. — 8, 1. δοκεῖς. δοκεῖ L. ‖ 2. ἀστικῶν BCMLN. v, ἀστυκῶν reliq. ‖ 3. τῆς. του N. — 9, 2. τοιούτοις. οὕτοις C. ‖ 3. ἄλῃ. ἄλῃ B, ἄλη M. ‖ ἀτὰρ MN, αὐτὰρ reliq. ‖ 4. ἀδικεῖ BCMAN, ἀδικεῖ πένητας reliq. ‖ πολύ γε BCMLA, οὐδέν γε reliq. ‖ 5. κηρύκεια. καρύκια BCL. ‖ ἔχοντας. εἰ ὄντες C. ‖ ὡς BML. Anonym. apud Reisk., τοὺς C, οἷς Reisk., ὃς reliq. ‖ 6. [ἅτε ἔχων οὐδὲν ἢ φαῦλον ἱμάτιον] delenda esse vidit Reisk. — 10, 2. περὶ τὰ om. M, τὰ om. B. ‖ 3. αὐτοῦ. αὑτοῦ BMN.

καὶ τὸν βίον, ὃν ἔζη μετὰ γυναικὸς αὑτοῦ καὶ παιδίων. ἡμεῖς
γάρ, ἔφη, δύο ἐσμὲν, ὦ ξένε, τὸν αὐτὸν οἰκοῦντες τόπον.
ἔχομεν δὲ γυναῖκας ἀλλήλων ἀδελφὰς καὶ παῖδας ἐξ αὐτῶν
11 υἱοὺς καὶ θυγατέρας. ζῶμεν δὲ ἀπὸ θήρας ὡς τὸ πολὺ, μι-
κρόν τι τῆς γῆς ἐπεργαζόμενοι. τὸ γὰρ χωρίον οὐκ ἔστιν
ἡμέτερον, οὔτε πατρῷον οὔτε ἡμεῖς ἐκτησάμεθα. ἀλλὰ ἦσαν
οἱ πατέρες ἡμῶν ἐλεύθεροι μὲν, πένητες δὲ οὐ χεῖρον ἡμῶν,
μισθοῦ βουκόλοι, βοῦς νέμοντες ἀνδρὸς μακαρίου τῶν ἐνθένδε
τινὸς ἐκ τῆς νήσου, πολλὰς μὲν ἀγέλας καὶ ἵππων καὶ βοῶν
κεκτημένου, πολλὰς δὲ ποίμνας, καλοὺς δὲ καὶ πολλοὺς ἀγροὺς, 101 M.
12 πολλὰ δὲ καὶ ἄλλα χρήματα, ξύμπαντα δὲ ταῦτα τὰ ὄρη. οὗ
δὴ ἀποθανόντος καὶ τῆς οὐσίας δημευθείσης· φασὶ δὲ καὶ
αὐτὸν ἀπολέσθαι διὰ τὰ χρήματα ὑπὸ τοῦ βασιλέως· τὴν μὲν
ἀγέλην εὐθὺς ἀπήλασαν, ὥστε κατακόψαι, πρὸς δὲ τῇ ἀγέλῃ
καὶ τὰ ἡμέτερα ἄττα βοΐδια. καὶ τὸν μισθὸν οὐδεὶς ἀποδέ-
13 δωκεν. τότε μὲν δὴ ἐξ ἀνάγκης αὐτοῦ κατεμείναμεν, οὗπερ
ἐτύχομεν τὰς βοῦς ἔχοντες καί τινας σκηνὰς πεποιημένοι καὶ
αὐλὴν διὰ ξύλων, οὐ μεγάλην οὐδὲ ἰσχυρὰν, μόσχων ἕνεκεν, 225 R.
ὡς ἂν οἶμαι πρὸς αὐτό που τὸ θέρος. τοῦ μὲν γὰρ χειμῶ-
νος ἐν τοῖς πεδίοις ἐνέμομεν, νομὴν ἱκανὴν ἔχοντες καὶ πολὺν
χιλὸν ἀποκείμενον, τοῦ δὲ θέρους ἀπηλαύνομεν εἰς τὰ ὄρη.
14 μάλιστα δ' ἐν τούτῳ τῷ τόπῳ τὸν σταθμὸν ἐποιοῦντο. τό τε
γὰρ χωρίον ἀπόρρυτον, ἑκατέρωθεν δὲ φάραγξ βαθεῖα καὶ
σύσκιος, καὶ διὰ μέσου ποταμὸς οὐ τραχὺς, ἀλλ' ὡς ῥᾷστος
ἐμβῆναι καὶ βουσὶ καὶ μόσχοις, τὸ δὲ ὕδωρ πολὺ καὶ καθα-
ρὸν, ἅτε τῆς πηγῆς ἐγγὺς ἀναδιδούσης. καὶ πνεῦμα τοῦ
θέρους ἀεὶ διαπνέον διὰ τῆς φάραγγος. οἵ τε περικείμενοι
δρυμοὶ μαλακοὶ καὶ κατάρρυτοι, ἥκιστα μὲν οἶστρον τρέφον-

4. παιδίων CM, παίδων reliq. ‖ 5. δύο CM (corr. δύ'), δύ' reliq. — 11, 1. ζῶμεν. θῶμεν N. ‖ 4. οὐ χεῖρον BML, καὶ ἧττον τὸ οὐ χεῖρον C, οὐχ ἧττον reliq. ‖ 7. ἀγροὺς om. L. ‖ 8. δὲ καὶ C. Reisk., καὶ om. reliq. — 12, 4. ἀπήλασαν. ἀπήλλασαν N. ‖ 5. ἄττα. τὰ CM. ‖ ἀποδέδωκεν. sic dedi. ἀποδίδωκε C, ἀπέδωκεν M, ἀπέδωκε reliq. — 13, 3. ἰσχυράν. var. l. v eandem vocem repetit ut diversam scripturam. ‖ 6. χιλὸν. χηλὸν B, χειλὸν M. ‖ 7. τὸν om. M. — 14, 1. τό τε Pflugk., τό γε M, τότε reliq. ‖ 2. ἀπόρρυτον. ἀπόρρητον LA, ἐπίρρυτον Morell., sic vel κατάρρυτον Casaub. ‖ δὲ om. M. ‖ φάραγξ. φάραξ L. ‖ βαθεῖα. βαθία M. ‖ 4. ἐμβῆναι. ἐκβῆναι B. ‖ 5. πνεῦμα τοῦ. πνεύματα Reisk. ‖ 6. διαπνέον BCMN, διαπνέων L, διαπνέοντα reliq. ‖ 7. μαλακοί. μακροὶ LA. ‖ τρέφοντες. φέροντες C. ‖ 8. τινά om. L.

15 τες, ἥκιστα δὲ ἄλλην τινὰ βλάβην βουσί. πολλοὶ δὲ καὶ πάγ-
καλοι λειμῶνες ὑπὸ ὑψηλοῖς τε καὶ ἀραιοῖς δένδρεσιν ἀνειμέ-
νοι. καὶ πάντα μεστὰ βοτάνης εὐθαλοῦς δι' ὅλου τοῦ θέρους, 226 R.
ὥστε μὴ πολὺν πλανᾶσθαι τόπον. ὧν δὴ ἕνεκα συνήθως ἐκεῖ
καθίστασαν τὴν ἀγέλην. καὶ τότε ἔμειναν ἐν ταῖς σκηναῖς,
μέχρι ἂν εὕρωσι μισθόν τινα ἢ ἔργον, καὶ διετράφησαν ἀπὸ
χωρίου σμικροῦ παντελῶς, ὃ ἔτυχον εἰργασμένοι πλησίον τοῦ
16 σταθμοῦ. τοῦτο ἐπήρκεσεν αὐτοῖς ἱκανῶς, ἅτε κόπρου πολ-
λῆς ἐνούσης. καὶ σχολὴν ἄγοντες ἀπὸ τῶν βοῶν πρὸς θήραν
ἐτράπησαν, τὸ μὲν αὐτοί, τὰ δὲ καὶ μετὰ κυνῶν. δύο γὰρ
τῶν ἑπομένων ταῖς βουσίν, ὡς δὴ μακρὰν ἦσαν οὐχ ὁρῶντες
τοὺς νομεῖς, ὑπέστρεψαν ἐπὶ τὸν τόπον καταλιπόντες τὴν
ἀγέλην. οὗτοι τὸ μὲν πρῶτον συνηκολούθουν αὐτοῖς, ὥσπερ 102 M.
ἐπ' ἄλλο τι· καὶ τοὺς μὲν λύκους ὁπότε ἴδοιεν ἐδίωκον μέχρι
17 τινός, συῶν δὲ ἢ ἐλάφων οὐδὲν αὐτοῖς ἔμελεν. εἰ δέ ποτε
ἴδοιεν τῶν ἀνθρώπων τινὰ ὀψὲ καὶ πρωΐ, συνιστάμενοι ὑλά-
κτουν τε καὶ ἤμυνον, ὥσπερ ἂν εἰ πρὸς ἄνθρωπον ἐμάχοντο.
γευόμενοι δὲ τοῦ αἵματος καὶ συῶν καὶ ἐλάφων καὶ τῶν
κρεῶν πολλάκις ἐσθίοντες, ὀψὲ μεταμανθάνοντες κρέασιν 227 R.
ἀντὶ μάζης ἥδεσθαι, τῶν μὲν ἐμπιπλάμενοι, εἴ ποτε ἁλῴη τι,
[σίτου,] ὁπότε δὲ μή, πεινῶντες, μᾶλλον ἤδη τῷ τοιούτῳ προσ-
εῖχον, καὶ τὸ φαινόμενον ἐδίωκον πᾶν ὁμοίως, καὶ ὀσμῆς
ἁμηγέπη καὶ ἴχνους ᾐσθάνοντο, καὶ ἀπέβησαν ἀντὶ βουκό-
λων τοιοῦτοί τινες ὀψιμαθεῖς καὶ βραδύτεροι θηρευταί.
18 χειμῶνος δὲ ἐπελθόντος ἔργον μὲν οὐδὲν ἦν πεφηνὸς αὐτοῖς

15, 1. πολλοὶ δὲ. δὲ om. L. ‖ 2. ἀραιοῖς. ἀρέοις M. ‖ 4. πολύν. πολὺ C. ‖ 5. καθίστασαν BCM. Reisk., καθίσασαν L, καθίστασαν reliq. ‖ 6. μέχρι. μέχρις N. ‖ 7. σμικροῦ B, μικροῦ reliq. — 16, 1. τοῦτο. τοῦτό γε BL, τοῦτό τε M. ‖ ἐπήρκεσεν. ἐπήρκεσαν C. ‖ 2. ἀπὸ τῶν CMLN, τῶν om. reliq. ‖ 3. τὸ μὲν—τὰ δὲ. aut τὸ μὲν—τὸ δὲ aut τὰ μὲν—τὰ δὲ Reisk. ‖ 5. νομεῖς. νομῆς M. ‖ ὑπέστρεψαν BCL, ὑπέτρεψαν M, ἐπέστρεψαν reliq. — 17, 2. ἴδοιεν. ἴδοιε L. ‖ τῶν ἀνθρώπων τινὰ delet Geel. ceteris servatis, ἐν τῷ ἀγρῷ τινα Pflugk. p. 12. ‖ τινά. τινάς B. ‖ συνιστάμενοι. συνιστάμενον L. ‖ 3. πρὸς ἄνθρωπον. ἄνθρωπος πρὸς ἄνθρωπον mrg. m, πρὸς θηρίον Pflugk. p. 29. ‖ 4. γευόμενοι. σευόμενοι L. ‖ τοῦ. που Iacobs. ‖ 5. ὀψὲ μεταμανθάνοντες BML, om. C, ὀψὲ μεταμαθόντες reliq. ‖ 6. μάζης. μάξης M. ‖ εἰ CM (corr. καὶ εἰ). vmr, καὶ εἰ BLA. ‖ τι BLA. Iacobs. Add. p. 89, τις reliq. ‖ 7. [σίτου] delendum. conf. Obs. p. 14 (Iacobs. l. l. ἐσιτοῦντο ὅτε pro σίτου ὁπότε), τοιοῦτον Pflugk. p. 12. ‖ μή, πεινῶντες. πεινῶντες M, πεινῶντες εἶεν C. ‖ 10. ὀψιμαθεῖς. ὀψειμαθεῖς M. ‖ βραδύτεροι. βραδύτερον L.

οὔτε εἰς ἄστυ καταβᾶσιν οὔτε εἰς κώμην τινά. φραξάμενοι
δὲ τὰς σκηνὰς ἐπιμελέστερον καὶ τὴν αὐλὴν πυκνοτέραν ποιή-
σαντες, οὕτω διεγένοντο, καὶ τὸ χωρίον ἐκεῖνο πᾶν εἰργά-
19 σαντο, καὶ τῆς θήρας ἡ χειμερινὴ ῥάων ἐγίγνετο. τὰ γὰρ
ἴχνη φανερώτερα, ὡς ἂν ἐν ὑγρῷ τῷ ἐδάφει σημαινόμενα· ἡ
δὲ χιὼν καὶ πάνυ τηλαυγῆ παρέχει, ὥστε οὐδὲν δεῖ ζητοῦντα
πράγματα ἔχειν, ὥσπερ ὁδοῦ φερούσης ἐπ' αὐτά· καὶ τὰ
θηρία μᾶλλόν τι ὑπομένει ὀκνοῦντα· ἔστι δ' ἔτι καὶ λαγὼς καὶ
20 δορκάδας ἐν ταῖς εὐναῖς καταλαμβάνειν. οὕτω δὴ τὸ ἀπ'
ἐκείνου διέμειναν οὐδὲν ἔτι προσδεηθέντες ἄλλου βίου. καὶ
ἡμῖν συνέζευξαν γυναῖκας τοῖς ἀλλήλων υἱέσιν ἑκάτερος τὴν
αὑτοῦ θυγατέρα. τεθνήκασι δὲ ἀμφότεροι πέρυσι σχεδόν,
τὰ μὲν ἔτη πολλὰ λέγοντες, ἃ ἐβεβιώκεσαν, ἰσχυροὶ δὲ ἔτι 228 R.
καὶ νέοι καὶ γενναῖοι τὰ σώματα. τῶν δὲ μητέρων ἡ ἐμὴ
21 περίεστιν. ὁ μὲν οὖν ἕτερος ἡμῶν οὐδεπώποτε εἰς πόλιν κατ-
έβη, πεντήκοντα ἔτη γεγονώς· ἐγὼ δὲ δὶς μόνον, ἅπαξ μὲν
ἔτι παῖς μετὰ τοῦ πατρός, ὁπηνίκα τὴν ἀγέλην εἴχομεν· ὕστε-
ρον δὲ ἧκέ τις ἀργύριον αἰτῶν, ὥσπερ ἔχοντάς τι, κελεύων 103 M.
ἀκολουθεῖν εἰς τὴν πόλιν. ἡμῖν δὲ ἀργύριον μὲν οὐκ ἦν, ἀλλ'
22 ἀπωμοσάμην μὴ ἔχειν· εἰ δὲ μή, δεδωκέναι ἄν. ἐξενίσαμεν δὲ
αὐτὸν ὡς ἐδυνάμεθα μάλιστα, καὶ δύο ἐλάφεια δέρματα ἐδώ-
καμεν· κἀγὼ ἠκολούθησα εἰς τὴν πόλιν. ἔφη γὰρ ἀνάγκην
εἶναι τὸν ἕτερον ἐλθεῖν καὶ διδάξαι περὶ τούτων. εἶδον οὖν,
οἷα καὶ πρότερον, οἰκίας πολλὰς καὶ μεγάλας καὶ τεῖχος ἔξω-
θεν καρτερὸν καὶ οἰκήματά τινα ὑψηλὰ καὶ τετράγωνα ἐν τῷ
τείχει, τοὺς πύργους, καὶ πλοῖα πολλὰ ὁρμοῦντα, ὥσπερ ἐν
23 λίμνῃ, ἐν τῷ λιμένι, κατὰ πολλὴν ἡσυχίαν. τοῦτο δὲ ἐνθάδε
οὐκ ἔστιν οὐδαμοῦ, ὅπου κατηνέχθης, καὶ διὰ τοῦτο αἱ ναῦς
ἀπόλλυνται. ταῦτα οὖν ἑώρων, καὶ πολὺν ὄχλον ἐν ταὐτῷ 229 R.

18, 4. οὕτω. sic dedi. om. BLA, οὕτως reliq. ‖ 5. ῥάων. ῥᾶον L. — 19, 3. δεῖ. δὴ B. ‖ 5. ὑπομένει BCML. Reisk., ὑπομένειν reliq. ‖ ἔστι δ' ἔτι. ἔστιν δέ τι BML, ἔστι δέ τι N, ὥστε ἔστι Pflugk. p. 15, malim ὥστ' ἐνίοτε vel ἔστι δέ γε vel ἔστι δέ τοι. ‖ λαγὼς. λαγῶς N. — 20, 1. οὕτω. οὕτως M. ‖ 2. ἄλλου. ἑτέρου L. ‖ 4. δὲ BML, δὴ reliq. ‖ ἀμφότεροι om. C. ‖ 5. λέγοντες Reisk., ἔλεγον reliq. ‖ ἐβεβιώκεσαν. ἐβιώκεσαν C. — 21, 1. κατέβη. ἔβη BML. ‖ 2. γεγονώς. γεγενὼς m. ‖ 3. ἔτι παῖς. ἔστι L. — 22, 2. ἐδυνάμεθα. ἠδυνάμεθα M. ‖ 3. ἀνάγκην. ἀνάγκη C. ‖ 5. καὶ μεγάλας om. BN, μεγάλας om. L. ‖ καὶ τεῖχος BCMN, καὶ om. reliq. ‖ 6. οἰκήματά τινα C, οἰκήματά τε reliq. ‖ 7. ὁρμοῦντα om. BL. ‖ 8. ἐν τῷ. ἐν delet Geel. p. 70. — 23, 1. ἐνθάδε om. BL. ‖ 2. ναῦς. νῆες L. ‖ 3. ἀπόλλυνται. ἀπό-

συνειργμένον καὶ θόρυβον ἀμήχανον καὶ κραυγὴν, ὥστε ἐμοὶ
ἐδόκουν πάντες μάχεσθαι ἀλλήλοις. ἄγει οὖν με πρός τινας
ἄρχοντας καὶ εἶπε γελῶν· οὗτός ἐστιν, ἐφ' ὃν με ἐπέμψατε.
ἔχει δὲ οὐδὲν, εἰ μή γε τὴν κόμην καὶ σκηνὴν μάλα ἰσχυρῶν
24 ξύλων. οἱ δὲ ἄρχοντες εἰς τὸ θέατρον ἐβάδιζον κἀγὼ σὺν αὐ-
τοῖς. τὸ δὲ θέατρόν ἐστιν, ὥσπερ φάραγξ, κοῖλον, πλὴν οὐ
μακρὸν ἑκατέρωθεν, ἀλλὰ στρογγύλον ἐξ ἡμίσους, οὐκ αὐτό-
ματον, ἀλλ' ᾠκοδομημένον λίθοις. ἴσως δέ μου καταγελᾷς,
ὅτι διηγοῦμαί σοι σαφῶς εἰδότι ταῦτα. πρῶτον μὲν οὖν πολύν
τινα χρόνον ἄλλα τινὰ ἔπραττεν ὁ ὄχλος, καὶ ἐβόων ποτὲ μὲν
πρᾴως καὶ ἱλαρῶς πάντες, ἐπαινοῦντές τινας, ποτὲ δὲ σφόδρα
25 καὶ ὀργίλως. ἦν δὲ τοῦτο χαλεπὸν τὸ τῆς ὀργῆς αὐτῶν· καὶ
τοὺς ἀνθρώπους εὐθὺς ἐξέπληττον, οἷς ἀνέκραγον, ὥστε οἱ
μὲν αὐτῶν περιτρέχοντες ἐδέοντο, οἱ δὲ τὰ ἱμάτια ἐῤῥίπτουν
ὑπὸ τοῦ φόβου. ἐγὼ δὲ καὶ αὐτὸς ἅπαξ ὀλίγου κατέπεσον
ὑπὸ τῆς κραυγῆς, ὥσπερ κλύδωνος ἐξαίφνης ἢ βροντῆς ἐπιῤ-
26 ῥαγείσης. ἄλλοι δέ τινες ἄνθρωποι παριόντες, οἱ δ' ἐκ μέσων
ἀνιστάμενοι, διελέγοντο πρὸς τὸ πλῆθος, οἱ μὲν ὀλίγα ῥήμα- 104 M.
τα, οἱ δὲ πολλοὺς λόγους. καὶ τῶν μὲν ἤκουον πολύν τινα
χρόνον, τοῖς δὲ ἐχαλέπαινον εὐθὺς φθεγξαμένοις καὶ οὐδὲ
γρύζειν ἐπέτρεπον. ἐπεὶ δὲ καθέστασάν ποτε καὶ ἡσυχία
27 ἐγένετο, παρήγαγον κἀμέ. καὶ εἶπέ τις· οὗτός ἐστιν, ὦ ἄν-
δρες, τῶν καρπουμένων τὴν δημοσίαν γῆν πολλὰ ἔτη, οὐ μόνος
αὐτὸς, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον, καὶ κατανέμουσι
τὰ ἡμέτερα ὄρη καὶ γεωργοῦσι καὶ θηρεύουσι καὶ οἰκίας ἐνῳ-
κοδομήκασι πολλὰς καὶ ἀμπέλους ἐμπεφυτεύκασι καὶ ἄλλα
πολλὰ ἔχουσιν ἀγαθά, οὔτε τιμὴν καταβαλόντες οὐδενὶ τῆς 230 R.

λονται B. ‖ ἐν ταὐτῷ Reisk., ἐν τούτῳ reliq. ‖ 7. κόμην ML. Geel., κώμην reliq. ‖ ἰσχυρῶν. ἰσχυρὰν M. — 24, 1. τὸ θέατρον. τὸν ἰατρὸν C. ‖ 3. μακρόν. μακρὰν BL. ‖ 4. μου. μοι B, μὲ L. ‖ 5. ὅτι διηγοῦμαί σοι C, ὅτι σοι διηγοῦμαι BLN, σοι διηγοῦμαι M, ὅτι διηγοῦμαι reliq. ‖ 7. πρᾴως καὶ ἱλαρῶς. πρᾷος καὶ ἱλαροὶ C, πρᾴως καὶ ἱλαροὶ BML. ‖ 8. καὶ ὀργίλως. καὶ om. BL. — 25, 1. ἦν δὲ τοῦτο BMLN, κατὰ δὲ τοῦτο reliq., unde Pflugk. p. 15 κατὰ δὲ τοσοῦτο, possit κάρτα δὲ τοῦτο. ‖ 2. ἀνέκραγον. ἐνέκραγον Geel. ‖ 4. ὀλίγου. ὀλιγον L. ‖ 5. ἐξαίφνης. ἐξέφνης M. — 26, 1. παριόντες BCMLN, εἰσιόντες reliq. ‖ ἐκ μέσων. εἰς μέσιν C, εἰς μέσον M. ‖ 4. οὐδέ. οὐδὲν M. ‖ 5. δὲ καθέστασάν. sic dedi. δὲ καθέστησαν C, δ' ἐκαθέσθησαν BLM, δὲ ἐκάθησαν reliq. — 27, 4. καὶ οἰκίας ἐνῳκοδομήκασι πολλὰς καὶ ἀμπέλους ἐμπεφυτεύκασι CM, καὶ ἀμπέλους ἐμπεφυτεύκασι καὶ οἰκίας ἐνῳκοδομήκασι πολλὰς reliq. ‖ 6. καταβαλόντες ML. Casaub. r, καταβαλλόντες BC, καταβάλλον-

Digitized by Google

28 γῆς οὔτε δωρεὰν παρὰ τοῦ δήμου λαβόντες· ὑπὲρ τίνος γὰρ ἂν καὶ ἔλαβον; ἔχοντες δὲ τὰ ἡμέτερα καὶ πλουτοῦντες οὔτε λειτουργίαν πώποτε ἐλειτούργησαν οὐδεμίαν, οὐδὲ μοῖράν τινα ὑποτελοῦσι τῶν γιγνομένων, ἀλλ' ἀτελεῖς καὶ ἀλειτούργητοι διατελοῦσιν, ὥσπερ εὐεργέται τῆς πόλεως. οἶμαι δέ, ἔφη, μηδὲ ἐληλυθέναι πώποτε αὐτοὺς ἐνθάδε. κἀγὼ ἀνένευσα. ὁ
29 δὲ ὄχλος ἐγέλασεν, ὡς εἶδε. καὶ ὁ λέγων ἐκεῖνος ὠργίσθη ἐπὶ τῷ γέλωτι, καί μοι ἐλοιδορεῖτο. ἔπειτα ἐπιστρέψας· εἰ οὖν, ἔφη, δοκεῖ ταῦτα οὕτως, οὐκ ἂν φθάνοιμεν ἅπαντες τὰ κοινὰ διαρπάσαντες, οἱ μὲν τὰ χρήματα τῆς πόλεως, ὥσπερ 231 R.
ἀμέλει καὶ νῦν ποιοῦσί τινες, οἱ δὲ τὴν χώραν κατανειμάμενοι μὴ πείσαντες ὑμᾶς, ἐὰν ἐπιτρέψητε τοῖς θηρίοις τούτοις προῖκα ἔχειν πλέον ἢ χίλια πλέθρα γῆς τῆς ἀρίστης, ὅθεν ὑμῖν ἔστι
30 τρεῖς χοίνικας Ἀττικὰς σίτου λαμβάνειν κατ' ἄνδρα. ἐγὼ δὲ ἀκούσας ἐγέλασα ὅσον ἐδυνάμην μέγιστον. τὸ δὲ πλῆθος οὐκέτ' ἐγέλων, ὥσπερ πρότερον, ἀλλ' ἐθορύβουν. ὁ δὲ ἄνθρωπος ὁ ῥήτωρ ἐχαλέπαινε, καὶ δεινὸν ἐμβλέψας εἰς ἐμὲ εἶπεν· ὁρᾶτε τὴν εἰρωνείαν καὶ τὴν ὕβριν τοῦ καθάρματος, ὡς καταγελᾷ πάνυ θρασέως; ὃν ἀπάγειν ὀλίγου δέω καὶ τὸν κοινωνὸν αὐτοῦ. πυνθάνομαι γὰρ δύο εἶναι τοὺς κορυφαίους τῶν κατειληφότων ἅπασαν σχεδὸν τὴν ἐν τοῖς ὄρεσι χώραν. 105 M.
31 οἶμαι γὰρ αὐτοὺς μηδὲ τῶν ναυαγίων ἀπέχεσθαι τῶν ἑκάστοτε ἐκπιπτόντων, ὑπὲρ αὐτὰς σχεδόν τι τὰς Καφηρίδας οἰκοῦντας. πόθεν γὰρ οὕτω πολυτελεῖς ἀγροὺς, μᾶλλον δὲ ὅλας κώμας κατεσκευάσαντο καὶ τοσοῦτο πλῆθος βοσκημάτων καὶ ζεύγη
32 καὶ ἀνδράποδα; καὶ ὑμεῖς δὲ ἴσως ὁρᾶτε αὐτοῦ τὴν ἐξωμίδα, ὡς φαύλη, καὶ τὸ δέρμα, ὃ ἐλήλυθε δεῦρο ἐναψάμενος τῆς ὑμετέρας ἕνεκα ἀπάτης, ὡς πτωχὸς δηλονότι καὶ οὐδὲν ἔχων. ἐγὼ μὲν γάρ, ἔφη, βλέπων αὐτὸν μικροῦ δέδοικα, ὥσπερ οἶμαι

τες var. l. v, καταλαβόντες AN. vm. — 28, 1. τίνος. τινὸς vm. ‖ γὰρ ἄν. ἂν om. CM. ‖ 3. λειτουργίαν. λιτουργίαν M. ‖ ἐλειτούργησαν. ἐλιτούργησαν M. ‖ 4. ὑποτελοῦσι B, ὑπερτελοῦσι CM (mrg. ἐπιτελοῦσι), ἐπιτελοῦσι reliq. ‖ ἀλλ' ἀτελεῖς καί. ἀλλὰ πλεῖσθαι M. ‖ ἀλειτούργητοι. ἀλιτούργητοι M. ‖ 6. μηδέ. μὴ L. — 29, 3. ἅπαντες τὰ BCMAN, ἅπαντα τὰ L, ἅπαντες om. reliq. ‖ 5. ποιοῦσί τινες. ποιοῦντες L. ‖ 6. ἐπιτρέψητε. ἐπιτρέψηται L. ‖ 7. χίλια. χειλία M. — 30, 2. ἐδυνάμην. ἐδύναμιν N. ‖ 3. οὐκέτ' ἐγέλων BM, οὐκ ἐγέλων C, οὐ κατεγέλων reliq. ‖ 4. εἰς ἐμέ. εἴς με M. ‖ 5. εἰρωνείαν. εἰρωνίαν M. ‖ 6. ὡς. ᾧ M. ‖ δέω. δεῖ mrg. m. ‖ 7. δύο εἶναι. δυοὶ καὶ BL, δυοῖν καὶ M. ‖ 9. αὐτοὺς μηδέ. οὐδὲ L. — 31, 2. Καφηρίδας BCMLN. v, Καφηρηΐδας reliq. ‖ 3. οὕτω. οὕτως CM. — 32, 2. ἐναψάμενος. ἀναψάμενος B.

τὸν Ναύπλιον ὁρῶν ἀπὸ τοῦ Καφηρέως ἥκοντα. καὶ γὰρ
οἶμαι πυρσεύειν αὐτὸν ἀπὸ τῶν ἄκρων τοῖς πλέουσιν, ὅπως
33 ἐκπίπτωσιν εἰς τὰς πέτρας. ταῦτα δὲ ἐκείνου λέγοντος καὶ
πολλὰ πρὸς τούτοις ὁ μὲν ὄχλος ἠγριοῦτο, ἐγὼ δὲ ἠπόρουν
καὶ ἐδεδοίκειν, μή τί με ἐργάσωνται κακόν. παρελθὼν δὲ
ἄλλος τις ὡς ἐφαίνετο, ἐπιεικὴς ἄνθρωπος, ἀπό τε τῶν λό- 232 R.
γων, οὓς εἶπε, καὶ ἀπὸ τοῦ σχήματος, πρῶτον μὲν ἠξίου σιω-
πῆσαι τὸ πλῆθος. καὶ ἐσιώπησαν. ἔπειτα εἶπε τῇ φωνῇ
πρᾴως, ὅτι οὐδὲν ἀδικοῦσιν οἱ τὴν ἀργὴν τῆς χώρας ἐργαζό-
μενοι καὶ κατασκευάζοντες, ἀλλὰ τοὐναντίον ἐπαίνου δικαίως
34 ἂν τυγχάνοιεν· καὶ δεῖ μὴ τοῖς οἰκοδομοῦσι καὶ φυτεύουσι
τὴν δημοσίαν γῆν χαλεπῶς ἔχειν, ἀλλὰ τοῖς καταφθείρουσιν.
ἐπεὶ καὶ νῦν, ἔφη, ὦ ἄνδρες, σχεδόν τι τὰ δύο μέρη τῆς χώρας
ἡμῶν ἔρημά ἐστι δι' ἀμέλειάν τε καὶ ὀλιγανθρωπίαν. κἀγὼ
πολλὰ κέκτημαι πλέθρα, ὥσπερ οἶμαι καὶ ἄλλος τις, οὐ μόνον
ἐν τοῖς ὄρεσιν, ἀλλὰ καὶ ἐν τοῖς πεδινοῖς· ἃ εἴ τις ἐθέλοι
γεωργεῖν, οὐ μόνον ἂν προῖκα δῴην, ἀλλὰ καὶ ἀργύριον ἡδέως
35 προστελέσαιμι. δῆλον γάρ, ὡς ἐμοὶ πλέονος ἀξία γίγνεται,
καὶ ἅμα ἡδὺ ὅραμα χώρα οἰκουμένη καὶ ἐνεργός· ἡ δ' ἔρημος
οὐ μόνον ἀνωφελὲς κτῆμα τοῖς ἔχουσιν, ἀλλὰ καὶ σφόδρα
ἐλεεινόν τε καὶ δυστυχίαν τινὰ κατηγοροῦν τῶν δεσποτῶν.
36 ὥστε μοι δοκεῖ μᾶλλον ἑτέρους προτρέπειν, ὅσους ἂν δύνησθε
τῶν πολιτῶν, ἐργάζεσθαι τῆς δημοσίας γῆς ἀπολαβόντας, 233 R.
τοὺς μὲν ἀφορμήν τινα ἔχοντας καὶ πλείω, τοὺς δὲ πένητας, 106 M.
ὅσην ἂν ἕκαστος ᾖ δυνατός, ἵνα ὑμῖν ἥ τε χώρα ἐνεργὸς ᾖ,
καὶ τῶν πολιτῶν οἱ θέλοντες δύο τῶν μεγίστων ἀπηλλαγμέ-
37 νοι κακῶν, ἀργίας καὶ πενίας. ἐπὶ δέκα μὲν οὖν ἔτη προῖκα
ἐχόντων, μετὰ δὲ τοῦτον τὸν χρόνον ταξάμενοι μοῖραν ὀλίγην

5. Καφηρέως. σκαφηρέως C. ‖ 7. ἐκπίπτωσιν. ἐκπίπτουσιν B. — 33, 2. ἠπόρουν. ἠπόρου M. ‖ 3. ἐδεδοίκειν. ἐδεδοίειν (voluit ἐδεδίειν) C. ‖ τί με M, τί γε L., τι με reliq. ‖ ἐργάσωνται. ἐργάσονται M. ‖ δὲ BC, δ' reliq. ‖ 4. λόγων. ἄλων C. ‖ 7. ἀργήν. ἀργὸν Boisson. ad Aristoph. t. I. p. 306. ‖ 8. δικαίως om. C. — 34, 2. καταφθείρουσιν CML, καταφθείρουσι reliq. ‖ 3. τι. τι ἔφη L. ‖ 4. ἔρημά Pflugk. p. 16, ὀρεινὰ reliq. ‖ ἀμέλειαν. ἀμελίαν M. ‖ ὀλιγανθρωπίαν. ὀλιγανίαν N. ‖ 6. πεδινοῖς. πεδιεινοῖς BL. ‖ ἃ εἰ. ἀεὶ M. ‖ ἐθέλοι BM, ἐθέλει C, θέλοι reliq. ‖ 7. μόνον ἂν C, ἂν om. reliq., ἂν desiderabat Pflugk. p. 16. ‖ δῴην. δοίην C. — 35, 2. χώρα. καὶ χώρα B. ‖ δ'. δὲ C. — 36, 1. δοκεῖ CM, δοκεῖν reliq. ‖ ἑτέρους. ἑτέραν C. ‖ 3. καὶ πλείω. καὶ om. BC, in M a corr. add. ‖ 4. ᾖ. ἢ M. ‖ ὑμῖν. ἡμῖν B. ‖ 5. ἀπηλλαγμένοι. ἀπηλαγμένοι L, ἀπηλλαγμένη m. — 37, 1. ἔτη. ἔτεσιν. C.

παρεχέτωσαν ἀπὸ τῶν καρπῶν, ἀπὸ δὲ τῶν βοσκημάτων μηδέν. ἐὰν δέ τις ξένος γεωργῇ, πέντε ἔτη καὶ οὗτοι μηδὲν ὑποτελούντων, ὕστερον δὲ διπλάσιον ἢ οἱ πολῖται. ὃς δὲ ἂν ἐξεργάσηται τῶν ξένων διακόσια πλέθρα, πολίτην αὐτὸν εἶναι,
38 ἵνα ὡς πλεῖστοι ὦσιν οἱ προθυμούμενοι. ἐπεὶ νῦν γε καὶ τὰ πρὸ τῶν πυλῶν ἄγρια παντελῶς ἐστι καὶ αἰσχρὰ δεινῶς, ὥσπερ ἐν ἐρημίᾳ τῇ βαθυτάτῃ, οὐχ ὡς προάστειον πόλεως· τὰ δέ γε ἐντὸς τείχους σπείρεται τὰ πλεῖστα καὶ κατανέμεται. οὐκοῦν ἄξιον, ἔφη, θαυμάσαι τῶν ῥητόρων, ὅτι τοὺς μὲν ἐπὶ τῷ Καφηρεῖ φιλεργοῦντας ἐν τοῖς ἐσχάτοις τῆς Εὐβοίας συκοφαντοῦσι, τοὺς δὲ τὸ γυμνάσιον γεωργοῦντας καὶ τὴν
39 ἀγορὰν κατανέμοντας οὐδὲν οἴονται ποιεῖν δεινόν. βλέπετε γὰρ αὐτοὶ δήπουθεν, ὅτι τὸ γυμνάσιον ὑμῖν ἄρουραν πεποιήκασιν, ὥστε τὸν Ἡρακλέα καὶ ἄλλους ἀνδριάντας συχνοὺς ὑπὸ τοῦ θέρους ἀποκεκρύφθαι, τοὺς μὲν ἡρώων, τοὺς δὲ θεῶν· καὶ ὅτι καθ᾿ ἡμέραν τὰ τοῦ ῥήτορος τούτου πρόβατα ἕωθεν εἰς τὴν ἀγορὰν ἐμβάλλει καὶ κατανέμεται τὰ περὶ τὸ βουλευτήριον καὶ τὰ ἀρχεῖα, ὥστε τοὺς πρῶτον ἐπιδημήσαν- 234 R.
τας ξένους τοὺς μὲν καταγελᾶν τῆς πόλεως, τοὺς δὲ οἰκτείρειν αὐτήν. πάλιν οὖν ταῦτα ἀκούσαντες ὠργίζοντο πρὸς ἐκεῖνον
40 καὶ ἐθορύβουν. καὶ τοιαῦτα ποιῶν τοὺς ταλαιπώρους ἰδιώτας οἴεται δεῖν ἀπαγαγεῖν, ἵνα δηλονότι μηδεὶς ἐργάζηται τὸ λοιπὸν, ἀλλ᾿ οἱ μὲν ἔξω ληστεύωσιν, οἱ δ᾿ ἐν τῇ πόλει λωποδυτῶσιν. ἐμοὶ δὲ, ἔφη, δοκεῖ τούτους ἐᾶν ἐφ᾿ οἷς αὐτοὶ πεποιήκασιν, ὑποτελοῦντας τὸ λοιπὸν ὅσον μέτριον, περὶ δὲ τῶν ἔμπροσθεν προσόδων συγγνῶναι αὐτοῖς, ὅτι ἔρημον καὶ ἀχρεῖον γεωργήσαντες τὴν γῆν κατελάβοντο. ἐὰν δὲ τιμὴν 107 M.

7. πλεῖστοι BC. Reisk., πλεῖστον reliq. — 38, 2. ἐστι. εἰσι L. ‖ 3. προάστειον. προάστιον M. ‖ 4. ἐντὸς. ἐν τοῖς N. ‖ σπείρεται. πείρεται M. ‖ 6. ἐν. καὶ N. ‖ 8. οἴονται. οἷόν τε N. vm. — 39, 1. βλέπετε. βλέπεται M. ‖ 2. αὐτοὶ. αὐτὸς C. ‖ πεποιήκασιν CML, πεποιήκασι var. l. vr, πεποίηκεν N. vm. ‖ 4. ὑπὸ. ἀπὸ BM (corr. vulg.) L. ‖ 5. τοῦ ῥήτορος τούτου. τούτου τοῦ ῥήτορος L. ‖ 6. ἐμβάλλει. ἐμβάλει B. ‖ τὰ περὶ Reisk., περὶ reliq. ‖ 7. πρῶτον Selden., πρώτους reliq. ‖ 8. τοὺς μὲν. τὰ μὲν L. ‖ καταγελᾶν. καταγελῶν C. ‖ 9. πάλιν οὖν. πάλιν αὖ L. ‖ ὠργίζοντο. ὀργίζοντο L. — 40, 1. καὶ τοιαῦτα BCML, καὶ ταῦτα N, καίτοι ταῦτα reliq. ‖ ποιῶν τοὺς. ποιῶντες L. ‖ 2. δεῖν ἀπαγαγεῖν. δεῖν ἀγαγεῖν BL, δὴν ἀγαγεῖν M. ‖ ἐργάζηται CM, ἐργάσηται reliq. ‖ 3. ληστεύωσιν. ληστεύουσιν BMLN. ‖ λωποδυτῶσιν. λωποδυτοῦσιν BMLN. ‖ 4. ἐᾶν BL. r, ἐῶν C, ἐὰν M. vm. ‖ 7. γεωργήσαντες. malim γεωργήσοντες cum Casaub. ‖ κατελάβοντο BM, κατεβάλοντο L,

θέλωσι καταβαλεῖν τοῦ χωρίου, ἀποδόσθαι αὐτοῖς ἐλάττονος
41 ἢ ἄλλοις. εἰπόντος δὲ αὐτοῦ τοιαῦτα, πάλιν ὁ ἐξαρχῆς ἐκεῖ-
νος ἀντέλεγε, καὶ ἐλοιδοροῦντο ἐπιπολύ. τέλος δὲ καὶ ἐμὲ
ἐκέλευον εἰπεῖν ὅ τι βούλομαι. καὶ τί με, ἔφην, δεῖ λέγειν;
πρὸς τὰ εἰρημένα· εἰπέ τις τῶν καθημένων. οὐκοῦν λέγω,
42 ἔφην, ὅτι οὐδὲν ἀληθές ἐστιν ὧν εἴρηκεν. ἐγὼ μέν, ὦ ἄνδρες,
ἐνύπνια ᾤμην, ἔφην, ὁρᾶν, ἀγροὺς καὶ κώμας καὶ τοιαῦτα
φλυαροῦντος. ἡμεῖς δὲ οὔτε κώμην ἔχομεν οὔτε ἵππους οὔτε
ὄνους οὔτε βοῦς. εἴθε γὰρ ἦν ἔχειν ἡμᾶς ὅσα οὗτος ἔλεγεν
ἀγαθά, ἵνα καὶ ὑμῖν ἐδώκαμεν καὶ αὐτοὶ τῶν μακαρίων ἦμεν. 235 R.
καὶ τὰ νῦν δὲ ὄντα ἡμῖν ἱκανά ἐστιν, ἐξ ὧν εἴ τι βούλεσθε
λάβετε. κἂν πάντα ἐθέλητε, ἡμεῖς ἕτερα κτησόμεθα. ἐπὶ
43 τούτῳ δὲ τῷ λόγῳ ἐπῄνεσαν. εἶτα ἐπηρώτα με ὁ ἄρχων, τί
δυνησόμεθα δοῦναι τῷ δήμῳ; κἀγὼ τέτταρα, ἔφην, ἐλάφεια
δέρματα πάνυ καλά. οἱ δὲ πολλοὶ αὐτῶν ἐγέλασαν. ὁ δὲ
ἄρχων ἠγανάκτησε πρός με. τὰ γὰρ ἄρκεια, ἔφην, σκληρά
ἐστι καὶ τὰ τράγεια οὐκ ἄξια τούτων, τἆλλα δὲ παλαιά, τὰ
δὲ μικρὰ αὐτῶν· εἰ δὲ βούλεσθε, κἀκεῖνα λάβετε. πάλιν οὖν
44 ἠγανάκτει, καὶ ἔφη με ἄγροικον εἶναι παντελῶς. κἀγὼ· πάλιν,
εἶπον, αὖ καὶ σὺ ἀγροὺς λέγεις; οὐκ ἀκούεις, ὅτι ἀγροὺς οὐκ
ἔχομεν; ὁ δὲ ἠρώτα με, εἰ τάλαντον ἑκάτερος Ἀττικὸν δοῦναι
θέλοιμεν. ἐγὼ δὲ εἶπον· οὐχ ἵσταμεν τὰ κρέα ἡμεῖς· ἃ δ' ἂν
ᾖ, δίδομεν. ἔστι δὲ ὀλίγα ἐν ἁλσί, τἆλλα δ' ἐν τῷ καπνῷ, 236 R.
ξηρά, οὐ πολὺ ἐκείνων χείρω, σκελίδες ὑῶν καὶ ἐλάφειοι καὶ

κατεβάλλοντο reliqui. locum sic constituit Pflugk. p. 17, ἐγεώργησαν τὴν γῆν καταλαβόντες, Reiskius γεωργήσαντες τὴν γῆν οὐδὲν κατέβαλον. ‖ 8. καταβαλεῖν. καταβάλλειν M. — 41, 1. πάλιν ὁ BM, ὁ om. reliq. ‖ 2. ἀντέλεγε L, ἀντέλεγεν reliq. ‖ 3. ἔφην. ἔφη L. ‖ δεῖ. δεῖν CM. ‖ 4. πρὸς. πρὸ C. ‖ 5. ἔφην. ἔφη BL. ‖ οὐδέν. οὐθὲν M. ‖ ἀληθές ἐστιν. ἐστιν ἀληθὲς L. — 42, 3. φλυαροῦντος. φλυαροῦντες (corr. vulg.) M. ‖ 4. ἦν om. BL, in M mrg. adscript. ‖ 6. εἴ τι. ἔν τι L. ‖ βούλεσθε. βούλεσθαι L. ‖ 7. κἂν. καὶ L. ‖ ἐθέλητε. εἰ θέλετε B, ἔλητε C. — 43, 2. δυνησόμεθα. δυνησώμεθα L. ‖ τέτταρα L, τέσσαρα reliq. ‖ ἔφην. ἔφη CM. ‖ 3. οἱ δὲ πολλοί. ἐφ' οἷς οἱ μὲν πολλοὶ Reisk., malim οὗ δὴ πολλοί. ‖ 5. ἐστι L, ἐστιν reliq. ‖ τἆλλα. ἄλλα M. ‖ δέ. δὲ τὰ μὲν Reisk. ‖ 7. ἄγροικον. ἀγροῖκον B. — 44, 2. αὖ καὶ BM (corr. οὐ καὶ) L. Iacobs. Act. Monac. t. II. p. 451 (idem recte locum distinxit), ἃ καὶ C, οὐ κα N, οὐ καὶ reliq., unde ἦ καὶ Obs. p. 15, οὐ παύσῃ (mox λέγων) Pflugk. p. 17. ‖ 3. ἔχομεν. ἔχωμεν N. ‖ ἑκάτερος. ἑκάτερον M, ἑκάτεροι BL. ‖ 4. οὐχ ἵσταμεν MN. Selden., οὐχ ἵστα μὲν C, οὐχ ἥκιστα μὲν reliq., οὐχ εἱλκύσαμεν Iacobs. Add. p. 89, οὐ δῆθ' ἵσταμεν Valck. Diatr. p. 288. ‖ 5. δ' ἐν. δὲ ἐν L. ‖ 6. χείρω. χείρων C. ‖ ὑῶν. δὲ ὑῶν C, υἱῶν vm.

45 ἄλλα γενναῖα κρέα. ἐνταῦθα δὴ ἐθορύβουν καὶ ψεύδεσθαί
με ἔφασαν. ὁ δὲ ἠρώτα με, εἰ σῖτον ἔχομεν, καὶ πόσον τινά;
εἶπον τὸν ὄντα ἀληθῶς· δύο, ἔφην, μεδίμνους πυρῶν καὶ
τέτταρας κριθῶν καὶ τοσούτους κέγχρων, κυάμων δὲ ἡμίε- 103 M.
κτον· οὐ γὰρ ἐγένοντο τῆτες. τοὺς μὲν οὖν πυροὺς καὶ τὰς
κριθὰς, ἔφην, ὑμεῖς λάβετε, τὰς δὲ κέγχρους ἡμῖν ἄφετε. εἰ
δὲ κέγχρων δεῖσθε, καὶ ταύτας λάβετε. οὐδὲ οἶνον ποιεῖτε;
46 ἄλλος τις ἠρώτησεν. ποιοῦμεν, εἶπον. ἂν οὖν τις ὑμῶν ἀφί-
κηται, δώσομεν· ὅπως δὲ ἥξει φέρων ἀσκόν τινα· ἡμεῖς γὰρ
οὐκ ἔχομεν. πόσαι γάρ τινές εἰσιν ὑμῖν ἄμπελοι; δύο μὲν,
ἔφην, αἱ πρὸ τῶν θυρῶν, ἔσωθεν δὲ τῆς αὐλῆς εἴκοσι· καὶ
τοῦ ποταμοῦ πέραν, ἃς ἔναγχος ἐφυτεύσαμεν, ἕτεραι τοσαῦ-
ται· εἰσὶ δὲ γενναῖαι σφόδρα καὶ τοὺς βότρυς φέρουσι μεγά-
47 λους, ὅταν οἱ παριόντες ἐπαφῶσιν αὐτούς. ἵνα δὲ μὴ πράγ- 237 R.
ματα ἔχητε καθέκαστον ἐρωτῶντες, ἐρῶ καὶ τἄλλα, ἅ ἐστιν
ἡμῖν· αἶγες ὀκτὼ θήλειαι, βοῦς κολοβὴ, μοσχάριον ἐξ αὐτῆς
πάνυ καλὸν, δρέπανα τέτταρα, δίκελλαι τέτταρες, λόγχαι
τρεῖς, μάχαιραν ἡμῶν ἑκάτερος κέκτηται πρὸς τὰ θηρία. τὰ
δὲ κεράμεια σκεύη τί ἂν λέγοι τις; καὶ γυναῖκες ἡμῖν εἰσὶ
καὶ τούτων τέκνα. οἰκοῦμεν δὲ ἐν δυσὶ σκηναῖς καλαῖς, καὶ
48 τρίτην ἔχομεν, οὗ κεῖται τὸ σιτάριον καὶ τὰ δέρματα. νὴ
Δία, εἶπεν ὁ ῥήτωρ, ὅπου καὶ τὸ ἀργύριον ἴσως κατορύττετε.
οὐκοῦν, ἔφην, ἀνάσκαψον ἐλθὼν, ὦ μῶρε. τίς δὲ κατορύτ-
τει ἀργύριον; οὐ γὰρ δὴ φύεταί γε. ἐνταῦθα πάντες ἐγέλων,
ἐκείνου, μοι δοκεῖν, καταγελάσαντες. ταῦτα ἔστιν ἡμῖν· εἰ
οὖν καὶ πάντα θέλετε, ἡμεῖς ἑκόντες ὑμῖν χαριζόμεθα, καὶ
οὐδὲν ὑμᾶς δεῖ ἀφαιρεῖσθαι πρὸς βίαν ὥσπερ ἀλλοτρίων ἢ
49 πονηρῶν. ἐπείτοι καὶ πολῖται τῆς πόλεώς ἐσμεν, ὡς ἐγὼ τοῦ
πατρὸς ἤκουον. καί ποτε ἐκεῖνος δεῦρο ἀφικόμενος, ἐπιτυ- 238 R.

7. γενναῖα Casaub. ex Interpr. r, γε νέα B, γενέα CMN. vm. — 45, 1. δὴ C, om. reliq. ‖ 2. πόσον. πόσι M. — 46, 1. ἄλλος. ἄλλο M. ‖ ὑμῶν. ὑμᾶς C. ‖ 2. ὅπως δὲ ἥξει φέρων. ὁπότε δὲ ἥξει, φερέτω mrg. m. ‖ 3. ὑμῖν. ἡμῖν N. ‖ 4. ἔφην, αἱ. ἔφη ἂν C. ‖ ἔσωθεν. ἔσω BCM. ‖ 5. ἕτεραι. ἑταῖραι M. ‖ 6. γενναῖαι. γενναῖε M. ‖ φέρουσι BCM, φέρουσαι reliq. ‖ 7. ἐπαφῶσιν. ἐκεῖ ἀφῶσιν Casaub., malim γε ἀφῶσιν. — 47, 2. καί. σαι N. ‖ 3. θήλειαι. θηλίαι M. ‖ 6. κεράμεια. κεράμια M. — 18, 5. ἐκείνου, μοι δοκεῖν. ἐκεῖνά μοι δοκεῖ C. ‖ ὑμῖν. ἡμῖν M. ‖ 7. ὑμᾶς δεῖ ἀφαιρεῖσθαι. ἡμᾶς ἀφαιρεῖσθαι δεῖ C, ὑμᾶς ἀφαιρεῖσθαι δεῖ M. — 49, 2. καὶ ποτε B, καὶ ποτὲ reliq. ‖ ἀφικόμενος BCMN. r, ἀφικνόμενος v, ἀφικνήμενος m.

χὼν ἀργυρίῳ διδομένῳ, καὶ αὐτὸς ἔλαβεν ἐν τοῖς πολίταις.
οὐκοῦν καὶ τρέφομεν ὑμετέρους πολίτας τοὺς παῖδας. κἄν
ποτε δέησθε, βοηθήσουσιν ὑμῖν πρὸς λῃστὰς ἢ πρὸς πολε-
μίους. νῦν μὲν οὖν εἰρήνη ἐστίν· ἐὰν δέ ποτε συμβῇ καιρὸς
τοιοῦτος, εὔξεσθε τοὺς πολλοὺς φανῆναι ὁμοίους ἡμῖν. μὴ γὰρ
δὴ τοῦτόν γε τὸν ῥήτορα νομίζετε μαχεῖσθαι τότε περὶ ὑμῶν, 109 M.
50 εἰ μή γε λοιδορούμενον, ὥσπερ τὰς γυναῖκας. τῶν μέντοι
κρεῶν καὶ τῶν δερμάτων, ὅταν γέ τοι ἕλωμεν θηρίον, μοῖραν
δώσομεν· μόνον πέμπετε τὸν ληψόμενον. ἐὰν δὲ κελεύσητε
καθελεῖν τὰς σκηνάς, εἴ τι βλάπτουσι, καθελοῦμεν. ἀλλ'
ὅπως δώσετε ἡμῖν ἐνθάδε οἰκίαν· ἢ πῶς ὑπενεγκεῖν δυνησό-
μεθα τοῦ χειμῶνος; ἔστιν ὑμῖν οἰκήματα πολλὰ ἐντὸς τοῦ
τείχους, ἐν οἷς οὐδεὶς οἰκεῖ· τούτων ἡμῖν ἓν ἀρκέσει. εἰ δὲ 239 R.
οὐκ ἐνθάδε ζῶμεν οὐδὲ πρὸς τῇ στενοχωρίᾳ τοσούτων ἀν-
θρώπων ἐν ταὐτῷ διαγόντων καὶ ἡμεῖς ἐνοχλοῦμεν, οὐ δήπου
51 διά γε τοῦτο μετοικίζεσθαι ἄξιοί ἐσμεν. ὃ δὲ ἐτόλμησεν
εἰπεῖν περὶ τῶν ναυαγίων, πρᾶγμα οὕτως ἀνόσιον καὶ πονη-
ρόν· τοῦτο γὰρ μικροῦ ἐξελαθόμην εἰπεῖν, ὃ πάντων πρῶτον
ἔδει με εἰρηκέναι· τίς ἂν πιστεύσειέ ποτε ὑμῶν; πρὸς γὰρ τῇ
ἀσεβείᾳ καὶ ἀδύνατόν ἐστιν ἐκεῖθεν καὶ ὁτιοῦν λαβεῖν, ὅπου
καὶ τῶν ξύλων οὐδὲν πλέον ἔστιν ἰδεῖν ἢ τὴν τέφραν· οὕτω
πάνυ σμικρὰ ἐκπίπτει. καί ἐστιν ἐκείνη μόνη ἡ ἀκτὴ ἁπασῶν
52 ἀπρόσιτος. καὶ τοὺς λάρους ἅπαξ εὑρόν ποτε ἐκβεβρασμέ-
νους· καὶ τούτους ἐνέπηξα εἰς τὴν δρῦν τὴν ἱεράν, τὴν πλη-
σίον τῆς θαλάττης. μὴ γὰρ εἴη ποτέ, ὦ Ζεῦ, λαβεῖν μηδὲ
κερδᾶναι κέρδος τοιοῦτον ἀπὸ ἀνθρώπων δυστυχίας. ἀλλὰ
ὠφελήθην μὲν οὐδὲν πώποτε, ἠλέησα δὲ πολλάκις ναυαγοὺς
ἀφικομένους, καὶ τῇ σκηνῇ ὑπεδεξάμην, καὶ φαγεῖν ἔδωκα

5. ὑμῖν. ἡμῖν C. ‖ 7. τούς. πως Iacobs. ‖ ὁμοίους ἡμῖν BCM, ἡμῖν ὁμοίους reliq. — 50, 2. καὶ τῶν. καὶ τὸν vm. ‖ γέ τοι CM, μέν τι B, μὲν reliq., unde μέγα Iacobs. ‖ 4. καθελεῖν. κατελθεῖν M. ‖ καθελοῦμεν. κατελθοῦμεν M. ‖ ἀλλ' ὅπως. ἀλλὰ πῶς BM. ‖ 5. οἰκίαν BMN. v, οἰκίας reliq. ‖ 7. οἰκεῖ CM. Interpr. r, ἐκεῖ vm. ‖ ἀρκέσει. ἄρκεσι M. ‖ εἰ. οὐ N. ‖ 8. ζῶμεν. ξῶμεν M. ‖ τῇ στενοχωρίᾳ. τῆς στενοχωρίας BMA. ‖ 10. μετοικίζεσθαι. μετοικεῖσθαι B, μισεῖσθαι M. — 51, 1. ὃ δέ. ὁ δὲ M. ‖ 2. ναυαγίων. ναυτίων C. ‖ 5. ἀσεβείᾳ BMA. corr. C. N. Morell., εὐσεβείᾳ reliq. ‖ 6. οὕτω. οὕτως C. ‖ 7. ἀκτή. αὐτή N. — 52, 1. καὶ τούς. καίτοι Iacobs. ad Antholog. III. p. 384. ‖ λάρους. λάρκους vel ταῤῥοὺς Iacobs., ταῤῥούς, οὓς Geel. ‖ 2. ἐνέπηξα. malim ἀνέπηξα. ‖ δρῦν τὴν BCM. Pflugk. p. 20, τὴν om. reliq. ‖ 4. κέρδος. κῆδος BA. ‖ δυστυχίας. δυστίας C.

Digitized by Google

καὶ πιεῖν, καὶ εἴ τι ἄλλο ἐδυνάμην, ἐπεβοήθησα καὶ συνη-
53 κολούθησα μέχρι τῶν οἰκουμένων. ἀλλὰ τίς ἂν ἐκείνων ἐμοὶ 240 R
νῦν μαρτυρήσειεν; οὔκουν οὐδὲ τοῦτο ἐποίουν μαρτυρίας ἕνε-
κεν ἢ χάριτος, ὅς γε οὐδ' ὁπόθεν ἦσαν ἠπιστάμην. μὴ γὰρ
ὑμῶν γε μηδεὶς περιπέσοι τοιούτῳ πράγματι. ταῦτα δὲ ἐμοῦ
λέγοντος ἀνίσταταί τις ἐκ μέσων, κἀγὼ πρὸς ἐμαυτὸν ἐνεθυ-
μήθην, ὅτι ἄλλος τις τοιοῦτος τυχὸν ἐμοῦ καταψευσόμενος.
54 ὁ δὲ εἶπεν· ἄνδρες, ἐγὼ πάλαι τοῦτον ἀμφιγνοῶν ἠπίστουν
ὅμως. ἐπεὶ δὲ σαφῶς αὐτὸν ἔγνωκα, δεινόν μοι δοκεῖ, μᾶλλον 110 M
δὲ ἀσεβές, μὴ εἰπεῖν, ἃ συνεπίσταμαι, μηδὲ ἀποδοῦναι λόγῳ
55 χάριν, ἔργῳ τὰ μέγιστα εὖ παθών. εἰμὶ δέ, ἔφη, πολίτης,
ὡς ἴστε, καὶ ὅδε· δείξας τὸν παρακαθήμενον, καὶ ὃς ἐπανέστη·
ἐτύχομεν δὲ πλέοντες ἐν τῇ Σωκλέους νηὶ τρίτον ἔτος. καὶ
διαφθαρείσης τῆς νεὼς περὶ τὸν Καφηρέα παντελῶς ὀλίγοι
τινὲς ἐσώθημεν ἀπὸ πολλῶν. τοὺς μὲν οὖν πορφυρεῖς ἀνέ- 241 R
λαβον· εἶχον γὰρ αὐτῶν τινες ἀργύριον ἐν φασκωλίοις.
ἡμεῖς δὲ γυμνοὶ παντελῶς ἐκπεσόντες δι' ἀτραποῦ τινος ἐβα-
δίζομεν, ἐλπίζοντες εὑρήσειν σκέπην τινὰ ποιμένων ἢ βουκό-
λων, κινδυνεύοντες ὑπὸ λιμοῦ τε καὶ δίψους διαφθαρῆναι.
56 καὶ μόλις ποτὲ ἤλθομεν ἐπὶ σκηνάς τινας, καὶ στάντες ἐβοῶ-
μεν. προελθὼν δὲ οὗτος εἰσάγει τε ἡμᾶς ἔνδον, καὶ ἀνέκαε
πῦρ οὐκ ἀθρόον, ἀλλὰ κατ' ὀλίγον· καὶ τὸν μὲν ἡμῶν αὐτὸς
ἐνέτριβε, τὸν δὲ ἡ γυνὴ στέατι· οὐ γὰρ ἦν αὐτοῖς ἔλαιον·
τέλος δὲ ὕδωρ κατέχεον θερμόν, ἕως ἀνέλαβον ἀπεψυγμένους.
57 ἔπειτα κατακλίναντες καὶ περιβαλόντες οἷς εἶχον, παρέθηκαν

7. ἄλλο. ἄλλον C. ‖ ἐπεβοήθησα BM, ἐβοήθησα reliq. — 53, 1. τίς ἂν CM. Iacobs. Add. p. 34, τις var. l. v, τις ἄνος N, τὶς ἄνθρωπος reliq. ‖ 2. τοῦτο. τότε Geel. p. 50. ‖ 3. ὅς γε v, ὅσον γε C, οὕς γε reliq. ‖ ὁπόθεν. sic dedi. ὅθεν ποτὲ Obs. p. 16, ὅθεν M, ὅθεν ποθὲν reliq. ‖ 4. περιπέσοι. περιπέσῃ BCM. ‖ 6. ἄλλος τις τοιοῦτος. sic dedi. ἄλλος τις τὸν οὗτος C, ἄλλος τοιοῦτος M, ἄλλος οὗτος reliq. — 54, 1. πάλαι τοῦτον. τοῦτον πάλαι B. ‖ ἠπίστουν. ἀπίστουν C. ‖ 2. ἐπεὶ δὲ CM. Reisk., ἐπειδὴ reliq. ‖ 3. μηδὲ. μηδ' C. ‖ 4. ἔργῳ. ἐγὼ BM. ‖ παθών. παθόντα M. — 55, 2. παρακαθήμενον CM. r, πατέρα καθήμενον reliq. ‖ 5. ἀπὸ πολλῶν. ἀπολλῶν N. ‖ τοὺς BCMAN. r, τὰς vm, οἱ mrg. m. ‖ ἀνέλαβον. ἀπολώλεσαν mrg. m. ‖ 6. φασκωλίοις. φασκολίοις N. ‖ 8. εὑρήσειν. εὑρίσειν M. ‖ 9. λιμοῦ. λειμοῦ M. ‖ δίψους. δίψης C, ῥίγους Reisk. — 56, 1. ἐβοῶμεν. βοῶμεν C. ‖ 2. προελθών. προσελθὼν BM. ‖ 3. πῦρ BCMA, πυρῶν reliq. ‖ 4. ἐνέτριβε Reisk. (qui postea id retractavit), ἀνέτριβε reliq. ‖ 5. κατέχεον. κατέχαιον M. — 57, 1. κατακλίναντες. κατακλείναντες M.

φαγεῖν ἡμῖν ἄρτους πυρίνους, αὐτοὶ δὲ κέγχρον ἑφθὴν ἤσθιον· ἔδωκαν δὲ καὶ οἶνον ἡμῖν πιεῖν, ὕδωρ αὐτοὶ πίνοντες, καὶ κρέα ἐλάφεια ὀπτῶντες ἄφθονα, τὰ δὲ ἕψοντες· τῇ δ' ὑστε- 242 R.
58 ραίᾳ βουλομένους ἀπιέναι κατέσχον ἐπὶ τρεῖς ἡμέρας. ἔπειτα προὔπεμψαν εἰς τὸ πεδίον, καὶ ἀπιοῦσι κρέας ἔδωκαν καὶ δέρμα ἑκατέρῳ πάνυ καλόν. ἐμὲ δὲ ὁρῶν ἐκ τῆς κακοπαθείας ἔτι πονήρως ἔχοντα ἐνέδυσε χιτώνιον τῆς θυγατρὸς ἀφελόμενος. ἐκείνη δὲ ἄλλο τι ῥάκος περιεζώσατο. τοῦτο, ἐπειδὴ ἐν τῇ κώμῃ ἐγενόμην, ἀπέδωκα. οὕτως ἡμεῖς γε ὑπὸ τούτου
59 μάλιστα ἐσώθημεν μετὰ τοὺς θεούς. ταῦτα δὲ ἐκείνου λέγοντος ὁ μὲν δῆμος ἤκουεν ἡδέως καὶ ἐπῄνουν με, ἐγὼ δὲ ἀναμνησθείς· χαῖρε, ἔφην, Σωτάδη· καὶ προσελθὼν ἐφίλουν αὐ- 111 M.
τὸν καὶ τὸν ἕτερον. ὁ δὲ δῆμος ἐγέλα σφόδρα, ὅτι ἐφίλουν αὐτούς. τότε ἔγνων, ὅτι ἐν ταῖς πόλεσιν οὐ φιλοῦσιν ἀλλή-
60 λους. παρελθὼν δὲ ἐκεῖνος ὁ ἐπιεικής, ὁ τὴν ἀρχὴν ὑπὲρ ἐμοῦ λέγων· ἐμοί, ἔφη, ὦ ἄνδρες, δοκεῖ καλέσαι τοῦτον εἰς τὸ πρυτανεῖον ἐπὶ ξενίᾳ. οὐ γάρ, εἰ μὲν ἐν πολέμῳ τινὰ ἔσωσε τῶν πολιτῶν ὑπερασπίσας, πολλῶν ἂν καὶ μεγάλων δωρεῶν ἔτυχε· νυνὶ δὲ δύο σώσας πολίτας, τυχὸν δὲ καὶ ἄλλους, οἳ
61 οὐ πάρεισιν, οὐκ ἔστιν ἄξιος οὐδεμιᾶς τιμῆς; ἀντὶ δὲ τοῦ χιτῶνος, ὃν ἔδωκεν τῷ πολίτῃ κινδυνεύοντι τὴν θυγατέρα ἀποδύσας, ἐπιδοῦναι αὐτῷ τὴν πόλιν χιτῶνα καὶ ἱμάτιον, ἵνα καὶ τοῖς ἄλλοις προτροπὴ γένηται δικαίοις εἶναι καὶ ἐπαρκεῖν ἀλλήλοις, ψηφίσασθαι δὲ αὐτοῖς καρποῦσθαι τὸ χωρίον, καὶ 243 R.
αὐτοὺς καὶ τὰ τέκνα, καὶ μηδένα αὐτοῖς ἐνοχλεῖν, δοῦναι δὲ αὐτῷ καὶ ἑκατὸν δραχμὰς εἰς κατασκευήν· τὸ δὲ ἀργύριον
62 τοῦτο ὑπὲρ τῆς πόλεως ἐγὼ παρ' ἐμαυτοῦ δίδωμι. ἐπὶ τούτῳ δὲ ἐπηνέθη, καὶ τἄλλα ἐγένετο, ὡς εἶπεν. καὶ ἐκομίσθη παραχρῆμα εἰς τὸ θέατρον τὰ ἱμάτια καὶ τὸ ἀργύριον. ἐγὼ δὲ

2. αὐτοί. οὗτοι CM. ‖ ἑφθήν. ἔφην M. ‖ ἤσθιον. ἤσθειον M. ‖ 5. βουλομένους. βουλευομένους M. — 58, 3. κακοπαθείας. κακοπαθίας M. ‖ 5. περιεζώσατο. περιεξώσατο M. ‖ 6. ἡμεῖς. ὑμεῖς M. ‖ γε C. Obs. p. 16, τε reliq. — 59, 1. ταῦτα. τάδε C. ‖ 2. ἤκουεν. ἤκουον B. ‖ 3. Σωτάδη. Σωζάδη M. ‖ 4. ἕτερον BMA. Casaub., ἑταῖρον reliq. — 60, 2. ἔφη om. B. ‖ 3. μὲν ἐν BCM. Geel., ἐν om. reliq. ‖ τινα ἔσωσε CM (corr. ἔσωσέν τινα), τινα om. B, ἔσωσέν τινα reliq. ‖ 5. ἄλλους. ἄλλοις vm. — 61, 2. ὄν. ὃς ἐν M. ‖ 5. δὲ αὐτοῖς. δὲ om. C. ‖ 6. αὐτοῖς. αὐτοὺς C. — 62, 2. ἐπηνέθη BCMAN. Casaub., ἀπηνίσθη reliq. ‖ τἄλλα CM, τὰ ἄλλα reliq. ‖ εἶπεν M (corr. εἶπε), εἶπε reliq.

οὐκ ἐβουλόμην λαβεῖν. ἀλλ' εἶπον· ὅτι οὐ δύνασαι δειπνεῖν
ἐν τῷ δέρματι. οὐκοῦν, εἶπον, τὸ σήμερον ἄδειπνος μενῶ.
ὅμως δὲ ἐνέδυσάν με τὸν χιτῶνα καὶ περιέβαλον τὸ ἱμάτιον.
ἐγὼ δὲ ἄνωθεν βαλεῖν ἐβουλόμην τὸ δέρμα, οἱ δὲ οὐκ εἴων.
63 τὸ δὲ ἀργύριον οὐκ ἐδεξάμην οὐδένα τρόπον, ἀλλ' ἀπωμοσά-
μην μὴ λήψεσθαι. εἰ δὲ ζητεῖτε, τίς λάβῃ, τῷ ῥήτορι, ἔφην,
δότε, ὅπως κατορύξῃ αὐτό· ἐπίσταται γὰρ δηλονότι. ἀπ'
64 ἐκείνου δὲ ἡμᾶς οὐδεὶς ἠνώχλησεν. σχεδὸν οὖν εἰρηκότος αὐ-
τοῦ πρὸς ταῖς σκηναῖς ἦμεν. κἀγὼ γελάσας εἶπον· ἀλλ' ἕν
τι ἀπεκρύψω τοὺς πολίτας, τὸ κάλλιστον τῶν κτημάτων. τί
τοῦτο; εἶπεν. τὸν κῆπον, ἔφην, τοῦτον, πάνυ καλὸν καὶ
λάχανα πολλὰ καὶ δένδρα ἔχοντα. οὐκ ἦν, ἔφη, τότε, ἀλλ'
65 ὕστερον ἐποιήσαμεν. εἰσελθόντες οὖν εὐωχούμεθα τὸ λοιπὸν
τῆς ἡμέρας, ἡμεῖς μὲν κατακλιθέντες ἐπὶ φύλλων τε καὶ δερ- 112 M.
μάτων, ἐπὶ στιβάδος ὑψηλῆς, ἡ δὲ γυνὴ πλησίον παρὰ τὸν
ἄνδρα καθημένη. θυγάτηρ δὲ ὡραία γάμου διηκονεῖτο, καὶ 244 R.
ἐνέχει πιεῖν μέλανα οἶνον ἡδύν. οἱ δὲ παῖδες τὰ κρέα παρε-
σκεύαζον, καὶ αὐτοὶ ἅμα ἐδείπνουν παρατιθέντες, ὥστε ἐμὲ
εὐδαιμονίζειν τοὺς ἀνθρώπους ἐκείνους καὶ οἴεσθαι μακαρίως
66 ζῆν πάντων μάλιστα ὧν ἠπιστάμην. καίτοι πλουσίων [μὲν]
οἰκίας τε καὶ τραπέζας ἠπιστάμην, οὐ μόνον ἰδιωτῶν, ἀλλὰ
καὶ σατραπῶν καὶ βασιλέων, οἳ μάλιστα ἐδόκουν μοι τότε,
ἄθλιοι καὶ πρότερον δοκοῦντες, ἔτι μᾶλλον, ὁρῶντι τὴν ἐκεῖ
πενίαν τε καὶ ἐλευθερίαν, καὶ ὅτι οὐδὲν ἀπελείποντο οὐδὲ τῆς
περὶ τὸ φαγεῖν τε καὶ πιεῖν ἡδονῆς, ἀλλὰ καὶ τούτοις ἐπλεο-
67 νέκτουν σχεδόν τι. ἤδη δ' ἱκανῶς ἡμῶν ἐχόντων ἦλθε κἀκεῖ-
νος ὁ ἕτερος. συνηκολούθει δὲ υἱὸς αὐτῷ, μειράκιον οὐκ
ἀγεννές, λαγὼ φέρων. εἰσελθὼν δὲ οὗτος ἠρυθρίασεν· ἐν
ὅσῳ δὲ ὁ πατὴρ αὐτοῦ ἠσπάζετο ἡμᾶς, αὐτὸς ἐφίλησε τὴν

4. εἶπον. εἶπεν BMN. ‖ δύνασαι. δύναται C, δύνασε M. ‖ 5. μενῶ. μενεῖ vm. ‖ 6. ἐνέδυσάν. ἐνέδυσαν vm. ‖ περιέβαλον BCM, περιέβαλλον reliq. — 63, 2. μὴ om BC, in M a corr. addit. ‖ 3. γάρ. ἂν C. — 64, 3. ἀπεκρύψω. ἀποκρύψω B. — 65, 2. κατακλιθέντες. κατακλεινέντες M. ‖ φύλλων. φύλων M. ‖ 3. ὑψηλῆς. ὑψηλοῖς v, ὑψηλοῦς m. ‖ 5. οἶνον. οἶον N. — 66, 1. καίτοι—ἠπιστάμην om. C. ‖ [μὲν] om. B. ‖ 2. ἰδιωτῶν om. B, in M mrg. addit. ‖ ἀλλὰ καί. καὶ om. C. ‖ 5. ἀπελεί-ποντο. ἀπελίποντο BCM. ‖ τῆς om. B. ‖ 6. τε καὶ CM, τε om. reliq. ‖ πιεῖν. πινεῖν (at ν obel. notat.) M. ‖ καί. κἂν Reisk. — 67, 1. ἡμῶν ἐχόντων BCM, ἐχόντων ἡμῶν reliq. ‖ ἦλθε. ἦλθεν M. ‖ 2. αὐτῷ om. C. ‖ 3. ἀγεννές. ἀγενὲς B. ‖ λαγώ. λαγὼν B, λάγων M.

κόρην, καὶ τὸν λαγὼ ἐκείνῃ ἔδωκεν. ἡ μὲν οὖν παῖς ἐπαύσατο
διακονουμένη καὶ παρὰ τὴν μητέρα ἐκαθέζετο, τὸ δὲ μειρά-
68 κιον ἀντ' ἐκείνης διηκονεῖτο. κἀγὼ τὸν ξένον ἠρώτησα· αὕτη,
ἔφην, ἐστὶν, ἧς τὸν χιτῶνα ἀποδύσας τῷ ναυαγῷ ἔδωκας;
καὶ ὃς γελάσας· οὐκ, ἔφη, ἀλλ' ἐκείνη, εἶπε, πάλαι πρὸς ἄνδρα
ἐδόθη, καὶ τέκνα ἔχει μεγάλα ἤδη, πρὸς ἄνδρα πλούσιον εἰς
κώμην. οὐκοῦν, ἔφην, ἐπαρκοῦσιν ὑμῖν, ὅ τι ἂν δέησθε;
69 οὐδὲν, εἶπεν ἡ γυνὴ, δεόμεθα ἡμεῖς. ἐκεῖνοι δὲ λαμβάνουσι
καὶ ὁπηνίκα τι θηραθῇ καὶ ὀπώραν καὶ λάχανα. οὐ γάρ ἐστι 245 R.
κῆπος παρ' αὐτοῖς. πυροὺς ἐλάβομεν, σπέρμα ψιλὸν, καὶ
ἀπεδώκαμεν αὐτοῖς εὐθὺς τῆς θερείας. τί οὖν; ἔφην, καὶ
ταύτην διανοεῖσθε διδόναι πλουσίῳ, ἵνα ὑμῖν καὶ αὐτὴ πυροὺς
δανείσῃ; ἐνταῦθα μέντοι ἄμφω ἠρυθριασάτην, ἡ κόρη καὶ
70 τὸ μειράκιον. ὁ δὲ πατὴρ αὐτῆς ἔφη· πένητα ἄνδρα λήψεται,
ὅμοιον ἡμῖν κυνηγέτην· καὶ μειδιάσας ἔβλεψεν εἰς τὸν νεανί-
σκον. κἀγώ· τί οὖν οὐκ ἤδη δίδοτε; ἢ δεῖ ποθεν αὐτὸν ἐκ 113 M.
κώμης ἀφικέσθαι; δοκῶ μὲν, εἶπεν, οὐ μακράν ἐστιν· ἀλλ'
ἔνδον ἐνθάδε. καὶ ποιήσομέν γε τοὺς γάμους ἡμέραν ἀγαθὴν
ἐπιλεξάμενοι. κἀγώ· πῶς, ἔφην, κρίνετε τὴν ἀγαθὴν ἡμέραν;
καὶ ὅς· ὅταν μὴ μικρὸν ᾖ τὸ σελήνιον· δεῖ δὲ καὶ τὸν ἀέρα
71 εἶναι καθαρὸν, αἰθρίαν λαμπράν. κἀγώ· τί δαί; τῷ ὄντι
κυνηγέτης ἀγαθός ἐστιν; ἔφην. ἔγωγε, εἶπεν ὁ νεανίσκος, καὶ
ἔλαφον καταπονῶ καὶ σῦν ὑφίσταμαι. ὄψει δὲ αὔριον, ἂν
θέλῃς, ὦ ξένε. καὶ τὸν λαγὼ τοῦτον σὺ, ἔφην, ἔλαβες; ἑάλω,
ἔφη γελάσας, τῷ λιναρίῳ τῆς νυκτός. ἦν γὰρ αἰθρία πάνυ 246 R.
καλὴ καὶ ἡ σελήνη τηλικαύτη τὸ μέγεθος, ἡλίκη οὐδεπώποτε
72 ἐγένετο. ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι, οὐ μόνον ὁ
τῆς κόρης πατὴρ, ἀλλὰ καὶ ὁ ἐκείνου. ὁ δὲ ᾐσχύνθη καὶ

5. λαγώ. λαγὼν B, λάγων M. ‖ 6. παρά. περὶ C. ‖ ἐκαθέζετο. ἐκαθίζετο BM. — 68, 1. αὕτη. αὐτὴ M. ‖ 2. ἔφην. ἔφη. M. ‖ 5. ἔφην BCM. Interpr. r, ἔφη vm. ‖ ὑμῖν BCM. Interpr. r, ἡμῖν vm. ‖ ὅ τι Interpr., ὅτι reliq. — 69, 2. τι BCM. Casaub., τις reliq. (conf. §. 17.). ‖ 3. πυρούς. πέρυσι πυροὺς Casaub. egregie. ‖ 5. διδόναι πλουσίῳ BCM, πλουσίῳ διδόναι reliq. ‖ 6. δανείσῃ. δανίσῃ M. ‖ ἐνταῦθα B, καὶ ἐνταῦθα reliq. ‖ ἠρυθριασάτην. ἠριθριασάτην M. — 70, 2. κυνηγέτην. κυναγέτην M. ‖ ἔβλεψεν εἰς BCM, ἔβλεψε πρὸς reliq. ‖ 4. δοκῶ μέν. δοκῶμεν B. ‖ 7. ὅς. ὡς M. — 71, 1. τί δαί. τίς δὲ M. ‖ 3. ἔλαφον. ἐλαφρὸν M. ‖ σῦν ὑφίσταμαι M. Iacobs. Add. p. 88, συνυφίσταμαι BN, συνεφίσταμαι reliq. ‖ 4. λαγώ. λαγὼν BC, λάγω M. ‖ ἑάλω Obs. p. 16, ἐγὼ BCM, κἀγὼ reliq., καὶ γὰρ Iacobs. ‖ 6. οὐδεπώποτε. οὐδέποτε C.

ἐσιώπησεν. λέγει οὖν ὁ τῆς κόρης πατήρ· ἐγὼ μὲν, ἔφη, ὦ
παῖ, οὐδὲν ὑπερβάλλομαι. ὁ δὲ πατήρ σου περιμένει, ἔστ'
ἂν ἱερεῖον πρίηται πορευθείς. δεῖ γὰρ θῦσαι τοῖς θεοῖς.
εἶπεν οὖν ὁ νεώτερος ἀδελφὸς τῆς κόρης· ἀλλὰ ἱερεῖόν γε
πάλαι οὗτος παρεσκεύακε, καί ἐστιν ἔνδον τρεφόμενον ὄπισθε
73 τῆς σκηνῆς, γενναῖον. ἠρώτων οὖν αὐτόν· ἀληθῶς; ὁ δὲ ἔφη.
καὶ πόθεν σοι; ἔφασαν. ὅτε τὴν ὗν ἐλάβομεν τὴν τὰ τέκνα
ἔχουσαν, τὰ μὲν ἄλλα διέδρα· καὶ ἦν, ἔφη, ταχύτερα τοῦ
λαγώ· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον καὶ ἁλόντι τὸ δέρμα ἐπέβα-
λον· τοῦτο ἠλλαξάμην ἐν τῇ κώμῃ, καὶ ἔλαβον ἀντ' αὐτοῦ
74 χοῖρον, καὶ ἔθρεψα ποιήσας ὄπισθε συφεόν. ταῦτα, εἶπεν,
ἄρα ἡ μήτηρ σοῦ ἐγέλα, ὁπότε θαυμάζοιμι ἀκούων γρυλλι-
ζούσης τῆς συὸς, καὶ τὰς κριθὰς οὕτως ἀνήλισκες. αἱ γὰρ
εὐβοΐδες, εἶπεν, οὐχ ἱκαναὶ ἦσαν πιᾶναι, εἰ μή γε βαλάνους
ἤθελον ἐσθίειν. ἀλλὰ εἰ βούλεσθε ἰδεῖν αὐτὴν, ἄξω πορευ- 247 R
θείς. οἱ δὲ ἐκέλευον. ἀπῄεσαν οὖν ἐκεῖνός τε καὶ οἱ αὐτό-
75 θεν παῖδες δρόμῳ χαίροντες. ἐν δὲ τούτῳ ἡ παρθένος ἀνα-
στᾶσα ἐξ ἑτέρας σκηνῆς ἐκόμισεν οὖα τετμημένα καὶ μέσπιλα
καὶ μῆλα χειμερινὰ καὶ τῆς γενναίας σταφυλῆς βότρυς σφρι-
γῶντας, καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψήσασα φύλλοις 114 M. 2
ἀπὸ τῶν κρεῶν, ὑποβαλοῦσα καθαρὰν πτερίδα. ἧκον δὲ καὶ
76 οἱ παῖδες τὴν ὗν ἄγοντες μετὰ γέλωτος καὶ παιδιᾶς. συνηκο-
λούθει δὲ ἡ μήτηρ τοῦ νεανίσκου καὶ ἀδελφοὶ δύο παιδάρια·
ἔφερον δὲ ἄρτους τε καθαροὺς καὶ ᾠὰ ἑφθὰ ἐν ξυλίνοις πί-
ναξι καὶ ἐρεβίνθους φρυκτούς. ἀσπασαμένη δὲ τὸν ἀδελφὸν
ἡ γυνὴ καὶ τὴν θυγατέρα [καὶ τὴν ἀδελφιδῆν] ἐκαθέζετο
παρὰ τὸν αὐτῆς ἄνδρα καὶ εἶπεν· ἰδοῦ τὸ ἱερεῖον, ὃ οὗτος

72, 3. ἐσιώπησεν M, ἐσιώπησε reliq. ‖ 5. πρίηται. περιῆται M. ‖ πορευθείς. πόθεν (vel delendum, ut e verbis ἄξω πορευθείς §. 74 male repetitum) Iacobs. ‖ 6. ἀδελφὸς BMN. Reisk., ὁ ἀδελφὸς reliq. ‖ γε πάλαι BCM, πάλαι γε reliq. ‖ 7. ὄπισθε M, ὄπισθεν reliq. — 73, 1. ἠρώτων. ἠρῶτον M. ‖ 2. ἔφασαν. ἔφθασαν C. ‖ τὴν ὗν. τὴν νῦν M. ‖ τὰ τέκνα. τὰς τέκνας M., τὰ om. N. ‖ 4. λαγώ. λάγω M. ‖ ἁλόντι Geel., ἄλλοι reliq. ‖ τὸ δέρμα. τὰ δεσμὰ (servato v. ἄλλοι) Iacobs. ‖ ἐπέβαλον. ἐπέβαλλον B. — 74, 2. γρυλλιζούσης. γρυλιζούσης B. ‖ 4. εὐβοΐδες. sic dedi. sunt castaneae. Εὐβοΐδες reliq. ‖ ἱκαναί. ἱκανὰ C. ‖ 5. ἤθελον. ἤθελεν B. ‖ 6. οἱ αὐτόθεν παῖδες. οἱ παῖδες αὐτόθεν Geel. — 75, 2. οὖα BCMAN. Casaub. r, οὖν reliq. ‖ μέσπιλα. μέσπειλα M. ‖ 5. ἀπὸ τῶν. malim τὰ ἀπὸ τῶν. ‖ ὑποβαλοῦσα. ὑποβάλλουσα BM. ‖ 6. παιδιᾶς. παιδείας M. — 76, 4. φρυκτούς. φρικτοὺς M. ‖ 5. [καὶ τὴν ἀδελφιδῆν] videntur interpolatoris, τὴν ἀδελφιδῆν Selden. ‖ 6. αὐτῆς

πάλαι ἔτρεφεν εἰς τοὺς γάμους. καὶ τἄλλα τὰ παρ' ἡμῶν
ἕτοιμά ἐστι, καὶ ἄλευρα καὶ ἄλφιτα πεποίηται· μόνον ἴσως
οἰναρίου προσδεησόμεθα· καὶ τοῦτο οὐ χαλεπὸν ἐκ τῆς κώμης
77 λαβεῖν. παρειστήκει δὲ αὐτῇ πλησίον ὁ υἱὸς πρὸς τὸν κηδε-
στὴν ἀποβλέπων. καὶ ὃς μειδιάσας εἶπεν· οὗτος, ἔφη, ἐστὶν
ὁ ἐπέχων· ἴσως γὰρ ἔτι βούλεται πιᾶναι τὴν ὗν. καὶ τὸ μει-
ράκιον· αὕτη μὲν, εἶπεν, ὑπὸ τοῦ λίπους διαῤῥαγήσεται.
78 κἀγὼ βουλόμενος αὐτῷ βοηθῆσαι· ὅρα, ἔφην, μὴ, ἕως πιαίνε-
ται ἡ ὗς, οὗτος ὑμῖν λεπτὸς γένηται. ἡ δὲ μήτηρ· ἀληθῶς,
εἶπεν, ὁ ξένος λέγει, ἐπεὶ καὶ νῦν λεπτότερος αὐτοῦ γέγονεν·
καὶ πρώην ᾐσθόμην τῆς νυκτὸς αὐτὸν ἐγρηγορότα καὶ προελ-
θόντα ἔξω τῆς σκηνῆς. οἱ κύνες, ἔφη, ὑλάκτουν, καὶ ἐξῆλ-
79 θον ὀψόμενος. οὐ σύ γε, εἶπεν, ἀλλὰ περιεπάτεις ἀλύων.
μὴ οὖν πλείω χρόνον ἐῶμεν ἀνιᾶσθαι αὐτόν. καὶ περιβαλοῦσα 249 R.
ἐφίλησε τὴν μητέρα τῆς κόρης. ἡ δὲ πρὸς τὸν ἄνδρα τὸν
ἑαυτῆς· ποιῶμεν, εἶπεν, ὡς θέλουσιν. καὶ ἔδοξε ταῦτα, καὶ
εἶπον· εἰς τρίτην ποιῶμεν τοὺς γάμους. παρεκάλουν δὲ κἀμὲ
80 προσμεῖναι τὴν ἡμέραν. κἀγὼ προσέμεινα οὐκ ἀηδῶς, ἐνθυ-
μούμενος ἅμα τῶν πλουσίων ὁποῖά ἐστι τά τε ἄλλα καὶ τὰ
περὶ τοὺς γάμους προμνηστριῶν τε πέρι καὶ ἐξετάσεων οὐ-
σιῶν τε καὶ γένους, προικῶν τε καὶ ἕδνων καὶ ὑποσχέσεων
καὶ ἀπατῶν, ὁμολογιῶν τε καὶ συγγραφῶν, καὶ τελευταῖον
πολλάκις ἐν αὐτοῖς τοῖς γάμοις λοιδοριῶν καὶ ἀπεχθειῶν.
81 διόπερ καὶ ἅπαντα δὴ τοῦτον τὸν λόγον διῆλθον, οὐκ ἄλλως 115 M.
οὐδὲ, ὡς τάχ' ἂν δόξαιμί τισιν, ἀδολεσχεῖν βουλόμενος· ἀλλ'
οὗπερ ἐξαρχῆς ὑπεθέμην βίου καὶ τῆς τῶν πενήτων διαγωγῆς
παράδειγμα ἐκτιθεὶς, ὃ αὐτὸς ἠπιστάμην, τῷ βουλομένῳ θεά-
σασθαι λόγων τε καὶ ἔργων καὶ κοινωνιῶν τῶν πρὸς ἀλλή-
λους· εἴ γε δὴ τῶν πλουσίων ἐλαττοῦνται διὰ τὴν πενίαν πρὸς
τὸ ζῆν εὐσχημόνως καὶ κατὰ φύσιν; ἢ τῷ παντὶ πλέον ἔχουσιν. 250 R.

ἄνδρα. ἄνδρα αὐτῆς C. ‖ οὗτος πάλαι BCM, πάλαι οὗτος reliq. ‖ 7. ἡμῶν Obs. p. 16, ἡμῖν reliq. ‖ 8. ἄλευρα καὶ ἄλφιτα. ἄλφιτα καὶ ἄλευρα C. ‖ 9. οἰναρίου. οἰναρίους M. — 77, 1. παρειστήκει δὲ αὐτῇ. ἔστι δὲ αὕτη B. ‖ ὁ υἱὸς Obs. p. 16, οὗτος reliq. ‖ 3. ἐπέχων BCMA. r, ἀπέχων N. vm, ἀνέχων Casaub. — 78, 2. ὗς. ὕς C. ‖ αὐτοῦ. αὐτοῦ MN. ‖ 3. γέγονεν. γέγονε CM. ‖ 4. πρώην. προΐην B. ‖ ἔξω. ἄξω M. — 79, 2. ἀνιᾶσθαι. ἀντιᾶσθαι M. ‖ 4. θέλουσιν M, θέλουσι reliq. ‖ 5. εἰς. εἰς τὴν N. — 80, 3. πέρι BCMAN. r, πατρὶ vm, γὰρ δεῖ Casaub. ‖ 4. ἕδνων. ἐδειων N. ‖ 6. ἀπεχθειῶν. ἀπεχθιῶν M. — 81, 1. διόπερ καὶ ἅπαντα δή. ἅπαντα δὲ C, ἅπαντα δὴ M. ‖ 2. οὐδὲ C, οὐδ' reliq. ‖ 6. εἴ γε δή. εἴ τι C, σιγῇ M, οἵ γε δὴ BA. ‖ 7. ἢ τῷ. καὶ

82 καὶ δῆτα καὶ τὸ τοῦ Εὐριπίδου σκοπῶν, εἰ καὶ κατ' ἀλήθειαν
ἀπόρως αὐτοῖς ἔχει τὰ πρὸς τοὺς ξένους, ὡς μήτε ὑποδέξα-
σθαί ποτε δύνασθαι μήτε ἐπαρκέσαι δεομένῳ τινί, οὐδαμῇ
τοιοῦτον εὑρίσκω τὸ τῆς ξενίας, ἀλλὰ καὶ πῦρ ἐναύοντας
προθυμότερον τῶν πλουσίων καὶ ὁδῶν ἀπροφασίστους ἡγε-
μόνας· ἐπεί τοι τὰ τοιαῦτα καὶ αἰσχύνοιντο ἄν· πολλάκις δὲ
καὶ μεταδιδόντας ὧν ἔχουσιν ἑτοιμότερον· οὐ γὰρ δὴ ναυαγῷ
τις δώσει ἐκείνων οὔτε τὸ τῆς γυναικὸς ἁλουργὲς ἢ τὸ τῆς
θυγατρὸς, οὔτε πολὺ ἧττον τούτου φόρημα, τῶν χλαινῶν τινα
ἢ χιτώνων, μυρία ἔχοντες, ἀλλ' οὐδὲ τῶν οἰκετῶν οὐδενὸς
83 ἱμάτιον. δηλοῖ δὲ καὶ τοῦτο Ὅμηρος. τὸν μὲν γὰρ Εὔμαιον
πεποίηκε, δοῦλον καὶ πένητα, ὅμως τὸν Ὀδυσσέα καλῶς ὑπο-
δεχόμενον καὶ τροφῇ καὶ κοίτῃ, τοὺς δὲ μνηστῆρας ὑπὸ πλού-
του καὶ ὕβρεως οὐ πάνυ ῥᾳδίως αὐτῷ μεταδιδόντας οὐδὲ τῶν
ἀλλοτρίων· ὥς που καὶ αὐτὸς πεποίηται λέγων πρὸς τὸν Ἀν-
τίνουν, ὀνειδίζων τὴν ἀνελευθερίαν·

οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
σίτου ἀπάρξασθαι, πολλῶν κατὰ οἶκον ἐόντων.

84 καὶ τούτους μὲν ἔστω διὰ τὴν ἄλλην πονηρίαν εἶναι τοιού- 251 R.
τους· ἀλλ' οὐδὲ τὴν Πηνελόπην, καίτοι χρηστὴν οὖσαν καὶ
σφόδρα ἡδέως διαλεγομένην πρὸς αὐτὸν καὶ περὶ τοῦ ἀνδρὸς 116 M.
πεπυσμένην, οὐδὲ ταύτην φησὶν ἱμάτιον αὐτῷ δοῦναι γυμνῷ
παρακαθημένῳ, ἀλλ' ἢ μόνον ἐπαγγέλλεσθαι, ἂν ἄρα φανῇ
ἀληθεύων περὶ τοῦ Ὀδυσσέως, ὅτι ἐκείνου τοῦ μηνὸς ἥξοι·

τῷ m, τῷ r. — 82, 1. Εὐριπίδου. Εὐριπίδου M. conf. Electr. 425. ‖ 2. μήτε. μήποτε M. ‖ 3. οὐδαμῇ. οὐδαμῇ πω C, οὐδαμῇ τὸ M. ‖ 4. τοιοῦτον. τοιοῦτο BM. ‖ 5. ὁδῶν. ὁδὸν C. ‖ 6. ἐπεί τοι τὰ τοιαῦτα καί. ἔπειτα τοιαῦτα καὶ N, ἐπεὶ οὗτοι τά γε τοιαῦτα καὶ Reisk., ἕτερά τε ποιοῦντας τοιαῦτα, ἃ καὶ Pflugk. p. 21. ‖ αἰσχύνοιντο BC. Reisk., αἰσχύνοιτο reliq. ‖ πολλάκις δὲ καί. πολλοί, καὶ δὴ καὶ Pflugk. l. l. ‖ 7. μεταδιδόντας. μεταδόντων B. ‖ οὐ γὰρ δή. οὐδὲ γὰρ B. ‖ 8. οὔτε Geel., οὐδὲ reliq. ‖ 9. τούτου. τὸ αὐτοῦ Casaub. — 83, 1. δηλοῖ. δῆλος M. ‖ 4. οὐδὲ τῶν. τῶν om. C. ‖ 5. ὥς που BCM, ὥσπερ reliq. ‖ πρὸς τὸν BCM, τὸν om. reliq. ‖ 6. ὀνειδίζων τὴν ἀνελευθερίαν. ὀνειδίζοντα τὴν ἐλευθερίαν C, ὀνειδίζων τὴν ἐλευθερίαν M. ‖ 7. οἴκου σῷ. οἴκου οὐ σῷ C. ‖ ἅλα. ἄλλα N. ‖ 9. σίτου ἀπάρξασθαι, πολλῶν κατὰ οἶκον ἐόντων. σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν Od. 17, 457, conf. Orat. XI, 16. — 84, 2. ἀλλ' om. m. ‖ Πηνελόπην. πελόπην C. ‖ 3. ἡδέως διαλεγομένην. διαλεγομένην ἡδέως B. ‖ 5. παρακαθημένῳ. παραθημένῳ m. ‖ ἐπαγγέλλεσθαι. ἐπαγγέλεσθαι B.

Digitized by Google

85 καὶ ὕστερον, ἐπειδὴ τὸ τόξον ᾔτει, τῶν μνηστήρων, οὐ δυνα-
μένων ἐπιτεῖναι, χαλεπαινόντων ἐκείνῳ, ὅτι ἠξίου πρὸς αὐτοὺς
ἁμιλλᾶσθαι περὶ ἀρετῆς, ἀξιοῖ δοθῆναι αὐτῷ· οὐ γὰρ δὴ
περὶ τοῦ γάμου γε εἶναι κἀκείνῳ τὸν λόγον· ἀλλ' ἐὰν τύχῃ
ἐπιτείνας καὶ διαβαλὼν διὰ τῶν πελέκεων, ἐπαγγέλλεται αὐ-
86 τῷ δώσειν χιτῶνα καὶ ἱμάτιον καὶ ὑποδήματα· ὡς δέον αὐτὸν
τὸ Εὐρύτου τόξον ἐντεῖναι καὶ τοσούτοις νεανίσκοις ἐχθρὸν
γενέσθαι, τυχὸν δὲ καὶ ἀπολέσθαι παραχρῆμα ὑπ' αὐτῶν, εἰ
μέλλει τυγχάνειν ἐξωμίδος καὶ ὑποδημάτων, ἢ τὸν Ὀδυσσέα,
εἴκοσιν ἐτῶν οὐδαμοῦ πεφηνότα, ἥκοντα ἀποδεῖξαι, καὶ ταῦ-
τα ἐν ἡμέραις ῥηταῖς· εἰ δὲ μή, ἐν τοῖς αὐτοῖς ἀπιέναι ῥάκεσιν.
ταῦτα περὶ τῆς σώφρονος καὶ ἀγαθῆς Ἰκαρίου θυγατρὸς βα-
87 σιλίδος. σχεδὸν δὲ καὶ ὁ Τηλέμαχος ποιαῦτα ἕτερα πρὸς τὸν
συβώτην λέγει περὶ αὐτοῦ, κελεύων αὐτὸν εἰς τὴν πόλιν πέμ-
πειν τὴν ταχίστην πτωχεύσοντα ἐκεῖ, καὶ μὴ πλείους ἡμέρας 252 R.
τρέφειν ἐν τῷ σταθμῷ· καὶ γὰρ εἰ ξυνέκειτο αὐτοῖς ταῦτα,
ἀλλ' ὅ γε συβώτης οὐ θαυμάζει τὸ πρᾶγμα καὶ τὴν ἀπαν-
88 θρωπίαν· ὡς ἔθους δὴ ὄντος οὕτως ἀκριβῶς καὶ ἀνελευθέρως
πράττειν τὰ περὶ τοὺς ξένους τοὺς πένητας, μόνους δὲ τοὺς
πλουσίους ὑποδέχεσθαι φιλοφρόνως ξενίοις καὶ δώροις, παρ'
ὧν δηλονότι καὶ αὐτοὶ προσεδόκων τῶν ἴσων ἂν τυχεῖν, ὁποῖα
σχεδὸν καὶ τὰ τῶν νῦν ἐστι φιλανθρωπίας τε πέρι καὶ προαι-
89 ρέσεως. αἱ γὰρ δὴ δοκοῦσαι φιλοφρονήσεις καὶ χάριτες, ἐὰν
σκοπῇ τις ὀρθῶς, οὐδὲν διαφέρουσιν ἐράνων καὶ δανείων, ἐπὶ
τόκῳ συχνῷ καὶ ταῦτα ὡς τοπολὺ γιγνόμενα, εἰ μὴ νὴ Δί'
ὑπερβάλλει τὰ νῦν τὰ πρότερον, ὥσπερ ἐν τῇ ἄλλῃ ξυμπάσῃ
90 κακίᾳ. ἔχω γε μὴν εἰπεῖν καὶ περὶ τῶν Φαιάκων καὶ τῆς 117 M.

85, 4. γάμου γε B. Reisk., γε om. C., γάμου τε reliq. — 86, 1. ὡς δέον αὐτὸν τὸ Εὐρύτου. ὡς δὲ αὐτὸν τὸ εὐρὺ τοῦτο B. ‖ 6. ῥάκεσιν M, ῥάκεσι reliq. ‖ 7. ταῦτα περὶ. παρὰ CM. ‖ βασιλίδος. τῆς βασιλίδος Reisk. malim βασιληίδος. — 87, 1. τὸν συβώτην. τὴν συβήτην N. ‖ 2. λέγει. λέγειν m. ‖ αὐτὸν εἰς BCM. Selden. r, αὐτοῦ εἰς vm. ‖ 3. πτωχεύσοντα. πτωχεύοντα M. ‖ 5. πρᾶγμα. πρόσταγμα Geel. — 88, 1. ἔθους CM. var. l. v. r, ἔθος BN. vm. ‖ 4. ἂν τυχεῖν BCMN. Iacobs. Add. p. 15, ἀντυχεῖν v, ἐντυχεῖν mr. ‖ 5. τὰ τῶν νῦν BMN. Obs. p. 17, τὰ τὸ νῦν reliq., τἄλλα νῦν Pflugk. p. 22. ‖ πέρι καί. καὶ περὶ m. ‖ προαιρέσεως BCM, τῆς προαιρέσεως reliq., unde τῆς ἄλλης προαιρέσεως Pflugk. l. l. — 89, 2. οὐδέν. οὐθὲν M. ‖ 3. συχνῷ. συγχνῶν r. ‖ 4. ὑπερβάλλει. ὑπερβάλλῃ C, ὑπερβάλλειν M. ‖ τὰ πρότερον C. Reisk., τοὺς πρότερον M, τοῖς πρότερον reliq. — 90, 1. καὶ περὶ τῶν Φαιάκων BCM, τῶν Φαιάκων om. N, καὶ τῶν Φαιάκων καὶ περὶ m, καὶ τῶν

ἐκείνων φιλανθρωπίας, εἴ τῳ δοκοῦσιν οὗτοι οὐκ ἀγεννῶς 253 R.
οὐδ' ἀναξίως τοῦ πλούτου προσενεχθῆναι τῷ Ὀδυσσεῖ, μεθ'
οἵας μάλιστα διανοίας καὶ δι' ἃς αἰτίας προυτράπησαν ἀφθό-
νως καὶ μεγαλοπρεπῶς χαρίζεσθαι. ἀλλὰ γὰρ πολὺ πλείω
91 τῶν ἱκανῶν καὶ τὰ νῦν ὑπὲρ τούτων εἰρημένα. δῆλόν γε μήν,
ὡς ὁ πλοῦτος οὔτε πρὸς ξένους οὔτε ἄλλως μέγα τι συμβάλ-
λεται τοῖς κεκτημένοις, ἀλλὰ τοὐναντίον γλίσχρους καὶ φει-
δωλοὺς ὡς τὸ πολὺ μᾶλλον τῆς πενίας ἀποτελεῖν πέφυκεν.
οὐδὲ γάρ, εἴ τις αὖ τῶν πλουσίων, εἷς που τάχα ἐν μυρίοις,
δαψιλὴς καὶ μεγαλόφρων τὸν τρόπον εὑρεθείη, τοῦτο ἱκανῶς
δείκνυσι τὸ μὴ οὐχὶ τοὺς πολλοὺς χείρους περὶ ταῦτα γίγνε-
92 σθαι τῶν ἀπορωτέρων. ἀνδρὶ δὲ πένητι μὴ φαύλῳ τὴν φύσιν
ἀρκεῖ τὰ παρόντα καὶ τὸ σῶμα μετρίως ἀσθενήσαντι, τοιού-
του ποτὲ νοσήματος ξυμβάντος, οἷά περ εἴωθε γίγνεσθαι
τοῖς οὐκ ἀργοῖς ἑκάστοτε ἐμπιμπλαμένοις, ἀνακτήσασθαι,
καὶ ξένοις ἐλθοῦσι δοῦναι προσφιλῆ ξένια χωρὶς ὑποψίας,
93 παρ' ἑκόντων διδόμενα ἀλύπως· οὐκ ἴσως ἀργυροῦς κρατῆ-
ρας ἢ ποικίλους πέπλους ἢ τέθριππον, τὰ Ἑλένης καὶ Μενέλεω
Τηλεμάχῳ δῶρα. οὐδὲ γὰρ τοιούτους ὑποδέχοιντ' ἄν, ὡς
εἰκός, ξένους, σατράπας ἢ βασιλέας, εἰ μή γε πάνυ σώφρονας
καὶ ἀγαθούς, οἷς οὐδὲν ἐνδεὲς μετὰ φιλίας γιγνόμενον. ἀκο-
λάστους δὲ καὶ τυραννικοὺς οὔτ' ἄν, οἶμαι, δύναιντο θερα- 254 R.
πεύειν ἱκανῶς ξένους, οὔτ' ἂν ἴσως προσδέοιντο τοιαύτης
94 ξενίας. οὐδὲ γὰρ τῷ Μενέλεῳ δήπουθεν ἀπέβη πρὸς τὸ λῷον,
ὅτι ἐδύνατο δέξασθαι τὸν πλουσιώτατον ἐκ τῆς Ἀσίας ξένον,
ἄλλος δὲ οὐδεὶς ἱκανὸς ἦν ἐν τῇ Σπάρτῃ τὸν Πριάμου τοῦ
95 βασιλέως υἱὸν ὑποδέξασθαι. τοιγάρτοι ἐρημώσας αὐτοῦ τὴν
οἰκίαν καὶ πρὸς τοῖς χρήμασι τὴν γυναῖκα προσλαβών, τὴν δὲ
θυγατέρα ὀρφανὴν τῆς μητρὸς ἐάσας, ᾤχετο ἀποπλέων. καὶ

Φαιάκων περὶ καὶ r. ‖ καὶ τῆς. καὶ περὶ τῆς (at περὶ a corr. add.) MN. ‖ 2. ἀγεννῶς BCM, ἀγενῶς N. vmr. ‖ 3. προσενεχθῆναι τῷ. προσενεχθῆναι αὐτῷ τῷ C. ‖ 4. προυτράπησαν. προυτάπησαν vm. — 91, 2. τι. τις N. ‖ 3. φειδωλούς. φειδώλους M. ‖ 5. αὖ τῶν. αὐτῶν M. ‖ 6. εὑρεθείη. εὑρεθείης vm. ‖ 7. τὸ BCMN. Reisk., τὰ reliq. — 92, 4. ἀργοῖς BCM (corr. ἀργοῖς οὐδὲ), ἀργοῖς οὐδὲ reliq. ‖ ἐμπιμπλαμένοις BM, ἐμπεπλαμένοις reliq. ‖ 5. προσφιλῆ. προσφιλεῖ M. ‖ 6. παρ' ἑκόντων ἀλύπως suspecta Geelio. — 93, 2. τὰ Geel., ἢ τὰ reliq. ‖ 3. οὐδέ. οὐ C. ‖ τοιούτους. τοιούτοις r. ‖ ὑποδέχοιντο C. Reisk., ὑποδέχοιτο reliq. ‖ 4. εἰ. ἢ N. ‖ 6. οὔτ' ἂν BM, οὔτε ἂν reliq. ‖ δύναιντο. δύναιτο BM. ‖ 7. προσδέοιντο. προυδέοιντο M. — 94, 1. λῷον. λώιον C, λοῖον M. ‖ 2. ἐδύνατο. ἠδύνατο CM.

Digitized by Google

μετα ταῦτα ὁ Μενέλεως χρόνον μὲν πολὺν ἐφθείρετο παντα-
χόσε τῆς Ἑλλάδος ὀδυρόμενος τὰς αὐτοῦ συμφορὰς, δεόμενος
ἑκάστου τῶν βασιλέων ἐπαμῦναι. ἠναγκάσθη δὲ ἱκετεῦσαι
καὶ τὸν ἀδελφὸν, ὅπως ἐπιδῷ τὴν θυγατέρα σφαγησομένην 118 M.
96 ἐν Αὐλίδι. δέκα δὲ ἔτη καθῆστο πολεμῶν ἐν Τροίᾳ, πάλιν
ἐκεῖ κολακεύων τοὺς ἡγεμόνας τοῦ στρατοῦ, καὶ αὐτὸς καὶ ὁ
ἀδελφός· εἰ δὲ μὴ, ὠργίζοντο καὶ ἠπείλουν ἑκάστοτε ἀποπλευ-
σεῖσθαι· καὶ πολλοὺς πόνους καὶ κινδύνους ἀμηχάνους ὑπομέ-
νων· ὕστερον δὲ ἠλᾶτο, καὶ οὐχ οἷός τ' ἦν δίχα μυρίων κα-
97 κῶν οἴκαδ' ἀφικέσθαι. ἆρ' οὖν οὐ σφόδρα ἄξιον ἄγασθαι
τοῦ πλούτου κατὰ τὸν ποιητὴν καὶ τῷ ὄντι ζηλωτὸν ὑπολα-
βεῖν; ὅς φησιν αὐτοῦ μέγιστον εἶναι ἀγαθὸν τὸ δοῦναι ξένοις,
καὶ ἐάν ποτέ τινες ἔλθωσι τρυφῶντες ἐπὶ τὴν οἰκίαν, μὴ
ἀδύνατον γενέσθαι παρασχεῖν κατάλυσιν καὶ προθεῖναι ξένια,
98 οἷς ἂν ἐκεῖνοι μάλιστα ἥδοιντο. λέγομεν δὲ ταῦτα μεμνημένοι
τῶν ποιητῶν οὐκ ἄλλως ἀντιπαρεξάγοντες ἐκείνοις οὐδὲ τῆς
δόξης ζηλοτυποῦντες, ἣν ἀπὸ τῶν ποιημάτων ἐκτήσαντο ἐπὶ
σοφίᾳ· οὐ τούτων ἕνεκα, φιλοτιμούμενοι ἐξελέγχειν αὐτούς,
ἀλλὰ παρ' ἐκείνοις μάλιστα εὑρήσειν ἡγούμενοι τὴν τῶν πολ- 255 R.
λῶν διάνοιαν [ἃ δὴ καὶ τοῖς πολλοῖς ἐδόκει] περί τε πλούτου
καὶ τῶν ἄλλων, ἃ θαυμάζουσι, καὶ τί μέγιστον οἴονται σφίσι
99 γενέσθαι ἂν ἀφ' ἑκάστου τῶν τοιούτων. δῆλον γὰρ, ὅτι μὴ
συμφωνοῦντος αὐτοῖς τοῦ ποιήματος μηδὲ τὴν αὐτὴν γνώμην
ἔχοντος, οὐκ ἂν οὕτω σφόδρα ἐφίλουν οὐδὲ ἐπῄνουν ὡς σοφούς
100 τε καὶ ἀγαθοὺς γενέσθαι καὶ τἀληθῆ λέγοντας. ἐπεὶ οὖν
οὐκ ἔστιν ἕκαστον ἀπολαμβάνοντα ἐλέγχειν τοῦ πλήθους, οὐδ'
ἀνερωτᾷν ἅπαντας ἐν μέρει· τί γὰρ σὺ, ὦ ἄνθρωπε, δέδοικας
τὴν πενίαν οὕτω πάνυ, τὸν δὲ πλοῦτον ὑπερτιμᾷς; τί δ' αὖ

95, 4. πανταχόσε. πανταχόσαι M. ‖ 5. συμφοράς. ξυμφορὰς B. ‖ 6. σφαγησομένην. σφραγησομένην M. — 96, 1. καθῆστο. καθῆτο M. ‖ 5. δίχα Cens. p. 355, ἄνευ Geel., διὰ reliq. — 97, 1. ἆρ' οὖν οὐ. ἄρ' οὐ BM, ἆρ' οὖν Geel. ‖ 2. κατὰ τόν. sic dedi. καὶ τὸν reliq. ‖ καὶ τῷ BCM, καὶ om. reliq. ‖ 3. εἶναι om. B. ‖ 5. προθεῖναι. προσθεῖναι N. ‖ ξένια. ξένι δὲ C. — 98, 3. ἐκτήσαντο. ἐκτίσαντο BM. ‖ 4. οὐ τούτων. οὐδὲ τούτου Geel. ‖ 5. παρ' om. C. ‖ 6. [ἃ δὴ καὶ τοῖς πολλοῖς ἐδόκει] delenda videntur. pro ἐδόκει Reisk. δοκεῖ, pro πολλοῖς Geel. παλαιοῖς. plura mutat Pflugk. p. 24. ‖ 7. καὶ τί BCM. Selden., καίτοι reliq. ‖ ἀφ' Selden., ἐφ' reliq. — 99, 4. γενέσθαι delebat Reisk., τελεστὰς Geel. — 100, 2. ἀπολαμβάνοντα ἐλέγχειν BCM, ἐλέγχειν ἀπολαμβάνοντα reliq. ‖ 3. ἀνερωτᾷν. ἂν ἐρωτᾷν m. ‖ 4. οὕτω. οὕτως CM. ‖ τί δ' αὖ σὺ C. Obs. p. 17 (at frustra erat, quod addebam

σὺ ἐλπίζεις κερδανεῖν μέγιστον, ἂν τύχῃς πλουτήσας ἢ νὴ
Δία ἔμπορος γενόμενος ἢ καὶ βασιλεύσας; ἀμήχανον γὰρ δὴ
101 τὸ τοιοῦτο καὶ οὐδαμῶς ἀνυστόν. οὕτως οὖν ἐπὶ τοὺς προ-
φήτας αὐτῶν καὶ συνηγόρους, τοὺς ποιητάς, ἐξ ἀνάγκης
ἴωμεν, ὡς ἐκεῖ φανερὰς καὶ μέτροις κατακεκλεισμένας εὑρή-
σοντες τὰς τῶν πολλῶν δόξας. καὶ δῆτα οὐ πάνυ μοι δοκοῦ-
102 μεν ἀποτυγχάνειν. τοῦτο δὲ σύνηθες δήπου καὶ τοῖς σοφω-
τέροις, ὃ νῦν ἡμεῖς ποιοῦμεν· ἐπεὶ καὶ αὐτοῖς τούτοις τοῖς 119 M.
ἔπεσιν ἀντείρηκε τῶν πάνυ φιλοσόφων τις, ὃν οὐδείς, ἐμοὶ 256 R.
δοκεῖν, φαίη ποτὲ φιλονεικοῦντα τούτοις τε ἀντειρηκέναι καὶ
τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις· ἐκείνοις μὲν
ἐπ' ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον, οὐ μήν, ὥσπερ
νῦν ἡμεῖς, διὰ μακρῶν, ἅτε οὐ πρὸς τὸ χρῆμα κατὰ πολλὴν
103 ἐξουσίαν διεξιών, ἀλλ' ἐν βίβλοις γράφων. γεωργικοῦ μὲν
δὴ πέρι καὶ κυνηγετικοῦ τε καὶ ποιμενικοῦ βίου τάδε πλέω
διατριβὴν ἴσως παρασχόντα τοῦ μετρίου λελέχθω, προθυμου-
μένων ἡμῶν ἀμηγέπῃ δεῖξαι πενίαν ὡς οὐκ ἄπορον χρῆμα
βίου καὶ ζωῆς πρεπούσης ἀνδράσιν ἐλευθέροις αὐτουργεῖν
ἐθέλουσιν, ἀλλ' ἐπὶ κρείττω πολὺ καὶ συμφορώτερα ἔργα καὶ
πράξεις ἄγον καὶ μᾶλλον κατὰ φύσιν ἢ ἐφ' οἷα ὁ πλοῦτος
104 εἴωθε τοὺς πολλοὺς προτρέπειν. εἶεν δὴ περὶ τῶν ἐν ἄστει
καὶ κατὰ πόλιν πενήτων σκεπτέον ἂν εἴη τοῦ βίου καὶ τῶν
ἐργασιῶν, πῶς ἂν μάλιστα διάγοντες καὶ ποῖ' ἅττα μεταχει-
ριζόμενοι δυνήσονται μὴ κακῶς ζῆν μηδὲ φαυλότερον τῶν δα-
νειζόντων ἐπὶ τόκοις συχνοῖς, εὖ μάλ' ἐπισταμένων τὸν ἡμερῶν
τε καὶ μηνῶν ἀριθμόν, καὶ τῶν συνοικίας τε μεγάλας καὶ 257 R.

ἄλλον vel ἆ' τάν), τί δ' αὖ ἄσυλόν τινα reliq., τί δ' ἆρ' ἄσυλον Iacobs. Add. p. 200, τί δ' αὖ σύ; ὄλβον τινὰ Geel. ‖ 6. γὰρ δὴ CM, γὰρ reliq. ‖ 7. τοιοῦτο BCM, τοιοῦτον reliq. — 101, 1. οὖν Reisk., ἂν reliq. ‖ 2. καὶ B, καὶ τοὺς reliq. ‖ 3. φανεράς, φανερᾶς m. ‖ κατακεκλεισμένας. κατακεκλιμένας M. — 102, 2. ἡμεῖς. ὑμεῖς M. ‖ αὐτοῖς τούτοις τοῖς ἔπεσιν BN. Geel., αὐτοῖς τοῖς ἔπεσιν M, αὐτοῖς τοῖς πένησιν reliq. ‖ 4. ἀντειρηκέναι. ἀντιρηκέναι M. ‖ 6. ὀλίγον. ὀλίγην C. ‖ 8. ἀλλ' ἐν BCMN, ἀλλ' om. reliq. ‖ βίβλοις corruptum videtur, si modo vera est scriptura ἀλλ' ἐν — 103, 1. γεωργικοῦ BM. vr, γεωργικῶν CN (corr. vulg.) m. ‖ 2. πέρι. περὶ M. ‖ 7. ἄγον καὶ Reisk., ἄγον. τὰ N, ἄγοντα reliq., possit ἄγον καὶ ὄντα. — 104, 1. εἶεν δή. εἶεν. νῦν δὲ δὴ Reisk., at conf. §. 148. ‖ 2. σκεπτέον. σκεπτέων vm. ‖ 4. δανειζόντων. δανιζόντων M. ‖ 5. μάλ' μάλα N. ‖ τὸν BC. Reisk., τῶν reliq., τὸν τῶν Iacobs. Add. p. 274. ‖ 6. ἀριθμόν. ἀριθμῶν MN. ‖ τε μεγάλας. μεγάλας τε C.

105 ναῦς κεκτημένων καὶ ἀνδράποδα πολλά· μήποτε σπάνια ᾖ τὰ
ἐν ταῖς πόλεσιν ἔργα τοῖς τοιούτοις ἀφορμῆς τε ἔξωθεν προσ
δεόμενα, ὅταν οἰκεῖν τε μισθοῦ δέῃ καὶ τἆλλα ἔχειν ὠνουμέ-
νους, οὐ μόνον ἱμάτια καὶ σκεύη καὶ σῖτον, ἀλλὰ καὶ ξύλα
τῆς γε καθ' ἡμέραν χρείας ἕνεκα τοῦ πυρὸς, καὶ φρυγάνων
δέῃ ποτὲ καὶ φύλλων ἢ ἄλλου ὁτουοῦν τῶν πάνυ φαύλων,
106 δίχα δὲ ὕδατος τὰ ἄλλα ξύμπαντα ἀναγκάζωνται λαμβάνειν
τιμὴν κατατιθέντες, ἅτε πάντων κατακλειομένων καὶ μηδενὸς
ἐν μέσῳ φαινομένου, πλήν γε οἶμαι τῶν ἐπὶ πράσει πολλῶν
καὶ τιμίων. τάχα γὰρ ἂν φανεῖται χαλεπὸν τοιούτῳ βίῳ
διαρκεῖν μηδὲν ἄλλο κτῆμα ἔξω τοῦ σώματος κεκτημένους,
ἄλλως τε ὅταν μὴ τὸ τυχὸν ἔργον μηδὲ πάνθ' ὁμοίως ξυμ- 120 M.
107 βουλεύωμεν αὐτοῖς, ὅθεν ἔστι κερδᾶναι· ὥστε ἴσως ἀναγκα-
σθησόμεθα ἐκβαλεῖν ἐκ τῶν πόλεων τῷ λόγῳ τοὺς κομψοὺς
πένητας, ἵνα παρέχωμεν τῷ ὄντι καθ' Ὅμηρον τὰς πόλεις εὖ
ναιεταώσας, ὑπὸ μόνων τῶν μακαρίων οἰκουμένας, ἐντὸς δὲ
τείχους οὐδένα ἐάσωμεν, ὡς ἔοικεν, ἐλεύθερον ἐργάτην. ἀλλὰ
τοὺς τοιούτους ἅπαντας τί δράσομεν; ἢ διασπείραντες ἐν τῇ
χώρᾳ κατοικιοῦμεν, καθάπερ Ἀθηναίους φασὶ νέμεσθαι καθ' 258 R.
ὅλην τὴν Ἀττικὴν τὸ παλαιὸν, καὶ πάλιν ὕστερον τυραννή-
108 σαντος Πεισιστράτου; οὐκοῦν οὐδὲ ἐκείνοις ἀξύμφορος ἡ
τοιαύτη δίαιτα ἐγένετο οὐδὲ ἀγεννεῖς ἤνεγκε φύσεις πολιτῶν,
ἀλλὰ τῷ παντὶ βελτίους καὶ σωφρονεστέρους τῶν ἐν ἄστει
τρεφομένων ὕστερον ἐκκλησιαστῶν καὶ δικαστῶν καὶ γραμ-
ματέων, αὐτῶν ἅμα καὶ βαναύσων. οὔκουν ὁ κίνδυνος μέγας
οὐδὲ χαλεπὸς, εἰ πάντες οὗτοι καὶ πάντα τρόπον ἄγροικοι

105, 1. σπάνια ᾖ. σπαναχῆ M. ‖ 3. μισθοῦ. μισθῷ C. ‖ τἆλλα. τἄλλ' M. ‖ 5. τῆς γε. τῆς τε CM. ‖ καὶ. κἂν C. corr. M (prim. man. καὶ). ‖ 6. καὶ φύλλων. ἢ φύλλων CM (corr. vulg.). A. ‖ ὁτουοῦν. οὕτω οὖν M. — 106, 1. ἀναγκάζωνται Reisk., ἀναγκάζων τε M, ἀναγκάζονται reliq. ‖ 2. κατατιθέντες. κατατεθέντες M. ‖ 3. γε. τε M. ‖ 4. φανεῖται BM, φανείη Pflugk. p. 24, φανῆται reliq. ‖ 5. κεκτημένους. κεκτημένος N. ‖ 6. τε ὅταν CM, τε κἂν Reisk., τε reliq. ‖ τὸ τυχὸν. τὸ om. C. ‖ ξυμβουλεύωμεν M, συμβουλεύωμεν reliq. — 107, 2. ἐκ τῶν CM, τῶν reliq. ‖ κομψοὺς BCMA. r, νυμψοὺς vm, πολλοὺς ἢ συχνοὺς mrg. m. ‖ 3. ἵνα C, ἵνα δὴ Selden., ἵνα μὴν Iacobs., ἵνα μὴ reliq. ‖ 5. τείχους BC, τοῦ τείχους reliq. ‖ οὐδένα. οὐδὲν BMN. ‖ 7. φασὶ νέμεσθαι C (φασιν ἔμεσθαι), νέμεσθαί φασι Reisk., φασὶ om. reliq. — 108, 1. οὐκοῦν. οὔκουν Geel. p. 50. ‖ ἡ τοιαύτη BM, ἡ τοιούτη C, ἡ reliq. ‖ 2. πολιτῶν BCM, τῶν πολιτῶν reliq. ‖ 4. γραμματέων. γραμματαίων M (corr. vulg.). ‖ 5. αὐτῶν. ἀστῶν C, τῶν αὐτῶν Pflugk. p. 25, malim ναυτῶν. ‖ 6. καὶ. κατὰ Reisk.

ἔσονται· οἶμαι δ' ὅμως αὐτοὺς οὐκ ἀπορήσειν οὐδὲ ἐν ἄστει
109 τροφῆς. ἀλλὰ ἴδωμεν, πόσα καὶ ἅττα πράττοντες ἐπιεικῶς
ἡμῖν διάξουσιν, ἵνα μὴ πολλάκις ἀναγκασθῶσιν ἀργοὶ καθή-
μενοι πρός τι τῶν φαύλων τραπῆναι. αἱ μὲν δὴ σύμπασαι
κατὰ πόλιν ἐργασίαι καὶ τέχναι πολλαὶ καὶ παντοδαπαὶ σφό-
δρα τε λυσιτελεῖς ἔνιαι τοῖς χρωμένοις, ἐάν τις τὸ λυσιτελὲς
110 σκοπῇ πρὸς ἀργύριον. ὀνομάσαι δὲ αὐτὰς πάσας κατὰ μέρος
οὐ ῥάδιον διὰ τὸ πλῆθος καὶ τὴν ἀτοπίαν οὐχ ἧττον. οὐκοῦν
ὧδε εἰρήσθω περὶ αὐτῶν ἐν βραχεῖ ψόγος τε καὶ ἔπαινος.
ὅσαι μὲν σώματι βλαβεραὶ πρὸς ὑγείαν ἢ πρὸς ἰσχὺν τὴν
ἱκανὴν δι' ἀργίαν τε καὶ ἑδραιότητα, ἢ ψυχαῖς ἀσχημοσύνην
τε καὶ ἀνελευθερίαν ἐντίκτουσιν, ἢ ἄλλως ἀχρεῖοι καὶ πρὸς
οὐδὲν ὄφελός εἰσιν εὑρημέναι δι' ἀβελτερίαν τε καὶ τρυφὴν
τῶν πόλεων, ἅς γε τὴν ἀρχὴν μηδὲ τέχνας μηδὲ ἐργασίας τό 259 R.
γε ὀρθὸν καλεῖν· οὐ γὰρ ἄν ποτε Ἡσίοδος, σοφὸς ὤν, ἐπῄ-
νεσεν ὁμοίως πᾶν ἔργον, εἴ τι τῶν πονηρῶν ἢ τῶν αἰσχρῶν
111 ἠξίου ταύτης τῆς προσηγορίας· οἷς μὲν οὖν ἄν τις προσῇ τού- 121 M.
των τῶν βλαβῶν καὶ ἡτισοῦν, μηδένα ἅπτεσθαι τῶν ἐλευθέρων
τε καὶ ἐπιεικῶν μηδὲ ἐπίστασθαι, μήτε αὐτὸν μήτε παῖδας
τοὺς αὑτοῦ διδάσκειν, ὡς οὔτε καθ' Ἡσίοδον οὔτε καθ'
ἡμᾶς ἐργάτην ἐσόμενον, ἄν τι μεταχειρίζηται τοιοῦτον, ἀλλὰ
ἀργίας τε ἅμα καὶ αἰσχροκερδείας ἀνελεύθερον ἕξοντα ὄνει-
δος, βάναυσον καὶ ἀχρεῖον καὶ πονηρὸν ἁπλῶς ὀνομαζόμενον.
112 ὅσα δὲ αὖ μήτε ἀπρεπῆ τοῖς μετιοῦσι μοχθηρίαν τε μηδεμίαν
ἐμποιοῦντα τῇ ψυχῇ μήτε νοσώδη τῶν τε ἄλλων νοσημάτων
καὶ δῆτα ἀσθενείας τε καὶ ὄκνου καὶ μαλακίας διὰ πολλὴν
ἡσυχίαν ἐγγιγνομένης ἐν τῷ σώματι, καὶ μὴν χρείαν γε ἱκανὴν

109, 1. ἄττα MN, ἅττα reliq. ‖ 3. αἱ μέν. οἱ μὲν vm. — 110, 2. διὰ om. C. ‖ 4. ὅσαι. ὅσα M. ‖ σώματι. σῶμα C. ‖ 5. ψυχαῖς Reisk., ψυχῆς reliq. ‖ 7. ἀβελτερίαν M, ἀβελτηρίαν reliq. ‖ τε. δὲ Reisk. ‖ 8. τό γε ὀρθὸν. deest verbum. ὀρθὸν δεῖ Reisk., ὀρθὸν εἴη Casaub., ἐχρῆν (post ἀρχὴν collocatum) Pflugk. p. 25, malim ὀρθὸν ἔστι. — 111, 1. οἷς μὲν CM, αἷς μὲν reliq. ‖ οὖν om. M. ‖ 2. ἡτισοῦν CM. Casaub., εἴτις οὖν. reliq. ‖ μηδένα. μηδὲν M. ‖ 3. μηδὲ CM, μηδ' reliq. ‖ 4. αὑτοῦ B, αὐτοῦ reliq. ‖ 5. μεταχειρίζηται. μεταχειρίζεται B. ‖ 6. ἀργίας. ἀργείας M. ‖ αἰσχροκερδείας. αἰσχροκερδίας BM. ‖ ἀνελεύθερον ἕξοντα ὄνειδος, βάναυσον. malim ἕξοντα ὄνειδος, ἀνελεύθερον καὶ βάναυσον. ‖ 7. καὶ — ἁπλῶς om. N. — 112, 1. ἀπρεπῆ Reisk., ἀποπρέπει Casaub., ἀποτρέπει reliq. ‖ τε. malim γε. ‖ 3. ὄκνου. ὄκνους C. ‖ 4. ἐγγιγνομένης CM, ἐγγινομένης reliq. ‖ καὶ μὴν M. Reisk., καὶ τὴν Pflugk, qui praeterea χορηγίαν pro χρείαν scribit, καὶ τὰ Casaub.

113 παρέχοντα πρὸς τὸν βίον, πάντα τὰ τοιαῦτα πράττοντες προ-
θύμως καὶ φιλοφρόνως οὔποτ' ἂν ἐνδεεῖς ἔργου καὶ βίου
γίγνοιντο, οὐδ' ἂν ἀληθῆ τὴν ἐπίκλησιν παρέχοιεν τοῖς πλου-
σίοις καλεῖν αὐτούς, ἧπερ εἰώθασιν ἀπόρους ὀνομάζοντες,
τοὐναντίον μᾶλλον ἐκείνων ὄντες πορισταὶ καὶ μηδενὸς ἀπο-
114 ροῦντες, ὡς ἔπος εἰπεῖν, τῶν ἀναγκαίων καὶ χρησίμων. φέρε 260 R.
οὖν μνησθῶμεν ἀφ' ἑκατέρου τοῦ γένους, εἰ καὶ μὴ πάνυ
ἀκριβῶς ἕκαστα φράζοντες, ἀλλ' ὡς τύπῳ γε κατιδεῖν, τὰ
τοιαῦτα καὶ ὧν ἕνεκα οὐ προσιέμεθα, καὶ ποῖα θαῤῥοῦντας
ἐπιχειρεῖν κελεύομεν, μηδὲν φροντίζοντας τῶν ἄλλως τὰ τοιαῦ-
τα προφερόντων, οἷον εἰώθασι λοιδορούμενοι προφέρειν πολ-
λάκις οὐ μόνον τὰς αὐτῶν ἐργασίας, αἷς οὐδὲν ἄτοπον πρόσ-
εστιν, ἀλλὰ καὶ τῶν γονέων, ἄν τινος ἔριθος ἡ μήτηρ ᾖ,
τρυγήτρια ἐξελθοῦσά ποτε, ἢ μισθοῦ τιτθεύσῃ παῖδα τῶν
ὀρφανῶν ἢ πλουσίων, ἢ ὁ πατὴρ διδάξῃ γράμματα ἢ παιδα-
115 γωγήσῃ· μηδὲν οὖν τοιοῦτον αἰσχυνομένους ὁμόσε ἰέναι. οὐ
γὰρ ἄλλως αὐτὰ ἐροῦσιν, ἂν λέγωσιν, ἢ ὡς σημεῖα πενίας,
πενίαν αὐτὴν λοιδοροῦντες δηλονότι καὶ προφέροντες ὡς
κακόν δή τι καὶ δυστυχές, οὐ τῶν ἔργων οὐδέν. ὥστε ἐπειδὴ
οὔ φαμεν χεῖρον οὐδὲ δυστυχέστερον πλούτου πενίαν οὐδὲ 122 M.
πολλοῖς ἴσως ἀξυμφορώτερον, οὐδὲ τὸ ὄνειδος τοῦ ὀνείδους 261 R.
116 μᾶλλόν τι βαρυντέον τοῦτ' ἐκείνου. εἰ γάρ τοι δοκεῖ μὴ ὀνο-
μάζοντας [καθ' ἡμέραν] τὸ πρᾶγμα, ὃ ψέγουσι, τὰ συμβαί-
νοντα δι' αὐτὸ βλασφημεῖν προφέροντας, πολὺ πλείω ἂν

5. παρέχοντα. παρέχον C. — 113, 1. πράττοντες. πράττοντας B. ‖ 2. φιλοφρόνως. malim συμφρόνως. ‖ ἔργου καὶ βίου BCMA. mrg. m., ἔργον καὶ βίον reliq. ‖ 3. παρέχοιεν. παρέχοι N. ‖ 4. ἧπερ. ἥπερ B. ‖ ὀνομάζοντες Casaub. r, ὀνομάζοντας reliq. — 114, 1. φέρε C, φέρ' reliq. ‖ 3. τύπῳ γε Reisk., τύπῳ τε reliq. ‖ τὰ τοιαῦτα. τὰ τοιαῦτα, ποῖα Reisk., αὐτά, ὁποῖά τε Pflugk. p. 29, ποῖ' ἄττα Geel., possit τὰ ποῖά τε. ‖ 4. προσιέμεθα. προϊέμεθα N. ‖ καὶ ποῖα. καὶ ὁποίοις Pflugk. l. l. ‖ 5. φροντίζοντας C. Reisk., φροντίζειν τὰς M, φροντίζοντες reliq. ‖ ἄλλως. ἄλλων C. ‖ 6. προφερόντων. προσφερόντων M. ‖ 7. ἐργασίας. εὐεργεσίας vm. ‖ 8. τῶν. τὰς τῶν Iacobs. ‖ τινος. τινας vm (mrg. m vulg.). ‖ ἔριθος. ἔρειθος M. ‖ ᾖ, τρυγήτρια. sic dedi. ἡ τρυγήτρια BC. mrg. m. r, ἡ τρυγήτρεια M, ἡ τρυγήτρια A, ᾖ, ἡ τρυγήτρια Iacobs., ἡ om. vm. — 115, 3. προφέροντες. προσφέροντες B. ‖ 6. τοῦ ὀνείδους om. C. — 116, 1. εἰ γάρ τοι Pflugk. p. 29, εἰ γὰρ τῷ N, εἰ γάρ τῳ reliq. ‖ δοκεῖ. malim δίοι. ‖ 2. [καθ' ἡμέραν] de sede sua aberrasse videtur; καθ ἡμέραν N, ἑκατέρους Pflugk. l. l. ‖ ὅ. οὐ M. ‖ τὰ συμβαίνοντα. malim τὰ καθ' ἡμέραν συμβαίνοντα. ‖ 3. δι' αὐτὸ Selden., διὰ τοῦ B, διὰ τὸ reliq.

Digitized by Google

ἔχοιεν [πλέον] καὶ τῷ ὄντι αἰσχρὰ διὰ πλοῦτον γιγνόμενα, οὐχ ἥκιστα δὲ τὸ παρὰ τῷ Ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν, τὸ τῆς ἀργίας, λέγοντες, ὅτι σε, ὦ ἄνθρωπε,

οὔτε σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα,

καὶ ὅτι ἄλλως τὰς χεῖρας ἔχεις κατὰ τοὺς μνηστῆρας ἀτρί-
117 πτους καὶ ἁπαλάς. οὐκοῦν τόδε μὲν οἶμαι παντί τῳ δῆλον καὶ πολλάκις λεγόμενον ἴσως, ὅτι βαφεῖς μὲν καὶ μυρεψοὺς [καὶ βυρσοδέψας] σὺν κουρικῇ γυναικῶν τε καὶ ἀνδρῶν, οὐ πολύ τι διαφερούσαις τανῦν, καὶ ποικιλτικῇ πάσῃ σχεδὸν οὐκ ἐσθῆ- 262 R.
τος μόνον, ἀλλὰ καὶ τριχῶν καὶ χρωτὸς, ἀγχούσῃ καὶ ψιμυθίῳ καὶ πᾶσι φαρμάκοις μηχανωμένῃ ὥρας ψευδεῖς καὶ νόθα εἴδωλα· ἔτι δὲ ἐν οἰκιῶν ὀροφαῖς καὶ τοίχοις καὶ ἐδάφει τὰ μὲν χρώμασι, τὰ δὲ λίθοις, τὰ δὲ χρυσῷ, τὰ δὲ ἐλέφαντι
118 ποικιλλόντων, τὰ δὲ αὐτῶν τοίχων γλυφαῖς· τὸ μὲν ἄριστον μὴ παραδέχεσθαι καθόλου τὰς πόλεις, τὸ δὲ ἡμῖν ἐν τῷ παρόντι λόγῳ διορίσαι, μηδένα ἂν τοιοῦτον γίγνεσθαι τῶν ἡμετέρων πενήτων· ὡς πρὸς τοὺς πλουσίους ἡμεῖς ἀγωνιζόμεθα ὥσπερ χορῷ, τανῦν οὐχ ὑπὲρ εὐδαιμονίας προκειμένου τοῦ ἀγῶνος· οὐ γὰρ πενίᾳ τοῦτό γε πρόκειται τὸ ἆθλον οὐδὲ αὖ πλούτῳ, μόνης δὲ ἀρετῆς ἐστιν ἐξαίρετον· ἄλλως δὲ ὑπὲρ ἀγω- 263 R.
119 γῆς τινος καὶ μετριότητος βίου· καὶ τοίνυν οὐδ' ὑποκριτὰς

4. [πλέον] om. C, οἱ πένητες Pflugk. l. l. ‖ γιγνόμενα CM, γινόμενα reliqui. celerum alii aliter locum tentarunt. ‖ 5. τὸ παρὰ τῷ CMA, τῷ παρὰ τῷ B, τὸ παρ' N, τῷ παρ' reliq. ‖ 6. ἀργίας. ἀργείας M. ‖ λέγοντες Reisk., ψέγοντες Iacobs., λέγοντας BCM (mrg. φέροντας), φέροντας reliq. ‖ σε ὦ BMN, ὦ om. reliq. ‖ 7. οὔτε. fragm. Margit. Hom. 2. ‖ 8. κατὰ CMAN. Casaub., μετὰ reliq. conf. Od. 21, 150. — 117, 2. [καὶ βυρσοδέψας] delenda vidit Pflugk. p. 32, κυρσοδέψας M. ‖ 4. διαφερούσαις Morell., διαφερούσας BCMA, διαφερσύσῃ mrg. m, διαφέρουσαι reliq. ‖ ποικιλτικῇ. πολιτικῇ C, ποικιλτική M. ‖ ἐσθῆτος CM. Reisk., ἐσθῆτι reliq. ‖ 5. τριχῶν καὶ χρωτὸς BCM, χρωτὸς καὶ τριχῶν reliq., χρωτὸς καὶ τριχῶν εὐχροίαν Casaub. ‖ ἀγχούσῃ Casaub. r, ἐπ' ἐγχούσῃ B, ἐπεγχούσῃ MN, ἐπεχούσῃ C, ἐπ' ἀγχούσῃ A, ἀπεγχούσῃ v, ἀπιχούσῃ m. ‖ 6. ὥρας Progr. p. 26, ὄντως ἄρα Pflugk. p. 32, ὁράσεις Kayser. Ann. Mon. 1840. Nr. 142 p. 99, ὡς ἄρα reliq. ‖ ψευδεῖς BMAN. v, ψεύδη reliq. ‖ 7. ἐν οἰκιῶν. ἐνοικιῶν vm. ‖ 9. αὐτῶν MN. m, αὖ τῶν reliqui. conf. Pflugk. p. 33. vide ne αὖ ὀνύχων pro αὐτῶν τοίχων scribendum sit. — 118, 2. ἡμῖν. ἱκανὸν Pflugk. p. 33, ἀρκοῦν Kays. l. l., προκείμενον ante διορίσαι supplet Reisk., malim ἐμὸν vel ἐφ' ἡμῖν. ‖ 3. τοιοῦτον Reisk., τὸ τοιοῦτον BC. v, τὸ τοιοῦτο MN, τῶν τοιούτων Pflugk., τὸν τοιοῦτον reliqui. ‖ ἡμετέρων om. C. ‖ 4. ὡς om. C, ὧν Casaub., οἷς Selden., quaedam ante haec v. excidisse suspicatur Geel. ‖ ἡμεῖς. ἡμεῖς οὐκ Kays. l. l. ‖ 7. ἄλλως. ἄλλος M, ἁπλῶς Kays. l. l. — 119, 1. οὐδ'. οὐχ CM.

τραγικοὺς ἢ κωμικοὺς ἢ διά τινων μίμων ἀκράτου γέλωτος
δημιουργοὺς οὐδὲ ὀρχηστὰς οὐδὲ χορευτὰς πλήν γε τῶν ἱερῶν
χορῶν, ἀλλ' οὐκ ἐπί γε τοῖς Νιόβης ἢ Θυέστου πάθεσιν ᾄδον-
τας ἢ ὀρχουμένους, οὐδὲ κιθαρῳδοὺς οὐδὲ αὐλητὰς περὶ νίκης 123 M.
ἐν θεάτροις ἁμιλλωμένους, εἰ καί τινες τῶν ἐνδόξων πόλεων
ἐπὶ τούτοις ἡμῖν δυσχερῶς ἕξουσι, Σμύρνα καὶ Χῖος καὶ δῆτα
σὺν ταύταις καὶ τὸ Ἄργος, ὡς τὴν Ὁμήρου καὶ Ἀγαμέμνονος
120 δόξαν οὐκ ἐώντων αὔξεσθαι τὸ γοῦν ἐφ' ἡμῖν· τυχὸν δὲ καὶ
Ἀθηναῖοι χαλεπανοῦσιν ἀτιμάζεσθαι νομίζοντες τοὺς σφετέ-
ρους ποιητὰς τραγικοὺς καὶ κωμικοὺς, ὅταν τοὺς ὑπηρέτας
αὐτῶν ἀφαιρώμεθα μηδὲν ἀγαθὸν φάσκοντες ἐπιτηδεύειν.
εἰκὸς δὲ ἀγανακτεῖν καὶ Θηβαίους, ὡς τῆς νίκης αὐτῶν ὑβρι-
ζομένης, ἣν προεκρίθησαν ὑπὸ τῆς Ἑλλάδος νικᾶν ἐπ' αὐλη-
121 τικῇ. ταύτην δὲ τὴν νίκην οὕτω σφόδρα ἠγάπησαν, ὥστε
ἀναστάτου τῆς πόλεως αὐτοῖς γενομένης, καὶ ἔτι νῦν σχεδὸν
οὔσης πλὴν μικροῦ μέρους, τῆς Καδμείας οἰκουμένης, τῶν
μὲν ἄλλων οὐδενὸς ἐφρόντισαν τῶν ἠφανισμένων ἀπὸ πολλῶν
μὲν ἱερῶν, πολλῶν δὲ στηλῶν καὶ ἐπιγραφῶν, τὸν δὲ Ἑρμῆν
ἀναζητήσαντες πάλιν ἀνώρθωσαν, ἐφ' ᾧ ἦν τὸ ἐπίγραμμα τὸ
περὶ τῆς αὐλητικῆς,

Ἑλλὰς μὲν Θήβας νικᾶν προὔκρινεν ἐν αὐλοῖς· 264 R.

καὶ νῦν ἐπὶ μέσης τῆς ἀρχαίας ἀγορᾶς ἓν τοῦτο ἄγαλμα ἕστη-
122 κεν ἐν τοῖς ἐρειπίοις· οὐ δὴ φοβηθέντες οὐδένα τούτων οὐδὲ
τοὺς ἐπιτιμήσοντας ἡμῖν, ὡς τὰ σπουδαιότατα παρὰ τοῖς
Ἕλλησι ψέγομεν, ἅπαντα τὰ τοιαῦτα οὐκ αἰδημόνων οὐδὲ
ἐλευθέρων ἀνθρώπων ἀποφαινόμενοι ἔργα. ὡς ἄλλα τε πολλὰ
δυσχερῆ πρόσεστιν αὐτοῖς καὶ δὴ μέγιστον τὸ τῆς ἀναιδείας,
τὸ μᾶλλον τοῦ δέοντος φρονεῖν τὸν ὄχλον, ὅπερ [μέγιστον]

2. διά τινων Reisk., τινῶν reliq. ‖ μίμων. μείμων M. ‖ 4. ἀλλ' οὐκ Reisk., ἀλλ' reliq. ‖ 7. Σμύρνα. Σμῦρνα N. ‖ Χῖος. χεῖος M. ‖ 8. καὶ. τε καὶ BM. — 120, 2. χαλεπανοῦσιν. χαλεπαίνουσιν CM. ‖ 4. φάσκοντες. φάσκοντας C. ‖ 6. ὑπὸ Interpr. r, ὑπὲρ BCMN. vm. — 121, 2. αὐτοῖς. αὐτῶν C. ‖ 3. Καδμείας. καδμίας M. ‖ 6. πάλιν — νικᾶν om. N. ‖ 8. προὔκρινεν ἐν Casaub., προέκρινεν CM, προυκρίνατο A, προὔκρινεν reliq. — 122, 1. οὐ δὴ BCM. Pflugk. p. 34, οὐδὲν Reisk.; οὐδὲ reliq., οὐ δεῖ (et φοβηθῆναι) Geel. ‖ φοβηθέντες Reisk., φοβηθέντας reliq. ‖ 2. ἐπιτιμήσοντας Reisk., ἐπιτιμηθέντας reliq. ‖ παρὰ CM, τῶν παρὰ Pflugk. p. 34, τὰ παρὰ reliq. ‖ 3. ψέγομεν CM. Anonym. apud Reisk. r, ψεγόμενα B, λέγομεν reliq. ‖ οὐκ αἰδημόνων. οὐ καὶ δὴ μόνον M. ‖ 4. ἄλλα τε Reisk., ἄλλα γε reliq. ‖ 6. τὸ μᾶλλον BCM. Casaub., τοῦ μᾶλλον reliq. ‖ 6. [μέγιστον] delet Reisk., ἔστιν

123 θρασύνεσθαι καλεῖν ὀρθότερον. οὐκοῦν οὐδὲ κήρυκας ὠνίων οὐδὲ κλοπῶν ἢ δρασμῶν μήνυτρα προτιθέντας, ἐν ὁδοῖς καὶ ἐν ἀγορᾷ φθεγγομένους μετὰ πολλῆς ἐλευθερίας, οὐδὲ συμβολαίων καὶ προκλήσεων καὶ καθόλου τῶν περὶ δίκας καὶ ἐγκλήματα συγγραφεῖς, προσποιουμένους νόμιμον ἐμπειρίαν, οὐδὲ αὐτοὺς σοφούς τε καὶ δεινοὺς δικογράφους τε καὶ συνη- 123 M
γόρους, μισθοῦ πᾶσιν ὁμοίως ἐπαγγελλομένους βοηθήσειν, καὶ ἀδικοῦσί γε τὰ μέγιστα, καὶ σχετλιάσειν καὶ βοήσεσθαι καὶ ἱκετεύσειν ὑπὲρ τῶν οὔτε φίλων οὔτε συγγενῶν σφίσιν 265 R.
ὄντων, καὶ ἀναισχυντήσειν ὑπὲρ τῶν ἀλλοτρίων ἀδικημάτων, σφόδρα ἐντίμους καὶ λαμπροὺς ἐνίους εἶναι δοκοῦντας ἐν τῇ πόλει, οὐδὲ τοιοῦτον οὐδένα ἀξιοῖμεν ἂν ἐκείνων γίγνεσθαι,
124 παραχωρεῖν δὲ ἑτέροις. χειροτέχνας μὲν γὰρ ἐξ αὐτῶν τινας ἀνάγκη γενέσθαι, γλωσσοτέχνας δὲ καὶ δικοτέχνας οὐδεμία ἀνάγκη. τούτων δὲ τῶν εἰρημένων τε καὶ ῥηθησομένων εἴ τινα δοκεῖ χρήσιμα ταῖς πόλεσιν, ὥσπερ ταῖς νῦν, οἰκουμέναις· λέγω δὲ ἴσως τὸ περὶ τὴν τῶν δικῶν ἀναγραφὴν καὶ τῶν συμβολαίων, τάχα δὲ καὶ κηρυγμάτων ἐνίων· ὅπως ἂν ἢ ὑφ' ὧν γιγνόμενα ὡς ἥκιστα ἂν εἴη βλαβερά, οὐ νῦν
125 καιρός ἐστι διορίζειν. οὐ γὰρ πολιτείαν ἐν τῷ παρόντι διατάττομεν, ὁποία τις ἂν ἢ ἀρίστη γένοιτο ἢ καὶ πολλῶν ἀμείνων· ἀλλὰ περὶ πενίας προυθέμεθα εἰπεῖν, ὡς οὐκ ἄπορα αὐτῇ τὰ πράγματά ἐστιν, ἥπερ δοκεῖ τοῖς πολλοῖς αὐτή τε εἶναι φευκτὸν καὶ κακόν, ἀλλὰ μυρίας ἀφορμὰς πρὸς τὸ ζῆν παρέχει τοῖς αὐτουργεῖν βουλομένοις οὔτε ἀσχήμονας οὔτε

Pflugk. p. 34, μέγιστον ἂν Casaub. — 123, 2. μήνυτρα. μήνυθρα B. ‖ προτιθέντας. προτιθέντες C, προστιθέντες M, προστιθέντας N. ‖ 3. ἐλευθερίας. malim ἀνελευθερίας (vel εὐχερείας). ‖ συμβολαίων. sic dedi. συμβόλων reliq. ‖ 5. συγγραφεῖς. συγγραφαῖς v. ‖ προσποιουμένους. ποιουμένους N. ‖ ἐμπειρίαν. ἐμπειρείαν M. ‖ 6. αὐτοὺς M. Geel., αὖ τοὺς reliq. ‖ 8. καὶ Casaub., μὴ reliq. ‖ γε τὰ Casaub. r, γε om. C, τε τὰ reliq. ‖ βοήσεσθαι. βοηθήσεσθαι B, βοήθεσθαι C. ‖ 10. καὶ ἀναισχυντήσειν — ἐν τῇ πόλει Geel., reliq. verba σφόδρα — πόλει collocant ante v. καὶ — ἀδικημάτων. ‖ 12. ἀξιοῖμεν Reisk., ἀξιοῦμεν reliq. ‖ γίγνεσθαι. γίνεσθαι B. ‖ 13. ἑτέροις. ἑτέρους C. — 124, 3. εἴ τινα. sic dedi. ἔστιν ἃ reliq. ‖ 4. δοκεῖ. δικεῖ m. ‖ 5. λέγω δὲ. sic dedi. οἷον δὴ CM (marg. λέγω δὴ), λέγω δὴ reliq. ‖ 6. δὲ BCM, δ' ἂν reliq. ‖ 7. ἢ ὑφ' ὧν Pflugk. p. 35, ἢ ὑφ' ὑμῶν M, ἢ ὑφ' ἡμῶν reliq., ἃ πῶς ἂν ὑφ' ἡμῶν Reisk. ‖ ὡς om. CM. ‖ 8. καιρός ἐστι BCM, καιρὸς reliq. — 125, 2. ἢ. ἢ B, ἡ M. ‖ ἢ καὶ C, καὶ om. reliq. ‖ 5. κακόν. malim κακῶν αἰτία, nisi plura exciderunt.

126 βλαβεράς. ἀπὸ γὰρ αὐτῆς ἀρχῆς ταύτης τὰ περὶ γεωργίας
καὶ θήρας προυτράπημεν προδιελθεῖν ἐπὶ πλέον πρότερον
καὶ νῦν περὶ τῶν κατὰ ἄστυ ἐργασιῶν, τίνες αὐτῶν πρέπου- 266 R.
σαι καὶ ἀβλαβεῖς τοῖς μὴ κάκιστα βιωσομένοις, καὶ τίνες
127 χείρους ἂν ἀποτελοῖεν τοὺς ἐπ᾽ αὐτῶν. εἰ δὲ πολλὰ τῶν εἰρη-
μένων καὶ καθόλου χρήσιμά ἐστι πρὸς πολιτείαν καὶ τὴν τοῦ
προσήκοντος αἵρεσιν, ταύτῃ καὶ δικαιότερον συγγνώμην ἔχειν
τοῦ μήκους τῶν λόγων, ὅτι οὐ μάτην ἄλλως οὐδὲ περὶ ἄχρη-
στα πλανωμένῳ πλείονες γεγόνασιν. ἡ γὰρ περὶ ἐργασιῶν καὶ
τεχνῶν σκέψις καὶ καθόλου περὶ βίου προσήκοντος ἢ μὴ
τοῖς μετρίοις καὶ καθ᾽ αὑτὴν ἀξία πέφηνε πολλῆς καὶ πάνυ
128 ἀκριβοῦς θεωρίας. χρὴ οὖν τὰς ἐκτροπὰς τῶν λόγων, ἂν 125 M.
καὶ σφόδρα μακραὶ δοκῶσι, μὴ μέντοι περί γε φαύλων μηδὲ
ἀναξίων λόγου μηδὲ οὐ προσηκόντων, μὴ δυσκόλως φέρειν,
ὡς οὐκ αὐτὴν λιπόντος τὴν τῶν ὅλων ὑπόθεσιν τοῦ λέγοντος,
ἕως ἂν περὶ τῶν ἀναγκαίων καὶ προσηκόντων φιλοσοφίᾳ διεξ-
129 ίῃ. σχεδὸν γὰρ κατὰ τοῦτο μιμούμενοι τοὺς κυνηγέτας οὐκ
ἂν ἁμαρτάνοιμεν· οἵ γε ἐπειδὰν τὸ πρῶτον ἴχνος ἐκλαβόντες
κἀκείνῳ ἑπόμενοι μεταξὺ ἐπιτύχωσιν ἑτέρῳ φανερωτέρῳ καὶ
μᾶλλον ἐγγύς, οὐκ ὤκνησαν τούτῳ ξυνακολουθήσαντες, καὶ
130 ἑλόντες τὸ ἐμπεσὸν ὕστερον ἐπ᾽ ἐκεῖνο μετῆλθον. ἴσως οὖν 267 R.
οὐδὲ ἐκεῖνο μεμπτέον, ὅστις περὶ ἀνδρὸς δικαίου καὶ δικαιο-
σύνης λέγειν ἀρξάμενος, μνησθεὶς πόλεως παραδείγματος
ἕνεκεν πολλαπλάσιον λόγον ἀνάλωσε περὶ πολιτείας, καὶ οὐ

126, 1. αὐτῆς CM (corr. τῆς), αὖ τῆς B, τῆς reliq. ‖ 2. προδιελθεῖν. malim διελθεῖν. ‖ 3. ἐργασιῶν BCM. var. l. v. r, γεωργιῶν vm. ‖ αὐτῶν. αὐτῷ B. ‖ 5. ἐπ᾽ αὐτῶν C. Obs. p. 17, ἀπ᾽ αὐτῶν reliq. — 127, 2. καὶ καθόλου. καὶ om. C. ‖ 5. ἡ γὰρ CM, ἣ reliq. ‖ ἐργασιῶν Pflugk. p. 35, γεωργιῶν reliq. ‖ 6. ἢ μή. ἢ εἰ μὴ B. ‖ 7. καὶ καθ᾽ αὑτὴν C, καὶ κατ᾽ αὐτὴν M, καὶ εἰ καθ᾽ αὑτὴν r, καὶ εἰ κατ᾽ αὐτὴν B. vm. ‖ πέφηνε C, πέφηνεν reliq. — 128, 1. χρὴ CM, οὐ χρὴ reliq. ‖ 2. μακραὶ Reisk., μακροὶ reliq. ‖ δοκῶσι C, δοκῶσιν reliq. ‖ 3. λόγου Reisk., λέγωσι C, λόγων reliq., quod delebat Casaub. ‖ μὴ δυσκόλως C, μὴ om. reliq. ‖ 4. αὐτὴν λιπόντος τὴν τῶν. αὐτὰς λιπόντων τὴν CM (corr. vulg.). ‖ 5. ἕως ἂν περὶ Casaub., ἕως ἂν ὑπὲρ Pflugk., ὡς ἂν περὶ CM (corr. ὡς ἂν εἰ περὶ), ὡς ἂν εἰ περὶ reliq. ‖ διεξίῃ M. Pflugk., διεξήει reliq. — 129, 1. κατὰ om. M. ‖ 2. ἁμαρτάνοιμεν BCM. Iacobs., ἁμαρτάνομεν reliq. ‖ ἐπειδὰν BCM. Iacobs., ἐπειδὴ reliq. ‖ 4. τούτῳ. τοῦτο BM. ‖ ξυνακολουθήσαντες. malim ξυνακολουθῆσαι. ‖ 5. ὕστερον ἐπ᾽ ἐκεῖνο μετῆλθον C, ἐπ᾽ ἐκεῖνο μετῆλθον om. reliqui. verum haud multum aberat quin coniectura assequeretur Iacobsii ὕστερον ἐπὶ τὸ πρῶτον ἴχνος ἐπανελθεῖν. — 130, 2. ἐκεῖνο C, ἐκείνῳ reliq. ‖ 3. ἀρξάμενος BCM, ἀρχόμενος reliq. ‖ 4. ἀνάλωσε BC, ἀνάλωσεν

πρότερον ἀπέκαμε, πρὶν ἢ πάσας μεταβολὰς καὶ ἅπαντα γένη
πολιτειῶν διεξῆλθε, πάνυ ἐναργῶς τε καὶ μεγαλοπρεπῶς τὰ
131 συμβαίνοντα περὶ ἑκάστην ἐπιδεικνύς· εἰ καὶ παρά τισιν αἰτίαν
ἔχει περὶ τοῦ μήκους τῶν λόγων καὶ τῆς διατριβῆς τῆς περὶ
τὸ παράδειγμα δήπουθεν· ἀλλ' ὡς οὐδὲν ὄντα πρὸς τὸ προ-
κείμενον τὰ εἰρημένα καὶ οὐδ' ὁπωστιοῦν σαφεστέρου δι' αὐ-
τὰ τοῦ ζητουμένου γεγονότος, οὗπερ ἕνεκεν ἐξαρχῆς εἰς τὸν
λόγον παρελήφθη, διὰ ταῦτα, εἴπερ ἄρα, οὐ παντάπασιν
132 ἀδίκως εὐθύνεται. ἐὰν οὖν καὶ ἡμεῖς μὴ προσήκοντα μηδὲ
οἰκεῖα τῷ προκειμένῳ φαινώμεθα διεξιόντες, μακρολογεῖν
εἰκότως ἂν φαινοίμεθα. καθ' αὑτὸ δὲ ἄλλως οὔτε μῆκος
οὔτε βραχύτητα ἐν λόγοις ἐπαινεῖν ἢ ψέγειν δίκαιον. περὶ δὲ
τῶν λοιπῶν τῶν ἐν ταῖς πόλεσι πράξεων χρὴ θαῤῥοῦντας δια-
περᾶναι, τῶν μὲν μιμνησκομένους, τὰ δὲ καὶ ἐῶντας ἄῤῥητά
133 τε καὶ ἀμνημόνευτα. οὐ γὰρ δὴ περί γε πορνοβοσκῶν καὶ
περὶ πορνοβοσκίας ὡς ἀμφιβόλων ἀπαγορευτέον, ἀλλὰ καὶ
πάνυ ἰσχυριστέον καὶ ἀποῤῥητέον, λέγοντι μηδένα προσχρῆ- 268 R.
σθαι, μήτ' οὖν πένητα μήτε πλούσιον, ἐργασίᾳ τοιαύτῃ,
μισθὸν ὕβρεως καὶ ἀκολασίας ὁμοίως παρὰ πᾶσιν ἐπονείδι- 126 M.
στον ἐκλέγοντας ἀναφροδίτου μίξεως καὶ ἀνεράστου τῶν ἐρών-
των κέρδους ἕνεκα γιγνομένην, συναγαγοῦσαν αἰχμάλωτα
σώματα γυναικῶν ἢ παίδων ἢ ἄλλως ἀργυρώνητα ἐπ' αἰσχύνῃ
προϊστάντας ἐπ' οἰκημάτων ῥυπαρῶν πανταχοῦ τῆς πόλεως
ἀποδεδειγμένων, ἔν τε παρόδοις ἀρχόντων καὶ ἀγοραῖς πλη-
134 σίον ἀρχείων τε καὶ ἱερῶν, μεταξὺ τῶν ὁσιωτάτων, μήτ' οὖν

M, ἀνήλωσε reliq. ‖ 6. διεξῆλθε. διεξῆλθεν C. ‖ 7. συμβαίνοντα. ξυμβαίνοντα B. — 131, 2. περὶ τοῦ. τοῦ περιττοῦ Geel., τοῦ Kays. ‖ 3. ἀλλ' ὡς Casaub., ἄλλως reliq. ‖ 4. σαφεστέρου BCM (corr. σαφέστερον). Casaub. r, σαφέστερον vm. ‖ 5. γεγονότος. γιγνομένου C. — 132, 2. προκειμένῳ. παρακειμένῳ C. ‖ 3. εἰκότως. ἰκότως M. ‖ φαινοίμεθα C, φαινώμεθα reliq., malim κρινοίμεθα. ‖ 4. δὲ. δὴ B. ‖ 6. τὰ δὲ καὶ BCM, καὶ om. reliq. — 133, 2. πορνοβοσκίας. πορνοβοσκείας M. ‖ 3. καὶ ἀποῤῥητέον. τε καὶ ἀποῤῥητέον M. ‖ 4. μήτ' οὖν. μήτε οὖν CM. ‖ 6. καὶ ἀνεράστου τῶν ἐρώντων κέρδους ἕνεκα γιγνομένην, συναγαγοῦσαν. haec alii aliter emendare conati sunt; in libris nihil est praesidii, nisi quod in CM γιγνομένους et συναγαγοῦσαι in M; καὶ ἀνεράστου ἔρωτος κέρδους ἕνεκα γιγνομένων, συναγαγόντας Geel., καὶ ἀνεράστου ὄντως ἔρωτος κέρδους ἕνεκα γιγνομένους συναγωγοὺς Pflugk., malim καὶ ἀνεράστων ἐρώτων κέρδους ἕνεκα γιγνομένους συναγωγεῖς. ‖ 8. ἀργυρώνητα. ἀργυρόνητα B. ‖ 9. προϊστάντας. προστάντας CM. ‖ ῥυπαρῶν. δυπαρῶν C. ‖ 10. πλησίον. πλησίων C. ‖ 11. ἀρχείων. ἀρχῶν BM.

βαρβαρικὰ σώματα μήτε Ἑλλήνων πρότερον μὲν οὐ πάνυ,
τανῦν δὲ ἀφθόνῳ τε καὶ πολλῇ δουλείᾳ κεχρημένων, ἐπὶ τὴν
τοιαύτην λώβην καὶ ἀνάγκην ἄγοντας, ἱπποφορβῶν καὶ ὀνο-
φορβῶν πολὺ κάκιον καὶ ἀκαθαρτότερον ἔργον ἐργαζομένους,
οὐ κτήνεσι κτήνη δίχα βίας ἑκόντα ἑκοῦσιν ἐπιβάλλοντας
οὐδὲν αἰσχυνομένοις, ἀλλὰ ἀνθρώποις αἰσχυνομένοις καὶ 269 R.
ἄκουσιν οἰστρῶντας καὶ ἀκολάστους ἀνθρώπους ἐπ' ἀτελεῖ
καὶ ἀκάρπῳ συμπλοκῇ σωμάτων, φθορὰν μᾶλλον ἢ γένεσιν
ἀποτελούσῃ, οὐκ αἰσχυνομένους οὐδένα ἀνθρώπων ἢ θεῶν,
135 οὔτε Δία γενέθλιον οὔτε Ἥραν γαμήλιον οὔτε Μοίρας τελεσ-
φόρους ἢ λοχίαν Ἄρτεμιν ἢ μητέρα Ῥέαν οὐδὲ τὰς προεστώ-
σας ἀνθρωπίνης γενέσεως Εἰλειθυίας οὐδὲ Ἀφροδίτην ἐπώ-
νυμον τῆς κατὰ φύσιν πρὸς τὸ θῆλυ τοῦ ἄρρενος συνόδου τε
136 καὶ ὁμιλίας· μὴ δὴ ἐπιτρέπειν τὰ τοιαῦτα κέρδη μηδὲ νομο-
θετεῖν μήτε ἄρχοντα μήτε νομοθέτην, μήτ' ἐν ταῖς ἄκρως
πρὸς ἀρετὴν οἰκησομέναις πόλεσιν μήτ' ἐν ταῖς δευτέραις ἢ
τρίταις ἢ τετάρταις ἢ ὁποίαις ἄν, ἐὰν ἐπ' αὐτῶν τινι ᾖ τὰ
137 τοιαῦτα κωλύειν. ἐὰν δ' ἄρα παλαιὰ ἔθη καὶ νοσήματα ἐσκιῤ-
ῥωμένα χρόνῳ παραλάβῃ, μήτοι γε παντελῶς ἐᾶν ἀθεράπευτα
καὶ ἀκόλαστα, ἀλλὰ σκοποῦντα τὸ δυνατὸν ἀμηγέπη στέλλειν
καὶ κολάζειν. ὡς οὔποτε φιλεῖ τὰ μοχθηρὰ μένειν ἐπὶ τοῖς αὐ- 121 M.
τοῖς, ἀλλὰ ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέστερον
138 μηδενὸς ἀναγκαίου μέτρου τυγχάνοντα. δεῖ δὴ ποιεῖσθαί
τινα ἐπιμέλειαν, μὴ πάνυ τι πρᾴως μηδὲ ῥαθύμως φέροντας
τὴν εἰς τὰ ἄτιμα καὶ δοῦλα σώματα ὕβριν· οὐ ταύτῃ μόνον,
ᾗ κοινῇ τὸ ἀνθρώπινον γένος ἅπαν ἔντιμον καὶ ὁμότιμον ὑπὸ 270 R.
τοῦ φύσαντος θεοῦ, ταὐτὰ σημεῖα καὶ σύμβολα ἔχον τοῦ
τιμᾶσθαι δικαίως, καὶ λόγον καὶ ἐμπειρίαν καλῶν τε καὶ

134, 2. πρότερον CM. Reisk., ἃ πρότερον reliq. ‖ 3. ἀφθόνῳ B. Reisk., ἀφθόνως reliq. ‖ 6. βίας. μίας M. ‖ ἑκοῦσιν. ἑκούσιον C. ‖ 7. αἰσχυνομένοις. αἰσχυνόμενα M. m. ‖ 10. ἀποτελούσῃ Reisk., ἀποτελούντων reliq. ‖ οὐκ. sic dedi. οὔτε reliq. — 135, 1. γενέθλιον. γαμήλιον BM. ‖ 2. λοχίαν. λόχειαν BM. — 136, 1. μὴ δὴ CM, μηδὲ reliq. ‖ ἐπιτρέπειν τὰ BCMA. Morell., ἐπιτρέποντα reliq. ‖ 2. ἄκρως. ἄκρω B. ‖ 4. ὁποίαις ἄν. malim ὁποιαισοῦν. ‖ ἐὰν om. BM. ‖ τινὶ ᾖ. τῇ νηὶ B. — 137, 1. νοσήματα ἐσκιῤῥωμένα C, νοσήματα ἐσκιρωμένα M, ἐσκιρωμένα νοσήματα B, ἐσκιῤῥωμένα νοσήματα reliq. ‖ 4. ὡς seqq. citat Stob. p. 30, 14 Gesn. cum magna scripturae discrepantia. — 138, 3. ταύτῃ μόνον, ᾗ BCM. Casaub. r, ταύτην μόνον ἢ vm. ‖ 4. καὶ ὁμότιμον om. C. ‖ 5. ταὐτά. ταῦτα M. ‖ 6. καὶ λόγον CM (καὶ κατὰ λόγον corr.), λόγον Reisk., καὶ κατὰ λόγον reliq.

αἰσχρῶν γέγονεν, ἀλλὰ κἀκεῖνο ἐνθυμουμένους, ὅτι χαλεπὸν
ὕβρει τρεφομένῃ δι' ἐξουσίαν ὅρον τινὰ εὑρεῖν, ὃν οὐκ ἂν ἔτι
τολμήσαι διὰ φόβον ὑπερβαίνειν· ἀλλ' ὑπὸ τῆς ἐν τοῖς ἐλάτ-
τοσι δοκοῦσι καὶ ἐφειμένοις μελέτης καὶ συνηθείας ἀκάθε-
κτον τὴν ἰσχὺν καὶ ῥώμην λαβοῦσα οὐδενὸς ἔτι φείδεται τῶν
139 λοιπῶν. ἤδη οὖν χρὴ παντὸς μᾶλλον οἴεσθαι τὰς ἐν τῷ μέσῳ
ταύτας φανερὰς καὶ ἀτίμους μοιχείας καὶ λίαν ἀναισχύντως
καὶ ἀνέδην γιγνομένας, ὅτι τῶν ἀδήλων καὶ ἀφανῶν εἴς τε
ἐντίμους γυναῖκάς τε καὶ παῖδας ὕβρεων οὐχ ἥκιστα παρέ-
χουσι τὴν αἰτίαν, τοῦ πάνυ ῥᾳδίως τὰ τοιαῦτα τολμᾶσθαι,
τῆς αἰσχύνης ἐν κοινῷ καταφρονουμένης· ἀλλ' οὐχ, ὥσπερ
οἴονταί τινες, ὑπὲρ ἀσφαλείας καὶ ἀποχῆς ἐκείνων εὑρῆσθαι 271 R
140 τῶν ἁμαρτημάτων. τάχ' οὖν λέγοι τις ἂν ἀγροικότερον οὕτω
πως· ὦ σοφοὶ νομοθέται καὶ ἄρχοντες οἱ παραδεξάμενοι τὰ
τοιαῦτα ἀπαρχῆς ὡς δή τι θαυμαστὸν εὑρηκότες ταῖς πόλε-
σιν ὑμεῖς σωφροσύνης φάρμακον, ὅπως ὑμῖν μὴ τὰ φανερὰ
ταῦτα καὶ ἄκλειστα οἰκήματα τὰς κεκλεισμένας οἰκίας καὶ
τοὺς ἔνδοθεν θαλάμους ἀναπετάσῃ, καὶ τοὺς ἔξω καὶ φανε-
ρῶς ἀσελγαίνοντας ἀπὸ σμικρᾶς δαπάνης ἐπὶ τὰς ἐλευθέρας
καὶ σεμνὰς τρέψῃ γυναῖκας μετὰ πολλῶν χρημάτων τε καὶ
δώρων, τὸ σφόδρα εὔωνον καὶ μετ' ἐξουσίας οὐκέτι στέργον-
τας, ἀλλ' αὐτὸ δὴ τὸ κεκωλυμένον ἐν φόβῳ τε καὶ πολλοῖς
141 ἀναλώμασι διώκοντας. ὄψεσθε δὲ αὐτό, ἐμοὶ δοκεῖν, ἀκρι- 128 M
βέστερον, ἐὰν σκοπῆτε· παρ' οἷς γὰρ καὶ τὰ τῶν μοιχειῶν
μεγαλοπρεπέστερόν πως παραπέμπεται, πολλῆς καὶ σφόδρα
φιλανθρώπου τῆς εὐγνωμοσύνης τυγχάνοντα, τὰ μὲν πολλὰ 272 R
ὑπὸ χρηστότητος οὐκ αἰσθανομένων τῶν ἀνδρῶν, τὰ δέ τινα
οὐχ ὁμολογούντων εἰδέναι, ξένους δὲ καὶ φίλους καὶ ξυγγενεῖς

9. τολμήσαι A. Casaub., τολμῆται C. m, τολμῆσαι reliq. ‖ ὑπό. ὑπὲρ BM, ἀπὸ C. ‖ ἐλάττοσι δοκοῦσι CM, δοκοῦσι om. reliq. ‖ 10. καὶ ἐφειμένοις BM, κἂν ὑφειμένοις C, καὶ ὑφειμένοις reliq. ‖ 11. τὴν ἰσχὺν Reisk., τὴν αἰσχύνην reliq., τινα ἰσχὺν Iacobs. Add. p. 274. — 139, 2. ταύτας om. C. ‖ φανεράς. φθονερᾶς M. ‖ 3. ἀνέδην BCM. Reisk., ἀναίδην reliq. ‖ εἴς τε. τε delel Reisk. ‖ 5. τοῦ. καὶ τοῦ Geel. ‖ 7. εὑρῆσθαι. εὑρίσθαι C. — 140, 1. τις ἂν BM, ἂν om. reliq. ‖ οὕτω. οὕτως M. ‖ 3. εὑρηκότες Iacobs. Add. p. 303, εὑρήκατε reliq. ‖ 4. μὴ τά. τὰ om. BM. ‖ 5. καί. τὰ M. ‖ κεκλεισμένας. κεκλειμένας M. ‖ 7. σμικρᾶς. μικρᾶς BM. ‖ 8. τρέψῃ. τρέπῃ BM. ‖ 9. τὸ CM, μὴ τὸ reliq. ‖ οὐκέτι om. B. ‖ 10. αὐτὸ δὴ BCM. Reisk., αὐτὸ δὲ reliq. ‖ ἐν. malim σύν. — 141, 2. μοιχειῶν. μοιχιῶν M. ‖ 3. μεγαλοπρεπέστερόν. μεγαλοπτέστερον M (corr. vulg.).

τοὺς μοιχοὺς καλουμένους ἀνεχομένων, καὶ αὐτῶν ἐνίοτε φιλο-
φρονουμένων καὶ παρακαλούντων ἐν ταῖς ἑορταῖς καὶ θυσίαις
142 ἐπί τε τὰς ἑστιάσεις ὡς ἂν οἶμαι τοὺς οἰκειοτάτους, ἐπὶ δὲ
τοῖς σφόδρα ἐκδήλοις καὶ φανεροῖς μετρίας τὰς ὀργὰς ποιου-
μένων· παρ' οἷς δή, φημί, ταῦθ' οὕτως ἐπιεικῶς ἐξάγεται τὰ
περὶ τὰς γυναῖκας, οὐδὲ περὶ τῶν παρθένων ἐκεῖ θαῤῥῆσαι
ῥᾴδιον τῆς κορείας οὐδὲ τὸν Ὑμέναιον ὡς ἀληθῶς καὶ δικαίως
143 ᾀδόμενον ἐν τοῖς παρθενικοῖς γάμοις πιστεῦσαί ποτε. ἢ οὐκ
ἀνάγκη πολλὰ ἐοικότα ξυμβαίνειν αὐτόθι τοῖς παλαιοῖς μύ-
θοις, δίχα γε τῆς τῶν πατέρων ὀργῆς καὶ πολυπραγμοσύνης,
ἀλλὰ πολλῶν μιμουμένων τοὺς λεγομένους τῶν θεῶν ἔρωτας,
χρυσοῦ τε πολλοῦ διαῤῥέοντος διὰ τῶν ὀρόφων καὶ πάνυ
ῥᾳδίως, ἅτε οὐ χαλκέων ὄντων οὐδὲ λιθίνων τῶν οἰκημάτων,
144 καὶ νὴ Δία ἀργύρου στάζοντος οὐ κατ' ὀλίγον οὐδ' εἰς τοὺς
τῶν παρθένων κόλπους μόνον, ἀλλ' εἴς τε μητέρων καὶ τρο-
φῶν καὶ παιδαγωγῶν, καὶ ἄλλων πολλῶν καὶ καλῶν δώρων
τῶν μὲν κρύφα εἰσιόντων διὰ τῶν στεγῶν, ἔστι δ' ὧν φανε-
145 ρῶς κατ' αὐτάς που τὰς κλισίας; τί δ'; ἐν ποταμοῖς καὶ ἐπὶ 273 R
κρηνῶν οὐκ εἰκὸς ὅμοια πολλὰ γενέσθαι τοῖς πρότερον λεγο-
μένοις ὑπὸ τῶν ποιητῶν; πλὴν ἴσως γε οὐ δημοσίᾳ γιγνόμενα
οὐδ' ἐν τῷ φανερῷ, κατ' οἰκίας δὲ οὕτως εὐδαίμονας κήπων
τε καὶ προαστείων πολυτελεῖς ἐπαύλεις ἔν τισι νυμφῶσι κατε-
σκευασμένοις καὶ θαυμαστοῖς ἄλσεσιν, ἅτε οὐ περὶ πενιχρὰς
οὐδὲ πενήτων βασιλέων, οἵας ὑδροφορεῖν τε καὶ παίζειν παρὰ

9. ἐπί τε. τε om. C. ‖ ἑστιάσεις. ἐσθιάσεις vm. — 142, 3. οἷς δή. δή om. CM. ‖ ἐξάγεται. ἐξετάζεται Reisk., ἐξαγίζεται Kayser., ξεναγεῖται Geel. ‖ τὰ περί. τὰ om. B. ‖ 4. παρθένων—οὐδ' εἰς τοὺς om. M. ‖ 5. κορείας Iacobs., χορείας reliq. — 143, 1. ἢ οὐκ Pflugk. p. 38 (conf. Obs. p. 18, ubi nescio quo casu ἢ οὐκ), εἰ οὖν reliq. ‖ 3. δίχα γε BC, γε om. reliq. ‖ 4. ἀλλά. ἅτε Reisk., μάλα Obs. p. 18, ἅμα Pflugk. p. 38. ‖ λεγομένους τῶν θεῶν ἔρωτας. ἔρωτας τῶν θεῶν λεγομένους C. — 144, 1. Δία. διὰ m. ‖ ἀργύρου C, ἀργυρίου reliq. ‖ οὐ κατ' BC, κατ' reliq. ‖ ὀλίγον. ὀλίγων C. ‖ 2. κόλπους. κόλπουσι M. ‖ μόνον BM, μόνους reliq. ‖ 3. δώρων. δωρίων C. ‖ 4. στεγῶν. στεγνῶν M. ‖ ἔστι δ' ὧν CM, ἔστι δ' οὗ reliq. ‖ 5. κατ' αὐτάς. καὶ ταύτας M. — 145, 1. τί δ'; ἔτι δ' Reiskius. at mutanda erat distinctio, quod primus vidit Toup. ad Longin. IV § 6. ‖ 2. οὐκ εἰκός. οὐκ ἀπεικὸς Reisk. ‖ 3. γιγνόμενα BCM, γινόμενα reliq. ‖ 4. οὕτως. που τὰς Pflugk. p. 39, ὄντως Geel. ‖ 5. προαστείων. προαστίων M. ‖ κατεσκευασμένοις καί. κατεσκιασμένοις Geel. ‖ 6. ἅτε οὐ περὶ Reisk. et Pflugk., ἅτε οὐ reliq. ‖ πενιχράς. πενιχρῶς B, πενιχραῖς Iacobs. ‖ 7. πενήτων. γενητῶν B. ‖ βασιλέων. πατέρων Geel. ‖ οἵας. οἵαις Iacobs., οἵας φασὶν Geel.

τοῖς ποταμοῖς ψυχρὰ λουτρὰ λουομένας καὶ ἐν αἰγιαλοῖς ἀναπεπταμένοις, ἀλλὰ μακαρίας καὶ μακαρίων γονέων ἐν βασιλικαῖς καταγωγαῖς, ἴδια πάντα ταῦτα ἐχούσαις πολὺ κρείττονα 129 M
146 καὶ μεγαλοπρεπέστερα τῶν κοινῶν. ἀλλ' ἴσως γε οὐδὲν ἧττον ἔμελλον ἐν ἐκείνῃ τῇ πόλει παῖδας προσδοκᾶν ἐσομένους, οἷον Ὅμηρος εἴρηκεν Εὔδωρον, υἱὸν Ἑρμοῦ καὶ Πολυδώρας, ὑποκοριζόμενος αὐτὸν οἶμαι κατὰ τὴν γένεσιν·

παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυδώρη.

147 [πολλοὺς τοὺς τοιούτους.] σχεδὸν δὲ καὶ παρὰ Λακεδαιμονίοις ἔτυχόν τινες ταύτης τῆς ἐπωνυμίας τῶν οὕτω γενομένων, Παρθένιοι κληθέντες συχνοί· ὥστ', εἰ μὴ διεφθείροντο οἱ πλείους τῶν ἐν ταῖς οὕτω τρυφώσαις πόλεσι γιγνομένων, ἅτε οὐδαμῶς οἶμαι δαιμονίου τυγχάνοντες ἐπιμελείας, οὐδὲν ἂν
148 ἐκώλυε πάντα μεστὰ ἡρώων εἶναι. νῦν δὲ οἱ μὲν ἀπόλλυνται παραχρῆμα· ὅσοι δ' ἂν καὶ φανῶσι, κρύφα ἐν δούλου 274 R.
σχήματι μένουσιν ἄχρι γήρως, ἅτε οὐδὲν αὐτοὺς δυναμένων τῶν σπειράντων προσωφελεῖν. εἶεν δή, παρ' οἷς ἂν καὶ τὰ περὶ τὰς κόρας οὕτως ἁπλῶς ἔχῃ, τί χρὴ προσδοκᾶν τοὺς
149 κόρους; ποίας τινὸς παιδείας καὶ ἀγωγῆς τυγχάνειν; ἔσθ' ὅπως ἂν ἀπόσχοιντο τῆς τῶν ἀῤῥένων λώβης καὶ φθορᾶς τό γε ἀκόλαστον γένος, τοῦτον ἱκανὸν καὶ σαφῆ ποιησάμενον

8. λουτρὰ λουομένας BCM, λουομέναις λουτρὰ Iacobs., λουομένας λουτρὰ reliq. ‖ αἰγιαλοῖς Pflugk. p. 39, ἄλσεσιν reliq. ‖ 9. μακαρίας C. Pflugk., μακαρίοις reliq. ‖ 10. ἴδια. νὴ Δία B. ‖ πάντα ταῦτα BCM, ταῦτα πάντα reliq., τὰ βαλανεῖα Pflugk. conf. Geel. p. 195. — 146, 2. ἔμελλον ἐν CM, ἐμέλλετε Obs. p. 19, ἔμελεν Iacobs. ad Anthol. Palat. p. 428 (ἔμελλεν ἐκείνη γε ἡ πόλις idem Add. p. 200), ἔμελλεν reliq. ‖ 3. Πολυδώρας. πολύδωρος M. Πολυμήλη dicitur Il. 16, 180. ‖ ὑποκοριζόμενος BCM. Anonym. apud Reisk., ὑποκρυζόμενος v, ὑποκρυπτόμενος reliq., unde οὔτι ὑποκρυπτόμενος Iacobs. ‖ 4. αὐτὸν οἶμαι. αὐτοῦ οἶμαι Reisk., αὐτοῦ ὀνόματι Pflugk. p. 39. ‖ κατὰ τὴν BCM. v, κατὰ om. reliq. ‖ 5. Παρθένιος. Παρθένος B. ‖ Πολυδώρη. Πολυμήλη Il. 16, 180. — 147, 1. [πολλοὺς τοὺς τοιούτους] om. C. ‖ 2. οὕτω. οὕτως M. ‖ 3. Παρθένιοι C, παρθένοι M, παρθενίαις r, παρθενίαι reliq. ‖ συχνοί CMA. r, συχνῶς vm. ‖ μὴ διεφθείροντο CM. vm, μηδὲ ἐφθείροντο A. r. ‖ 4. πλείους BCM, Lobeck. ad Aiac. 1042, παλαιοὺς N, πολλοὺς reliq. ‖ οὕτω. οὕτως CM. ‖ ἅτε. ἄγε r. — 148, 2. φανῶσι. φθάνωσι Reisk., φθαρῶσι Iacobs. ‖ δούλου. δούλων (corr. vulg.) M. ‖ 3. μένουσιν CM, μένουσι reliq. ‖ 4. εἶεν δή. maiorem interpunctionem post δὴ commate mutavi. conf. § 103 et Herm. ad Vig. p. 750. ‖ 5. οὕτως ἁπλῶς. οὕτω σαπρῶς Cens. p. 356 (possit οὕτως ἀθλίως vel οὕτως ἁβρῶς), οὕτως ἀμελῶς Reisk. ‖ τί χρή. τί δὴ C, τί δὴ χρὴ B. — 149, 2. τό γε. τό τε C. ‖ 3. γένος, τοῦτον. γένος τοῦ το Geel.

ὅρον, τὸν τῆς φύσεως, ἀλλ' οὐκ ἂν ἐμπιπλάμενον πάντα τρόπον τῆς περὶ γυναῖκας ἀκρασίας καὶ διακορὴς γενόμενον τῆς ἡδονῆς ταύτης ζητοίη ἑτέραν μείζω καὶ παρανομωτέραν ὕβριν;
150 ὡς τά γε γυναικῶν, αὐτῶν σχεδόν τι τῶν ἐλευθέρων καὶ παρθένων, ἐφάνη ῥᾴδια καὶ οὐδεὶς πόνος θηρῶντι μετὰ πλούτου τὴν τοιάνδε θήραν· οὐδὲ ἐπὶ τὰς πάνυ σεμνὰς καὶ σεμνῶν τῷ ὄντι γυναῖκας καὶ θυγατέρας ὅστις ἂν ἴῃ σὺν τῇ τοῦ Διὸς μηχανῇ, χρυσὸν μετὰ χεῖρας φέρων, οὐ μήποτε ἀποτυγχάνῃ.
151 ἀλλ' αὐτά που τὰ λοιπὰ δηλοῖ παρὰ πολλοῖς γιγνόμενα, ὅ γε ἄπληστος τῶν τοιούτων ἐπιθυμιῶν, ὅταν μηδὲν εὑρίσκῃ σπάνιον μηδὲ ἀντιτεῖνον ἐν ἐκείνῳ τῷ γένει, καταφρονήσας τοῦ 130 M.
ῥᾳδίου καὶ ἀτιμάσας τὴν ἐν ταῖς γυναιξὶν Ἀφροδίτην ὡς ἕτοιμον δή τινα καὶ τῷ ὄντι θῆλυν παντελῶς, ἐπὶ τὴν ἀνδρωνῖτιν μεταβήσεται, τοὺς ἄρξοντας αὐτίκα μάλα καὶ δικάσον-
152 τας καὶ στρατηγήσοντας ἐπιθυμῶν καταισχύνειν, ὡς ἐνθάδε που τὸ χαλεπὸν καὶ δυσπόριστον εὑρήσων τῶν ἡδονῶν εἶδος, τοῖς ἄγαν φιλοπόταις καὶ οἰνόφλυξι ταὐτὸ πεπονθὼς πάθος, 215 R.
οἳ πολλάκις μετὰ πολλὴν ἀκρατοποσίαν καὶ συνεχῆ οὐκ ἐθέλοντες πιεῖν αὐχμὸν ἐξεπίτηδες μηχανῶνται διά τε ἱδρώτων καὶ σιτίων ἁλμυρῶν καὶ δριμέων προσφορᾶς.

5. ἀκρασίας καί. ἀκρατίας B, ἀκρατείας CM (sed καὶ a corr. add.). ‖ 6. ζητοίη. ζητεῖν C, ζητοῖ M. ‖ μείζω. μίζω M. ‖ παρανομωτέραν BCM. Selden., παρανομωτέρω reliq. — 150, 1. τά γε. τά τε BM, τὰ τῶν Geel. ‖ αὐτῶν. αὐτῷ Geelius. comma transposui ante αὐτῶν, quod vulgo post hoc v. exaratur. ‖ σχεδόν τι Reisk., σχεδόν τε reliq. ‖ 3. τὴν τοιάνδε BCM, τὴν om. reliq. ‖ 4. ἴῃ Reisk., εἰ BC, ᾗ M. vm, ἴοι Casaub. r. ‖ 5. οὐ om. CM. ‖ ἀποτυγχάνῃ C. Pflugk., ἀποτυγχάνει BM, ἀποτυγχάνοι reliq. — 151, 1. αὐτά που τὰ λοιπὰ δηλοῖ παρά. αὐτά που ταῦτα λοιπὰ τὰ δὴ παρὰ Pflugk. p. 30, malim ἀλλ' αὐτά που τὰ τοιαῦτα δὴ λοιπὰ τὰ παρά, vulgatum interposito τά ante παρά servat Geel. ‖ γιγνόμενα BCM, γενόμενα reliq. ‖ ὅ γε C, ὥς τε M, ὡς ὅ γε reliq. ‖ 2. εὑρίσκῃ BM, εὑρίσκοι reliq. ‖ 4. τήν. δὲ τὴν BM. ‖ 5. ἐπὶ τήν. τὴν om. C. ‖ ἀνδρωνῖτιν. ἀνδρωνίτην M. ‖ 6. ἄρξοντας (et δικάσοντας et στρατηγήσοντας) Kays. Ann. Mon. p. 100, reliq. ἄρξαντας (et δικάσαντας et στρατηγήσαντας). — 152, 2. εὑρήσων τῶν ἡδονῶν BC, τῶν ἡδονῶν εὑρήσων reliq. ‖ εἶδος. εἰδὼς M, om. C. ‖ 4. μετά. πρὸς τὴν C (aptissimum, si omittuntur v. οὐκ ἐθέλοντες πιεῖν). ‖ οὐκ ἐθέλοντες πιεῖν. potum fastidientes, si modo haec genuina sunt, possit οὐκ omitti. ‖ 5. πιεῖν αὐχμόν. ποιεῖν αὐχμὸν B, πιναυχμὸν M. ‖ 6. προσφορᾶς. προσφορὰς B.

ΛΟΓΟΣ η

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΑΡΕΤΗΣ.

1 *Διογένης ὁ Σινωπεὺς ἐκπεσὼν ἐκ τῆς πατρίδος, οὐδενὸς
διαφέρων τῶν πάνυ φαύλων Ἀθήναζε ἀφίκετο, καὶ καταλαμ-
βάνει συχνοὺς ἔτι τῶν Σωκράτους ἑταίρων· καὶ γὰρ Πλά-
τωνα καὶ Ἀρίστιππον καὶ Αἰσχίνην καὶ Ἀντισθένην καὶ τὸν
Μεγαρέα Εὐκλείδην. Ξενοφῶν δὲ ἔφευγε διὰ τὴν μετὰ Κύ-
ρου στρατείαν. τῶν μὲν οὖν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀν-
τισθένει δὲ ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐπαινῶν ὡς τοὺς λόγους
οὓς ἔλεγεν, ἡγούμενος μόνους εἶναι ἀληθεῖς καὶ μάλιστα
2 δυναμένους ἄνθρωπον ὠφελῆσαι. ἐπεὶ αὐτόν γε τὸν Ἀντι-
σθένη παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ
μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα λοιδορῶν· αὐ-
τοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. καὶ ὁ Ἀντι-
σθένης ὑπέμενεν αὐτὸν ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε
3 τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν ἀμυνόμενος ἀντὶ τῆς
σάλπιγγος τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι· καὶ γὰρ τῶν σφη- 276 R.
κῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν μικρὸν, τὸ δὲ κέντρον
δριμύτατον. ἔχαιρεν οὖν τῇ παῤῥησίᾳ τοῦ Διογένους, ὥσπερ
οἱ ἱππικοὶ, ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον
καὶ φιλόπονον, οὐδὲν ἧττον ἀποδέχονται τὸ χαλεπὸν τοῦ ἵπ-
που, τοὺς δὲ νωθροὺς καὶ βραδεῖς μισοῦσι καὶ ἀποδοκιμάζου-
4 σιν. ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιέ-
ναι, ὥσπερ οἱ χορδοστρόφοι τὰ νεῦρα τείνουσι, προσέχοντες 131 M
μὴ ῥαγῇ. ἐπεὶ δὲ ἀπέθανεν ὁ Ἀντισθένης καὶ τῶν ἄλλων*

Orat. VIII. Collati sunt VBCMD. — 1, 1. *οὐδενὸς. οὐδὲν* C. ‖ 3. *συχνοὺς— Ἀντισθένην* VBCMDA, om. vmr. ‖ 5. *Ξενοφῶν* VCM (mrg. *οὗτος*), *οὗτος* BDA. vmr. ‖ *ἔφευγε* VCM, *ἔφυγε* reliq. — 2, 1. *αὐτόν. αὐτοὺς* BM (at in litura). ‖ 3. *λοιδορῶν. λοιδόρων* B. ‖ 4. *ἀκούειν* C, *ἤκουεν* M, *ἤκουε* reliq. ‖ 5. *ταῦτα. ταῦτ'* V. — 3, 3. *μικρὸν. σμικρὸν* C. ‖ 4. *παῤῥησίᾳ* VCM (mrg. *παρουσίᾳ*). r, *παῤῥησία* D, *παρουσία* reliq. ‖ 7. *τοὺς δὲ νωθροὺς καὶ βραδεῖς. τοὺς βραδεῖς καὶ νωθροὺς* V. — 4, 3. *ὁ Ἀντισθένης. ὁ* om. BD.

οὐδένα ἡγεῖτο συνουσίας ἄξιον, μετέβη εἰς Κόρινθον κἀκεῖ
διῆγεν, οὔτε οἰκίαν μισθωσάμενος οὔτε παρὰ ξένῳ τινὶ κα-
5 ταγόμενος, ἀλλ' ἐν τῷ Κρανίῳ θυραυλῶν. ἑώρα γάρ, ὅτι
πλεῖστοι ἄνθρωποι ἐκεῖ συνίασι διὰ τοὺς λιμένας καὶ τὰς ἑταί-
ρας, καὶ ὅτι ἡ πόλις ὥσπερ ἐν τριόδῳ τῆς Ἑλλάδος ἔκειτο.
δεῖν οὖν τὸν φρόνιμον ἄνδρα, ὥσπερ τὸν ἀγαθὸν ἰατρόν,
ὅπου πολλοὶ κάμνουσιν, ἐκεῖσε ἰέναι βοηθήσοντα, οὕτως ὅπου
πλεῖστοί εἰσιν ἀφρονέστεροι, ἐκεῖ μάλιστα ἐπιδημεῖν, ἐξελέγ-
6 χοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν. ἐπεὶ δὲ ἧκεν ὁ τῶν
Ἰσθμίων χρόνος καὶ πάντες ἦσαν ἐν Ἰσθμῷ, κατέβη καὶ αὐ-
τός. εἰώθει γὰρ ἐπισκοπεῖν ἐν ταῖς πανηγύρεσι τὰς σπουδὰς
τῶν ἀνθρώπων καὶ τὰς ἐπιθυμίας καὶ πρὸς ἅτινα ἀδημονοῦσι
7 καὶ ἐπὶ τίσι μέγα φρονοῦσιν. παρέσχε δὲ καὶ αὐτὸν τῷ βου- 271 R.
λομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη
ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσῄεσαν οἱ δεόμενοι ὀδόν-
τα ἐξελέσθαι, καὶ νὴ Δία εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν,
πάντες ἂν οἱ ὀφθαλμιῶντες αὐτοὺς ἐπεδείκνυον, ὁμοίως δὲ εἰ
8 σπληνὸς ἢ ποδάγρας ἢ κορύζης εἰδέναι φάρμακον. ἐπεὶ δὲ
ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ ἀγνοίας καὶ πονηρίας καὶ
ἀκολασίας, οὐδεὶς αὐτῷ προσεῖχεν οὐδὲ ἐκέλευεν ἰᾶσθαι αὐ-
τόν, οὐδὲ εἰ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν, ὡς ἧττον
ὑπὸ τούτων ἢ ἐκείνοις ἐνοχλούμενος, ἢ χαλεπώτερον ἀν-

5, 4. δεῖν οὖν V. vmr, δεῖ οὖν CM, δεῖν γὰρ ἔλεγε BD. ‖ 5. πολλοὶ κάμνουσιν V. var. l. v, πλειστοὶ κάμνουσιν C, πλεῖστοι κάμνουσιν (mrg. πολλοὶ νοσοῦσιν) M, πολλοὶ νοσοῦσιν reliq. ‖ βοηθήσοντα. βοηθήσονται M. ‖ ὅπου. ὅποι VM. ‖ 6. ἀφρονέστεροι. ἄφρονες ἢ ὅπου ἀφρονέστατοι Reisk. ‖ ἐπιδημεῖν Reisk., ἀποδημεῖν reliq. — 6, 3. εἰώθει. εἰώθη B. ‖ 4. πρὸς ἅτινα ἀδημονοῦσι Iacobs. Add. p. 307, ὧν ἕνεκα ἀποδημοῦσι VCM (mrg. πρὸς ἅτινα ἀποδημοῦσι). var. l. v, πρὸς ἅτινα ἀποδημοῦσι reliq. ‖ 5. ἐπὶ τίσι. ἐπί τισι M. — 7, 1. παρέσχε. παρέσχεν MD. ‖ 4. εἰ. ἢ v. ‖ ὑπέσχετο. ὑπείχετο M, ὑπίσχετο D. ‖ 5. πάντες ἂν οἱ ὀφθαλμιῶντες αὐτοὺς ἐπεδείκνυον (nisi quod αὐτοὺς) VCM (mrg. πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον), πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον reliq., unde πάντες ἂν τοὺς ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον Reisk., πάντες ἂν οἱ ὀφθαλμιῶντες τοὺς ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον haud procul a vero Iacobs. Add. p. 34. ‖ εἰ VCM. r, ἢ BD. vm. — 8, 3. οὐδείς. οὐδὲν C. ‖ οὐδὲ αὐτὸν in M mrg. adscript. ‖ ἐκέλευεν C, ἐκέλευσεν reliq. ‖ 5. ὑπὸ τούτων VCM (mrg. οὗτος ὑπὸ τούτων), οὗτος ὑπὸ τούτων reliq., unde αὐτοὺς ὑπὸ τούτων (infra ἐνοχλουμένους) Reisk., νοσοῦντος τοῦ (infra ἐνοχλουμένου) Casaub. ‖ ἐκείνοις. sic dedi. ἐκεῖνοι C, ἐκεῖνος reliq., ἐκείνων H. Stephan., ὑπ' ἐκείνων Casaub. ‖ ἐνοχλούμενος. ἐνοχλούμενοι Selden. ‖ χαλεπώτερον. χαλεπώτερον ὂν Selden. ‖ ἀνθρώπῳ. ἀνθρώπου M.

θρώπῳ σπληνὸς ἀνέχεσθαι οἰδοῦντος ἢ διεφθαρμένου ὀδόντος, ἢ ψυχῆς ἄφρονος καὶ ἀμαθοῦς καὶ δειλῆς καὶ θρασείας καὶ φιληδόνου καὶ ἀνελευθέρου καὶ ὀργίλης καὶ λυπηρᾶς καὶ
9 πανούργου καὶ πάντα τρόπον διεφθαρμένης. καὶ δὴ καὶ τότε ἦν περὶ τὸν νεὼν τοῦ Ποσειδῶνος ἀκούειν πολλῶν μὲν σοφι- 132 M.
στῶν κακοδαιμόνων βοώντων καὶ λοιδορουμένων ἀλλήλοις καὶ τῶν λεγομένων μαθητῶν ἄλλου ἄλλῳ μαχομένων, πολλῶν 278 R.
δὲ συγγραφέων ἀναγιγνωσκόντων ἀναίσθητα συγγράμματα, πολλῶν δὲ ποιητῶν ποιήματα ᾀδόντων καὶ τούτους ἐπαινούντων ἑτέρων, πολλῶν δὲ θαυματοποιῶν θαύματα ἐπιδεικνύντων, πολλῶν δὲ τερατοσκόπων τέρατα κρινόντων, μυρίων δὲ ῥητόρων δίκας στρεφόντων, οὐκ ὀλίγων δὲ καπήλων διακαπη-
10 λευόντων ὅ τι τύχοιεν ἕκαστος. εὐθὺς οὖν καὶ αὐτῷ τινες προσῆλθον, τῶν μὲν Κορινθίων οὐδείς· οὐδὲ γὰρ ᾤοντο οὐδὲν ὠφεληθήσεσθαι, ὅτι καθημέραν ἑώρων αὐτὸν ἐν Κορίνθῳ· τῶν δὲ ξένων ἦσαν οἱ προσιόντες, καὶ τούτων ἕκαστος βραχύ
11 τι εἰπὼν ἢ ἀκούσας ἀπῄει, φοβούμενος τὸν ἔλεγχον. διὰ δὴ τοῦτο ἔφη ὁ Διογένης προσεοικέναι τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους, ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς 279 R
μὲν εἶναι τοὺς καταψήχοντας καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως διὰ τὸ μὴ ἐπίστασθαι χρῆσθαι. πυθομένου δέ τινος, εἰ καὶ αὐτὸς ἥκοι τὸν ἀγῶνα θεασόμενος· οὐκ, ἔφη, ἀλλ' ἀγωνιούμενος. καὶ ὃς ἐγέλασέ τε καὶ ἤρετο αὐτὸν, τίνας
12 ἔχοι τοὺς ἀνταγωνιστάς. ὁ δὲ ὥσπερ εἰώθει ὑποβλέψας· τοὺς χαλεπωτάτους, εἶπε, καὶ ἀμαχωτάτους, οἷς οὐδεὶς δύναται ἀντιβλέψαι τῶν Ἑλλήνων· οὐ μέντοι διατρέχοντας ἢ παλαίον-

6. σπληνός. πλὴν ὃς M. ‖ ἢ διεφθαρμένου. καὶ διεφθαρμένου Geel. ‖ 7. θρασείας. θρασίας M. — 9, 2. ἀκούειν πολλῶν μὲν C, πολλῶν reliq., unde Reisk. supra καὶ δὴ καὶ τότε ὄχλος ἦν, etsi plerorumque librorum scriptura minime inepta est. ‖ 3. βοώντων om. V. ‖ 4. μαχομένων CM. mrg. m, μαχομένου reliq. ‖ 5. δὲ. μὲν B. ‖ ἀναγιγνωσκόντων C, ἀναγινωσκόντων reliq. ‖ ἀναίσθητα om. m. ‖ 8. πολλῶν δὲ. πολλῶν δ' M, πολλῶν τε C. ‖ τερατοσκόπων. ἕτερα τὸ σκόπων M. ‖ κρινόντων VCMDA. r, κινόντων v, κινούντων m. ‖ 10. ὅ τι τύχοιεν VCM, ὅταν τύχῃ reliq., unde ὅ τι ἂν τύχῃ Reisk. — 10, 2. οὐδὲ γὰρ ᾤοντο οὐδὲν VBCM (corr. post γὰρ add. οὐδὲν), οὐδὲ γὰρ οὐδὲν ᾤοντο οὐδὲν v, οὐδὲ γὰρ οὐδὲ ᾤοντο οὐδὲν mr. ‖ 5. εἰπὼν ἢ ἀκούσας VBCM, ἀκούσας ἢ εἰπὼν reliq. ‖ ἀπῄει. ἀπείη M, ἀπιίει m. — 11, 1. διὰ δὴ τοῦτο VBCMD, διὰ τοῦτο vr, διὰ τοῦτον m. ‖ 4. καταψήχοντας VCDA. r, καταψύχοντας reliq. ‖ 5. ὠνεῖσθαι. ὠνίσθαι M (at ι in rasura). ‖ 6. θεασόμενος VCM, θεασομένους mrg. m, θεώμενος reliq.

τας ἢ διαπηδῶντας οὐδὲ πυκτεύοντας καὶ ἀκοντίζοντας καὶ
13 δισκεύοντας, ἀθλίους καὶ ἄφρονας. τίνας μήν; ἤρετο. τοὺς
πόνους, ἔφη, μάλα ἰσχυροὺς τε καὶ ἀνικήτους ὑπὸ ἀνθρώ-
πων ἐμπεπλησμένων καὶ τετυφωμένων καὶ τὰς μὲν ἡμέρας
ὅλας ἐσθιόντων, ἐν δὲ ταῖς νυξὶ ῥεγχόντων, ὑπὸ δὲ ἀνδρῶν
ἡττωμένους λεπτῶν τε καὶ ἀσάρκων καὶ τῶν σφηκῶν τὰς
14 γαστέρας μᾶλλον ἐντετμημένων. ἢ σὺ οἴει τούτων τι ὄφελος
εἶναι τῶν τὰς μεγάλας κοιλίας ἐχόντων, οὓς ἐχρῆν περιαγα-
γόντας καὶ περικαθάραντας ἐκβαλεῖν, μᾶλλον δὲ καταθύσαν- 123 M.
τας καὶ κατατεμόντας εὐωχεῖσθαι, καθάπερ οἶμαι τὰ τῶν
κητῶν κρέα, τοὺς νοῦν ἔχοντας, ἕψοντας ἁλσὶ καὶ θαλάττῃ,
τὴν δὲ πιμελὴν τήξαντας, ὥσπερ ἐν Πόντῳ παρ' ἡμῖν τὸ τῶν 280 R.
δελφίνων στέαρ, ἀλείφεσθαι τοὺς δεομένους. οἶμαι γὰρ αὐ-
15 τοὺς τῶν ὑῶν ἥττονα ψυχὴν ἔχειν. ὁ δὲ ἀνὴρ ὁ γενναῖος
ἡγεῖται τοὺς πόνους ἀνταγωνιστὰς μεγίστους, καὶ τούτοις ἀεὶ
φιλεῖ μάχεσθαι καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν, οὐχ ὑπὲρ
σελίνου, ὥσπερ αἱ αἶγες, οὐδὲ κοτίνου καὶ πίτυος, ἀλλὰ ὑπὲρ
εὐδαιμονίας καὶ ἀρετῆς παρὰ πάντα τὸν βίον· οὐχ ὅταν
Ἠλεῖοι προείπωσιν ἢ Κορίνθιοι ἢ τὸ κοινὸν Θετταλῶν, μη-
16 δένα αὐτῶν φοβούμενον μηδὲ εὐχόμενον ἄλλῳ λαχεῖν, ἀλλὰ 281 R.
προκαλούμενον ἐφεξῆς ἅπαντας καὶ λιμῷ φιλονεικοῦντα καὶ
ψύχει καὶ δίψος ὑπομένοντα, κἂν δέῃ μαστιγούμενον καρτε-

12, 4. καὶ ἀκοντίζοντας καὶ δισκεύοντας om. D. ‖ 5. ἀθλίους καὶ ἄφρονας. sic dedi. ἀλλὰ τοὺς σωφρονίζοντας VCM (corr. ἀλλὰ τοὺς σώφρονας). var. l. v. mrg. m, ἀλλὰ τοὺς σώφρονας reliq. — 13, 2. ἀνικήτους. ἀνηκήτους M. ‖ 3. ἐμπεπλησμένων VBCMA, ἐμπεπληγμένων reliq. — 14, 3. περικαθάραντας. περικαθαίροντας VM. ‖ 5. ἕψοντας om. m. ‖ ἁλσὶ CMD, ἄλοι V, ἄλος v, ἁλὶ m, ἐξ ἁλὸς (et καὶ θαλάσσης) r. ‖ θαλάττῃ. sic dedi. θαλάσσῃ reliq. ‖ 8. ὑῶν. υἱῶν M. ‖ ἥττονα ψυχὴν ἔχειν. οὐχ ἧττον ἀνθ' ἁλὸς τὴν ψυχὴν ἔχειν Reisk., proverbium hic latere ratus. — 15, 2. ἀεὶ φιλεῖ. malim ἀεὶ δεῖν (vel ὀφείλειν), ne pendeant accusativi qui sequuntur. praefero nunc Pflugkii ἔφη δεῖν. ‖ 4. σελίνου. σελήνου D. ‖ ὥσπερ αἱ αἶγες Iacobs. Add. p. 138, ὥσπερ αἶγες Vales., ὥσπερ αἱ ἀεξὶ r, ὥσπερ αἱ γυναῖκες reliq. ‖ πίτυος. πήτυος M. ‖ 6. Ἠλεῖοι. ἥλιον V. ‖ προείπωσιν. προσείπωσιν VBD. ‖ Κορίνθιοι. κορίνθιον V, Κορινθίων B. corr. M. D. v, unde Κορινθίων κοινὸν ἢ τῶν Θετταλῶν Reisk. ‖ κοινὸν VBCMD, κοινὸν τῶν reliq. ‖ μηδένα. ὧν μηδένα ὄψει vel tale quid Reiskius. conf. ad v. 2. ‖ 7. αὐτῶν VCM. Selden., αὐτὸν reliq. ‖ ἄλλῳ. ἀλλὰ D, πάλῳ Baguet. — 16, 2. προκαλούμενον VBCM (superscr. παρακαλούμενον). Selden., παρακαλούμενον reliq. ‖ λιμῷ. λειμῷ M. ‖ φιλονεικοῦντα C. Selden., φιλονεικοῦντας reliq. ‖ 3. ψύχει. ψύχη D. ‖ δίψος VBCMD. mrg. m, δίψης v, δίψην mr, δίψῃ Pflugk., δίψῃ καὶ Reisk. ‖

ρεῖν καὶ τεμνόμενον καὶ καιόμενον, μηδὲν μαλακὸν ἐνδιδόντα·
πενίαν δὲ καὶ φυγὴν καὶ ἀδοξίαν καὶ τὰ τοιαῦτα μηδὲν ἡγεῖ-
σθαι δεινὸν αὐτῷ, ἀλλὰ πάνυ κοῦφα, καὶ πολλάκις παίζειν
ἐν αὐτοῖς τὸν ἄνδρα τὸν τέλειον, ὥσπερ οἱ παῖδες τοῖς ἀστρα-
17 γάλοις καὶ ταῖς σφαίραις ταῖς ποικίλαις. καὶ γὰρ δοκοῦσι
μέν, ἔφη, δεινοὶ καὶ ἀνυπόστατοι πᾶσι τοῖς κακοῖς οἱ ἀντα-
γωνισταὶ οὗτοι· ἐὰν δέ τις αὐτῶν καταφρονήσῃ καὶ προσίῃ
θαῤῥῶν, ὄψεται δειλοὺς καὶ ἀδυνάτους ἀνδρὸς ἰσχυροῦ κρα-
τῆσαι, μάλιστα τοῖς κυσὶν ὁμοίους, οἳ τοὺς μὲν φεύγοντας
ἐπιδιώκουσι καὶ δάκνουσι καὶ διέσπασαν ἔστιν οὓς καταλα-
βόντες, τοὺς δὲ ἐπιόντας καὶ μαχομένους φοβοῦνται καὶ ἀνα-
χωροῦσι, τελευτῶντες δὲ σαίνουσιν, ἐπειδὰν συνήθεις γένων-
18 ται. οἱ δὲ πολλοὶ ἄνθρωποι ἐκπεπληγμένοι αὐτοὺς καὶ ἀεί-
ποτε φεύγοντες κρίνουσιν, οὐδέποτε ἐναντίον βλέποντες. καὶ 282 R.
γὰρ δή, ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλάβωσι τὸν
ἀνταγωνιστήν, οὐ παίονται τὴν ἀρχήν, πολλάκις δὲ ἔφθησαν
αὐτοὶ καταβαλόντες, ἐὰν δὲ ὑποχωρῶσι φοβούμενοι, τότ'
ἰσχυροτάτας πληγὰς λαμβάνουσιν· οὕτως, ἐάν μέν τις τοὺς 134 M
πόνους δέχηται καταφρονῶν καὶ πλησιάζῃ προθύμως, οὐ πάνυ
ἰσχύουσι πρός αὐτόν· ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ
19 παντὶ μείζους καὶ σφοδρότεροι δοκοῦσιν. τοῦτο δ' ἂν ἴδοις
καὶ ἐπὶ τοῦ πυρὸς γιγνόμενον· ἐὰν μὲν σφόδρα ἐπιβῇς, ἔσβε-

ὑπομένοντα C. Selden., ὑπομένοντας reliq. ‖ κἂν δέῃ. κἂν δὲ ᾗ M. ‖ καρτερεῖν καὶ τεμνόμενον om. C. ‖ 4. καὶ. κἂν Pflugkius, qui infra καὶ ante μηδὲν servat. ‖ καιόμενον M (corr. καόμενον). r, καύμενον V, καόμενον BD, κλώμενον C. ‖ μηδὲν VBCM, καὶ μηδὲν reliq. ‖ μαλακὸν Ruhnk. ad Tim. p. 101, μᾶλλον reliq. conf. Orat. 37, 3. ‖ 7. ἐν αὐτοῖς. ἐν om. B. ‖ 8. ποικίλαις. ποικίλλαις M. post hoc v. interponebat Geelius v. οἱ δὲ πολλοὶ—βλέποντες § 18. — 17, 2. μὲν VCMD. Selden. r, μηδὲν vm. ‖ 3. αὐτῶν. αὐτῶν καὶ M (at καὶ obel. notat.). ‖ 4. ὄψεται om. VBM (mrg. addit). D, οὐ χαλεπὸν C. ‖ δειλοὺς καὶ ἀδυνάτους. δειλῶν καὶ ἀδυνάτων corr. C. ‖ ἀνδρὸς ἰσχυροῦ Reisk., ἄνδρας ἰσχυροὺς reliq. ‖ 5. ὁμοίους VM, ὁμοίως reliq. ‖ 6. καὶ δάκνουσι om. C. ‖ ἔστιν οὓς καταλαβόντες C, οὓς καταλαβόντες VM, οὓς κατέλαβον reliq. ‖ 7. ἀναχωροῦσι. ἀναχωροῦσιν VM. ‖ 8. ἐπειδὰν BMD, ἐπειδ' ἂν VC. ‖ γένωνται. γένονται m. — 18, 2. κρίνουσιν. ἐκκλίνουσι Wyttenb. ad Plut. Moral. p. 748. frustra. ‖ 2—19, 5. καὶ γὰρ δὴ — σβεννύουσιν vide ne interpolatoris sint. ‖ 4. παίονται VBCM. Reisk., παύονται reliq. ‖ ἔφθησαν Obs. p. 19, ἐπέβησαν VC, ὑπέβησαν M, καὶ ἐπέβησαν reliq., καὶ ἀπέβησαν Reisk. (quod ferri potest, si αὐτίκα legitur), ὑπέφθησαν Geel. ‖ 5. ὑποχωρῶσι Geel., ἀποχωρῶσι reliq. ‖ 6. ἰσχυροτάτας. ἰσχυροτάτους τὰς C. ‖ 7. πόνους. πολλοὺς B. ‖ δέχηται. δεχοίται D. — 19, 1. ἴδοις VBCMD, ἴδῃς reliq. ‖ 2. γιγνόμενον VBCMD, γινόμενον reliq.

σας τὸ πῦρ, ἐὰν δὲ ὑποπτεύων καὶ δεδοικὼς, σφόδρα ἐκαύ-
θης· ὥσπερ ἐνίοτε παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ
σβεννύουσιν. οὗτοι μὲν οὖν οἱ ἀνταγωνισταὶ σχεδὸν ὅμοιοί
εἰσι τοῖς παμμάχοις, παίοντές τε καὶ ἄγχοντες καὶ διασπῶν-
20 τες καὶ ἀποκτιννύοντες ἐνίοτε. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ
ἀγὼν ἐστιν οὐ μικρὸς, ἀλλὰ πολὺ τούτου μείζων καὶ ἐπικιν-
δυνότερος, ὁ πρὸς τὴν ἡδονὴν, οὐκ ἄντικρυς βιαζομένην, ἀλλ'
ἐξαπατῶσαν καὶ γοητεύουσαν δεινοῖς φαρμάκοις· οὐχ οἵαν
Ὅμηρός φησιν·

αὖθις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη· 283 R.
ὀξέσι δὲ πελέκεσσι καὶ ἀξίναις ἐμάχοντο
καὶ ξίφεσι μεγάλοισι.

21 οὐχ οὗτος τρόπος τῆς μάχης, ἀλλ' ὥσπερ Ὅμηρός φησι τὴν
Κίρκην τοὺς τοῦ Ὀδυσσέως ἑταίρους καταφαρμάξαι, κἄπειτα
τοὺς μὲν σῦς αὐτῶν τοὺς δὲ λύκους γενέσθαι τοὺς δὲ ἄλλ'
ἄττα θηρία, τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς, οὐχ ἁπλῶς
ἐπιβουλευούσης, ἀλλὰ πάντα τρόπον διά τε τῆς ὄψεως καὶ
ἀκοῆς ἢ ὀσφρήσεως ἢ γεύσεως ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ
ποτοῖς καὶ ἀφροδισίοις διαφθεῖραι πειρωμένης, ὁμοίως μὲν
22 ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους. οὐδὲ γὰρ ὥσπερ πρὸς
τοὺς πολεμίους ἔνι φύλακας καταστήσαντας καθεύδειν, ἀλλὰ
μάλιστα δὴ πάντων τότε ἐπιτίθεται, τὰ μὲν αὐτῷ τῷ ὕπνῳ
μαραίνουσα καὶ δουλουμένη, τὰ δὲ ἐπιπέμπουσα ὀνείρατα
23 πανοῦργα καὶ ἐπίβουλα, ἀναμιμνήσκοντα αὐτῆς. ὁ μὲν οὖν
πόνος διὰ τῆς ἁφῆς γίγνεται ὡς τὸ πολὺ καὶ ταύτῃ πρόσεισιν,

5. σβεννύουσιν. σβεννοίουσιν D. ‖ 6. παμμάχοις. πυγμάχοις C. ‖ 7. ἀποκτιννύοντες M, ἀποκτεινύοντες B. v, ἀποκτιννύντες C, ἀποκτειννύοντες reliq. — 20, 1. δεινοτέρα. δινότερα M. ‖ 2. μικρὸς. μικρὸν Reisk. ‖ 3. οὐκ ἄντικρυς—φαρμάκοις delet Geel., mihi sequentia laborare visa sunt. ‖ 6. αὖθις—φησι om. B. ‖ αὖθις δὲ. αὖτις δὴ Il. 15, 696. ‖ 7. πελέκεσσι. πέλεκεσι C. conf. Il. 15, 711. ‖ ἀξίναις. ὀξείναις M. ‖ 8. μεγάλοισι C, μεγάλοις reliq. — 21, 1. τρόπος VCM (corr. ὁ τρόπος), ὁ τρόπος reliq. ‖ μάχης, ἀλλ' ὥσπερ. sic dedi. οὐ γὰρ ἄντικρυς βιάζεσθαι τὴν ἡδονὴν, ἀλλ' ἐξαπατᾶν καὶ γοητεύειν δεινοῖς φαρμάκοις, ὥσπερ reliqui (nisi quod pro οὐ legitur οὐδὲ in VM, at δὲ obel. notat.). ‖ 3. λύκους. λίκους M. ‖ ἄλλ' ἄττα VM, ἄλλα ἄττα reliq. ‖ 4. χρῆμα. σχῆμα C. ‖ 5. ἐπιβουλευούσης BCMDA. Casaub., ἐπιβουλεύουσιν reliq. ‖ 6. ὀσφρήσεως. ὀσφρίσεως V. ‖ ἁφῆς. ἀφῆς D. — 22, 2. ἔνι. sic dedi. ἔστι Reisk., εἶναι reliq. ‖ 3. δὴ. δὴν D. — 23, 2. γίγνεται. ἐπιγίγνεται C, γίνεται (sed γιν in rasura) M. ‖ ὡς τὸ Reisk., καὶ ὡς C, ὡς reliq.

ἡ δὲ ἡδονὴ κατὰ πᾶσαν αἴσθησιν, ὁπόσας ἄνθρωπος αἰσθή- 135 M.
σεις ἔχει, καὶ δεῖ τοῖς μὲν πόνοις ἀπαντᾶν καὶ συμπλέκεσθαι,
τὴν δὲ ἡδονὴν φεύγειν ὡς πορρωτάτω, καὶ μηδὲν ὅλως ἢ τἀ-
24 ναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα ὁ κράτιστος ἀνήρ· κράτιστος 284 R.
δὲ σχεδὸν, ὃς ἂν δύνηται πλεῖστον ἀποφεύγειν τὰς ἡδονάς.
οὐδὲ γάρ ἐστιν ἡδονῇ συνόντα ἢ καὶ πειρώμενον συνεχῶς μὴ
οὐ πάντως ἁλῶναι. ὅταν οὖν κρατήσῃ καὶ περιγένηται τῆς
ψυχῆς τοῖς φαρμάκοις, γίγνεται τὸ λοιπὸν ἤδη τὸ τῆς Κίρκης,
πλήξασα ῥᾳδίως τῇ ῥάβδῳ εἰς συφεόν τινα ἐλαύνει καὶ καθ-
25 είργνυσιν. καὶ τὸ λοιπὸν ἀπ' ἐκείνου ἤδη ὁ ἄνθρωπος δια-
τελεῖ σῦς ὢν ἢ λύκος. γίγνονται δὲ καὶ ὄφεις ὑφ' ἡδονῆς
ποικίλοι καὶ ὀλέθριοι καὶ ἄλλ' ἄττα ἑρπετὰ, καὶ θεραπεύου-
σιν ἐκείνην ἀεὶ περὶ τὰς θύρας ὄντες καὶ ἐπιθυμοῦντες μὲν
τῆς ἡδονῆς καὶ λατρεύοντες ἐκείνῃ, μυρίους δὲ ἄλλως πόνους
26 ἔχοντες. ἡ γὰρ ἡδονὴ κρατήσασα αὐτῶν καὶ παραλαβοῦσα
τοῖς πόνοις παραδίδωσι τοῖς ἐχθίστοις καὶ χαλεπωτάτοις.
τοῦτον δὴ τὸν ἀγῶνα ἐμοὶ καρτεροῦντι καὶ παραβαλλομένῳ,
καρτερὸν ὄντα καὶ παράδοξον, πρὸς ἡδονὴν καὶ πόνον οὐδεὶς
προσέχει τῶν ἀθλίων ἀνθρώπων, ἀλλὰ τοῖς ἀνδραπόδοις τοῖς
27 πηδῶσι καὶ τρέχουσι καὶ χορεύουσιν. οὐδὲ γὰρ τὸν Ἡρακλέα
ἑώρων ἀγωνιζόμενον καὶ πονοῦντα, οὐδὲ ἔμελεν αὐτοῖς· ἀλλὰ 285 R.
καὶ τότε ἴσως ἀθλητάς τινας ἐθαύμαζον, Ζήτην καὶ Κάλαϊν
καὶ Πηλέα καὶ ἄλλους τοιούτους δρομέας τινὰς καὶ παλαι-
στάς· καὶ τοὺς μὲν ἐπὶ κάλλει, τοὺς δὲ ἐπὶ πλούτῳ ἐθαύμα-

3. ἡδονή. ἁφὴ VBA, ἁφῆ M, ἀφῆ D. ‖ 4. δεῖ. δὴ B. — 24, 1. καὶ ἐνταῦθα— ἀνήρ delebat Geel. ‖ 3. οὐδέ. οὐδὲν VM. ‖ συνεχῶς. συνεῖναι συνεχῶς Reisk. ‖ 4. ὅταν—ἤδη τὸ τῆς om. C. ‖ 6. πλήξασα VCM (corr. ἣ πλήξασα), ἡ πλήξασα reliq. ‖ συφεόν. συφεῶνα V. — 25, 2. ὢν VBC, ὂν reliq., unde ὄνος Reisk. ‖ γίγνονται M (corr. γίνονται), γίνονται reliq. ‖ 4. περί. παρὰ Reisk., qui infra ἰόντες servabat. ‖ τὰς θύρας. τὰς om. C. ‖ ὄντες B, ἰόντες reliq. ‖ ἐπιθυμοῦντες. ἀνυμνοῦντες C. ‖ 5. ἄλλως Obs. p. 45, ἄλλους reliq. — 26, 3. καρτεροῦντι καὶ παραβαλλομένῳ, καρτερὸν ὄντα καὶ παράδοξον. sic dedi. καρτεροῦντι καρτερὸν ὄντα καὶ παράδοξον, καὶ παραβαλλομένῳ Geel., καρτεροῦντι καὶ παραβαλλομένῳ (om. reliq.) M. mrg. m, καρτερὸν ὄντα καὶ παράδοξον (om. ceteris) reliq., unde ἀγωνιζομένῳ ante ἐμοὶ supplebat Casaub. ‖ 5. ἀθλίων VCM (mrg. ἀθέτων). var. l. v. Casaub., ἀθέτων reliq. ‖ 6. χορεύουσιν VCM, χορεύουσι reliq. — 27, 1. γάρ. γὰρ ὅτε Reisk. (idem infra οὐδὲν pro οὐδὲ). ‖ 2. ἔμελεν. ἔμελλεν V. ‖ αὐτοῖς. αὐτὰς C. ‖ 3. Ζήτην Iacobs. Add. p. 150, ζητῆν ζῆτον C, Ζῆθον reliq. ‖ 4. τοιούτους. τοιούτους καὶ D.

28 ζον, καθάπερ Ἰάσονα καὶ Κινύραν. περὶ δὲ τοῦ Πέλοπος
ἔλεγον, ὅτι καὶ τὸν ὦμον ἐλεφάντινον ἔχοι· ὥσπερ τι ὄφελος
ἀνθρώπου χρυσῆν χεῖρα ἢ ἐλεφαντίνην ἔχοντος ἢ ὀφθαλμοὺς
ἀδάμαντος ἢ σμαράγδου [τὴν δὲ ψυχὴν οὐκ ἐγίγνωσκον αὐτοῦ
ὁποίαν τινὰ εἶχεν]. τὸν δὲ Ἡρακλέα πονοῦντα μὲν καὶ ἀγωνι- 136 M.
ζόμενον ἠλέουν καὶ ἔφασαν αὐτὸν ἀνθρώπων ἀθλιώτατον·
καὶ διὰ τοῦτο ἄθλους ἐκάλουν τοὺς πόνους αὐτοῦ καὶ τὰ
ἔργα, ὡς τὸν ἐπίπονον βίον ἄθλιον ὄντα· ἀποθανόντα δὲ
πάντων μάλιστα τιμῶσι καὶ θεὸν νομίζουσι καὶ φασιν Ἥβῃ
συνοικεῖν, καὶ τούτῳ πάντες εὔχονται, ὅπως αὐτοὶ μὴ ἔσονται
29 ἄθλιοι, τῷ πλεῖστα ἀθλήσαντι. τὸν δὲ Εὐρυσθέα οἴονται
κρατεῖν τούτου καὶ ἐπιτάττειν, ὃν οὐδενὸς ἄξιον νενομίκασιν·
οὐδὲ εὔξατο οὐδὲ ἔθυσεν οὐδέποτε οὐδεὶς Εὐρυσθεῖ. πλὴν ὅ
γε Ἡρακλῆς περιῄει τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν ἅπασαν,
30 οὐδὲν ὢν τούτοις ὅμοιος τοῖς ἀθληταῖς· ποῦ γὰρ ἂν ἠδυνήθη
προσελθεῖν σάρκας τοσαύτας ἔχων ἢ τοσούτων κρεῶν δεόμε-
νος ἢ βαθὺν οὕτως ὕπνον καθεύδων; ἀλλὰ ἄγρυπνος καὶ
λεπτός, ὥσπερ οἱ λέοντες, ὀξὺ βλέπων, ὀξὺ ἀκούων, οὔτε
χειμῶνος οὔτε καύματος φροντίζων, οὐδὲν δεόμενος στρωμά-
των ἢ χλανίδων ἢ ταπήτων, ἀλλὰ δέρμα ἀμπεχόμενος ῥυπα-
ρόν, λιμοῦ πνέων, τοῖς ἀγαθοῖς βοηθῶν, τοὺς κακοὺς κολά-
31 ζων. καὶ Διομήδην δὲ τὸν Θρᾷκα, ὅτι ποικίλην εἶχεν ἐσθῆτα 286 R.
καὶ καθῆστο ἐπὶ θρόνου πίνων δι' ἡμέρας καὶ τρυφῶν, καὶ
τοὺς ξένους ἠδίκει καὶ τοὺς ὑφ' αὑτῷ πολλὴν ἵππον τρέφων,

6. Ἰάσονα. Ἰασίωνα Pflugk. — 28, 1. περὶ δὲ τοῦ. τοῦ δὲ VBD, τοὺς δὲ M. ‖ 3. ἀνθρώπου VM (corr. ἄνωθέν που), ὃν ἀνθρώπου C. mr, ἄνω θέν που BD, ἄνωθέν που v. ‖ ἔχοντος ἤ. ἔχοντος ὅσῃ (corr. vulg.) M. ‖ 4. [τὴν—εἶχεν] suspecta. ‖ ἐγίγνωσκον. sic dedi. ἐγίνωσκεν M, ἐγίνωσκον reliq. ‖ 5. εἶχεν VMD, εἶχε reliq. ‖ τόν. ante hoc v. in M spatium relictum est. ‖ 8. τόν. καὶ τὸν B. corr. M. ‖ ἄθλιον ὄντα VBCM, ὄντα om. reliq. ‖ 10. ἔσονται CM, ἔσωνται reliq. — 29, 2. νενομίκασιν. ἐνενομήκασιν C. ‖ 5. ὤν. ὧν M. — 30, 2. προσελθεῖν. περιελθεῖν Iacobs. Add. p. 280. ‖ 6. ῥυπαρόν, λιμοῦ πνέων. ῥυπαροῦ λίπους πλέων Geel., ῥυπαρόν, λιμοῦ πλέως Koehler. — 31, 1. Διομήδην VCM, Διομήδη reliq. ‖ 3. ὑφ' αὑτῷ VBD, ὑφ' αὑτῶν M, ὑφ' αὑτὸν C. vmr. ‖ πολλὴν ἵππον τρέφων VCM (mrg. post πολλὴν addit ἠρημένον), καὶ πολλὴν ἵππον τρέφων var. l. v, πωλεῖν εἰρημένον καὶ ἵππον τρέφειν A, πωλεῖν ἠρημένον καὶ ὑποστρέφειν D, πολεῖν ᾑρημένον καὶ ἵππον τρέφειν vm, πωλοδαμνεῖν ᾑρημένον καὶ ἵππον τρέφειν Morell., πωλεῖν προῃρημένον καὶ ἵππον τρέφειν r, ἐπώλει πολλὴν ᾑρημένος ἵππον τρέφειν Geel., πολὺ πρότερον καὶ ἱπποτρόφει Pflugk.

Digitized by Google

τῷ ῥοπάλῳ παίων διήραξεν, ὥσπερ πίθον παλαιόν. καὶ τὸν
Γηρυόνην πλείστους βοῦς ἔχοντα καὶ τῶν πρὸς ἑσπέρας ἁπάν-
των πλουσιώτατον ὄντα καὶ ὑπερηφανώτατον αὐτόν τε ἀπέ-
32 κτεινε καὶ τοὺς ἀδελφούς, καὶ τὰς βοῦς ἀπήλασεν. τὸν δὲ
Βούσιριν, εὑρὼν πάνυ ἐπιμελῶς ἀθλοῦντα καὶ δι' ὅλης ἡμέρας
ἐσθίοντα καὶ φρονοῦντα μέγιστον ἐπὶ πάλῃ, διέῤῥηξεν ἐπὶ τὴν
γῆν καταβαλών, ὥσπερ τοὺς θυλάκους τοὺς σφόδρα γέμον-
τας. καὶ τῆς Ἀμαζόνος ἔλυσε τὴν ζώνην θρυπτομένης αὐτῷ
καὶ νομιζούσης, ὅτι τῷ κάλλει κρατήσει, συγγενόμενός τε καὶ
δείξας, ὅτι οὐκ ἄν ποτε ἡττηθείη κάλλους οὐδ' ἂν μείνειε
33 χάριν γυναικὸς πόῤῥω τῶν αὐτοῦ κτημάτων οὐδέποτε. τὸν
δὲ Προμηθέα σοφιστήν τινα, ἐμοὶ δοκεῖν, καταλαβὼν ὑπὸ 137 M.
δόξης ἀπολλύμενον, καὶ νῦν μὲν οἰδοῦντος αὐτῷ καὶ αὔξον-
τος τοῦ ἥπατος, ὁπότε ἐπαινοῖτο, πάλιν δὲ φθίνοντος, ὁπότε
ψέγοιεν αὐτόν, ἐλεήσας καὶ βοηθήσας ἔπαυσε τοῦ τύφου καὶ
τῆς φιλονεικίας· καὶ οὕτως ᾤχετο ὑγιᾶ ποιήσας. ταῦτα μὲν 287 R.
34 οὖν ἔπραττεν οὐδὲν Εὐρυσθεῖ χαριζόμενος. τὰ δὲ μῆλα, ἃ
χρύσεα ἐκόμισε, λαβὼν ἔδωκεν ἐκείνῳ, τὰ τῶν Ἑσπερίδων·
οὐδὲν γὰρ αὐτῶν ἐδεῖτο, ἀλλ' ἐκέλευσε κλαίειν ἔχοντα. μηδὲν
γὰρ ὄφελος εἶναι ἀνθρώπῳ χρυσῶν μήλων· μηδὲ γὰρ ταῖς
Ἑσπερίσι γενέσθαι. πέρας δέ, ἐπεὶ βραδύτερος ἐγίγνετο καὶ
ἀσθενέστερος αὐτοῦ, φοβούμενος μὴ οὐ δύνηται ζῆν ὁμοίως,
ἔπειτα οἶμαι νόσου τινὸς καταλαβούσης κάλλιστα ἀνθρώ-
πων ἐθεράπευσεν αὐτόν, πυρὰν νήσας ἐν τῇ Οἴτῃ ξύλων ὡς
ξηροτάτων, καὶ δείξας, ὅτι οὐδὲν ἄξιον ἐφρόντιζε τοῦ πυρε-

4. διήραξεν BM, διήῤῥαξεν reliq. ‖ 5. πλείστους. πλείστας Reisk. ‖ καὶ τῶν VBCM. Reisk., καὶ τὸν reliq. ‖ πρός. πρὸ (corr. vulg.) M. ‖ 6. ὄντα C, om. VBM, τε reliq. ‖ ἀπέκτεινε C, ἀπέκτεινεν reliq. ‖ 7. ἀπήλασεν VMD, ἀπήλασε reliq. — 32, 4. καταβαλών. καὶ καταβαλὼν V. ‖ 6. συγγενόμενός τε C. Koehler., συγγενόμενος δὲ reliq., unde συγγενόμενος δ' ἀπῄει Geel. ‖ 7. μείνειε VC. r, μείνειεν D, μείνηεν M (mrg. vulg.), μένειε vm, νείμειε Casaub. (idem πρὸ in proximis). ‖ 8. πόῤῥω C, πρόσω Reisk., πρὸ A, πρὸς reliq. — 33, 5. βοηθήσας. sic dedi (possit λωφήσας). σωφρονίσας Geel., φοβήσας reliq. ‖ 6. φιλονεικίας. φιλονικίας M. — 34, 1. ἃ om. M. malim τὰ χρυσᾶ, ἅ. ‖ 2. ἐκόμισε corr. C (prim. man. ἐνόμισε), ἐνόμισεν M, ἐνόμισαν Reisk., ἐνόμισε reliq. ‖ 3. κλαίειν. κλάειν B. ‖ 5. ἐπεὶ. ἐπὶ CM. ‖ βραδύτερος C. Casaub., βαρύτερος Baguet., βραχύτερος reliq. ‖ καὶ ἀσθενέστερος αὐτοῦ. sic dedi. καὶ ἀσθενέστερος αὐτοῦ VCM, αὐτοῦ καὶ ἀσθενέστερος reliq. ‖ 8. Οἴτῃ. αὐλῇ VBCM (mrg. vulg.). mrg. m. ‖ 9. ξηροτάτων. ἐξηροτάτων D. ‖ δείξας. δόξας mrg. m. ‖ ἄξιον. ἄρα Pflugk. ‖ ἐφρόντιζε. ἐφρόντιζεν VM.

35 τοῦ. πρότερον δὲ, ἵνα μὴ δοκῇ σεμνὰ μόνον καὶ μεγάλα ἔργα διαπράττεσθαι, τὴν κόπρον ἐπελθὼν τὴν κειμένην παρ' Αὐγείᾳ, πολύ τι χρῆμα πολλῶν ἐτῶν, ἐκείνην ἐξεφόρει καὶ ἐκάθαιρεν. ἡγεῖτο γὰρ οὐχ ἧττον αὐτῷ διαμαχητέον εἶναι καὶ πολεμητέον πρὸς τὴν δόξαν ἢ τὰ θηρία καὶ τῶν ἀνθρώπων
36 τοὺς κακούργους. ταῦτα δὲ λέγοντος τοῦ Διογένους περιίσταντο πολλοὶ καὶ πάνυ ἡδέως ἠκροῶντο τῶν λόγων. ἐννοήσας δὲ οἶμαι τὸ τοῦ Ἡρακλέους τοὺς μὲν λόγους ἀφῆκε, χαμαὶ δὲ καθεζόμενος ἐποίει τι τῶν ἀδόξων. εὐθὺς οὖν οἱ πολλοὶ κατεφρόνουν αὐτοῦ καὶ μαίνεσθαι ἔφασαν, καὶ πάλιν ἐθορύβουν οἱ σοφισταί, καθάπερ ἐν τέλματι βάτραχοι τὸν ὕδρον οὐχ ὁρῶντες.

ΛΟΓΟΣ θ.

ΔΙΟΓΕΝΗΣ Η ΙΣΘΜΙΚΟΣ.

1 Ἰσθμίων ὄντων κατέβη Διογένης εἰς τὸν Ἰσθμὸν, ὡς 288 R. 138 M.
ἔοικεν, ἐν Κορίνθῳ διατρίβων. παρετύγχανε δὲ ταῖς πανηγύρεσιν οὐχ ὧνπερ οἱ πολλοὶ ἕνεκα, βουλόμενοι θεάσασθαι τοὺς ἀθλητὰς καὶ ἵνα ἐμπλησθῶσιν, ἀλλ' ἐπισκοπῶν οἶμαι τοὺς ἀνθρώπους καὶ τὴν ἄνοιαν αὐτῶν. ᾔδει γὰρ, ὅτι φανερώτατοί εἰσιν ἐν ταῖς ἑορταῖς καὶ ταῖς πανηγύρεσιν, ἐν δὲ

35, 1. σεμνὰ μόνον Reisk., μόνον om. reliq. ‖ 2. ἐπελθών. sic dedi. ἀπελθὼν reliq. ‖ Αὐγείᾳ. sic dedi. Αὐγίου B, αὔγεα C, Αὐγείῳ V, αὐγίῳ (corr. αὐγείου) M, Αὐγείου reliq. ‖ 3. πολύ τι. πολλῶν τι M, πολλόν τι VB, πολλοίν τι D. ‖ ἐξεφόρει C. Reisk., ἐκφορεῖ reliq. ‖ ἐκάθαιρεν VC, ἐκάθερεν M, ἐκάθηρεν reliq. ‖ 4. εἶναι καὶ πολεμητέον om. C. — 36, 3. ἀφῆκε. ἀφῆκεν MD. ‖ 4. καθεζόμενος. καθεζομένους r. ‖ οὖν οἱ C, οἱ om. reliq. ‖ 5. ἔφασκον V, ἔφασαν reliq. ‖ 6. οἱ σοφισταί. οἱ om. VC, in M a corr. add. ‖ τέλματι. τέλμασι C. ‖ 7. οὐχ ὁρῶντες. ὁρῶντες vel ὑφορώμενοι Geel.

Orat. IX. Collati sunt BCM. — 1, 1. κατέβη. καθέβη M. ‖ 5. ἄνοιαν. διάνοιαν Casaub. ad Orat. XXVII, 1.

Digitized by Google

πολέμῳ καὶ στρατοπέδῳ λανθάνουσι μᾶλλον διὰ τὸ κινδυ-
2 νεύειν καὶ φοβεῖσθαι. καὶ μέντοι ἐνόμιζε τούτους εὐιατοτέ-
ρους εἶναι· καὶ γὰρ τὰ νοσήματα τοῦ σώματος, ὅταν ἔκδηλα
ᾖ, ῥᾷον θεραπεύεσθαι ὑπὸ τῶν ἰατρῶν ἢ μέχρις ὑποστέλλε-
ται, τοὺς μέντοι ἀμελουμένους τῶν ἀνθρώπων ἐν ταῖς τοιαύ-
ταις διατριβαῖς τάχιστα ἀπόλλυσθαι. διὰ ταῦτα παρέβαλλεν
3 εἰς τὰς πανηγύρεις. ἔλεγε δὲ ἐπισκώπτων, ὅτε ἐπιπλήττοιτο
τὸ τοῦ κυνός· διὰ γὰρ τὴν χαλεπότητα καὶ τὸ λοιδορεῖσθαι
κύνα αὐτὸν ἀπεκάλουν· τοὺς γὰρ κύνας ἕπεσθαι μὲν εἰς τὰς 289 R.
πανηγύρεις, μηδένα δὲ ἀδικεῖν τῶν ἐκεῖ γιγνομένων, ὑλακτεῖν
δὲ καὶ μάχεσθαι τοῖς κακούργοις καὶ λῃσταῖς, καὶ ὅταν οἱ
ἄνθρωποι μεθυσθέντες καθεύδωσιν, αὐτοὺς ἐγρηγορότας
4 φυλάττειν. ὡς δὲ ἐφάνη ἐν τῇ πανηγύρει, Κορινθίων μὲν
οὐδεὶς αὐτῷ προσεῖχε τὸν νοῦν, ὅτι πολλάκις αὐτὸν ἑώρων ἐν
τῇ πόλει καὶ περὶ τὸ Κράνιον. οἱ γὰρ ἄνθρωποι οὓς ἂν ἀεὶ
βλέπωσι καὶ οἷς ἂν νομίζωσιν εἶναι ὁπότε βούλονται προσελ-
θεῖν, τούτων οὐ πάνυ φροντίζουσιν· οὓς δ' ἂν διὰ χρόνου ἴδω-
σιν ἢ μηδεπώποτε ἑωρακότες, πρὸς ἐκείνους τρέπονται. ὅθεν
ἥκιστα ὠφελοῦντο ὑπὸ τοῦ Διογένους Κορίνθιοι, καθάπερ οἱ
νοσοῦντες ἐπιδημοῦντος ἰατροῦ, οἵ γε οὐδὲ προσῄεσαν, ἀλλὰ
5 ἐνόμιζον ἱκανὸν εἶναι καὶ τὸ ὁρᾶν αὐτὸν ἐν τῇ πόλει. τῶν
δὲ ἄλλων οἱ μακρόθεν μάλιστα προσῄεσαν πρὸς αὐτὸν, ἀπὸ
τῆς Ἰωνίας τε καὶ Σικελίας καὶ Ἰταλίας ὅσοι παρῆσαν καὶ

8. καὶ φοβεῖσθαι CM (at καὶ obel. notat.). Pflugk., καὶ om. reliq. — 2, 1. τούτους. τότε αὐτοὺς Hemsterh. || εὐιατοτέρους Pflugk., εὐιατωτέρους reliq. || 2. καὶ γὰρ BCMA, γὰρ om. reliq. || 3. μέχρις. μέχρι C, μέχρις ἂν Iacobs. Add. p. 84. || ὑποστέλλεται C. mr, ὑποστέλλει B, ὑποστέλλοι M, ὑποστέλλῃ v, ὕπουλα ᾖ Iacobs. l. l., ὑποστέλληται Pflugk. || 5. ἀπόλλυσθαι. ἀπόλυσθαι B. — 3, 1. ἐπισκώπτων. ἐπισκόπτων M. || ὅτε. sic dedi. ὅτι ὀρθῶς Reisk., ὅτι reliq. || 2. τὸ τοῦ. τὸ om. C, in M a corr. add. || γὰρ τὴν BA, γὰρ om. M, τὴν om. reliq. || τὸ M. Anonym. apud Reisk., τῷ reliq. || 5. καὶ λῃσταῖς Progr. p. 27, καὶ κίστοις C, καὶ λῃσταῖς aut καὶ κλέπταις Iacobs., καὶ κακίστοις reliq. — 4, 1. πανηγύρει. πανηγύρι M. || 3. Κράνιον. κρανεῖον M. || οὓς ἄν. οὖσαν M. || ἀεὶ Iacobs. Add. p. 47, αὐτοὶ reliq. || 4. βλέπωσι. βλέπουσιν M. || οἷς ἄν. εἰς M. || νομίζωσιν. sic dedi. νομίζωσι reliq. || εἶναι CM (corr. ῥᾷον εἶναι), ῥᾷον εἶναι reliq. || 5. οὐ πάνυ. οὐ om. C. || 6. μηδεπώποτε. μηδέποτε (corr. vulg.) M. || 7. ὑπὸ τοῦ. ὑπό του vm. || 8. ἐπιδημοῦντος. CM (corr. εἰ ἐπιδημοῦντος), εἰ ἐπιδημοῦντος reliq. || οἵ γε οὐδὲ C, μὴ reliq. || προσῄεσαν BCM, προσῄεσαν πρὸς αὐτὸν reliq. || ἀλλ' CM, ἀλλὰ reliq. — 5, 1. τῶν δὲ ἄλλων οἱ BCMA, τῶν δὲ reliq. || 2. ἀπὸ τῆς om. m.

τῶν ἐκ Λιβύης τινὲς καὶ τῶν ἐκ Μασσαλίας καὶ ἀπὸ Βορυ-
σθένους· οὗτοι δὴ πάντες ἰδεῖν βουλόμενοι μᾶλλον αὐτὸν καὶ 139 M.
βραχύ τι ἀκοῦσαι λέγοντος, ὡς ἔχοιεν ἀπαγγέλλειν ἑτέροις, ἢ
6 βελτίους γενέσθαι. ἐδόκει γὰρ ἱκανὸς εἶναι λοιδορῆσαι καὶ
τοῖς ἐρωτῶσιν ἀποκρίνασθαι πρὸς ἔπος. ὥσπερ οὖν τοῦ Ποντικοῦ
μέλιτος ἀπογεύεσθαι ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμε- 290 R.
νοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι
καὶ ἀηδές, οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον
διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευ-
7 γον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δὲ ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτέ τε καὶ ἔπαιζεν, ὥσπερ εἰώθει ἐνίοτε, ὑπερφυῶς ἔχαιρον· ἀνατειναμένου δὲ καὶ σπουδάσαντος οὐχ ὑπέμενον τὴν παῤῥησίαν, καθάπερ οἶμαι τὰ παιδία προσπαίζοντα ἥδεται τοῖς γενναίοις κυσίν, ἐπειδὰν δὲ χαλεπήνῃ καὶ ὑλάξῃ μεῖζον, ἐξεπλάγη καὶ τῷ δέει τέθνηκεν. καὶ τότε ἐκεῖνος ἐποίει ταὐτὰ οὐδὲν μεταστρεφόμενος οὐδὲ φροντίζων, εἴτε ἐπαινοίη τις αὐτὸν εἴτε καὶ ψέγοι τῶν παρόντων, οὐδὲ εἰ τῶν πλουσίων τε καὶ ἐνδόξων ἢ στρατηγὸς ἢ δυνάστης διαλέγοιτο προσελθὼν ἢ τῶν πάνυ φαύλων
8 τε καὶ πενήτων· ἀλλὰ τῶν μὲν τοιούτων ἠνείχετο ληρούντων ἐνίοτε, τοὺς δὲ σεμνοὺς εἶναι βουλομένους καὶ μέγα φρονοῦντας ἐφ' αὑτοῖς διὰ πλοῦτον ἢ γένος καὶ ἄλλην τινὰ δύναμιν,

4. Μασσαλίας Geel., μεσαδίας C, μεσσαδίας M (corr. Θεσσαλίας), Θεσσαλίας reliq. ‖ Βορυσθένους. βωρυσθένους (corr. vulg.) M. ‖ 5. οὗτοι δὴ πάντες C, οὗτοι δὲ ἀπὸ πάντες m, unde οὗτοι δὲ ἅπαντες Iacobs. Add. p. 9, οὗτοι δὲ πάντες reliq. ‖ αὐτὸν καὶ βραχύ τι ἀκοῦσαι λέγοντος, ὡς. sic dedi. vulgo v. καὶ βραχύ τι ἀκοῦσαι λέγοντος leguntur post v. γενέσθαι. de sede sua ista migrasse vidit Reisk., at interponebat post v. ἑτέροις. — 6, 2. ἀποκρίνασθαι BCM, ἀποκρίνεσθαι reliq. ‖ 3. ἀπογεύεσθαι. γεύεσθαι CM (mrg. vulg.). e regione horum in mrg. C haec leguntur, σή (σημαίνεσθαι) ὅτι πικρὸν τὸ ποντικὸν μέλι, manu eius scripta, qui codicis initium exaravit. Gildemeister. ‖ 3. οἱ ἄπειροι. οἷάπερ οἱ ἄπειροι M. ‖ 5. οὕτω. οὕτως CM. — 7, 2. ἔπαιζεν Stob. XIII, 18. Reisk. ex Interpr., ἐπαίσεν (corr. ἔπαιεν) M, ἔπαιεν reliq ‖ 3. εἰώθει C. Casaub., εἰώθη B, εἰώθει γ' Reisk., εἰώθειν reliq. ‖ ἀνατειναμένου. ἀνατεινομένου BM? ‖ 6. ἐπειδὰν BCM, ἐπειδὴ reliq. ‖ 7. τέθνηκεν. sic dedi. τέθνηκε CM; τέθνηκεν οὕτω reliq., unde Casaub. quaedam excidisse suspicatus est, quod Diogenes perperam cum pueris comparari videretur. ‖ ταὐτά. malim ταῦτα. ‖ μεταστρεφόμενος. μετατρεπόμενος BM. v. mrg. m. ‖ 8. οὐδέ. οὐδὲν M. — 8, 1. ἀλλὰ—ληρούντων in M mrg. addita. ‖ ἠνείχετο ληρούντων ἐνίοτε. ληρούντων ἐνίοτε κατεφρόνει C. mrg. m. ‖ 2. μέγα φρονοῦντας. μεγαλοφρονοῦντας CM (corr. vulg.) ‖ 3. ἐφ' αὐτοῖς C, ἐπ' αὐτοῖς

τούτους μάλιστα ἐπίεζε καὶ ἐκόλαζε πάντα τρόπον. τινὲς μὲν
οὖν αὐτὸν ἐθαύμαζον ὡς σοφώτατον πάντων, τισὶ δὲ μαίνε-
σθαι ἐδόκει, πολλοὶ δὲ κατεφρόνουν ὡς πτωχοῦ τε καὶ οὐδε-
νὸς ἀξίου, τινὲς δ' ἐλοιδόρουν, οἱ δὲ προπηλακίζειν ἐπεχείρουν
9 ὀστᾶ ῥιπτοῦντες πρὸ τῶν ποδῶν, ὥσπερ τοῖς κυσὶν, οἱ δὲ καὶ
τοῦ τρίβωνος ἥπτοντο προσιόντες, πολλοὶ δὲ οὐκ εἴων, ἀλλ'
ἠγανάκτουν, καθάπερ Ὅμηρός φησι τὸν Ὀδυσσέα προσπαίζειν
τοὺς μνηστῆρας, κἀκεῖνον πρὸς ὀλίγας ἡμέρας ἐνεγκεῖν τὴν 291 R
ἀκολασίαν αὐτῶν καὶ τὴν ὕβριν· ὁ δὲ ὅμοιος ἦν ἐν ἅπαντι· 140 M
τῷ ὄντι γὰρ ἐῴκει βασιλεῖ καὶ δεσπότῃ πτωχοῦ στολὴν ἔχοντι,
κἄπειτα ἐν ἀνδραπόδοις τε καὶ δούλοις αὐτοῦ στρεφομένῳ
τρυφῶσι καὶ ἀγνοοῦσιν, ὅστις ἐστὶ, καὶ ῥᾳδίως φέροντι
μεθύοντας ἀνθρώπους καὶ μαινομένους ὑπὸ ἀγνοίας καὶ ἀμα-
10 θίας. ὅμως δὲ οἵ τε ἀθλοθέται τῶν Ἰσθμίων καὶ τῶν ἄλλων
ὅσοι ἔντιμοι καὶ δυνατοὶ σφόδρα ἠποροῦντο καὶ συνεστέλ-
λοντο, κατ' ἐκεῖνον ὁπότε γένοιντο, καὶ πάντες οὗτοι σιγῇ
παρῄεσαν ὑποβλέποντες αὐτόν. ἐπεὶ δὲ καὶ ἐστεφανώσατο
τῆς πίτυος, πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν τινας ἐκέ-
λευον ἀποθέσθαι τὸν στέφανον καὶ μηδὲν παράνομον ποιεῖν.
11 ὁ δὲ ἤρετο αὐτοὺς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶ-
σθαι τῆς πίτυος, ἄλλους δὲ οὐ παράνομον. εἶπεν οὖν τις αὐ-
τῶν· ὅτι οὐ νενίκηκας, ὦ Διόγενες. ὁ δέ· πολλούς γε, εἶπεν,
ἀνταγωνιστὰς καὶ μεγάλους, οὐχ οἷα ταῦτά ἐστι τὰ ἀνδρά-
ποδα τὰ νῦν ἐνταῦθα παλαίοντα καὶ δισκεύοντα καὶ τρέχον-
12 τα, τῷ παντὶ δὲ χαλεπωτέρους, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν,
ἔτι δὲ ὀργήν τε καὶ λύπην καὶ ἐπιθυμίαν καὶ φόβον καὶ τὸ
πάντων ἀμαχώτατον [ἢ καὶ δυσμαχώτατον] θηρίον, ὕπουλον
καὶ μαλθακὸν, ἡδονὴν, ᾗ οὐδεὶς οὔτε τῶν Ἑλλήνων οὔτε τῶν
βαρβάρων ἀξιοῖ μάχεσθαι καὶ περιεῖναι τῇ ψυχῇ κρατήσας,
ἀλλὰ πάντες ἥττηνται καὶ ἀπειρήκασι πρὸς τὸν ἀγῶνα τοῦ-

reliq. ‖ 5. αὐτὸν om. B. ‖ 7. τινὲς δ' CM, τινὲς δὲ reliq. ‖ 8. ὀστᾶ. ὄς τὰ M. — 9, 4. κἀκεῖνον. καὶ ἐκεῖνον M. ‖ 5. ἦν. εἶ C, ἦν M. ‖ ἐν ἅπαντι. ἕνα παντὶ M. ‖ 6. ὄντι. ὄντι τε C. ‖ 7. ἀνδραπόδοις. ἀνδροπόδοις corr. M. ‖ στρεφομένῳ CM (corr. στρεφομένου). Reisk., στρεφομένου reliq. ‖ 8. φέροντι CM (corr. vulg.). Reisk., φέροντα reliq. — 10, 3. γένοιντο. γένοιτο vm. — 11, 1. ἤρετο. ἤρετο M. ‖ 5. τὰ νῦν BM. Obs. p. 19, ταν͂ῦν reliq. — 12, 3. [ἢ καὶ δυσμαχώτατον] delenda. καὶ om. B, ἢ in M mrg. add. ‖ 4. ᾗ. ἢ M. ‖ 5. ἀξιοῖ Selden., ἀξιοὶ C, ἄξιοι M (corr. ἄξιος), ἄξιος reliq. ‖ 6. τοῦτον. τοῦτο vm.

τον, Πέρσαι καὶ Μῆδοι καὶ Σύροι καὶ Μακεδόνες καὶ Ἀθη-
13 ναῖοι καὶ Λακεδαιμόνιοι, πλὴν ἐμοῦ. πότερον οὖν ὑμῖν ἄξιος 292 R
δοκῶ τῆς πίτυος, ἢ λαβόντες αὐτὴν δώσετε τῷ πλείστων
κρεῶν γέμοντι; ταῦτα οὖν ἀπαγγέλλετε τοῖς πέμψασι καὶ ὅτι
αὐτοὶ παρανομοῦσιν· οὐ γὰρ νικήσαντες οὐδένα ἀγῶνα περιέρ-
χονται στεφάνους ἔχοντες· καὶ ὅτι ἐνδοξότερα πεποίηκα τα
Ἴσθμια κατακρατήσας αὐτὸς τὸν στέφανον, καὶ ὅτι οὐ τοῖς
ἀνθρώποις, ἀλλὰ ταῖς αἰξὶ δηλαδὴ περιμάχητον αὐτὸν εἶναι
14 δεῖ. μετὰ δὲ τοῦτο ἰδών τινα ἐκ τοῦ σταδίου βαδίζοντα μετα 141 M
πολλοῦ πλήθους καὶ μηδὲ ἐπιβαίνοντα τῆς γῆς, ἀλλὰ ὑψηλὸν
φερόμενον ὑπὸ τοῦ ὄχλου, τοὺς δέ τινας ἐπακολουθοῦντας
καὶ βοῶντας, ἄλλους δὲ πηδῶντας ὑπὸ χαρᾶς καὶ τὰς χεῖρας
αἴροντας πρὸς τὸν οὐρανόν, τοὺς δὲ ἐπιβάλλοντας αὐτῷ
στεφάνους καὶ ταινίας, ὅτε ἠδυνήθη προσελθὼν ἤρετο, τίς
15 ἐστιν ὁ θόρυβος ὁ περὶ αὐτὸν καὶ τί συνέβη. ὁ δὲ ἔφη·
νικῶμεν, Διόγενες, τῶν ἀνδρῶν τὸ στάδιον. τοῦτο δὲ τί ἐστιν;
εἶπεν· οὐ γὰρ δὴ φρονιμώτερος γέγονας οὐδὲ μικρὸν, ὅτι ἔφθα-
σας τοὺς συντρέχοντας, οὐδὲ σωφρονέστερος νῦν ἢ πρότε-
ρον οὐδὲ δειλὸς ἧττον, οὐδὲ ἔλαττον ἀλγεῖς οὐδὲ ἐλαττόνων
16 δεήσῃ τὸ λοιπὸν οὐδὲ ἀλυπότερον βιώσῃ. μὰ Δία, εἶπεν, ἀλλὰ
τῶν ἄλλων Ἑλλήνων ταχύτατός εἰμι πάντων. ἀλλ᾽ οὐ τῶν 293 R
λαγῶν, ἔφη ὁ Διογένης, οὐδὲ τῶν ἐλάφων· καίτοι ταῦτα
τὰ θηρία πάντων ἐστὶ τάχιστα καὶ δειλότατα, καὶ τοὺς ἀν-
θρώπους καὶ τοὺς κύνας καὶ τοὺς ἀετοὺς φοβεῖται, καὶ ζῇ
βίον ἄθλιον. οὐκ οἶσθα, ἔφη, ὅτι τὸ τάχος δειλίας σημεῖόν

13, 1. οὖν om. CM. ‖ 3. κρεῶν. νεκρῶν (mrg. vulg.) M. ‖ ἀπαγγέλλετε. ἀπαγγέλλεται M. ‖ 4. οὐδένα. οὐδὲν M. ‖ 5. πεποίηκα Obs. p. 19, πεποίηκε reliq. ‖ 6. αὐτός. αὐτοῦ CM. ‖ 8. δεῖ om. BM. v, quo probato αὐτὸν in ἄξιον mutat Pflugk., at dubitantius. — 14, 1. τοῦτο. τοῦτον M. ‖ 5. πρὸς τὸν BM (mrg. εἰς), εἰς reliq. ‖ 6. ταινίαις. τενίας M. ‖ ὅτε. ὅτε δὲ C. ‖ προσελθών. προσελθεῖν BCA, προσελθῶν (at ῶν in rasura) M. — 15, 2. Διόγενες. ὦ Διόγενες M (at ὦ obel. notat.). ‖ τῶν βέλτιστε C. ‖ 3. οὐ γὰρ δὴ BCM (corr. οὐδὲ γάρ). A, οὐδὲ γὰρ reliq. ‖ 4. συντρέχοντας C, σὺν αὐτῷ τρέχοντας BM (corr. ἐν αὐτῷ τρέχοντας), ἐν αὐτῷ τρέχοντας reliq. ‖ 5. δειλὸς ἧττον B. mrg. m, δηλὸς ἧττον C, δῆλος ἧττον M, δειλίᾳ ἧττονι reliq., unde χρῇ vel σύνει supplebat Reisk., δειλίας ἧττον emendabat Iacobs. ‖ οὐδὲ CM, οὐδ᾽ reliq. ‖ οὐδὲ C, οὐδ᾽ reliq. ‖ 6. δεήσῃ BC, δεήσει reliq. ‖ βιώσῃ. βιώσει M. — 16, 2. πάντων. εἰπόντος B. mrg. M. A. ‖ οὐ. οὐ vm. ‖ 3. λαγῶν BCMA, λαγωῶν reliq. ‖ οὐδὲ CM (corr. ἀλλ᾽ οὐδὲ), ἀλλ᾽ οὐδὲ reliq. ‖ 4. πάντων C, ἁπάντων reliq. ‖ τάχιστα malim κάκιστα ‖ 5. καὶ τοὺς κύνας καὶ τοὺς ἀετοὺς BCM, καὶ τοὺς ἀετοὺς καὶ κύνας (τοὺς κύνας A) reliq.

Digitized by Google

ἐστιν; τοῖς γὰρ αὐτοῖς ζώοις συμβέβηκε ταχίστοις τε εἶναι
17 καὶ ἀνανδροτάτοις. ὁ γοῦν Ἡρακλῆς διὰ τὸ βραδύτερος
εἶναι πολλῶν καὶ μὴ δύνασθαι κατὰ πόδας αἱρεῖν τοὺς στρα-
τηγούς, διὰ τοῦτο ἐφόρει τόξα καὶ τούτοις ἐχρῆτο ἐπὶ τοὺς
φεύγοντας. καὶ ὅς· ἀλλὰ τὸν Ἀχιλλέα, ἔφη, ταχὺν ὄντα
φησὶν ὁ ποιητὴς ἀνδρειότατον εἶναι. καὶ πῶς, ἔφη, οἶσθα,
ὅτι ταχὺς ἦν ὁ Ἀχιλλεύς; τὸν μὲν γὰρ Ἕκτορα ἑλεῖν οὐκ ἐδύ-
18 νατο κατὰ τὴν ἡμέραν ὅλην διώκων. οὐκ αἰσχύνῃ, ἔφη, ἐπὶ
πράγματι σεμνυνόμενος, ἐν ᾧ τῶν φαυλοτάτων θηρίων χείρων
πέφυκας; οἶμαι γάρ σε μηδὲ ἀλώπεκα δύνασθαι φθάσαι.
πόσον δέ τι καὶ ἔφθασας; παρ' ὀλίγον, εἶπεν, ὦ Διόγενες.
τοῦτο γάρ τοι καὶ τὸ θαυμαστὸν ἐγένετο τῆς νίκης. ὥστε,
ἔφη, παρ' ἓν μόνον βῆμα εὐδαίμων γέγονας. ἅπαντες γὰρ οἱ
κράτιστοι ἦμεν οἱ τρέχοντες. οἱ δὲ κόρυδοι πόσῳ τινὶ θᾶτ-
τον ὑμῶν διέρχονται τὸ στάδιον; πτηνοὶ γάρ εἰσιν, εἶπεν. 142 M
19 οὐκοῦν, ἔφη ὁ Διογένης, εἴπερ τὸ ταχύτατον εἶναι κράτιστόν
ἐστι, πολὺ βέλτιον κόρυδον εἶναι σχεδὸν ἢ ἄνθρωπον· ὥστε
τὰς ἀηδόνας οὐδέν τι δεῖν οἰκτείρειν οὐδὲ τοὺς ἔποπας, ὅτι 294 R
ὄρνιθες ἐγένοντο ἐξ ἀνθρώπων, ὡς ὑπὸ τοῦ μύθου λέλεκται.
ἀλλ' ἐγώ, ἔφη, ἄνθρωπος ὢν ἀνθρώπων ταχύτατός εἰμι. τί
δέ; οὐχὶ καὶ ἐν τοῖς μύρμηξιν, εἶπεν, εἰκός, ἄλλον ἄλλου τα-
χύτερον εἶναι; μὴ οὖν θαυμάζουσιν αὐτόν; ἢ οὐ δοκεῖ σοι
20 γελοῖον εἶναι, εἴ τις ἐθαύμαζε μύρμηκα ἐπὶ τάχει; τί δέ; εἰ
χωλοὶ πάντες ἦσαν οἱ τρέχοντες, ἐχρῆν γε μέγα φρονεῖν, ὅτι
χωλοὺς ὁ χωλὸς ἔφθης; τοιαῦτα δὲ πρὸς τὸν ἄνθρωπον δια-
λεγόμενος πολλοὺς ἐποίησε τῶν παρόντων καταφρονῆσαι τοῦ
πράγματος κἀκεῖνον αὐτὸν λυπούμενον ἀπελθεῖν καὶ πολὺ
21 ταπεινότερον. τοῦτο δὲ οὐ μικρὸν παρεῖχε τοῖς ἀνθρώποις,
ὁπότε ἴδοι τινὰ μάτην ἐπαιρόμενον καὶ διὰ πρᾶγμα οὐδενὸς

7. ἐστιν M, ἐστι reliq. ‖ 8. ἀνανδροτάτοις. ἀνδροτάτοις C. — 17, 1. βραδύτερος Obs. p. 19, βραδύτατος reliq. ‖ 2. αἱρεῖν. αἵρειν M. ‖ στρατηγούς. δραπέτας Obs. p. 19, κακούργους Pflugk. p. 4. ‖ 6. ἦν om. B. ‖ 7. κατά. καίτοι Pflugk. — 18, 2. χείρων πέφυκας. πέφυκας ἥττων C, in M χείρων addit. a corr. ‖ 4. εἶπεν om. B. ‖ 6. μόνον om. CM. ‖ 7. κόρυδοι. κορυδοὶ B. ‖ πόσῳ τινί. ποίῳ τινὶ τρόπῳ C. — 19, 2. κόρυδον. κορυδὸν B. ‖ 3. δεῖν. δεῖ B. ‖ 5. ἔφη om. C. ‖ ὤν. ὧν M. ‖ ἀνθρώπων om. C. ‖ 6. δέ. δαί B. — 20, 1. δέ CM, δαί reliq. ‖ 2. ἐχρῆν γε. ἐχρῆν σε C. Geel. ‖ 3. χωλοὺς ὁ χωλὸς Obs. p. 19, χωλοῦ σου χωλὸς M, χωλοὺς οὐ χωλὸς reliq. — 21, 2. ὁπότε CM, ὁπότ' reliq.

ἄξιον ἔξω τοῦ φρονεῖν, συστείλας ἐπὶ βραχὺ καὶ ἀφελὼν μικρόν τι τῆς ἀνοίας, ὥσπερ οἱ τὰ πεφυσημένα καὶ οἰδοῦντα
22 *νύξαντες ἢ στίξαντες. ἐν δὲ τούτῳ θεασάμενος ἵππους ἐν τῷ αὐτῷ δεδεμένους, ἔπειτα μαχομένους τε καὶ λακτίζοντας αὐτοὺς, καὶ πολὺν ὄχλον περιεστῶτας καὶ θεωμένους, ἕως καμὼν ὁ ἕτερος ἔφυγεν ἀποῤῥήξας προσελθὼν ἐστεφάνωσε τὸν μένοντα καὶ ἀνεκήρυττεν ὡς Ἰσθμιονίκην, ὅτι λακτίζων ἐνίκησεν. ἐπὶ τούτῳ γέλως καὶ θόρυβος ἦν ἁπάντων, καὶ τὸν Διογένη πολλοὶ ἐθαύμαζον καὶ τῶν ἀθλητῶν κατεγέλων, καί τινας ἀπελθεῖν φασιν οὐκ ἰδόντας αὐτοὺς, ὅσοι κακῶς ἐσκήνουν ἢ καὶ τούτου ἠπόρουν.*

ΛΟΓΟΣ ι

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΟΙΚΕΤΩΝ.

1 *Ἀπιὼν ποτε Διογένης ἐκ Κορίνθου Ἀθήναζε συνέβαλε* 295 R. 143 M.
κατὰ τὴν ὁδὸν ἑνὶ τῶν γνωρίμων, καὶ ἤρετο, ποῖ ἄπεισιν· οὐχ ὥσπερ οἱ πολλοὶ τὰ τοιαῦτα ἐπερωτῶσιν ἐπιδεικνύμενοι, ὅτι οὐκ ἀμελὲς εἰδέναι αὐτοῖς περὶ τῶν φίλων, ἔπειτα ἀκούσαντες μόνον ἀπηλλάγησαν· ἀλλ' ὥσπερ οἱ ἰατροὶ ἀνακρίνουσι τοὺς ἀσθενοῦντας, ὅ τι μέλλουσι ποιεῖν, ἕνεκα τοῦ συμβουλεῦσαι, καὶ τὰ μὲν κελεύουσι τὰ δὲ ἀπαγορεύουσιν, οὕτως
2 *ἀνέκρινεν ὁ Διογένης τὸν ἄνθρωπον, ὅ τι πράττοι. καὶ ὃς ἔφη· ὦ Διόγενες, πορεύομαι εἰς Δελφοὺς τῷ θεῷ χρησόμενος. μέλλων δὲ διὰ Βοιωτῶν ἀπιέναι· ὁ γάρ παῖς με ὁ μετ' ἐμοῦ πο-*

4. οἰδοῦντα. οἰδοκοῦντα C. ‖ 5. στίξαντες. δείσαντες C, στήσαντες M. — 22, 1. τούτῳ. τοῦτο M. ‖ 2. αὐτούς. αὑτοὺς M. ‖ 7. πολλοὶ BCM. Reisk., πολὺ reliq. ‖ ἀθλητῶν. ἀθλητῶν πολλοὶ C. ‖ 9. ἢ καὶ C. Interpr. Geel., ἢ om. reliq. ‖ τούτου. τοῦ βίου Casaub., τοῦ οἴκου Toup. Emend. in Suid. p. 153, τόπου Reisk.

Orat. X. Collati sunt BCM. — 1, 2. τὴν ὁδόν. τῆς ὁδοῦ C. ‖ 3. ἐπερωτῶσιν. ἐπερωτῶσιν vul. ‖ 8. πράττοι CM (corr. πράττοιεν). Reisk., πράττοιεν reliq. — 2, 3. με. μου m. ‖ πορευόμενος BCMA, om. reliq.

ρευόμενος ἀπέδρα· νῦν ἐπὶ Κορίνθου ἄπειμι· ἴσως γὰρ ἂν
εὕροιμι καὶ τὸν παῖδα. καὶ ὁ Διογένης εἶπεν ὥσπερ εἰώθει
σπουδάσας· ἔπειτα, καταγέλαστε, ἐπιχειρεῖς θεῷ χρῆσθαι,
οὐ δυνάμενος ἀνδραπόδῳ χρήσασθαι; ἢ οὐ δοκεῖ σοι τοῦτο
ἐκείνου ἧττον χαλεπὸν καὶ ἐλάττονα ἔχειν κίνδυνον τοῖς οὐ
δυναμένοις χρήσασθαι ὀρθῶς; τί δὲ καὶ βουλόμενος, εἶπε,
ζητεῖς τὸν παῖδα; ἢ οὐκ ἦν πονηρός; πάντων γε, ἔφη, μάλι-
3 *στα. μηδὲν γὰρ ὑπ' ἐμοῦ ἀδικούμενος, πρὸς δὲ καὶ γενόμε-* 296 R
νος. ἡγεῖτο πονηρόν· εἰ γὰρ ἀγαθὸν ἡγεῖτο, οὐκ ἄν ποτε
ἀπέλιπεν. ἴσως, ὦ Διόγενες, κακὸς αὐτὸς ὤν. ἔπειτα ἐκεῖνος
μέν, ἔφη, σὲ πονηρὸν ἡγούμενος ἔφυγεν, ἵνα μὴ βλάπτηται
ὑπὸ σοῦ· σὺ δὲ ἐκεῖνον πονηρὸν εἶναι λέγων ζητεῖς; οὐ γὰρ
4 *ἄδηλον, ὅτι βλάπτῃ καὶ σὺ ὑπ' αὐτοῦ βουλόμενος. ἢ οὐχ οἱ*
κακοὶ ἄνθρωποι βλαβεροί εἰσι τοῖς ἔχουσι καὶ τοῖς χρωμέ-
νοις, ἐάν τε Φρύγες ὦσιν ἐάν τε Ἀθηναῖοι, ἐάν τε ἐλεύθεροι
ἐάν τε δοῦλοι; καίτοι κύνα μὲν οὐδεὶς κακὸν ἡγούμενος ζητεῖ
ἀποδράντα, οἱ δὲ καὶ ἐκβάλλουσιν, ἐὰν ἐπανέλθῃ· ἀνθρώ- 141 M
που δὲ πονηροῦ ἀπαλλαγέντες οὐκ ἀγαπῶσιν, ἀλλὰ πολλὰ
πράγματα ἔχουσι καὶ τοῖς ξένοις ἐπιστέλλοντες καὶ αὐτοὶ
ἀποδημοῦντες καὶ χρήματα ἀναλίσκοντες, ὅπως λάβωσιν αὐ-
5 *τόν. καὶ πότερον οἴει πλείους ὑπὸ κυνῶν βλαβῆναι πονηρῶν*
ἢ ὑπ' ἀνθρώπων; ὑπὸ μέν γε κυνῶν φαύλων ἕνα τὸν Ἀκταίωνά
φασιν ἀπολέσθαι, καὶ τούτων μανέντων· ὑπὸ δὲ ἀνθρώπων
φαύλων οὐδὲ εἰπεῖν ἔστιν ὅσοι ἀπολώλασι, καὶ ἰδιῶται καὶ
βασιλεῖς καὶ πόλεις ὅλαι, οἱ μὲν ὑπὸ οἰκετῶν, οἱ δὲ ὑπὸ στρα-
τιωτῶν καὶ δορυφόρων, οἱ δὲ ὑπὸ φίλων τινῶν καλουμένων,
6 *οἱ δέ τινες καὶ ὑπὸ υἱέων καὶ ἀδελφῶν καὶ γυναικῶν. ἆρα*
οὖν οὐ μέγα κέρδος, ὅτῳ ἂν συμβῇ ἀπαλλαγῆναι κακοῦ ἀν- 297 R
δρός, ἀλλὰ δεῖ τοῦτον ζητεῖν τε καὶ ἐπιδιώκειν, ὥσπερ εἴ τις

4. *νῦν.* *καὶ νῦν* C. ‖ 5. *καί.* *ἐκεῖ* Obs. p. 20. ‖ 6. *ἐπιχειρεῖς θεῷ.* *ἐπιχειρεῖσθε τῷ* (mrg. vulg.) M. ‖ 9. *δέ.* *δαὶ* B. — 3, 1. *γενόμενος.* *εὖ γενόμενος* A, *ἀντὶ υἱοῦ γενόμενος* Casaub., qui praeterea tale quid excidisse opinatur, *ἔφυγεν ὅμως.* *οὗτος δηλονότι σε,* Reiskio quoque quaedam deesse videntur. si saluimus Diogenem alterius orationem interpellare, *οἴκοι γενόμενος* scribi possit. ‖ 5. *οὐ γὰρ* om. C, in M mrg. addit. ‖ 6. *βλάπτῃ.* *βλάπτει* M. ‖ *οὐ* om. C, in M a corr. add. — 4, 1. *ἤ.* *ἦ* B. ‖ *οὐχ οἱ* BCM. Reisk., *οὐχὶ* reliq. ‖ 5. *ἐπανέλθῃ.* *ἐπέλθῃ* C., *παρέλθῃ* corr. M. ‖ 7. *καὶ αὐτοί.* *καὐτὸν* BM. ‖ 8. *αὐτόν* Geel., *αὐτοὺς* reliq. — 5, 1. *πλείους.* *πλίους* M. ‖ 2. *ὑπ'.* *ὑπὸ* CM. ‖ *κυνῶν.* *κινῶν* M. ‖ 7. *υἱέων.* *υἱῶν* M.

ἀπαλλαγὲν νόσημα ἐζήτει καὶ ἐβούλετο ἀναλαβεῖν εἰς τὸ σῶμα: καὶ ὁ ἄνθρωπος εἶπε· ταῦτα μὲν ὀρθῶς εἶπας, ὦ Διόγενες· ἀλλὰ χαλεπόν ἐστιν ἀδικηθέντα μὴ τιμωρήσασθαι. ἐκεῖνος γὰρ οὐδὲν ὑπ' ἐμοῦ παθών, ὡς ὁρᾷς, ἐτόλμησεν ἀπολιπεῖν με· ὃς ἔργον μὲν παρ' ἐμοὶ οὐδὲν ἔπραττεν, ὅσα δοῦλοι ἐργάζονται, ἀργὸς δὲ ὢν ἔνδον ἐτρέφετο οὐδὲν ποιῶν ἢ ἐμοὶ ἀκο-
7 λουθῶν. ἔπειτα, ἔφη, οὐδὲν ἠδίκεις αὐτὸν ἀργὸν ὄντα καὶ ἀμαθῆ τρέφων καὶ ποιῶν ὅτι κάκιστον; ἡ γὰρ ἀργία καὶ τὸ σχολὴν ἄγειν ἀπόλλυσι πάντων μάλιστα τοὺς ἀνοήτους ἀνθρώπους. οὐκοῦν ὀρθῶς συνῆκεν ὑπὸ σοῦ διαφθειρόμενος, καὶ ἀπέδρα δικαίως, ἵν' ἐργάζηται δηλονότι καὶ μὴ σχολάζων τε καὶ καθεύδων καὶ ἐσθίων χείρων ἀεὶ γίγνηται. σὺ δὲ ἴσως οἴει μικρὸν ἀδίκημα εἶναι, ὃς ἄνθρωπον ποιεῖ πονηρότερον· ἀλλ' οὐχὶ τοῦτον δεῖ πάντων μάλιστα φεύγειν ὡς ἔχθιστον καὶ ἐπιβουλότατον. καὶ ὅς· τί οὖν, ἔφη, ποιήσω; οὐ
8 γάρ ἐστι μοι ἄλλος οἰκέτης. τί δὲ, ἔφη, ποιήσεις, ὅταν ἄλλα ὑποδήματα μὴ ἔχῃς, τὰ δὲ ὄντα ἐνοχλῇ καὶ διακόπτῃ τοὺς πόδας; ἆρα οὐχ ὑπολυσάμενος ὅτι τάχιστα ἂν ἀνυπόδητος βαδίσαις; ἀλλὰ κἂν αὐτόματον λυθῇ, πάλιν ἐπιδεῖς τε καὶ σφίγγεις τὸν πόδα; καὶ γὰρ δὴ ὥσπερ οἱ ἀνυπόδητοι ἐνίοτε 145 M.
ῥᾷον βαδίζουσι τῶν φαύλως ὑποδεδεμένων, οὕτω πολλοὶ χωρὶς οἰκετῶν ῥᾷον ζῶσι καὶ ἀλυπότερον τῶν πολλοὺς οἰκέτας ἐχόν- 298 R.
9 των. οὐχ ὁρᾷς τοὺς πλουσίους, ὁπόσα πράγματα ἔχουσιν, οἱ μὲν θεραπεύοντες τοὺς νοσοῦντας τῶν οἰκετῶν καὶ δεόμενοι ἰατρῶν καὶ τῶν ἄλλων τῶν παραμενούντων· καὶ γὰρ ὡς τοπολὺ πέφυκεν ἀμελεῖν αὐτῶν τὰ ἀνδράποδα καὶ οὐ προσέχειν ἐν ταῖς νόσοις, τὸ μέν τι ὑπὸ ἀκρασίας, τὸ δὲ ἡγούμενα, εἴ τι

6, 4. ἐβούλετο. ἐβούλοντο corr. M. ‖ 7. γὰρ om. B. — 7, 2. κάκιστον C. Reisk., κάκιστα reliq. ‖ ἀργία. ἀργεῖα M. ‖ 7. ἴσως οἴει. ἴσω σοι εἰ M. ‖ ὃς C. Reisk., ὃ reliq. (at M in rasura). ‖ 9. οὖν, ἔφη BCMA, ἔφη om. reliq. — 8, 1. δὲ BCM. Anonym. apud Reisk., δαὶ reliq. ‖ ποιήσεις. ποιήσαις C. ‖ 3. ἆρα. ἄρα M. ‖ τάχιστα. τάχιστ' B. ‖ ἂν om. C, κἂν Iacobs. Add. p. 16. ‖ 4. βαδίσαις. sic dedi. βαδίσῃς reliq. ‖ κἂν BCM, καὶ ἂν reliq. ‖ ἐπιδεῖς τε καὶ σφίγγεις. ἐπιδεῖστε καὶ σφύγγεις B. ‖ 5. γὰρ BCM (mrg. μεν). A, μὲν reliq. ‖ 6. οὕτω. οὕτως C. — 9, 1. τούς. αὐτοὺς M (corr. vulg.). ‖ ὁπόσα M, οἱ C, πόσα reliq. ‖ 3. παραμενούντων M (corr. μαραμελούντων). Reisk., παραμελούντων B, παραμενόντων C. mrg. m. r, παραμελλόντων vm. ‖ καὶ γάρ. καὶ οὐ C. ‖ 4. αὐτῶν BM, αὐτῶν C, αὐτῶν τε reliqui, unde αὐτῶν γε Reisk. ‖ τά. καὶ v. ‖ 5. μέν τι. μὲν τὸ C, μέντοι B. m. ‖ ὑπό. ἀπὸ B. ‖ ἀκρασίας. ἀκρατείας B, ἀκρατίας (corr. vulg.) M. ‖ δέ. δὲ καὶ

πάθοι, τοὺς δεσπότας ζημιώσεσθαι, οὐχ αὐτούς· οἱ δὲ μαστιγοῦντες ὁσημέραι, ἕτεροι δὲ δεσμοῦντες, ἄλλοι διώκοντες φεύγοντας. καὶ γάρ τοι οὔτε ἀποδημῆσαι δύνανται ῥᾳδίως οὐδ'
10 ὁπόταν δοκῇ αὐτοῖς, οὔτε μένοντες σχολὴν ἄγουσιν. τὸ δὲ πάντων γελοιότατον, ἐνίοτε ἀποροῦσι διακόνων μᾶλλον τῶν πενήτων τε καὶ οὐκ ἐχόντων οὐδένα οἰκέτην. καί ἐστι τὸ πρᾶγμα ὅμοιον τοῖς ἰούλοις· οἶμαι γάρ σε εἰδέναι· καὶ γὰρ ἐκεῖνοι μυρίους πόδας ἔχοντες βραδύτατοί εἰσι τῶν ἑρπετῶν. οὐκ οἶσθα, ὅτι τὸ σῶμα ἡ φύσις ἑκάστῳ ἐποίησεν ἱκανὸν εἶναι πρὸς τὴν ἑαυτοῦ θεραπείαν; πόδας μὲν ὥστε ἀπιέναι, χεῖρας δὲ ὥστε ἐργάζεσθαι καὶ τοῦ ἄλλου σώματος ἐπιμελεῖσθαι,
11 ὀφθαλμοὺς δὲ ὥστε ὁρᾷν, ὦτα δὲ ὥστε ἀκούειν. πρὸς δὲ τούτοις σύμμετρον ἐποίησε τὴν γαστέρα, καὶ οὐ δεῖται πλείονος τροφῆς ἄνθρωπος ἢ δυνατός ἐστιν αὐτῷ πορίζειν, ἀλλὰ τοῦτο μέτρον ἑκάστῳ ἱκανώτατον καὶ ἄριστον καὶ ὑγιέστατον. ὥσπερ οὖν ἡ χεὶρ ἀσθενεστέρα ἐστὶν ἡ πλείονας δακτύλους ἔχουσα τῶν φύσει γιγνομένων, καὶ ὁ τοιοῦτος ἄνθρωπος 299 R.
ἀνάπηρος καλεῖται τρόπον τινὰ, ᾧ ἂν ἔξωθεν προσφυῇ δάκτυλος περιττὸς καὶ μηδὲ τοῖς ἄλλοις χρῆσθαι δύνηται κατὰ τρόπον· οὕτως ὅταν πολλοὶ πόδες καὶ πολλαὶ χεῖρες καὶ πολλαὶ γαστέρες ἀνθρώπῳ τινὶ προσγένωνται, μὰ Δία οὐκ ἰσχυρότερος οὗτος γίγνεται πρὸς οὐδὲν οὐδὲ μᾶλλον τυγχάνει, ὧν δεῖ τυγχάνειν αὐτὸν, ἀλλὰ πολὺ ἔλαττον καὶ δυσχερέστερον.
12 σὺ δὲ, ἔφη, νῦν μὲν ἑνὶ ἀνθρώπῳ ζητεῖς τροφὴν, τότε δὲ 146 M
δυσί· καὶ νῦν μὲν ἕνα νοσηλεύσεις, ἐὰν ἄρα συμβῇ τις ἀσθένεια, τότε δὲ ἀνάγκη θεραπεύειν κἀκεῖνον νοσοῦντα· καὶ νῦν μὲν ὅταν αὐτὸς ᾖς ἐν τῇ οἰκίᾳ, οὐ φροντίζεις, μή τι αὐτὸς

Reisk. ‖ εἴ τι. ὅτι B. ‖ 6. οἱ δὲ. Reiskius aliquid excidisse suspicatur, deceptus maiore post v. παραμενούντων interpunctione. Geel. ‖ 8. οὐδ' ὁπόταν. ὁπουτ' ἂν C. — 10, 9. ὥστε. ὡς C. — 11, 3. αὐτῷ. αὑτῷ M. ‖ 5. ἡ. ᾗ M. ‖ 7. ἀνάπηρος. ἀνάπειρος M. ‖ 8. καὶ. ὅτι (et infra δύναται) Pflugk. ‖ 10. ἀνθρώπῳ Cod. Paris. 3010. Obs. p. 20, ἀνθρώπων reliq. ‖ Δία. Δι B. ‖ ἰσχυρότερος. εἰσχυρότερος M. ‖ 11. γίγνεται B, γίνεται reliq. ‖ πρὸς οὐδὲν οὐδὲ M. Reisk., πρὸς οὐδὲν BCA. v, καὶ πρὸς οὐδὲν reliq. ‖ τυγχάνει, ὧν δεῖ τυγχάνειν αὐτὸν CM (mrg. τυγχάνων αὐτῶν). Casaub., τυγχάνων αὐτῶν B, τυγχάνων αὐτῷ A, τυγχάνει ὢν αὐτῶν v, τυγχάνει τῶν αὐτῶν Reisk., τυγχάνει ὢν, ὧν δεῖ τυγχάνειν αὐτὸν m. nimirum librarii oculus a v. τυγχάνει ad v. τυγχάνειν aberraverat. — 12, 2. νῦν μὲν om. B. ‖ ἕνα. σαυτὴν C. ‖ νοσηλεύσεις CM. m, νοσηλεύεις B. vr. ‖ 4. ᾖς. ἧς M, μὴ ᾖς Kayser. ad Philostr. V. S. p. 236; idem infra οὗτος pro αὐτὸς. non accedo, nam

ὑφέλῃ, οὐδὲ ὅταν καθεύδῃς, μὴ ἐγρηγορὼς ὁ παῖς κακόν τι ἐργάσηται. πάντα δὴ ταῦτα δεῖ σε σκοπεῖν. γυναῖκα τοίνυν εἰ ἔχεις, τότε μὲν οὐκ ἂν ἠξίου σε θεραπεύειν, ὁρῶσα οἰκέτην ἔνδον τρεφόμενον, καὶ τὰ μὲν ἐκείνῳ μαχομένη τὰ δὲ αὐτὴ τρυφῶσα ἐνοχλεῖν σε ἔμελλεν· νῦν δὲ ἧττον μὲν αὐτὴ ἀλγήσει,

13 μᾶλλον δὲ σοῦ ἐπιμελήσεται. καὶ μὴν ὅπου οἰκέτης ἔστιν, εὐθὺς διαφθείρονται οἱ γιγνόμενοι παῖδες καὶ ἀργότεροί τε γίγνονται καὶ ὑπερηφανώτεροι, ὄντος μὲν τοῦ διακονοῦντος, ἔχοντες δὲ οὗ καταφρονῶσιν· ὅπου δ' ἂν αὐτοὶ ὦσι, πολὺ ἀνδρειότεροι καὶ ἰσχυρότεροι καὶ τῶν πατέρων εὐθὺς ἐξ ἀρχῆς κήδεσθαι μανθάνοντες. ἀλλ', ὦ Διόγενες, πένης τέ εἰμι, καὶ 300 R.
εἰ μὴ συμφέροι κεκτῆσθαι τὸν οἰκέτην, ἀποδώσομαι αὐτόν. ἔπειτα, ἔφη, οὐκ αἰσχύνῃ; πρῶτον μὲν ἐξαπατῶν τὸν ἄνθρωπον, πονηρὸν αὐτῷ ἀποδιδόμενος; ἢ γὰρ οὐκ ἐρεῖς τἀληθές,

14 ἢ οὐ δυνήσῃ ἀποδόσθαι αὐτόν. πρὸς δὲ τούτοις, ἐάν τις ἱμάτιον ἀποδῶται κίβδηλον ἢ σκεῦος ἢ κτῆνος νοσοῦν τε καὶ ἄχρηστον, ἀνάγκη αὐτὸ ἀπολαμβάνειν. ὥστε οὐδὲν ἔσται σοι πλέον. εἰ δὲ καὶ δυνήσῃ ἐξαπατῆσαί τινα κἀκεῖνος οὐκ αἰσθήσεται τοῦ ἀνθρώπου τῆς πονηρίας, τὸ ἀργύριον οὐ δέδοικας; ἴσως μὲν γὰρ ἄλλον ὠνήσῃ φαυλότερον, ἐὰν δριμυτέρου τύχῃς ἢ κατὰ σὲ τοῦ ἀποδιδομένου· τυχὸν δὲ εἰς ἄλλο τι χρήσῃ λαβὼν ἀφ' οὗ βλαβήσῃ. οὐ γὰρ δὴ ἀεί ποτε τὸ ἀργύριον ὠφελεῖ τοὺς κτησαμένους, ἀλλὰ πολλῷ πλείονας βλάβας καὶ πλείω κακὰ πεπόνθασιν ἄνθρωποι ὑπὸ ἀργυρίου ἢ ὑπὸ

15 πενίας, ἄλλως τε ἀνόητοι ὄντες. οὐκ ἐκεῖνο οὖν πρότερον κτήσασθαι σπουδάσεις, ὡς δυνήσῃ ὑπὸ παντὸς ὠφελεῖσθαι καὶ πᾶσι τοῖς σαυτοῦ πράγμασι χρῆσθαι καλῶς· ἀλλὰ πρὸ 141 M.
τοῦ φρονῆσαι ζητήσεις ἀργύριον ἢ γῆν ἢ ἀνδράποδα ἢ ζεῦγος

sic requirebatur ὑφέληται. ‖ ἐν τῇ BCM, ἐν reliq. ‖ 6. δεῖ σε σκοπεῖν. δ' εἰς ἐσκόπτειν M. ‖ 7. ἔχεις Iacobs. Add. p. 268, εἶχες reliq. ‖ 9. ἔμελλεν. ἔμελλον C. ‖ δὲ. δ' M. ‖ αὐτή. αὕτη B. — 13, 2. τε γίγνονται M (at τε obel. not.), τε γίνονται A, γίνονται reliq. ‖ 4. καταφρονῶσιν. καταφρονοῦσιν C. ‖ αὐτοὶ BMA. vr, αὐτοὶ μὴ C. m, αὐτοὶ μόνοι mrg. m. ‖ πολὺ. πολλοὶ C. ‖ 7. ἀποδώσομαι. ἀποδώσωμαι m. ‖ 8. ἄνθρωπον. malim ὠνούμενον ‖ 9. ἦ. ἡ M. ‖ 10. δυνήσῃ. δυνήσει M. — 14, 2. ἀποδῶται B (?). r, ἀποδῷ CM. vm. ‖ 3. αὐτό. αὐτὸν C, αὐτῷ M. ‖ 6. ὠνήσῃ. ὠνήσει BM. ‖ 8. χρήσῃ. χρήσει M. ‖ ἀφ' οὗ BCM. Reisk., ἐφ' οὗ reliq. ‖ βλαβήσῃ. βλαβήσει M. ‖ 11. ἄλλως. ἄλλος M. ‖ τε. τε καὶ C. — 15, 1. οὖν om. C, in M a corr. add. ‖ 2. ὡς. ᾧ ὡς C. ‖ δυνήσῃ. δυνήσει M. ‖ 3. σαυτοῦ. αὐτοῦ B. ‖ χρῆσθαι CM (corr. χρήσασθαι), χρήσασθαι reliq.

ἢ πλοῖον ἢ οἰκίαν, οἷς σὺ δουλεύσεις καὶ λυπήσῃ δι᾽ αὐτὰ καὶ
πολλὰ πονήσεις μάτην καὶ διατελέσεις ἅπαντα τὸν βίον φρον-
16 τίζων ἐκείνων, ὀνήσῃ δὲ οὐδ᾽ ὁτιοῦν ἀπ᾽ αὐτῶν. οὐχ ὁρᾷς
τὰ θηρία ταῦτα καὶ τὰ ὄρνεα, ὅσῳ ζῇ τῶν ἀνθρώπων ἀλυ-
πότερον, πρὸς δὲ καὶ ἥδιον, καὶ μᾶλλον ὑγιαίνει καὶ πλέον
ἰσχύει καὶ ζῇ χρόνον ἕκαστον αὐτῶν, ὅσον πλεῖστον δύναται;
καίτοι οὔτε χεῖρας ἔχοντα οὔτε ἀνθρώπου διάνοιαν, ἀλλ᾽ ὅμως 301 R
ἀντὶ πάντων αὐτοῖς τῶν ἄλλων κακῶν ὑπάρχει μέγιστον ἀγα-
θόν, ὅτι ἀκτήμονά ἐστιν. ἀλλὰ δοκῶ μοι ἐάσειν, ὦ Διόγενες,
τὸν οἰκέτην, ἐάνπερ μὴ ἀπὸ τύχης ἐμπέσῃ μοι. ναὶ μὰ Δία,
εἶπεν ὁ Διογένης, ὥσπερ εἰ λέγοις, ὅτι δάκνοντα ἢ λακτίζοντα
ἵππον οὐκ ἂν ζητήσαιμι, ἐὰν μέντοι περιτύχω, προσέλθοιμ᾽
17 ἄν, ὥστε δηχθῆναι ἢ λακτισθῆναι. ταῦτα μὲν ἔασον· ἀλλὰ
τῷ θεῷ διὰ τί με χρῆσθαι οὐκ ἐᾷς; ἐγὼ γὰρ ἀπαγορεύω σοι
θεῷ χρῆσθαι, εἰ δύνασαι; οὐ τοῦτο ἔφην, ἀλλ᾽ ὅτι χαλεπόν
ἐστι, μᾶλλον δὲ ἀδύνατον χρῆσθαι ἢ θεῷ ἢ ἀνθρώπῳ ἢ αὐ-
τὸν αὑτῷ μὴ ἐπιστάμενον, τὸ δὲ ἐπιχειρεῖν ἄνευ τοῦ ἐπίστα-
σθαι καὶ πάντων βλαβερώτατον. ἢ ὅστις οὐκ ἔστιν ἔμπειρος
ἵππων χρήσεως, δοκεῖ σοι οὗτος χρῆσθαι ἂν ἵπποις; οὐκ
ἔμοιγε. εἰ δ᾽ αὖ βιάζοιτο, κακὸν ἄν τι ἀπολαῦσαι πρότερον
18 ἢ ἀγαθόν; ἀληθῆ. τί δέ; ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν, δυνα-
τὸς ἂν εἴη χρῆσθαι; ἢ οὐ τό τινι χρῆσθαι ὠφελεῖσθαί ἐστιν
ἀπ᾽ ἐκείνου; δοκεῖ μοι. οὐδεὶς ἄρα τῶν βλαπτομένων ἀπό
τινος χρῆται ἐκείνῳ, ὑφ᾽ οὗ βλάπτεται; οὐ γάρ. οὔκουν καὶ
ὁ κυσὶ πειρώμενος χρῆσθαι ἄνευ τοῦ ἐπίστασθαι ζημιώσεται

5. σὺ δουλεύσεις M. Geel., σὺ δουλεύσῃς C, συνδουλεύσεις reliq. ‖ λυπήσῃ. λυπή-σει M, λύπῃ C. ‖ καὶ πολλά. καὶ om. m. ‖ 6. πονήσεις Geel., ποιήσεις reliq. ‖ 7. ὀνήσῃ. ὀνήσει M. — 16, 3. πλέον BCM, πλεῖον reliq. ‖ 4. αὐτῶν. αὐτοῦ C. ‖ 5. οὔτε χεῖρας Geel., οὔτε χεῖρας οὔτε πόδας CM (mrg. οὔτε παῖδας), οὔτε πόδας B, οὔτε παῖδας reliq. ‖ διάνοιαν. διακονίαν Iacobs. Add. p. 41 (scripturam παῖδας secutus). ‖ 7. ἀκτήμονά. ἀκτίμονα M. ‖ 9. λέγοις ὅτι M, λέγεις ὅτι C, λέγεις B, λέγοις reliq. ‖ 11. ἢ λακτισθῆναι om. mr. — 17, 2. ἀπαγορεύω CM. mrg. m, ἀπηγόρευον reliq. ‖ 3. ἀλλ᾽ ὅτι. ἀλλὰ B. ‖ 4. ἢ θεῷ BCMA. Interpr. r, om. vm. ‖ αὐτὸν αὑτῷ. sic dedi. αὐτὸν αὐτῷ M, αὐτὸν αὑτῷ reliq. ‖ 6. καὶ om. BM. ‖ 7. ἵππων. ἵππον r. ‖ 8. ἔμοιγε C. Reisk., ἔγωγε reliqui, quod defendit Iacobs. Add. p. 123. ‖ εἰ δ᾽. οὐδ᾽ BA. — 18, 1. τί δέ CM, τί δαί reliq. ‖ 2. ὠφελεῖσθαι in M mrg. addit. ‖ 3. οὐδεὶς ἄρα τῶν βλαπτομένων Morell., οὐδὲν ἄρα τῶν βλαπτομένων C, οὐδὲ παρὰ τῶν βλαπτομένων BA, ὁ δὲ βλαπτόμενος M, οὐδεὶς οὖν τῶν βλαπτομένων reliq.

ἀπ' αὐτῶν; εἰκός γε. οὐκ ἄρα οὐδὲ χρήσεται αὐτοῖς, ἐπεὶ
οὐκ ἔστι χρῆσις, ὅπου ζημία πρόσεστιν. καὶ οὐ μόνον περὶ
κυνῶν καὶ ἵππων ἔχει οὕτως, ἀλλὰ καὶ βοῶν καὶ ὀρέων, καὶ 148 M.
ὃ μᾶλλον θαυμάσαι τις ἄν, οὐδὲ ὄνῳ ἢ προβάτῳ χρῆσθαι 302 R.
19 πάρεστι τοῖς ἀπείροις. ἢ οὐκ οἶσθα τοὺς μέν τινας ὠφελη-
μένους τοὺς δὲ καὶ βεβλαμμένους ἀπό τε προβατείας καὶ ὀνη-
λασίας; ἔγωγε. πότερον δι' ἄλλο τι, ἢ δηλονότι ἀνάγκη τοὺς
μὲν ἀπείρους ζημιοῦσθαι τοὺς δὲ εἰδότας ὀνίνασθαι καὶ ἀπὸ
ὄνων καὶ ἀπὸ συῶν καὶ ἀπὸ χηνῶν καὶ ἀπὸ ἄλλου ζώου παν-
τός; ἔοικεν. τί δέ; οὐκ ἐπὶ τοῖς σκεύεσιν ὁ αὐτὸς λόγος;
ἀλλὰ κιθάρᾳ χρήσαιτο ἂν ὁ ἄμουσος, ἢ ἐπιχειρῶν οὐκ ἂν εἴη
καταγέλαστος, πρὸς τῷ μηδὲν ἐργάζεσθαι καὶ τὴν κιθάραν
20 διαφθείρων καὶ ἀποῤῥηγνὺς τοὺς φθόγγους; τί δέ; εἴ τις
αὐλοῖς οὐκ ὢν αὐλητικὸς ἐθέλοι χρῆσθαι καὶ παριὼν εἰς τα
θέατρα αὐλεῖν, οὐκ αὐτός τε δώσει δίκην βαλλόμενος καὶ
τοὺς αὐλοὺς ἂν προσέτι συντρίψειεν; ὃς δ' ἂν ἐπιχειρῇ πηδα-
λίῳ χρῆσθαι οὐκ ἐπιστάμενος κυβερνᾶν, ἔστιν ὅπως οὐκ ἂν
τάχιστα ἀνατρέψας τὴν ναῦν αὐτόν τε ἀπολέσειε καὶ τοὺς
ἐμπλέοντας; τί δέ; ἡ δόρατος χρῆσις ἢ ἀσπίδος συμφέρει
τοῖς δειλοῖς καὶ ἀνεπιστήμοσιν, ἀλλ' οὐκ ἂν ἀποβάλοιεν τῇ
τοιαύτῃ πείρᾳ τῆς χρήσεως οὐ τὰ ὅπλα μόνον, ἀλλὰ καὶ αὐ-
τούς; συγχωρῶ, ἔφη, ὦ Διόγενες· ἀλλὰ καταδύεις τὸν ἥλιον
21 περὶ πάντων ἐπερωτῶν. καὶ πότερον ἄμεινον, εἶπεν, ἀκούοντα
ὤν χρὴ καταδῦσαι τὸν ἥλιον ἢ βαδίζοντα μάτην; ὅλως δὴ
ἐπὶ πάντων σχεδόν, ὅσων ἄπεστιν ἐμπειρία τοῦ χρῆσθαι, 303 R.
χαλεπὸν τὸ προθυμεῖσθαι, μείζω δὲ τὴν βλάβην γενέσθαι

6. εἰκός — αὐτοῖς om. B. ‖ 7. πρόσεστιν M, πρόσεστι reliq. ‖ 8. ὀρέων Pierson. ad Moerin p. 274, ὀρνέων reliq. ‖ 9. θαυμάσαι τις M, θαυμᾶσαι B, θαυμάσαις reliq. ‖ προβάτῳ BCM, προβατίῳ reliq. — 19, 1. ὠφελημένους C, ὠφελουμένους reliq. ‖ 2. καὶ βεβλαμμένους C, καὶ βλαβέντας BM, βλαβέντας reliq. ‖ 4. ὀνίνασθαι. ὀνίσασθαι C. mrg. m. ‖ 6. ἔοικεν M, ἔοικε reliq. ‖ δέ CM, δαί reliq. ‖ 8. πρὸς. καὶ πρὸς corr. M.A. ‖ 9. διαφθείρων καὶ ἀποῤῥηγνὺς C, διαφθείρας καὶ ἀποῤῥήξας Casaub., διαφθείραι καὶ ἀποῤῥῆξαι (supra εἰ πρὸς) Reisk. — 20, 1. δέ CM, δαί reliq. ‖ 2. ἐθέλοι BCM, ἐθέλῃ reliq. ‖ 4. ὅς. οἳ C. ‖ 6. αὐτόν. αὐτὸν BM. ‖ 7. ἐμπλέοντας. malim συμπλέοντας. ‖ δέ C, δαί reliq. ‖ ἡ δόρατος M, ἢ δόρατος reliq. ‖ χρῆσις M, ἡ χρῆσις reliq. ‖ 8. ἀποβάλοιεν. ἀποβάλλοιεν M. ‖ 9. αὐτούς. αὐτοὺς M. — 21, 1. εἶπεν CM, εἰπεῖν reliq. ‖ ἀκούοντα C, ἀκούσαντα reliq. ‖ 2. χρὴ καταδῦσαι. χρήματα δῦσαι v. mrg. m. ‖ ὅλως δὴ. sic dedi. ὅμως δὲ C, ὁμοίως δ' Geel., ὅμως δ' reliq. ‖ 3. ὅσων. ὅσον B. ‖ 4. προθυμεῖσθαι. προμηθεῖσθαι Iacobs. ‖ δὲ. sic dedi. γὰρ

εἰκὸς ἀπὸ τῶν μειζόνων. ἢ οὖν δοκεῖ σοι ὁμοία εἶναι ἡ ὄνου
χρῆσις τῇ ἵππου; πόθεν; τί δέ; ἡ ἀνθρώπου τῇ θεοῦ; ἀλλ'
οὐδὲ λέγειν ἄξιον, ἔφη, ὦ Διόγενες. ἔστιν οὖν ὅτῳ χρῆσθαι
δύναταί τις οὐ γιγνώσκων αὐτόν; καὶ πῶς; εἶπεν. ὁ γὰρ ἄν-
θρωπον ἀγνοῶν ἀδύνατος ἀνθρώπῳ χρῆσθαι; ἀδύνατος γάρ.
22 ὁ δὴ αὐτὸν ἀγνοῶν οὐκ ἂν ἔχοι αὐτῷ χρῆσθαι. δοκεῖ μοι.
ἤδη οὖν ἀκήκοας τὸ ἐν Δελφοῖς γράμμα τὸ γνῶθι σαυτόν;
ἔγωγε. οὐκοῦν δηλονότι ὁ θεὸς κελεύει πᾶσιν ὡς οὐκ εἰδόσιν 119 M
αὐτούς; ἔοικεν. εἷς ἄρα τῶν πάντων καὶ σὺ εἴης ἄν; πῶς
γὰρ οὔ; οὐκ ἄρα οὐδὲ σὺ γιγνώσκεις σαυτόν; οὔ μοι δοκῶ.
σεαυτὸν δὲ ἀγνοῶν ἄνθρωπον ἀγνοεῖς, ἄνθρωπον δὲ οὐκ εἰ-
δὼς χρῆσθαι ἀνθρώπῳ οὐ δυνατὸς εἶ, ἀνθρώπῳ δὲ χρῆσθαι
ἀδύνατος ὢν θεῷ ἐπιχειρεῖς, ὃ τῷ παντὶ μεῖζον καὶ χαλεπώ-
23 τερον ἐκείνου ὁμολογοῦμεν εἶναι. τί δέ; νομίζεις τὸν Ἀπόλ-
λωνα ἀττικίζειν ἢ δωρίζειν; ἢ τὴν αὐτὴν εἶναι διάλεκτον ἀν-
θρώπων καὶ θεῶν; ἀλλὰ τοσοῦτον διαφέρει, ὥστε τὸν ποτα-
μὸν τὸν ἐν Τροίᾳ Σκάμανδρον παρ' ἐκείνοις Ξάνθον κα-
λεῖσθαι, καὶ τὴν κύμινδιν τὸ ὄρνεον χαλκίδα, καὶ τόπον τινὰ
πρὸ τῆς πόλεως, ὃν οἱ Τρῶες ἐκάλουν Βατίειαν, τοὺς θεοὺς
σῆμα Μυρίνης ὀνομάζειν. ὅθεν δὴ καὶ ἀσαφῆ τὰ τῶν χρη-
24 σμῶν ἐστι καὶ πολλοὺς ἤδη ἐξηπάτηκεν. Ὁμήρῳ μὲν οὖν
ἀσφαλὲς ἦν ἴσως πορεύεσθαι παρὰ τὸν Ἀπόλλω εἰς Δελφούς,
ἅτε διγλώττῳ καὶ ἐπισταμένῳ τὰς φωνάς, εἴπερ ἁπάσας ἠπί- 304 R.
στατο, ἀλλὰ μὴ ὀλίγ' ἄττα· ὥσπερ οἱ δύο ἢ τρία Περσικὰ

reliqui. idem vidit Pflugk. ‖ 5. ἢ οὖν. sic dedi. idem voluit Pflugk., ἡ οὖν reliq. ‖ 6. τῇ ἵππου C. m, ἢ ἵππου reliq. ‖ δέ CM, δαί reliq. ‖ ἡ ἀνθρώπου. ἢ ἀνθρώπου M. ‖ τῇ θεοῦ C, ἢ θεοῦ reliq. ‖ 7. χρῆσθαι δύναταί τις C, τις om. BMA, τις χρῆσθαι δύναται reliq. ‖ 8. αὐτόν. αὐτὸν BM, αὐτὸ C. ‖ 9. ἀδύνατος—ἀγνοῶν om. C. — 22, 1. αὐτόν. αὐτὸν M. ‖ αὐτῷ. αὐτῷ M. ‖ δοκεῖ μοι BCM, om. reliq. ‖ 2. γνῶθι σαυτόν. γνωθεις αὐτον M. ‖ 3. ἔγωγε C. Reisk., ἐγώ reliq. ‖ 4. αὐτούς. αὐτοὺς M. ‖ 5. γὰρ οὔ. οὐ om. M, at in rasura. ‖ γιγνώσκεις. sic dedi. γινώσκει C, γινώσκεις reliq. ‖ 8. ὤν. ὢν M. ‖ ἐπιχειρεῖς. ἐπιχειρις M. — 23, 1. δέ. δαί B. ‖ 4. Σκάμανδρον παρ' ἐκείνοις Ξάνθον καλεῖσθαι C. Pflugk., Ξάνθον om. BM (corr. ξανθῶν), Ξάνθον, Σκάμανδρον παρ' ἐκείνοις καλεῖσθαι reliqui. conf. Il. 20, 74. ceterum idem error repetitur Orat. XI, 23. ‖ 5. καὶ τὴν κύμινδιν τὸ ὄρνεον χαλκίδα C, καὶ τὴν χαλκίδα ὄρνεον κύμινδιν reliq., τὸ ante ὄρνεον supplet Pflugkius. conf. Il. 14, 291 et Orat. XI, 23. ‖ 6. Βατίειαν. sic dedi. Βατιειάν M, βατίαν B, Βατίειαν Il. 2, 813, Βαττεῖαν reliq. ‖ 7. Μυρίνης M, μυῤῥίνης reliq. — 24, 2. ἴσως. ἴσας C. ‖ 3. διγλώττῳ καί. sic dedi. διγλωττω C, διὰ γλωττῶν reliq. ‖ φωνάς. φονάς B.

εἰδότες ῥήματα ἢ Μηδικὰ ἢ Ἀσσύρια τοὺς ἀγνοοῦντας ἐξα-
πατῶσιν. σὺ δὲ οὐ δέδοικας, μὴ ἄλλα τοῦ θεοῦ λέγοντος
ἄλλα διανοηθῇς; ὥσπερ οὖν φασι Λάϊον ἐκεῖνον, τὸν γενόμε-
νον Χρυσίππου ἐραστὴν, ὃς ἀφικόμενος εἰς Δελφοὺς ἐπηρώτα
τὸν θεὸν, ὅπως αὐτῷ ἔσοιντο παῖδες. ἔχρησεν οὖν μὴ γεννᾶν,
25 ἢ ἐκτιθέναι γεννήσαντα. οὕτω δὲ ἀνόητος ἦν ὁ Λάϊος, ὥστε
ἀμφότερα παρακοῦσαι τοῦ θεοῦ· καὶ γὰρ ἐγέννησε καὶ ἔθρε-
ψεν. ἔπειτα καὶ αὐτὸς ἀπώλετο καὶ πᾶς ὁ οἶκος αὐτοῦ, διότι
ἀδύνατος ὢν ἐπεχείρησε τῷ Ἀπόλλωνι χρῆσθαι. μὴ γὰρ ταῦ-
τα ἀκούσας τὸν Οἰδίποδα οὐκ ἂν ἐξέθηκεν. ὁ δὲ οἴκοι τρα-
φεὶς οὐκ ἂν ἀπέκτεινε τὸν Λάϊον, ἐπιστάμενος ὅτι αὐτοῦ
26 παῖς εἴη. καὶ τοίνυν τὰ περὶ Κροῖσον ἀκήκοας τὸν Λυδὸν,
ὃς ἡγούμενος πείθεσθαι τῷ θεῷ παντὸς μᾶλλον καὶ διαβὰς
τὸν ποταμὸν τὸν Ἅλυν τὴν ἀρχὴν ἀπέβαλε καὶ αὐτὸς ἐν
πέδαις ἐδέθη καὶ ὀλίγου κατεκαύθη ζῶν. ἢ σὺ οἴει φρονι-
μώτερος εἶναι Κροίσου, ἀνδρὸς οὕτω πλουσίου καὶ τοσούτων 150 M
ἀνθρώπων ἄρχοντος καὶ Σόλωνι συγγενομένου καὶ ἄλλοις
27 παμπόλλοις σοφισταῖς; τὸν δὲ Ὀρέστην καὶ αὐτὸν δήπου ὁρᾷς
ἐν ταῖς τραγῳδίαις ἐγκαλοῦντα τῷ θεῷ καὶ μεμφόμενον, ὁπότε
μαίνοιτο, ὡς συμβουλεύσαντος ἐκείνου τὴν μητέρα ἀποκτεῖ-
ναι. καίτοι νομίζεις τὸν Ἀπόλλωνα χαλεπόν τι ἢ αἰσχρὸν
προστάξαι τοῖς ἐρωτῶσιν αὐτόν; ἀλλ' ὅπερ εἶπον, χρῆσθαι
τῷ θεῷ ἀδύνατοι ὄντες, ἔπειτα ἐπιχειροῦντες, οὐχ αὐτοὺς, 305 R.
ἀλλ' ἐκεῖνον αἰτιῶνται. σὺ οὖν,* ἐάν μοι πεισθῇς, φυλάξῃ
καὶ πρότερον προθυμήσῃ γνῶναι σεαυτὸν, ἔπειτα φρονήσας,
28 ἐὰν δοκῇ σοι, τότε ἤδη μαντεύσῃ. ἐγὼ μὲν γὰρ οἶμαί σε

5. ἐξαπατῶσιν. ἐξαπατῶσι CM (corr. vulg.). ‖ 7. οὖν malim abesse. ‖ 10. ἢ C, ἀλλὰ M, ἀλλὰ καὶ reliq. ‖ ἐκτιθέναι. malim κτεῖναι. ἀποκτιννύναι Selden., quem probat Reisk.—25, 2. ἔθρεψεν. malim ἐξέθηκεν. totum locum sic constituit Upton. ad Arrian. p. 349, 8. μὴ γεννᾶν ἢ ἀποκτεῖναι καὶ μὴ ἐκτιθέναι, Geelius ita: ἢ μὴ γεννᾶν, ἢ μὴ ἀποκτείνειν γεννήσαντα, et infra καὶ γὰρ ἐγέννησε καὶ οὐκ ἔθρεψεν. ‖ 3. ἀπώλετο. ἀπώλλετο m. ‖ 4. ὢν. ὦν M. ‖ ἐπεχείρησε. ἐπεχείρισε BM. — 26, 1. ἀκήκοας. ἀκήκοα M. ‖ 2. πείθεσθαι. πίθεσθαι M. ‖ 3. Ἅλυν BM, Ἄλυν reliq. ‖ 5. οὕτω. οὕτως CM. — 27, 3. ὡς συμβουλεύσαντος. sic dedi. ὡς συμβουλευόμενος C, συμβουλεύσαντος reliq. ‖ 4. νομίζεις. μὴ νόμιζε CM. ‖ 6. ἐπιχειροῦντες. post hoc v. διαμαρτόντες excidisse suspicatur Reisk. ‖ οὐχ αὐτούς. οὐκ αὐτοὺς B. ‖ 7. πεισθῇς. πισθῇς M. ‖ φυλάξῃ. φυλάξει M. ‖ 8. προθυμηθήσῃ C, προθυμήσει M, προθυμήσῃ reliq. ‖ φρονήσας. συμφρονήσας Reisk. ‖ 9. δοκῇ. δοκεῖ (corr. vulg.) M. ‖ μαντεύσῃ. μαντεύσει M. — 28, 1. σε. σε καὶ B.

μηδὲν δεήσεσθαι μαντείας νοῦν ἔχοντα. καὶ γὰρ δὴ ὅρα, ἐὰν
σε κελεύσῃ γράφειν καὶ ἀναγιγνώσκειν ὀρθῶς μὴ γραμματι-
κὸν ὄντα, οὐ δυνήσῃ· γράμματα δὲ εἰδώς, καὶ μὴ τοῦ θεοῦ
κελεύοντος, κατὰ τρόπον γράψεις καὶ ἀναγνώσῃ. ὁμοίως δὲ
ἄλλο ὁτιοῦν πράττειν, ἐὰν συμβουλεύσῃ σοι μὴ ἐπισταμένῳ,
οὐχ οἷός τε ἔσῃ. καὶ ζῆν ὀρθῶς οὐ δυνήσῃ μὴ ἐπιστάμενος,
οὐδ' ἂν κατὰ τὴν ἡμέραν ἑκάστην τὸν Ἀπόλλω ἐνοχλῇς καὶ
σοὶ μόνῳ σχολάζῃ. νοῦν δὲ ἔχων γνώσῃ ἀπὸ σεαυτοῦ, ὅ τι
29 σοὶ πρακτέον ἐστὶ καὶ ὅπως. ὃ δὲ ἔλαθε περὶ τοῦ Οἰδίποδος
εἰπεῖν, ὅτι εἰς Δελφοὺς μὲν οὐκ ἦλθε μαντευσόμενος, τῷ δὲ
Τειρεσίᾳ συμβαλὼν μεγάλα κακὰ ἀπέλαυσε τῆς ἐκείνου μαν-
τικῆς διὰ τὴν αὐτοῦ ἄγνοιαν. ἔγνω γάρ, ὅτι τῇ μητρὶ συνε-
γένετο καὶ παῖδές εἰσιν αὐτῷ ἐξ ἐκείνης, καὶ μετὰ ταῦτα, δέον
ἴσως κρύπτειν τοῦτο ἢ ποιῆσαι νόμιμον τοῖς Θηβαίοις, πρῶ-
τον μὲν πᾶσιν ἐποίησε φανερόν, ἔπειτα ἠγανάκτει καὶ ἐβόα
μεγάλα, ὅτι τῶν αὐτῶν πατήρ ἐστι καὶ ἀδελφὸς καὶ τῆς αὐ-
30 τῆς γυναικὸς ἀνὴρ καὶ υἱός. οἱ δὲ ἀλεκτρυόνες οὐκ ἀγανα-
κτοῦσιν ἐπὶ τούτοις οὐδὲ οἱ κύνες οὐδὲ τῶν ὄνων οὐδεὶς οὐδὲ
οἱ Πέρσαι· καίτοι δοκοῦσι τῶν κατὰ τὴν Ἀσίαν ἄριστοι.
πρὸς δὲ τούτοις ἐτύφλωσεν αὑτόν· ἔπειτα ἠλᾶτο τετυφλωμέ- 151 M.
νος, ὥσπερ οὐ δυνάμενος βλέπων πλανᾶσθαι. καὶ ὃς ἀκού- 306 R.
σας ἔφη· σὺ μέν, ὦ Διόγενες, ἀναισθητότατον ἁπάντων ἀν-
θρώπων ἀποφαίνεις τὸν Οἰδίπουν, οἱ δὲ Ἕλληνες οἴονται
οὐκ εὐτυχῆ μὲν γενέσθαι ἄνθρωπον, συνετὸν δὲ πάντων μά-
31 λιστα· μόνον γοῦν αὐτὸν λῦσαι τὸ αἴνιγμα τῆς Σφιγγός. καὶ
ὁ Διογένης γελάσας· μὴ γάρ, ἔφη, ἐκεῖνος ἔλυσε τὸ αἴνιγμα;
οὐκ ἀκήκοας, ὅτι ἄνθρωπον αὐτὸν ἐκέλευσε γνῶναι ἡ Σφίγξ;
ὁ δὲ ἄνθρωπον μέν, ὅ ἐστιν, οὔτε εἶπεν οὔτε ἔγνω, τὸ δὲ
ὄνομα τὸ τοῦ ἀνθρώπου λέγων ᾤετο λέγειν τὸ ἐρωτώμενον·

2. μαντείας. μαντίας M. ‖ γὰρ δή. γὰρ νὴ Δία Geel. ‖ 3. σε. σοι B. ‖ κελεύσῃ. κε-
κεύσει M. ‖ μὴ C. Reisk., μὴ καὶ Pflugk., καὶ μὴ reliqui, quod defendit Iacobs.
Add. p.157. ‖ 4. δυνήσῃ. δυνήσει M. ‖ 5. ἀναγνώσῃ. ἀναγνώσει M. ‖ 6. συμβουλεύσῃ
σοι. συμβουλεύοις οἱ M. ‖ 7. δυνήσῃ. δυνήσει M. ‖ 8. τόν. καὶ τὸν B. ‖ ἐνοχλῇς.
ἐνοχλεῖς M. ‖ 9. γνώσῃ. γνώσεις M. — 29, 1. ἔλαθε. ἔλαθεν M, malim ἔλαθέ με
cum Geelio et Pflugkio; at praeterea nihil mutandum est. ‖ 4. ἄγνοιαν. ἄνοιαν
Iacobs. ‖ 6. τοῦτο. τοῦτον M. — 30, 4. αὑτόν. sic dedi. αὐτόν reliq. ‖ ἠλᾶτο.
ἥλατο. M. — 31, 2. μὴ γάρ. ἦ γὰρ Pflugk. ‖ 3. ἀκήκοας. ἀκηκοὼς m. ‖ ἐκέλευσε.
ἐκέλευε C, ἐκέλευεν (corr. vulg.) M. ‖ 4. οὔτε CM, οὔτ' reliq. ‖ 5. τὸ τοῦ BCM, τὸ
om. reliq. ‖ τὸ ἐρωτώμενον BCMA. r, τὸ om. vm.

Digitized by Google

ὥσπερ εἴ τις ἐρωτηθεὶς, τί ἐστι Σωκράτης; ὁ δὲ μηδὲν εἴποι
πλέον τοῦ ὀνόματος, ὅτι Σωκράτης. ἐγὼ δὲ ἤκουσα τοῦ λέγον-
32 τος, ὅτι ἡ Σφὶγξ ἡ ἀμαθία ἐστίν. ταύτην οὖν καὶ πρότερον
διαφθεῖραι τοὺς Βοιωτοὺς καὶ νῦν, οὐδὲν αὐτοὺς ἐῶσαν εἰ-
δέναι, ἅτε ἀνθρώπων ἀμαθεστάτους. τοὺς μὲν οὖν ἄλλους
μᾶλλόν τι αἰσθάνεσθαι τῆς αὑτῶν ἀνοίας, τὸν δὲ Οἰδίποδα,
[ὅσῳ] σοφώτατον ἡγησάμενον αὑτὸν εἶναι καὶ διαπεφευγέναι
τὴν Σφίγγα καὶ πείσαντα τοὺς ἄλλους Θηβαίους, τοσούτῳ
κάκιστα ἀπολέσθαι. ὅσοι γὰρ ἂν ἀμαθεῖς ὄντες πεισθῶσι 301 R.
σοφοὶ εἶναι, οὗτοι πολύ εἰσιν ἀθλιώτεροι τῶν ἄλλων ἁπάν-
των· καί ἐστι τοιοῦτον τὸ τῶν σοφιστῶν γένος.

ΛΟΓΟΣ ια.

ΤΡΩΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΙΛΙΟΝ ΜΗ ΑΛΩΝΑΙ.

1 Οἶδα μὲν ἔγωγε σχεδὸν, ὅτι διδάσκειν μὲν ἀνθρώπους
ἅπαντας χαλεπόν ἐστιν, ἐξαπατᾶν δὲ ῥᾴδιον· καὶ μανθάνουσι
μὲν μόγις, ἐάν τι καὶ μάθωσι, παρ' ὀλίγων τῶν εἰδότων,
ἐξαπατῶνται δὲ τάχιστα ὑπὸ πολλῶν τῶν οὐκ εἰδότων, καὶ οὐ
μόνον γε ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοὶ ὑφ' αὑτῶν. τὸ
μὲν γὰρ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ δὲ
2 ψεῦδος γλυκὺ καὶ προσηνές. ὥσπερ γε οἶμαι καὶ τοῖς νοσοῦσι
τὰ ὄμματα τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν, τὸ δὲ σκότος ἄλυπον καὶ 152 M.
φίλον, οὐκ ἐῶν βλέπειν. ἢ πῶς ἂν ἴσχυε τὰ ψεύδη πολλάκις
πλέον τῶν ἀληθῶν, εἰ μὴ δι' ἡδονὴν ἐνίκα; χαλεποῦ δὲ, ὡς ἔφην,
ὄντος τοῦ διδάσκειν, τῷ παντὶ χαλεπώτερον τὸ μεταδιδάσκειν,

7. ὅτι BCM (corr. ἢ ὅτι). A, ἢ ὅτι reliq. ‖ ἤκουσα τοῦ C, τοῦ om. reliq. — 32, 2. αὐτούς. ἑαυτοὺς M. ‖ ἐῶσαν C. r, ἐῶσα BM. vm. ‖ 5. [ὅσῳ] om. CM. ‖ ἡγησάμενον αὑτὸν. sic dedi. ἡγησάμενος αὐτὸν C, ἡγησάμενοι B, ἡγησάμενον reliq., Reiskius ὅσῳ ἡγήσατο et ἔπεισε ταὐτὰ (pro ἡγησάμενον et πείσαντα). ‖ 6. τοσούτῳ. τοῦτο C.

Orat. XI. Collati sunt BM. — 2, 3. ἤ. ἢ B. ‖ ἴσχυε M (corr. ἴσχυον), ἰσχοῖεν B, ἴσχυον reliq. ‖ 4. πλέον τῶν Obs. p. 22, τῶν B, ὄντων reliq.

ἄλλως τε ὅταν πολὺν τινες χρόνον ὦσι τὰ ψευδῆ ἀκηκοότες καὶ
μὴ μόνον αὐτοὶ ἐξηπατημένοι, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν καὶ οἱ
3 πάπποι καὶ σχεδὸν πάντες οἱ πρότερον. οὐ γάρ ἐστι ῥᾴδιον τού-
των ἀφελέσθαι τὴν δόξαν, οὐδ' ἂν πάνυ τις ἐξελέγχῃ. καθά-
περ οἶμαι τῶν τὰ ὑποβολιμαῖα παιδάρια θρεψάντων χαλεπὸν
ὕστερον ἀφελέσθαι τἀληθῆ λέγοντα· ἅ γε ἐν ἀρχῇ εἴ τις 305 R.
αὐτοῖς ἔφρασεν, οὐκ ἄν ποτε ἀνείλοντο. οὕτω δὲ τοῦτο
ἰσχυρόν ἐστιν, ὥστε πολλοὶ τὰ κακὰ μᾶλλον προσποιοῦνται
καὶ ὁμολογοῦσι καθ' αὐτῶν, ἂν ὦσι πεπεισμένοι πρότερον, ἢ
4 τἀγαθὰ μετὰ χρόνον ἀκούοντες. οὐκ ἂν οὖν θαυμάσαιμι
καὶ ὑμᾶς, ἄνδρες Ἰλιεῖς, εἰ πιστότερον ἡγήσαισθε Ὅμηρον τὰ
χαλεπώτατα ψευσάμενον καθ' ὑμῶν ἢ ἐμὲ τἀληθῆ λέγοντα,
κἀκεῖνον μὲν ὑπολαβεῖν θεῖον ἄνδρα καὶ σοφὸν, καὶ τοὺς
παῖδας εὐθὺς ἐξαρχῆς τὰ ἔπη διδάσκειν οὐδὲν ἄλλο ἢ κατάρας
ἔχοντα κατὰ τῆς πόλεως, καὶ ταύτας οὐκ ἀληθεῖς· ἐμοῦ δὲ
μὴ ἀνέχοισθε τὰ ὄντα καὶ γενόμενα λέγοντος, ὅτι πολλοῖς
5 ἔτεσιν ὕστερον Ὁμήρου γέγονα. καίτοι φασὶ μὲν οἱ πολλοὶ
τὸν χρόνον τῶν πραγμάτων καὶ κριτὴν ἄριστον εἶναι· ὅτι δ'
ἂν ἀκούωσι μετὰ πολὺν χρόνον, διὰ τοῦτο ἄπιστον νομίζου-
σιν. εἰ μὲν οὖν παρ' Ἀργείοις ἐτόλμων ἀντιλέγειν Ὁμήρῳ
καὶ τὴν ποίησιν αὐτοῦ δεικνύναι ψευδῆ περὶ τὰ μέγιστα, τυ-
χὸν ἂν εἰκότως ἤχθοντό μοι καὶ τῆς πόλεως ἐξέβαλλον, εἰ τὴν
ὑπὲρ ἐκείνων δόξαν ἐφαινόμην ἀφανίζων καὶ καθαιρῶν· ὑμᾶς
δὲ δίκαιόν ἐστί μοι χάριν εἰδέναι καὶ ἀκροᾶσθαι προθύμως·
6 ὑπὲρ γὰρ τῶν ὑμετέρων προγόνων ἐσπούδακα. προλέγω δὲ
ὑμῖν, ὅτι τοὺς λόγους τούτους ἀνάγκη καὶ παρ' ἑτέροις ῥηθῆ-
ναι καὶ πολλοὺς πυθέσθαι· τούτων δὲ οἱ μέν τινες οὐ συνή- 153 M
σουσιν, οἱ δὲ προσποιήσονται καταφρονεῖν, οὐ καταφρονοῦν- 309 R
τες αὐτῶν, οἱ δέ τινες ἐπιχειρήσουσιν ἐξελέγχειν, μάλιστα δὲ
οἶμαι τοὺς κακοδαίμονας σοφιστάς. ἐγὼ δὲ ἐπίσταμαι σαφῶς,

6. τινες. τινα Geel. — 3, 5. ἀνείλοντο B. Obs. p. 22, ἀνέλοιντο M (corr. ἕλοιντο). var. l. v, ἕλοιντο reliq. — 4, 2. ἡγήσαισθε Reisk., ἡγήσασθε BM (corr. ἡγήσεσθε) vmr, ἡγήσεσθε Rhodom. ‖ 4. ὑπολαβεῖν. ὑπολάβοιτε et infra διδάσκοιτε Reisk. — 5, 2. καὶ delet Reiskius. ‖ 4. παρ'. παρὰ M. ‖ 5. δεικνύναι M, δεικνῦναι reliq. ‖ 6. ἐξέβαλλον corr. BM, ἐξέβαλον reliq. ‖ 7. ὑπὲρ Obs. p. 22, πάτριον Reisk., παρ' reliq. ‖ ἐκείνων. ἐκείνου (servato παρ') Geel. ‖ 8. δὲ in M a corr. add. — 6, 2. καὶ παρ' BM, καὶ om. reliq. ‖ 5. αὐτῶν. αὐτὸν m. ‖ 6. σοφιστάς. post hoc v. deesse τοῦτο ποιήσειν suspicatur Reisk.

ὅτι οὐδὲ ὑμῖν πρὸς ἡδονὴν ἔσονται. οἱ γὰρ πλεῖστοι τῶν ἀν-
θρώπων οὕτως ἄγαν εἰσὶν ὑπὸ δόξης διεφθαρμένοι τὰς ψυ-
χὰς, ὥστε μᾶλλον ἐπιθυμοῦσι περιβόητοι εἶναι ἐπὶ τοῖς μεγί-
7 στοις ἀτυχήμασιν ἢ μηδὲν κακὸν ἔχοντες ἀγνοεῖσθαι. αὐτοὺς
γὰρ οἶμαι τοὺς Ἀργείους μὴ ἂν ἐθέλειν ἄλλως γεγονέναι τὰ
περὶ τὸν Θυέστην καὶ τὸν Ἀτρέα καὶ τοὺς Πελοπίδας, ἀλλ'
ἄχθεσθαι σφόδρα, ἐάν τις ἐξελέγχῃ τοὺς μύθους τῶν τρα-
γῳδῶν λέγων, ὅτι οὔτε Θυέστης ἐμοίχευσε τὴν τοῦ Ἀτρέως
οὔτε ἐκεῖνος ἀπέκτεινε τοὺς τοῦ ἀδελφοῦ παῖδας οὔτε κατα-
κόψας εἱστίασε τὸν Θυέστην, οὐδὲ Ὀρέστης αὐτόχειρ ἐγένετο
τῆς μητρός. ἅπαντα ταῦτα εἰ λέγοι τις, χαλεπῶς ἂν φέροιεν
8 ὡς λοιδορούμενοι. τὸ δὲ αὐτὸ τοῦτο κἂν Θηβαίους οἶμαι
παθεῖν, εἴ τις τὰ παρ' αὐτοῖς ἀτυχήματα ψευδῆ ἀποφαίνοι,
ὡς οὔτε τὸν πατέρα Οἰδίπουν ἀποκτείναντα οὔτε τῇ μητρὶ
συγγενόμενον οὔτε αὑτὸν τυφλώσαντα οὔτε τοὺς παῖδας αὐ-
τοῦ πρὸ τοῦ τείχους ἀποθανόντας ὑπ' ἀλλήλων [οὔθ' ὡς ἡ
Σφὶγξ ἀφικομένη κατεσθίοι τὰ τέκνα αὐτῶν ἐπιδεικνύοι].
ἀλλὰ τοὐναντίον ἥδονται ἀκούοντες καὶ τὴν Σφίγγα ἐπιπεμ-
φθεῖσαν αὐτοῖς διὰ χόλον Ἥρας καὶ τὸν Λάϊον ὑπὸ τοῦ υἱέος
ἀναιρεθέντα καὶ τὸν Οἰδίπουν ταῦτα ποιήσαντα καὶ παθόντα
9 τυφλὸν ἀλᾶσθαι, καὶ πρότερον ἄλλου βασιλέως αὐτῶν καὶ
τῆς πόλεως οἰκιστοῦ, Ἀμφίονος, τοὺς παῖδας ἀνθρώπων καλ-
λίστους γενομένους κατατοξευθῆναι ὑπὸ Ἀπόλλωνος καὶ Ἀρ- 310 R.
τέμιδος· καὶ ταῦτα καὶ αὐλούντων καὶ ᾀδόντων ἀνέχονται
παρ' αὐτοῖς ἐν τῷ θεάτρῳ καὶ τιθέασιν ἆθλα περὶ τούτων,
ὃς ἂν οἰκτρότατα εἴπῃ περὶ αὐτῶν ἢ αὐλήσῃ, τὸν δὲ εἰπόντα,
10 ὡς οὐ γέγονεν οὐδὲν αὐτῶν, ἐκβάλλουσιν. εἰς τοῦτο μανίας
οἱ πολλοὶ ἐληλύθασι καὶ οὕτω πάνυ ὁ τῦφος αὐτῶν κεκρά-
τηκεν. ἐπιθυμοῦσι γὰρ ὡς πλεῖστον ὑπὲρ αὐτῶν γίγνεσθαι
λόγον, ὁποῖον δέ τινα, οὐθὲν μέλει αὐτοῖς. ὅμως δὲ πάσχειν 134 M.

10. ἔχοντες B. Reisk., ἔχοντας reliq. — 7, 2. μὴ BM, μηδ' reliq. ‖ 4. τραγῳδῶν BM, τραγῳδιῶν reliq. — 8, 1. κἂν. sic dedi. καὶ reliq. ‖ 3. ὡς. καὶ Reisk. ‖ μητρὶ BM, μητέρι reliq. ‖ 4. αὑτὸν M, αὐτὸν reliq. ‖ 5. [οὔθ' ὡς—ἐπιδεικνύοι] interpolatoris esse videntur. ‖ 6. ἐπιδεικνύοι om. BM (addit mrg.). A, ἐπιδεικνύων Rhodom. ‖ 7. Σφίγγα. φίγγα M. — 9, 4. ταῦτα καὶ BM (at καὶ obel. notat.), ταῦτα reliq. ‖ 5. αὐτοῖς. αὑτοῖς M. ‖ 6. εἴπῃ BM, εἴποι reliq. — 10, 2. οὕτω. οὕτως M. ‖ τῦφος M, τύφος reliq. ‖ 4. οὐθὲν. οὐδὲν B. ‖ ὅμως δέ. ὅλως δὲ (corr. vulg.) M, posuit ὥστε.

μὲν οὐ θέλουσι τὰ δεινὰ διὰ δειλίαν, φοβούμενοι τούς τε
θανάτους καὶ τὰς ἀλγηδόνας, ὡς δὲ παθόντες μνημονεύεσθαι
11 περὶ πολλοῦ ποιοῦνται. ἐγὼ δὲ οὔθ' ὑμῖν χαριζόμενος οὔθ'
Ὁμήρῳ διαφερόμενος οὐδὲ τῆς δόξης φθονῶν ἐκείνῳ πειράσο-
μαι δεικνύειν, ὅσα μοι δοκεῖ ψευδῆ εἰρηκέναι περὶ τῶν ἐνθάδε
πραγμάτων, οὐκ ἄλλοθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς ποιήσεως
ἐλέγχων, τῷ τε ἀληθεῖ βοηθῶν καὶ μάλιστα διὰ τὴν Ἀθηνᾶν,
ὅπως μὴ δοκῇ ἀδίκως διαφθεῖραι τὴν αὑτῆς πόλιν μηδὲ ἐναν-
τία βούλεσθαι τῷ αὑτῆς πατρί, οὐχ ἧττον δὲ διὰ τὴν Ἥραν
12 καὶ τὴν Ἀφροδίτην. δεινὸν γάρ, τὴν μὲν τῷ Διὶ συνοῦσαν
μὴ νομίσαι κριτὴν ἱκανὸν τοῦ αὑτῆς εἴδους, εἰ μὴ ἀρέσαι καὶ 311 R
τῶν ἐν Ἴδῃ βουκόλων ἑνί, τὴν δὲ ἀρχὴν ὑπὲρ κάλλους ἐρίζειν
τῇ Ἀφροδίτῃ πρεσβυτάτην φάσκουσαν εἶναι τῶν Κρόνου
παίδων, ὡς αὐτὸς Ὅμηρος ἀπήγγειλε ποιήσας,

καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,

13 ἔτι δὲ οὕτω χαλεπῶς διατεθῆναι πρὸς τὸν Πάριν, αὐτὴν ἐπι-
τρέψασαν τὴν κρίσιν· καίτοι οὐδὲ τῶν ἀνθρώπων ὃς ἂν ἐπι-
τρέψῃ δίαιταν ἐχθρὸν ἡγεῖται τὸν διαιτητήν, ἐὰν μὴ δικάσῃ
καθ' ἑαυτόν· τὴν δέ γε Ἀφροδίτην οὕτως αἰσχρὰν καὶ ἄδικον
καὶ ἀσύμφορον δοῦναι δωρεὰν καὶ μηδένα ποιήσασθαι λόγον
μήτε τῆς Ἑλένης ἀδελφῆς οὔσης μήτε τοῦ Ἀλεξάνδρου τοῦ
προκρίναντος αὐτήν, ἀλλὰ χαρίζεσθαι τοιοῦτον γάμον, δι'
ὃν αὐτός τε ἔμελλεν ἀπόλλυσθαι καὶ οἱ γονεῖς αὐτοῦ καὶ ἡ
14 πόλις. ἔτι δὲ οὐκ ἄξιον οἶμαι παριδεῖν οὐδὲ τὸ τῆς Ἑλένης,
ἣ τοῦ Διὸς λεγομένη θυγάτηρ διὰ μὲν τὴν ἄδικον φήμην περι-
βόητος ἐπ' αἰσχύνῃ γέγονε, διὰ δὲ τὴν αὑτῆς ἰσχὺν θεὸς ἐνο-
μίσθη παρὰ τοῖς Ἕλλησιν. ἀλλ' ὅμως ὑπὲρ τηλικούτων ὄντος
τοῦ λόγου τινὲς τῶν σοφιστῶν ἀσεβεῖν με φήσουσιν Ὁμήρῳ
ἀντιλέγοντα καὶ ἐπιχειρήσουσι διαβάλλειν πρὸς τὰ δύστηνα 155 M

6. ὡς. κακῶς Iacobs. ‖ παθόντες Reisk., παθόντας reliq. — 11, 3. δεικνύειν BM, δεικνύναι reliq. ‖ δοκεῖ. δοκεῖν v. ‖ 6. δοκῇ ἀδίκως. ἀδίκως δοκῇ B. ‖ πόλιν. πόλεσιν v. ‖ 7. αὐτῆς. αὑτῆς M. ‖ Ἥραν. ὥραν B. — 12, 2. κριτὴν BMA. r, κρατὴν v, κρατεῖν m. Reiskius ante κριτὴν excidisse suspicatur τὸν Δία vel αὐτόν. ‖ τοῦ αὑτῆς εἴδους. τὸ αὑτῆς εἶδος mrg. m. ‖ 6. τέκετο. τέτοκε B. — 13, 1. αὐτήν. αὐτῷ m. ‖ 3. δίαιταν M. Rhodom., διαιτᾶν reliq. ‖ 8. ἔμελλεν BM, ἤμελλεν reliq. — 14, 3. αὑτῆς. αὐτῆς M, Λήδας Geelius ingeniose. ‖ ἰσχὺν BM (mrg. αἰσχύνην), εὐσχημοσύνην Iacobs., σωφροσύνην Obs. p. 22, αἰσχύνην reliqui, quod servat Geel.

15 μειράκια, ὧν ἐμοὶ ἐλάττων λόγος ἐστὶν ἢ πιθήκων. πρῶτον
μὲν οὖν φασι τὸν Ὅμηρον ὑπὸ πενίας τε καὶ ἀπορίας προσαι-
τεῖν ἐν τῇ Ἑλλάδι, τὸν δὲ τοιοῦτον ἀδύνατον ἡγοῦνται ψεύ-
σασθαι πρὸς χάριν τῶν διδόντων οὐδ᾽ ἂν τὰ τοιαῦτα λέγειν,
ὁποῖα ἔμελλεν ἐκείνοις καθ᾽ ἡδονὴν ἔσεσθαι· τοὺς δὲ νῦν
πτωχοὺς οὐδέν φασιν ὑγιὲς λέγειν, οὐδὲ μάρτυρα οὐδεὶς ἂν
ἐκείνων οὐδένα ποιήσαιτο ὑπὲρ οὐδενός, οὐδὲ τοὺς ἐπαίνους
16 τοὺς παρ᾽ αὐτῶν ἀποδέχονται ὡς ἀληθεῖς. ἴσασι γάρ, ὅτι 312 R.
πάντα θωπεύοντες ὑπ᾽ ἀνάγκης λέγουσιν. ἔπειτα δὲ εἰρήκασι
τοὺς μὲν ὡς πτωχῷ, τοὺς δὲ ὡς μαινομένῳ ἀπάρχεσθαι, καὶ
μᾶλλον οἴονται τοὺς τότε καταγνῶναι αὐτοῦ μανίαν τἀληθῆ
λέγοντος ἢ ψευδομένου. οὐ μὴν ὅσον γε ἐπὶ τούτοις ψέγω
Ὅμηρον· κωλύει γὰρ οὐθὲν ἄνδρα σοφὸν πτωχεύειν οὐδὲ μαί-
νεσθαι δοκεῖν· ἀλλ᾽ ὅτι κατὰ τὴν ἐκείνων δόξαν, ἣν ἔχουσι
περὶ Ὁμήρου καὶ περὶ τῶν τοιούτων, εἰκός ἐστι μηθὲν ὑγιὲς
17 εἶναι τῶν εἰρημένων ὑπ᾽ αὐτοῦ. οὐ τοίνυν οὐδὲ τόδε νομίζου-
σιν, οὐκ εἶναι ἐν τῇ Ὁμήρου φύσει τὸ ψεῦδος οὐδὲ ἀποδέχε-
σθαι αὐτὸν τὸ τοιοῦτον. πλεῖστα γοῦν τὸν Ὀδυσσέα πεποίηκε
ψευδόμενον, ὃν μάλιστα ἐπαινεῖ, τὸν δὲ Αὐτόλυκον καὶ ἐπιορ-
κεῖν φησι καὶ τοῦτ᾽ αὐτῷ παρὰ τοῦ Ἑρμοῦ δεδόσθαι. περὶ
δὲ θεῶν πάντες ὡς ἔπος εἰπεῖν ὁμολογοῦσι μηθὲν ἀληθὲς λέ-
γειν Ὅμηρον καὶ οἱ πάνυ ἐπαινοῦντες αὐτόν, καὶ τοιαύτας
ἀπολογίας πειρῶνται πορίζειν, ὅτι οὐ φρονῶν ταῦτ᾽ ἔλεγεν,
18 ἀλλ᾽ αἰνιττόμενος καὶ μεταφέρων. τί οὖν κωλύει καὶ περὶ
τῶν ἀνθρώπων αὐτὸν οὕτως εἰρηκέναι; ὅστις γὰρ περὶ θεῶν
οὐ φανερῶς τἀληθῆ φησιν, ἀλλὰ τοὐναντίον οὕτως, ὥστε τὰ
ψευδῆ μᾶλλον ὑπολαμβάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταῦτα 313 R.
μηδὲν ὠφελούμενος, πῶς ἂν περί γε ἀνθρώπων ὀκνήσειεν
ὁτιοῦν ψεῦδος εἰπεῖν; καὶ ὅτι μὲν πεποίηκεν ἀλγοῦντας τοὺς
θεοὺς καὶ στένοντας καὶ τιτρωσκομένους καὶ ἀποθνήσκοντας

15, 2. πενίας. προΐας v. ‖ 7. ἐκείνων οὐδένα BM. v, οὐδένα ἐκείνων A. m. — 16, 2. εἰρήκασι. malim εἰρηκότες deleto καὶ ante μᾶλλον. ‖ 3. ἀπάρχεσθαι. προσέρχεσθαι Reisk., ἀπαντᾶσθαι Iacobs., vulgatam comprobat Orat. VII, 83. ‖ 4. τἀληθῆ M, τἀληθῆ δὲ reliq. ‖ 5. λέγοντος M (λέγοντος οὐ προστεθείκασιν mg.), λέγοντος οὐ προστεθείκασιν (προστεθήκασιν B) reliq. ‖ ψέγω. ψεγῶν v, ψέγω τὸν Rhodom. — 17, 3. τὸ om. B, in M a corr. add. ‖ 4. ἐπαινεῖ. ἐπῄνει BM (corr. vulg.) ‖ 5. τοῦτ᾽ BM, τοῦτο reliq. — 18, 3. οὐ φανερῶς. φανερῶς οὐ Reisk. ‖ τά. τὰ εἰρημένα vel τὰ λεγόμενα Reisk., delet Geel.

Digitized by Google

σχεδὸν, ἔτι δὲ μοιχείας καὶ δεσμοὺς καὶ διεγγυήσεις θεῶν, 156 M
οὐ λέγω, πρότερον εἰρημένα πολλοῖς. οὐδὲ γὰρ βούλομαι
κατηγορεῖν Ὁμήρου, μόνον δ' ἐπιδεῖξαι τἀληθὲς, ὡς γέγονεν·
19 ἐπεί τοι καὶ ἀπολογήσομαι ὑπὲρ αὐτοῦ τὰ ἐμοὶ δοκοῦντα. ὅτι
δὲ τὸ ψεῦδος οὐκ ὤκνει πάντων μάλιστα οὐδὲ αἰσχρὸν ἐνό-
μιζε, τοῦτο λέγω· πότερον δὲ ὀρθῶς ἢ μὴ, παρίημι νῦν σκο-
πεῖν. ἀφεὶς οὖν ὅσα δοκεῖ δεινὰ πεποιηκέναι περὶ θεῶν καὶ
οὐ πρέποντα ἐκείνοις τοσοῦτό φημι μόνον, ὅτι λόγους οὐκ
ὤκνει τῶν θεῶν ἀπαγγέλλειν, οὕς φησιν αὐτοὺς διαλέγεσθαι
πρὸς αὐτοὺς, καὶ οὐ μόνον γε τοὺς ἐν κοινῷ γενομένους καὶ
παρατυγχανόντων ἁπάντων τῶν θεῶν, ἀλλὰ καὶ οὓς ἰδίᾳ
20 τινὲς διαλέγονται ἀλλήλοις· οἷον ὁ Ζεὺς τεθυμωμένος τῇ Ἥρᾳ
διὰ τὴν ἀπάτην καὶ τὴν ἧτταν τῶν Τρώων, καὶ πρότερον
Ἥρα πρὸς τὴν Ἀφροδίτην παρακαλοῦσα φαρμάξαι τὸν πατέρα
καὶ δοῦναι τὸ φίλτρον αὐτῇ, τὸν κεστὸν ἱμάντα, ὡς εἰκὸς ἐν
ἀποῤῥήτῳ τοῦτο ἀξιοῦσα. οὐδὲ γὰρ τῶν ἀνθρώπων εἰκὸς
ἄλλον τινὰ εἰδέναι τὰ τοιαῦτα, ἀνδρὸς καὶ γυναικὸς διαφερο- 314 R
μένων καὶ λοιδορούντων ἐνίοτε ἀλλήλους. καὶ τὸν μὲν Ὀδυσ-
σέα πεποίηκεν ἐπανορθούμενον τὸ τοιοῦτον, μὴ δόξῃ ἀλαζὼν
διηγούμενος τοὺς παρὰ τοῖς θεοῖς γενομένους ὑπὲρ αὑτοῦ
λόγους. ἔφη γὰρ ἀκοῦσαι τῆς Καλυψοῦς, ἐκείνην δὲ παρά
του πυθέσθαι· περὶ αὑτοῦ δὲ οὐδὲν τοιοῦτον εἴρηκεν, ὅτι
21 πύθοιτο παρὰ θεοῦ τινος. οὕτω πάνυ κατεφρόνει τῶν ἀν-
θρώπων καὶ οὐθὲν αὐτῷ ἔμελεν, εἰ δόξει μηθὲν λέγειν ἀλη-
θές. [οὐ γὰρ δὴ πείσειν γε ἐνόμιζέ τινα, ὡς ἐπίσταιτο τοὺς
παρὰ τοῖς θεοῖς γενομένους ὑπὲρ αὑτοῦ λόγους. ἔφη γὰρ

8. δεσμούς. δεσμὰ M. ‖ 10. ἐπιδεῖξαι BM (corr. ἔστι δεῖξαι). A. r, ἔστι δεῖξαι reliq. ‖ ὡς BMA. r, ὡς οὐ vm. ‖ 11. τοι καὶ BM, καὶ om. reliq. ‖ ὑπέρ. περὶ (corr. vulg.) M. — 19, 2. ὤκνει BMA. r, ὄκνει vm. ‖ 3. λέγω Reisk., λέγων reliq. ‖ 4. δοκεῖ δεινὰ BM, δεινὰ δοκεῖ reliq. ‖ 5. ἐκείνοις Reisk., ἐκείνῳ reliq. ‖ τοσοῦτό BMA, τοῦτό reliq. ‖ 6. ὤκνει BMA. Rhodom. r, ὄκνει vm. ‖ 7. γε om. B. ‖ γενομένους BM, γινομένους reliq. ‖ 8. τῶν in M a corr. add. — 20, 7. καὶ τὸν μὲν M (at μὲν obel. notat.), καίτοι μὲν Relsk., καὶ τὸν reliq. ‖ 8. τοιοῦτον. τοιοῦτο B. ‖ 9. αὑτοῦ. αὐτοῦ M. ‖ 10. παρά του. παρὰ τοῦ θεοῦ Rhodom., παρὰ τοῦ Ἑρμοῦ Reisk. ‖ 12. πύθοιτο παρὰ θεοῦ BM, παρὰ θεοῦ πύθοιτο reliq. — 21, 3. [οὐ γὰρ — ἔπεισεν] iure suspecta Rhodomanno. Pflugkius haec ita emendatum ibat: εἰ γὰρ δὴ πείσειν γε ἐνόμιζέ τινα, ὡς ἐπίσταιτο τοὺς παρὰ τοῖς θεοῖς γενομένους λόγους, ἔφη ἂν ἀκοῦσαι ἅπαντα καὶ οὐκ ἂν τοὺς πολλοὺς ἔδεισε. ‖ 4. αὑτοῦ. αὐτου M.

ἀκοῦσαι ἅπαντα καὶ τοὺς πολλοὺς ἔπεισεν.] διηγεῖται δὲ καὶ
τὴν συνουσίαν τὴν τοῦ Διὸς πρὸς τὴν Ἥραν ἐν τῇ Ἴδῃ γενο-
μένην καὶ τοὺς λόγους, οὓς εἶπε πρὸ τῆς συνουσίας, ὡς αὐτὸς
ἑωρακώς τε καὶ ἀκηκοὼς, καὶ οὐδὲν αὐτὸν ἐκώλυσεν ὡς
ἔοικε τὸ νέφος, ὃ περιεκάλυψεν ὁ Ζεὺς τοῦ μὴ φανερὸς γενέ-
22 σθαι. τούτοις δὲ ἐπέθηκε τὸν κολοφῶνα σχεδόν· ἵνα γὰρ
μὴ ἀπορῶμεν, ὅπως ξυνίει τῶν θεῶν, οὕτω διαλέγεται ἡμῖν
σχεδὸν ὡς ἔμπειρος τῆς τῶν θεῶν γλώττης, καὶ ὅτι οὐχ ἡ 157 M.
αὐτή ἐστι τῇ ἡμετέρᾳ οὐδὲ τὰ αὐτὰ ὀνόματα ἐφ᾽ ἑκάστῳ 315 R.
λέγουσιν, ἅπερ καὶ ἡμεῖς. ἐνδείκνυται δὲ ταῦτα ἐπὶ ὀρνέου
τινὸς, ὅ φησι τοὺς μὲν θεοὺς χαλκίδα καλεῖν, τοὺς δὲ ἀνθρώ-
πους κύμινδιν, καὶ ἐπὶ τόπου τινὸς πρὸ τῆς πόλεως, ὃν τοὺς
μὲν ἀνθρώπους Βατίειαν ὀνομάζειν, τοὺς δὲ θεοὺς Σῆμα
23 Μυρίνης. περὶ δὲ τοῦ ποταμοῦ φράσας ἡμῖν, ὅτι οὐ Σκά-
μανδρος ἀλλὰ Ξάνθος λέγοιτο παρὰ τοῖς θεοῖς, αὐτὸς οὕτως
ἤδη ἐν τοῖς ἔπεσιν ὀνομάζει, ὡς οὐ μόνον ἐξὸν αὐτῷ τὰς ἄλλας
γλώττας μιγνύειν τὰς τῶν Ἑλλήνων, καὶ ποτὲ μὲν αἰολίζειν
ποτὲ δὲ δωρίζειν ποτὲ δὲ ἰάζειν, ἀλλὰ καὶ διαστὶ διαλέγεσθαι.
ταῦτα δέ μοι εἴρηται, ὥσπερ ἤδη ἔφην, οὐ κατηγορίας ἕνεκεν,
ἀλλ᾽ ὅτι ἀνδρειότατος ἀνθρώπων ἦν πρὸς τὸ ψεῦδος Ὅμηρος,
καὶ οὐθὲν ἧττον ἐθάῤῥει καὶ ἐσεμνύνετο ἐπὶ τῷ ψεύδεσθαι ἢ
24 τῷ τἀληθῆ λέγειν. οὕτω γὰρ σκοποῦσιν οὐθὲν ἔτι φαίνεται

9. φανερός. φανερῶς B. — 22, 1. τούτοις—σχεδόν apud Rhodomannum uncis inclusa sunt. ‖ 2. ξυνίει BMA. Rhodom., ξενίει v, ξυνῇ mr. ‖ οὕτω. οὕτως M (at ς a corr. add.). ‖ 3. γλώττης. post hoc v. in A leguntur, quae BM. v. infra post v. ἐπιτέθεικεν inserunt (conf. adnotata ad § 24.) ὥσπερ γὰρ—πάλιν δὲ ἰάζοντα. haec excipiunt v. ἀλλὰ καὶ ἰαστὶ διαλέγεσθαι. καθάπερ οἶμαι cett. (conf. § 23). desunt igitur v. καὶ ὅτι οὐχ (§ 22)—ἰάζειν (§ 23). ‖ 4. ἡμετέρᾳ. ἡμέρα B. ‖ 7. ὅν. ὃ B. ‖ 8. Βατίειαν B. Rhodom. Il. 2, 813, βάτειαν M, Βάττειαν reliq. ‖ 9. Μυρίνης BM. Il. l. l., μυῤῥίνης reliq. — 23, 1. οὐ Σκάμανδρος ἀλλὰ Ξάνθος Rhodom., οὐ Ξάνθος ἀλλὰ Σκάμανδρος reliq. conf. Orat. X, 23. ‖ 2. οὕτως om. B, in M mrg. add. ‖ 3. ἔπεσιν. ἐπ᾽ ἔστιν M. ‖ 4. μιγνύειν. μηνύειν M. ‖ 5. διαστὶ Rhodom., ἰαστὶ BM (at litura ante primum ι), θιαστὶ v, ἰαστὶ reliq. ‖ διαλέγεσθαι. post hoc v. e Morelli coniectura in mr haec leguntur: καθάπερ οἶμαι θετταλίζοντα ἢ κρητίζοντα, οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα Θετταλῶν ἀκούσας. omittunt ista BM. v, at alio loco inserunt. conf. ad § 24. ‖ 6. ἤδη. δὴ BM. ‖ 7. ἀνθρώπων ἦν BM, ἀνθρώπων om. A, ἦν ἀνθρώπων reliq. conf. adnotata ad § 24. ‖ 8. οὐθὲν BMA, οὐχ reliq. ‖ τῷ. τὸ M. — 24, 1. οὕτω. post hoc v. leguntur in BM. v recte a Rhodomanno electa: μὲν γὰρ σκοποῦσι πάνυ σμικρὰ καὶ ὀλίγου ἄξια φαίνεται, ἃ ἐγώ φημι αὐτὸν ἐψεῦσθαι. τῷ γὰρ ὄντι ἀνθρώπινα ψεύσματα καὶ λίαν πιθανὰ πρὸς θείαν

παράδοξον οὐδὲ ἄπιστον τῶν ὑπ᾽ ἐμοῦ δεικνυμένων, ἀλλὰ 316 R
σμικρὰ καὶ ἀνθρώπινα ψεύσματα πρὸς θεῖα καὶ μεγάλα.
ἐπιχειρήσας γὰρ τὸν πόλεμον εἰπεῖν τὸν γενόμενον τοῖς Ἀχαιοῖς
πρὸς τοὺς Τρῶας, οὐκ εὐθὺς ἤρξατο ἀπὸ τῆς ἀρχῆς, ἀλλ᾽
ὅθεν ἔτυχεν· ὃ ποιοῦσι πάντες οἱ ψευδόμενοι σχεδὸν, ἐμπλέ-
κοντες καὶ περιπλέκοντες καὶ οὐθὲν βουλόμενοι λέγειν ἐφεξῆς·
ἧττον γὰρ κατάδηλοί εἰσιν· εἰ δὲ μὴ, ὑπ᾽ αὐτοῦ τοῦ πράγμα-
25 τος ἐξελέγχονται. τοῦτο δὲ ἰδεῖν ἐστι καὶ ἐν τοῖς δικαστη-
ρίοις καὶ ἄλλως γιγνόμενον, οἳ μετὰ τέχνης ψεύδονται. οἱ
δὲ βουλόμενοι τὰ γενόμενα ἐπιδεῖξαι, ὡς ξυνέβη ἕκαστον, οὕτως
ἀπαγγέλλουσι, τὸ πρῶτον πρῶτον καὶ τὸ δεύτερον δεύτερον
καὶ τἆλλα ἐφεξῆς ὁμοίως. ἓν μὲν οὖν τοῦτο αἴτιον τοῦ μὴ
κατὰ φύσιν ἄρξασθαι τῆς ποιήσεως, ἕτερον δὲ, ὅτι τὴν ἀρχὴν
αὐτῆς καὶ τὸ τέλος μάλιστα ἐπεβούλευσεν ἀφανίσαι καὶ ποιῆ-

καὶ ἀμήχανον φύσιν. πέρας δὴ ἐπιτέθεικεν. ὥσπερ γὰρ τοῖς βαρβάροις διαλέγονται οἱ δίγλωττοι καλούμενοι καὶ ἑρμηνεύοντες αὐτοῖς τὰ παρὰ ἡμῶν, οὕτως ὅμηρος ἡμῖν διαλέγεται (superscr. διαλέγονται M) τὰ παρὰ τῶν θεῶν ἑρμηνεύων, ὥσπερ ἐπιστάμενος τὴν θείαν διάλεκτον. πρῶτον μὲν (μὲν ὅτι M) οὐχ ἡ αὐτή ἐστι τῇ ἡμετέρᾳ, οὐδὲ τὰ αὐτὰ παρά τε ἡμῖν καὶ παρ᾽ ἐκείνοις ὀνόματα. ἔπειτα ἐξηγούμενος περί τινων, ὅπως οἱ θεοὶ νομίζουσιν. οἷον ὅτι τὴν χαλκίδα κύμινδιν οἱ θεοὶ καλοῦσι· τόπον δέ τινα πρὸ τῆς πόλεως βάττειαν (βάτειαν M) ὀνομαζόμενον σῆμα μυῤῥίνης (μυρίνης M). τὸ δὲ μῶλυ εἰπὼν ὅπως οἱ θεοὶ λέγουσιν, οὐκέτι προστίθησι τὸ παρὰ τοῖς ἀνθρώποις ὄνομα (sic etiam A), καὶ τὸν ποταμὸν εἰπὼν ὅτι οὐ σκάμανδρος ἀλλὰ ξάνθος ὀνομάζοιτο παρ᾽ αὐτοῖς, οὕτως ἤδη ἐν τοῖς ἔπεσι χρῆται, ὡς ἐξὸν αὐτῷ μὴ μόνον τὰς τῶν ἑλλήνων φωνὰς μιγνύειν, μὴ δὲ (μηδὲ MA) ταῖς σφόδρα ἀρχαίοις, ἀλλὰ καὶ τοῖς δαιμονίοις χρήσεσθαι (χρῆσθαι M) ὀνόμασι. καὶ ποτὲ μὲν αἰολίζοντα, ποτὲ δὲ δωρίζοντα, πάλιν δὲ ἰάζοντα διαλέγεσθαι, καθάπερ οἶμαι θετταλίζοντα ἢ κρητίζοντα. οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα, θετταλῶν ἀκούσας. ταῦτα δέ μοι εἴρηται, ὥσπερ ἤδη ἔφην, οὐ κατηγορίας ἕνεκεν, ἀλλ᾽ ὅτι ἀνδρειότατος ἦν ἀνθρώπων πρὸς τὸ ψεῦδος Ὅμηρος· καὶ οὐχ ἧττον ἐθάῤῥει καὶ ἐσεμνύνετο ἐπὶ τῷ ψεύδεσθαι, ἢ τῷ τἀληθῆ λέγειν. horum obelo notata sunt in M verba πέρας δὲ — τἀληθῆ λέγειν. sequuntur v. οὕτω γὰρ σκοποῦσιν cett. ‖ οὕτω — καὶ μεγάλα. haec in A sic scripta sunt, ut in antecedente adnotat. leguntur. idem verbis ἀμήχανον φύσιν subiicit πέρας δὲ ἐπιτέθεικεν. pergit ἐπιχειρήσας γὰρ cett. ‖ φαίνεται M. v, φανεῖται Iacobs. Add. p. 28, φαίνηται reliq. ‖ 3. ἀνθρώπινα. ἀνθρώπια M, ἀνθρώπεια reliq. conf. adnot. ad § 24. ‖ 4. τοῖς BM (corr. ὑπ᾽). Obs. p. 22, ὑπ᾽ reliq. ‖ 8. εἰ δὲ. εἴ γε M. — 25, 2. ἄλλως. ἄλλοις M. Rhodom. ‖ οἷ. ὅπου m, οὗ Obs. p. 23, ᾗ Iacobs., ὅσοι Pflugk., excidisse quaedam suspicatur Geel., malim iam ὅτε. ‖ 4. πρῶτον πρῶτον. alterum in M a corr. addit. ‖ δεύτερον a corr. addit. in M. ‖ 5. τἆλλα. τὰ ἄλλα M. ‖ μὲν οὖν B, οὖν om. reliq. ‖ 7. ποιῆσαι. ἐμποιῆσαι Reisk.

26 σαι τὴν ἐναντίαν δόξαν ὑπὲρ αὐτῶν. ὅθεν οὔτε τὴν ἀρ- 317 R. 158 M.
χὴν οὔτε τὸ τέλος ἐτόλμησεν εἰπεῖν ἐκ τοῦ εὐθέος οὐδὲ
ὑπέσχετο ὑπὲρ τούτων οὐδὲν ἐρεῖν, ἀλλ' εἴ που καὶ μέμνη-
ται, παρέργως καὶ βραχέως, καὶ δῆλός ἐστιν ἐπιταράττων.
οὐ γὰρ ἐθάῤῥει πρὸς αὐτὰ οὐδὲ ἐδύνατο ἐρεῖν ἑτοίμως.
συμβαίνει δὲ καὶ τοῦτο τοῖς ψευδομένοις ὡς τὸ πολύ γε,
ἄλλα μέν τινα λέγειν τοῦ πράγματος καὶ διατρίβειν ἐπ' αὐ-
τοῖς, ὅ τι δ' ἂν μάλιστα κρύψαι θέλωσιν, οὐ προτιθέμενοι
λέγουσιν οὐδὲ προσέχοντι τῷ ἀκροατῇ οὐδ' ἐν τῇ αὐτοῦ χώρᾳ
τιθέντες, ἀλλ' ὡς ἂν λάθοιεν μάλιστα, καὶ διὰ τοῦτο, καὶ
ὅτι αἰσχύνεσθαι ποιεῖ τὸ ψεῦδος καὶ ἀποκνεῖν προσιέναι πρὸς
27 αὐτὸ, ἄλλως τε ὅταν ᾖ περὶ τῶν μεγίστων. ὅθεν οὐδὲ τῇ
φωνῇ μέγα λέγουσιν οἱ ψευδόμενοι, ὅταν ἐπὶ τοῦτο ἔλθωσιν,
οἱ δέ τινες αὐτῶν βατταρίζουσι καὶ ἀσαφῶς λέγουσιν, οἱ δὲ
οὐχ ὡς αὐτοί τι εἰδότες, ἀλλ' ὡς ἑτέρων ἀκούσαντες. ὃς δ'
ἂν ἀληθὲς λέγῃ τι, θαῤῥῶν καὶ οὐδὲν ὑποστελλόμενος λέγει.
οὔτε οὖν τὰ περὶ τὴν ἁρπαγὴν τῆς Ἑλένης Ὅμηρος εἴρηκεν
ἐκ τοῦ εὐθέος οὐδὲ παῤῥησίαν ἄγων ἐπ' αὐτοῖς, οὔτε περὶ
τῆς ἁλώσεως τῆς πόλεως. καίτοι γὰρ, ὡς ἔφην, ἀνδρειότα-
τος ὢν ὑποκατεκλίνετο καὶ ἡττᾶτο, ὅτι ᾔδει τἀναντία λέγων 318 R.
τοῖς οὖσι καὶ τὸ κεφάλαιον αὐτὸ τοῦ πράγματος ψευδόμενος.
28 ἢ πόθεν μᾶλλον ἄρξασθαι ἔπρεπεν ἢ ἀπ' αὐτοῦ τοῦ ἀδική-
ματος καὶ τῆς ὕβρεως τοῦ Ἀλεξάνδρου, δι' ἣν συνέστη ὁ πό-
λεμος, ἐπειδὴ συνωργίζοντο ἂν πάντες οἱ τῇ ποιήσει ἐντυγχά-
νοντες καὶ συνεφιλονείκουν ὑπὲρ τοῦ τέλους καὶ μηδεὶς ἠλέει
τοὺς Τρῶας ἐφ' οἷς ἔπασχον· οὕτω γὰρ εὐνούστερον καὶ
29 προθυμότερον ἕξειν ἔμελλε τὸν ἀκροατήν. εἰ δ' αὖ ἐβούλετο
τὰ μέγιστα καὶ φοβερώτατα εἰπεῖν, καὶ πάθη παντοδαπὰ καὶ

26, 3. που καί. καὶ om. M in rasura. ‖ 5. ἑτοίμως. ἐτύμως M. ‖ 6. τὸ πολύ BM, ἐπιτοπολύ reliq. ‖ 7. αὐτοῖς. post hoc v. ἄλλων δὲ βραχέως ἐφάπτεσθαι supplet Reisk. ‖ 8. ὅ τι δ' ἄν. sic dedi. ὃ δ' ἂν Obs. p. 23, ὅσ' ἂν Reisk., ὅταν reliq. ‖ οὐ προτιθέμενοι BM. Rhodom., ὡς οὐ προτιθέμενοι Geel., οὐ προστιθέμενοι reliq. ‖ 9. λέγουσι M, γε λέγουσι Obs. p. 23, δὲ λέγουσι reliq. ‖ οὐδ' ἐν τῇ αὐτοῦ r, οὐδὲν τῇ αὐτοῦ Rhodom., οὐδ' ἐν τῇ αὐτῇ BMA, οὐδὲν τῇ αὐτῇ vm. ‖ 11. προσιέναι. προσιέναι B, πρὸς εἶναι M (mrg. vulg.). ‖ 12. ἄλλως τε. ἀλλ' ὥστε M. ‖ ᾖ. ἦ M. — 27, 1. ὅθεν. οὐθὲν (mrg. vulg.) M. ‖ 2. λέγουσιν οἱ BM. Reisk., λέγουσι reliq. ‖ 3. οἱ δέ. οὐδὲ M. ‖ 5. ἀληθὲς BM, ἀληθῶς reliq. ‖ 9. ὑποκατεκλίνετο. ὑποκατεκλίνετο M. — 28, 1. ἤ. ἢ B. ‖ ἔπρεπεν. ἐπέθρεπεν M. ‖ 2. συνέστη BM. v, συνέβη reliq. ‖ 3. συνωργίζοντο ἂν Reisk., οὖν ὠργίζοντο reliq. — 29, 2. πάθη BMA. r,

συμφορὰς, ἔτι δὲ ὃ πάντων μάλιστα ἕκαστος ἐπόθει ἀκοῦσαι,
τί μεῖζον ἢ δεινότερον εἶχεν εἰπεῖν τῆς ἁλώσεως; οὔτε ἀνθρώ- 159 M
πους πλείους ἀποθνήσκοντας οὐδ' οἰκτρότερον, τοὺς μὲν ἐπὶ
τοὺς βωμοὺς τῶν θεῶν καταφεύγοντας, τοὺς δὲ ἀμυνομένους
ὑπὲρ τῶν τέκνων καὶ τῶν γυναικῶν, οὔτε γυναῖκας ἢ παρθέ-
νους ἄλλοσε ἀγομένας βασιλίδας ἐπὶ δουλείᾳ τε καὶ αἰσχύνῃ,
τὰς μὲν ἀνδρῶν τὰς δὲ πατέρων τὰς δὲ ἀδελφῶν ἀποσπωμέ-
νας, τὰς δέ τινας αὐτῶν τῶν ἀγαλμάτων, ὁρώσας μὲν τοὺς
φιλτάτους ἄνδρας ἐν φόνῳ κειμένους καὶ μὴ δυναμένας ἀσπά-
σασθαι μηδὲ καθελεῖν τοὺς ὀφθαλμοὺς, ὁρώσας δὲ τὰ νήπια
30 βρέφη πρὸς τῇ γῇ παιόμενα ὠμῶς, οὔτε ἱερὰ πορθούμενα 319 R
θεῶν οὔτε χρημάτων πλῆθος ἁρπαζόμενον οὔτε κατ' ἄκρας
ὅλην ἐμπιπραμένην τὴν πόλιν οὔτε μείζονα βοὴν ἢ κτύπον
χαλκοῦ τε καὶ πυρὸς τῶν μὲν φθειρομένων τῶν δὲ ῥιπτουμέ-
νων· ἃ τὸν Πρίαμον πεποίηκε λέγοντα ἐπ' ὀλίγον ὡς ἐσόμενα,
ἃ τυχὸν αὐτῷ ὡς γιγνόμενα διελθεῖν, ὅπως ἐβούλετο καὶ μεθ'
ὅσου τἄλλα εἰώθει δείματος, ἐκπλήττων τε καὶ αὔξων τὰ
31 μικρότατα. εἰ δέ γε ἤθελεν ἀνδρῶν ἐπισήμων εἰπεῖν θανά-
τους, πῶς ἀπέλιπε τὸν τοῦ Ἀχιλλέως καὶ τὸν τοῦ Μέμνονος
καὶ Ἀντιλόχου καὶ Αἴαντος καὶ αὐτοῦ τοῦ Ἀλεξάνδρου; πῶς
δὲ τὴν Ἀμαζόνων στρατείαν καὶ τὴν μάχην ἐκείνην τὴν λεγο-
μένην τοῦ Ἀχιλλέως καὶ τῆς Ἀμαζόνος γενέσθαι, καλὴν οὕτω 320 R
32 καὶ παράδοξον; ὁπότε τὸν ποταμὸν αὐτῷ πεποίηκε μαχόμενον
ὑπὲρ τοῦ λέγειν τι θαυμαστὸν, ἔτι δὲ τοῦ Ἡφαίστου καὶ τοῦ

πάσῃ v, πᾶσι m. ‖ 3. ἐπόθει. ἐπόδει M. ‖ 4. ἢ δεινότερον εἶχεν M, ἢ δεινότερον ἔχει B, εἶχεν ἢ δεινότερον reliq. ‖ 5. οὐδ'. οὐδὲ M. ‖ 8. ἄλλοσε. ἄλλοτε BM. ‖ βασιλίδας M, ἢ βασιλίδας reliq. ‖ 11. δυναμένας BM. r, δυναμένους vm. ‖ ἀσπάσασθαι. ἀσπάσεσθαι B. ‖ 13. βρέφη M (mrg. τέκνα), τέκνα reliq. — 30, 3. βοὴν ἢ delet Reiskius, idem post v. πυρὸς inserit οὔτε βοὴν. ‖ 4. φθειρομένων. φθεγγομένων (mrg. vulg.) M. ‖ ῥιπτουμένων B, ῥειπτουμένων M, ῥιπτομένων reliq. ‖ 5. ἐπ' ὀλίγον. ἐπ' ὀλίγων m. ‖ ἐσόμενα, ἃ τυχὸν. ἐσόμενα τυχὸν, ἃ ἦν Casaub., ἐσόμενα, ἐξὸν Selden., ἐσόμενα τυχὸν, ἐξὸν Reisk., ἐσόμενα, παρασχὸν (vel παρατυχὸν) Pflugk., possit ἐσόμενα τυχὸν, ὑπάρχον. ‖ 6. γιγνόμενα BM, γενόμενα Rhodom., γινόμενα reliq. ‖ καὶ μεθ' BM (at καὶ a corr. add.). Rhodom. r, καὶ μηθ' vm. ‖ 7. τἄλλα Casaub. r, τάχα BM. vm. ‖ εἰώθει. εἰώθη B. ‖ δείματος (mrg. διηγήματος) M, διάρματος Reisk., διηγήματος reliq.—31, 1. ἐπισήμων. ἐπεισήμων M. ‖ θανάτους. θάνατον BM. ‖ 4. στρατείαν Reisk., στρατειὰν M, στρατιὰν reliq. — 32, 1. ὁπότε BM. Casaub. r, ἢ ὁπότε reliq. ‖ 2. τι om. M.

Σκαμάνδρου μάχην καὶ τῶν ἄλλων θεῶν πρὸς ἀλλήλους τρο-
πάς τε καὶ ἥττας καὶ τραύματα [ἐπιθυμῶν ὅ τι εἴποι μέγα
καὶ θαυμαστὸν ὑπὸ ἀπορίας] πραγμάτων τοσούτων ἔτι καὶ
33 τηλικούτων ἀπολειπομένων; ἀνάγκη οὖν ἐκ τούτων ὁμολογεῖν, 160 M.
ἢ ἀγνώμονα Ὅμηρον καὶ φαῦλον κριτὴν τῶν πραγμάτων,
ὥστε τὰ ἐλάττω καὶ ταπεινότερα αἱρεῖσθαι καταλιπόντα ἄλ-
λοις τὰ μέγιστά τε καὶ σπουδαιότατα, ἢ μὴ δύνασθαι αὐτόν,
ὅπερ εἶπον, ἰσχυρίζεσθαι τὰ ψευδῆ, ἐν δὲ τούτοις ἐπιδεικνύ-
34 ναι τὴν ποίησιν, ἃ ἐβούλετο κρύψαι ὅπως γέγονεν. οὕτω γὰρ
καὶ ἐν Ὀδυσσείᾳ τὰ μὲν περὶ τὴν Ἰθάκην καὶ τὸν θάνατον
τῶν μνηστήρων αὐτὸς λέγει, τὰ δὲ μέγιστα τῶν ψευσμάτων
οὐχ ὑπέμεινεν εἰπεῖν, τὰ περὶ τὴν Σκύλλαν καὶ τὸν Κύκλωπα 321 R.
καὶ τὰ φάρμακα τῆς Κίρκης, ἔτι δὲ τὴν εἰς ᾅδου κατάβασιν
τοῦ Ὀδυσσέως, ἀλλὰ τὸν Ὀδυσσέα ἐποίησε διηγούμενον τοῖς
περὶ τὸν Ἀλκίνοον· ἐκεῖ δὲ καὶ τὰ περὶ τὸν ἵππον καὶ τὴν
ἅλωσιν τῆς Τροίας διεξιόντα τὸν Δημόδοκον ἐν ᾠδῇ δι' ὀλί-

4. [ἐπιθυμῶν-ἀπορίας] iure suspecta Geelio, qui v. ἐπιθυμῶν — θαυμαστὸν malebat abesse. videntur autem ducta partim e § 88 ἀπορεῖ ὅ τι εἴπῃ μέγα καὶ θαυμαστόν, partim e § 87 διὰ τὴν ἀπορίαν εἰς ἀδύνατα ἐμπίπτων καὶ ἀσεβῆ πράγματα. interpolatorem produnt v. ἐπιθυμῶν ὅ τι εἴπῃ, quorum loco ἐπιζητῶν Dionem dicturum fuisse non fugit Geelium. Pflugkius haec ita tentat: ἐπιθυμῶν τι εἰπεῖν μέγα καὶ θαυμαστόν; οὐ γὰρ ὑπ' ἀπορίας, πραγμάτων cett. ‖ ἐπιθυμῶν. εὑρεῖν ἐπιθυμῶν Casaub., ἐπιζητῶν Geel. ‖ 6. ἀπολειπομένων. post hoc v. vulgo inseruntur: ἔστι δὲ τοιαῦτα τὰ λεγόμενα ὑπὸ τοῦ Πριάμου·

ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴσῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ' ἐπιδόντα,
υἷάς τ' ὀλλυμένους ἑλκυσθείσας τε θύγατρας
καὶ θαλάμους κεραϊζομένους καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηϊοτῆτι
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν·
αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
τύψας ἠὲ βαλὼν, ῥεθέων ἐκ θυμὸν ἕληται.

quae recte eiicienda iudicavit Rhodomannus, ut scholion ad v. ἃ τὸν Πρίαμον πεποίηκε λέγοντα § 30 adscriptum. in his scripturae diversitas haec est: τοιαῦτα. τοι αὐτὰ Reisk. ‖ τὰ in M a corr. add. ‖ 1. τε BM, ῥα reliqui. conf. Il. 22, 60. ‖ 2. φθίσει. φθίσῃ BM. ‖ 3. υἷάς — θύγατρας om. BM. ‖ 5. προτὶ B, ποτὶ M (mrg. πρὸ τῇ), προποτὶ reliq. ‖ 6. ἑλκομένας. ἑλκομένους (corr. vulg.) M. ‖ ὀλοῇς. ὀλοῇ m. ‖ 7. ἂν πύματόν. ἀμπύματόν M. ‖ πρώτῃσι. πρωτῆσι B. ‖ 8. ὠμησταί. ὠμῆς τε M. ‖ ἐπεί κε. ἐπὴν καὶ M. ‖ χαλκῷ. δουρὶ (mrg. vulg) M. — 33, 5. τά. malim εἰς τὰ vel πρὸς τά. ‖ ἐν δέ. malim μηδ' ἐν. — 34, 7. ἐκεῖ. ἔτι Geel.

ed by Google

35 γων ἐπῶν. δοκεῖ δέ μοι μηδὲ προθέσθαι ταῦτα τὴν ἀρχὴν,
ἅτε οὐ γενόμενα, προϊούσης δὲ τῆς ποιήσεως, ἐπεὶ ἑώρα τοὺς
ἀνθρώπους ῥᾳδίως πάντα πειθομένους, καταφρονήσας αὐτῶν
καὶ ἅμα χαριζόμενος τοῖς Ἕλλησι καὶ τοῖς Ἀτρείδαις πάντα
συγχέαι καὶ μεταστῆσαι τὰ πράγματα εἰς τοὐναντίον. λέγει
δὲ ἀρχόμενος·

μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
ἡρώων· αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν 161 M
οἰωνοῖσί τε πᾶσι· Διὸς δ' ἐτελείετο βουλή.

36 ἐνταῦθά φησι περὶ μόνης ἐρεῖν τῆς τοῦ Ἀχιλλέως μήνιδος καὶ
τὰς συμφορὰς καὶ τὸν ὄλεθρον τῶν Ἀχαιῶν, ὅτι πολλὰ καὶ
δεινὰ ἔπαθον καὶ πολλοὶ ἀπώλοντο καὶ ἄταφοι ἔμειναν, ὡς
ταῦτα μέγιστα τῶν γενομένων καὶ ἄξια τῆς ποιήσεως, καὶ
τὴν τοῦ Διὸς βουλὴν ἐν τούτοις φησὶ τελεσθῆναι, ὥσπερ οὖν
καὶ συνέβη· τὴν δὲ ὕστερον μεταβολὴν τῶν πραγμάτων καὶ
τὸν τοῦ Ἕκτορος θάνατον, ἃ ἔμελλε χαριεῖσθαι, οὐχ ὑποσχό-
μενος, οὐδὲ ὅτι ὕστερον ἑάλω τὸ Ἴλιον. ἴσως γὰρ οὐκ ἦν πω 322 R.
37 βεβουλευμένος ἀναστρέφειν ἅπαντα. ἔπειτα βουλόμενος τὴν
αἰτίαν εἰπεῖν τῶν κακῶν, ἀφεὶς τὸν Ἀλέξανδρον καὶ τὴν
Ἑλένην περὶ Χρύσου φλυαρεῖ καὶ τῆς ἐκείνου θυγατρός. ἐγὼ
οὖν ὡς ἐπυθόμην παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων ἑνὸς εὖ μάλα
λέγοντος ἐν τῇ Ὀνούφι, ἄλλα τε πολλὰ τῶν Ἑλλήνων κατα-
γελῶντος, ὡς οὐθὲν εἰδότων ἀληθὲς περὶ τῶν πλείστων, καὶ
μάλιστα δὴ τεκμηρίῳ τούτῳ χρωμένου, ὅτι Τροίαν τέ εἰσι
πεπεισμένοι ὡς ἁλοῦσαν ὑπὸ Ἀγαμέμνονος, καὶ ὅτι Ἑλένη
συνοικοῦσα Μενελάῳ ἠράσθη Ἀλεξάνδρου· καὶ ταῦτα οὕτως
ἄγαν πεπεισμένοι εἰσὶν ὑφ' ἑνὸς ἀνδρὸς ἐξαπατηθέντες, ὥστε

35, 2. γενόμενα. γινόμενα B, in M primum ε in litura est. ‖ 10. δέ. δ' M. — 36, 1. Ἀχιλλέως. Ἀχιλλέος corr. M. ‖ 7. ἃ ἔμελλε. ἔμελλε Obs. p. 23, ἃ ἔμελλεν M, καὶ τἆλλα, ἃ ἔμελλε Reisk. (et infra χαριεῖσθαι οὐδαμοῦ φαίνεται ὑποσχόμενος). ‖ οὐχ ὑποσχόμενος Obs. p. 23, ὑπεχόμενος reliq., ὑπερθέμενος vel ὑφελόμενος Rhodom., οὐχ ὑπεχόμενος Seldenus. Pflugkius locum sic constituit: ἃ ἔμελλε χαριεῖσθαι οὐχ ὑμέμενεν (scil. εἰπεῖν), vel ἃ ἔμελε χαριεῖσθαι ὑποσχόμενος, οὔ (scil. φησίν). ‖ 9. ἀναστρέφειν. ἀνατρέπειν Reisk. — 37, 5. τῇ Ὀνούφι Morell., τῷ ὄνυχι BMA. v, τῷ Ὀνουφίτῃ mr. ‖ 7. δή Obs. p. 23, δὲ reliq. ‖ χρωμένου. χρωμένω BM. ‖ 8. καὶ ὅτι BM, ὅτι reliq. ‖ 9. ἠράσθη. ἐράσθη m. ‖ 10. ἐξαπατηθέντες. ἐξηπατηθέντος B.

38 καὶ ὀμόσαι ἕκαστος. ἔφη δὲ πᾶσαν τὴν πρότερον ἱστορίαν
γεγράφθαι παρ' αὐτοῖς τὴν μὲν ἐν τοῖς ἱεροῖς, τὴν δὲ ἐν
στήλαις τισὶ, τὰ δὲ μνημονεύεσθαι μόνον ὑπ' ὀλίγων τῶν
στηλῶν διαφθαρεισῶν, πολλὰ δὲ καὶ ἀπιστεῖσθαι τῶν ἐν ταῖς
στήλαις γεγραμμένων διὰ τὴν ἀμαθίαν τε καὶ ἀμέλειαν τῶν 323 R.
ἐπιγιγνομένων, εἶναι δὲ καὶ ταῦτα ἐν τοῖς νεωτάτοις τὰ περὶ
τὴν Τροίαν· τὸν γὰρ Μενέλεων ἀφικέσθαι παρ' αὐτοὺς καὶ
39 διηγήσασθαι ἅπαντα ὡς ἐγένετο. δεομένου δέ μου διηγήσα-
σθαι τὸ μὲν πρῶτον οὐκ ἐβούλετο λέγων, ὅτι ἀλαζόνες εἰσὶν
οἱ Ἕλληνες καὶ ἀμαθέστατοι ὄντες πολυμαθεστάτους ἑαυτοὺς 162 M
νομίζουσι· τούτου δὲ μηθὲν εἶναι νόσημα χαλεπώτερον μήτε
ἑνὶ μήτε πολλοῖς ἢ ὅταν τις ἀμαθὴς ὢν σοφώτατον ἑαυτὸν
νομίζῃ. τοὺς γὰρ τοιούτους τῶν ἀνθρώπων μηδέποτε δύνα-
40 σθαι τῆς ἀγνοίας ἀπολυθῆναι. οὕτω δὲ, ἔφη, γελοίως ἀπὸ
τούτων διάκεισθε ὑμεῖς, ὥστε ποιητὴν ἕτερον Ὁμήρῳ πει-
σθέντα καὶ ταὐτὰ πάντα ποιήσαντα περὶ Ἑλένης, Στησίχο-
ρον ὡς οἶμαι, τυφλωθῆναί φατε ὑπὸ τῆς Ἑλένης ὡς ψευσά-
μενον, αὖθις δὲ ἀναβλέψαι τἀναντία ποιήσαντα. καὶ ταῦτα
λέγοντες οὐδὲν ἧττον ἀληθῆ φασιν εἶναι τὴν Ὁμήρου ποίησιν.
41 καὶ τὸν μὲν Στησίχορον ἐν τῇ ὕστερον ᾠδῇ λέγειν, ὅτι τοπα-
ράπαν οὐδὲ πλεύσειεν ἡ Ἑλένη οὐδαμόσε· ἄλλοι δέ τινες, ὡς
ἁρπασθείη μὲν Ἑλένη ὑπὸ τοῦ Ἀλεξάνδρου, δεῦρο δὲ παρ'
ἡμᾶς εἰς Αἴγυπτον ἀφίκετο. καὶ τοῦ πράγματος οὕτως ἀμ-
φισβητουμένου καὶ πολλὴν ἄγνοιαν ἔχοντος, οὐδὲ οὕτως ὑπο-
42 πτεῦσαι δύνανται τὴν ἀπάτην. τούτου δὲ αἴτιον ἔφη εἶναι,
ὅτι φιλήδονοί εἰσιν οἱ Ἕλληνες, ἃ δ' ἂν ἀκούσωσιν ἡδέως 324 R
τινὸς λέγοντος, ταῦτα καὶ ἀληθῆ νομίζουσιν. καὶ τοῖς μὲν
ποιηταῖς ἐπιτρέπουσιν ὅ τι ἂν θέλωσι ψεύδεσθαι καί φασιν
ἐξεῖναι αὐτοῖς, ὅμως δὲ πιστεύουσιν οἷς ἂν ἐκεῖνοι λέγωσι καὶ
μάρτυρας αὐτοὺς ἐπάγονται ἐνίοτε περὶ ὧν ἀμφισβητοῦσι·

11. ὀμόσαι. ὀμῶσαι B. ‖ ἕκαστος. ἕκαστα Geel. — 38, 2. ἱεροῖς. ἱεροῖς βιβλίοις Reisk. ‖ ἐν στήλαις. ἐν in M a corr. add. ‖ 4. ἀπιστεῖσθαι. ἀπιστίσθαι M, ἀϊστοῦσθαι Reisk. ‖ ἐν ταῖς M, ἐν reliq. ‖ 5. ἀμαθίαν. ἀμάθειαν M. ‖ 6. ταῦτα. ταύτας corr. M. ‖ 7. γὰρ in M a corr. add. ‖ Μενέλεων. Μενέλαον BM. ‖ 8. ἅπαντα. καὶ ἅπαντα (at καὶ obel. not.) M. — 39, 5. ἢ delet Geel. ‖ ὢν. ὧν M. — 40, 2. διάκεισθε. διακεῖσθαι BM. ‖ ὑμεῖς. ὑμᾶς BM. v. ‖ 3. ταὐτὰ Reisk., ταῦτα reliq. ‖ 4. φατε. ποτὲ B. ‖ 6. εἶναι om. B. — 42, 3. νομίζουσιν M, νομίζουσι reliq. ‖ 4. φασιν. φιλεῖν (mrg. vulg.) M. ‖ 5. δὲ BM. Reisk., δὴ reliq.

παρὰ δὲ Αἰγυπτίοις μὴ ἐξεῖναι μηδὲν ἐμμέτρως λέγεσθαι μηδὲ
εἶναι ποίησιν τοπαράπαν· ἐπίστασθαι γὰρ, ὅτι φάρμακον
τοῦτο ἡδονῆς ἐστι πρὸς τὴν ἀκοήν. ὥσπερ οὖν οἱ διψῶντες
οὐδὲν δέονται οἴνου, ἀλλ' ἀπόχρη αὐτοῖς ὕδατος πιεῖν, οὕτως
οἱ τἀληθῆ εἰδέναι θέλοντες οὐδὲν δέονται μέτρων, ἀλλ' ἐξαρ-
43 κεῖ αὐτοῖς ἁπλῶς ἀκοῦσαι. ἡ δὲ ποίησις ἀναπείθει τὰ ψευδῆ
ἀκούειν, ὥσπερ ὁ οἶνος πίνειν μάτην. ὡς οὖν ἤκουσα παρ'
ἐκείνου, πειράσομαι εἰπεῖν, προστιθεὶς ἐξ ὧν ἐδόκει μοι ἀληθῆ
τὰ λεγόμενα. ἔφη γὰρ ἐν Σπάρτῃ γενέσθαι Τυνδάρεω σοφὸν
ἄνδρα καὶ βασιλέα μέγιστον· τούτου δὲ καὶ Λήδας δύο θυγα-
τέρας κατὰ ταὐτὸ, ὥσπερ ἡμεῖς ὀνομάζομεν, Κλυταιμνήστραν
καὶ Ἑλένην, καὶ δύο ἄῤῥενας παῖδας διδύμους καλοὺς καὶ 163 M.
44 μεγάλους καὶ πολὺ τῶν Ἑλλήνων ἀρίστους. εἶναι δὲ τὴν
Ἑλένην ἐπὶ κάλλει περιβόητον καὶ πολλοὺς μνηστῆρας αὐτῆς
ἔτι σμικρᾶς παιδὸς οὔσης. γενέσθαι δὴ αὐτῆς ἁρπαγὴν ὑπὸ
Θησέως βασιλέως ὄντος Ἀθηνῶν. τοὺς οὖν ἀδελφοὺς τῆς
Ἑλένης εὐθέως ἐλθεῖν εἰς τὴν τοῦ Θησέως χώραν καὶ πορ-
θῆσαι τὴν πόλιν καὶ κομίσασθαι τὴν ἀδελφήν. τὰς μὲν οὖν
ἄλλας γυναῖκας ἀφιέναι λαβόντας, τὴν δὲ τοῦ Θησέως μητέρα
αἰχμάλωτον ἄγειν τιμωρουμένους αὐτήν. εἶναι γὰρ αὐτοὺς 325 R.
ἀξιομάχους πρὸς ἅπασαν τὴν Ἑλλάδα καὶ καταστρέψασθαι
45 ῥᾳδίως ἂν, εἰ ἐβούλοντο. εἶπον οὖν, ὅτι καὶ παρ' ἡμῖν ταῦτα
λέγεται καὶ προσέτι, ὡς αὐτὸς ἑωρακὼς εἴην ἐν Ὀλυμπίᾳ ἐν
τῷ ὀπισθοδόμῳ τοῦ νεὼ τῆς Ἥρας ὑπόμνημα τῆς ἁρπαγῆς
ἐκείνης ἐν τῇ ξυλίνῃ κιβωτῷ τῇ ἀνατεθείσῃ ὑπὸ Κυψέλου,
τοὺς Διοσκόρους ἔχοντας τὴν Ἑλένην ἐπιβεβηκυῖαν τῇ κεφαλῇ
τῆς Αἴθρας καὶ τῆς κόμης ἕλκουσαν καὶ ἐπίγραμμα ἐπιγε-
46 γραμμένον ἀρχαίοις γράμμασιν. μετὰ δὲ ταῦτα, ἔφη, φοβού-
μενος τοὺς Τυνδαρίδας ὁ Ἀγαμέμνων· ἠπίστατο γὰρ, ὅτι

7. μηδὲν Reisk., μηδὲ reliq. ‖ 12. ἁπλῶς ἀκοῦσαι BM, ἀκοῦσαι ἁπλῶς reliq. — 43, 2. ὥσπερ BM. Geel., καὶ ὥσπερ reliq. ‖ ὁ οἶνος Geel., οἶνος M (corr. οἶνον), οἶνον reliq. ‖ 4. Τυνδάρεω BM, Τυνδάρεων reliq. ‖ 6. κατὰ ταὐτό. κατ' αὐτὸ M. ‖ ὥσπερ M. Rhodom., ἅσπερ reliq. ‖ 7. παῖδας διδύμους BM, διδύμους om. reliq. — 44, 3. ἔτι σμικρᾶς. τε τις μικρᾶς M (mrg. ἔτι μικρᾶς). ‖ δὴ M, δὲ reliq. ‖ αὐτῆς in M a corr. add. ‖ 7. ἀφιέναι. ἀπιέναι B, ἀπειέναι M. ‖ 8. αὐτήν. αὐτὸν Rhodom. ‖ 10. εἰ om. B. ‖ ἐβούλοντο. βούλοιντο M. — 45, 4. Κυψέλου BM. Reisk., Κυψέλλου reliq. ‖ 7. γράμμασιν M, γράμμασι reliq. — 46, 2. Τυνδαρίδας BM, Τυνδαρείδας reliq.

ξένος ὢν καὶ ἔπηλυς ἄρχοι τῶν Ἀργείων· ἐβούλετο προσλαβεῖν αὐτοὺς κηδεύσας, καὶ διὰ τοῦτο ἔγημε Κλυταιμνήστραν· τὴν δὲ Ἑλένην ἐμνήστευε μὲν τῷ ἀδελφῷ, οὐθεὶς δὲ ἔφασκε τῶν Ἑλλήνων ἐπιτρέψειν· καὶ γὰρ προσήκειν ἕκαστος αὐτῷ τοῦ γένους μᾶλλον ἢ Μενελάῳ, Πελοπίδῃ ὄντι. ἧκον δὲ καὶ ἔξωθεν πολλοὶ μνηστῆρες διά τε τὴν δόξαν τὴν περὶ τοῦ κάλ-
47 λους καὶ τὴν δύναμιν τῶν ἀδελφῶν καὶ τοῦ πατρός. ἐδόκει οὖν μοι καὶ τοῦτο ἀληθὲς λέγειν, ὅπου τὴν Κλεισθένους θυγατέρα, τοῦ Σικυωνίου τυράννου, καὶ τῶν ἀπὸ Ἰταλίας τινὰς μνηστεῦσαί φασιν· ἔτι δὲ Ἱπποδάμειαν τὴν Οἰνομάου Πέλοψ ἔγημεν ἐκ τῆς Ἀσίας ἀφικόμενος, Θησεὺς δὲ ἀπὸ τοῦ Θερμώ-
48 δοντος ποταμοῦ μίαν τῶν Ἀμαζόνων. ὡς δὲ ἐκεῖνος ἔφη, καὶ τὴν Ἰὼ ἀφικέσθαι ἐκδοθεῖσαν εἰς Αἴγυπτον, ἀλλὰ μὴ βοῦν γενομένην οὕτως οἰστρήσασαν ἐλθεῖν. οὕτω δὲ ἔθους ὄντος 326 R.
ἐκδιδόναι καὶ λαμβάνειν γυναῖκας παρ' ἀλλήλων καὶ τοὺς 164 M.
πλεῖστον ἀπέχοντας καὶ τοὺς ἐνδοξοτάτους, καὶ τὸν Ἀλέξανδρον ἀφικέσθαι κατὰ μνηστείαν ἔφη πιστεύοντα τῇ δυνάμει τοῦ πατρὸς σχεδόν τι βασιλεύοντος τῆς Ἀσίας ἁπάσης, καὶ οὐδὲ πολὺ τῆς Τροίας ἀπεχούσης, ἄλλως τε καὶ τῶν Πελοπιδῶν ἤδη δυναστευόντων ἐν τῇ Ἑλλάδι καὶ πολλῆς ἐπιμιξίας
49 γενομένης. ἐλθόντα δὲ μετὰ πολλοῦ πλούτου καὶ [πολλῆς] παρασκευῆς ὡς ἐπὶ μνηστείαν καὶ διαφέροντα κάλλει αὐτὸν εἰς λόγους καταστῆναι Τυνδάρεῳ τε καὶ τοῖς ἀδελφοῖς τῆς Ἑλένης, λέγοντα περὶ τῆς ἀρχῆς τῆς Πριάμου καὶ τῶν χρημάτων τοῦ πλήθους καὶ τῆς ἄλλης δυνάμεως καὶ ὅτι αὐτοῦ γίγνοιτο ἡ βασιλεία· τὸν δὲ Μενέλεω ἰδιώτην ἔφη εἶναι· τοῖς γὰρ Ἀγαμέμνονος παισὶν, ἀλλ' οὐκ ἐκείνῳ τὴν ἀρχὴν προσή-

3. ἄρχοι BM, ἄρχει reliq. ‖ 4. κηδεύσας BM, κηδεστὰς reliq. ‖ ἔγημε. ἔγημαι B. ‖ 6. ἕκαστος malim abesse. Geelius addit ἔφη post μᾶλλον. idem scribit ἑκάστῳ αὐτῶν. ‖ αὐτῷ. αὐτῷ M. ‖ 7. τοῦ γένους. τοὺς γάμους Reisk. — 47, 2. Κλεισθένους Rhodom., Πλησθένους B, Πλεισθένους reliq. ‖ 3. τινὰς μνηστεῦσαί φασιν. τινα μνηστεῦσαί φασιν M, φασί τινα μνηστεῦσαι B. conf. Herodot. 6, 126. ‖ 4. Πέλοψ. πέλωψ M. — 48, 1. ὡς. ὡσαύτως Iacobs. Add. p. 331. ‖ καὶ om M. ‖ 3. οὕτως οἰστρήσασαν ἐλθεῖν B. Geel., οὕτως οἰστρήσας ἀνελθεῖν M (at ας et ἀν in rasura), om. reliq. ‖ οὕτω δὲ B, οὕτως δὴ Geel., οὕτως δὲ reliq. ‖ 7. βασιλεύοντος. βασιλεύοντα BM. — 49, 1. [πολλῆς] om. B, in M a corr. add. ‖ 2. κάλλει. καλεῖ BM. ‖ 4. λέγοντα Reisk., καὶ λέγοντα reliq. ‖ τῆς Πριάμου M, τοῦ Προιάμου B, τοῦ Πριάμου reliq. ‖ 6. βασιλεία. post hoc v. Geelius excidisse suspicatur μετὰ τὴν τοῦ πατρὸς τελευτήν. ‖ Μενέλεω M, Μενέλεων reliq. ‖ 7. οὐκ ἐκείνῳ. οὐ κἀκείνῳ B.

κειν· καὶ ὡς θεοφιλὴς εἴη καὶ ὡς ἡ Ἀφροδίτη αὐτῷ ὑπόσχοιτο
τὸν ἄριστον γάμον τῶν ἐν ἀνθρώποις· αὐτὸς οὖν προκρῖναι
τὴν ἐκείνου θυγατέρα, ἐξὸν αὐτῷ λαβεῖν ἐκ τῆς Ἀσίας τινά,
εἰ βούλοιτο, εἴτε τοῦ Αἰγυπτίων βασιλέως εἴτε τοῦ Ἰνδῶν.
50 τῶν μὲν γὰρ ἄλλων ἁπάντων ἔλεγεν αὐτὸς ἄρχειν ἀρξάμενος
ἀπὸ Τροίας μέχρις Αἰθιοπίας· καὶ γὰρ Αἰθιόπων βασιλεύειν
τὸν αὐτοῦ ἀνεψιὸν Μέμνονα, ἐκ Τιθωνοῦ ὄντα τοῦ Πριάμου
ἀδελφοῦ. καὶ ἄλλα πολλὰ ἔλεγεν ἐπαγωγὰ καὶ δῶρα ἐδίδου
τῇ τε Λήδᾳ καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, ὅσα οὐδὲ ξύμ-
παντες οἱ Ἕλληνες ἐδύναντο. ἔφη δὲ καὶ ξυγγενὴς εἶναι τῆς
Ἑλένης καὶ αὐτός· ἀπὸ γὰρ Διὸς εἶναι τὸν Πρίαμον· πυνθά-
νεσθαι δὲ κἀκείνους καὶ τὴν ἀδελφὴν αὐτῶν Διὸς ὄντας. τῷ 321 R.
δὲ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ μὴ προσήκειν ὀνειδίζειν αὐ-
τῷ τὴν πατρίδα· καὶ γὰρ αὐτοὺς εἶναι Φρύγας ἀπὸ Σιπύλου.
πολὺ δὴ κρεῖττον τοῖς βασιλεῦσι κηδεύειν τῆς Ἀσίας ἢ τοῖς
ἐκεῖθεν μετανάσταις. καὶ γὰρ Λαομέδοντα Τελαμῶνι δοῦναι
τὴν ἑαυτοῦ θυγατέρα Ἡσιόνην· ἐλθεῖν γὰρ αὐτὸν εἰς Τροίαν
μνηστῆρα μετὰ Ἡρακλέους, ἄγειν δὲ καὶ τὸν Ἡρακλέα φίλον
51 ὄντα καὶ ξένον Λαομέδοντι. πρὸς οὖν ταῦτα ὁ Τυνδάρεως
ἐβουλεύετο μετὰ τῶν παίδων, καὶ ἐδόκει αὐτοῖς σκοποῦσιν 165 M
οὐ χεῖρον εἶναι προσλαβεῖν τοὺς ἐκ τῆς Ἀσίας βασιλέας. τὴν
μὲν γὰρ Πελοπιδῶν οἰκίαν ἔχειν Κλυταιμνήστραν συνοικοῦ-
σαν Ἀγαμέμνονι, λοιπὸν δέ, εἰ Πριάμῳ κηδεύσειαν, καὶ τῶν
ἐκεῖ πραγμάτων κρατεῖν καὶ μηδένα αὐτοὺς κωλύειν τῆς Ἀσίας
καὶ τῆς Εὐρώπης ἄρχειν ἁπάσης. πρὸς δὲ ταῦτα ἠγωνίζετο
52 μὲν ὁ Ἀγαμέμνων, ἡττᾶτο δὲ τοῖς δικαίοις. ἔφη γὰρ ὁ Τυν-
δάρεως ἱκανὸν εἶναι αὐτῷ κηδεύσαντι, καὶ ἅμα ἐδίδασκεν,
ὅτι οὐδὲ συμφέρει τὸν ἀδελφὸν αὐτοῦ τυγχάνειν τῶν ἴσων·
οὕτω γὰρ μᾶλλον ἐπιβουλεύσειν· οὐδὲ γὰρ Ἀτρεῖ Θυέστην
εὔνουν γενέσθαι. μάλιστα δ' ἔπειθεν αὐτὸν λέγων, ὅτι οὐκ
ἀνέξονται οἱ ἄλλοι μνηστῆρες τῶν Ἑλλήνων ἀποτυχόντες, οὔτε

9. προκρῖναι. παρακρῖναι v. ‖ 10. τινὰ εἰ. τινας εἰ v, ἀστινασοῦν Reisk. — 50, 2. μέχρις BM, μέχρι reliq. ‖ 3. αὐτοῦ. αὑτοῦ BM. ‖ 9. ὀνειδίζειν. ὀνειδίζειν M. — 51, 2. σκοποῦσιν. κοποῦσιν M. ‖ 3. τὴν μὲν Reisk., τῶν μὲν reliq. ‖ 4. οἰκίαν. οἰκίαν οἰκείαν (et Κλυταιμνήστρας συνοικούσης) Reisk., οἰκείαν B. Geel. ‖ 5. κηδεύσειαν. κηδεύσειε B, κηδεύσειεν M. — 52, 3. συμφέρει. συμφέροι M. ‖ 4. οὕτω. οὕτως M. ‖ 5. ἔπειθεν αὐτὸν λέγων. ἔπειθε λέγων αὐτὸν B, ἐπιθεῖν λέγων αὐτὸν M, malim ἔπειθε λέγων.

*Διομήδης οὔτε Ἀντίλοχος οὔτε Ἀχιλλεύς, ἀλλὰ πολεμήσουσιν·
καὶ ὅτι κινδυνεύσει τοὺς δυνατωτάτους ποιῆσαι τῶν Ἑλλήνων
53 πολεμίους. κρεῖττον οὖν εἶναι μὴ καταλιπεῖν ἀρχὴν πολέμου
καὶ στάσεως ἐν τοῖς Ἕλλησιν. τὸν δὲ ἄχθεσθαι μέν, οὐκ* 328 R.
*ἔχειν δὲ ὅπως κωλύσῃ τὸν Τυνδάρεω· κύριον γὰρ εἶναι τῆς
αὐτοῦ θυγατρός· καὶ ἅμα φοβεῖσθαι τοὺς παῖδας αὐτοῦ, καὶ
οὕτω δὴ λαβεῖν Ἀλέξανδρον τὴν Ἑλένην ἐκ τοῦ δικαίου, πεί-
σαντα τοὺς γονεῖς αὐτῆς καὶ τοὺς ἀδελφούς, καὶ ἀφικέσθαι
ἄγοντα μετὰ πολλοῦ ζήλου καὶ χαρᾶς· καὶ τόν τε Πρίαμον
καὶ τὸν Ἕκτορα καὶ τοὺς ἄλλους ἅπαντας ἥδεσθαι τῷ γάμῳ
54 καὶ τὴν Ἑλένην ὑποδέχεσθαι μετὰ θυσιῶν καὶ εὐχῶν. σκόπει
δέ, ἔφη, τὴν εὐήθειαν τοῦ ἐναντίου λόγου, εἴ σοι δοκεῖ δυνα-
τὸν εἶναι πρῶτον μὲν ἐρασθῆναί τινα γυναικός, ἣν οὐ πώποτε
εἶδεν, ἔπειτα καὶ πεῖσαι καταλιποῦσαν τὸν ἄνδρα καὶ τὴν
πατρίδα καὶ πάντας τοὺς ἀναγκαίους, ἔτι δὲ οἶμαι θυγα-
τρίου γεγονυῖαν μητέρα, συνακολουθῆσαι ἀνδρὶ ἀλλοφύλῳ.
διὰ ταύτην γὰρ τὴν ἀλογίαν συνέπλασαν τὸν περὶ τῆς Ἀφρο-
55 δίτης μῦθον πολὺ τούτων ἀποπληκτότερον. εἰ δὲ ὁ Ἀλέξαν-
δρος ἐνεθυμήθη, πῶς ὅ τε πατὴρ ἐπέτρεψεν οὐκ ὢν ἀνόη-
τος, ἀλλὰ καὶ σφόδρα δοκῶν νοῦν ἔχειν, ἥ τε μήτηρ; πῶς* 166 M.
*γὰρ εἰκὸς τὸν Ἕκτορα ὕστερον μὲν ὀνειδίζειν καὶ λοιδορεῖ-
σθαι αὐτῷ περὶ τῆς ἁρπαγῆς, ὥς φησιν Ὅμηρος· λέγει γὰρ
οὕτως·*

*Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι.
οὐ γάρ τοι χραίσμῃ κίθαρις τά τε δῶρ' Ἀφροδίτης
ἥ τε κόμη τό τε εἶδος, ὅτ' ἐν κονίῃσι μιγείης·*

56 ἐξ ἀρχῆς δὲ πράττοντι συγχωρῆσαι ταῦτα; ὅ τε Ἕλενος πῶς 329 R.
*οὐ προέλεγε μάντις ὤν; ἥ τε Κασσάνδρα θεοφορουμένη; πρὸς
δὲ τούτοις ὁ Ἀντήνωρ δοκῶν φρονεῖν; ἀλλ' ὕστερον ἠγανά-*

8. *ἀλλὰ πολεμήσουσι.* aut haec delenda, aut infra *ποιῆσαι* in *ποιήσας* mutandum. ‖ 9. *πολεμίους. αὐτῷ πολεμίους* Reisk. — 53, 2. *Ἕλλησιν* M, *Ἕλλησι* reliq. ‖ 3. *Τυνδάρεω* BM, *Τυνδάρεων* reliq. ‖ 4. *αὑτοῦ. αὐτοῦ* BM. ‖ 5. *οὕτω. οὕτως* M (corr. vulg.). ‖ 6. *αὐτῆς. αὐτοὺς* B, in M *-ῆς* in litura est. — 54, 4. *καί. δὲ καὶ* Geel. ‖ *πεῖσαι. ἐλπίσαι* (corr. vulg.) M. — 55, 2. *ἐνεθυμήθη* immerito suspectum Reiskio. ‖ *ὅ τε* BM, *ὅσα* v, *τε ὁ* mr, *ὅ γε* Reisk. ‖ 3. *ἥ τε* BM, *καὶ ἡ* reliq. ‖ 6. *ἄρι-
στε. ἄριστα* M. ‖ 7. *ὄφελες. ὄφελος* (corr. vulg.) M. ‖ *ἄγονός* BM. Il. 3, 39, *τ' ἄγο-
νός* reliq. ‖ *ἔμεναι. ἔμμεναι* B. corr. M. ‖ 8. *οὐ γάρ. οὐκ ἂν* Il. 3, 54. — 56, 1. *τε* BM, *θ'* reliq.

κτουν καὶ ἐπέπληττον ἐπὶ πεπραγμένοις, ἐξὸν ἀφικέσθαι κωλύειν. ἵνα δὲ εἰδῇς τὴν ὑπερβολὴν τῆς ἠλιθιότητος καὶ ὡς τὰ ψευδῆ ἀλλήλοις μάχεται· λέγουσι γάρ, ὡς πρὸ ὀλίγων ἐτῶν Ἡρακλῆς πεπορθήκει τὴν πόλιν διὰ μικρὰν πρόφασιν ὀργισθείς, ὑπὲρ ἵππων, ὅτι ὑποσχόμενος αὐτῷ δώσειν ὁ Λαο-
57 μέδων ψεύσαιτο. καὶ ἐγὼ ἀνεμνήσθην τῶν ἐπῶν, ἐν οἷς ταῦτά φησιν·

> ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
> ἐξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
> Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

οὐκοῦν, εἶπεν, οὐδὲ τοῦτο ἀληθὲς λέγουσιν. πῶς γὰρ ἐν ὀλίγῳ χρόνῳ οὕτω πόλις ἁλοῦσα καὶ ἐρημωθεῖσα τοσαύτην ἐπίδοσιν ἔσχεν, ὡς μεγίστην γενέσθαι τῶν κατὰ τὴν Ἀσίαν; πῶς δὲ ὁ μὲν Ἡρακλῆς σὺν ἓξ ναυσὶν εἷλεν ἐκ πολλοῦ ἀπόρθητον οὖσαν, οἱ δὲ Ἀχαιοὶ μετὰ νεῶν χιλίων καὶ διακοσίων 167 M.
ἐλθόντες οὐκ ἐδύναντο ἑλεῖν; ἢ πῶς τὸν Πρίαμον εἴασε βασιλεύειν ὁ Ἡρακλῆς ἀποκτείνας αὐτοῦ τὸν πατέρα ὡς πάντων 330 R.
ἐχθρότατον, ἀλλ' οὐκ ἄλλον τινὰ ἀπέδειξεν ἄρχοντα τῆς
58 χώρας; εἰ δ' οὖν οὕτω, πῶς φασι; πῶς γὰρ οὐκ ἔφριττον οἱ Τρῶες καὶ ὁ Πρίαμος τὴν πρὸς τοὺς Ἕλληνας ἔχθραν εἰδότες, ὅτι καὶ πρότερον οὐθὲν τηλικοῦτον ἐξαμαρτόντες ἀπώλοντο καὶ ἀνάστατοι ἐγένοντο, καὶ πολλοὶ μνημονεύοντες τὴν ἅλωσιν. μηδὲν τοιοῦτον ἐννοῆσαι μηδὲ κωλῦσαι τὸν Ἀλέξανδρον μηθένα αὐτῶν; τίνα δὲ τρόπον ἀφικόμενος εἰς τὴν Ἑλλάδα συνῆν τῇ Ἑλένῃ καὶ διελέγετο καὶ τελευτῶν ἀνέπεισεν

4. ἀφικέσθαι. ἀφ' ἑστίας Wyttenb. ad Plut. p. 93 d. frustra. ‖ 5. εἰδῇς. ἴδῃς M. — 57, 4. οἴῃς. οἴαις (corr. οἰῃς) M. ‖ νηυσί. νεῖσι M. ‖ παυροτέροισιν. παυροτέροις B. ‖ 5. ἐξαλάπαξε. ἐξαλαπάξαι BM. ‖ χήρωσε. χηρῶσαι BM. ‖ 6. λέγουσιν M, λέγουσι reliq. ‖ 7. χρόνῳ οὕτω. χρόνῳ οὕτως M, οὕτω χρόνῳ Geelius. nam vulgo comma ante οὕτως legebatur. ‖ 9. ἀπόρθητον BMA. Rhodom., ἀποῤῥητον v, ἀνάλωτον mr. ‖ 11. ἑλεῖν. post hoc v. Reiskius τὴν πρὸ ὀλίγου ἁλοῦσαν excidisse suspicatur. ‖ 13. ἀλλ' οὐκ ἄλλον. ἄλλον κἄλλον M. — 58, 1. εἰ δ' οὖν οὕτω, πῶς. sic dedi. εἰ δ' οὖν οὕτω πως reliq., εἰ δ' ἦν οὕτω, πῶς Rhodom. εἰ δ' ἦν ὅπως Iacobs., εἰ δ' ἦν οὕτως, ὡς Geel., εἰ δ' οὖν οὕτως, ὡς ego quondam. ‖ φασι. φασιν M. ‖ πῶς γὰρ BM. v, πῶς reliq., ὡς Casaub. a φασιν suspensum. locum sic scripserim: εἰ δ' οὖν· ἔστω γὰρ ὥς φασι· πῶς οὐκ. ‖ 3. ἐξαμαρτόντες. ἐξαμαρτῶντες vm. ‖ 4. πολλοὶ μνημονεύοντες. πολλοὺς μνημονεύοντας Rhodomannus cum sequentibus copulata. ‖ 5. μηδέν. πῶς μηδὲν Casaub., Reiskius post ἅλωσιν quaedam deesse suspicatur. ‖ τοιοῦτον. τούτων M.

αὐτὴν μήτε γονέων μήτε πατρίδος μήτε ἀνδρὸς ἢ θυγατρὸς
μήτε τῆς παρὰ τοῖς Ἕλλησι φήμης φροντίσασαν, ἀλλὰ μηδὲ
τοὺς ἀδελφοὺς φοβηθεῖσαν περιόντας, οἳ πρότερον αὐτὴν
59 ἀφείλοντο Θησέως καὶ οὐ περιεῖδον ἀφαιρεθεῖσαν; τοῦτο μὲν 331 R.
γὰρ παρόντα τὸν Μενέλεων πῶς ταῦτα ἔλαθε γιγνόμενα;
τοῦτο δὲ ἀπόντος ἀνδρὸς γυναῖκα εἰς ὁμιλίαν ἀφικνεῖσθαι
ξένῳ ἀνδρὶ πῶς εἰκός; τοῦτο δὲ μηδὲ τῶν ἄλλων μηδένα
αἰσθέσθαι τὴν ἐπιβουλὴν ἢ αἰσθομένους κρύψαι; προσέτι δὲ
τὴν Αἴθραν, τὴν τοῦ Θησέως μητέρα, συναπᾶραι αὐτῇ αἰχ-
μάλωτον οὖσαν; οὐ γὰρ ἱκανὸν ἦν Θησέως μητέρα οὖσαν ἐν
60 Σπάρτῃ δουλεύειν, ἀλλὰ ᾑρεῖτο ἀκολουθεῖν εἰς Τροίαν. ὁ δὲ
Ἀλέξανδρος ἀδεῶς καὶ μετὰ τοσαύτης ἐξουσίας ἔπραττε τὸ
πρᾶγμα, ὥστε οὐκ ἦν ἱκανὸν αὐτῷ τὴν γυναῖκα ἀπαγαγεῖν,
ἀλλὰ καὶ τὰ χρήματα προσεπέθετο, καὶ μηδὲ ἐπαναχθῆναι
μηδένα αὐτῷ, μήτε τῶν τοῦ Μενέλεω μήτε τῶν τοῦ Τυνδά-
ρεω μήτε τοὺς ἀδελφοὺς τῆς Ἑλένης, καὶ ταῦτα νεῶν οὐσῶν
ἐν τῇ Λακωνικῇ; ἔτι δὲ ἀπορώτερον τὸ ἀπὸ Σπάρτης ἐπὶ
θάλασσαν ἀνενόχλητον κατιέναι πεζῇ, πολλοῖς, ὡς εἰκὸς, πα-
ραχρῆμα περιβοήτου γενομένης τῆς ἁρπαγῆς; καὶ οὕτω μὲν
οὐ δυνατὸν ἐλθεῖν Ἑλένην μετὰ Ἀλεξάνδρου, γάμῳ δὲ παρ' 168 M.
61 ἑκόντων δοθεῖσαν τῶν οἰκείων. οὕτω γὰρ εὔλογον ἦν τήν τε
Αἴθραν ἀφικέσθαι μετ' αὐτῆς καὶ τὰ χρήματα κομισθῆναι.
οὐδὲν γὰρ τούτων ἁρπαγῆς, ἀλλὰ πολὺ μᾶλλον γάμου σημεῖόν
ἐστιν. ἐπεὶ δὲ, ὡς ἔφην, γαμήσας ὁ Ἀλέξανδρος ἀπηλλάγη
μετ' αὐτῆς, ὅ τε Μενέλεως ἠνιᾶτο τῆς μνηστείας ἀποτυχὼν
62 καὶ τὸν ἀδελφὸν ᾐτιᾶτο καὶ ἔφη προδοθῆναι ὑπ' αὐτοῦ. ὁ
δὲ Ἀγαμέμνων ἐκείνου μὲν ἧττον ἐφρόντιζε, τὸν Ἀλέξανδρον

8. αὐτὴν. φυγεῖν supplet Reiskius. ‖ 9. τῆς. τοῖς B. ‖ 11. ἀφείλοντο. ἀφίλαντο M. ‖ περιεῖδον. περιίδον BM. ‖ ἀφαιρεθεῖσαν. ἀφερεθεῖσαν M, malim ἁρπασθεῖσαν. — 59, 2. γιγνόμενα B, τὰ γιγνόμενα M, γινόμενα reliq. ‖ 3. ἀπόντος. παρόντος Reiskius frustra. ‖ 6. αὐτῇ. αὐτὴν B. ‖ 7. ἱκανὸν ἦν BM, ἦν ἱκανὸν reliq. ‖ Θησέως μητέρα. πιτθέως θυγατέρα M (mrg. vulg.). ‖ 8. ἀλλὰ BM, ἀλλὰ καὶ reliq. — 60, 2. ἀδεῶς. malim οὕτως ἀδεῶς. ‖ 7. ἔτι δὲ — παραχρῆμα. In BM haec ita leguntur: ἔτι δὲ πρότερον πεζῇ ἀπὸ Σπάρτης ἐπὶ θάλασσαν κατιόντων παραχρῆμα ὡς εἰκὸς reliquis omissis, at in M vulgata a corr. adscripta est, praeterquam quod πολλοῖς pro πολλῆς legitur. ‖ 9. οὕτω. οὕτως M. ‖ 10. οὐ δυνατόν. ἀδύνατον B. ‖ μετά. μετὰ τοῦ B. ‖ γάμῳ. γάμοι M. — 61, 4. δέ. τοι B, τε M (at ε in rasura). v. ‖ 5. μετ' αὐτῆς. μετὰ ταύτης M. ‖ 6. ἔφη. ἔφην M. ‖ ὑπ' αὐτοῦ BMA, ἀπ' αὐτοῦ reliq.

δὲ ἐφοβεῖτο καὶ ὑπώπτευε μή ποτε ἀντιποιήσεται τῶν ἐν τῇ
Ἑλλάδι πραγμάτων προσηκόντων αὐτῷ διὰ τὸν γάμον. οὕτω 332 R
δὴ καὶ τοὺς ἄλλους συγκαλεῖ τοὺς μνηστῆρας τῆς Ἑλένης, καὶ
ἔφη ὑβρισθῆναι αὐτοὺς ἅπαντας καὶ τὴν Ἑλλάδα καταφρο-
νηθῆναι καὶ τὴν ἀρίστην γυναῖκα οἴχεσθαι εἰς τοὺς βαρβά-
63 ρους ἐκδοθεῖσαν, ὡς οὐδενὸς ὄντος ἀξίου παρ' αὐτοῖς. ταῦτα
λέγων τὸν μὲν Τυνδάρεω παρῃτεῖτο καὶ συγγνώμην ἔχειν
ἐκέλευε· παραλογισθῆναι γὰρ αὐτὸν ὑπὸ δώρων· τὸν δὲ
Ἀλέξανδρον αἴτιον ἁπάντων ἀπέφαινε καὶ τὸν Πρίαμον, καὶ
παρεκάλει συστρατεύειν ἐπὶ τὴν Τροίαν. πολλὰς γὰρ ἐλπίδας
ἔχειν αἱρήσειν αὐτὴν συναραμένων ἁπάντων, γενομένου δὲ
τούτου πολλὰ χρήματα διαρπάσειν αὐτοὺς καὶ χώρας κρατή-
σειν τῆς ἀρίστης. εἶναι γὰρ τὴν μὲν πόλιν πλουσιωτάτην
ἁπασῶν, τοὺς δὲ ἀνθρώπους ὑπὸ τρυφῆς διεφθαρμένους·
ἔχειν δὲ καὶ συγγενεῖς πολλοὺς ἐν τῇ Ἀσίᾳ τοὺς ἀπὸ Πέλοπος,
64 οἳ συμπράξουσιν αὐτῷ μισοῦντες τὸν Πρίαμον. ταῦτα δὴ
ἀκούοντες οἱ μέν τινες ὠργίζοντο καὶ ἀτιμίαν τῷ ὄντι ἐνόμι-
ζον τῆς Ἑλλάδος τὸ γεγονός, οἱ δέ τινες ἤλπιζον ὠφεληθήσε-
σθαι ἀπὸ τῆς στρατείας. δόξα γὰρ ἦν τῶν ἐν τῇ Ἀσίᾳ πρα-
γμάτων ὡς μεγάλων καὶ πλούτου ὑπερβάλλοντος. εἰ μὲν οὖν
ἡττήθησαν ὑπὸ τοῦ Μενέλεω μνηστεύοντος τὴν Ἑλένην, οὐκ
ἂν ἐφρόντισαν, ἀλλὰ τοὐναντίον ἐφήδεσθαι ἔμελλον αὐτῷ·
νῦν δὲ τὸν Ἀλέξανδρον ἐμίσουν ἅπαντες, αὐτὸς ἕκαστος ἡγού-
μενος ἀφῃρῆσθαι τοῦ γάμου. οὕτω δὲ τῆς στρατείας γενο- 333 R
μένης πέμψας ὁ Ἀγαμέμνων ἀπῄτει τὴν Ἑλένην. προσήκειν
γὰρ αὐτὴν Ἑλληνίδα οὖσαν γαμηθῆναί τινι τῶν Ἑλλήνων.
65 ταῦτα δὲ ἀκούσαντες οἱ Τρῶες ἠγανάκτουν καὶ ὁ Πρίαμος
καὶ πάντων μάλιστα ὁ Ἕκτωρ, ὅτι νόμῳ τοῦ Ἀλεξάνδρου
λαβόντος παρὰ τοῦ πατρὸς καὶ τῆς Ἑλένης βουλομένης ἐκείνῳ
συνοικεῖν, οἱ δὲ οὕτως ἀναίσχυντον ἐτόλμων λέγειν λόγον·
καὶ ἔφασαν γιγνώσκειν, ὅτι ζητοῖεν πολέμου πρόφασιν· αὐτοὶ
δὲ μὴ ἄρχειν πολέμου κρείττους ὄντες, ἀμύνεσθαι δὲ ἐπιχει-
ροῦντας. καὶ διὰ ταῦτα ὑπέμενον οἱ Τρῶες πολὺν χρόνον

62, 3. ὑπώπτευε. ὑπόπτευεν M, ὑπώπτευσε A. ‖ 4. προσηκόντων. προσημάντων v. ‖ 5. δή. γε δὴ B, γε A. — 63, 2. Τυνδάρεω BM, Τυνδάρεων reliq. ‖ 9. τρυφῆς. τροφῆς m. — 64, 4. στρατείας Reisk., στρατίας M, στρατιᾶς reliq. ‖ 9. στρατείας Reisk., στρατιᾶς reliq. ‖ 10. προσήκειν Obs. p. 23, προσῆκεν M, προσῆκε reliq. ‖ 11. τινι M. Reisk., τινα reliq. — 65, 5. γιγνώσκειν BM, γινώσκειν reliq.

πολεμουμενοι καὶ πολλὰ πάσχοντες, οὐχ ὅσα Ὅμηρός φησιν·
ὅμως δὲ καὶ τῆς γῆς αὐτῶν φθειρομένης καὶ πολλῶν ἀποθνη-
σκόντων ἀνθρώπων· ὅτι ἠπίσταντο ἀδικοῦντας τοὺς Ἀχαιοὺς
66 καὶ τὸν Ἀλέξανδρον οὐθὲν ἄτοπον πράξαντα. εἰ δὲ μή, τίς
ἂν ἠνέσχετο αὐτῶν, ἢ τῶν ἀδελφῶν ἢ ὁ πατὴρ ἢ τῶν ἄλλων
πολιτῶν, ἀπολλυμένων, πάντες γὰρ κινδυνευούσης ἀναστάτου
γενέσθαι τῆς πόλεως διὰ τὴν ἐκείνου παρανομίαν, ἐξὸν ἀπο-
δόντας τὴν Ἑλένην σῶσαι αὐτούς. οἱ δὲ καὶ ὕστερον, ὥς
φασιν, Ἀλεξάνδρου ἀποθανόντος κατεῖχον αὐτὴν καὶ Δηϊ-
φόβῳ συνῴκιζον ὡς μέγιστον ἀγαθὸν ἔχοντες ἐν τῇ πόλει καὶ
67 φοβούμενοι, μὴ καταλίποι αὐτούς. καίτοι εἰ πρότερον ἐρῶσα
τοῦ Ἀλεξάνδρου ἔμενεν, πῶς ἔτι ἐβούλετο μένειν, εἰ μὴ καὶ
Δηϊφόβου αὐτὴν ἐρασθῆναι λέγουσιν; εἰκὸς γὰρ ἦν πεῖσαι
τοὺς Τρῶας ἀποδοῦναι αὐτὴν ἑτοίμους ὄντας. εἰ δὲ ἐφοβεῖτο 331 R.
τοὺς Ἀχαιούς, διαλύσεις πρότερον εὑρέσθαι χρῆν· καὶ γὰρ
ἐκεῖνοι ἀγαπητῶς ἂν ἀπηλλάγησαν τοῦ πολέμου πλείστων καὶ
ἀρίστων τεθνηκότων. ἀλλ' οὐ γὰρ ἦν ἀληθὲς τὸ τῆς ἁρπα-
γῆς οὐδὲ παρέσχον αἰτίαν τοῦ πολέμου οἱ Τρῶες, ὅθεν εὔελ-
πιδες ἦσαν περιγενέσθαι. οἱ γὰρ ἄνθρωποι, ἐν οἷς ἂν ἀδι-
68 κῶνται, μέχρις ἐσχάτου ὑπομένουσιν ἀμυνόμενοι. ταῦτα μὲν
οὖν μὴ ἄλλως νόμιζε πραχθῆναι ἢ ὡς ἐγὼ λέγω. πολὺ γὰρ πιστό- 170 M.
τερον ἑκόντα Τυνδάρεω κηδεῦσαι τοῖς βασιλεῦσι τῆς Ἀσίας
καὶ Μενέλεω τῆς μνηστείας ἀπελπίσαντα βαρέως ἐνεγκεῖν,
καὶ Ἀγαμέμνονα φοβηθῆναι τοὺς Πριαμίδας μὴ κατάσχωσι
τὴν Ἑλλάδα, ἀκούοντα καὶ Πέλοπα τὸν αὐτοῦ πρόγονον ἐκ
τῆς αὐτῆς ὄντα χώρας διὰ τὸ κῆδος τὸ Οἰνομάου τὴν Πελοπόν-
νησον κατασχεῖν, καὶ τοὺς ἄλλους ἡγεμόνας συνάρασθαι τοῦ

66, 1. *μή, τίς. μή τις* M. ‖ 2. *αὐτῶν. αὐτον* M. ‖ 3. *ἀπολλυμένων. ἀπόλλυσθαι* Reisk., malim *τοσούτων ἀπολλυμένων.* ‖ *πάντες γὰρ* BM. v, *πάντως γὰρ* mr, *πάντας* Reisk., malim *καὶ πάσης.* locum sic constituit Iacobs. Add. p. 158: *ἀπολλύμενος. πῶς γάρ; κινδυνευούσης* cett. ‖ 5. *τὴν Ἑλένην. τὴν* om. M. — 67, 4. *αὐτήν. αὐτὴν* M. ‖ 5. *εὑρέσθαι. εὑράσθαι* (corr. vulg.) M. ‖ 7. *ἀλλ' οὐ* Pflugk., *ἀλλ'* om. reliq. ‖ *τὸ τῆς. τὸ* om. m. — 68, 1. *μὲν οὖν* BM, *μὲν* reliq. ‖ 3. *Τυνδάρεω* BM, *Τυνδάρεων* reliq. ‖ *τοῖς βασιλεῦσι* BA, *τοῖς* om. reliq. ‖ 4. *Μενέλεω.* sic dedi. *μενελάῳ* BM, *Μενέλεῳ* A, *Μενέλαον* v, *Μενέλεων* mr. ‖ *ἀπελπίσαντα* corr. M (a prim. man. *ἀπελπίσαντι*), *ἀπελπίσαντι* BA, *ὑπελπίσαντα* v, *ἀπελπίζοντα* Rhodom., *ἐκπεσόντα* mr. ‖ 5. *καὶ Ἀγαμέμνονα* BM, *Ἀγαμέμνονά τε* reliq. ‖ 6. *αὐτοῦ. αὑτοῦ* BM. ‖ 7. *τὸ* BM (corr. *τοῦ*), *τοῦ* reliq. ‖ *Πελοπόννησον* BM, *Πελοπόνησον* reliq.

πολέμου μνησικακοῦντας, ὅτι αὐτὸς ἕκαστος οὐκ ἔγημεν, ἢ ἐρα-
σθῆναι μὲν Ἀλέξανδρον ἧς ἠγνόει γυναικὸς, ἐπιτρέψαι δὲ
αὐτῷ τὸν πατέρα πλεῦσαι τοιαύτης ἕνεκα πράξεως, καὶ ταῦ-
τα, ὥς φασιν, οὐ πάλαι τῆς Τροίας ἁλούσης ὑπὸ Ἑλλήνων
69 καὶ τοῦ πατρὸς αὐτοῦ Λαομέδοντος ἀποθανόντος· ὕστερον
δὲ πολεμουμένους καὶ τοσαῦτα κακὰ πάσχοντας μὴ θέλειν
ἐκδοῦναι μήτε ζῶντος Ἀλεξάνδρου μήτε ἀποθανόντος, οὐδε-
μίαν ἐλπίδα ἔχοντας τῆς σωτηρίας· τὴν δὲ Ἑλένην ἐρασθῆναι
μὲν ξένου ἀνδρὸς, ᾧ τὴν ἀρχὴν οὐκ εἰκὸς αὐτὴν ἐν ὁμιλίᾳ
γενέσθαι, καταλιποῦσαν δὲ τὴν πατρίδα καὶ τοὺς οἰκείους
καὶ τὸν ἄνδρα μετ' αἰσχύνης ἐλθεῖν εἰς ἀνθρώπους μισοῦν- 333 R
τας· πάντα ταῦτα δὲ γιγνόμενα μηδένα κωλῦσαι, καὶ μήτε
ἐξιοῦσαν αὐτὴν, καὶ ταῦτα πεζῇ, ἕως θαλάττης μήτε ἀπο-
πλεύσασαν διῶξαι, συνάρασθαι δὲ τοῦ στόλου τὴν Θησέως
μητέρα πρεσβυτέραν καὶ δῆλον ὅτι μισοῦσαν τὴν Ἑλένην·
70 ὕστερον δὲ Ἀλεξάνδρου τελευτήσαντος, οὐ λέγεται ἐρᾶν, Δηϊ-
φόβῳ συνεῖναι, καθάπερ οἶμαι κἀκείνῳ τῆς Ἀφροδίτης ὑπο-
σχομένης, καὶ μήτε αὐτὴν ἐθέλειν ἀπιέναι παρὰ τὸν αὐτῆς
ἄνδρα μήτε τοὺς Τρῶας ἀποδοῦναι τὴν Ἑλένην βίᾳ μέχρις
ἁλῶναι τὴν πόλιν. τούτων οὐθὲν εἰκὸς οὐδὲ δυνατόν. ἔτι
γὰρ καὶ τόδε πρὸς τοῖς εἰρημένοις. τοὺς μὲν ἄλλους ἅπαντας
Ἀχαιούς φησιν Ὅμηρος κοινωνῆσαι, οἷς ἧττον ἔμελε, τῆς δυ-
νάμεως, Κάστορα δὲ καὶ Πολυδεύκην μόνους μὴ ἀφικέσθαι,
71 τοὺς μάλιστα ὑβρισμένους. ταύτην δὲ τὴν ἄγνοιαν κρύπτων 111 M
Ὅμηρος πεποίηκε θαυμάζουσαν τὴν Ἑλένην· ἔπειτα αὐτὸς
ἀπελογήσατο εἰπὼν, ὅτι τεθνήκεσαν πρότερον. οὐκοῦν τό γε
ζώντων αὐτὴν ἁρπασθῆναι δῆλόν ἐστιν. ἔπειτα Ἀγαμέμνονα
περιέμενον δέκα ἔτη διατρίβοντα καὶ συνάγοντα στρατιὰν,
ἀλλ' οὐκ εὐθὺς ἔγνωσαν σῶσαι τὴν ἀδελφήν· μάλιστα μὲν εἰ

69, 2. πάσχοντας. πάσχοντος M. ‖ 4. ἔχοντας. ἔχοντος BM. ‖ ἐρασθῆναι. ἐρᾶσθαι B. ‖ 7. μετ'. μετὰ M. ‖ 8. ταῦτα δὲ BM, δὲ ταῦτα reliq. ‖ γιγνόμενα BM, γινόμενα reliq. ‖ καὶ μήτε Reisk., καὶ om. reliq. ‖ 9. ἐξιοῦσαν. ἀξιοῦσαν B. — 70, 1. οὐ. οὐ B. ‖ 3. ἀπιέναι. ἀπεῖναι M. ‖ 4. Ἑλένην βίᾳ BMA, βίᾳ om. reliq. ‖ 5. πόλιν BMA, πόλιν βίᾳ reliq. ‖ 6. γάρ. δὲ r. ‖ 7. ἔμελε. ἔμελλεν M. ‖ δυνάμεως. στρατείας Reisk. — 71, 1. ἄγνοιαν. malim ἀλογίαν. ‖ 3. ἀπελογήσατο. ἀπελογίσατο B. ‖ τεθνήκεσαν BM, τεθνήκασι reliq. ‖ τό γε ζώντων BA. r, τό γ' ἐξ ὧν τῶν M, τότε ζώντων reliq. ‖ 5. στρατιάν. στρατειὰν M. ‖ 6. ἔγνωσαν σῶσαι Obs. p. 23, ἔγνωσαν BMA. v, ἔσωσαν mr. possit ἐδίωξαν, in quod incidit et Pflugk.

κατὰ πλοῦν ἕλοιεν· εἰ δ' οὖν, ὡς πολεμήσοντες μετὰ τῆς αὐ-
72 *τῶν δυνάμεως; οὐ γὰρ ἐπὶ Θησέα μὲν ἦλθον εὐθὺς, ἄνδρα* 336 R.
Ἕλληνα καὶ τῶν ἄλλων ἄριστον, ἔτι δὲ αὐτόν τε πολλῶν ἄρχοντα καὶ Ἡρακλέους ἑταῖρον καὶ Πειρίθου καὶ Θετταλοὺς καὶ Βοιωτοὺς ἔχοντα συμμάχους· ἐπὶ δὲ Ἀλέξανδρον οὐκ ἂν ἦλθον; [ἀλλὰ τοὺς Ἀτρείδας περιέμενον δέκα ἔτη συλλέγοντας τὴν δύναμιν;] ἴσως γὰρ εἰκὸς ἦν καὶ αὐτὸν ἀφικέσθαι τὸν Τυνδάρεω καὶ μηθὲν αὐτὸν κωλῦσαι τὴν ἡλικίαν.
73 *οὐ γὰρ δὴ Νέστορος παλαιότερος ἦν οὐδὲ Φοίνικος, οὐδὲ μᾶλλον ἐκείνους προσῆκον ἦν ἀγανακτεῖν ἢ τὸν πατέρα αὐτόν. ἀλλ' οὔτε αὐτὸς οὔτε οἱ παῖδες ἧκον οὔτε ἦν αὐτοῖς βουλομένοις τὰ τῆς στρατείας. ἑκόντες γὰρ αὐτοὶ τὴν Ἑλένην ἐξέδωκαν προκρίναντες τῶν ἄλλων μνηστήρων τὸν Ἀλέξανδρον διὰ μέγεθος τῆς ἀρχῆς καὶ ἀνδρείαν. οὐδενὸς γὰρ ἦν χείρων τὴν ψυχήν. οὔτε οὖν ἐκεῖνοι ἀφίκοντο πολεμήσοντες οὔτε Λακεδαιμονίων οὐδείς· ἀλλὰ καὶ τοῦτο ψεῦδός ἐστιν, ὅτι Μενέλεως ἦγε Λακεδαιμονίους καὶ τῆς Σπάρτης ἐβασίλευε*
74 *Τυνδάρεω ζῶντος ἔτι. καὶ γὰρ ἦν δεινόν, εἰ Νέστωρ μὲν μήτε πρότερον μήτε ὕστερον ἐλθὼν ἀπ' Ἰλίου παρεχώρησε τοῖς υἱοῖς τῆς βασιλείας καὶ τῆς ἀρχῆς διὰ γῆρας, Τυνδάρεως δὲ Μενελάῳ ἐξέστη. φαίνεται γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν ἔχοντα. ἐπεὶ δ' οὖν ἦλθον οἱ Ἀχαιοί, τὸ μὲν πρῶτον εἴργοντο τῆς γῆς καὶ Πρωτεσίλαός τε ἀποθνήσκει βιαζόμενος ἀποβῆναι* 337 R.
καὶ πολλοὶ τῶν ἄλλων, ὥστε διέπλευσαν εἰς τὴν Χεῤῥόνησον ὑποσπόνδους τοὺς νεκροὺς ἀνελόμενοι, κἀκεῖ θάπτουσι τὸν 172 M.
Πρωτεσίλαον. ἔπειτα περιπλέοντες ἀπέβαινον εἰς τὴν χώραν
75 *καὶ τῶν πολισμάτων τινὰ ἐπόρθουν. ὁ δὲ Ἀλέξανδρος μετὰ τοῦ Ἕκτορος τὸν μὲν ὄχλον συνῆγεν ἅπαντα τὸν ἐκ τῆς χώρας εἰς τὸ ἄστυ, τὰς δὲ μικρὰς πόλεις εἴων τὰς πρὸς τῇ θαλάττῃ*

7. *ἕλοιεν* Selden., *ἔλθοιεν* reliq. ‖ *δ' οὖν, ὡς* BM. v. mrg. m, *δ' οὐχ, ὡς* mr, *δ' οὐ, ταχέως* Iacobsius (idem statim *πολεμήσαντες*). ‖ *πολεμήσοντες. πολεμήσοντας* B. ‖ *αὐτῶν. αὐτῶν* M. — 72, 3. *ἑταῖρον. ἕτερον* M. ‖ 5. [*ἀλλὰ — δύναμιν*] suspecta Geelio. ‖ *ἔτη συλλέγοντας. ἔτησιν λέγοντας* M. ‖ 7. *Τυνδάρεω* BM, *Τυνδάρεων* reliq. ‖ *μηθὲν* BM, *μηδὲν* reliq. — 73, 2. *ἐκείνους* B. Rhodom. (idem *ἐκείνω*) mr, *ἐκείνου* M, *ἐκεῖνον* v. ‖ 4. *στρατείας. στρατιᾶς* M. ‖ 6. *ἀνδρείαν. ἀνδρίαν* B. — 74, 6. *τε* BMA, *γε* reliq. ‖ 9. *ἀπέβαινον* M. Obs. p. 24, *ἀνέβαινον* B. v, *κατέβαινον* mr. — 75, 2. *τὸν ἐκ τῆς* B, *τῶν ἐκ τῆς* M, *μετὰ τῆς* A. v, *τὸν αὐτῆς* var. l. v, *ἀπὸ τῆς* mr, *τὸν ἀπὸ τῆς* Reisk. ‖ 3. *τὰς πρός.* sic dedi. *τὰς* om. reliq.

διὰ τὸ μὴ δύνασθαι πανταχοῦ βοηθεῖν. πάλιν δὲ καταπλεύ-
σαντες εἰς τὸν Ἀχαιῶν λιμένα νυκτὸς ἔλαθον ἀποβάντες, καὶ
ναύσταθμον περιεβάλοντο καὶ τάφρον ὤρυξαν φοβούμενοι
τὸν Ἕκτορα καὶ τοὺς Τρῶας, καὶ μᾶλλον ὡς αὐτοὶ πολιορ-
76 κησόμενοι παρεσκευάζοντο. οἱ δὲ τὰ μὲν ἄλλα συγχωροῦσιν
Ὁμήρῳ, τὸ δὲ τεῖχος οὔ φασιν αὐτὸν γενόμενον λέγειν, ὅτι
πεποίηκεν ὕστερον Ἀπόλλωνα καὶ Ποσειδῶνα τοὺς ποταμοὺς
ἐφιέντας ἐπ' αὐτὸ καὶ ἀφανίσαντας· ὃ πάντων πιθανώτατόν
ἐστι, κατακλυσθῆναι τὰ θεμέλια τοῦ τείχους. ἔτι γὰρ καὶ
νῦν οἱ ποταμοὶ λιμνάζουσι τὸν τόπον καὶ πολὺ τῆς θαλάττης
77 προσκεχώκασιν. τὸν δὲ λοιπὸν χρόνον τὰ μὲν ἐποίουν κακῶς 338 R.
τὰ δ' ἔπασχον, καὶ μάχαι μὲν οὐ πολλαὶ ἐγίγνοντο ἐκ παρα-
τάξεων· οὐ γὰρ ἐθάῤῥουν προσιέναι πρὸς τὴν πόλιν διὰ τὸ
πλῆθος καὶ τὴν ἀνδρείαν τῶν ἔνδοθεν· ἀκροβολισμοὶ δὲ καὶ
κλωπεῖαι τῶν Ἑλλήνων· καὶ Τρωίλος τε οὕτως ἀποθνήσκει
παῖς ὢν ἔτι καὶ Μήστωρ καὶ ἄλλοι πλείους. ἦν γὰρ ὁ Ἀχιλ-
78 λεὺς ἐνεδρεῦσαι δεινότατος καὶ νυκτὸς ἐπιθέσθαι. ὅθεν
Αἰνείαν τε οὕτως ἐπελθὼν ὀλίγου ἀπέκτεινεν ἐν τῇ Ἴδῃ καὶ
πολλοὺς ἄλλους κατὰ τὴν χώραν, καὶ τῶν φρουρίων ᾕρει τὰ
κακῶς φυλαττόμενα· οὐδὲ γὰρ τῆς γῆς ἐπεκράτουν οἱ Ἀχαιοὶ
ἀλλ' ἢ μόνον τοῦ στρατοπέδου. τεκμήριον δέ· οὐ γὰρ ἄν
ποτε Τρωίλος ἔξω τοῦ τείχους ἐγυμνάζετο, καὶ ταῦτα μακρὰν
ἀπὸ τῆς πόλεως, οὐδ' ἂν ἐγεώργουν τὴν Χεῤῥόνησον, ὡς ὁμο-
λογοῦσι πάντες, εἴπερ ἐκράτουν τῆς Τρῳάδος, οὐδ' ἂν ἐκ
79 Λήμνου οἶνος ἐκομίζετο αὐτοῖς. κακῶς δὲ φερομένων τῶν 113 M
Ἀχαιῶν ἐν τῷ πολέμῳ καὶ μηδενὸς ἀποβαίνοντος ὧν ἤλπισαν,
ἀλλὰ συμμάχων ἐπιῤῥεόντων ἀεὶ τοῖς Τρωσὶ πλειόνων, λοιμός
τε καὶ λιμὸς αὐτοὺς ἐπίεζε καὶ στάσις ἐγένετο τῶν ἡγεμόνων,
ὥσπερ εἴωθεν ὡς τὸ πολὺ γίγνεσθαι τοῖς κακῶς πράττουσιν,

5. ἀποβάντες. ἀποβαίνοντες m. ‖ 6. περιεβάλοντο. περιεβάλλοντο v. ‖ 7. πολιορκησόμενοι BMA. v, πολιορκηθησόμενοι mr. — 76, 2. τεῖχος. εἶχος M. ‖ 4. ἐφιέντας M, ἀφιέντας B, ἀφέντας reliq. ‖ πιθανώτατόν Obs. p. 24, ἀπιθανώτατόν reliq. ‖ 5. θεμέλια. θεμέλεια M. ‖ 7. προσκεχώκασιν Rhodom., προκεχωρήκασιν M, προκεχωρήκασι reliq. — 77, 2. ἐγίγνοντο. sic dedi. ἐγένοντο BM, ἐγίνοντο reliq. ‖ παρατάξεων. malim παρατάξεως. idem visum est Pflugkio. ‖ 4. τῶν. τὴν B. ‖ 5. κλωπεῖαι. κλοπεῖαι B. m. ‖ Τρωίλος B, Τρώιλος reliq. ‖ 6. Μήστωρ M, Μνήστωρ reliq. — 78, 2. ἐπελθών. ἀπελθὼν M. ‖ Ἴδῃ. εἴδη M. ‖ 3. φρουρίων. φρουρείων M. ‖ 6. Τρωίλος B, Τρώιλος reliq. ‖ 7. Χεῤῥόνησον. χερόννησον B. — 79, 4. λιμός. λειμὸς M. ‖ ἐπίεζε. sic dedi. ἐπίεσεν M, ἐπίεσε reliq. ‖ 5. ὥσπερ. ὅπερ

80 οὐ τοῖς κρατοῦσιν. ὁμολογεῖ δὲ ταῦτα καὶ Ὅμηρος· οὐδὲ γὰρ
ἐδύνατο πάντα τἀληθῆ ἀποκρύψασθαι· ἐν οἷς φησι τὸν Ἀγα-
μέμνονα ἐκκλησίαν συναγαγεῖν τῶν Ἑλλήνων ὡς ἀπάξοντα τὸ
στράτευμα, δηλονότι τοῦ πλήθους χαλεπῶς φέροντος καὶ
ἀπιέναι βουλομένου, καὶ τὸν ὄχλον ὁρμῆσαι πρὸς τὰς ναῦς,
τὸν δὲ Νέστορα καὶ τὸν Ὀδυσσέα κατασχεῖν μόλις μαντείαν
τινὰ προβαλλομένους καὶ ὀλίγον εἶναι χρόνον φάσκοντας, ὃν
81 ἐδέοντο αὐτῶν ὑπομεῖναι. τὸν δὲ μάντιν τούτων Ἀγαμέμνων
ἐν τοῖς ἄνω ἔπεσί φησι μηθὲν πώποτε ἀληθὲς μαντεύεσθαι. 339 R.
μέχρι μὲν οὖν τούτων ἐφεξῆς οὐ πάνυ φαίνεται τῶν ἀνθρώ-
πων καταφρονῶν Ὅμηρος, ἀλλὰ τρόπον τινὰ ἔχεσθαι τἀλη-
θοῦς· εἰ μή γε τὰ περὶ τὴν ἁρπαγήν, οὐκ αὐτὸς ὡς γενόμενα
διηγούμενος, ἀλλ' Ἕκτορα ποιήσας ὀνειδίζοντα Ἀλεξάνδρῳ
καὶ Ἑλένην ὀδυρομένην πρὸς Πρίαμον καὶ αὐτὸν Ἀλέξανδρον
μεμνημένον ἐν τῇ συνουσίᾳ τῇ πρὸς τὴν Ἑλένην, ὃ πάντων
σαφέστατα ἔδει ῥηθῆναι καὶ μετὰ πλείστης σπουδῆς· ἔτι δὲ
82 καὶ τὰ περὶ τὴν μονομαχίαν. οὐ γὰρ δυνάμενος εἰπεῖν, ὡς
ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλεως, κενὰς αὐτῷ χαρίζεται
χάριτας καὶ νίκην γελοίαν ὡς τοῦ ξίφους καταχθέντος. οὐ
γὰρ ἦν τῷ τοῦ Ἀλεξάνδρου χρήσασθαι τοσοῦτόν γε κρείττονα
ὄντα, ὡς ἕλκειν αὐτὸν εἰς τοὺς Ἀχαιοὺς ζῶντα μετὰ τῶν
83 ὅπλων, ἀλλ' ἀπάγχειν ἔδει τῷ ἱμάντι; ψευδὴς δὲ καὶ ἡ τοῦ
Αἴαντος καὶ τοῦ Ἕκτορος μονομαχία καὶ πάνυ εὐήθης ἡ διά-
λυσις· πάλιν ἐκεῖ τοῦ Αἴαντος νικῶντος, πέρας δὲ οὐδέν, καὶ 340 R.
δῶρα δόντων ἀλλήλοις ὥσπερ φίλων. μετὰ δὲ ταῦτα ἤδη τἀ- 174 M.
ληθῆ λέγει, τὴν τῶν Ἀχαιῶν ἧτταν καὶ τροπὴν καὶ τὰς τοῦ
Ἕκτορος ἀριστείας καὶ τὸ πλῆθος τῶν ἀπολλυμένων, ὥσπερ
ὑπέσχετο ἐρεῖν, τρόπον τινὰ ἄκων καὶ ἀναφέρων εἰς τιμὴν
84 τοῦ Ἀχιλλέως. καίτοι θεοφιλῆ γε εἶναι τὴν πόλιν φησὶ καὶ
Δία ἄντικρυς πεποίηκε λέγοντα πασῶν τῶν ὑπὸ τὸν ἥλιον

M. ‖ γίγνεσθαι BM, γίνεσθαι reliq. — 80, 5. ἀπιέναι. ἀπεῖναι M. — 81, 2. μαντεύεσθαι. μαντεύσασθαι Reisk. ‖ 6. Ἀλεξάνδρῳ BM. Reisk., Ἀλέξανδρον reliq. ‖ 7. αὐτὸν Ἀλέξανδρον μεμνημένον. αὐτὸς Ἀλέξανδρος μεμνημένος A. ‖ 9. ἔδει. δεῖ M. — 82, 2. Μενέλεως. Μενέλαος BM. ‖ κενὰς B. Geel., ὅμως κενὰς Reisk., ὡς κενὰς reliq. ‖ 3. χάριτας. χάρις M. ‖ 4. τῷ. τὸ B. — 83, 1. δὲ καὶ BM. Reisk., καὶ om. reliq. ‖ 2. τοῦ Ἕκτορος Reisk., ἡ τοῦ Ἕκτορος reliq. ‖ 3. ἐκεῖ τοῦ M, ἐκείνου B. v, ἐκεῖνον mr, ἐκείνου (deleto v. Αἴαντος) Reiskius. ‖ πέρας BMA. v, πρὸς mr. ‖ 5. λέγει. λέγειν M. v. — 84, 1. γε. γ' M. ‖ 2. τῶν. τὸν M.

Digitized by Google

πόλεων τὸ Ἴλιον μάλιστα ἀγαπῆσαι καὶ τὸν Πρίαμον καὶ τὸν
λαὸν αὐτοῦ. ἔπειτα ὀστράκου μεταπεσόντος, φασί, τοσοῦτο
μετέβαλεν, ὥστε οἴκτιστα ἀνελεῖν τὴν ἁπασῶν προσφιλεστά-
την δι' ἑνὸς ἀνδρὸς ἁμαρτίαν, εἴπερ ἥμαρτεν. ὅμως δὲ οὐχ
οἷός τέ ἐστιν ἀποκρύψαι τὰ τοῦ Ἕκτορος ἔργα νικῶντος καὶ
διώκοντος [τοὺς Ἀχαιοὺς] μέχρι τῶν νεῶν [καὶ πάντων αὐτὸν
ἐκπεπληγμένων τῶν ἀρίστων]· ὁτὲ μὲν Ἄρει παραβάλλων αὐ-
τόν, ὁτὲ δὲ φλογὶ λέγων τὴν ἀλκὴν ὅμοιον εἶναι· μηδενὸς δὲ
ἁπλῶς ὑπομένοντος αὐτὸν τοῦ τε Ἀπόλλωνος αὐτῷ παριστα-
μένου καὶ τοῦ Διὸς ἄνωθεν ἐπισημαίνοντος ἀνέμῳ καὶ βρον-
85 τῇ. ταῦτα γὰρ οὐ βουλόμενος εἰπεῖν οὕτως ἐναργῶς, ὅμως
ἐπεὶ ἀληθῆ ἦν, ἀρξάμενος αὐτῶν οὐ δύναται ἀποστῆναι, τήν
τε νύκτα ἐκείνην τὴν χαλεπὴν καὶ τὴν ἐν τῷ στρατοπέδῳ κατ-
ήφειαν καὶ τὴν τοῦ Ἀγαμέμνονος ἔκπληξιν καὶ τὰς οἰμωγάς,
ἔτι δὲ τὴν νυκτερινὴν ἐκκλησίαν βουλευομένων, ὅπως φύγοιεν,
καὶ τὰς δεήσεις τὰς τοῦ Ἀχιλλέως, εἴ τι δύναιτο ἐκεῖνος ἄρα
86 ὠφελῆσαι. τῇ δ' ὑστεραίᾳ τῷ μὲν Ἀγαμέμνονι χαρίζεταί τινα 311 R.
ἀριστείαν ἀνόνητον καὶ τῷ Διομήδει καὶ τῷ Ὀδυσσεῖ καὶ Εὐρυ-
πύλῳ, καὶ τὸν Αἴαντά φησι μάχεσθαι προθύμως, εὐθὺς δὲ τοὺς
Τρῶας ἐπικρατῆσαι καὶ τὸν Ἕκτορα ἐλαύνειν ἐπὶ τὸ τεῖχος
τῶν Ἀχαιῶν καὶ τὰς ναῦς. καὶ ταῦτα μὲν λέγων δῆλός ἐστιν
ὅτι ἀληθῆ λέγει καὶ τὰ γενόμενα ὑπ' αὐτῶν τῶν πραγμάτων
προαγόμενος· ὅταν δὲ αὔξῃ τοὺς Ἀχαιούς, πολλῆς ἀπορίας
μεστός ἐστι καὶ πᾶσι φανερὸς ὅτι ψεύδεται· τὸν μὲν Αἴαντα
δὶς κρατῆσαι τοῦ Ἕκτορος μάτην, ὁτὲ μὲν τῇ μονομαχίᾳ,
πάλιν δὲ τῷ λίθῳ, τὸν δὲ Διομήδην τοῦ Αἰνείου, καὶ μηδὲ 175 M
τούτου μηδὲν πράξαντος, ἀλλὰ τοὺς ἵππους μόνον λαβόντος,
87 ὅπερ ἦν ἀνεξέλεγκτον. οὐκ ἔχων δὲ ὅ τι αὐτοῖς χαρίσηται
τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην φησὶ τρωθῆναι ὑπὸ τοῦ Διο-
μήδους. ἐν οἷς ἅπασι δῆλός ἐστιν εὔνους μὲν ὢν ἐκείνοις καὶ

4. φασὶ M, φασὶν reliq. ‖ 6. ἀνδρὸς in M a corr. add. ‖ 8. [τοὺς Ἀχαιοὺς] om. BM. ‖ [καὶ πάντων — ἀρίστων] Reiskius transponebat post v. ὅμοιον εἶναι, mihi videntur interpolatoris esse e § 88 expressa, ubi sigillatim exponuntur, quae hic in universum indicata sunt. — 85, 2. ἀληθῆ. ἀληθὲς BM. ‖ 5. βουλευομένων. βουλομένων BM. ‖ 6. εἴ τι. ἔτι m. — 86, 2. ἀνόνητον Vales. Em. p. 52. r, ἀνόητον reliq. ‖ τῷ Διομήδει om. M. ‖ 5. δῆλος M, δῆλον reliq. ‖ 9. μάτην BMA. v, λέγων mr, om. Rhodom., μάτην λέγων Morell. ‖ 10. Διομήδην. Διομήδη M. ‖ Αἰνείου. αἰνίου M. ‖ καὶ malim abesse. — 87, 2. Ἄρην. ἄρη M. ‖ 3. ἅπασι δῆλός. ἅπασιν

βουλόμενος αὐτοὺς θαυμάζειν, οὐκ ἔχων δὲ ὅ τι εἴπῃ ἀληθὲς
διὰ τὴν ἀπορίαν εἰς ἀδύνατα ἐμπίπτων καὶ ἀσεβῆ πράγματα,
ὁ πάσχουσιν ὡς τὸ πολὺ πάντες, ὅσοι τῇ ἀληθείᾳ μάχονται.
88 ἀλλ' οὐ περὶ τοῦ Ἕκτορος ὁμοίως ἀπορεῖ ὅ τι εἴπῃ μέγα καὶ
θαυμαστὸν ὥς γε, οἶμαι, τὰ γενόμενα διηγούμενος· ἀλλὰ
φεύγοντας μὲν προτροπάδην ἅπαντας καὶ κατ' ὄνομα τοὺς
ἀρίστους, ὅταν φῇ μήτε Ἰδομενέα μένειν μήτε Ἀγαμέμνονα
μήτε τοὺς δύο Αἴαντας, ἀλλὰ Νέστορα μόνον ὑπ' ἀνάγκης
καὶ τοῦτον ἁλῶναι παρ' ὀλίγον· ἐπιβοηθήσαντα δὲ τὸν Διο-
μήδην καὶ πρὸς ὀλίγον θρασυνόμενον, ἔπειτα εὐθὺς ἀποστρα-
89 φέντα φεύγειν ὡς κεραυνῶν δῆθεν εἰργόντων αὐτόν· τέλος 342 R.
δὲ τὴν τάφρον διαβαινομένην καὶ τὸν ναύσταθμον πολιορ-
κούμενον καὶ ῥηγνυμένας ὑπὸ τοῦ Ἕκτορος τὰς πύλας καὶ
τοὺς Ἀχαιοὺς εἰς τὰς ναῦς ἤδη κατειλημένους καὶ περὶ τὰς
σκηνὰς πάντα τὸν πόλεμον καὶ τὸν Αἴαντα ἄνωθεν μαχόμε-
νον ἀπὸ τῶν νεῶν καὶ τέλος ἐκβληθέντα ὑπὸ τοῦ Ἕκτορος
90 καὶ ἀναχωρήσαντα καὶ τῶν νεῶν τινας ἐμπρησθείσας. ἐνταῦ-
θα γὰρ οὐκ ἔστιν Αἰνείας ὑπὸ Ἀφροδίτης ἁρπαζόμενος οὐδὲ
Ἄρης ὑπὸ ἀνδρὸς τιτρωσκόμενος οὐδὲ ἄλλο τοιοῦτον οὐθὲν
ἀπίθανον, ἀλλὰ πράγματα ἀληθῆ καὶ ὅμοια γεγονόσιν. μεθ'
ἣν ἧτταν οὐκέτι ἦν ἀναμάχεσθαι δυνατὸν οὐδὲ θαῤῥῆσαι
ποτε τοὺς οὕτως ἀπειρηκότας, ὡς μήτε ὑπὸ τῆς τάφρου μήτε
ὑπὸ τοῦ ἐρύματος ὠφεληθῆναι μηθὲν μήτε αὐτὰς διαφυλάξαι
91 τὰς ναῦς. ποία γὰρ ἔτι τηλικαύτη δύναμις ἢ τίς οὕτως ἀνὴρ
ἄμαχος καὶ θεοῦ ῥώμην ἔχων, ὃς ἐπιφανεὶς ἠδύνατο σῶσαι
τοὺς ἀπολωλότας ἤδη; τὸ γὰρ τῶν Μυρμιδόνων πλῆθος πό-
σον τι πρὸς τὴν σύμπασαν ἦν στρατιάν; ἢ τὸ τοῦ Ἀχιλλέως
οὐ δήπου τότε πρῶτον μέλλοντος μάχεσθαι, πολλάκις δὲ ἐν 176 M.
πολλοῖς τοῖς ἔμπροσθεν ἔτεσιν εἰς χεῖρας ἐλθόντος καὶ μήτε
τὸν Ἕκτορα ἀποκτείναντος μήτε ἄλλο μηθὲν εἰργασμένου

δῆλον M. ‖ 4. ὅ τι BM. Reisk., καὶ ὅ τι reliq., ὅ τι καὶ Obs. p. 24. ‖ 6. τῇ ἀληθείᾳ. τ' ἀληθῆ M. — 88, 1. ἀλλ'. ἀλλὰ M. ‖ 2. ὥς γε. ὥστε M ‖ 4. φῇ BM, φησὶ reliq. ‖ Ἰδομενέα. εἰδομενέα M. ‖ 5. δύο. δύ' M. ‖ 6. δὲ M. Obs. p. 25, δὴ reliq. — 89, 2. διαβαινομένην. διαμαινομένην M. ‖ 4. κατειλημένους r, κατειλιμένους B. κατειλημμένους reliq. ‖ 5. πάντα. συστάντα Geel., possit ὄντα. ‖ 6. ἀπό. ὑπὸ B. — 90, 4. γεγονόσιν. γεγονόσι B, γεγόνασιν M. ‖ 6. τάφρου. ἄφρου M. — 91. 1. ποία. ποῖα M. ‖ 2. ἠδύνατο. ἐδύνατο B. ‖ 4. στρατιάν. στρατειὰν M. ‖ Ἀχιλλέως. post hoc v. κράτος supplet Reisk.

μέγα, εἰ μή γε Τρωίλον, παῖδα ἔτι ὄντα τὴν ἡλικίαν, ἑλόντος:
92 ἐνταῦθα δὲ γενόμενος Ὅμηρος οὐδὲν ἔτι τἀληθοῦς ἐφρόντισεν,
ἀλλ' εἰς ἅπαν ἧκεν ἀναισχυντίας καὶ πάντα τὰ πράγματα
ἁπλῶς ἀνέτρεψεν καὶ μετέστησεν εἰς τοὐναντίον, καταπεφρο-
νηκὼς μὲν τῶν ἀνθρώπων, ὅτι καὶ τἄλλα ἑώρα πάνυ ῥᾳδίως 313 R
πειθομένους αὐτοὺς καὶ περὶ τῶν θεῶν, οὐκ ὄντων δὲ ἑτέρων
ποιητῶν οὐδὲ συγγραφέων, παρ' οἷς ἐλέγετο τἀληθὲς, ἀλλ'
αὐτὸς πρῶτος ἐπιθέμενος ὑπὲρ τούτων γράφειν, γενεαῖς δὲ
ὕστερον ξυνθεὶς πολλαῖς τῶν εἰδότων αὐτὰ ἠφανισμένων καὶ
τῶν ἐξ ἐκείνων [ἔτι], ἀμαυρᾶς δὲ καὶ ἀσθενοῦς ἔτι φήμης
ἀπολειπομένης, ὡς εἰκὸς περὶ τῶν σφόδρα παλαιῶν, ἔτι δὲ
πρὸς τοὺς πολλοὺς καὶ ἰδιώτας μέλλων διηγεῖσθαι τὰ ἔπη,
καὶ ταῦτα βελτίω ποιῶν τὰ τῶν Ἑλλήνων, ὡς μηδὲ τοὺς γιγ-
93 νώσκοντας ἐξελέγχειν. οὕτω δὴ ἐτόλμησε τὰ ἐναντία τοῖς
γενομένοις ποιῆσαι. τοῦ γὰρ Ἀχιλλέως ἐπιβοηθήσαντος ἐν
τῇ καταλήψει τῶν νεῶν ὑπ' ἀνάγκης τὸ πλέον καὶ τῆς αὐτοῦ
σωτηρίας ἕνεκα, τροπήν μέν τινα γενέσθαι τῶν Τρώων καὶ
ἀναχωρῆσαι παραχρῆμα ἀπὸ τῶν νεῶν αὐτοὺς καὶ σβεσθῆναι
τὸ πῦρ, ἅτε ἐξαπίνης ἐπιπεσόντος τοῦ Ἀχιλλέως, καὶ τούς τε
ἄλλους ἀποχωρεῖν καὶ τὸν Ἕκτορα ὑπάγειν αὐτὸν ἔξω τῆς
τάφρου καὶ τῆς περὶ τὸ στρατόπεδον στενοχωρίας, σχέδην δὲ
94 καὶ ἐφιστάμενον, ὥσπερ αὐτός φησιν Ὅμηρος. συμπεσόντων
δὲ καὶ μαχομένων πάλιν τὸν Ἀχιλλέα κάλλιστα ἀγωνίσασθαι
μετὰ τῶν αὐτοῦ καὶ πολλοὺς ἀποκτεῖναι τῶν Τρώων καὶ τῶν 314 R
ἐπικούρων, ἄλλους τε καὶ τὸν Σαρπηδόνα, τὸν τοῦ Διὸς υἱὸν
λεγόμενον εἶναι, βασιλέα Λυκίων· καὶ περὶ τὴν τοῦ ποταμοῦ
διάβασιν ἀποχωρούντων γενέσθαι φόνον πολύν, οὐ μέντοι
προτροπάδην φεύγειν αὐτούς, ἀλλὰ πολλὰς ἑκάστοτε ὑπο-

8. εἰ μή γε Reisk., μήτε BMA. v, εἰ μὴ Rhodom. mr. ‖ Τρωίλον B, Τρώιλοι reliq.— 92, 1. ἔτι BM. Rhodom., ὅτι v, ὅ τι mr. ‖ 3. καταπεφρονηκώς. καταφρονηκὼς B, καταπεφρονικὼς M. ‖ 5. πειθομένους. πιθομένους M. ‖ καὶ BMA, καὶ τὰ reliq. ‖ 9. [ἔτι] delet Reisk. ‖ δὲ BM. v, τε mr. ‖ 10. εἰκὸς. εἰκὸς σφόδρα BM. ‖ σφόδρα om. BMA. ‖ 12. ποιῶν BM. Pflugk., ποιεῖν reliq. ‖ γιγνώσκοντας BM, γινώσκοντας reliq. — 93, 1. οὕτω. οὕτως M. ‖ 3. αὐτοῦ. αὑτοῦ B. ‖ 5. αὐτοὺς. αὐτοῦ M. ‖ 6. ἅτε. ἅτ' B. ‖ 7. ὑπάγειν. ἀπάγειν BM. ‖ αὐτὸν. αὑτὸν M. ‖ 8. σχέδην Iacobs. Add. p. 76, σχεδὸν reliq. — 94, 3. αὐτοῦ. αὑτοῦ M. ‖ 4. ἄλλους Reisk., ἄλλως reliq. ‖ υἱὸν λεγόμενον εἶναι BM, εἶναι λεγόμενον υἱὸν reliq. ‖ 6. ἀποχωρούντων Rhodom., ἀποχωροῦντα reliq. ‖ 7. προτροπάδην. προτροπάδιν M.

95 στροφὰς γίγνεσθαι. τὸν δὲ Ἕκτορα ἐν τούτῳ παραφυλάτ-
τειν, ἐμπειρότατον ὄντα καιρὸν μάχης ξυνεῖναι, καὶ μέχρι μὲν
ἤκμαζεν ὁ Ἀχιλλεὺς καὶ νεαλὴς ὢν ἐμάχετο, μὴ ξυμφέρεσθαι 131 M
αὐτῷ, μόνον δὲ τοὺς ἄλλους παρακαλεῖν· ἐπεὶ δ' ᾐσθάνετο
κάμνοντα ἤδη καὶ πολὺ τῆς πρότερον ὑφεικότα ὁρμῆς, ἅτε οὐ
ταμιευσάμενον ἐν τῷ ἀγῶνι, καὶ ὑπὸ τοῦ ποταμοῦ κοπωθέντα
μείζονος ἐῤῥυηκότος καὶ ἀπείρως διαβαίνοντα, καὶ ὑπό τε
Ἀστεροπαίου τοῦ Παίονος ἑώρα τετρωμένον, Αἰνείαν τε
συστάντα αὐτῷ καὶ μαχεσάμενον ἐπὶ πλέον, ὁπότε δὲ ἠβου-
λήθη ἀσφαλῶς ἀποχωρήσαντα, Ἀντήνορα δὲ οὐ καταλαβόντα
ὁρμήσαντα διώκειν· καίτοι τούτῳ μάλιστα προεῖχεν ὁ Ἀχιλ-
96 λεὺς, ὅτι ἐδόκει τάχιστος εἶναι· καταφανὴς οὖν ἐγεγόνει αὐ-
τῷ διὰ τούτων ἁπάντων εὐάλωτος ὢν, ἅτε δεινῷ τὴν πολεμι-
κὴν τέχνην [ὄντι]· ὥστε θαῤῥῶν ἀπήντησεν αὐτῷ κατὰ μέσον
τὸ πεδίον. καὶ τὸ μὲν πρῶτον ἐνέκλινεν ὡς φεύγων ἀποπει-
ρώμενος αὐτοῦ, ἅμα δὲ καὶ κοπῶσαι βουλόμενος, ὁτὲ μὲν
περιμένων ὁτὲ δὲ ἀποφεύγων· ἐπεὶ δὲ ἑώρα βραδὺν ὄντα καὶ 345 R.
ἀπολειπόμενον, οὕτως ὑποστρέψας αὐτὸς ἧκεν ἐπ' αὐτὸν οὐδὲ
τὰ ὅπλα φέρειν ἔτι δυνάμενον καὶ συμβαλὼν ἀπέκτεινε καὶ
τῶν ὅπλων ἐκράτησεν, ὡς καὶ τοῦτο Ὅμηρος εἴρηκεν. τοὺς δὲ
ἵππους διῶξαι μέν φησι τὸν Ἕκτορα, οὐ λαβεῖν δὲ, κἀκείνων
97 ἁλόντων. τὸ μὲν οὖν σῶμα μόλις διέσωσαν ἐπὶ τὰς ναῦς οἱ
Αἴαντες. οἱ γὰρ Τρῶες ἤδη θαῤῥοῦντες καὶ νικᾷν νομίζον-
τες μαλακώτερον ἐφείποντο, ὁ δὲ Ἕκτωρ ἐνδυσάμενος τὰ τοῦ
Ἀχιλλέως ὅπλα ἐπίσημα ὄντα ἔκτεινέ τε καὶ ἐδίωκε μέχρι τῆς
θαλάττης, ὡς ὁμολογεῖ ταῦτα Ὅμηρος· νὺξ δὲ ἐπιγενομένη
ἀφείλετο μὴ πάσας ἐμπρῆσαι τὰς ναῦς. τούτων δὲ οὕτω γενο-
μένων οὐκ ἔχων, ὅπως κρύψῃ τἀληθὲς, Πάτροκλον εἶναί φησι
τὸν ἐπεξελθόντα μετὰ τῶν Μυρμιδόνων ἀναλαβόντα τὰ τοῦ

8. γίγνεσθαι BM, γίνεσθαι reliq. — 95, 1. δέ. δ' B. || 2. ξυνεῖναι. ξυνῆναι B. || 3. ὁ om. M. || νεαλής. νέηλυς A. || 5. πολύ. πολὺς M. || ἅτε BMA.v, ἅτε οὐδὲν mr. || 6. καὶ in M a corr. add. || 9. ἐπὶ πλέον BM, ἐπίπλεον reliq. || ἠβουλήθη M, ἐβουλήθη reliq. || 11. προεῖχεν. προσεῖχεν BM. — 96, 1. ἐγεγόνει. ἐδόκει m. || 2. ὤν. ὢν M. || δεινῷ. δεινοῦ B. || 3. [ὄντι] om. BM. || 4. πεδίον. παιδίον M. || ἐνέκλινεν ἐνέκλειεν M. || 5. καὶ om. M. || 6. ἐπεὶ BMA. Rhodom., ὑπὸ v, ὡς mr. || βραδὺν ὄντα. βραδύνοντα M. || 8. συμβαλὼν M, συλλαβὼν reliq. || 9. τοῦτο. αὐτὸς Reisk. || εἴρηκεν M, εἴρηκε reliq. — 97, 6. ἀφείλετο. ἀφεῖλε τὸ B, ἀφείλατο M. || οὕτω B, οὕτως reliq. || 7. κρύψῃ BM, κρύψαι reliq.

Digitized by Google

Ἀχιλλέως ὅπλα, καὶ τοῦτον ὑπὸ τοῦ Ἕκτορος ἀποθανεῖν, καὶ
98 τὸν Ἕκτορα τῶν ὅπλων οὕτω κρατῆσαι. καίτοι πῶς ἂν ὁ
Ἀχιλλεὺς ἐν τοσούτῳ κινδύνῳ τοῦ στρατοπέδου ὄντος καὶ
τῶν νεῶν ἤδη καιομένων καὶ ὅσον οὔπω ἐπ' αὐτὸν ἥκοντος 178 M
τοῦ δεινοῦ, καὶ τὸν Ἕκτορα ἀκούων, ὅτι φησὶ μηδένα αὐτῷ
ἀξιόμαχον εἶναι καὶ τὸν Δία βοηθεῖν αὐτῷ καὶ δεξιὰ σημεῖα
φαίνειν, εἴ γε ἐβούλετο σῶσαι τοὺς Ἀχαιούς, αὐτὸς μὲν ἔμενεν
ἐν τῇ σκηνῇ ἄριστος ὢν μάχεσθαι, τὸν δὲ πολὺ χείρονα αὐτοῦ
ἔπεμπε; καὶ ἅμα μὲν παρήγγελλεν ἐμπεσεῖν ἰσχυρῶς καὶ
ἀμύνεσθαι τοὺς Τρῶας, ἅμα δὲ τῷ Ἕκτορι μὴ μάχεσθαι;
οὐδὲ γὰρ ἐπ' ἐκείνῳ ἦν, οἶμαι, προελθόντι γε ἅπαξ οὕτως ὡς
99 ἐβούλετο μάχεσθαι. οὕτω δὲ ὑποκαταφρονῶν τοῦ Πατρό- 346 R
κλου καὶ ἀπιστῶν αὐτῷ τὴν δύναμιν ἐπιτρέπει ἐκείνῳ καὶ τὰ
ὅπλα τὰ αὑτοῦ καὶ τοὺς ἵππους, ὡς ἂν κάκιστά τις βουλεύσαιτο
περὶ τῶν αὑτοῦ πάντα ἀπολέσαι βουλόμενος. ἔπειτα ηὔχετο
τῷ Διὶ ὑποστρέψαι τὸν Πάτροκλον μετὰ τῶν ὅπλων ἁπάντων
καὶ τῶν ἑταίρων, οὕτως ἀνοήτως πέμπων αὐτὸν πρὸς ἄνδρα
κρείττονα, ᾧ προκαλουμένῳ τοὺς ἀρίστους οὐδεὶς ὑπακοῦσαι
100 ἤθελεν. ὁ δὲ Ἀγαμέμνων ἄντικρυς ἔφη καὶ τὸν Ἀχιλλέα
φοβεῖσθαι καὶ μὴ βούλεσθαι συμβαλεῖν ἐκείνῳ. τοιγαροῦν
οὕτω βουλευσάμενον αὐτὸν λέγει τοῦ τε ἑταίρου στερηθῆναι
καὶ πολλῶν ἑτέρων, ὀλίγου δὲ καὶ τῶν ἵππων καὶ ἄνοπλον
γενέσθαι, ἃ οὐδέποτ' ἂν ἐποίησεν Ἀχιλλεὺς μὴ ἀπόπληκτος
ὤν· εἰ δὲ μή, πάντως ἂν αὐτὸν ἐκώλυσε Φοῖνιξ. ἀλλ' οὐ γὰρ
ἐβούλετο, φησί, ταχέως ἀπαλλάξαι τοῦ κινδύνου τοὺς Ἀχαιούς,
ἕως ἂν λάβῃ τὰ δῶρα, καὶ ἅμα οὐδέπω τῆς ὀργῆς ἐπέπαυτο.
101 καὶ τί ἦν ἐμποδὼν αὐτὸν προελθόντα ἐφ' ὅσον ἐβούλετο πάλιν
μηνίειν; ξυνεὶς δὲ τῆς τοιαύτης ἀλογίας αἰνίττεται διὰ πρόῤ-

9. τοῦτον. τὸν M. ‖ 10. οὕτω. οὕτως M. — 98, 3. ἐπ' αὐτόν. ἐμαυτὸν M. ‖ 6. ἔμενεν ἐν τῇ σκηνῇ. ἐν τῇ σκηνῇ ἔμενεν M, ἔμενεν om. B. ‖ 9. ἀμύνεσθαι τοὺς Τρῶας. ἀμύνειν τοῖς τρωσὶν BM, ἀμύνειν τοῖς τρωσὶ var. l. v. mrg. m. ‖ 10. οὐδέ. οὐδὲν M. ‖ γε ἅπαξ MA, ἅπαξ reliq. ‖ ὡς om. M. — 99, 1. οὕτω. οὕτως M. ‖ ὑποκαταφρονῶν. ὑπὸ καταφρονῶν M, καταφρονῶν aut ὑπερφρονῶν Reisk. ‖ 2. ἐπιτρέπει. ἐπιτρέπειν B, ἐπιτρέπων M. ‖ 3. τὰ αὑτοῦ. sic dedi. τὰ αὐτοῦ M, αὐτοῦ reliq. ‖ ἄν. ἂν εἰ Reisk. ‖ 4. τῶν om. A. ‖ αὑτοῦ. αὐτοῦ M. ‖ πάντα. πᾶν M. ‖ 6. καὶ τῶν ἑταίρων om. A, καὶ τῶν ἑτέρων B. — 100, 3. λέγει Selden., λέγειν reliq. ‖ 4. ἄνοπλον. ἄοπλον BM. ‖ 5. μή. μὴ δὲ BMA, malim μή γε. ‖ 6. ἀλλ' om. M. — 101, 1. ἐμποδὼν MA, ἐμποδῶν B, ἐμπόδιον reliq. ‖ προελθόντα. προσελθόντα M. ‖ 2. διὰ πρόῤῥησιν. sic dedi. conf. II. 9, 410. 16, 36 et 50. διὰ πρόῤῥησιν B, δι'

ῥησίν τινα μένειν αὐτὸν, ὡς, εἰ ἐξίοι, πάντως ἀποθανούμενον,
ἄντικρυς αὐτοῦ κατηγορῶν δειλίαν. καίτοι ἐξῆν αὐτῷ διὰ
ταύτην τὴν πρόῤῥησιν ἀποπλεῦσαι διενεχθέντα πρὸς τὸν Ἀγα-
μέμνονα. οὐ μέντοι ἀλλὰ καὶ περὶ τοῦ Πατρόκλου ἐτύγχανεν
ἀκηκοὼς τῆς μητρὸς, ὃν φησιν ἐν ἴσῳ τῇ ἑαυτοῦ κεφαλῇ τι- 179 M. 347 R.
μᾶν καὶ μηδὲ αὐτὸς ἔτι βούλεσθαι ζῆν ἐκείνου ἀποθανόντος.
102 ὅμως δὲ ὁρῶν αὐτὸν οὐ δυνάμενον βαστάσαι τὸ δόρυ τἄλλα
ἐδίδου δηλονότι προσεοικότα τῷ δόρατι καὶ οὐκ ἐφοβεῖτο, μὴ
οὐ δύνηται φέρειν αὐτά· ὥσπερ οὖν καί φησι συμβῆναι περὶ
τὰς μάχας. ἀλλὰ γὰρ εἴ τις ἅπαντα ἐλέγχοι, πολὺ ἂν ἔργον
εἴη. τὸ γὰρ ψεῦδος ἐξ αὐτοῦ φανερόν ἐστι τοῖς προσέχουσιν·
ὥστε οὐδενὶ ἄδηλον καὶ τῶν ὀλίγον νοῦν ἐχόντων, ὅτι σχεδὸν
ὑπόβλητός ἐστιν ὁ Πάτροκλος καὶ τοῦτον ἀντήλλαξεν
Ὅμηρος τοῦ Ἀχιλλέως βουλόμενος τὸ κατ' ἐκεῖνον κρύψαι.
103 ὑφορώμενος δὲ, μή τις ἄρα καὶ τοῦ Πατρόκλου ζητῇ τάφον·
ὥσπερ οἶμαι καὶ τῶν ἄλλων ἀριστέων τῶν ἀποθανόντων ἐν
Τροίᾳ φανεροί εἰσιν οἱ τάφοι· διὰ τοῦτο προκαταλαμβάνων
οὐκ ἔφη τάφον αὐτοῦ γενέσθαι καθ' αὑτὸν, ἀλλὰ μετὰ τοῦ
Ἀχιλλέως τεθῆναι. καὶ Νέστωρ μὲν οὐκ ἠξίωσε μετ' Ἀντι-
λόχου ταφῆναι δι' αὐτὸν ἀποθανόντος, οἴκαδε τὰ ὀστᾶ κομί-
σας· τὰ δὲ τοῦ Ἀχιλλέως ὀστᾶ ἀνεμίχθη τοῖς τοῦ Πατρόκλου;
μάλιστα μὲν οὖν ἐβούλετο Ὅμηρος ἀφανίσαι τὴν τοῦ Ἀχιλλέως
104 τελευτὴν ὡς οὐκ ἀποθανόντος ἐν Ἰλίῳ. τοῦτο δὲ ἐπεὶ ἀδύ-
νατον ἑώρα τῆς φήμης ἐπικρατούσης καὶ τοῦ τάφου δεικνυ-
μένου, τό γε ὑφ' Ἕκτορος αὐτὸν ἀποθανεῖν ἀφείλετο καὶ
τοὐναντίον ἐκεῖνον ὑπὸ τοῦ Ἀχιλλέως ἀναιρεθῆναί φησιν, ὃς
τοσοῦτον ὑπερεῖχε τῶν ἀνθρώπων ἁπάντων, καὶ προσέτι

ἀπόῤῥησιν reliq. ‖ 3. ὡς, εἰ ἐξίοι, πάντως. sic dedi. ὡς (reliq. omiss.) M, εἰ ἐξήει πάντως reliq. ‖ 4. ἐξῆν. ἐξὸν ἦν BM. ‖ 5. πρόῤῥησιν. sic dedi. ἀπόῤῥησιν reliq. ‖ 6. περὶ τοῦ BM, τοῦ om. reliq. ‖ 7. ἐν ἴσῳ BM. var. l. v, ἶσον reliq. ‖ 8. αὐτὸς. αὐτὸ m. — 102, 1. ὅμως δὲ ὁρῶν. sic dedi. ὡς δὲ ἑώρων M, ὡς δὲ ἑώρα reliq. Rhodom. v. ὡς—μάχας uncis inclusit, non enim rite cum antecedentibus nexa esse. ‖ τἄλλα M, τὰ ἄλλα reliq. ‖ 4. τὰς μάχας. malim τῆς μάχης. ‖ ἂν ἔργον BM, ἔργον ἂν reliq. ‖ 5. φανερόν BM, φανερώτερον reliq. ‖ 6. καὶ om. M. ‖ ὅτι. ὅστις (mrg. vulg.) M. ‖ 7. ἀντήλλαξεν. sic dedi. ἀπήλλαξεν BM, ἀπήλεγξεν reliq. ‖ 8. τοῦ Ἀχιλλέως. sic dedi. διὰ τοῦ Ἀχιλλέως reliq. — 103, 1. δὲ. δεῖ M. ‖ ζητῇ BM, ζητοῖ reliq. ‖ 8. ἀφανίσαι. ἐφανίσαι. v. ‖ 9. ὡς om. v. — 104, 3. τό γε Reisk., τό τε reliq. ‖ ἀφείλετο. ἀναφείλατο M. ‖ 4. ἀναιρεθῆναί. ἀνερεθῆναι M. ‖ ὃς om B, in M mrg. add. ‖ 5. προσέτι. προσέτει M.

Digitized by Google

αἰκισθῆναι τὸν νεκρὸν αὐτοῦ καὶ συρῆναι μέχρι τῶν τειχῶν. 318 R
πάλιν δὲ εἰδὼς τάφον ὄντα τοῦ Ἕκτορος καὶ τιμώμενον αὐ-
τὸν ὑπὸ τῶν πολιτῶν, ἀποδοθῆναι αὐτὸν λέγει κελεύσαντος
105 *τοῦ Διὸς καὶ λύτρων δοθέντων, τέως δὲ τὴν Ἀφροδίτην ἐπι-*
μεληθῆναι καὶ τὸν Ἀπόλλω τοῦ διαμεῖναι τὸν νεκρόν. οὐκ
ἔχων δὲ ὅ τι ποιήσῃ τὸν Ἀχιλλέα, ἐπεὶ ἔδει αὐτὸν ὑπὸ τῶν
Τρώων τινὸς ἀνῃρῆσθαι· οὐ γὰρ δὴ καὶ τοῦτον ἔμελλεν,
ὥσπερ καὶ τὸν Αἴαντα, ὑφ' ἑαυτοῦ ἀποθανόντα ποιεῖν φθο-
νῶν τῆς δόξης τῷ ἀνελόντι· τὸν Ἀλέξανδρόν φησιν ἀποκτεῖναι
αὐτὸν, ὃν πεποίηκε τῶν Τρώων κάκιστον καὶ δειλότατον καὶ 180 M
ὑπὸ τοῦ Μενέλεω μικροῦ δεῖν ζωγρηθέντα, ὃν λοιδορούμενον
ἀεὶ πεποίηκεν ὡς μαλθακὸν αἰχμητὴν καὶ ἐπονείδιστον ἐν τοῖς
106 *Ἕλλησιν. καὶ ἵνα δὴ τοῦ Ἕκτορος τὴν δόξαν ἀφέλοιτο, καὶ*
τὸν Ἀχιλλέα φαίνεται καθῃρηκὼς πολὺ χείρω καὶ ἀδοξότερον
αὐτοῦ ποιήσας τὸν θάνατον. τέλος δὲ προάγει ἤδη τεθνη-
κότα τὸν Ἀχιλλέα καὶ ποιεῖ μαχόμενον· οὐκ ὄντων δὲ ὅπλων,
ἀλλὰ τοῦ Ἕκτορος ἔχοντος· ἐν τούτῳ γὰρ ἔλαθεν αὐτὸν ἕν τι
τῶν ἀληθῶν ῥηθέν· ἐκ τοῦ οὐρανοῦ φησι κομίσαι τὴν Θέτιν
ὑπὸ τοῦ Ἡφαίστου γενόμενα ὅπλα· καὶ οὕτω δὴ γελοίως τὸν
Ἀχιλλέα μόνον τρεπόμενον τοὺς Τρῶας, τῶν δὲ ἄλλων Ἀχαιῶν
ὥσπερ οὐδενὸς παρόντος ἁπάντων ἐπελάθετο. ἅπαξ δὲ τολ-
μήσας τοῦτο ψεύσασθαι πάντα συνέχεεν. καὶ τοὺς θεοὺς
ἐνταῦθα ποιεῖ μαχομένους ἀλλήλοις σχεδὸν ὁμολογῶν, ὅτι
107 *οὐδὲν αὐτῷ μέλει ἀληθείας. πάνυ δὲ ἀσθενῶς καὶ ἀπιθάνως* 319 R
τὴν ἀριστείαν διελθὼν, ὁτὲ μὲν ποταμῷ μαχόμενον αὐτὸν,
ὁτὲ δὲ ἀπειλοῦντα Ἀπόλλωνι καὶ διώκοντα αὐτόν. ἐξ ὧν
ἁπάντων ἰδεῖν ἔστι τὴν ἀπορίαν αὐτοῦ σχεδόν. οὐ γάρ ἐστιν
ἐν τοῖς ἀληθέσιν οὕτως ἀπίθανος οὐδὲ ἀηδής. μόλις δέ ποτε
τῶν Τρώων εἰς τὴν πόλιν φευγόντων τὸν Ἕκτορα πεποίηκε
πρὸ τοῦ τείχους ἀνδρειότατα ὑπομένοντα αὐτὸν καὶ μήτε τῷ

9. *Διὸς καὶ* **M,** *καὶ* **om. reliq. — 105, 3.** *ποιήσῃ* **BM,** *ποιήσει* **reliq. ‖ 7.** *τῶν.* *τὸν* **B. ‖ 9.** *ὡς.* *οὕτως* **BMA. v,** *ὡς.* **‖ 10.** *Ἕλλησιν* **M,** *Ἕλλησι* **reliq. — 106, 1.** *καὶ* **om. M. ‖** *τοῦ Ἕκτορος τὴν.* *τὴν τοῦ Ἕκτορος* **B. ‖ 2.** *πολὺ* **Geel.,** *καὶ πολὺ* **reliq. ‖ 3.** *προάγει.* *προάγῃ* **M. ‖** *τεθνηκότα* **BM. Selden.,** *τεθνηξόμενον* **reliq. ‖ 5.** *τούτῳ γάρ.* **sic dedi.** *γὰρ* **om. reliq. ‖ 6.** *ἐκ* **M (corr.** *καὶ γὰρ ἐκ***),** *καὶ γὰρ ἐκ* **reliqui, in quo iure haerebat Seldenus. conf. § 125. ‖** *Θέτιν.* *Θέτην* **B. ‖ 7.** *οὕτω.* *οὕτως* **M. ‖ 10.** *τοῦτο.* *τοῦ* **M. ‖** *συνέχεεν* **M,** *συνέχεε* **reliq. ‖ 12.** *μέλει.* *μέλλει* **M. — 107, 2.** *ὁτὲ μέν.* *ὅτε μὲν* **BM. ‖** *ποταμῷ.* *ποιεῖ ποταμῷ* **Geelius, recte opinor. ‖ 3.** *ὁτὲ δέ.* *ὅτε δὲ* **BM. ‖** *αὐτόν* **om. B. ‖ 5.** *δέ* **om. B, in M a corr. add.**

πατρὶ δεομένῳ μήτε τῇ μητρὶ πειθόμενον, ἔπειτα φεύγοντα κύκλῳ τῆς πόλεως ἔξω εἰσελθεῖν, καὶ τὸν Ἀχιλλέα τάχιστον ἀνθρώπων ἀεί ποτε ὑπ' αὐτοῦ λεγόμενον οὐ δυνάμενον κα-
108 ταλαβεῖν. τοὺς δὲ Ἀχαιοὺς ὁρᾶν ἅπαντας ὥσπερ ἐπὶ θέαν παρόντας καὶ μηδένα βοηθεῖν τῷ Ἀχιλλεῖ, τοιαῦτα πεπονθότας ὑπὸ τοῦ Ἕκτορος καὶ μισοῦντας αὐτόν, ὥστε καὶ νεκρὸν τιτρώσκειν. ἔπειτα Δηΐφοβον ἐξελθόντα τοῦ τείχους, μᾶλλον δὲ Ἀθηνᾶν παραλογίσασθαι αὐτὸν εἰκασθεῖσαν Δηϊφόβῳ καὶ τὸ δόρυ κλέψαι τὸ τοῦ Ἕκτορος ἐν τῇ μάχῃ, οὐδὲ ὅπως ἀποκτείνῃ τὸν Ἕκτορα εὑρίσκων, τρόπον τινὰ ἰλιγγιῶν περὶ τὸ ψεῦδος καὶ τῷ ὄντι ὡς ἐν ὀνείρατι μάχην διηγούμενος. μάλι- 181 M
στα γοῦν προσέοικε τοῖς ἀτόποις ἐνυπνίοις τὰ περὶ τὴν μάχην
109 ἐκείνην. εἰς τοῦτο δὲ προελθὼν ἀπεῖπε λοιπόν, οὐκ ἔχων ὅ τι χρήσηται τῇ ποιήσει καὶ τοῖς ψεύσμασι δυσχεραίνων, ἀγῶνά τινα προθεὶς ἐπιτάφιον, καὶ τοῦτο πάνυ γελοίως, καὶ τοῦ 330 R.
Πριάμου βασιλέως εἰς τὸ στρατόπεδον ἄφιξιν παρὰ τὸν Ἀχιλλέα μηδενὸς αἰσθομένου τῶν Ἀχαιῶν, καὶ τὰ λύτρα κομίσαι τοῦ Ἕκτορος. καὶ οὔτε τὴν τοῦ Μέμνονος βοήθειαν οὔτε τὴν τῶν Ἀμαζόνων, οὕτω θαυμαστὰ καὶ μεγάλα, ἐτόλμησεν εἰπεῖν οὔτε τὸν τοῦ Ἀχιλλέως θάνατον οὔτε τὴν ἅλωσιν τῆς Τροίας.
110 οὐδὲ γὰρ ὑπέμεινεν οἶμαι πάλαι τεθνηκότα τὸν Ἀχιλλέα ποιεῖν πάλιν ἀναιρούμενον οὐδὲ νικῶντας τοὺς ἡττηθέντας καὶ φεύγοντας οὐδὲ τὴν κρατήσασαν πόλιν, ταύτην πορθουμένην. οἱ δὲ ὕστερον ἅτε ἐξηπατημένοι καὶ τοῦ ψεύδους ἰσχύοντος ἤδη θαῤῥοῦντες ἔγραφον. τὰ δὲ πράγματα οὕτως
111 ἔσχεν. Ἀχιλλέως τελευτήσαντος ὑπὸ Ἕκτορος ἐν τῇ βοηθείᾳ τῶν νεῶν οἱ μὲν Τρῶες, ὥσπερ καὶ πρότερον, ἐπηυλίσθησαν ἐγγὺς τῶν νεῶν ὡς φυλάξοντες τοὺς Ἀχαιούς· ὑπώπτευον γὰρ αὐτοὺς ἀποδράσεσθαι τῆς νυκτός· ὁ δὲ Ἕκτωρ ἀνεχώρησεν εἰς τὴν πόλιν παρά τε τοὺς γονέας καὶ τὴν γυναῖκα χαίρων τοῖς
112 πεπραγμένοις, ἐπὶ τοῦ στρατεύματος καταλιπὼν Πάριν. ὁ δ'

108, 5. παραλογίσασθαι. παραλογήσασθαι m. ‖ 7. εὑρίσκων Selden., εὑρίσκειν reliq. ‖ τρόπον τινὰ BMA, om. reliq. ‖ ἰλιγγιῶν. εἰλιγγιῶν M. — 109, 2. ψεύσμασι. ψεύμασι M. ‖ 3. προθείς. προσθεὶς Selden. ‖ τοῦτο. τοῦτον Reisk. ‖ τοῦ. malim τήν. ‖ 5. αἰσθομένου BM, αἰσθανομένου reliq. ‖ καί. ὡς Iacobs., ἵνα Obs. p. 25. ‖ κομίσαι om. M, ἅ φησι κομίσαι Reisk. ‖ 7. οὕτω. οὕτως M. — 110, 3. ταύτην. τὴν αὐτὴν vel αὖθις Reisk. — 111, 4. ἀποδράσεσθαι. sic dedi. ἀποδράσαι reliq. ‖ 6. Πάριν. Παρῆν M.

αὐτός τε καὶ τῶν Τρώων τὸ πλῆθος ἐκάθευδεν, ὡς εἰκὸς ἦν κεκοπωμένους καὶ μηδὲν προσδεχομένους κακόν, ἔτι δὲ παντελοῦς εὐπραγίας οὔσης. ἐν τούτῳ δὴ Ἀγαμέμνων μετὰ Νέστορος καὶ Ὀδυσσέως καὶ Διομήδους βουλευσάμενος σιωπῇ καθείλκυσαν τῶν νεῶν τὰς πολλὰς ὁρῶντες, ὅτι καὶ τῇ προτεραίᾳ μικροῦ διεφθάρησαν, ὡς μηδὲ φυγὴν ἔτι εἶναι, καὶ μέρος οὐκ ὀλίγον ἦν ἐμπεπρησμένον αὐτῶν, ἀλλ' οὐ μία ναῦς ἡ Πρωτεσιλάου· ταῦτα δὲ ποιήσαντες ἀπέπλευσαν εἰς τὴν Χερ- 351 R
ρόνησον, τῶν αἰχμαλώτων πολλὰ καταλιπόντες καὶ τῶν ἄλλων
113 *οὐκ ὀλίγα κτημάτων. ἅμα δὲ τῇ ἡμέρᾳ φανεροῦ γενομένου τοῦ πράγματος ὁ μὲν Ἕκτωρ ἠγανάκτει καὶ βαρέως ἔφερε καὶ τὸν Ἀλέξανδρον ἐλοιδόρει· τοὺς γὰρ πολεμίους αὐτὸν ἐκ τῶν χειρῶν ἀφεῖναι· τὰς δὲ σκηνὰς ἐνέπρησαν οἱ Τρῶες καὶ* 182 M
διήρπαζον τὰ καταλειφθέντα. τοῖς δὲ Ἀχαιοῖς ἐν τῷ ἀσφαλεῖ βουλευομένοις· οὐ γὰρ εἶχον οἱ περὶ τὸν Ἕκτορα ναυτικὸν ἕτοιμον, ὥστε διαβαίνειν ἐπ' αὐτούς· ἐδόκει μὲν ἀπιέναι πᾶσι πολλοῦ πλήθους ἀπολωλότος καὶ τῶν ἀρίστων ἀνδρῶν· κίνδυνος δὲ ἦν, μὴ ναῦς ποιησάμενοι παραχρῆμα ἐπιπλεύσωσιν
114 *ἐπὶ τὴν Ἑλλάδα. διὰ τοῦτο οὖν ἀναγκαῖον ἦν μένειν ὥσπερ καταρχὰς λῃστεύοντας, εἴ πως τῷ Πάριδι κάμνοντι διαλλάξειαν αὐτοὺς καὶ πρὸς φιλίαν πράξαντες ἀπελθεῖν. ὡς δὲ ἔκριναν ταῦτα, καὶ ἐποίουν πέραν μένοντες. κἀνταῦθα τοῖς Τρωσὶν ἐπῆλθον ἐκ μὲν Αἰθιοπίας Μέμνων, αἱ δὲ Ἀμαζόνες ἐκ τοῦ Πόντου βοηθοὶ καὶ ἄλλο πλῆθος ἐπικούρων, ὡς εὐτυχοῦντας ἐπυνθάνοντο τὸν Πρίαμον καὶ τὸν Ἕκτορα καὶ τοὺς Ἀχαιοὺς ὅσον οὔπω διεφθαρμένους πάντας, οἱ μέν τινες κατ' εὔνοιαν, οἱ δὲ καὶ φόβῳ τῆς δυνάμεως· οὐ γὰρ τοῖς ἡττημένοις οὐδὲ τοῖς κακῶς πράττουσιν, ἀλλὰ τοῖς νικῶσι καὶ τοῖς*

112, 4. *δή*. *δὲ* M. ‖ 5. *καθείλκυσαν*. *καθείλκουσαν* M. ‖ 7. *φυγὴν* B, *φυγεῖν* reliq. ‖ 10. *τῶν*. *τῶν δὲ* M. ‖ 11. *οὐκ ὀλίγα κτημάτων* BMA, *κτημάτων οὐκ ὀλίγα* reliq. — 113, 3. *αὐτόν*. *αὐτῶν* B. — 114, 1. *ἦν μένειν* BM, *μένειν αὐτοὺς ἦν* A, *μένειν αὐτοῦ ἦν* Selden., *μένειν ἦν* reliq. ‖ 2. *λῃστεύοντας*. *λῃστεύοντες* M. ‖ *τῷ Πάριδι*. *ὦ Πάριδι* M, *τῷ Πριάμῳ* Geel., *τῷ Πριαμίδῃ* Unger., malim *τῷ λιπαρεῖν* (et *κάμνουσι*). ‖ *διαλλάξειαν*. *διαλλάξιαν* M. ‖ 3. *αὐτούς*. *αὐτοὺς* M. ‖ *καὶ πρὸς φιλίαν*. *καὶ προσφιλίαν*. at *προσφίλεια* non ita dicitur. quondam *καὶ* omittendum esse existimavi, deinde *καὶ Τρωσὶ φιλίαν* scribendum Progr. p. 27, nunc corruptelae sedem aliam esse opinor. ‖ *πράξαντες*. *προάξαντες* Unger. (idem infra *ἀπέλθοιεν*), at ista aoristi forma a Dione aliena est. malim *πράξαιντο*. ‖ 4. *μένοντες*, *μὲν ὄντες* M. ‖ *κἀνταῦθα*. *κανταῦταν*, *κανθαῦτα* m. ‖ 10 *πράττουσιν*. *πράσσουσιν* B. ‖ *καὶ* om. B.

115 περιγενομένοις πάντες ἐθέλουσι βοηθεῖν. μετεπέμψαντο δὲ 352 R.
καὶ οἱ Ἀχαιοὶ παρ' αὐτῶν εἴ τινα ἐδύναντο ὠφέλειαν, τῶν
μὲν γὰρ ἔξωθεν οὐθὲν οὐδεὶς ἔτι προσεῖχεν αὐτοῖς· ἀλλὰ
Νεοπτόλεμόν τε τὸν Ἀχιλλέως κομιδῇ νέον ὄντα καὶ Φιλοκτή-
την ὑπεροφθέντα πρότερον διὰ τὴν νόσον καὶ τοιαύτας βοη-
θείας οἴκοθεν ἀσθενεῖς καὶ ἀπόρους. ὧν ἀφικομένων μικρὸν
ἀναπνεύσαντες πάλιν διέπλευσαν εἰς τὴν Τροίαν, καὶ περιε-
βάλοντο τεῖχος ἕτερον πολὺ ἔλαττον, οὐκ ἐν ᾧ πρότερον τόπῳ
παρὰ τὸν αἰγιαλὸν, ἀλλὰ τὸ ὑψηλὸν αὐτοῦ καταλαβόντες.
116 τῶν δὲ νεῶν αἱ μέν τινες ὑφώρμουν ὑπὸ τὸ τεῖχος, αἱ δὲ ἐν
τῷ πέραν ἔμενον· ἅτε γὰρ οὐδεμίαν ἐλπίδα ἔχοντες κρατήσειν,
ἀλλ' ὁμολογιῶν δεόμενοι, καθάπερ εἶπον, οὐ βεβαίως ἐπολέ-
μουν, ἀλλ' ἀμφιβόλως τρόπον τινὰ καὶ πρὸς ἀπόπλουν μᾶλ-
λον τὴν γνώμην ἔχοντες. ἐνέδραις οὖν ὡς τὸ πολὺ καὶ κατα-
δρομαῖς ἐχρῶντο. καί ποτε μάχης ἰσχυροτέρας γενομένης, 183 M.
βιαζομένων αὐτῶν τὸ φρούριον ἐξελεῖν, Αἴας τε ὑπὸ Ἕκτορος
ἀποθνήσκει καὶ Ἀντίλοχος ὑπὸ τοῦ Μέμνονος πρὸ τοῦ πα-
117 τρός· ἐτρώθη δὲ καὶ αὐτὸς ὁ Μέμνων ὑπὸ τοῦ Ἀντιλόχου καὶ
ἀποκομιζόμενος τραυματίας τελευτᾷ κατὰ τὴν ὁδόν. συνέβη
δὲ καὶ τοῖς Ἀχαιοῖς εὐημερῆσαι τότε ὡς οὐ πρότερον. ὅ τε
γὰρ Μέμνων μέγα ἀξίωμα ἔχων ἐτρώθη καιρίως, τήν τε Ἀμα- 353 R.
ζόνα ἀπέκτεινεν ὁ Νεοπτόλεμος καταδραμοῦσαν ἐπὶ τὰς ναῦς
ἰταμώτερον καὶ πειρωμένην ἐμπρῆσαι μαχόμενος ἐκ τῆς νεὼς
ναυμάχῳ δόρατι, καὶ Ἀλέξανδρος ἀποθνήσκει Φιλοκτήτῃ δια-
118 τοξευόμενος. ἦν οὖν ἀθυμία καὶ παρὰ τοῖς Τρωσὶν, εἰ μη-
δέποτε παύσονται τοῦ πολέμου μηδὲ ἔσται μηδὲν αὐτοῖς πλέον
νικῶσιν. ὅ τε Πρίαμος ἄλλος ἐγεγόνει μετὰ τὴν Ἀλεξάνδρου
τελευτὴν, σφόδρα ἀνιαθεὶς καὶ φοβούμενος ὑπὲρ τοῦ Ἕκτο-
ρος. πολὺ δὲ φαυλότερον ἔσχε τὰ τῶν Ἀχαιῶν Ἀντιλόχου τε

11. πάντες Reisk., ἁπάντων πάντες BM, ἁπάντως πάντες reliq., possit ἅπαντες. ‖ ἐθέλουσι. θέλουσι B. — 115, 2. ὠφέλειαν. ὠφελίαν M. ‖ 3. ἔξωθεν. ἔσωθεν BM. v. ‖ προσεῖχεν. προσεῖκεν v. ‖ 6. ἀπόρους BM. Reisk., ἀπύρους v, ἀπείρους reliqui e coni. Rhodom. ‖ 7. ἀναπνεύσαντες. ἀναπλεύσαντες M. ‖ περιεβάλοντο BM; περιεβάλλοντο reliq. — 116, 1. ὑφώρμουν. ὑφώρμων M. ‖ τὸ τεῖχος BM, Pflugk., τοῦ τείχους reliq. ‖ 3. ὁμολογιῶν. ὁμολογῶν M. ‖ 4. καὶ πρός. καὶ om. M. ‖ 7. βιαζομένων. τῶν Τρωῶν βιαζομένων Reisk. — 117, 1. ὑπὸ τοῦ M, ὑπὸ reliq. ‖ καὶ ἀποκομιζόμενος. καὶ om. m. ‖ 6. πειρωμένην. πειρομένην m. ‖ νεὼς BM, νηὸς reliq. — 118, 1. οὖν ἀθυμία. ἀθυμία οὖν B. ‖ 2. παύσονται. παύσωνται B.

καὶ Αἴαντος τεθνηκότων· ὥστε πέμπουσι περὶ συμβάσεων, φάσκοντες ἀπιέναι γενομένης εἰρήνης καὶ ὅρκων ὁμοσθέντων μηκέτι στρατεύσειν μήτε αὐτοὺς εἰς τὴν Ἀσίαν μήτε ἐκείνους
119 ἐπὶ τὸ Ἄργος. μετὰ δὲ ταῦτα ὁ μὲν Ἕκτωρ ἀντέλεγε· πολὺ γὰρ εἶναι κρείττους καὶ τὸ ἐπιτείχισμα, ἔφη, κατὰ κράτος αἱρήσειν· μάλιστα δὲ ἐχαλέπαινε τῇ Ἀλεξάνδρου τελευτῇ. δεομένου δὲ τοῦ πατρὸς καὶ τὸ γῆρος τὰ αὐτοῦ λέγοντος καὶ τῶν παίδων τὸν θάνατον, τοῦ τε ἄλλου πλήθους ἀπηλλάχθαι βουλομένου, τὰς μὲν διαλύσεις συνεχώρησεν, ἠξίου δὲ τοὺς Ἀχαιοὺς τά τε χρήματα διαλῦσαι τὰ δαπανηθέντα εἰς τὸν πόλεμον καὶ δίκην τινὰ ὑποσχεῖν, ὅτι μηθὲν ἀδικηθέντες ἐστρατεύσαντο καὶ τήν τε χώραν διέφθειραν πολλοῖς ἔτεσι καὶ ἄνδρας ἀγαθοὺς καὶ Ἀλέξανδρον, οὐδὲν ὑπ' αὐτοῦ παθόντες, ἀλλ' ὅτι κρείττων ἐνομίσθη κατα μνηστείαν καὶ
120 γυναῖκα ἔλαβεν ἐκ τῆς Ἑλλάδος τῶν κυρίων διδόντων. ὁ δὲ 354 R. 164 v
Ὀδυσσεύς· οὗτος γὰρ ἐπρέσβευε περὶ τῆς εἰρήνης· παρῃτεῖτο ἐπιδεικνὺς, ὅτι οὐχ ἧττω δεδράκασιν ἢ πεπόνθασι, καὶ τὴν αἰτίαν ἐκείνοις ἀνετίθει τοῦ πολέμου· μηθὲν γὰρ δεῖν Ἀλέξανδρον τοσούτων οὐσῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, τὸν δὲ εἰς τὴν Ἑλλάδα ἐλθόντα μνηστεύειν καὶ ἀπελθεῖν καταγελάσαντα τῶν ἀρίστων παρ' αὐτοῖς, πλούτῳ νικήσαντα. συμβῆναι γὰρ οὐχ ἁπλῶς τὴν μνηστείαν, ἀλλὰ ἐπιβουλεύειν αὐτὸν τοῖς ἐκεῖ πράγμασι διὰ τοῦτο μὴ λανθάνειν αὐτούς· ὥστε τὸ λοιπὸν ἠξίου παύσασθαι τοσούτων κακῶν γεγονότων ἀμφοτέροις, καὶ ταῦτα ἐπιγαμίας τε οὔσης καὶ συγγενείας τοῖς
121 Ἀτρείδαις πρὸς αὐτοὺς διὰ Πέλοπα. περὶ δὲ τῶν χρημάτων κατεγέλα· μὴ γὰρ εἶναι χρήματα τοῖς Ἕλλησιν, ἀλλὰ καὶ νῦν τοὺς πολλοὺς ἑκόντας στρατεύεσθαι διὰ τὴν οἴκοι πενίαν. ταῦτα δὲ ἔλεγεν ἀποτρέπων αὐτοὺς τῆς ἐπὶ τὴν Ἑλλάδα στρα- 355 R.

6. συμβάσεων. συμβιβάσεων B. ‖ 7. ὅρκων ὁμοσθέντων. ὅρκῳ νομισθέντων M. ‖ 8. στρατεύσειν BM. Reisk., στρατεύειν reliq. ‖ αὐτοὺς. ἑαυτοὺς M. — 119, 2. κράτος. κράτους M. ‖ 4. δὲ τοῦ. δὲ om. M. ‖ τὸ BM, τι reliq., malim τε τὸ. ‖ αὐτοῦ. αὑτοῦ BM. ‖ 6. βουλομένου. βουλομένους BM. ‖ 7. διαλῦσαι BM. Reisk., διαλύσας v, διαλύσαντας reliq. ‖ 9. τήν τε B, τε om. reliq. ‖ 10. ἀγαθοὺς. malim ἀγαθοὺς ἄλλους τε. ‖ 11. ἀλλ' ὅτι. ἄλλο τι M, ἄλλο, ἢ ὅτι Reisk. frustra. — 120, 3. δεδράκασιν ἢ πεπόνθασι. πεπόνθασιν ἢ δεδράκασι Reisk. ‖ 4. δεῖν. δέον Pflugk. ‖ 5. τὸν δὲ om. m, τήνδε Rhodom. ‖ 8. ἐπιβουλεύειν. sic dedi. ἐπιβουλεύοντα Obs. p. 26, ἐπιβουλεύειν ἅμα Pflugk. p. 16, ἐπιβουλεύειν ἂν reliq. ‖ 9. διὰ τοῦτο. διὰ τούτου Obs. p. 26, καὶ τοῦτο Pflugk. l. l. malim δι' αὑτοῦ, ὅ. ‖ ὥστε. ὡς δὲ M.

τείας. εἰ δέ τινα δεῖ δίκην γενέσθαι τοῦ εὐπρεποῦς χάριν, αὐτὸς εὑρεῖν. καταλείψειν γὰρ αὐτοὺς ἀνάθημα κάλλιστον καὶ μέγιστον τῇ Ἀθηνᾷ καὶ ἐπιγράψειν· Ἱλαστήριον Ἀχαιοὶ τῇ Ἀθηνᾷ τῇ Ἰλιάδι. τοῦτο γὰρ φέρειν μεγάλην τιμὴν ἐκείνοις, καθ' ἑαυτῶν δὲ γίγνεσθαι μαρτύριον ὡς ἡτ-
122 τημένων. παρεκάλει δὲ καὶ τὴν Ἑλένην ὑπὲρ τῆς εἰρήνης συλλαμβάνειν. ἡ δὲ συνέπραττε προθύμως· ἤχθετο γάρ, ὅτι δι' αὐτὴν οἱ Τρῶες ἐδόκουν πολλὰ κακὰ πάσχειν. καὶ ποιοῦνται τὰς διαλύσεις καὶ σπονδαὶ γίγνονται τοῖς Τρωσὶ καὶ τοῖς Ἀχαιοῖς· Ὅμηρος δὲ καὶ τοῦτο μετήνεγκεν ἐπὶ τὸ ψεῦδος εἰδὼς γενόμενον· ἀλλ' ἔφη τοὺς Τρῶας συγχέαι τὰς σπονδάς· ὤμοσάν τε ἀλλήλοις ὅ τε Ἕκτωρ καὶ Ἀγαμέμνων καὶ τῶν ἄλλων οἱ δυνατοί, μήτε τοὺς Ἕλληνάς ποτε στρατεύσειν εἰς τὴν Ἀσίαν, ἕως ἂν ἄρχῃ τὸ Πριάμου γένος, μήτε τοὺς Πριαμίδας εἰς Πελοπόννησον ἢ Βοιωτίαν ἢ Κρήτην ἢ Ἰθάκην ἢ Φθίαν
123 ἢ Εὔβοιαν. ταύτας γὰρ μόνας ἐξαιρέτους ἐποίουν· περὶ δὲ τῶν ἄλλων οὐκ ἐβούλοντο ὀμνύειν οἱ Τρῶες οὐδὲ τοῖς Ἀτρεί- 185 M.
δαις ἔμελεν. τούτων δὲ ὀμοσθέντων ὅ τε ἵππος ὑπὸ τῶν Ἀχαιῶν ἐπετελέσθη, μέγα ἔργον, καὶ ἀνήγαγον αὐτὸν οἱ Τρῶες πρὸς τὴν πόλιν, καὶ τῶν πυλῶν οὐ δεχομένων μέρος τι τοῦ τείχους καθεῖλον· ὅθεν γελοίως ἐλέχθη τὸ ἁλῶναι τὴν πόλιν ὑπὸ τοῦ ἵππου· καὶ τὸ στράτευμα ᾤχετο ὑπόσπονδον τούτῳ τῷ τρόπῳ. τὴν δὲ Ἑλένην ὁ Ἕκτωρ συνῴκισε Δηιφόβῳ, ὃς
124 ἦν μετ' ἐκεῖνον τῶν ἀδελφῶν ἄριστος. ὁ δὲ πατὴρ αὐτοῦ τελευτᾷ πάντων εὐδαιμονέστατος, πλὴν ὅσα λελύπηται περὶ τῶν παίδων τῶν τετελευτηκότων. καὶ αὐτὸς βασιλεύσας συχνὰ 356 R.
ἔτη καὶ πλεῖστα τῆς Ἀσίας καταστρεψάμενος γηραιὸς ἀποθνήσκει καὶ θάπτεται πρὸ τῆς πόλεως. τὴν δὲ ἀρχὴν Σκαμάνδρῳ τῷ παιδὶ κατέλιπεν. ταῦτα δὲ ἔχοντα οὕτως ἐπίστα-

121, 5. δεῖ δίκην Reisk., δίκην reliqui. Rhodomannus quoque που δεῖ ante τινα supplebat, Pflugk. δέοι post δὲ inserit. ‖ 6. αὐτός. αὐτοῖς BM. v, αὐτούς τε Rhodom. ‖ εὑρεῖν. εὑρήσειν M. ‖ καταλείψειν. καταλίψειν M. ‖ 8. τῇ Ἀθηνᾷ τῇ. τῇ r. ‖ φέρειν. φέρει BM. — 122, 3. αὐτήν. αὐτὴν BM. ‖ 4. γίγνονται BM, γίνονται reliq. ‖ 5. εἰδώς. sic dedi. ἴσως M, ὡς οὐ reliq. ‖ 6. ὤμοσάν Rhodom., ὡς ὤμοσάν reliq. ‖ 8. στρατεύσειν B. Reisk., στρατεύειν reliq. ‖ 10. Φθίαν. φθεῖαν M. — 123, 2. Ἀτρείδαις. Ἀτρίδαις r. ‖ 3. ἔμελεν. ἔμελλεν M. ‖ 4. ἐπετελέσθη. ἐτελέσθη B. ‖ 8. συνῴκισε. συνώκησεν M. ‖ Δηιφόβῳ. διφόβῳ M. — 124, 6. κατέλιπεν M (corr. κατέλιπε), κατέλιπε reliq.

Digitized by Google

μαι σαφῶς ὅτι οὐδεὶς ἀποδέξεται, φήσουσι δὲ ψευδῆ πάντες
εἶναι πλὴν τῶν φρονούντων, οὐ μόνον οἱ Ἕλληνες, ἀλλὰ καὶ
ὑμεῖς. ἡ γὰρ διαβολὴ σφόδρα χαλεπόν ἐστι καὶ τὸ ἐξηπατῆ-
125 σθαι πολὺν χρόνον. σκοπεῖτε δὲ τἀναντία, πῶς ἐστι γελοῖα,
ἀφελόντες τὴν δόξαν καὶ τὸ προκατειλῆφθαι· κρυφθῆναι μὲν
ἐν τῷ ἵππῳ στράτευμα ὅλον, τῶν δὲ Τρώων μηθένα αἰσθά-
νεσθαι τοῦτο μηδὲ ὑποπτεῦσαι, καὶ ταῦτα μάντεως οὔσης
παρ' αὐτοῖς ἀψευδοῦς, ἀλλὰ κομίσαι τοὺς πολεμίους δι' αὐ-
τῶν εἰς τὴν πόλιν· πρότερον δὲ ἕνα ἄνδρα πάντων ἡττωμένων
ἱκανὸν γενέσθαι γυμνὸν ἐπιφανέντα τῇ φωνῇ τρέψασθαι το-
σαύτας μυριάδας, καὶ μετὰ τοῦτο ὅπλα οὐκ ἔχοντα, ἐκ τοῦ
οὐρανοῦ λαβόντα νικῆσαι τοὺς μιᾷ πρότερον ἡμέρᾳ κρατοῦν-
126 τας καὶ διώκειν ἅπαντας ἕνα ὄντα. αὐτὸν δὲ ἐκεῖνον τοσοῦ-
τον ὑπερέχοντα ἀποθανεῖν ὑπὸ τοῦ πάντων κακίστου τὴν
ψυχὴν, ὡς αὐτοί φασιν, ἄλλου τε ἀποθανόντος ἄλλον σκυ-
λευθῆναι, μόνῳ δὲ ἐκείνῳ τῶν ἡγεμόνων μὴ γενέσθαι τάφον. 351 R.
ἄλλον δέ τινα τῶν ἀρίστων τοσαῦτα ἔτη πολεμοῦντα ὑπὸ μὲν
τῶν πολεμίων μηδενὸς ἀποθανεῖν, αὐτὸν δὲ ὀργισθέντα ἀπο-
σφάξαι, καὶ ταῦτα δοκοῦντα σεμνότατον καὶ πρᾳότατον εἶναι 186 M
127 τῶν συμμάχων. [τὸν δὲ ποιητὴν προθέμενον εἰπεῖν τὸν Τρωι-
κὸν πόλεμον τὰ κάλλιστα καὶ μέγιστα τῶν γεγονότων ἐᾶσαι
καὶ μηδὲ τὴν ἅλωσιν τῆς πόλεως διελθεῖν.] [ταῦτα γάρ ἐστιν
ἐν τοῖς πεποιημένοις καὶ λεγομένοις. ὁ μὲν Ἀχιλλεὺς προητ-
τημένων τῶν Ἀχαιῶν οὐκ εἰσάπαξ οὐδὲ τῶν ἄλλων μόνον,
ἀλλὰ καὶ τῆς ἑαυτοῦ στρατιᾶς, μόνος περιγενόμενος καὶ το-
σοῦτον τὰ πράγματα μεταβαλών. αὐτὸς δὲ Ἕκτορα μὲν
ἀποκτείνας, ὑπὸ δὲ Ἀλεξάνδρου ἀποθνήσκων, ὃς ἦν ὕστατος
τῶν Τρώων, ὡς αὐτοὶ λέγουσιν. Πατρόκλου δὲ ἀποθανόν-
τος σκυλευόμενος ὁ Ἀχιλλεὺς καὶ τὰ ἐκείνου ληφθέντα ὅπλα·

7. ὅτι. ὅτ' BM. — 125, 2. καὶ τὸ M, διὰ τὸ reliq. ‖ 3. Τρώων. τρόπων M. ‖ μηθένα BM, μηδένα reliq. ‖ 5. κομίσαι. sic dedi. κομίζουσι reliq. ‖ δι' αὐτῶν. δι' αὐτῶν M. ‖ 6. ἡττωμένων. ἡττώμενον BM. — 126, 6. αὐτὸν. αὐτὸν M. ‖ 8. συμμάχων. malim Ἀχαιῶν. — 127—129, 1. [τὸν δὲ—τῆς Κασσάνδρας] delenda ut ex antecedentibus repetita, vide Obs. p. 21. ‖ 3. ἐστιν. οὐκ ἔστιν Casaub. ‖ 4. ὁ μέν. καὶ ὁ μὲν m. ‖ προηττημένων. προητιτημένων M. ‖ 5. εἰσάπαξ M, εἰς ἅπαξ reliq. ‖ μόνον BM, μόνων reliq. ‖ 6. στρατιᾶς. στρατείας M. ‖ περιγενόμενος. προσγενόμενος M. ‖ 8. δὲ Ἀλεξάνδρου BM (mrg. vulg.), Ἀλεξάνδρου δὲ reliq. ‖ 9. λέγουσιν M, λέγουσι reliq.

128 ὁ δὲ Πάτροκλος οὐ ταφείς. ἐπειδὴ δὲ Αἴαντος ἦν τάφος καὶ
πάντες ᾔδεσαν αὐτὸν ἐν Τροίᾳ τελευτήσαντα, ἵνα δὴ μὴ
ποιήσῃ τὸν ἀποκτείναντα ἔνδοξον, αὐτὸς αὑτὸν ἀνελών. οἱ δὲ
Ἀχαιοὶ φεύγοντες μὲν ἐκ τῆς Ἀσίας σιωπῇ καὶ τὰς σκηνὰς
κατακαύσαντες καὶ τὸ ναύσταθμον ἀφθὲν ὑπὸ τοῦ Ἕκτορος
καὶ τὸ τεῖχος αὐτῶν ἑαλωκὸς καὶ ἀνάθημα ἀναθέντες τῇ
Ἀθηνᾷ καὶ ἐπιγράψαντες, ὡς ἔθος ἐστὶ τοὺς ἡττημένους,
οὐδὲν δὲ ἧττον τὴν Τροίαν ἑλόντες, ἐν δὲ τῷ ἵππῳ τῷ ξυλίνῳ
στράτευμα ἀνθρώπων ἀποκρυφθέν. οἱ δὲ Τρῶες ὑποπτεύ-
σαντες μὲν τὸ πρᾶγμα καὶ βουλευσάμενοι κατακαῦσαι τὸν
ἵππον ἢ διατεμεῖν, μηθὲν δὲ τούτων ποιήσαντες, ἀλλὰ πίνον-
τες καὶ καθεύδοντες, καὶ ταῦτα προειπούσης αὐτοῖς τῆς Κασ-
129 σάνδρας.] ταῦτα οὐκ ἐνυπνίοις ἐοικότα τῷ ὄντι καὶ ἀπιθάνοις
ψεύσμασιν; ἐν γάρ τοι σορῷ γεγραμμένοις ὀνείρασιν οἱ ἄν- 358 R.
θρωποι τοιαύτας ὄψεις ὁρῶσι, νῦν μὲν δοκοῦντες ἀποθνή-
σκειν καὶ σκυλεύεσθαι, πάλιν δὲ ἀνίστασθαι καὶ μάχεσθαι
γυμνοὶ ὄντες, ἐνίοτε δὲ οἰόμενοι διώκειν καὶ τοῖς θεοῖς δια-
λέγεσθαι καὶ αὐτοὺς ἀποσφάττειν καὶ μηδενὸς δεινοῦ ὄντος,
καὶ οὕτως εἰ τύχοι ποτὲ, πέτεσθαι καὶ βαδίζειν ἐπὶ τῆς θα-
λάττης. ὥστε καὶ τὴν Ὁμήρου ποίησιν ὀρθῶς ἄν τινα εἰπεῖν
130 ἐνύπνιον, καὶ τοῦτο ἄκριτον καὶ ἀσαφές. ἄξιον δὲ κἀκεῖνο
ἐνθυμηθῆναι πρὸς τοῖς ὁμολογουμένοις. ὁμολογοῦσι γὰρ
ἅπαντες τοὺς Ἀχαιοὺς ἐκ τῆς Ἀσίας ἀναχθῆναι χειμῶνος ἤδη 187 M.
καὶ διὰ τοῦτο ἀπολέσθαι τὸ πλέον τοῦ στόλου περὶ τὴν Εὔ-
βοιαν· ἔτι δὲ μὴ κατὰ ταὐτὸ πλεῖν ἅπαντας, ἀλλὰ στασιάσαι
τὸ στράτευμα καὶ τοὺς Ἀτρείδας, καὶ τοὺς μὲν Ἀγαμέμνονι,
τοὺς δὲ Μενελάῳ προσθέσθαι, τοὺς δὲ καθ' αὑτοὺς ἀπελ- 359 R.
θεῖν, ὧν καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. τοὺς μὲν γὰρ
εὖ πράττοντας ὁμονοεῖν εἰκὸς καὶ τῷ βασιλεῖ τὸ πλεῖστον ὑπο-

128, 2. δή. δὲ M. ‖ 3. αὐτόν. αὑτὸν M. ‖ 4. σιωπῇ. σιοπῇ M. ‖ 5. τό. τὸν B. ‖ 7. τοὺς ἡττημένους BM, τοῖς ἡττημένοις reliq. ‖ 10. τό. τό τε BM. ‖ 11. δὲ in M a corr. add. — 129, 2. τῷ σορῷ. τοῖς ὄρῳ M, τοῖς Ὤρῳ Scaliger ad Euseb. Ann. DXI. de Apollodoro Telmissense cogitavit Reiskius. ‖ 5. οἰόμενοι. οἰόμενοι ὅλα στρατεύματα Geel., malim αὖ μόνοι. ‖ 6. αὐτούς. αὑτοὺς M. ‖ 7. καὶ οὕτως — θαλάττης suspecta Geelio. ‖ οὕτως. αὖθις Geel. ‖ εἰ τύχοι. εἰ τύχει B, τύχῃ M. ‖ πέτεσθαι BM. Rhodom. r, πέτεσθαι v, πύθεσθαι m. — 130, 1. κἀκεῖνο. κἀκεῖνος v. ‖ 2. ὁμολογουμένοις. εἰρημένοις Reisk., ἄνω λελεγμένοις Geel. ‖ 5. ταὐτό. ταῦτα M. ‖ 7. Μενελάῳ BM, Μενέλεῳ reliq. ‖ 8. τοὺς μὲν γὰρ BM, ἀλλὰ τοὺς μὲν reliq.

Digitized by Google

*τάττεσθαι· [καὶ τὸν Μενέλεων μὴ διαφέρεσθαι πρὸς τὸν
ἀδελφὸν παραχρῆμα τῆς εὐεργεσίας·] τοῖς δὲ ἡττημένοις καὶ
131 κακῶς πράττουσιν ἅπαντα ταῦτα ἀνάγκη συμβαίνειν. ἔτι δὲ
τοὺς μὲν φοβουμένους καὶ φεύγοντας ἐκ τῆς πολεμίας ἀπιέναι
τὴν ταχίστην [τοὺς δὲ νικῶντας] καὶ μὴ κινδυνεύειν μένοντας,
τοὺς δὲ κρατοῦντας καὶ πρὸς τοῖς αὐτῶν ἔχοντας τοσοῦτον
πλῆθος αἰχμαλώτων καὶ χρημάτων περιμένειν τὴν ἀσφαλεστά-
την ὥραν, ἅτε καὶ αὐτῆς τῆς γῆς κρατοῦντας καὶ πολλὴν
ἁπάντων ἀφθονίαν ἔχοντας, ἀλλὰ μὴ δέκα ἔτη περιμείναντας
διαφθαρῆναι παρ' ὀλίγον. αἵ τε οἴκοι συμφοραὶ καταλα-
βοῦσαι τοὺς ἀφικομένους οὐχ ἥκιστα δηλοῦσι τὸ πταῖσμα καὶ
132 τὴν ἀσθένειαν αὐτῶν. οὐ πάνυ γὰρ εἰώθασιν ἐπιτίθεσθαι* 300 R.
*τοῖς νικῶσιν οὐδὲ τοῖς εὐτυχοῦσιν, ἀλλὰ τούτους μὲν θαυμά-
ζουσι καὶ φοβοῦνται, τῶν δὲ ἀποτυχόντων καταφρονοῦσιν οἵ
τε ἔξωθεν καί τινες τῶν ἀναγκαίων. φαίνεται δὲ Ἀγαμέμνων
ὑπὸ τῆς γυναικὸς ὑπεροφθεὶς διὰ τὴν ἧτταν, ὅ τε Αἴγισθος
ἐπιθέμενος αὐτῷ καὶ κρατήσας ῥᾳδίως, οἵ τε Ἀργεῖοι κατα-
λαβόντες τὸ πρᾶγμα καὶ τὸν Αἴγισθον βασιλέα ἀποδείξαντες·
οὐκ ἂν εἰ μετὰ τοσαύτης δόξης καὶ δυνάμεως ἀφικόμενον τὸν
133 Ἀγαμέμνονα ἀπέκτεινε, κρατήσαντα τῆς Ἀσίας. ὅ τε Διομή-
δης ἐξέπεσεν οἴκοθεν οὐθενὸς ἔλαττον εὐδοκιμῶν ἐν τῷ πολέμῳ.
καὶ Νεοπτόλεμος εἴτε ὑπὸ Ἑλλήνων εἴτε ὑπὸ ἄλλων τινῶν·
μετ' οὐ πολὺ δὲ καὶ πάντες ἐξέπεσον ἐκ τῆς Πελοποννήσου
καὶ κατελύθη τὸ τῶν Πελοπιδῶν γένος δι' ἐκείνην τὴν ξυμ-*

10. [*καὶ τὸν — εὐεργεσίας*] suspecta Geelio. ‖ 11. *καὶ κακῶς. καὶ* om. BM. — 131, 3. [*τοὺς δὲ νικῶντας*] inducenda. Casaubonus delebat *δὲ* verbis *τοὺς νικῶντας* cum *φεύγοντας* constructis. Pflugkius haec ita constituit: *τοὺς δὲ νικῶντας καὶ δίχα κινδύνου μένοντας, τοσούτῳ γε κρατοῦντας.* ‖ *καὶ μὴ κινδυνεύειν.* sic dedi. *διακινδυνεύειν* reliq. ‖ 4. *τοῖς* BM. Casaub. r, *τῆς* vm. ‖ *αὐτῶν. αὐτῶν* M. ‖ *τοσοῦτον. τοσοῦτο* B. ‖ 5. *καὶ χρημάτων* om. B. ‖ 9. *πταῖσμα* BM, *πρᾶγμα* reliq. — 132, 1. *πάνυ* M. Selden., *πάντα* reliq. ‖ 4. *τινες. ἤδη τινὲς* Reisk. ‖ 5. *Αἴγισθος. Αἴγιστος* B. ‖ 7. *τὸ πρᾶγμα. τὰ πράγματα* Pflugk. p. 33. *rerum potiti.* at hoc si significandum est, dicitur *παραλαβόντες.* si vera est vulgata, *καταλαμβάνειν* est *confirmare, ratum facere*, ut Orat. 31, 140. ‖ *Αἴγισθον. Αἴγιστον* B. — 133, 3. *εἴτε ὑπὸ Ἑλλήνων.* locus hiulcus, quod ostendit etiam proximum v. *πάντες.* videtur autem Dio de caede Neoptolemi apud Delphos egisse. tametsi patria eum expulsum esse colligi potest e Iustin. XVII, 3. conf. Heyn. Excurs. X ad Aeneid. L. III. plerique vero sponte eum narrant in Epirum migrasse. ‖ 5. *κατελύθη* BM. Casaub., *κατελήφθη* reliq.

φοράν. οἱ δ' Ἡρακλεῖδαι πρότερον ἀσθενεῖς ὄντες καὶ ἀτι-
134 μαζόμενοι κατῆλθον μετὰ Δωριέων. Ὀδυσσεὺς δὲ ἐβράδυνεν 188 M.
ἑκὼν τὰ μὲν αἰσχυνόμενος τὰ δὲ ὑποπτεύων τὰ πράγματα.
καὶ διὰ τοῦτο ἐπὶ μνηστείαν ἐτράπησαν τῆς Πηνελόπης καὶ
τῶν κτημάτων ἁρπαγὴν ἡ τῶν Κεφαλλήνων νεότης. καὶ οὐ-
δεὶς ἐβοήθει τῶν φίλων τῶν Ὀδυσσέως, οὐδὲ Νέστωρ οὕτως
ἐγγύθεν. ἅπαντες γὰρ ἦσαν ταπεινοὶ καὶ φαύλως ἔπραττον
οἱ τῆς στρατείας μετασχόντες. τοὐναντίον δὲ ἐχρῆν δεινοὺς 361 R
ἅπασι φαίνεσθαι τοὺς νενικηκότας καὶ μηδένα αὐτοῖς ἐπιχει-
135 ρεῖν. Μενέλεως δὲ τὸ παράπαν οὐχ ἧκεν εἰς Πελοπόννησον,
ἀλλ' ἐν Αἰγύπτῳ κατέμεινεν. καὶ σημεῖά γε ἔστιν ἄλλα τε
τῆς ἀφίξεως καὶ νομὸς ἀπ' αὐτοῦ καλούμενος· οὐκ ἂν εἰ πε-
πλανημένος καὶ πρὸς ὀλίγον ἀφίκετο. γήμας δὲ τὴν τοῦ βασι-
λέως θυγατέρα καὶ διηγήσατο τοῖς ἱερεῦσι τὰ τῆς στρατείας
οὐθὲν ἀποκρυπτόμενος. οἱ δέ φασιν, ὅτι καὶ τὴν Ἑλένην
ἐκεῖθεν ἔλαβεν, λόγον ἁπάντων ἀπιστότατον· τέως δὲ ἐλάν-
θανεν εἴδωλον ἐκ τῆς Τροίας ἔχων· ὅ τε πόλεμος συνεστήκει
136 περὶ εἰδώλου τὰ δέκα ἔτη. σχεδὸν δὲ καὶ Ὅμηρος ἐπίσταται
τοῦτο καὶ αἰνίττεται φήσας τὸν Μενέλεω μετὰ τὴν τελευτὴν
ὑπὸ τῶν θεῶν εἰς τὸ Ἠλύσιον πεδίον πεμφθῆναι, ὅπου μήτε
νιφετὸς γίγνεται μήτε χειμών, ἀλλ' αἰθρία δι' ἔτους καὶ πρᾷος
ἀήρ· ὁ γὰρ τῆς Αἰγύπτου τόπος τοιοῦτός ἐστιν. δοκοῦσι δέ
μοι καὶ τῶν ὕστερον ποιητῶν τινες ὑποπτεῦσαι τὰ πράγματα.
τὴν γὰρ Ἑλένην ἐπιβουλευθῆναι μὲν ὑπὸ Ὀρέστου λέγει τις
τῶν τραγῳδιοποιῶν εὐθὺς ἐλθοῦσαν, γενέσθαι δὲ ἀφανῆ τῶν
ἀδελφῶν ἐπιφανέντων. τοῦτο δὲ οὐκ ἄν ποτε ἐποίησεν, εἰ
ἐφαίνετο ἡ Ἑλένη κατοικήσασα ὕστερον ἐν τῇ Ἑλλάδι καὶ τῷ
137 Μενελάῳ συνοῦσα. τὰ μὲν δὴ τῶν Ἑλλήνων μετὰ τὸν πόλε-
μον εἰς τοῦτο ἦλθε δυστυχίας καὶ ταπεινότητος, τὰ δὲ τῶν

7. μετὰ BM, μετὰ τῶν reliq. — 134, 2. ὑποπτεύων τά. ὑποπτεύωντα τὰ M. ‖ 4. Κεφαλλήνων BM, Κεφαλήνων reliq. ‖ 7. οἱ. ὁ M. ‖ στρατείας M. Reisk., στρατιᾶς reliq. ‖ δεινοὺς M. Reisk., ἢ δεινοὺς Casaub. (et infra ἢ μηδέν), ἢ δειλοὺς reliq. — 135, 1. Μενέλεως. Μενέλαος M. ‖ 2. κατέμεινεν M, κατέμεινε reliq. ‖ σημεῖά γε Reisk., σημεῖά τε reliq., σημεῖα δὲ Geel. ‖ στρατείας M. Reisk., στρατιᾶς reliq. ‖ 7. τέως. τέλος BM. ‖ 8. συνεστήκει. συνειστήκει r. — 136, 2. τοῦτο καὶ BM, τοῦτο om. reliq. ‖ Μενέλεω BM, Μενέλεων reliq. ‖ 4. πρᾷος. πρὸς M. ‖ 5. τῆς. ἀπὸ τῆς BM. ‖ 10. ἐφαίνετο ἡ. ἐφαίνετο B, ἐφίνετο M.

Τρώων πολὺ κρείττονα καὶ ἐπικυδέστερα ἐγένετο. [τοῦτο μὲν
γὰρ Αἰνείας ὑπὸ Ἕκτορος πεμφθεὶς μετὰ στόλου καὶ δυνά-
μεως πολλῆς Ἰταλίαν κατέσχε τὴν εὐδαιμονεστάτην χώραν τῆς 362 R
Εὐρώπης, τοῦτο δὲ Ἕλενος εἰς μέσην ἀφικόμενος τὴν Ἑλλάδα 189 M
Μολοττῶν ἐβασίλευσε καὶ τῆς Ἠπείρου πλησίον Θετταλίας.
καίτοι πότερον εἰκὸς ἦν, τοὺς ἡττηθέντας ἐπιπλεῖν ἐπὶ τὴν
τῶν κρατησάντων χώραν καὶ βασιλεύειν παρ' αὐτοῖς, ἢ τοὐ-
138 ναντίον τοὺς κρατήσαντας ἐπὶ τὴν τῶν ἡττημένων;] πῶς δέ,
εἴπερ ἁλούσης Τροίας ἔφευγον οἱ περὶ τὸν Αἰνείαν καὶ τὸν
Ἀντήνορα καὶ τὸν Ἕλενον οὐ πανταχόσε μᾶλλον ἔφευγον ἢ
εἰς τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην, οὐδὲ τόπον τινὰ ἠγάπων
καταλαβόντες τῆς Ἀσίας, ἀλλ' εὐθὺς ἐπὶ τὴν ἐκείνων ἔπλεον,
ὑφ' ὧν ἀνάστατοι ἐγένοντο; πῶς δὲ ἐβασίλευσαν ἅπαντες οὐ
σμικρῶν οὐδὲ ἀνωνύμων χωρίων; ἐξὸν αὐτοῖς καὶ τὴν Ἑλλάδα
κατασχεῖν· ἀλλ' ἀπείχοντο διὰ τοὺς ὅρκους. ὅμως δὲ Ἕλενος
οὐκ ὀλίγον αὐτῆς ἀπετέμετο, τὴν Ἤπειρον, Ἀντήνωρ δὲ Ἑνε-
τῶν ἐκράτησε καὶ γῆς ἀρίστης τῆς περὶ τὸν Ἀδρίαν, Αἰνείας
δὲ πάσης Ἰταλίας ἐβασίλευσε καὶ πόλιν ᾤκισε τὴν μεγίστην
139 πασῶν. ταῦτα δὲ οὐκ εἰκὸς ἦν πρᾶξαι φυγάδας ἀνθρώπους
καὶ ταῖς οἴκοθεν ξυμφοραῖς καταβεβλημένους, ἀλλ' ἀγαπᾶν,
εἴ τις αὐτοὺς εἴα κατοικεῖν· ἄλλως τε μετὰ ποίας ἀφορμῆς
ἀφικομένους χρημάτων ἢ στρατιᾶς διὰ μέσων τῶν πολεμίων
φεύγοντας, ἐμπεπρησμένης τῆς πόλεως, πάντων ἀπολωλότων,
ὅπου χαλεπὸν ἦν τὰ σώματα αὐτὰ διασῶσαι τοὺς ἰσχύοντας
καὶ νέους· ἀλλ' οὐ μετὰ παίδων, γυναικῶν καὶ γονέων καὶ
χρημάτων ἀπανίστασθαι, καὶ ταῦτα ἀδοκήτως τε καὶ παρ' 363 R
ἐλπίδας ἁλούσης τῆς πόλεως, οὐχ ὥσπερ εἰώθασι κατὰ
σπονδὰς κατ' ὀλίγον ἐκλείπειν; ἀλλὰ τὸ γενόμενον δυνα-
140 τὸν γενέσθαι. τὸν δὲ Ἕκτορά φασιν, ὡς ἀπέπλευσαν οἱ

137, 3. ἐγένετο M, ἐγένοντο reliq. ‖ 3—10. [τοῦτο μὲν — ἡττημένων] inducenda ut compendium proxime sequentium. quaedam redundare monui Obs. p. 22, nec fugit Geelium. conf. ad § 138. — 138, 2. ἔφευγον BM, ἔφυγον reliq. ‖ 5. ἐκείνων. ἐκείνως M. ‖ 7. σμικρῶν. σμεικρῶν M. ‖ 8—12. ὅμως δὲ — πασῶν suspecta Geelio. conf. ad § 137. ‖ 9. Ἀντήνωρ. Ἀντίνωρ M. ‖ 10. γῆς ἀρίστης τῆς Pflugk., τῆς ἀρίστης γῆς reliq. ‖ Ἀδρίαν. Ἀδρείαν M. — 139, 3. ποίας. ποιῆας M. ‖ 4. στρατιᾶς. στρατείας M. ‖ μέσων. μέσον M. ‖ 5. φεύγοντας. φυγόντας Geel. ‖ 7. ἀλλ' οὐ. ἀλλ' BM (mrg. vulg.). ‖ γονέων BMA. r, νέων vm. ‖ 8. ἀπανίστασθαι BA. vr, ἐπανίστασθαι M. m. ‖ 9. κατά. μετά m. — 140, 1. τὸν δέ. τόν γε Selden., malim τὸν γάρ.

Digitized by Google

Ἀχαιοί, πολλοῦ πλήθους εἰς τὴν πόλιν συνεληλυθότος καὶ
μηδὲ τῶν ἐπικούρων ἀπιέναι βουλομένων ἁπάντων, ἔτι δὲ
ὁρῶντα τὸν Αἰνείαν οὐκ ἀνεχόμενον, εἰ μὴ μέρος λάβοι τῆς
ἀρχῆς· ταῦτα γὰρ ὑποσχέσθαι τὸν Πρίαμον αὐτῷ διαπολε-
μήσαντι τὸν πόλεμον καὶ ἐκβαλόντι τοὺς Ἀχαιούς· οὕτω δὴ
τὴν ἀποικίαν στεῖλαι χρημάτων τε οὐ φεισάμενον καὶ πλῆθος 190 M.
ὁπόσον αὐτὸς ἐβούλετο πέμψαντα μετὰ πάσης προθυμίας.
141 *λέγειν δὲ αὐτόν, ὡς ἄξιος μὲν εἴη βασιλεύειν καὶ μηδὲν κατα-*
δεεστέραν ἀρχὴν ἔχειν τῆς αὐτοῦ, προσήκειν δὲ μᾶλλον ἑτέραν
κτήσασθαι γῆν· εἶναι γὰρ οὐκ ἀδύνατον πάσης κρατῆσαι τῆς
Εὐρώπης· τούτων δὲ οὕτω γενομένων ἐλπίδας ἔχειν τοὺς ἀπ'
αὐτῶν ἄρχειν ἑκατέρας τῆς ἠπείρου, ἐφ' ὅσον ἂν σῴζηται τὸ
142 *γένος. ταῦτα δὴ ἀξιοῦντος Ἕκτορος ἑλέσθαι τὸν Αἰνείαν,*
τὰ μὲν ἐκείνῳ χαριζόμενον, τὰ δὲ ἐλπίζοντα μειζόνων τεύξε- 364 R.
σθαι· οὕτω δὴ τὴν ἀποικίαν γενέσθαι ἀπὸ ἰσχύος καὶ φρο-
νήματος ὑπό τε ἀνθρώπων εὐτυχούντων παραχρῆμά τε δυνη-
θῆναι καὶ εἰσαῦθις. ὁρῶντα δὲ Ἀντήνορα Αἰνείαν στελλό-
μενον καὶ αὐτὸν ἐπιθυμῆσαι Εὐρώπης ἐπάρξαι, καὶ γενέσθαι
στόλον ἄλλον τοιοῦτον. πρὸς δὲ τούτοις ἐγκαλοῦντα Ἕλενον
ὡς ἐλαττούμενον Δηιφόβου δεηθῆναι τοῦ πατρός, καὶ λαβόντα
ναῦς καὶ στρατιὰν ὡς ἐφ' ἕτοιμον τὴν Ἑλλάδα πλεῦσαι καὶ
143 *κατασχεῖν ὅλην τὴν ἔκσπονδον. οὕτω δὴ καὶ Διομήδη φεύ-*
γοντα ἐξ Ἄργους, ἐπειδὴ τὸν Αἰνεία στόλον ἐπύθετο, ἐλθεῖν
πρὸς αὐτὸν ἅτε εἰρήνης καὶ φιλίας αὐτοῖς γενομένης, δεηθῆ-
ναί τε βοηθείας τυχεῖν διηγησάμενον τάς τε Ἀγαμέμνονος καὶ
τὰς αὐτοῦ συμφοράς. τὸν δὲ ἀναλαβεῖν αὐτὸν ἔχοντα ὀλίγας
ναῦς καὶ μέρος τι παραδοῦναι τῆς στρατιᾶς, ἐπειδὴ πᾶσαν
144 *ἔσχε τὴν χώραν. ὕστερον δὲ τῶν Ἀχαιῶν τοὺς ἐκπεσόντας*

141, 1. *λέγειν. λέγει* M. ‖ *αὐτόν. πρὸς αὐτὸν* Reisk., *αὐτῷ* Geel. ‖ 2. *αὐτοῦ. αὑτοῦ* M. ‖ 3. *γῆν. γῆς* M. ‖ 4. *οὕτω. οὕτως* M. — 142, 1. *Ἕκτορος ἑλέσθαι. ἑλέσθαι Ἕκτορος* BM. v. ‖ 2. *τὰ μὲν* om. M. ‖ *ἐκείνῳ. ἐκείνων* M. ‖ 3. *οὕτω. οὕτως* M. ‖ *γενέσθαι.* malim *γενομένην* (aut infra *καὶ παραχρῆμα*). ‖ 7. *Ἕλενον. ἔλενος* M. ‖ 9. *στρατιάν. στρατείαν* M. ‖ *ἕτοιμον. ἕτοιμον λείαν* Reisk. ‖ 10. *ὅλην τὴν* Reisk., *τὴν* om. reliq. — 143, 2. *τὸν Αἰνεία στόλον ἐπύθετο* M, *τὸν Αἰνείαν στόλῳ ἐπύθετο* B, *τὸν Αἰνεία ἐπύθετο στόλον* Obs. p. 26 (ubi typogr. errore *Αἰνείᾳ* legitur), *τὸν Αἰνείου ἐπύθετο στόλον* Geel. Ep. p. 405, *τὸν Αἰνείαν ἐπύθετο στόλῳ* reliq. ‖ 4. *διηγησάμενον* Reisk., *διηγησάμενος* reliq. ‖ 6. *στρατιᾶς. στρατειᾶς* M (sed *ει* in litura), *Βρεττίας* Reisk., *Ἰταλίας* Geel., *Ἰαπυγίας* Cens. p. 357, malim nunc *ἐπικρατείας.* ‖ *ἐπειδή. ἐπεὶ ἤδη* Unger. p. 4.

Digitized by Google

ὑπὸ Δωριέων ἀποροῦντας, ὅποι τράπωνται, δι' ἀσθένειαν εἰς τὴν Ἀσίαν ἐλθεῖν ὡς παρὰ φίλους τε καὶ ἐνσπόνδους τοὺς ἀπὸ Πριάμου τε καὶ Ἕκτορος, Λέσβον τε οἰκῆσαι κατὰ φιλίαν 365 R.
παρέντας καὶ ἄλλα οὐ σμικρὰ χωρία. ὅστις δὲ μὴ πείθεται τούτοις ὑπὸ τῆς παλαιᾶς δόξης, ἐπιστάσθω ἀδύνατος ὢν ἀπαλλαγῆναι ἀπάτης καὶ διαγνῶναι τὸ ψεῦδος ἀπὸ τοῦ ἀλη-
145 θοῦς. τὸ γὰρ πιστεύεσθαι πολὺν χρόνον ὑπὸ ἀνθρώπων ἠλιθίων οὐδέν ἐστιν ἰσχυρὸν· οὐδὲ ὅτι τὰ ψευδῆ ἐλέχθη παρὰ τοῖς πρότερον. ἐπεί τοι περὶ ἄλλων πολλῶν καὶ διαφέρονται 191 M.
καὶ τἀναντία δοξάζουσιν. οἷον εὐθὺς περὶ τοῦ Περσικοῦ πολέμου οἱ μέν φασιν ὑστέραν γενέσθαι τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῆς ἐν Πλαταιαῖς μάχης, οἱ δὲ τῶν ἔργων τελευταῖον εἶναι τὸ ἐν Πλαταιαῖς· καίτοι γε ἐγράφη παραχρῆμα τῶν
146 ἔργων. οὐ γὰρ ἴσασιν οἱ πολλοὶ τὸ ἀκριβές, ἀλλὰ φήμης ἀκούουσι μόνον, καὶ ταῦτα οἱ γενόμενοι κατὰ τὸν χρόνον ἐκεῖνον, οἱ δὲ ὕστεροι καὶ τρίτοι τελέως ἄπειροι καὶ ὅ τι ἂν εἴπῃ τις παραδέχονται ῥᾳδίως· ὁπότε τὸν Σκιρίτην μὲν λόχον ὀνομάζουσι Λακεδαιμονίων μηδεπώποτε γενόμενον, ὥς φησι Θουκυδίδης, Ἁρμόδιον δὲ καὶ Ἀριστογείτονα πάντων μάλιστα Ἀθηναῖοι τιμῶσιν ὡς ἐλευθερώσαντας τὴν πόλιν καὶ ἀνελόν-
147 τας τὸν τύραννον. καὶ τί δεῖ τἀνθρώπεια λέγειν, ὅπου τὸν 366 R.
μὲν Οὐρανὸν τολμῶσι λέγειν καὶ πείθουσιν ὡς ἐκτμηθέντα ὑπὸ τοῦ Κρόνου, τὸν Κρόνον δὲ ὑπὸ τοῦ Διός; τοῦ γὰρ πρώτου καταλαβόντος, ὥσπερ εἴωθεν, ἄτοπον τὸ πεισθῆναι

144, 3. τοὺς. γῆν m. || 4. Λέσβον τε Geel., λαβόντας reliq. || 5. παρέντας Geel., παρέντες reliqui. Casaubonus, cui λαβόντας non suspectum fuit: Πάρον τε vel Πάριόν τε. || πείθεται. πίθεται M. || 6. ὤν. ὧν M. — 145, 1. τό. τῷ Unger. Ann. p. 1170. || 2. ὅτι. ὅταν M. || ἐλέχθη. ἐλέγχθη M. || 3. περί. καὶ περὶ Reisk., περὶ καὶ Pflugk. (iidem delent καὶ post πολλῶν). || 5. ὑστέραν BM, ὕστερον reliq. || 6. Πλαταιαῖς. Πλατιαῖς B, Πλατίαις M. || τῶν ἔργων. τῶν Περσικῶν Reisk. || 7. Πλαταιαῖς. Πλατιαῖς B, Πλατίαις M. || καίτοι — ἔργων ut suspecta uncis inclusit Rhodom. || καίτοι γε. καὶ ταῦτα M. || τῶν ἔργων malim abesse. — 146, 2. καὶ ταῦτα οἱ. καίτοι Reisk. || 3. ὕστεροι. δεύτεροι Reisk. || 4. εἴπῃ BM. Geel., εἴποι reliq. || Σκιρίτην. sic dedi. σκυρήτην B, σκείρη τὴν M, σκυρίτην reliq. || λόχον. λόφον M. || 5. φησι. φη M. || 8. τύραννον. post hoc v. quaedam excidisse suspicatur Reiskius, quibus communis opinio refelleretur. — 147, 1. τἀνθρώπεια. τανθρώπια M. || 2. τολμῶσι λέγειν καὶ πείθουσι Geel., πείθουσι (πίθουσι M.) καὶ τολμῶσι λέγειν reliqui, unde Unger. Ann. p. 1170 servato ordine vulg. ψέγειν pro λέγειν. frustra. || 4. ὥσπερ εἴωθεν ἄτοπον. malim ὥσπερ εἴ τινα τόπον (alia tentaveram in Cens. p. 357, quae nunc retracto). || τὸ πεισθῆναί ἐστιν M, τὸ πεισθῆναι ἔστι B, τὸ μὴ πεισθῆναι

ἐστιν. βούλομαι δὲ καὶ περὶ Ὁμήρου ἀπολογήσασθαι, ὡς οὐκ ἀνάξιον ὁμολογεῖν αὐτῷ ψευδομένῳ. πρῶτον μὲν γὰρ πολὺ ἐλάττω τὰ ψεύσματά ἐστι τῶν περὶ τοὺς θεούς· ἔπειτα ὠφέλειάν τινα εἶχε τοῖς τότε Ἕλλησιν, ὅπως μὴ θορυβηθῶσιν, ἐὰν γένηται πόλεμος αὐτοῖς πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥσπερ καὶ προσεδοκᾶτο. ἀνεμέσητον δὲ Ἕλληνα ὄντα τοὺς ἑαυτοῦ
148 πάντα τρόπον ὠφελεῖν. τοῦτο δὲ τὸ στρατήγημα παρὰ πολλοῖς ἐστιν. ἐγὼ γοῦν ἀνδρὸς ἤκουσα Μήδου λέγοντος, ὅτι οὐδὲν ὁμολογοῦσιν οἱ Πέρσαι τῶν παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ Δαρεῖον μὲν φασιν ἐπὶ Νάξον καὶ Ἐρέτριαν πέμψαι τοὺς περὶ Δᾶτιν καὶ Ἀρταφέρνην, κἀκείνους ἑλόντας τὰς πόλεις ἀφικέσθαι παρὰ βασιλέα. ὁρμούντων δὲ αὐτῶν περὶ τὴν Εὔβοιαν ὀλίγας ναῦς ἀποσκεδασθῆναι πρὸς τὴν Ἀττικήν, οὐ πλείους τῶν εἴκοσι, καὶ γενέσθαι τινὰ μάχην τοῖς ναύταις πρὸς
149 τοὺς αὐτόθεν ἐκ τοῦ τόπου. μετὰ δὲ ταῦτα Ξέρξην ἐπὶ τὴν 192 M 367 R.
Ἑλλάδα στρατεύσαντα Λακεδαιμονίους μὲν νικῆσαι περὶ Θερμοπύλας καὶ τὸν βασιλέα αὐτῶν ἀποκτεῖναι Λεωνίδην, τὴν δὲ τῶν Ἀθηναίων πόλιν ἔχοντα κατασκάψαι καὶ ὅσοι μὴ διέφυγον ἀνδραποδίσασθαι. ταῦτα δὲ ποιήσαντα καὶ φόρους ἐπιθέντα τοῖς Ἕλλησιν εἰς τὴν Ἀσίαν ἀπελθεῖν. ὅτι μὲν οὖν ψευδῆ ταῦτά ἐστιν, οὐκ ἄδηλον, ὅτι δὲ εἰκὸς ἦν τὸν βασιλέα κελεῦσαι στρατεῦσαι τοῖς ἄνωθεν ἔθνεσιν, οὐκ ἀδύνατον, ἵνα μὴ θορυβῶσιν. εἰ δὴ καὶ Ὅμηρος ἐποίει τοῦτο, συγγι-

ἔτι reliqui. sententia haec est: fides (τὸ πεισθῆναι τοὺς ἀνθρώπους) eius est, qui eam primus, sicut aliquem fundum, occupavit. τὸ δεύτερον πεισθῆναι ἔτι Ungerus p. 14. ‖ 5. δὲ καὶ περί. καὶ περὶ τοῦ B. ‖ 6. πολὺ Geel., οὐ πολὺ reliqui, quod servat Ungerus Ann. p. 1170 interrogandi signo post θεοὺς collocato. ‖ 8. τότε. τε M. ‖ μὴ θορυβηθῶσιν. θορυβῶσιν (om. μὴ) M. ‖ 9. γένηται. γείνηται M. ‖ 10. καί. εἰ BM. ‖ δὲ M, δὲ καὶ reliq. — 148, 2. ἔστιν. ἔτεσιν M, unde ἐν ἔθει ἐστίν Geelius, malim ἔστιν ἰδεῖν. ‖ ἐγὼ γοῦν M, ἔγωγ' οὖν reliq. ‖ 4. Ἐρέτριαν M, Ἐρετρίαν B, Ἐρετρείαν reliq. ‖ 5. κἀκείνους BM, κἀκείνους μὲν Reisk., κἀκείνους τε reliq. ‖ 8. καὶ om. M. ‖ 9. ἐκ τοῦ τόπου delebat Reisk. — 149, 2. περὶ BM. var. l. v, παρὰ reliq. ‖ 4. ἔχοντα. malim ἑλόντα vel σχόντα ‖ 5. ἀνδραποδίσασθαι M, ἀνδραποδίσαι reliq. ‖ 8. κελεῦσαι delet Geelius, qui probat Iacobsii τερατεύεσθαι in proximis. ‖ στρατεῦσαι. τερατεῦσαι vel τερατεύεσθαι Iacobs. Add. p. 292, ταῦτα ψεύσασθαι Casaubonus. totum locum sic constituit Reiskius: ὅτι δὲ βασιλεὺς ἐκέλευσε ταῦτα πιστεῦσαι. Rhodomannus: κελεῦσαι ῥᾷον ὡδί πως στρατεῦσαι. at nulla harum emendationum satis facit, quoniam ὅτι εἰκὸς ἦν et οὐκ ἀδύνατον non bene coëunt. sententia tale quid poscit ὅ τι δὲ εἰκὸς ἦν, τὸ βασιλέα κελεῦσαι φράσαι τοῖς ἄνωθεν ἔθνεσιν, ἵνα (omissis v. οὐκ ἀδύνατον). ‖ 9. θορυβῶσιν BM, θορυβη-

150 γνώσκειν ἄξιον. ἴσως ἂν οὖν εἴποι τις ἀνήκοος· οὐκ ὀρθῶς
Ἕλληνας καθαιρεῖς. ἀλλ' οὐδὲν ἔστιν ἔτι τοιοῦτον, οὐδὲ ἔστι
δέος, μή ποτε ἐπιστρατεύσωνται ἐπὶ τὴν Ἑλλάδα τῶν ἐκ τῆς
Ἀσίας τινές· ἥ τε γὰρ Ἑλλὰς ὑφ' ἑτέροις ἐστὶν ἥ τε Ἀσία.
τὸ δὲ ἀληθὲς οὐκ ὀλίγου ἄξιον. πρὸς δὲ τούτοις, εἰ ᾔδειν,
ὅτι πείσω ταῦτα λέγων, ἴσως ἂν ἐβουλευσάμην εἰπεῖν. ὅμως
δὲ μείζω καὶ δυσχερέστερα ὀνείδη φημὶ τῶν Ἑλλήνων ἀφε-
151 λεῖν. τὸ μὲν γὰρ μὴ ἑλεῖν τινα πόλιν οὐδὲν ἄτοπον, οὐδέ γε 368 R.
τὸ στρατεύσαντας ἐπὶ χώραν μηδὲν αὐτοῖς προσήκουσαν
ἔπειτα εἰρήνην ποιησαμένους ἀπελθεῖν, οὐδέ γε ἄνδρα ἀγαθὸν
ὄντα τὴν ψυχὴν ὑπὸ ἀνδρὸς ὁμοίου τελευτῆσαι μαχόμενον,
οὐδὲ τοῦτο ὄνειδος· ἀλλὰ καὶ ἀποδέξαιτο ἄν τις μέλλων ἀπο-
θνήσκειν, ὥσπερ ὅ γε Ἀχιλλεὺς πεποίηται λέγων·

ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος.

152 τὸν δὲ ἄριστον ὄντα τῶν Ἑλλήνων ὑπὸ τοῦ φαυλοτάτου τῶν
πολεμίων ἀποθανεῖν τῷ ὄντι μέγα ὄνειδος· ὁμοίως δὲ τὸν
νοῦν ἔχειν δοκοῦντα καὶ σωφρονέστατον εἶναι τῶν Ἑλλήνων
πρῶτον μὲν τὰ πρόβατα καὶ τοὺς βοῦς ἀποσφάττειν, βουλό-
μενον ἀποκτεῖναι τοὺς βασιλέας, ὕστερον δὲ αὑτὸν ἀνελεῖν
153 ὅπλων ἕνεκεν αἴσχιστα. πρὸς δὲ τούτοις Ἀστυάνακτα μὲν
ἀνδρὸς ἀγαθοῦ παῖδα οὕτως ὠμῶς ἀνελεῖν ῥίψαντας ἀπὸ τοῦ 193 M.
τείχους, καὶ ταῦτα κοινῇ δόξαντα τῷ στρατοπέδῳ καὶ τοῖς
βασιλεῦσιν· Πολυξένην δὲ παρθένον ἀποσφάττειν ἐπὶ τάφῳ
καὶ τοιαύτας χεῖσθαι χοὰς τῷ τῆς θεᾶς υἱεῖ· Κασσάνδραν δὲ
παναγῆ κόρην, ἱέρειαν τοῦ Ἀπόλλωνος, ἐν τῷ τεμένει φθα-

θῶσιν reliq. ‖ δὴ M, δὲ reliq. ‖ συγγιγνώσκειν. sic dedi. συγγεινώσκειν M, συγγινώσκειν reliq. — 150, 1. ἂν οὖν M, ἂν om. reliq. ‖ ἀνήκοος. ἀκηκοὼς Casaub., ἂν ἀκηκοὼς Iacobs. Add. p. 292, ἂν ἀνήκοος Reisk. ‖ 2. ἔστι BM, ἔσται reliq. ‖ 3. ἐπιστρατεύσωνται B. corr. M (prim. man. ἐπιστρατεύσονται), ἐπιστρατεύωνται reliq. ‖ 5. ὀλίγου. ὀλίγων BM. ‖ 6. εἰπεῖν. εἰ δεῖ εἰπεῖν Reisk., πρὶν εἰπεῖν Geelius (idem ηὐλαβήθην pro ἐβουλευσάμην), possit μὴ εἰπεῖν. ‖ 7. δυσχερέστερα ὀνείδη. δυσχερές τε ῥᾷον εἴδη M. — 151, 1. γε τό. sic dedi. ἐλέγετο BM. v, ὃ ἐλέγετο Rhodom., ὡς ἐλέγετο reliq. ‖ 2. μηδέν. μηθὲν M. ‖ 5. μέλλων. μᾶλλον Reisk. ‖ 6. ὅ γε. sic dedi. γὰρ BM, γε reliq. ‖ πεποίηται. πεποίηκε M. — 152, 3. νοῦν ἔχειν. πλεῖστον νοῦν ἔχειν Reisk., νουνεχέστατον Iacobs. ‖ 5. αὑτόν. αὐτὸν M. ‖ 6. αἴσχιστα M (mrg. αἴσχιστον ἂν εἴη), αἴσχιστα ἂν B, αἴσχιστον ἂν εἴη reliq. — 153, 3. δόξαντα. malim δόξαν. ‖ 4. βασιλεῦσιν M, βασιλεῦσι reliq. ‖ τάφῳ. τάφῳ Ἀχιλλέως Reisk. ‖ 6. παναγῆ. sic dedi. πανάπη (mrg. πανευπρεπῆ) M, πανευπρεπῆ reliq.

ρῆναι τῆς Ἀθηνᾶς ἐχομένην τοῦ ἀγάλματος, καὶ τοῦτο πρᾶξαι μηδένα τῶν φαύλων μηδὲ τῶν ἀναξίων, ἀλλ' ὅσπερ ἦν ἐν τοῖς
154 *ἀρίστοις· Πρίαμον δὲ τὸν βασιλέα τῆς Ἀσίας ἐν ἐσχάτῳ γήρᾳ κατατρωθέντα παρὰ τοῦ Διὸς τὸν βωμόν, ἀφ' οὗ τὸ γένος ἦν, ἐπ' αὐτῷ σφαγῆναι, καὶ μηδὲ τοῦτο εἰργάσθαι μηδένα* 369 R. *τῶν ἀφανῶν, ἀλλὰ τὸν τοῦ Ἀχιλλέως υἱόν, καὶ ταῦτα ἑστιαθέντα ὑπὸ τοῦ πατρὸς αὐτοῦ καὶ σωθέντα ὑπ' ἐκείνου πρότερον· Ἑκάβην δὲ δύστηνον τοσούτων μητέρα παίδων Ὀδυσσεῖ δοθῆναι ἐπὶ ὕβρει, ὑπό τε τοῦ μεγέθους τῶν κακῶν πάνυ γελοίως κύνα γενέσθαι· τὸν δὲ βασιλέα τῶν Ἑλλήνων τὴν ἱερὰν κόρην ἀπὸ τοῦ Ἀπόλλωνος, ἣν οὐδεὶς ἐτόλμησε γῆμαι διὰ τὸν θεόν, αὐτὸν ἀγαγέσθαι γυναῖκα, ὅθεν ἔδοξε τεθνηκέναι δικαίως· πόσῳ κρείττω ταῦτα μὴ γενόμενα τοῖς Ἕλλησιν ἢ Τροίαν ἁλῶναι;*

ΛΟΓΟΣ ιβ.

ΟΛΥΜΠΙΚΟΣ Η ΠΕΡΙ ΤΗΣ ΠΡΩΤΗΣ ΤΟΥ ΘΕΟΥ ΕΝΝΟΙΑΣ.

1 *Ἀλλ' ἦ τὸ λεγόμενον, ὦ ἄνδρες, ἐγὼ καὶ παρ' ὑμῖν καὶ* 370 R. *παρ' ἑτέροις πλείοσι πέπονθα τὸ τῆς γλαυκὸς ἄτοπον καὶ παράδοξον πάθος; ἐκείνην γὰρ οὐδὲν σοφωτέραν αὐτῶν οὖσαν*

8. ὅσπερ. ὅπερ B, ὥσπερ M. — 154, 2. τοῦ Διὸς τόν. τὸν τοῦ διός M. ‖ 3. ἦν, ἐπ' αὐτῷ. ἦν καὶ ἐπ' αὐτῷ Rhodom., malim ἦν αὐτῷ. quamquam vel sic minus apte iunguntur κατατρωθέντα et σφαγῆναι. illud omissum vix quisquam desideraverit. ‖ 4. ἑστιαθέντα. ἐσθιαθέντα M. ‖ 5. ὑπὸ BM (mrg. παρὰ), παρὰ reliq. ‖ καί. καὶ τῷ M. ‖ 6. δύστηνον BM. Rhodom. r, δυστήναν vm. ‖ 9. κόρην ἀπό. κόρην ὑπὸ B, ἀπὸ delebat Rhodomannus, Iacobsius locum ita scribit: ἱεράν, τὴν κόρην ἀπό. ‖ 11. πόσῳ. καὶ πόσῳ M (at καὶ obel. notat.).

Orat. XII. Collati sunt a Geelio BCMUA et passim DE, denuo BM. — 1, 1. ἀλλ' ἦ. ἄλλη (mrg. vulg.) M, ἀλλ' ἦ m, ἀλλ' ἢ Geel. ‖ 3. σοφωτέραν. εὐφωνοτέραν Geelius. facilius patiar κομψοτέραν. ‖ αὐτῶν οὖσαν. οὖσαν αὐτῶν BM, αὐτῶν οὖσαν r.

Digitized by Google

οὐδὲ βελτίω τὸ εἶδος, ἀλλὰ τοιαύτην ὁποίαν ἴσμεν, ὅταν δέ
ποτε φθέγξηται, λυπηρὸν καὶ οὐδαμῶς ἡδὺ, περιέπουσι τὰ
ἄλλα ὄρνεα ὅταν γε ἴδῃ μόνον· τὰ μὲν καθιζόμενα ἐγγὺς, τὰ
δὲ κύκλῳ περιπετόμενα, ὡς μὲν ἐμοὶ δοκεῖ, καταφρονοῦντα
τῆς φαυλότητος καὶ τῆς ἀσθενείας· οἱ δὲ ἄνθρωποί φασιν,
2 ὅτι θαυμάζει τὴν γλαῦκα τὰ ὄρνεα. πῶς δὲ οὐ τὸν ταὼ 194 M
μᾶλλον ὁρῶντα θαυμάζει, καλὸν οὕτω καὶ ποικίλον, ἔτι δὲ 371 R
αὐτὸν ἐπαιρόμενον καὶ ἐπιδεικνύντα τὸ κάλλος τῶν πτερῶν,
ὅταν ἁβρύνηται πρὸς τὴν θήλειαν, ἀνακλάσας τὴν οὐρὰν καὶ
περιστήσας αὐτῷ πανταχόθεν ὥσπερ εὐειδὲς ἄντρον ἤ τινα
γραφῇ μιμηθέντα οὐρανὸν ποικίλον ἄστροις, σύν γε τῷ λοιπῷ
σώματι θαυμαστὸν, ἐγγύτατα χρυσοῦ κυάνῳ κεκραμένου,
καὶ δὴ ἐν ἄκροις τοῖς πτεροῖς οἷον ὀφθαλμῶν ἐνόντων ἤ τινων
3 δακτυλίων τό τε σχῆμα καὶ κατὰ τὴν ἄλλην ὁμοιότητα; οὐδ'
αὖ τις ἐθέλει σκοπεῖν τῆς πτερώσεως τὸ κοῦφον, ὡς μὴ χαλε-
πὸν εἶναι μηδὲ δύσφορον διὰ τὸ μῆκος, οὐδ' ὅπως ἐν μέσῳ
μάλα ἥσυχον καὶ ἀτρεμοῦντα παρέχει θεάσασθαι ἑαυτὸν,
ὥσπερ ἐν πομπῇ περιστρεφόμενος, ὅταν δὲ βουληθῇ ἐκπλῆξαι,
σείων τὰ πτερὰ καί τινα ἦχον οὐκ ἀηδῆ ποιῶν, οἷον ἀνέμου 372 R
κινήσαντος οὐ πολλοῦ πυκνήν τινα ὕλην. ἀλλ' οὔτε τὸν ταὼ
πάντα ταῦτα καλλωπιζόμενον τὰ ὄρνεα βούλεται ὁρᾶν, οὔτε

4. δέ ποτε M, δήποτε reliq. ‖ 6. ὅταν γε Cens. p. 342, καὶ ὅταν γε C, ὅταν M (corr. ὅταν δὲ), ὅταν δὲ reliqui, unde Reiskius post ἐγγὺς supplebat φαίνεται, Iacobsius ἐγγὺς mutabat in ἐγγίζει, Geelius sic locum constituit: ὅταν δήποτε φθέγξηται λυπηρὸν καὶ οὐδαμῶς ἡδὺ, ἢ ὅταν γε ἴδῃ μόνον, περιέπουσι τὰ ἄλλα ὄρνεα, denique Pflugkius aut ὡς ἂν ἴδῃ μόνον aut ὡς ἄν τινα κρείττονα aut ἀγεληδὸν aut ὡς ἂν κηλούμενα tentat. ‖ καθιζόμενα. καθεζόμενα C. ‖ 9. τὴν γλαῦκα. τὸν γλαῦκα v. mrg. m. — 2, 3. αὐτὸν M, αὑτὸν reliq. ‖ ἐπιδεικνύντα U. g, ἐπιδεικνῦντα BCMA, ἐπιδεικνύοντα reliq. ‖ 5. αὐτῷ. αὑτῷ M. ‖ ἄντρον M, θέατρον reliqui, τι ἄντρον Geel. ‖ ἤ. ἢ M. ‖ τινα. τινι m. ‖ 6. ποικίλον. ποικίλοις M. ‖ σύν γε. malim ἔν τε. ‖ 7. κυάνῳ. κυανῷ B. ‖ κεκραμένου BCM (κεκραμμένου a corr.). U. g, κεκραμμένου m, κεκραμένον reliq. ‖ 9. δακτυλίων M, ἀκτίνων reliq. ‖ κατὰ delebat Reisk. — 3, 1. οὐδ' αὖ τις C et Cod. Palat. 117, εἰδ' αὖτις BM, οὐδ' αὖθις reliq. ‖ 2. ἐθέλει Casaub. rg, θέλοις M, ἐθέλοι reliq. ‖ κοῦφον BCM. rg, κοῦφον ὂν reliq. ‖ ὡς. ὅπως r (idem mox ἐστὶ pro εἶναι), οὕτως ὡς Pflugk. ‖ 3. οὐδ' ὅπως om. BC, in M a corr. add. ‖ μέσῳ. μέσῳ δὲ BCM. m, μέσῳ εὖ Casaub. ‖ 4. παρέχει. παρέχειν C. ‖ θεάσασθαι ἑαυτὸν BCM, ἑαυτὸν θεάσασθαι reliq. ‖ 5. περιστρεφόμενος. περιστρεφόμενον C. mr. ‖ ὅταν δὲ. οὐδ' ὅταν AU. vg. ‖ ἐκπλῆξαι. post hoc v. vocem excidisse (sicut κορύσσεται) temere suspicatur Reisk. ‖ 6. ποιῶν C. g, ποιήσας reliq. ‖ 7. κινήσαντος. κεινήσαντος M. ‖ 8. πάντα ταῦτα καλλωπιζόμενον

τῆς αηδόνος ἀκούοντα τῆς φωνῆς ἕωθεν ἐπορθρευομένης
4 οὐδὲν πάσχει πρὸς αὐτήν. ἀλλ' οὐδὲ τὸν κύκνον ἀσπάζεται διὰ τὴν μουσικὴν, οὐδὲ ὅταν ὑμνῇ τὴν ὑστάτην ᾠδὴν, ἅτε εὔγηρυς ὑπὸ ἡδονῆς τε καὶ λήθης τῶν ἐν τῷ βίῳ χαλεπῶν, εὐφημῶν ἅμα καὶ προπέμπων ἀλύπως αὐτὸν, ὡς ἔοικε, πρὸς ἄλυπον τὸν θάνατον· οὐκοῦν οὐδὲ τότε ἀθροίζεται κηλούμενα τοῖς μέλεσι

πρὸς ὄχθην ποταμοῦ τινος ἢ λειμῶνα πλατὺν
ἢ καθαρὰν ἠόνα λίμνης
ἤ τινα σμικρὰν εὐθαλῆ ποταμίαν νησῖδα.

5 ὡς δὲ καὶ ὑμεῖς τοσαῦτα μὲν θεάματα ἔχοντες τερπνὰ, τοσαῦτα δὲ ἀκούσματα· τοῦτο μὲν ῥήτορας δεινοὺς, τοῦτο δὲ ξυγγραφέας ἡδίστους ἐμμέτρων καὶ ἀμέτρων λόγων, τοῦτο δὲ [ταὼς ποικίλους, τοῦτο δὲ ὡς] πολλοὺς σοφιστὰς δόξῃ καὶ μαθηταῖς ἐπαιρομένους, οἷον πτεροῖς· ὑμεῖς δὲ ἐμοὶ πρόσιτε 193 M.
καὶ βούλεσθε ἀκούειν, τοῦ μηδὲν εἰδότος μηδὲ φάσκοντος εἰδέναι, ἆρ' οὐκ ὀρθῶς ἀπεικάζω τὴν σπουδὴν ὑμῶν τῷ περὶ τὴν γλαῦκα γιγνομένῳ σχεδὸν οὐκ ἄνευ δαιμονίας τινὸς βου-
6 λήσεως; ὑφ' ἧς καὶ τῇ Ἀθηνᾷ λέγεται προσφιλὲς εἶναι τὸ 373 R.
ὄρνεον, τῇ καλλίστῃ τῶν θεῶν καὶ σοφωτάτῃ, καὶ τῆς γε Φειδίου τέχνης παρ' Ἀθηναίοις ἔτυχεν, οὐκ ἀπαξιώσαντος αὐτὴν συγκαθιδρῦσαι τῇ θεῷ συνδοκοῦν τῷ δήμῳ, Περικλέα δὲ καὶ αὐτὸν λαθὼν ἐποίησεν, ὥς φασιν, ἐπὶ τῆς ἀσπίδος. οὐ μέντοι ταῦτά γε εὐτυχήματα νομίζειν ἔπεισί μοι τῆς γλαυκὸς, εἰ
7 μή τινα φρόνησιν ἄρα κέκτηται πλείω τῶν ἄλλων. ὅθεν οἶμαι καὶ τὸν μῦθον Αἴσωπος ξυνέστησεν, ὅτι σοφὴ οὖσα

M. g, καλλωπιζόμενον πάντα ταῦτα reliq. — 4, 3. εὔγηρυς CA, εὐγήρως reliq. ‖ 4. αὐτὸν. αὑτὸν M. ‖ 5. οὐκοῦν. οὔκουν BA. ‖ 7. πρός. versus distinxi. ‖ 8. ἠόνα. sic dedi. ἦονα M, ἠϊόνα reliq. ‖ 9. τινα σμικράν. τινας μικρὰν M. — 5, 1. ὡς M. Cens. p. 343, ὁμοίως Geel., ὧς reliq. ‖ μὲν om. m. ‖ 4. [ταὼς ποικίλους, τοῦτο δὲ ὡς]. ταὼς ποικίλους, ὅπερ ἐστι C. g, τοῦτο δὲ πολλοὺς σοφιστάς, ὡς ταὼς ποικίλους Reisk., τοῦτο δὲ ταὼς ποικίλους, τούτους δὴ τοὺς πολλοὺς σοφιστὰς Selden., τοῦτο δὲ, ὡς ταὼς ποικίλους, τοὺς πολλοὺς σοφιστὰς Koehler. ‖ 5. ὑμεῖς δὲ. δὲ om. C. ‖ πρόσιτε. πρὸς εἶτε M. ‖ 6. βούλεσθε. βούλεσθαι BM. ‖ 7. ἆρ'. ἄρ M. ‖ τῷ. τὸ U. ‖ 8. γιγνομένῳ BM, γινομένῳ reliq. — 6, 1. λέγεται. λέγον v, λέγουσι mr. ‖ 2. τῆς γε Reisk., τῆς τε reliq. ‖ Φειδίου. φιδίου M. ‖ 3. παρ'. παρὰ BM. ‖ 4. συνδοκοῦν. συνδοκῶν m. ‖ Περικλέα — ἀσπίδος uncis inclusit g. ‖ καὶ αὐτὸν Iacobs., αὑτὸν Selden., καὶ αὐτὸν reliq. ‖ 7. πλείω τῶν ἄλλων M. g, τῶν ἄλλων om. reliq. — 7, 2. Αἴσωπος. αἴσοπος M.

ξυνεβούλευε τοῖς ὀρνέοις τῆς δρυὸς ἐν ἀρχῇ φυομένης μὴ
ἐᾶσαι, ἀλλ' ἀνελεῖν πάντα τρόπον· ἔσεσθαι γὰρ φάρμακον
ἀπ' αὐτῆς ἄφυκτον, ὑφ' οὗ ἁλώσονται, τὸν ἰξόν. πάλιν δὲ
τὸ λίνον τῶν ἀνθρώπων σπειρόντων ἐκέλευε καὶ τοῦτο ἐκλέ-
8 γειν τὸ σπέρμα· μὴ γὰρ ἐπ' ἀγαθῷ φυήσεσθαι. τρίτον δὲ
ἰδοῦσα τοξευτήν τινα ἄνδρα προέλεγεν, ὅτι οὗτος ὁ ἀνὴρ
φθάσει ὑμᾶς τοῖς ὑμετέροις πτεροῖς, πεζὸς ὢν αὐτὸς πτηνὰ
ἐπιπέμπων βέλη. τὰ δὲ ἠπίστει τοῖς λόγοις καὶ ἀνόητον αὐ-
τὴν ἡγοῦντο καὶ μαίνεσθαι ἔφασκον· ὕστερον δὲ πειρώμενα
ἐθαύμαζε καὶ τῷ ὄντι σοφωτάτην ἐνόμιζεν. καὶ διὰ τοῦτο,
ἐπὰν φανῇ, πρόσεισιν ὡς πρὸς ἅπαντα ἐπισταμένην· ἡ δὲ ξυμ- 311 R.
9 βουλεύει μὲν οὐδὲν ἔτι αὐτοῖς, ὀδύρεται δὲ μόνον. ἴσως οὖν
παρειλήφατε ὑμεῖς λόγον τινὰ ἀληθῆ καὶ ξυμβουλὴν συμφέ-
ρουσαν, ἥντινα ξυνεβούλευσε φιλοσοφία τοῖς πρότερον Ἕλ-
λησιν, ἣν οἱ τότε μὲν ἠγνόησαν καὶ ἠτίμασαν, οἱ δὲ νῦν ὑπο-
μιμνήσκονται, καί μοι προσίασι διὰ τὸ σχῆμα [φιλοσοφίαν]
τιμῶντες, ὥσπερ τινὰ γλαῦκα ἄφωνον τό γε ἀληθὲς καὶ
ἀπαῤῥησίαστον οὖσαν. ἐγὼ μὲν γὰρ οὐδὲν αὑτῷ ξύνοιδα
οὔτε πρότερον εἰπόντι σπουδῆς ἄξιον οὔτε νῦν ἐπισταμένῳ 196 M.
10 πλέον ὑμῶν. ἀλλὰ εἰσὶν ἕτεροι σοφοὶ καὶ μακάριοι παντελῶς
ἄνδρες, οὓς ὑμῖν ἐγώ, εἰ βούλεσθε, μηνύσω ἕκαστον ὀνομαστὶ
δεικνύμενος. καὶ γὰρ νὴ Δία τοῦτο μόνον οἶμαι χρήσιμον
ἔχειν, τὸ γιγνώσκειν τοὺς σοφούς τε καὶ δεινοὺς καὶ πάντα
ἐπισταμένους· οἷς ἐὰν ὑμεῖς ἐθέλητε ξυνεῖναι τἄλλα ἐάσαντες,
καὶ γονεῖς καὶ πατρίδας καὶ θεῶν ἱερὰ καὶ προγόνων τάφους,
ἐκείνοις ξυνακολουθοῦντες, ἔνθα ἂν ἄγωσιν, ἢ καὶ μένοντες

5. ἀπ' αὐτῆς C. g, ὑφ' αὐτῆς M, ὑπ' αὐτῆς reliq. ‖ 7. μὴ BCMAU. g, μηδὲ reliq. ‖ φυήσεσθαι BMAU. g, φύεσθαι reliq. — 8, 3. πτεροῖς. mrg. B ἀπὸ τούτου ἡ παροιμία, ἡ τοῖς οἰκείοις φάσκουσα πτεροῖς ἁλίσκεται. ‖ 8. μὲν οὐδὲν ἔτι αὐτοῖς BM. g, μὲν ἔτι αὐτοῖς οὐδὲν reliq. — 9, 2. ὑμεῖς. καὶ ὑμεῖς Reisk. ‖ 3. φιλοσοφία. φιλοσοφεῖν BM. ‖ 5. [φιλοσοφίαν] delendum. male enim philosophia cum noctua comparatur. videtur autem ad v. σχῆμα a glossatore alio φιλοσοφεῖν alio φιλοσοφίαν adscriptum esse, quorum prius supra librorum BM scripturam corrupisse opinor. ‖ 6. τινὰ Geelius (idem τὰ ὄρνεα τὴν), τὴν reliqui, quod ferri possit, si infra ὄντα pro οὖσαν legatur. ‖ 7. αὑτῷ. αὐτῷ M. ‖ 8. ἐπισταμένῳ. ἐπιστάμενον v. — 10, 2. βούλεσθε. βούλεσθαι U. ‖ 3. οἶμαι om. A. ‖ 4. γιγνώσκειν BM, γινώσκειν reliq. ‖ 5. ἐὰν CMU. g, ἂν reliq. ‖ ἐθέλητε. ἐθέληται M. ‖ 6. πατρίδας. πατρίδα C. ‖ 7. ἄγωσιν Cens. p. 345, ἄπωσιν BCMA, ἀπίωσιν reliq. ‖ ἢ καὶ μένοντες ὅπου Reisk., ἢ καὶ μένοντές που reliq., ἢ παραμένοντές που Geel.

ὅπου καθιδρυθῶσιν, εἴτε εἰς τὴν Βαβυλῶνα τὴν Νίνου καὶ Σεμιράμιδος εἴτε ἐν Βάκτροις ἢ Σούσοις ἢ Παλιμβάθροις ἢ ἄλλῃ τινὶ πόλει τῶν ἐνδόξων καὶ πλουσίων, χρήματα διδόντες ἢ καὶ ἄλλῳ τρόπῳ πείθοντες, εὐδαιμονέστεροι ἔσεσθε αὐτῆς

11 τῆς εὐδαιμονίας· εἰ δ' αὖ αὐτοὶ μὴ βούλεσθε καταμεμφόμενοι τὴν αὑτῶν φύσιν ἢ πενίαν ἢ γῆρας ἢ ἀσθένειαν, ἀλλὰ τοῖς 375 R. γε υἱέσι μὴ φθονοῦντες μηδὲ ἀφαιρούμενοι τῶν μεγίστων ἀγαθῶν, ἑκοῦσί τε ἐπιτρέποντες καὶ ἄκοντας πείθοντες ἢ βιαζόμενοι πάντα τρόπον, ὡς ἂν παιδευθέντες ἱκανῶς καὶ γενόμενοι σοφοὶ παρὰ πᾶσιν Ἕλλησι καὶ βαρβάροις ὀνομαστοὶ ὦσι τὸ λοιπὸν, διαφέροντες ἀρετῇ καὶ δόξῃ καὶ πλούτῳ καὶ δυνάμει τῇ πάσῃ σχεδόν. οὐ γὰρ μόνον πλούτῳ φασὶν ἀρετὴν καὶ κῦδος ὀπηδεῖν, ἀλλὰ καὶ λόγοις ἀρετὴ ξυνέπεται ἐξ ἀνάγκης.

12 ταῦτα δὲ ὑμῖν ἐναντίον τοῦδε τοῦ θεοῦ προλέγω καὶ ξυμβουλεύω δι' εὔνοιαν καὶ φιλίαν προαγόμενος. οἶμαι δὲ ἐμαυτὸν πρῶτον πείθειν καὶ παρακαλεῖν, εἴ μοι τὰ τοῦ σώματος καὶ τὰ τῆς ἡλικίας ἐπεδέχετο· ἀλλὰ γὰρ ἀνάγκη διὰ τὸ κακοπαθεῖν, εἴπου τι δυνησόμεθα εὑρέσθαι παρὰ τῶν παλαιῶν ἀν- 376 R. δρῶν ὥσπερ ἀπεῤῥιμμένον καὶ ἕωλον ἤδη σοφίας λείψανον χήτει τῶν κρειττόνων τε καὶ ζώντων διδασκάλων. ἐρῶ δὲ ὑμῖν καὶ ἄλλο, ὃ πέπονθα τῇ γλαυκὶ παραπλήσιον, ἐὰν καὶ

13 βούλησθε καταγελᾶν τῶν λόγων. ὥσπερ γὰρ ἐκείνη αὐτὴ 197 M. μὲν οὐδὲν χρῆται τοῖς προσπετομένοις, ἀνδρὶ δὲ ὀρνιθοθήρᾳ

(Idem καθιδρυθεῖσιν). ‖ 9. Σεμιράμιδος. Σεμειράμιδος M. ‖ Παλιμβάθροις. πάλιν βάθροις M, παλιμβάκτροις C, Παλιβόθροις Geel. ‖ 11. πείθοντες. πίθοντες M. ‖ ἔσεσθε. ἔσεσθαι BM. v. ‖ αὐτῆς. αὐτοῖς v. — 11, 1. εἰ δ' αὖ αὐτοὶ M. var. l. v, εἰ δ' αὐτοὶ reliq. ‖ βούλεσθε. βούλεσθαι A. ‖ καταμεμφόμενοι. μεταμεμφόμενος v, μεταμεμφόμενοι m. ‖ 2. αὑτῶν. αὐτῶν M. ‖ 3. ἀγαθῶν. om. vmr. ‖ ἑκοῦσί τε. ἑκοῦσίν τε M, ἀλλ' ἑκοῦσί τε Reisk., ἑκοῦσι δὲ Geel. ‖ 8. τῇ πάσῃ. καὶ πᾶσι C. g. ‖ φασίν. φησὶν Geel. (Idem ἀρετῇ et ὀπηδεῖ). conf. Hesiod. O. et D. 313. ‖ 9. κῦδος. κῆδος A. ‖ ὀπηδεῖν. ὀπηδεῖ M. ‖ λόγοις ἀρετὴ Reisk., λόγος ἀρετὴ M, λόγος ἀρετῇ reliq. — 12, 1. τοῦδε om. C. ‖ 2. ἐμαυτόν. malim ἐμαυτὸν ἄν. ‖ 3. καὶ παρακαλεῖν — κακοπαθεῖν om. E. ‖ εἴ μοι. ἐμοὶ M. var. l. v. ‖ 4. τὰ τῆς. τῆς A, κατὰ τῆς v. ‖ ἐπεδέχετο. ἀπεδέχετο M. ‖ ἀλλὰ γὰρ ἀνάγκη διὰ τὸ κακοπαθεῖν. ἀλλ' ἀγαπᾶν ἀνάγκη διὰ τὸ κακοπαθεῖν g, malim ἀλλὰ γὰρ ἀνάγκη νὴ Δία ἀγαπᾶν (om. verb. διὰ τὸ κακοπαθεῖν), ἀλλὰ γὰρ ἀνάγκη διὰ ταῦτα ἀγαπᾶν Selden. ‖ 6. ἀπεῤῥιμμένον. ἀπεῤῥιμμένον M. ‖ ἕωλον Reisk. g, βῶλον reliq., σκύβαλον Selden. ‖ ἤδη huc transposui cum g, legebatur post ἀπεῤῥιμμένον. ‖ 7. χήτει Reisk. g, δή τε reliq. ‖ 8. παραπλήσιον. ἢ παραπλήσιον M. ‖ ἐὰν καὶ. ἐὰν μὴ mr. ‖ 9. βούλησθε. βούλεσθε BU, βούλεσθαι MA. — 13, 2. προσπετομένοις. προπετομένοις A, προσπετομένοις ὀρνέοις Geel. ‖

πάντων λυσιτελέστατον κτημάτων· οὐδὲν γὰρ δεῖ οὔτε τροφὴν
προβάλλειν οὔτε φωνὴν μιμεῖσθαι, μόνον δ' ἐπιδεικνύντα τὴν
γλαῦκα πολὺ πλῆθος ἔχειν ὀρνέων· οὕτω κἀμοὶ τῆς σπουδῆς
τῶν πολλῶν οὐδὲν ὄφελος. οὐ γὰρ λαμβάνω μαθητὰς εἰδώς,
ὅτι οὐδὲν ἂν ἔχοιμι διδάσκειν, ἅτε οὐδ' αὐτὸς ἐπιστάμενος·
ὡς δὲ ψεύδεσθαι καὶ ἐξαπατᾶν ὑπισχνούμενος, οὐκ ἔχω ταύ-
την τὴν ἀνδρείαν· σοφιστῇ δὲ ἀνδρὶ ξυνὼν, μεγάλα ἂν ὠφέ- 377 R
λουν ὄχλον πολὺν ἀθροίζων πρὸς αὐτὸν, ἔπειτα ἐκείνῳ παρέ-
χων ὅπως βούλεται διαθέσθαι τὴν ἄγραν. ἀλλ' οὐκ οἶδα
ὅπως, οὐδείς με ἀναλαμβάνει τῶν σοφιστῶν οὐδὲ ἥδονται
14 ὁρῶντες. σχεδὸν μὲν οὖν ἐπίσταμαι, ὅτι πιστεύετέ μοι λέγοντι
ὑπὲρ τῆς ἀπειρίας τε καὶ ἀνεπιστημοσύνης τῆς ἐμαυτοῦ, δῆλον
ὡς διὰ τὴν αὐτῶν ἐπιστήμην καὶ φρόνησιν· καὶ τοῦτο οὐκ
ἐμοὶ μόνον, ἀλλὰ καὶ Σωκράτει δοκεῖτέ μοι πιστεύειν ἂν ταὐ-
τὰ ὑπὲρ αὐτοῦ προβαλλομένῳ πρὸς ἅπαντας, ὡς οὐδὲν ᾔδει·
τὸν δὲ Ἱππίαν καὶ τὸν Πῶλον καὶ τὸν Γοργίαν, ὧν ἕκαστος
αὐτὸν μάλιστα ἐθαύμαζε καὶ ἐξεπλήττετο, σοφοὺς ἂν ἡγεῖσθε
15 καὶ μακαρίους· ὅμως δὲ προλέγω ὑμῖν, ὅτι ἐσπουδάκατε ἀν-
δρὸς ἀκοῦσαι τοσοῦτον πλῆθος ὄντες οὔτε καλοῦ τὸ εἶδος
οὔτε ἰσχυροῦ τῇ τε ἡλικίᾳ παρηκμακότος ἤδη, μαθητὴν δὲ
οὐδένα ἔχοντος, τέχνην δὲ ἢ ἐπιστήμην οὐδεμίαν ὑπισχνουμέ-
νου σχεδὸν, οὔτε τῶν σεμνῶν οὔτε τῶν ἐλαττόνων, οὔτε μαν-
τικὴν οὔτε σοφιστικὴν, ἀλλ' οὐδὲ ῥητορικήν τινα ἢ κολακευ-
τικὴν δύναμιν, οὐδὲ δεινοῦ ξυγγράφειν οὐδὲ ἔργον τι ἔχοντος
ἄξιον ἐπαίνου καὶ σπουδῆς, ἀλλ' ἢ μόνον κομῶντος·

εἰ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον,

16 δραστέον τοῦτο καὶ πειρατέον, ὅπως ἂν ᾖ δυνατὸν ἡμῖν. οὐ 198 M.

ὀρνιθοθήρα M. rg, ὀρνιθοθῆρα BCA, ὀρνιθοθῆραι U, ὀρνιθοστῆρα v, ὀρνιθοθῆρι m. ‖ 4. προβάλλειν. προσβάλλειν BCMUA. ‖ 7. οὐδὲν ἂν Iacobs. Add. p. 162. g, οὐδένα reliq. ‖ ἅτε. οὔτε v. ‖ οὐδ'. οὐδὲν mr, οὐδὲν οὐδ' Pflugk. ‖ 8. ὡς δὲ Pflugk., ὥστε reliqui, unde Geelius v. ὥστε—ὑπισχνούμενος transponebat post ἀνδρείαν, Reiskius vero quaedam excidisse suspicabatur. ‖ 9. ἀνδρείαν. ἀναίδειαν Faber. ad Lucian. ‖ μεγάλα. οὐ μεγάλα C. ‖ 10. αὑτὸν Geel., αὐτὸν reliq. ‖ 11. βούλεται. βούληται B, βούλοιτο Geel. — 14, 1. πιστεύετέ. πιστεύεται M. ‖ 2. καὶ ἀνεπιστημοσύνης. κἀνεπιστημοσύνης B. v, καὶ ἀνεπιστήμης A. ‖ δῆλον. δηλῶν M. ‖ 4. ταὐτὰ B. Reisk. g, ταῦτα reliq. ‖ 5. αὑτοῦ. αὐτοῦ. M. ‖ 6. Ἱππίαν. ἱππείαν M. ‖ 7. αὐτὸν. αὐτῶν B. ‖ αὐτὸν. αὐτὸν M. ‖ ἡγεῖσθε. ἡγεῖσθαι M. — 15, 1. ὅμως. ὅλως Reisk. ‖ 3. οὔτε. οὔτ' B. ‖ 4. ἤ. ἡ M. ‖ ὑπισχνουμένου. ἐπισχνουμένου M.

μέντοι λόγων ἀκούσεσθε ὁποίων ἄλλου τινὸς τῶν νῦν, ἀλλὰ
πολὺ φαυλοτέρων καὶ ἀτοπωτέρων, ὁποίους δὴ καὶ ὁρᾶτε.
χρὴ δὲ ἐᾶν ὑμᾶς ἐν βραχεῖ, ὅ τι ἂν ἐπίῃ μοι, τούτῳ ἕπεσθαι 378 R.
καὶ μὴ ἀγανακτεῖν, ἐὰν φαίνωμαι πλανώμενος ἐν τοῖς λόγοις·
ὥσπερ ἀμέλει καὶ τὸν ἄλλον χρόνον ἔζηκα ἀλώμενος· ἀλλὰ
συγγνώμην ἔχειν, ἅτε ἀκούοντας ἀνδρὸς ἰδιώτου καὶ ἀδολέ-
σχου. καὶ γὰρ δὴ τυγχάνω μακράν τινα ὁδὸν ταννῦν πεπο-
ρευμένος εὐθὺ τοῦ Ἴστρου καὶ τῆς Γετῶν χώρας ἢ Μυσῶν,
17 ὥς φησιν Ὅμηρος κατὰ τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους. ἦλθον 379 R.
δὲ οὐ χρημάτων ἔμπορος οὐδὲ τῶν πρὸς ὑπηρεσίαν τοῦ στρα-
τοπέδου, σκευοφορῶν ἢ βοηλατῶν, οὐδὲ πρεσβείαν ἐπρέσβευον
συμμαχικὴν ἤ τινα εὔφημον τῶν ἀπὸ γλώττης μόνον συνευ-
χομένων,

γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχον ἔγχος·

18 οὐ μὴν οὐδὲ ἀποβαλὼν ὅπλον οὐθέν. ὥστε ἔγωγε ἐθαύμαζον,
ὅπως με ἠνείχοντο ὁρῶντες, οὔτε ἱππεύειν ἐπιστάμενος οὔτε 380 R.
τοξότης ἱκανὸς ὢν οὔθ' ὁπλίτης, ἀλλ' οὐδὲ τῶν κούφων καὶ
ἀνόπλων στρατιωτῶν, οὐκ ἀκοντιστὴς ἢ λιθοβόλος, οὐδ' αὖ

16, 2. ἀκούσεσθε. ἀκούσεσθαι M. ‖ 3. καὶ ἀτοπωτέρων om. C, in M mrg. add. ‖ ὁποίους. ὁποίου Kayser. Annal. Monac. 1840 140 p. 84. ‖ καὶ ὁρᾶτε. ἀκηκόατε Koehlerus, quod probat Geelius, si v. ὁποίους δὴ ἀκηκόατε transponantur post τῶν νῦν. ‖ 4. ἐᾶν. ἐὰν M. ‖ ἐν om. m, ἐμὲ ἐν Reisk., pro ἐν βραχεῖ Geelius p. 111 ἔμβραχυ. ‖ τούτῳ BM. Casaub. rg, τοῦτο reliq. ‖ 5. ἐν τοῖς λόγοις BM. g, om. reliq. ‖ 6. τὸν ἄλλον χρόνον rg, τῶν ἄλλον χρόνον C, τὸν ἄλλον (om. χρόνον) reliq., τηνάλλως Geel. ‖ ἔζηκα rg, ἐξῆκα reliq. ‖ 8. μακράν τινα BC. Reisk. g, μακρὰν τὴν reliq. ‖ 9. Γετῶν Casaub. rg, γε τῶν reliq. ‖ χώρας. χωρῶν C. totum locum sic scribebat Reiskius: καὶ τῆς Μυσῶν χώρας, ὥς φησιν Ὅμηρος, ἢ Γετῶν κατὰ τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους. — 17, 4. ἤ τινα εὔφημον. ἢ νὴ Δία εὔφημόν τινα mavult Geel. ‖ ἀπὸ γλώττης. ἀπὸ τῆς γλώττης C. ‖ συνευχομένων BCMU. g, συνεχομένων A, συναχθομένων vmr. post hoc v. in omnibus libris leguntur haec: ἄλλο δὲ οὐδὲν χρὴ πολυπραγμονεῖν οὐδὲ ἀκούειν οὐδενὸς ἀλλ' ἢ μόνον σάλπιγγος ἱερᾶς καὶ τῶν μακαρίων κηρυγμάτων, ὡς ὅδε μὲν νικᾷ πάλην παίδων, ὅδε δὲ ἀνδρῶν, ὅδε δὲ πυγμήν, ὅδε δὲ παγκράτιον, ὅδε δὲ πένταθλον, ὅδε δὲ στάδιον, ἑνὶ βήματι σχεδὸν εὐδαίμων γενόμενος, αὐτόν τε καὶ τὴν πατρίδα καὶ τὸ σύμπαν ἀποφήνας γένος ἀοίδιμον. haec aliena esse non fugit Reiskium, qui ea interponebat post v. ἥκοντας § 25. Kayserus Annal. Monac. 1840. 140 p. 85 eadem inserit post v. λόγων § 25. mihi (Obs. p. 26) visa sunt post v. Ὄλυμπον § 26 interponenda esse. ‖ 6. ἔχον Reisk., ἔχων Geel., ἔχεν reliq. ‖ 7. ἀποβαλών. ἄλλο C. conf. II, 21, 51. — 18, 1. ὥστε ἔγωγε M. g, ἔγωγε om. reliq. ‖ 2. ἱππεύειν. ἱππεῦσιν M. ‖ ἐπιστάμενος. ἐπιστάμενον corr. M. A. v. ‖ 3. ἱκανὸς ὤν. ἱκανῶς ὢν M. ‖ 4. ἀνόπλων Reisk., ἀνόπλων τὴν βαρεῖαν ὅπλισιν M, ἀνόπλων οὐ τὴν βαρεῖαν ὅπλισιν

Digitized by Google

τεμεῖν ὕλην ἢ τάφρον ὀρύττειν δυνατὸς οὐδὲ ἀμῆσαι χιλὸν ἐκ
πολεμίου λειμῶνος πυκνὰ μεταστρεφόμενος οὐδὲ ἐγεῖραι σκηνὴν
ἢ χάρακα, ὥσπερ ἀμέλει ξυνέπονται τοῖς στρατοπέδοις πολε-
19 μικοί τινες ὑπηρέται· πρὸς ἅπαντα δὴ ταῦτα ἀμηχάνως ἔχων
ἀφικόμην εἰς ἄνδρας οὐ νωθροὺς οὐδὲ σχολὴν ἄγοντας ἀκροᾶ-
σθαι λόγων, ἀλλὰ μετεώρους καὶ ἀγωνιῶντας καθάπερ ἵπ-
πους ἀγωνιστὰς ἐπὶ τῶν ὑσπλήγγων, οὐκ ἀνεχομένους τὸν 199 M.
χρόνον, ὑπὸ σπουδῆς δὲ καὶ προθυμίας κόπτοντας τὸ ἔδαφος
ταῖς ὁπλαῖς, ἔνθα δ' ἦν ὁρᾶν πανταχοῦ μὲν ξίφη, πανταχοῦ
δὲ θώρακας, πανταχοῦ δὲ δόρατα, πάντα δὲ ἵππων, πάντα
δὲ ὅπλων, πάντα δὲ ὡπλισμένων ἀνδρῶν μεστά· μόνος δὴ ἐν
τοσούτοις φαινόμενος ὁ ῥάθυμος ἀτεχνῶς σφόδρα τε εἰρηνι-
20 κὸς πολέμου θεατής, τὸ μὲν σῶμα ἐνδεής, τὴν δὲ ἡλικίαν
προήκων, οὐ χρυσοῦν σκῆπτρον φέρων οὐδὲ στέμματα ἱερὰ 381 R.
θεοῦ τινος ἐπὶ λύσει θυγατρὸς ἥκων εἰς τὸ στρατόπεδον ἀναγ-
καίαν ὁδόν, ἀλλ' ἐπιθυμῶν ἰδεῖν ἄνδρας ἀγωνιζομένους ὑπὲρ
ἀρχῆς καὶ δυνάμεως, τοὺς δὲ ὑπὲρ ἐλευθερίας τε καὶ πατρί-
δος. ἔπειτα οὐ τὸν κίνδυνον ἀποκνήσας· μὴ τοῦτο ἡγησάσθω
μηδείς· ἀλλ' εὐχῆς τινος μνησθεὶς παλαιᾶς δεῦρο ἀπετράπην
πρὸς ὑμᾶς, ἀεὶ τὰ θεῖα κρείττω καὶ προυργιαίτερα νομίζων
21 τῶν ἀνθρωπίνων, ἡλίκα ἂν ᾖ. πότερον οὖν ἥδιον ὑμῖν καὶ
μᾶλλον ἐν καιρῷ περὶ τῶν ἐκεῖ διηγήσασθαι, τοῦ τε ποταμοῦ
τὸ μέγεθος καὶ τῆς χώρας τὴν φύσιν ἢ ὡρῶν ὡς ἔχουσι κρά-
σεως καὶ τῶν ἀνθρώπων τοῦ γένους, ἔτι δὲ οἶμαι τοῦ πλή-
θους καὶ τῆς παρασκευῆς, ἢ μᾶλλον ἅψασθαι τῆς πρεσβυτέ-
ρας τε καὶ μείζονος ἱστορίας περὶ τοῦδε τοῦ θεοῦ, παρ' ᾧ
22 νῦν ἐσμεν; οὗτος γὰρ δὴ κοινὸς ἀνθρώπων καὶ θεῶν βασι-

reliq. ‖ οὐκ om. M. ‖ ἢ λιθοβόλος M. g, οὐ λιθοβόλος reliq. ‖ 5. χιλόν. χειλὸν M. — 19, 1. δὴ C. g, δὲ reliq. ‖ 2. νωθροὺς M. Casaub., νόθους reliq. ‖ 3. ἀλλὰ μετεώρους Iacobs. Add. p. 70, ἀλλ' ἡμετέρους D, ἀλλ' εὐθυμοτέρους E, ἀλλ' ὑμετέρους reliq., ἀλλ' ἐνεργοὺς (vel ἀνημέρους) Casaub., ἀλλὰ δριμυτέρους Reisk. ‖ 4. ὑσπλήγγων. ὑσπλήττων M, ὑσπλήγων B. ‖ ἀνεχομένους. ἀνασχομένους U. ‖ 5. δὲ. τε M. ‖ κόπτοντας. κύπρον τὰς v. ‖ 6. ἔνθα δ'. ἐνθάδ' M, ἔνθα γε C. ‖ ἦν ὁρᾶν. ἦν ὁρᾶς v, ὁρᾶς m. ‖ 8. μεστά. μετὰ M. ‖ μόνος δὴ C. g, δὴ om. reliq. ‖ 9. φαινόμενος. φερόμενος A. ‖ ὁ ῥάθυμος BMUA, ὁ om. reliq. — 20, 3. ἥκων. ἧκον Geel. ‖ εἰς om. M. ‖ ἀναγκαίαν. ἀναγκαῖον M. ‖ 4. ὑπέρ. τοὺς μὲν ὑπὲρ Geel. ‖ 8. τὰ θεῖα. τὰ θείω v. ‖ 9. ᾖ. ἧς M, ἦν A. — 21, 3. ὡρῶν. ὅρων A. ‖ 4. τοῦ. περὶ τοῦ Reiskius recte opinor. ‖ γένους. γένος r. ‖ 6. τοῦδε τοῦ. τοῦδε C, τοῦ m. ‖ παρ' ᾧ. παρ' ὧν A.

λεύς τε καὶ ἄρχων καὶ πρύτανις καὶ πατήρ, ἔτι δὲ εἰρήνης καὶ πολέμου ταμίας, ὡς τοῖς πρότερον ἐμπείροις καὶ σοφοῖς ποιηταῖς ἔδοξεν, ἐάν πως ἱκανοὶ γενώμεθα τήν τε φύσιν αὐτοῦ καὶ τὴν δύναμιν ὑμνῆσαι λόγῳ βραχεῖ καὶ ἀποδέοντι τῆς
23 ἀξίας, αὐτά που ταῦτα λέγοντες. ἆρ' οὖν κατὰ Ἡσίοδον ἄνδρα ἀγαθὸν καὶ Μούσαις φίλον ἀρκτέον, ὡς ἐκεῖνος μάλα 382 R. ἐμφρόνως οὐκ αὐτὸς ἐτόλμησεν ἄρξασθαι παρ' αὐτοῦ διανοηθείς, ἀλλὰ τὰς Μούσας παρακαλεῖ διηγήσασθαι περὶ τοῦ σφετέρου πατρός; τῷ παντὶ γὰρ μᾶλλον πρέπον τόδε τὸ ᾆσμα ταῖς θεαῖς ἢ τοὺς ἐπὶ Ἴλιον ἐλθόντας ἀριθμεῖν, αὐτούς τε καὶ τὰ σέλματα τῶν νεῶν ἐφεξῆς, ὧν οἱ πολλοὶ ἀνόητοι ἦσαν· καὶ ποιητὴς σοφώτερός τε καὶ ἀμείνων ὁ παρακαλῶν ἐπὶ τοῦτο τὸ ἔργον ὧδέ πως·

24 Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι, 200 M.
δεῦτε δὴ ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι,
ὅντε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε
ῥητοί τ' ἄρρητοί τε, Διὸς μεγάλοιο ἕκητι·
ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

25 ὑπολαβόντες οὖν εἴπατε· πότερον ἁρμόζων ὁ λόγος οὗτος ἢ τὸ ᾆσμα τῇ ξυνόδῳ γένοιτ' ἄν, ὦ παῖδες Ἠλείων· ὑμεῖς γὰρ ἄρχοντες καὶ ἡγεμόνες τῆσδε τῆς πανηγύρεως, ἔφοροί τε καὶ

22, 5. ἀποδέοντι. μὴ ἀποδέοντι Kayser. Annal. Monac. 1840. 140 p. 85. frustra. ‖ 6. αὐτά που. τοσαῦτα δήπου Kays. l. l. ‖ λέγοντες Reisk., λέγοντας reliq. — 23, 2. ἄρξασθαι Reisk., εὔξασθαι reliqui. totum locum sic constituit Reiskius: μάλα ἐμφρόνως διανοηθεὶς οὐκ αὐτὸς ἐτόλμησεν ἄρξασθαι παρ' αὐτοῦ. probabilius Pflugkius: μάλα ἐμφρόνως οὐκ ἐτόλμησεν ἄρξασθαι ὡς αὐτὸς παρ' αὐτοῦ διανοηθείς. conf. Orat. XII, 67. at dubito an nihil mutandum sit. ‖ 8. καὶ M, καί τις reliqui. e regione horum verborum mrg. B: Ἡσίοδον Ὁμήρου προκρίνει. Ὅμηρος γὰρ Μούσας παρακαλεῖ τὸν κατάλογον μέλλων ἐρεῖν τῶν νεῶν. Ἡσίοδος δὲ τὰς αὐτὰς ὑμνῆσαι Δία, ὃς πατὴρ αὐτῶν νενόμισται ἀνδρῶν τε θεῶν τε. οὐκ ἔστι δὲ εἰπεῖν, ὅσον ἀνθρώπων θεῶν (sic) κρείττων. ‖ ὁ BCMUA, ἢ ὁ γmrg. — 24, 1. ἀοιδῇσι. ἀοιδῆσιν M. conf. Hesiod. O. et D. 1. ‖ 2. δή. δι' BM. ‖ ἐννέπετε. ἐννέπετεαι M, ἐνέπετε B. ‖ ὑμνείουσαι. ὑμνίουσαι M. ‖ 3. φατοί τε om. M. ‖ 5. ῥέα Hesiod. g, ῥεῖα reliq. ‖ γάρ om. C. ‖ ῥέα Hesiod. g, ῥέα M, ῥεῖα reliq. ‖ χαλέπτει. χαλέπτη M. ‖ 7. δέ om. M. ‖ κάρφει. κάρφι M. ‖ 8. ναίει. νίει (mrg. vulg.) M. — 25, 1. ὑπολαβόντες οὖν εἴπατε in M mrg. add.

ἐπίσκοποι τῶν ἐνθάδε ἔργων καὶ λόγων· ἢ δεῖ θεατὰς εἶναι μόνον τοὺς ἐνθάδε ἥκοντας τῶν τε ἄλλων δηλονότι παγκάλων καὶ σφόδρα ἐνδόξων θεαμάτων καὶ δὴ μάλιστα τῆς τοῦ θεοῦ 383 R
θρησκείας καὶ τῷ ὄντι μακαρίας εἰκόνος, ἣν ὑμῶν οἱ πρόγονοι δαπάνης τε ὑπερβολῇ καὶ τέχνης ἐπιτυχόντες τῆς ἄκρας εἰργάσαντο καὶ ἀνέθεσαν πάντων, ὅσα ἔστιν ἐπὶ γῆς ἀγάλματα, κάλλιστον καὶ θεοφιλέστατον, πρὸς τὴν Ὁμηρικὴν ποίησιν, ὥς φασι, Φειδίου παραβαλλομένου· τοῦ δινήσαντος ὀλίγῳ
26 νεύματι τῶν ὀφρύων τὸν ξύμπαντα Ὄλυμπον, ὡς ἐκεῖνος μάλιστα ἐναργῶς καὶ πεποιθότως ἐν τοῖς ἔπεσιν εἴρηκεν·

> ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,
> ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
> κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον·

ἄλλο δὲ οὐδὲν χρὴ πολυπραγμονεῖν οὐδὲ ἀκούειν οὐδενὸς ἀλλ' ἢ μόνον σάλπιγγος ἱερᾶς καὶ τῶν μακαρίων κηρυγμάτων, ὡς ὅδε μὲν νικᾷ πάλην παίδων, ὅδε δὲ ἀνδρῶν, ὅδε δὲ πυγμὴν, ὅδε δὲ παγκράτιον, ὅδε δὲ πένταθλον, ὅδε δὲ στάδιον, ἑνὶ βήματι σχεδὸν εὐδαίμων γενόμενος αὐτός τε καὶ τὴν πατρίδα καὶ τὸ σύμπαν ἀποφήνας γένος ἀοίδιμον; ἢ καὶ περὶ αὐτῶν 391 M
τούτων σκεπτέον ἡμῖν ἐπιμελέστερον τῶν τε ποιημάτων καὶ ἀναθημάτων καὶ ἀτεχνῶς εἴ τι τοιουτότροπόν ἐστι, τὴν ἀνθρωπίνην περὶ τοῦ δαιμονίου δόξαν ἀμηγέπη πλάττον καὶ ἀνατυποῦν, ἅτε ἐν φιλοσόφῳ διατριβῇ τανῦν; *ὁρῶ μὲν οὖν

4. τῶν. τῶν τε A. ‖ λόγων. post hoc v. Kayser. inserenda censet v. ἄλλο δὲ — ἀοίδιμον. conf. § 17 et § 26. idem in proximis scribit καὶ δεῖ (pro ἢ δεῖ). ‖ 5. τῶν τε BE. Obs. p. 26, τῶνδε reliq. ‖ δηλονότι. δηλονότι καὶ C. ‖ 6. δὴ om. B. ‖ 7. θρησκείας. in hoc v. aliquod statuae epitheton latere videtur Geelio, θεσπεσίας Kayser. l. l. p. 86 non sine veri specie. θρησκείας si servatur, in proximis καὶ τῆς τῷ scribendum est. ‖ 10. πρός. περὶ (mrg. vulg.) M. ‖ 11. φασι. φασι τοῦτο B. ‖ Φειδίου. φεδίου B, φιδίου M. ‖ παραβαλλομένου. παραβαλομένου B, περιβαλλομένου M. ‖ δινήσαντος. δεινήσαντος M. ‖ ὀλίγῳ. ὀλίγων v. — 26, 1. ὡς ἐκεῖνος bis leguntur in v. ‖ 2. πεποιθότως. πεποιθὼς M. ‖ 3. ἦ. ἦ B, ἡ M. ‖ 5. ἐλέλιξεν. ἐλέλιζεν M. ‖ Ὄλυμπον. post hoc v. inserui, quae vulgo alieno loco leguntur § 17 ἄλλο δὲ — ἀοίδιμον. conf. Obs. p. 26. ‖ 6. οὐδέν. οὐθὲν BM. ‖ 8. ὅδε μέν. ὁ μὲν Geel. ‖ νικᾷ. νίκας M. ‖ πάλην. πάλιν MAD. ‖ ὅδε δὲ πυγμὴν M, ὁ δὲ πυγμὴν reliq. ‖ 9. ὅδε δὲ παγκράτιον M, ὁ δὲ παγκράτιον reliq. ‖ ὅδε δὲ πένταθλον BMUD, ὁ δὲ πένταθλον reliq. ‖ ὅδε δὲ στάδιον BMUD, ὁ δὲ στάδιον reliq. ‖ 10. αὐτός BMA, αὐτὸν reliq., καὶ αὐτόν Reisk. ‖ 11. ἀποφήνας. ἀποφῆναι BM. v. ‖ αὐτῶν. αὐτὸν vm. ‖ 12. καὶ ἀναθημάτων. καὶ om. C. ‖ 14. πλάττον. πλάττων M. ‖ 15. τανῦν. τὰ νῦν B, om. C, τανῦν οὖσι Reiskius. post hoc v. quaedam excidisse suspicatus est Geelius.

ἔγωγε τοῖς πολλοῖς πανταχοῦ τὴν ἀκρίβειαν κοπῶδες καὶ τὰ περὶ τοὺς λόγους οὐδὲν ἧττον, οἷς μέλει πλήθους μόνον, οὐδὲν δὲ προειπόντες οὐδὲ διαστειλάμενοι περὶ τοῦ πράγματος οὐδὲ ἀπό τινος ἀρχῆς ἀρχόμενοι τῶν λόγων, ἀλλ' αὐτό γε, ὥς φασιν, ἀπλύτοις ποσὶ διεξίασι τὰ φανερώτατα καὶ γυμνότατα. καὶ ποδῶν μὲν ἀπλύτων οὐ μεγάλη βλάβη διά τε πηλοῦ καὶ πολλῶν καθαρμάτων ἰόντων, γλώττης δὲ ἀνεπιστήμονος οὐ μικρὰ ζημία γίγνεται τοῖς ἀκροωμένοις. ἀλλὰ γὰρ εἰκὸς τοὺς πεπαιδευμένους, ὧν λόγον τινὰ ἔχειν ἄξιον, συνεξανύειν καὶ συνεκπονεῖν, μέχρις ἂν ὡς ἐκ καμπῆς τινος καὶ δυσχωρίας
27 καταστήσωμεν εἰς εὐθεῖαν τοὺς λόγους.* περὶ δὴ θεῶν τῆς 384 R.
τε καθόλου φύσεως καὶ μάλιστα τοῦ πάντων ἡγεμόνος πρῶτον μὲν καὶ ἐν πρώτοις δόξα καὶ ἐπίνοια κοινὴ τοῦ ξύμπαντος ἀνθρωπίνου γένους, ὁμοίως μὲν Ἑλλήνων, ὁμοίως δὲ βαρβάρων, ἀναγκαία καὶ ἔμφυτος ἐν παντὶ τῷ λογικῷ γιγνομένη κατὰ φύσιν ἄνευ θνητοῦ διδασκάλου καὶ μυσταγωγοῦ χωρὶς ἀπάτης διά τε τὴν ξυγγένειαν τὴν πρὸς αὐτοὺς καὶ πολλὰ μαρ-

Kayserus l. l. post v. ἡγεμόνος quaedam desiderabat. idem mutat περὶ δὲ in περί τε. interposui quae vulgo legebantur § 43 post v. γιγνόμενον asteriscis notata. ‖ 16. πανταχοῦ. malim πανταχοῦ τε. ‖ τὴν ἀκρίβειαν. ἀμελουμένην τὴν ἀλήθειαν Casaub. ‖ κοπῶδες M. g, κοπώδη Prog. p. 27, σκοπῶ δὲ reliq. ‖ καὶ τά. καὶ τῶν Reisk. ‖ 17. οὐδὲν δὲ M, δὲ om. reliq., οἳ οὐδὲν Reisk., malim οὐδὲν δή. totum hunc locum sic scribit Geelius: ὁρῶ μὲν οὖν ἔγωγε τοῖς πολλοῖς τὴν ἀκρίβειαν κοπῶδες ὄν, μάλιστα δὲ τὴν περὶ τοὺς λόγους· ὅθεν, οἷς μέλει πλήθους μόνον, οὐδὲν cett. Pflugkius ita: ἐῶ μὲν οὖν ἔγωγε τοὺς ποιητὰς πῶς ἔχουσιν ἀκριβείας, σκοπεῖν· ἀλλὰ καὶ οἱ περὶ λόγους cett. nimirum ut haec conciliaret cum eis, quae vulgo antecedunt et sequuntur. tractavit hunc locum etiam Wyttenbach. ad Plut. p. 142 d, sed infelicius. ‖ 18. διαστειλάμενοι. διαστησάμενοι B, διαστηλάμενοι (at λ in rasura) M. ‖ 19. ἀπό τινος. ἀπὸ τίνος vmr. ‖ αὐτό γε, ὥς. αὐτογενῶς M, αὐτό γε ὥ Geel. ‖ 20. φασιν. φησιν BM. ‖ ἀπλύτοις. ἀπαύτοις (corr. vulg.) M. ‖ 21. καὶ ποδῶν. καὶ in M a corr. add. ‖ ἀπλύτων. ἀπ' αὐτῶν M. ‖ διά τε. διά γε Geel. ‖ πηλοῦ. πελτῶν C. ‖ 23. γίγνεται M, γίνεται reliq. ‖ 24. λόγον. λόγων CM. mr. ‖ ἔχειν ἄξιον Iacobs., εἰκότως ἔχειν ἄξιον ἔχων BCMUA. g, εἰκὸς ἔχειν ἄξιον ἔχων vmr, εἰκὸς ἔχειν ἄξιον ἑαυτῶν Reisk., εἰκότως ἔχειν ἄξιον συνεχῶς Geel. ‖ 25. μέχρις. μέχρι M. ‖ ὡς. ὥσπερ M. ‖ καμπῆς. λαμπῆς C. — 27, 1. δὴ Reisk., δὲ reliq. ‖ 3. καὶ ἐν πρώτοις. ἐν πρώτης M. ‖ κοινή. κοινῇ m. ‖ 5. λογικῷ. λογισμῷ A, λογιστικῷ Ungerus. Reiskius locum in quibusdam libris sic scriptum fuisse suspicatur: ἐν παντὶ τῷ λογισμῷ γιγνομένη καὶ φύσει, Geelius ἐν παντὶ λογικῷ γένει, γιγνομένη, quorum nihil vulgatae praetulerim. sic πᾶν τὸ θνητόν § 53. ‖ 6. κατά. καὶ BUA. mrg. M. v. ‖ 7. ἀπάτης. sic dedi. ἀπάτης χωρεῖ Palatin. 117, ἀπάτης καὶ χωρεῖ C, ἀπάτης καὶ χαρὰς M, ἀπάτης καὶ χαρᾶς reliqui. verbum χαρᾶς in

Digitized by Google

τύρια τἀληθοῦς οὐκ ἐῶντα καταννστάσαι καὶ ἀμελῆσαι τοὺς
28 πρεσβυτάτους καὶ παλαιοτάτους. ἅτε γὰρ οὐ μακρὰν οὐδ' ἔξω
τοῦ θείου διῳκισμένοι καθ' αὑτοὺς, ἀλλὰ ἐν αὐτῷ μέσῳ πεφυ-
κότες, μᾶλλον δὲ συμπεφυκότες ἐκείνῳ καὶ προσεχόμενοι πάντα
τρόπον, οὐκ ἐδύναντο μέχρι πλείονος ἀξύνετοι μένειν, ἄλλως
τε ξύνεσιν καὶ λόγον εἰληφότες περιττὴν, ἅτε δὴ περιλαμπό- 385 R.
μενοι πάντοθεν θείοις καὶ μεγάλοις φάσμασιν οὐρανοῦ τε
καὶ ἄστρων, ἔτι δὲ ἡλίου καὶ σελήνης, νυκτός τε καὶ ἡμέρας
ἐντυγχάνοντες ποικίλοις καὶ ἀνομοίοις εἴδεσιν, ὄψεις τε ἀμη-
χάνους ὁρῶντες καὶ φωνὰς ἀκούοντες παντοδαπὰς ἀνέμων τε
καὶ ὕλης καὶ ποταμῶν καὶ θαλάττης, ἔτι δὲ ζώων ἡμέρων καὶ
ἀγρίων, αὐτοί τε φθόγγον ἥδιστον καὶ σαφέστατον ἱέντες,
καὶ ἀγαπῶντες τῆς ἀνθρωπίνης φωνῆς τὸ γαῦρον καὶ ἐπιστή-
μον ἐπιθέμενοι σύμβολα τοῖς εἰς αἴσθησιν ἀφικνουμένοις, ὡς
πᾶν τὸ νοηθὲν ὀνομάζειν καὶ δηλῶσαι εὐμαρῶς, ἀπείρων πρα-
29 γμάτων μνήμας καὶ ἐπινοίας παραλαμβάνοντες. πῶς οὖν
ἀγνῶτες εἶναι ἔμελλον καὶ μηδεμίαν ἕξειν ὑπόνοιαν τοῦ σπεί-
ραντος καὶ φυτεύσαντος καὶ σῴζοντος καὶ τρέφοντος, παντα-
χόθεν ἐμπιμπλάμενοι τῆς θείας φύσεως διά τε ὄψεως καὶ ἀκοῆς 202 M.
ξυμπάσης τε ἀτεχνῶς αἰσθήσεως; νεμόμενοι μὲν ἐπὶ γῆς, ὁρῶν-
τες δ' ἐξ οὐρανοῦ φῶς, τροφὰς δὲ ἀφθόνους ἔχοντες εὐπορή-
30 σαντος καὶ προπαρασκευάσαντος τοῦ προπάτορος θεοῦ· πρώ

χορείας mutat Geelius, in χορηγίας Unger. Annal. p. 1173, alii aliter. mihi nunc dittographia v. χωρὶς videtur. ‖ αὐτούς. αὐτοῦ m. ‖ 8. καταννστάσαι. καταννστάξαι M. g. ‖ 9. πρεσβυτάτους. πρεσβυτέρους (et παλαιοτέρους) C. ‖ καὶ παλαιοτάτους. σπουδαιοτάτους aliquando Geel., malim ἀκμαιοτάτους. an glossema est? — 28, 2. διῳκισμένοι. διωρισμένοι A. ‖ καθ' αὑτοὺς BCM. g, om. reliq. ‖ 3. μᾶλλον δὲ συμπεφυκότες M. g, om. reliq. ‖ προσεχόμενοι. περιεχόμενοι Reisk. ‖ 4. οὐκ ἐδύναντο. οὐδ' ἐδύναντο C, οὐκ ἠδύναντο M. ‖ 5. ξύνεσιν — ἅτε δὴ om. CDEUA. ‖ περιττὴν Reisk., περὶ τὴν var. l. v, περὶ αὐτοῦ BM. g, περὶ αὐτὴν reliq., παρ' αὐτῶν Selden. ‖ περιλαμπόμενοι. λαμπόμενοι CUA et fortasse DE. hausit eadem lacuna literas περι, quae antecedentia verba. Geelius. ‖ 7. ἡλίου καί. ἡλίου τε καὶ M (sed τε a corr.). ‖ 8. ἐντυγχάνοντες. ἐντυγχάνοντες δὲ Selden. ‖ ὄψεις. ὄψειν. ‖ 9. φωνάς. φωρὰς M. ‖ 12. γαῦρον. γλαφυρὸν Selden. ‖ 13. ὡς πᾶν — δηλῶσαι uncis inclusa g. ‖ 14. ὀνομάζειν καὶ δηλῶσαι M, ὀνομάζειν καὶ δηλῶς AUA. vg, ὀνομάζειν καὶ δηλοῦν mr, malim ὀνομάζοντες δηλῶσαι. conf. § 65. ‖ 15. μνήμας M. g, καὶ μνήμας reliq. — 29, 1. οὖν ἀγνῶτες εἶναι BCU. vr, οὐ ἀγνῶτες εἶναι A (at in litura), οὖν ἀγνοήσειν M. g. ‖ 4. ἐμπιμπλάμενοι BM, ἐμπιπλάμενοι reliq. ‖ 5. ξυμπάσης BM, ξυμπάσας v, συμπάσης reliq. ‖ 6. εὐπορήσαντος MA. g, εὖ πορίσαντος B, ἐκπορίσαντος CU. vmr.

την μὲν οἱ πρῶτοι καὶ αὐτόχθονες τὴν γεώδη μαλακῆς ἔτι καὶ 386 R.
πίονος τῆς ἰλύος τότε οὔσης, ὥσπερ ἀπὸ μητρὸς τῆς γῆς λιχ-
μώμενοι, καθάπερ τὰ φυτὰ νῦν ἕλκουσι τὴν ἐξ αὐτῆς ἰκμάδα,
δευτέραν δὲ τοῖς ἤδη προϊοῦσι καρπῶν τε αὐτομάτων καὶ πόας
οὐ σκληρᾶς ἅμα δρόσῳ γλυκείᾳ καὶ νάμασι νυμφῶν ποτίμοις·
ἐκ δὴ τοῦ περιέχοντος ἠρτημένοι καὶ τρεφόμενοι τῇ διηνεκεῖ
τοῦ πνεύματος ἐπιῤῥοῇ, ἀέρα ὑγρὸν ἕλκοντες, ὥστε νήπιοι
παῖδες, οὔποτε ἐπιλείποντος γάλακτος, ἀεὶ σφίσι θηλῆς ἐγκει-
31 μένης. σχεδὸν γὰρ οὖν ταύτην δικαιότερον λέγομεν πρώτην
τροφὴν τοῖς τε πρότερον καὶ τοῖς ὕστερον ἁπλῶς. ἐπειδὰν
γὰρ ἐκπέσῃ τῆς γαστρὸς νωθρὸν ἔτι καὶ ἀδρανὲς τὸ βρέφος,
δέχεται μὲν ἡ γῆ, ἡ τῷ ὄντι μήτηρ, ὁ δὲ ἀὴρ εἰσπνεύσας τε 387 R.
καὶ εἰσψύξας εὐθὺς ἤγειρεν ὑγροτέρᾳ τροφῇ γάλακτος καὶ
φθέγξασθαι παρέσχεν. ταύτην εἰκότως πρώτην λέγοιτ' ἂν
32 τοῖς γεννωμένοις ἡ φύσις ἐπισχεῖν θηλήν. ἃ δὴ πάσχοντες
ἐπινοοῦντες οὐκ ἐδύναντο μὴ θαυμάζειν καὶ ἀγαπᾶν τὸ δαι-
μόνιον, πρὸς δὲ αὖ τούτοις αἰσθανόμενοι τῶν ὡρῶν, ὅτι τῆς
ἡμετέρας ἕνεκα γίγνονται σωτηρίας πάνυ ἀκριβῶς καὶ πεφει-
σμένως ἑκατέρας τῆς ὑπερβολῆς, ἔτι δὲ καὶ τόδε ἐξαίρετον
ἔχοντες ἐκ τῶν θεῶν πρὸς τὰ ἄλλα ζῷα, λογίζεσθαί τε καὶ
33 διανοεῖσθαι περὶ αὐτῶν. σχεδὸν οὖν ὅμοιον, ὥσπερ εἴ τις
ἄνδρα Ἕλληνα ἢ βάρβαρον μυεῖσθαι παραδοὺς εἰς μυστικόν
τινα μυχὸν ὑπερφυῆ κάλλει καὶ μεγέθει πολλὰ μὲν ὁρῶντα

30, 2. γεώδη. γαιώδη BA, γαιάδη U. ‖ 3. πίονος. πείονος M. ‖ τῆς γῆς BCMA. rg, γῆς om. U. vm, γῆς Casaub. ‖ λιχμώμενοι. λειχμώμενοι B, λιχώμενοι C. ‖ 4. τὴν ἐξ C. g, τὴν om. reliq. ‖ 5. δὲ. τε BM. ‖ καρπῶν τε BM. g, τε om. reliq. ‖ 6. σκληρᾶς. σκληρὰς B. ‖ ἅμα. sic dedi. ἅμα δὲ reliqui. sunt autem haec poëtae. ‖ γλυκείᾳ. γλυκείας U. rg. ‖ 7. ἐκ δὴ M. ἐκ δὴ καὶ var. l. v, ἐκ δὲ g, καὶ δὴ καὶ reliq. ‖ 8. πνεύματος. πράγματος v. ‖ ὑγρὸν. λυγρὸν C. ‖ ὥστε. malim ὥσπερ. conf. Geel. ‖ 9. ἐπιλείποντος C. vmrg, ἐπιλίποντος BM, ἐπιλιπόντος reliq. ‖ θηλῆς mr, λήθης reliq., τίτθης Geel. ‖ ἐγκειμένης. ἐγκημένης M. — 31, 1. οὖν. ἂν (et infra λέγοιμεν) Reisk. ‖ λέγομεν. λέξομεν Geel. ‖ 2. ἁπλῶς Geel., ἁπλῆν reliq. ‖ 3. νωθρὸν ἔτι. νωθρόν τε vmr. ‖ 5. ὑγροτέρᾳ. ὑγροτέραι v. ‖ 6. φθέγξασθαι BCMUA. Reisk. g, φθέγξεσθαι vmr. ‖ ταύτην. ταύτην οὖν Reisk. ‖ πρώτην. πρώτη M. ‖ 7. γεννωμένοις. γενωμένοις B. — 32, 2. ἐδύναντο. ἠδύναντο M. ‖ 3. πρὸς δὲ. δὲ om. M. ‖ αἰσθανόμενοι CM. g, αἰσθανομένοις reliq., αἰσθανόμενοι καὶ Reisk. ‖ 4. πεφεισμένως. πεφισμένως M. ‖ 5. τῆς om. C. ‖ 6. λογίζεσθαί τε C. g, τε om. reliq. — 33, 2. παραδοὺς. verbum excidisse suspicatur Reisk., παραδοίη Casaub., παραδώσει Iacobs. Add. p. 181. ‖ 3. μυχὸν Selden. rg, οἶκον C. Casaub., μῦθον reliq. ‖ ὑπερφυῆ. ὑπερφυεῖ A, ὑποφυῆ m.

Digitized by Google

μυστικὰ θεάματα, πολλῶν δὲ ἀκούοντα τοιούτων φωνῶν,
σκότους τε καὶ φωτὸς ἐναλλὰξ αὐτῷ φαινομένων ἄλλων τε
μυρίων γιγνομένων, ἔτι δὲ, εἰ καθάπερ εἰώθασιν ἐν τῷ κα- 388 R. 201
λουμένῳ θρονισμῷ καθίσαντες τοὺς μυουμένους οἱ τελοῦντες
κύκλῳ περιχορεύειν· ἆρά γε τὸν ἄνδρα τοῦτον μηδὲν παθεῖν
εἰκὸς τῇ ψυχῇ μηδ' ὑπονοῆσαι τὰ γιγνόμενα, ὡς μετὰ γνώμης
καὶ παρασκευῆς πράττεται σοφωτέρας, εἰ καὶ πάνυ τις εἴη
τῶν μακρόθεν καὶ ἀνωνύμων βαρβάρων, μηδενὸς ἐξηγητοῦ
34 μηδὲ ἑρμηνέως παρόντος, ἀνθρωπίνην ψυχὴν ἔχων; ἢ τοῦτο
μὲν οὐκ ἀνυστὸν, κοινῇ δὲ ξύμπαν τὸ τῶν ἀνθρώπων γένος·
τὴν ὁλόκληρον καὶ τῷ ὄντι τελείαν τελετὴν μυούμενον οὐκ
ἐν οἰκήματι μικρῷ παρασκευασθέντι πρὸς ὑποδοχὴν ὄχλου
βραχέος ὑπὸ Ἀθηναίων, ἀλλὰ ἐν τῷδε τῷ κόσμῳ, ποικίλῳ
καὶ σοφῷ δημιουργήματι, μυρίων ἑκάστοτε θαυμάτων φαι-
νομένων, ἔτι δὲ οὐκ ἀνθρώπων ὁμοίων τοῖς τελουμένοις, ἀλλὰ
θεῶν ἀθανάτων θνητοὺς τελούντων, νυκτί τε καὶ ἡμέρᾳ καὶ
φωτὶ καὶ ἄστροις, εἰ θέμις εἰπεῖν, ἀτεχνῶς περιχορευόντων
ἀεὶ, τούτων ξυμπάντων μηδεμίαν αἴσθησιν μηδὲ ὑποψίαν
λαβεῖν; μάλιστα δὲ τοῦ κορυφαίου προεστῶτος τῶν ὅλων καὶ
κατευθύνοντος τὸν ἅπαντα οὐρανὸν καὶ κόσμον, οἷον σοφοῦ
κυβερνήτου νεὼς ἄρχοντος πάνυ καλῶς τε καὶ ἀνενδεῶς παρ- 389 R.
35 εσκευασμένης; οὐ γὰρ ἐπὶ τῶν ἀνθρώπων τὸ τοιοῦτον γιγνό-
μενον θαυμάσαι τις ἂν, πολὺ δὲ μᾶλλον, ὅτι ὁπωσοῦν καὶ
μέχρι τῶν θηρίων δικνεῖται τῶν ἀφρόνων καὶ ἀλόγων, ὡς
καὶ ταῦτα γιγνώσκειν καὶ τιμᾶν τὸν θεὸν καὶ προθυμεῖσθαι
ζῆν κατὰ τὸν ἐκείνου θεσμόν. ἔτι δὲ μᾶλλον ἀπεοικότως τὰ

5. αὐτῷ. αὐτῶν M. ‖ 8. περιχορεύειν. περιχορεύσειαν Selden. ‖ ἆρά. ἄρα M. ‖ 9. εἰκὸς om. M. ‖ 12. παρόντος. παρόντων UA. v. ‖ ἀνθρωπίνην. ἀνθρωπίνης M, ἀνθρωπίνην γε Reisk., ἀνθρωπίνην δὲ Geel. — 34, 1. ἤ. ἡ M. ‖ 2. ἀνυστὸν C. vmrg, ἄνυστον M, ἀνοιστόν DUA, ἂν οἰστόν BE, ἂν οἰητόν Geel. ‖ 5. βραχέος. βαρέος A. ‖ 6. θαυμάτων Reisk., θαυμαστῶν reliq. ‖ 8. θνητούς. θνητοῖς M. ‖ 10. τούτων. τούτῳ A. ‖ ξυμπάντων. συμπάντων B. ‖ μηδὲ BMUA. v, ἔδει μηδὲ C. mrg. ‖ 11. προεστῶτος. malim τοῦ προεστῶτος cum Geelio. ‖ 13. ἀνενδεῶς. ἐνενδεῶς m. — 35, 1. οὐ γάρ. εἰ γὰρ Iacobs. (et infra εἴη γιγνόμενον), οὐκ ἄρα Geel. ‖ γιγνόμενον. sic dedi. ita et Pflugk. ἐπιγιγνόμενον reliq., ἐστι γιγνόμενον (et supra ὅτι γὰρ) Reisk. ‖ 2. ὅτι ὁπωσοῦν v, ὅπως οὐ B, ὅπως M, ὅπως τοῦτο Casaub., ὁπωσοῦν r, ὁποσοῦν reliq., ὅπως οὖν Pflugk. ‖ 3. ἀφρόνων BCMU. g, ἀφώνων reliq. ‖ 5. ἀπεοικότως CM. g, ἀπειοικότως B, ἀπεοικότος AU, οὐκ ἀπεοικότως vmr, malim ἀπεοικὸς ὡς et infra ἐκφέρει, οὐδ' ἀπεοικότως Wyttenb. Plut. Moral.

φυτά, οἷς μηδεμία μηδενὸς ἔννοια, ἀλλὰ ἄψυχα καὶ ἄφωνα ἁπλῇ τινι φύσει διοικούμενα, ὡς δὴ καὶ ταῦτα ἑκουσίως καὶ βουλόμενα καρπὸν ἐκφέρειν τὸν προσήκοντα ἑκάστῳ. οὕτω πάνυ ἐναργὴς καὶ πρόδηλος ἡ τοῦδε τοῦ θεοῦ γνώμη καὶ δύ-
36 ναμις. ἀλλ' ἦ που σφόδρα γελοῖοι καὶ ἀρχαῖοι δόξομεν ἐπὶ τοῖς λόγοις, ἐγγυτέρω φάσκοντες εἶναι τὴν τοιαύτην ξύνεσιν τοῖς θηρίοις καὶ τοῖς δένδροις ἥπερ ἡμῖν τὴν ἀπειρίαν τε καὶ 390 R.
ἄγνοιαν; ὁπότε ἄνθρωποί τινες σοφώτεροι γενόμενοι τῆς ἁπά- 204 M.
σης σοφίας, οὐ κηρὸν ἐγχέαντες τοῖς ὠσίν, ὥσπερ οἶμαί φασι τοὺς Ἰθακησίους ναύτας ὑπὲρ τοῦ μὴ κατακοῦσαι τῆς τῶν Σειρήνων ᾠδῆς, ἀλλὰ μολίβδου τινὸς μαλθακὴν ὁμοῦ καὶ ἄτρωτον ὑπὸ φωνῆς φύσιν, ἔτι δὲ οἶμαι πρὸ τῶν ὀφθαλμῶν σκότος πολὺ προβαλόμενοι καὶ ἀχλύν, ὑφ' ἧς Ὅμηρός φησι κωλύεσθαι τὸν καταληφθέντα διαγιγνώσκειν θεόν, ὑπερφρονοῦσι τὰ θεῖα, καὶ μίαν ἱδρυσάμενοι δαίμονα πονηρὰν καὶ ἄλυπον, τρυφήν τινα ἢ ῥαθυμίαν πολλὴν καὶ ἀνειμένην ὕβριν, ἡδονὴν ἐπονομάζοντες, γυναικείαν τῷ ὄντι θεόν, προτιμῶσι καὶ θεραπεύουσι κυμβάλοις τισὶν ἢ ψόφοις καὶ αὐλοῖς ὑπὸ
37 σκότος αὐλουμένοις. ἀλλ' οὖν γε τῆς εὐωχίας οὐδεὶς ἐκείνοις φθόνος, εἰ μέχρι τοῦ ᾄδειν αὐτοῖς τὸ σοφὸν ἦν, ἀλλὰ μὴ τοὺς θεοὺς ἡμῶν ἀφῃροῦντο καὶ ἀπῴκιζον ἐξελαύνοντες ἐκ τῆς αὑτῶν πόλεώς τε καὶ ἀρχῆς, ἐκ τοῦδε τοῦ κόσμου παντός, εἴς τινας χώρας ἀτόπους, καθάπερ ἀνθρώπους δυστυχεῖς εἴς 391 R.
τινας νήσους ἐρήμους· τάδε δὲ τὰ ξύμπαντα φάσκοντες ἀγνώ-

I, 96, εἰ σκοποίη τις Pflugk. (infra ἐκφέρει). ‖ 6. μηδεμία. μηδεμίαν M. ‖ ἄψυχα. ψυχὰ M. ‖ 8. ἐκφέρειν BMUA. vrg, ἐκφέρει C. m. ‖ 9. ἐναργής. ἀναργὴς mr. ‖ τοῦδε delet Geel. p. 54. — 36, 1. ἀλλ' ἦ που. ἄλλῃ που M. ‖ 3. δένδροις. δένδρεσιν M. ‖ ἥπερ ἡμῖν. ἢ πόῤῥω ἡμῶν Iacobs., Reiskius quaedam excidisse suspicatur. malim ἥπερ ἡμῖν διά. ‖ τε καί. καὶ τὴν C. ‖ 4. γενόμενοι BCMA. g, γινόμενοι reliq. ‖ 5. ἐγχέαντες. ἐκχέαντες A. ‖ 7. Σειρήνων. σιρήνων M. ‖ μολίβδου. μολύβδου B. ‖ 9. προβαλόμενοι. προβαλλόμενοι BM. mg. ‖ 10. ὑπερφρονοῦσι BMU. vrg, ὑποφρονοῦσι reliq. ‖ 11. καὶ ἄλυπον. καὶ ἀλιτήριον Unger. Ann. p. 1164 probabiliter, καὶ ἔκλυτον Iacobs., καὶ ἄδικον Pflugk., ἄλυπον Wyttenb. ad Plut. Moral. p. 176 Oxon. g. cum sequentibus copulatum. ‖ 13. θεόν. θεὰν vmr. ‖ 14. ἢ ψόφοις. ἀψόφοις (sic) M. Cens. p. 348, ἐριψόφοις Reisk., εὐψόφοις Geel., εὔια ψοφοῦσι Unger. p. 10. ‖ 15. σκότος αὐλουμένοις. σκότους αὐλούμενοι vel κηλούμενοι Wyttenb. l. l. — 37, 1. ἀλλ' οὖν γε τῆς C. g, ἧς M, τῆς reliqui, unde deesse aliquid suspicatus est Reisk. ‖ 2. ᾄδειν. δεῖν M. ‖ ἦν C. vmrg, ᾔει Geel., om. reliq. ‖ 4. αὑτῶν. αὐτῶν BM. ‖ ἐκ τοῦδε. καὶ ἐκ τοῦδε C. g. ‖ 5. δυστυχεῖς. ἀσεβεῖς Geel. ‖ 6. νήσους. νόσους m. ‖ τάδε δὲ BMU. Reisk. g, τάδε reliq.

Digitized by Google

μονα καὶ ἄφρονα καὶ ἀδέσποτα καὶ μηδένα ἔχοντα ἄρχοντα
μηδὲ ταμίαν μηδὲ ἐπιστάτην πλανᾶσθαι εἰκῇ καὶ φέρεσθαι,
μηδενὸς μήτε νῦν προνοοῦντος μήτε πρότερον ἐργασαμένου τὸ
πᾶν, μηδὲ ὥσπερ οἱ παῖδες τοὺς τροχοὺς αὐτοὶ κινήσαντες
38 εἶτα ἐῶσιν ἀφ' αὐτῶν φέρεσθαι. ταῦτα μὲν οὖν ἐπεξῆλθεν
ὁ λόγος καθ' αὐτὸν ἐκβάς· τυχὸν γὰρ οὐ ῥᾴδιον τὸν τοῦ
φιλοσόφου νοῦν καὶ λόγον ἐπισχεῖν, ἔνθα ἂν ὁρμήσῃ, τοῦ
ξυναντῶντος ἀεὶ φαινομένου ξυμφέροντος καὶ ἀναγκαίου τοῖς
ἀκροωμένοις· ἀλλ' οὐ μελετηθέντα πρὸς ὕδωρ καὶ δικανικὴν
ἀνάγκην, ὥσπερ οὖν ἔφη τις, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ
ἀδείας. οὐκοῦν τό γε ἀναδραμεῖν οὐ χαλεπὸν, ὥσπερ ἐν πλῷ
39 τοῖς ἱκανοῖς κυβερνήταις, οὐ πολὺ παραλλάξασι. τῆς γὰρ
περὶ τὸ θεῖον δόξης καὶ ὑπολήψεως πρώτην μὲν ἀτεχνῶς πηγὴν 205 M.
ἐλέγομεν τὴν ἔμφυτον ἅπασιν ἀνθρώποις ἐπίνοιαν ἐξ αὐτῶν
γιγνομένην τῶν ἔργων καὶ τἀληθοῦς, οὐκ ἐπιπολῆς συστᾶσαν
οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πάνυ ἰσχυρὰν καὶ ἀένναον ἐκ τοῦ 392 R.
παντὸς χρόνου καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἀρξαμένην καὶ
διαμένουσαν, σχεδόν τι κοινὴν καὶ δημοσίαν τοῦ λογικοῦ γέ-
νους· δευτέραν δὲ λέγομεν τὴν ἐπίκτητον καὶ δι' ἑτέρων ἐγγι-
γνομένην ταῖς ψυχαῖς λόγοις τε καὶ μύθοις καὶ ἔθεσι, τοῖς
μὲν ἀδεσπότοις τε καὶ ἀγράφοις, τοῖς δὲ ἐγγράφοις καὶ σφόδρα
40 γνωρίμους ἔχουσι τοὺς κυρίους. τῆς δὲ τοιαύτης ὑπολήψεως
τὴν μέν τινα ἑκουσίαν καὶ παραμυθητικὴν φῶμεν, τὴν δὲ
ἀναγκαίαν καὶ προστακτικήν. λέγω δὲ τοῦ μὲν ἑκουσίου καὶ
παραμυθίας ἐχομένην τὴν τῶν ποιητῶν, τοῦ δὲ ἀναγκαίου
καὶ προστάξεως τὴν τῶν νομοθετῶν. τούτων γὰρ οὐδετέραν 393 R.

8. ταμίαν. ταμείαν M. ‖ 9. τὸ πᾶν. τόπον M. ‖ 10. κινήσαντες. κεινήσαντες M. ‖ 11. εἶτα om. M. — 38, 3. ὁρμήσῃ BCUA. g, ὁρμῆς ἡ M, ὁρμώσῃ reliq. ‖ 5. ἀλλ'. ἅτ' Reisk. ‖ 7. ἀδείας. ἀγείας vm. — 39, 2. πρώτην. πρῶτον C. ‖ 3. ἐπίνοιαν om. B. ‖ 4. οὐκ ἐπιπολῆς συστᾶσαν Geel., οὐκ ἐξ ἐπιπολῆς συστᾶσαν r, οὐκ ἔτι πολλὴν σύστασιν BMUA. v, οὐ κατὰ πλάνην συστᾶσαν C. m. ‖ 5. ἀένναον. ἀέναον M. ‖ 6. καὶ BMU, τε καὶ reliq. ‖ 8. λέγομεν τὴν Reisk. g, ἐλέγομεν τὴν Iacobs., λεγομένην reliq. ‖ καί. παιδείαν Geel., idem in proximis οὐχ ἑτέρως. ‖ δι' ἑτέρων Reisk., δι' οὐχ ἑτέρων v. mrg. m, δι' οὐδετέρων reliq., διὰ δευτέρων Wyttenb. ad Plut. Moral. p. 502 Oxon., δι' ἑκατέρων Kayser. l. l. Nr. 141 p. 90. ‖ ἐγγιγνομένην M, ἐγγινομένην reliq. ‖ 9. λόγοις M. Reisk., ἡ λόγοις B, ἢ λόγοις reliq. ‖ καὶ ἔθεσι. ἢ νόμοις καὶ ἔθεσι Kayser. l. l. ‖ 10. καὶ σφόδρα. τε καὶ σφόδρα B. — 40, 3. προστακτικήν. προσακτικὴν M, προστατικὴν A. ‖ τοῦ. τούτου m. ‖ 5. καί. καὶ αἱ Reisk., τε καὶ Geel.

ἰσχῦσαι δυνατὸν μὴ πρώτης ἐκείνης ὑπούσης, δι' ἣν βουλο-
μένοις ἐγίγνοντο καὶ τρόπον τινὰ προειδόσιν αὐτοῖς αἵ τε
προστάξεις καὶ παραμυθίαι, τῶν μὲν ὀρθῶς καὶ ξυμφώνως
ἐξηγουμένων ποιητῶν καὶ νομοθετῶν τῇ τε ἀληθείᾳ καὶ ταῖς
41 ἐννοίαις, τῶν δὲ ἀποπλανωμένων ἔν τισιν. ἀμφοῖν δὲ τοῖν
λεγομένοιν ποτέραν πρεσβυτέραν φῶμεν τῷ χρόνῳ παρά γε
ἡμῖν τοῖς Ἕλλησι [ποιήσεως καὶ νομοθεσίας], οὐκ ἂν ἔχοιμι
διατεινόμενος εἰπεῖν ἐν τῷ παρόντι. πρέπει δὲ ἴσως τὸ ἀζή-
μιον καὶ πειστικὸν ἀρχαιότερον εἶναι τοῦ μετὰ ζημίας καὶ
42 προστάξεως. σχεδὸν οὖν μέχρι τοῦδε ὁμοίως πρόεισι τοῖς
ἀνθρώποις τὰ περὶ τοῦ πρώτου καὶ ἀθανάτου γονέως, ὃν
καὶ πατρῷον Δία καλοῦμεν οἱ τῆς Ἑλλάδος κοινωνοῦντες, καὶ 394 R.
τὰ περὶ τῶν θνητῶν καὶ ἀνθρωπίνων γονέων. καὶ γὰρ δὴ
ἡ πρὸς ἐκείνους εὔνοια καὶ θεραπεία τοῖς ἐκγόνοις πρώτη μὲν
ἀπὸ τῆς φύσεως καὶ τῆς εὐεργεσίας ἀδίδακτος ὑπάρχει, τὸ
γεννῆσαν καὶ τρέφον καὶ στέργον τοῦ γεννηθέντος εὐθὺς
ἀντιφιλοῦντος καὶ ἀντιθεραπεύοντος, ὅπως ἂν ᾖ δυνατόν.
43 δευτέρα δὲ καὶ τρίτη ποιητῶν καὶ νομοθετῶν, τῶν μὲν παραι- 206 M.
νούντων μὴ ἀποστερεῖν χάριν τὸ πρεσβύτερον καὶ ξυγγενές,
ἔτι δὲ αἴτιον ζωῆς καὶ τοῦ εἶναι, τῶν δὲ ἐπαναγκαζόντων καὶ
ἀπειλούντων κόλασιν τοῖς οὐ πειθομένοις ἄνευ τοῦ διασαφεῖν
καὶ δηλοῦν, ὁποῖοί τινές εἰσιν οἱ γονεῖς καὶ τίνων εὐεργεσιῶν
χρέος ὀφειλόμενον κελεύουσι μὴ ἀνέκτιτον ἐᾶν. [ἐν τοῖς περὶ
τῶν θεῶν λόγοις καὶ μύθοις. μᾶλλον δὲ τοῦτο ἰδεῖν ἔστιν
44 ἐπ' ἀμφοτέρων γιγνόμενον.] τριῶν δὴ προκειμένων γενέσεων 395 R.

8. ξυμφώνως. ξυμφώνων καὶ A. ‖ 9. ποιητῶν καὶ νομοθετῶν uncis inclus. g. ‖ καὶ ταῖς CM, καὶ B, ταῖς τε reliq. — 41, 3. [ποιήσεως καὶ νομοθεσίας] delenda. ποίησιν καὶ νομοθεσίαν C. ‖ 4. διατεινόμενος. διατεινάμενος BM. ‖ ἐν τῷ Reisk. g, τῷ reliq. ‖ πρέπει δὲ. δὲ om. M. ‖ ἀζήμιον. ἐξήμιον M. ‖ 5. πειστικὸν Koehler., ποιητικὸν reliq. — 42, 1. πρόεισι. πρόσεισι BA, πρόσεισιν M. ‖ 2. ὃν in M a corr. add. ‖ 3. πατρῷον Δία καλοῦμεν. πατρῷον Δία καλούμενον UA, πρῶτον διακαλοῦμεν v. ‖ 5. ἡ om. M. ‖ πρώτη. πρῶτον C. ‖ 6. ὑπάρχει. ὑπερέχει r. — 43, 1. τῶν μὲν. τῶν om. M. ‖ 4. ἀπειλούντων. ἀπολούντων v. ‖ 5. τίνων. τί τῶν Iacobs. (qui retinet ἐνεργετῶν). ‖ εὐεργεσιῶν Prog. p. 27, εὐεργετῶν reliq. ‖ 6. ἀνέκτιτον. ἀνέκτιστον BCM. v, ἀνέκτητον A. ‖ ἐᾶν. post hoc v. quaedam excidisse suspicatur Reisk. ‖ [ἐν τοῖς — γιγνόμενον] aliena esse monui Prog. p. 27, uncis inclusit g, Kayser. l. l. p. 90 vindicat Dioni sic transposita: μᾶλλον δὲ τοῦτο ἔστιν ἰδεῖν ἐπ' ἀμφοτέρων ἐν τοῖς περὶ τῶν θεῶν λόγοις καὶ μύθοις. ‖ ἐν τοῖς. ἐν δὲ τοῖς M. ‖ 7. λόγοις καὶ μύθοις. μύθοις καὶ λόγοις C, καὶ om. v. ‖ 8. ἐπ' ἀμφοτέρων. ἐπ' om.

Digitized by Google

τῆς δαιμονίου παρ' ἀνθρώποις ὑπολήψεως, ἐμφύτου, ποιητικῆς, νομικῆς, τετάρτην φῶμεν τὴν πλαστικήν τε καὶ δημιουργικὴν τῶν περὶ τὰ θεῖα ἀγάλματα καὶ τὰς εἰκόνας, λέγω δὲ γραφέων τε καὶ ἀνδριαντοποιῶν καὶ λιθοξόων καὶ παντὸς ἁπλῶς τοῦ καταξιώσαντος αὑτὸν ἀποφῆναι μιμητὴν διὰ τέχνης τῆς δαιμονίας φύσεως, εἴτε σκιαγραφίᾳ μάλα ἀσθενεῖ καὶ ἀπατηλῇ πρὸς ὄψιν χρωμάτων μίξει καὶ γραμμῆς ὅρῳ σχεδὸν τὸ ἀκριβέστατον περιλαμβανούσης, εἴτε λίθων γλυφαῖς, εἴτε ξοάνων ἐργασίαις κατ' ὀλίγον τῆς τέχνης ἀφαιρούσης τὸ περιττὸν, ἕως ἂν καταλίπῃ αὐτὸ τὸ φαινόμενον εἶδος, εἴτε 396 R.
χωνείᾳ χαλκοῦ καὶ τῶν ὁμοίων ὅσα τίμια διὰ πυρὸς ἐλαθέν- 207 M.
των ἢ ῥυέντων ἐπί τινας τύπους, εἴτε κηροῦ πλάσει ῥᾷστα ξυνακολουθοῦντος τῇ τέχνῃ καὶ πλεῖστον ἐπιδεχομένου τὸ τῆς μετανοίας.

45 *οἷος ἦν Φειδίας τε καὶ Ἀλκαμένης καὶ Πολύκλειτος, ἔτι δὲ Ἀγλαοφῶν καὶ Πολύγνωτος καὶ Ζεῦξις καὶ πρότερος αὐτῶν ὁ Δαίδαλος. οὐ γὰρ ἀπέχρη τούτοις περὶ τἄλλα ἐπιδείκνυσθαι τὴν αὑτῶν δεινότητα καὶ σοφίαν, ἀλλὰ καὶ θεῶν εἰκόνας καὶ διαθέσεις παντοδαπὰς ἐπιδεικνύντες, ἰδίᾳ τε καὶ δημοσίᾳ χορηγοὺς τὰς πόλεις λαμβάνοντες, πολλῆς ἐνέπλησαν ὑπονοίας καὶ ποικίλης περὶ τοῦ δαιμονίου, οὐ παντελῶς διαφερόμενοι τοῖς ποιηταῖς καὶ νομοθέταις, τὸ μὲν ὅπως μὴ δοκῶσι παράνομοι καὶ ταῖς ἐπικειμέναις ἐνέχωνται ζημίαις, τὸ δὲ ὁρῶντες προκατειλημμένους αὐτοὺς ὑπὸ τῶν ποιητῶν*

E. ‖ *γιγνόμενον* BM, *γινόμενον* reliqui. post hoc v. in omnibus libris leguntur v. *ὁρῶ μὲν — λόγους*, quae iam interposita leguntur § 26. haec aliena esse vidit Wyttenb. ad Plut. Mor. p. 137 c, qui delebat *κοπῶδες (σκοπῶ δὲ) — λόγους*. — 44, 3. *τετάρτην. τέταρτοι* v. ‖ 4. *περὶ τά. παρὰ τὰ* C. ‖ *ἀγάλματα. γράμματα* M. ‖ *δέ. δὴ* C. ‖ 7. *σκιαγραφίᾳ. σκιαγραφεία* M. post hoc v. Kayser. ad Philostr. V. S. p. 355 supplebat *εἴτε καὶ ζωγραφίᾳ*, idem postea in Annal. Monac. locum sic constituebat: *εἴτε σκιαγραφίᾳ μάλα ἀσθενεῖ καὶ γραμμῆς ὅρῳ σχεδὸν τὸ ἀκριβέστατον περιλαμβανούσῃ, εἴτε ἀπατηλῇ πρὸς ὄψιν χρωμάτων μίξει.* ‖ *ἀσθενεῖ. εὐσθενεῖ* Unger. Annal. p. 1177, i. e. *multum valet et circumscriptione linearum et colorum mixtione.* sane *ἀσθενεῖ* ferri nequit, nisi *ἀλλ' ἀπατηλῇ* scribitur. ‖ 8. *ὅρῳ. ὥρᾳ* C. ‖ 9. *τὸ ἀκριβέστατον. τι ἀκριβέστατον εἶδος* Geel. ‖ *περιλαμβανούσης. περιλαμβανούσῃ* r. ‖ 10. *ὀλίγον. ὀλίγων* M. ‖ 11. *καταλίπῃ. καταλίποι* UA. vmr, *καταλιπεῖν* M. ‖ *αὐτὸ τό.* sic dedi. *τὸ αὐτοῖς* reliq., *τὸ αὐτοῖς τοῖς τεχνίταις* Reisk. ‖ *εἴτε* MUA. rg, *εἶτα* reliq. ‖ 12. *χωνείᾳ. χωνείαι* M. ‖ *ἐλαθέντων. ἐλαθόντων* A. ‖ 15. *μετανοίας* BMUA. vg, *ὑπονοίας* reliq., *ἐπινοίας* Reisk. — 45, 1. *Φειδίας. φιδίας* M. ‖ 3. *οὐ. τοῦ* (mrg. vulg.) M. ‖ *τἄλλα. τὰ ἄλλα* M. ‖ 4. *αὑτῶν. αὐτῶν* M. ‖ *ἀλλὰ καί. καὶ* om. C. ‖ 9. *ἐνέχωνται. ἐνέχονται* M. ‖ 10. *αὐτούς.* malim *τοὺς ἀνθρώπους*.

46 καὶ πρεσβυτέραν οὖσαν τὴν ἐκείνων εἰδωλοποιίαν. οὔκουν
ἐβούλοντο φαίνεσθαι τοῖς πολλοῖς ἀπίθανοι καὶ ἀηδεῖς και-
νοποιοῦντες. τὰ μὲν οὖν πολλὰ τοῖς μύθοις ἑπόμενοι καὶ
συνηγοροῦντες ἔπλαττον, τὰ δὲ καὶ παρ' αὐτῶν εἰσέφερον 397 R.
ἀντίτεχνοι καὶ ὁμότεχνοι τρόπον τινὰ γιγνόμενοι τοῖς ποιη-
ταῖς, ὡς ἐκεῖνοι δι' ἀκοῆς ἐπιδεικνύντες, ἀτεχνῶς [καὶ] αὐτοὶ
δι' ὄψεως ἐξηγούμενοι τὰ θεῖα τοῖς πλείοσι καὶ ἀπειροτέροις
θεαταῖς. πάντα δὲ ταῦτα τὴν ἰσχὺν ἔσχεν ἀπὸ τῆς πρώτης
ἀρχῆς ἐκείνης, ὡς ἐπὶ τιμῇ καὶ χάριτι ποιούμενα τοῦ δαιμο-
47 νίου. καὶ μὴν δίχα γε τῆς ἁπλῆς καὶ πρεσβυτάτης ἐννοίας
περὶ θεῶν καὶ ξυγγενῶς πᾶσιν ἀνθρώποις ἅμα τῷ λόγῳ
φυομένης πρὸς τοῖς τρισὶ τούτοις ἑρμηνεῦσι καὶ διδασκάλοις
διὰ ποιητικῆς καὶ νομοθετικῆς καὶ δημιουργικῆς τέταρτον
ἀνάγκη παραλαβεῖν, οὐδαμῇ ῥᾴθυμον οὐδὲ ἀπείρως ἡγούμε-
νον ἔχειν ὑπὲρ αὐτῶν· λέγω δὲ τὸν φιλόσοφον ἄνδρα ἢ λόγῳ
ἐξηγητὴν καὶ προφήτην τῆς ἀθανάτου φύσεως, ἀληθέστατον
48 ἴσως καὶ τελειότατον. τὸν μὲν οὖν νομοθέτην ἐάσωμεν τανῦν
εἰς εὐθύνας ἄγειν, ἄνδρα αὐστηρὸν καὶ τοὺς ἄλλους αὐτὸν 208 M.
εὐθύνοντα· δέοι γὰρ ἂν αὐτὸν αὐτοῦ φείδεσθαι καὶ τῆς ὑμε- 398 R.
τέρας ἀσχολίας. ὑπὲρ δὲ τῶν λοιπῶν ἑκάστου γένους προχει-
ρισάμενοι τὸν ἄκρον σκοπῶμεν, εἴ τινα ὠφέλειάν τε καὶ βλά-
βην φανήσονται πεποιηκότες πρὸς εὐσέβειαν τοῖς αὐτῶν ἔργοις
ἢ λόγοις, ὅπως τε ἔχουσιν ὁμολογίας ἢ τοῦ διαφέρεσθαι ἀλλή-
λοις, καὶ τίς αὐτῶν ξυνέπεται τῷ ἀληθεῖ μάλιστα, τῇ πρώτῃ
καὶ ἀδόλῳ γνώμῃ σύμφωνος ὤν. [πάντες τοιγαροῦν οὗτοι

46, 2. φαίνεσθαι om. UA, εἶναι C. ‖ ἀπίθανοι. πιθανοὶ var. l. v, πιθανοῖς M. ‖ ἀηδεῖς M (corr. ἀηδεῖς εἶναι), ἀηδεῖς εἶναι reliq. ‖ 4. τὰ δὲ C. mrg. m. g, ὡς δὲ reliqui, unde ὅμως δὲ (vel οἱ δὲ) Selden., ὅμως δὲ (et infra αὐτῶν ἔστιν ἃ εἰσέφερον) Reisk., malim ὅσα δέ. nam C non solo hoc loco interpolatus est. ‖ 6. [καὶ] αὐτοί. καὶ om. M (corr. add.). ‖ 7. ἐξηγούμενοι M, καὶ ἐξηγούμενοι reliq. ‖ ἀπειροτέροις. ἀπορωτέροις v. mrg. m. ‖ 8. θεαταῖς. θεάτροις M. ‖ ἔσχεν. ἔχει (vel εἶχεν) Geel. ‖ 9. ποιούμενα BCMU. Reisk. g, ποιοῦμεν reliq. — 47, 3. φυομένης. φυομένην M. ‖ 4. διὰ ποιητικῆς. sic dedi. τοῖς ἐκ ποιητικῆς Reisk., ποιητικῆς reliq., Geelius διδασκαλίαις scribebat pro διδασκάλοις reliquis servatis. ‖ δημιουργικῆς. δημιουργῷ (mrg. vulg.) M. ‖ 6. ἤ. ἤδη Reisk., τὸν Iacobs. Add. p. 15. ‖ λόγῳ vrm, λόγων Codd. omnes. g, διὰ λόγων Geel. — 48, 1. οὖν om. M. ‖ αὐτόν. αὐτοῦ A. ‖ 3. γὰρ ἂν BMA. Iacobs. Add. p. 15. g, ἂν om. reliq. ‖ αὐτὸν αὐτοῦ. sic dedi. αὐτὸν C, αὐτοῦ Reisk. g, αὐτὸν αὐτοῦ reliq. ‖ 5. ὠφέλειαν. ὠφέλιαν M. ‖ τε καί. ἢ Geel. ‖ 7. τοῦ διαφέρεσθαι. τοῦ om. m. ‖ 8. ξυνέπεται. ξυνέμπεται M. ‖ 9. [πάντες—ἀδηλότερον] delenda. vid. Cens. p. 349. ‖ τοιγαροῦν a corr. add. in M. erat

ξυνᾴδουσιν, ὥσπερ ἑνὸς ἴχνους λαβόμενοι καὶ τοῦτο σώζον-
τες, οἱ μὲν σαφῶς, οἱ δὲ ἀδηλότερον.] οὐ γὰρ ἂν ἴσως δέοιτο
παραμυθίας τῇ ἀληθείᾳ φιλόσοφος, εἰ πρὸς σύγκρισιν ἄγοιτο
ποιηταῖς ἀγαλμάτων ἢ μέτρων, καὶ ταῦτα ἐν ὄχλῳ πανηγύ-
49 ρεως ἐκείνοις φίλων δικαστῶν. εἰ γάρ τις Φειδίαν πρῶτον
ἐν τοῖς Ἕλλησιν εὐθύνοι, τὸν σοφὸν τοῦτον καὶ δαιμόνιον
ἐργάτην τοῦ σεμνοῦ καὶ παγκάλου δημιουργήματος, καθίσας
δικαστὰς τοὺς βραβεύοντας τῷ θεῷ τὸν ἀγῶνα, μᾶλλον δὲ 399 R.
κοινὸν δικαστήριον ξυμπάντων Πελοποννησίων, ἔτι δὲ Βοιω-
τῶν καὶ Ἰώνων καὶ τῶν ἄλλων Ἑλλήνων τῶν πανταχοῦ κατὰ
τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· οὐ τῶν χρημάτων λόγον ἀπαι-
τῶν οὐδὲ τῆς περὶ τὸ ἄγαλμα δαπάνης, ὁπόσων χρυσὸς ὠνήθη
ταλάντων καὶ ἐλέφας, ἔτι δὲ κυπάριττος καὶ θύον πρὸς τὴν
ἐν τῇ ἐργασίᾳ μόνιμον ὕλην καὶ ἀδιάφθορον, τροφῆς τε καὶ
μισθῶν ἀνάλωμα τοῖς ἐργασαμένοις οὐκ ὀλίγοις οὐδὲ ὀλίγον
χρόνον, ἄλλοις τε οὐ φαύλοις δημιουργοῖς καὶ τὸν πλεῖστον
50 καὶ τελεώτατον μισθὸν ὑπὲρ τῆς τέχνης Φειδίᾳ· ταῦτα μὲν
γὰρ Ἠλείοις προσήκοντα λογίσασθαι, τοῖς ἀναλώσασιν ἀφθό-
νως καὶ μεγαλοπρεπῶς· ἡμεῖς δὲ ὑπὲρ ἄλλου φήσομεν τῷ Φει-
δίᾳ προκεῖσθαι τὸν ἀγῶνα. εἰ οὖν δὴ λέγοι τις πρὸς αὐτόν·
ὦ βέλτιστε καὶ ἄριστε τῶν δημιουργῶν, ὡς μὲν ἡδὺ καὶ προσ-
φιλὲς ὅραμα καὶ τέρψιν ἀμήχανον θέας εἰργάσω πᾶσιν Ἕλ- 209 M.
λησι καὶ βαρβάροις, ὅσοι ποτὲ δεῦρο ἀφίκοντο πολλοὶ πολλά-
51 κις, οὐδεὶς ἀντερεῖ. τῷ γὰρ ὄντι καὶ τὴν ἄλογον ἂν ἐκπλήξειε
τοῦτό γε τῶν ζώων φύσιν, εἰ δύναιντο προσιδεῖν μόνον, ταύρων
τε τῶν ἀεὶ πρὸς τόνδε τὸν βωμὸν ἀγομένων, ὡς ἑκόντας ὑπέ-
χειν τοῖς καταρχομένοις, εἴ τινα παρέξουσι τῷ θεῷ χάριν,

certe verbo *πάντες* praeponendum ‖ 10. *ἴχνους*. *ἴχους* v. *ἴχνος* m. ‖ 11. *οὐ γάρ*. *καὶ γάρ* Reiskius ante haec v. quaedam excidisse videntur. ‖ 12. *τῇ*. *ὁ τῇ* Reisk., *τῆς* (*ἐπ' ἀληθείας*) Kayser. Ann. Monac. N. 141 p. 92. — 49, 5. *Πελοποννησίων* BCM (corr. *τῶν Πελοποννησίων*). U. g, *τῶν Πελοποννησίων* reliq. ‖ 7. *χρημάτων*. *ῥημάτων* M. ‖ 8. *τῆς περί*. *περὶ τῆς* B. ‖ *ὁπόσων*. *ὁπόσον* B. ‖ 9. *ἔτι δὲ* Reisk., *εἴτε* M, *ἔτι τε* reliq. ‖ *κυπάριττος* C. mrg, *κυπαρίττου* reliq. ‖ *θύον* C. vmrg, *θύου* BMU, *θείου* A. v. ‖ 10. *τροφῆς*. ante hoc v. *οὐδὲ λογιζόμενος* excidisse suspicatur Geelius, aut infra *ἀναλώματος* et *καὶ τοῦ πλείστου καὶ τελεωτάτου μισθοῦ* scribendum esse. — 50, 2. *ἀναλώσασιν*. *ἀναλώμασιν* M. ‖ 3. *ἄλλου*. *ἄλλων* Reisk. ‖ 4. *προκεῖσθαι*. *προσκεῖσθαι* A. ‖ 5. *μέν*. *μὲν οὖν* est in Codd., *οὖν* om. edd. ‖ 7. *ὅσοι* BCM (mrg. *ὁπόσοι*). UA. g, *ὁπόσοι* reliq. — 51, 1. *ἂν ἐκπλήξειε* g, *ἐκπλήξειε* r, *ἐκπλήξει* reliq. ‖ 3. *ὑπέχειν*. *ὑπάρχειν* A. ‖ 4. *παρέξουσι*. *παρέχοιεν* Geel.

ἔτι δὲ ἀετῶν τε καὶ ἵππων καὶ λεόντων, ὡς τὸ ἀνήμερον καὶ 400 R.
ἄγριον σβέσαντας τοῦ θυμοῦ πολλὴν ἡσυχίαν ἄγειν, τερφθέντας ὑπὸ τῆς θέας· ἀνθρώπων δὲ, ὃς ἂν ᾖ παντελῶς ἐπίπονος τὴν ψυχὴν, πολλὰς ἀπαντλήσας ξυμφορὰς καὶ λύπας ἐν τῷ βίῳ μηδὲ ὕπνον ἡδὺν ἐπιβαλλόμενος, καὶ ὃς δοκεῖ μοι κατεναντίον στὰς τῆσδε τῆς εἰκόνος ἐκλαθέσθαι πάντων, ὅσα ἐν
52 ἀνθρωπίνῳ βίῳ δεινὰ καὶ χαλεπὰ γίγνεται παθεῖν. οὕτω σύ γε ἀνεῦρες καὶ ἐμηχανήσω θέαμα ἀτεχνῶς

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων.

τοσοῦτο φῶς καὶ τοσαύτη χάρις ἔπεστιν ἀπὸ τῆς τέχνης. οὐδὲ γὰρ ἂν αὐτὸν τὸν Ἥφαιστον εἰκὸς ἐγκαλέσαι τῷδε τῷ ἔργῳ κρίνοντα πρὸς ἡδονὴν καὶ τέρψιν ἀνθρωπίνης ὄψεως. εἰ δ' αὖ τὸ πρέπον εἶδος καὶ τὴν ἀξίαν μορφὴν τῆς θεοῦ φύσεως ἐδημιούργησας, ὕλῃ τε ἐπιτερπεῖ χρησάμενος ἀνδρός τε [ἐποίεις] μορφὴν ὑπερφυῆ τὸ κάλλος καὶ τὸ μέγεθος δείξας, πλὴν ἀνδρὸς, καὶ τἄλλα ποιήσας ὡς ἐποίησας, σκοποῦμεν 401 R.
τανῦν· ὑπὲρ ὧν ἱκανῶς ἀπολογησάμενος ἐν τοῖς παροῦσι καὶ πείσας, ὅτι τὸ οἰκεῖον καὶ τὸ πρέπον ἐξεῦρες σχήματός τε καὶ μορφῆς τῷ πρώτῳ καὶ μεγίστῳ θεῷ, μισθὸν ἕτερον τοῦ παρ'
53 Ἠλείων προσλάβοις ἂν μείζω καὶ τελειότερον. ὁρᾷς γὰρ, ὅτι οὐ μικρὸς ἀγὼν οὐδ' ὁ κίνδυνος ἡμῖν. πρότερον μὲν γὰρ ἅτε οὐδὲν σαφὲς εἰδότες ἄλλην ἄλλος ἀνεπλάττομεν ἰδέαν πᾶν τὸ θνητὸν, κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ φύσιν ἕκαστος ἰνδαλ-

5. ἵππων. γυπῶν Reisk., ἰκτίνων Iacobs., κάπρων Geel. ‖ 6. σβέσαντας E. g, σβέσαντα mr, σβέσαντος reliq. ‖ ἄγειν om. M. ‖ τερφθέντας g, τερφθέντα reliq. ‖ 8. ἀπαντλήσας. ἀπαντλῆσαι A. ‖ ξυμφορὰς BM, συμφορὰς reliq. ‖ 10. στάς. τὰς M. v. ‖ εἰκόνος. εἰκόνως M. ‖ ἐκλαθέσθαι. ἐκλαθέσθαι ἂν (vel ἐκλήσεσθαι) Geel. ‖ ὅσα ἐν CMUA. g, ἐν om. reliq. ‖ 11. γίγνεται BM. g, γίνεσθαι var. l. v. mrg. m, οἴεται reliq., unde οἷά τε Reisk., ἕπεται Iacobs. 52, 1. οὕτω. οὕτως M. ‖ 2. σύ γε. σύγε M. ‖ 3. νηπενθές τ'. τ' om. BMA. conf. Od. 4, 221. ‖ ἐπίληθες. ἐπίληθον Hom. l. l. ‖ 4. ἔπεστιν. ἐπίστην M. ‖ 5. γὰρ ἂν C. g, ἂν om. reliq. ‖ 8. ἐπιτερπεῖ. ἐπικήρῳ Pflugk. ‖ 9. [ἐποίεις] delendum videtur, ποιήσας Reiskius, quod ferri potest, si infra δείξας omittitur, τύπον Geelius, qui μορφὴν delendum censet. ‖ δείξας C. mg, ἔδειξας r, om. reliq. ‖ 11. ἱκανῶς ἀπολογησάμενος g, ἱκανῶς ἀπολογησόμενος BM, ἀπολογησάμενος ἱκανῶς r, ἀπολογησόμενος ἱκανῶς reliq. ‖ 12. ἐξεῦρες. ἐξεύροις M. g. ‖ τε. τε πέρι Geelius; alioqui dicendum fuisse τοῦ σχήματος et τῆς μορφῆς. ‖ 14. προσλάβοις ἂν Geel., προσλαβεῖν M, προσλάβοις reliq. — 53, 2. ἀγὼν g, ἀγὼν reliq. ‖ οὐδ' ὁ BCMA. g, ὁ om. reliq. ‖ 3. ἄλλος BCM. Reisk. g, ἄλλως reliq. ‖ 4. ἑαυτοῦ. ἑαυτὸς B. ‖ ἕκαστος B. Geel., ἕκαστον A, ἕκαστοι reliq.

λόμενοι καὶ ὀνειρώττοντες· εἴ τέ πού τινα μικρὰ καὶ ἄσημα τῶν
ἔμπροσθεν εἰκάσματα τεχνιτῶν, οὐ πάνυ τούτοις οὔτε πιστεύον- 210 M
τες οὔτε προσέχοντες τὸν νοῦν. σὺ δέ γε ἰσχύι τέχνης ἐνίκησας
καὶ ξυνέλεξας τὴν Ἑλλάδα πρῶτον ἔπειτα τοὺς ἄλλους τῷδε τῷ
φάσματι, θεσπέσιον καὶ λαμπρὸν ἀποδείξας, ὡς μηδένα τῶν 402 R.
54 ἰδόντων δόξαν ἑτέραν ἔτι λαβεῖν ῥᾳδίως. ἆρ' οὖν οἴει τὸν
Ἴφιτον καὶ τὸν Λυκοῦργον καὶ τοὺς τότε Ἠλείους διὰ χρη-
μάτων ἀπορίαν τὸν μὲν ἀγῶνα καὶ τὴν θυσίαν ποιῆσαι τῷ
Διὶ πρέπουσαν, ἄγαλμα δὲ μηδὲν ἐξευρεῖν ἐπ' ὀνόματι καὶ
σχήματι τοῦ θεοῦ, σχεδόν τι προέχοντας δυνάμει τῶν ὕστερον·
ἢ μᾶλλον φοβηθέντας, μή ποτε οὐκ ἂν δύναιντο ἱκανῶς
ἀπομιμήσασθαι διὰ θνητῆς τέχνης τὴν ἄκραν καὶ τελειοτά-
55 την φύσιν; πρὸς δὴ ταῦτα τυχὸν εἴποι ἂν Φειδίας, ἅτε ἀνὴρ
οὐκ ἄγλωττος οὐδὲ ἀγλώττου πόλεως, ἔτι δὲ συνήθης καὶ
ἑταῖρος Περικλέους· ἄνδρες Ἕλληνες, ὁ μὲν ἀγὼν τῶν πώποτε
μέγιστος. οὐ γὰρ ὑπὲρ ἀρχῆς οὐδὲ στρατηγίας μιᾶς πόλεως
ἢ νεῶν πλήθους ἢ πεζοῦ στρατοπέδου, πότερον ὀρθῶς ἢ μὴ
διῴκηται, τανῦν ὑπέχω λόγον, ἀλλὰ περὶ τοῦ πάντων κρα-
τοῦντος θεοῦ καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιότητος, εἴτε εὐσχημό-
νως καὶ προσεοικότως γέγονεν, οὐδὲν ἐλλείπουσα τῆς δυνατῆς
πρὸς τὸ δαιμόνιον ἀνθρώποις ἀπεικασίας, εἴτε ἀναξία καὶ
56 ἀπρεπής. ἐνθυμεῖσθε δέ, ὅτι οὐκ ἐγὼ πρῶτος ὑμῖν ἐγενόμην
ἐξηγητὴς καὶ διδάσκαλος τῆς ἀληθείας. οὐδὲ γὰρ ἔφυν ἔτι
καταρχὰς τῆς Ἑλλάδος οὐδέπω σαφῆ καὶ ἀραρότα δόγματα
ἐχούσης περὶ τούτων, ἀλλὰ πρεσβυτέρας τρόπον τινὰ καὶ περὶ
τοὺς θεοὺς ἤδη πεπεισμένης καὶ νομιζούσης ἰσχυρῶς. καὶ 403 R.

5. εἴ τέ. εἴτε m. ‖ μικρά. μακρὰ C. ‖ τῶν ἔμπροσθεν — πιστεύοντες. συλλέγοντες C. ‖ 6. τεχνιτῶν. τεχνητῶν B, τεχνειτῶν M. ‖ 7. δέ γε BMUA. g, γε om. reliq. ‖ ἰσχύϊ. ἰσχύει M. ‖ 8. ξυνέλεξας. ξυλλέξας M, συνέλεξας E. g, ξυνήλεγξας (vel ξυνήλλαξας) Obs. p. 28, ἔθελξας Kayser. Ann. Monac. 141, p. 93. ‖ 9. ἀποδείξας. ἀπέδειξας BC. corr. M. vm. ‖ 10. ἰδόντων. ἰδιωτῶν A, ἰδότων v. — 54, 1. ἆρ'. ἄρ M. in hac periodo multa corrupta visa sunt Geelio, quae ego sanissima esse mihi persuadeo. ‖ 4. ἐπ' ὀνόματι. ἐπονόματι D. ‖ 5. προέχοντας. προσέχοντας M. ‖ ὕστερον BCM. g, ὑστέρων reliq. ‖ 6. ἢ μᾶλλον. μᾶλλον δὲ C. g. ‖ ἂν δύναιντο C. g, ἠδύναντο M, ἐδύναντο reliq. — 55, 1. δή. δὲ MA. ‖ 4. οὐ γάρ. οὐδὲ γὰρ vmr. ‖ ὑπέρ. περὶ C. g. ‖ οὐδέ. οὐδὲ περὶ C. g. ‖ 5. πεζοῦ BM, πεζῶν reliq. ‖ ἤ. ἢ B. ‖ 10. ἀπρεπής. ἀπρεπεῖς M. — 56, 1. ὑμῖν. ἡμῖν U. vm (verum vidit Selden.). ‖ 2. ἔφυν ἔτι. ἔφην ὅτι BM (mrg. ἔτι). ‖ 4. περὶ τούτων. πέρα τούτων BCM (mrg. vulg.). A, an ὑπὲρ αὐτῶν? ‖ τινά. τι M. ‖ 5 τοὺς θεούς. τοῖ

ὅσα μὲν λιθοξόων ἔργα ἢ γραφέων ἀρχαιότερα τῆς ἐμῆς τέχ-
νης σύμφωνα ἦσαν, πλὴν ὅσον κατὰ τὴν ἀκρίβειαν τῆς ποιή-
57 σεως, ἐῶ λέγειν. δόξας δὲ ὑμετέρας κατέλαβον παλαιὰς
ἀκινήτους, αἷς οὐκ ἦν ἐναντιοῦσθαι δυνατὸν, καὶ δημιουρ-
γοὺς ἄλλους περὶ τὰ θεῖα πρεσβυτέρους ἡμῶν καὶ πολὺ σοφω- 211 M.
τέρους ἀξιοῦντας εἶναι, τοὺς ποιητὰς, ἐκείνων μὲν δυναμένων
εἰς πᾶσαν ἐπίνοιαν ἄγειν διὰ τῆς ποιήσεως, τῶν δὲ ἡμετέρων
58 αὐτουργημάτων μόνην ταύτην ἱκανὴν ἐχόντων εἰκασίαν. τὰ
γὰρ θεῖα φάσματα· λέγω δὲ ἡλίου καὶ σελήνης καὶ σύμπαν-
τος οὐρανοῦ καὶ ἄστρων· αὐτὰ μὲν καθ' αὑτὰ φαινόμενα
θαυμαστὰ πάντως, ἡ δὲ μίμησις αὐτῶν ἁπλῆ καὶ ἄτεχνος, εἴ
τις ἐθέλοι τὰ σελήνης σχήματα ἀφομοιοῦν ἢ τὸν ἡλίου κύκλον·
ἔτι δὲ ἤθους καὶ διανοίας αὐτὰ μὲν ἐκεῖνα μεστὰ πάντως, ἐν
δὲ τοῖς εἰκάσμασιν οὐδὲν ἐνδεικνύμενα τοιοῦτον· ὅθεν ἴσως
59 καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐνομίσθη τοῖς Ἕλλησιν. νοῦν γὰρ 402 R.
καὶ φρόνησιν αὐτὴν μὲν καθ' αὑτὴν οὔτε τις πλάστης οὔτε
τις γραφεὺς εἰκάσαι δυνατὸς ἔσται· ἀθέατοι γὰρ τῶν τοιού-
των καὶ ἀνιστόρητοι παντελῶς πάντες· τὸ δὲ, ἐν ᾧ τοῦτο
γιγνόμενόν ἐστιν, οὐχ ὑπονοοῦντες, ἀλλ' εἰδότες, ἐπ' αὐτὸ
καταφεύγομεν, ἀνθρώπινον σῶμα ὡς ἀγγεῖον φρονήσεως
καὶ λόγου θεῷ προσάπτοντες, ἐνδείᾳ καὶ ἀπορίᾳ παρα-
δείγματος τῷ φανερῷ τε καὶ εἰκαστῷ τὸ ἀνείκαστον καὶ
ἀφανὲς ἐνδείκνυσθαι ζητοῦντες, συμβόλου δυνάμει χρώμενοι,
κρεῖττον ἤ φασι τῶν βαρβάρων τινὰς ζώοις τὸ θεῖον ἀφο-
μοιοῦν κατὰ σμικρὰς καὶ ἀτόπους ἀφορμάς. ὁ δὲ πλεῖστον
ὑπερβαλὼν κάλλει καὶ σεμνότητι καὶ μεγαλοπρεπείᾳ σχεδὸν 403 R.
οὗτος πολὺ κράτιστος δημιουργὸς τῶν περὶ τὰ θεῖα ἀγαλμά-
60 των. οὐδὲ γὰρ ὡς βέλτιον ὑπῆρχε μηδὲν ἵδρυμα μηδὲ εἰκόνα
θεῶν ἀποδεδεῖχθαι παρ' ἀνθρώποις φαίη τις ἄν, ὡς πρὸς

θεῖον Reisk. ‖ ἤδη. εἴδη M. — 57, 1. ὑμετέρας. ἡμετέρας C. vmr. ‖ 6. ἱκανήν. οὐχ ἱκανὴν Reisk. — 58, 2. καὶ σύμπαντος. σύμπαν τὸ B, σύμπαντος M (corr. καὶ σύμπαντος) A. ‖ 5. ἐθέλοι. θέλοι M. ‖ τὰ BM, τὰ τῆς reliq. ‖ 6. μεστά. μετὰ v. ‖ πάντως rg, πάντων reliq. ‖ 7. εἰκάσμασιν. ἰκάσμασιν M. ‖ ὅθεν Selden., οἷον reliq. — 59, 2. πλάστης. πλάτης m. ‖ 5. γιγνόμενον BM, γινόμενον reliq. ‖ 6. ἀνθρώπινον. τἀνθρώπινον Reisk. ‖ ὡς Iacobs., ἅτε καὶ Reisk., καὶ reliqui, quod uncis incl. g. ‖ 7. λόγου. λόγον A. v. ‖ θεῷ. θεοῦ BM. ‖ ἐνδείᾳ. ἔνδια M. ‖ παραδείγματος. παραδίγματος M, πράγματα v. ‖ 9. συμβόλου δυνάμει g, συμβούλου δυνάμει BMUA, συμβούλῳ δυνάμει reliq., unde Reiskius συμβούλῳ τῇ δυνάμει. ‖ 10. θεῖον C. Seld. rg, θνητὸν reliq. ‖ 11. κατά. καὶ τὰς C. — 60, 1. γάρ. οὖν C.

μόνα ὁρᾶν δέον τὰ οὐράνια. ταῦτα μὲν γὰρ ξύμπαντα ὅ γε
νοῦν ἔχων σέβει, θεοὺς ἡγούμενος μακαρίους μακρόθεν ὁρῶν·
διὰ δὲ τὴν πρὸς τὸ δαιμόνιον γνώμην ἰσχυρὸς ἔρως πᾶσιν ἀν-
θρώποις ἐγγύθεν τιμᾶν καὶ θεραπεύειν τὸ θεῖον, προσιόντας
καὶ ἁπτομένους μετὰ πειθοῦς, θύοντας καὶ στεφανοῦντας. 212 M.
61 ἀτεχνῶς γὰρ ὥσπερ νήπιοι παῖδες πατρὸς ἢ μητρὸς ἀπεσπα-
σμένοι δεινὸν ἵμερον ἔχοντες καὶ πόθον ὀρέγουσι χεῖρας οὐ
παροῦσι πολλάκις ὀνειρώττοντες, οὕτω καὶ θεοὺς ἄνθρωποι
ἀγαπῶντες δικαίως διά τε εὐεργεσίαν καὶ συγγένειαν, προθυ-
μούμενοι πάντα τρόπον συνεῖναί τε καὶ ὁμιλεῖν. ὥστε καὶ
πολλοὶ τῶν βαρβάρων πενίᾳ τε καὶ ἀπορίᾳ τέχνης ὄρη θεοὺς 406 R.
ἐπονομάζουσι καὶ δένδρα ἀργὰ καὶ ἀσήμους λίθους, οὐδαμῇ
62 οὐδαμῶς οἰκειότερα τῆς μορφῆς. εἰ δ' ὑμῖν ἐπαίτιός εἰμι τοῦ
σχήματος, οὐκ ἂν φθάνοιτε Ὁμήρῳ πρότερον χαλεπῶς ἔχον-
τες· ἐκεῖνος γὰρ οὐ μόνον μορφὴν ἐγγύτατα τῆς δημιουργίας
ἐμιμήσατο, χαίτας τε ὀνομάζων τοῦ θεοῦ, ἔτι δὲ ἀνθερεῶνα
εὐθὺς ἐν ἀρχῇ τῆς ποιήσεως, ὅτε φησὶν ἱκετεύειν τὴν Θέτιν
ὑπὲρ τιμῆς τοῦ παιδός· πρὸς δὲ τούτοις ὁμιλίας τε καὶ βου-
λεύσεις καὶ δημηγορίας τοῖς θεοῖς, ἔτι δὲ ἐξ Ἴδης ἀφίξεις 407 R.
πρὸς οὐρανὸν καὶ Ὄλυμπον, ὕπνους τε καὶ συμπόσια καὶ
μίξεις, μάλα μὲν ὑψηλῶς σύμπαντα κοσμῶν τοῖς ἔπεσιν, ὅμως
δὲ ἐχόμενα θνητῆς ὁμοιότητος· καὶ δή γε καὶ ὁπότε ἐτόλμη-
σεν Ἀγαμέμνονα προσεικάσαι τοῦ θεοῦ τοῖς κυριωτάτοις
μέρεσιν εἰπών·

4. ὁρῶν. Inter ὁρῶν et ὁρᾶν difficilis optio. Geelius. ‖ 5. ἰσχυρός. ἰσχυρὸς ἐντέτηκεν Reisk., ἰσχυρὸς ἔστιν Iacobs. ‖ 7. θύοντας. καὶ θύοντας Reisk. — 61, 1. ἢ. καὶ Geel. ‖ ἀπεσπασμένοι M. rg, ἀπεσπαμένοι reliq. ‖ 2. ἵμερον. ἥμερον M. ‖ 3. οὕτω καὶ θεοὺς ἄνθρωποι BC. g, ἄνθρωποι θεοὺς οὕτως M, ἄνθρωποι καὶ θεοὺς οὕτως reliqui. malim οὕτω καὶ θεοῖς ἄνθρωποι. Iacobsius οὕτως ἄνθρωποι καὶ θεοῖς. ‖ 5. ὥστε καὶ BC. g, ὥστε M, ὥστε οἱ r, ὥστε οὐ reliq. ‖ 6. θεούς. θεοῖς BMA. v. ‖ 7. οὐδαμῇ οὐδαμῶς. οὐδαμῇ om. mr, οὐδαμῶς delebat Iacobs. Add. p. 169. ‖ 8. τῆς μορφῆς. ταῖς μορφαῖς Cens. p. 350, τῆς ὑπερτάτης μορφῆς Iacobs. Add. l. l., idem postmodo ταύτης μορφῆς, Geelius ταύτης τῆς μορφῆς vel τῆς ἀνθρωπίνης μορφῆς. — 62, 1. ἐπαίτιος BCM (corr. ὑπαίτιος). A, ὑπαίτιος reliq. ‖ 2. φθάνοιτε. φθάνητε A. ‖ 3. τῆς. τῆς ἐμῆς Reisk., ταύτης τῆς Iacobs. ‖ 4. χαίτας τε. χαίτας μὲν Reisk., malim χαίτας γε. ‖ 6. τιμῆς BCMUA. g, τῆς τιμῆς reliq. ‖ βουλεύσεις καὶ δημηγορίας Reisk. g, βουλήσεις καὶ δημιουργίας reliq. ‖ 7. τοῖς θεοῖς. ἐν τοῖς θεοῖς mavult Geelius. ‖ 8. οὐρανὸν — μίξεις om. C. ‖ 9. κοσμῶν. κόσμον B. ‖ 10. θνητῆς. τῆς M. ‖ καὶ δή γε καὶ om. M.

ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ.
63 τὸ δέ γε τῆς ἐμῆς ἐργασίας οὐκ ἄν τις οὐδὲ μανεὶς [τινὶ]
ἀφομοιώσειεν οὐδενὶ θνητῷ πρὸς κάλλος ἢ μέγεθος [θεοῦ]
συνεξεταζόμενον. ἀφ' οὗ γε εἰ μὴ πολὺ Ὁμήρου φανῶ κρείτ-
των καὶ σωφρονέστερος ποιητὴς, τοῦ δόξαντος ὑμῖν ἰσοθέου
τὴν σοφίαν, ἣν βούλεσθε, ὑπέχειν ζημιαν ἕτοιμος ἐγώ. λέγω
64 δὲ πρὸς τὸ δυνατὸν τῆς ἐμαυτοῦ τέχνης. δαψιλὲς γὰρ χρῆμα
ποίησις καὶ πάντα τρόπον εὔπορον καὶ αὐτόνομον, καὶ χορη-
γίᾳ γλώττης καὶ πλήθει ῥημάτων ἅμα ἱκανὸν ἐξ αὑτοῦ πάντα 408 R.
δηλῶσαι τὰ τῆς ψυχῆς βουλήματα. κἂν ὁποιονοῦν διανοηθῇ 213 M.
σχῆμα ἢ ἔργον ἢ πάθος ἢ μέγεθος, οὐκ ἂν ἀπορήσειεν ἀγγέ-
λου φωνῆς πάνυ ἐναργῶς σημαινούσης ἕκαστα.

στρεπτὴ γὰρ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι,

φησὶν Ὅμηρος αὐτός,

παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

65 κινδυνεύει γὰρ οὖν τὸ ἀνθρώπινον γένος ἁπάντων ἐνδεὲς γε-
νέσθαι μᾶλλον ἢ φωνῆς καὶ λέξεως. τούτου δὲ μόνου κέκτηται
θαυμαστόν τινα πλοῦτον. οὐδὲν γοῦν παραλέλοιπεν ἄφθεγ-
κτον οὐδὲ ἄσημον τῶν πρὸς αἴσθησιν ἀφικνουμένων, ἀλλ'
εὐθὺς ἐπιβάλλει τῷ νοηθέντι σαφῆ σφραγῖδα ὀνόματος, πολ-
λάκις δὲ καὶ πλείους φωνὰς ἑνὸς πράγματος, ὧν ὁπόταν φθέγ-
ξηταί τινα, παρέσχε δόξαν οὐ πολὺ ἀσθενεστέραν τἀληθοῦς.
πλείστη μὲν οὖν ἐξουσία καὶ δύναμις ἀνθρώπῳ περὶ λόγον
66 ἐνδείξασθαι τὸ παραστάν. ἡ δὲ τῶν ποιητῶν τέχνη μάλα

13. ἴκελος om. BA. v. conf. Il. 2, 478. — 63, 1. [τινὶ] in M a corr. add. ‖ 2. οὐδενὶ. sic dedi. ἀνδρὶ Reisk., οὐδὲ reliqui. totum locum sic constituit Geelius: μανεὶς τῷ Διὶ ἀφομοιώσειεν οὐδὲν θνητὸν πρὸς κάλλος ἢ μέγεθος θεοῦ συνεξεταζόμενον. ‖ [θεοῦ] delendum. θεῷ M. ‖ 3. ἀφ' οὗ γε εἰ. ἀφ' οὗ τε εἰ B, om. M. ‖ πολὺ Ὁμήρου BM, Ὁμήρου πολὺ reliq. ‖ κρείττων. κρεῖττον BM. ‖ 5. ἣν βούλεσθε BA. g, ἣν βούλεσθαι M, ἣν βούλησθε reliq., ἣν ἂν βούλησθε Iacobs. ‖ ὑπέχειν ζημίαν ἕτοιμος ἐγὼ g, ζημίαν ἕτοιμος ὑπέχειν ἐγὼ B (?), ζημίαν ὑπέχειν ἕτοιμος ἐγὼ C, ὑπέχειν ζημίαν ἕτοιμος (om. ἐγὼ) reliq. — 64, 3. ἅμα om. CDA. Geelius quaedam excidisse suspicatur, sicut ὁ δὲ ποιητὴς (tum scribit ἱκανὸς). ‖ 4. ψυχῆς. ψυχῆς μου C. fuit opinor ὁμοῦ, verbi ἅμα diversa scriptura. ‖ ὁποιονοῦν BCMA. rg, ὁποιανοῦν reliq. ‖ διανοηθῇ. διανοηθεῖ M. ‖ 6. ἐναργῶς. ἐναργοῦς A. v. ‖ 7. γὰρ δὲ Hom. ‖ γλῶσσ' Hom., γλῶττ' reliq. ‖ 9. παντοῖοι BCA. g, παντοίοις M, παντοῖος δ' reliq. ‖ ἐπέων δὲ πολὺς BCM (at δὲ obelo not.). g, ἐπείων δὲ πόλις U, δ' ἐπέων πουλὺς reliqui. conf. Il. 20, 248. νομὸς Hom. l. l., νόμος reliq. — 65, 1. ἀνθρώπινον. ἀνθρώπειον M. ‖ ἐνδεὲς BCMA. g, ἐν δείᾳ v, ἐν ἐνδείᾳ r, ἐνδείᾳ reliq. ‖ 2. τούτου δὲ μόνου. τοῦτον δὲ μόνον C. g. ‖ 8. λόγον. λόγου. A.

αὐθάδης καὶ ἀνεπίληπτος, ἄλλως τε Ὁμήρου, τοῦ πλείστην 409 R
ἄγοντος παῤῥησίαν, ὃς οὐχ ἕνα εἵλετο χαρακτῆρα λέξεως,
ἀλλὰ πᾶσαν τὴν Ἑλληνικὴν γλῶτταν διῃρημένην τέως ἀνέμιξε,
Δωριέων τε καὶ Ἰώνων, ἔτι δὲ τὴν Ἀθηναίων, εἰς ταὐτὸ κε-
ράσας πολλῷ μᾶλλον ἢ τὰ χρώματα οἱ βαφεῖς, οὐ μόνον τῶν
καθ' αὑτὸν, ἀλλὰ καὶ τῶν πρότερον, εἴ πού τι ῥῆμα ἐκλελοι-
πὸς, καὶ τοῦτο ἀναλαβὼν ὥσπερ νόμισμα ἀρχαῖον ἐκ θησαυ-
67 ροῦ ποθεν ἀδεσπότου διὰ φιλοῤῥηματίαν, πολλὰ δὲ καὶ βαρ-
βάρων ὀνόματα, φειδόμενος οὐδενὸς, ὅ τι μόνον ἡδονὴν ἢ
σφοδρότητα ἔδοξεν αὐτῷ ῥῆμα ἔχειν· πρὸς δὲ τούτοις μετα-
φέρων οὐ τὰ γειτνιῶντα μόνον οὐδὲ ἀπὸ τῶν ἐγγύθεν, ἀλλὰ
τὰ πλεῖστον ἀπέχοντα, ὅπως κηλήσῃ τὸν ἀκροατὴν μετ' ἐκ-
πλήξεως καταγοητεύσας, καὶ οὐδὲ ταῦτα κατὰ χώραν ἐῶν,
ἀλλὰ τὰ μὲν μηκύνων, τὰ δὲ συναιρῶν, τὰ δὲ ἄλλως παρα-
τρέπων· τελευτῶν δὲ αὑτὸν ἀπέφαινεν οὐ μόνον μέτρων ποιη-
68 τὴν, ἀλλὰ καὶ ῥημάτων, παρ' αὑτοῦ φθεγγόμενος, τὰ μὲν 244 M
ἁπλῶς τιθέμενος ὀνόματα τοῖς πράγμασι, τὰ δ' ἐπὶ τοῖς
κυρίοις ἐπονομάζων, οἷον σφραγῖδα σφραγῖδι ἐπιβάλλων ἐναργῆ
καὶ μᾶλλον εὔδηλον· οὐδενὸς φθόγγου ἀπεχόμενος, ἀλλὰ ἐν
βραχεῖ ποταμῶν τε μιμούμενος φωνὰς καὶ ὕλης καὶ ἀνέμων
καὶ πυρὸς καὶ θαλάττης, ἔτι δὲ χαλκοῦ καὶ λίθου καὶ ξυμ-
πάντων ἁπλῶς ζώων καὶ ὀργάνων, τοῦτο μὲν θηρίων, τοῦτο 410 R
δὲ ὀρνίθων, τοῦτο δὲ αὐλῶν τε καὶ συρίγγων, καναχάς τε
καὶ βόμβους καὶ κτύπον καὶ δοῦπον καὶ ἄραβον πρῶτος ἐξευ-
ρὼν, καὶ ὀνομάσας ποταμούς τε μορμύροντας καὶ βέλη κλά-
ζοντα καὶ βοῶντα κύματα καὶ χαλεπαίνοντας ἀνέμους καὶ
ἄλλα τοιαῦτα δεινὰ καὶ ἄτοπα τῷ ὄντι θαύματα, πολλὴν

66, 2. αὐθάδης. αὐθήδης U. ‖ ἀνεπίληπτος. ἀνεπίλιπτος M, ἀνεπίπληπτος v, ἀνε-πίπληκτος r. ‖ 3. εἵλετο. εἵλατο M. ‖ 4. διῃρημένην. διειρημένην M. ‖ 5. Δωριέων. δωριαίων M. ‖ Ἀθηναίων. post hoc v. καὶ Αἰολέων desiderat Reisk. ‖ 6. πολλῷ BCM. g, om. reliq. ‖ 7. τι ῥῆμα. ῥῆμά τι BM. ‖ 9. ἀδεσπότου C. Reisk. g, ἀδίσπο-τον reliq. ‖ φιλοῤῥηματίαν Geel., φιλοχρηματίαν reliqui, quod g uncis inclusit ut glossatoris. — 67, 4. οὐ τὰ C. rg, αὐτὰ M, αὖ τὰ reliq. ‖ γειτνιῶντα. γετνιῶντα M. ‖ 7. τὰ μὲν in M mrg. adscr. ‖ ἄλλως. ὅλως Geel. ‖ 8. τελευτῶν. τελευτὴν v. — 68, 2. τὰ δ'. τὸ δ' M (corr. vulg.). UA. ‖ 3. σφραγῖδι. σφραγῖσιν vmr. ‖ ἐναργῆ καὶ CM. Reisk. (idem σφραγῖδι pro σφραγῖσιν), ἐναργεῖ καὶ reliqui, ἐναργεῖ (om. καὶ) Geel. ‖ 4. ἀλλὰ ἐν βραχεῖ. ἀλλὰ ἐν βραχὺ M, ἀλλὰ ἔμβραχυ Geel., malim ἔμβραχυ, ἀλλά. ‖ 6. δὲ. δὲ καὶ C. ‖ 7. ζώων. ζωίων U. ‖ ἄραβον. ἄῤῥαβον A. ‖ 9. ἐξευρών. ἐξεῦρεν CMA, ἐξεῦρε B. ‖ 10. ὀνομάσας. ὠνόμασε C.

69 ἐμβάλλοντα τῇ γνώμῃ ταραχὴν καὶ θόρυβον. ὥστε οὐκ ἦν
αὐτῷ ἀπορία φοβερῶν ὀνομάτων καὶ ἡδέων, ἔτι δὲ λείων καὶ
τραχέων καὶ μυρίας ἄλλας ἐχόντων διαφορὰς ἔν τε τοῖς ἤχοις
καὶ τοῖς διανοήμασιν· ὑφ' ἧς ἐποποιίας δυνατὸς ἦν ὁποῖον
ἐβούλετο ἐμποιῆσαι τῇ ψυχῇ πάθος. τὸ δὲ ἡμέτερον αὖ
γένος, τὸ χειρωνακτικὸν καὶ δημιουργικὸν, οὐδαμῇ ἐφικνεῖ-
ται τῆς τοιαύτης ἐλευθερίας, ἀλλὰ πρῶτον μὲν ὕλης προσδεύ-
μεθα, ἀσφαλοῦς μὲν ὥστε διαμεῖναι, πολὺν δὲ ἐχούσης κάμα-
τον πορισθῆναί τε οὐ ῥᾳδίας, ἔτι δὲ οὐκ ὀλίγων συνεργῶν.
70 πρὸς δὲ αὖ τούτοις ἓν σχῆμα ἑκάστης εἰκόνος ἀνάγκη εἰργά-
σθαι, καὶ τοῦτο ἀκίνητον καὶ μένον, ὥστε τὴν πᾶσαν ἐν αὐ-
τῷ τοῦ θεοῦ ξυλλαβεῖν φύσιν καὶ δύναμιν. τοῖς δὲ ποιηταῖς
πολλάς τινας μορφὰς καὶ παντοδαπὰ εἴδη περιλαβεῖν τῇ ποιή-
σει ῥᾴδιον, κινήσεις τε καὶ ἡσυχίας προστιθέντας αὐτοῖς,
ὅπως ἂν ἑκάστοτε πρέπειν ἡγῶνται, καὶ ἔργα καὶ λόγους καὶ
προσέτι οἶμαι τὸ τῆς ἀπάτης καὶ τὸ τοῦ χρόνου. μιᾷ γὰρ
ἐπιπνοίᾳ καὶ ὁρμῇ τῆς ψυχῆς ἐνεχθεὶς ὁ ποιητὴς πολύ τι 411 R.
πλῆθος ἐπῶν ἤρυσεν, ὥσπερ ἐκ πηγῆς ὕδατος ὑπερβλύσαντος,
πρὶν ἐπιλιπεῖν αὐτὸν καὶ διαῤῥυῆναι τὸ φάντασμα καὶ τὴν 215 M.
ἐπίνοιαν, ἣν ἔλαβεν. τὸ δέ γε ἡμέτερον τῆς τέχνης ἐπίπονον
καὶ βραδὺ, μόλις καὶ κατ' ὀλίγον προβαῖνον, ἅτε οἶμαι πε-
71 τρώδη καὶ στερεὰν κάμνον ὕλην. τὸ δὲ πάντων χαλεπώτα-
τον, ἀνάγκη παραμένειν τῷ δημιουργῷ τὴν εἰκόνα ἐν τῇ ψυχῇ
τὴν αὐτὴν ἀεὶ, μέχρις ἂν ἐκτελέσῃ τὸ ἔργον, πολλάκις καὶ

13. ταραχὴν. ταραχήν τε C. — 69, 2. φοβερῶν Reisk., φανερῶν reliq., σφοδρῶν Geel., φαιῶν Unger. Ann. 1184. ‖ 4. ἐποποιίας. ἐποιίας M (mrg. vulg.). ‖ 6. ἐφικνεῖται. ἀφικνεῖται M. ‖ 7. πρῶτον C. g, πρώτης reliq. ‖ 8. ἀσφαλοῦς. ἀσφαλῶς v. ‖ 9. ῥᾳδίας. ῥᾳδίως BUA. — 70, 2. ἀκίνητον. ἀκείνητον M. ‖ ἐν αὐτῷ Iacobs., αὐτῷ M, ἐν αὐτῷ reliq. ‖ 3. ξυλλαβεῖν. ξυμβαλεῖν B. ‖ 4 παντοδαπὰ εἴδη Casaub. rg, παντοδαπὰς C, παντοδαπὰς ἐπειδὴ reliq., παντοδαπὰ δὲ εἴδη Selden., παντοδαπὰ ἔτ' εἴδη Unger. Ann. p. 1185. ‖ 5. προστιθέντας. προστίθενται C. ‖ 6. ἡγῶνται. ἡγῶντο C. ‖ 7. καὶ προσέτι. καὶ πρόσιστιν C. malim οἷς πρόσεστιν. ‖ ἀπάτης. ἀπάτης M, ἀλλαγῆς Cens. p. 350. ‖ τὸ τοῦ. τὸ om. M. ‖ χρόνου. χοροῦ Unger. Ann. p. 1185. ‖ 8. ἐπιπνοίᾳ Selden., ἐπινοίᾳ reliq. ‖ ἐνεχθεὶς BMA. g, ἐναχθεὶς C, ἀναχθεὶς reliq. ‖ 9. ἐπῶν ἤρυσεν Seldenus (nisi quod ἐπέων), ἐπῶν ἐπήρυσεν Reisk., πέήρυσεν reliq. ‖ 10. ἐπιλιπεῖν. ἐπιλείπειν M. ‖ 11. ἔλαβεν M, ἔλαβε reliq. ‖ 12. καὶ κατ' ὀλίγον Reisk., κατ' ὀλίγον Selden., καὶ ὀλίγον reliq. ‖ πετρώδη M. Unger. l. l., ἐν πετρώδει Iacobs., πετρώδει reliq. ‖ 13. στερεὰν κάμνον ὕλην Unger. l. l., στερεᾷ κάμνον ὕλῃ reliqui, unde ἐγκάμνον vel συγκάμνον Reisk. — 71, 3. τὴν αὐτήν. τῇ αὐτοῦ C. ‖ ἀεὶ. αἰεὶ M. vmr. ‖ μέχρις. μέχρι M.

*πολλοῖς ἔτεσιν. καὶ δὴ τὸ λεγόμενον, ὥς ἐστιν ἀκοῆς πιστό-
τερα ὄμματα, ἀληθὲς ἴσως· πολύ γε μὴν δυσπειστότερα καὶ
πλείονος δεόμενα ἐναργείας. ἡ μὲν γὰρ ὄψις αὐτοῖς τοῖς ὁρω-
μένοις ξυμβάλλει, τὴν δὲ ἀκοὴν οὐκ ἀδύνατον ἀναπτερῶσαι
καὶ παραλογίσασθαι ῥήματα εἰσπέμποντα γεγοητευμένα μέ-*
72 *τροις καὶ ἤχοις. καὶ μὴν τά γε ἡμέτερα τῆς τέχνης ἀναγκαῖα
τὰ μέτρα πλήθους τε πέρι καὶ μεγέθους· τοῖς δὲ ποιηταῖς ἔξεστι* 112 R.
*καὶ ταῦτα ἐφ' ὁποσονοῦν αὐξῆσαι. τοιγαροῦν Ὁμήρῳ μὲν
ῥᾴδιον ἐγένετο εἰπεῖν τὸ μέγεθος τῆς Ἔριδος, ὅτι*

οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει·

ἐμοὶ δὲ ἀγαπητὸν δήπουθεν πληρῶσαι τὴν ὑπὸ Ἠλείων ἢ
73 *Ἀθηναίων ἀποδειχθέντα τόπον. σὺ μὲν οὖν φήσεις, ὦ σοφώ-
τατε τῶν ποιητῶν Ὅμηρε, πολὺ τῇ τε δυνάμει τῆς ποιήσεως
καὶ τῷ χρόνῳ προέχων, σχεδὸν πρῶτος ἐπιδεῖξαι τοῖς Ἕλλησι
τῶν τε ἄλλων ἁπάντων θεῶν καὶ δὴ τοῦ μεγίστου θεῶν πολ-
λὰς καὶ καλὰς εἰκόνας, τὰς μέν τινας ἡμέρους, τὰς δὲ φοβε-*
74 *ρὰς καὶ δεινάς. ὁ δὲ ἡμέτερος εἰρηνικὸς καὶ πανταχοῦ πρᾶος,
οἷος ἀστασιάστου καὶ ὁμονοούσης τῆς Ἑλλάδος ἐπίσκοπος· ὃν
ἐγὼ μετὰ τῆς ἐμαυτοῦ τέχνης καὶ τῆς Ἠλείων πόλεως σοφῆς
καὶ ἀγαθῆς βουλευσάμενος ἱδρυσάμην, ἥμερον καὶ σεμνὸν ἐν
ἀλύπῳ σχήματι, τὸν βίου καὶ ζωῆς καὶ ξυμπάντων δοτῆρα
τῶν ἀγαθῶν, κοινὸν ἀνθρώπων καὶ πατέρα καὶ σωτῆρα καὶ
φύλακα, ὡς δυνατὸν ἦν θνητῷ διανοηθέντι μιμήσασθαι τὴν*
75 *θείαν καὶ ἀμήχανον φύσιν. σκόπει δέ, εἰ μὴ πάσαις ταῖς
ἐπωνυμίαις ταῖς τοῦ θεοῦ πρέπουσαν εὑρήσεις τὴν εἰκόνα·
Ζεὺς γὰρ μόνος θεῶν πατὴρ καὶ βασιλεὺς εἷς ὀνομάζεται,* 216 M.
πολιεύς τε καὶ φίλιος καὶ ἑταιρεῖος, πρὸς δὲ τούτοις ἱκέσιός

4. ἔτεσιν M, ἔτεσι reliq. ‖ 5. δυσπειστότερα Iacobs., δυσπιστότερα reliq. ‖ 6. ἐναργείας Reisk., ἐνεργείας reliq. ‖ ὄψις. ὄψεις M. ‖ αὐτοῖς τοῖς BCM. Reisk. g, τοῖς om. reliq. ‖ 7. οὐκ ἀδύνατον. οὐ δύνατον M. ‖ 8. ῥήματα. μὴ ῥήματα M, ληρήματα Geel. ‖ γεγοητευμένα. γοητευόμενα C, γεγοητευμένῃ (vel γοητεύοντα) Geel. — 72, 1. ἡμέτερα τῆς τέχνης. τῆς ἡμετέρας τέχνης Reiskius. conf. § 70 extrem. ‖ 2. τὰ μέτρα C. g, μέτρα reliq. ‖ τε πέρι. τε om. A. ‖ 3. τοιγαροῦν. τῷ γοῦν C. g. ‖ 4. Ἔριδος. sic dedi. ἔριδος reliq. ‖ 5. κάρη. βάρη A. conf. Il. 4, 443. ‖ 6. τὸν. τὴν r. — 73, 2. τῇ τε BCMUA. g, τε om. reliq. ‖ 3. προέχων. προέχειν Reisk. ‖ σχεδὸν M, σχεδὸν γὰρ reliq. ‖ ἐπιδεῖξαι Geel., ἀπέδειξα A, ἐπέδειξας (sed ας in rasura) M, ἐπέδειξας reliq. — 74, 5. τὸν βίου. sic dedi. τοῦ βίου BM, καὶ βίου reliq. ‖ 7. διανοηθέντι. διανοηθέντα MUA. v. ‖ 8. φύσιν C. g, ψυχὴν reliq. — 75, 1. μὴ in M a corr. add. ‖ 3. εἷς om. Orat. I, 39, ubi propemodum iisdem verbis usus est Dio. ‖ 4. τε

τε καὶ ξένιος καὶ ἐπικάρπιος καὶ μυρίας ἄλλας ἐπικλήσεις
ἔχων, πάσας ἀγαθάς, βασιλεὺς μὲν κατὰ τὴν ἀρχὴν καὶ δύνα-
μιν ὠνομασμένος, πατὴρ δὲ οἶμαι διά τε τὴν κηδεμονίαν καὶ τὸ
πρᾷον, πολιεὺς δὲ κατὰ τὸν νόμον καὶ τὸ κοινὸν ὄφελος, ὁμό-
γνιος δὲ διὰ τὴν τοῦ γένους κοινωνίαν θεοῖς καὶ ἀνθρώποις,
76 φίλιος δὲ καὶ ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους ξυνάγει καὶ
βούλεται φίλους εἶναι ἀλλήλοις, ἐχθρὸν δὲ ἢ πολέμιον οὐδένα
οὐδενός, ἱκέσιος δὲ ὡς ἂν ἐπήκοός τε καὶ ἵλεως τοῖς δεομένοις,
φύξιος δὲ διὰ τὴν τῶν κακῶν ἀπόφυξιν, ξένιος δέ, ὅτι δεῖ
μηδὲ τῶν ξένων ἀμελεῖν μηδὲ ἀλλότριον ἡγεῖσθαι ἀνθρώπων
μηδένα, κτήσιος δὲ καὶ ἐπικάρπιος ἅτε τῶν καρπῶν αἴτιος καὶ
77 δοτὴρ πλούτου καὶ δυνάμεως. ὅτου δὲ ἦν ἐπιδεῖξαι ταῦτα μὴ
φθεγγόμενον, ἆρα οὐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; τὴν μὲν
γὰρ ἀρχὴν καὶ τὸν βασιλέα βούλεται δηλοῦν τὸ ἰσχυρὸν τοῦ
εἴδους καὶ τὸ μεγαλοπρεπές, τὸν δὲ πατέρα καὶ τὴν κηδεμο- 414 R.
νίαν τὸ πρᾷον καὶ προσφιλές, τὸν δὲ πολιέα καὶ τὸν νόμιμον ἥ
τε σεμνότης καὶ τὸ αὐστηρόν, τὴν δὲ ἀνθρώπων καὶ θεῶν ξυγ-
γένειαν αὐτό που τὸ τῆς μορφῆς ὅμοιον ἐν εἴδει συμβόλου,
τὸν δὲ φίλιον καὶ ἱκέσιον καὶ ξένιον καὶ φύξιον καὶ πάντα
τὰ τοιαῦτα ἁπλῶς φιλανθρωπία καὶ τὸ πρᾷον καὶ τὸ χρη-

post hoc v. καὶ ὁμόγνιος supplet Reiskius, quae in Orat. I. l. l. verbo ἑταιρεῖος postposita leguntur. ‖ τούτοις Orat. I. l. l. g., αὐτοῖς reliq., malim αὖ τούτοις. ‖ 6. ἔχων. φαίνεται ἔχειν vel ἔχει Reisk. ‖ ἱκέσιός τε καὶ ξένιος καὶ ἐπικάρπιος. ἱκέσιος καὶ φύξιος καὶ ξένιος καὶ κτήσιος καὶ ἐπικάρπιος Reisk., ἱκέσιός τε καὶ φύξιος καὶ ξένιος Orat. I. ‖ 6. ἀγαθάς. ἀγαθὰς καὶ ἀγαθῶν αἰτίας Orat. I. ‖ βασιλεύς. καὶ βασιλεὺς B. ‖ δύναμιν. τὴν δύναμιν Orat. I. g. ‖ 7. διά τε τὴν Orat. I. g, τὴν om. reliq. ‖ 8. τὸν νόμον καὶ τὸ κοινὸν ὄφελος. τὸ νόμον καὶ τὸν κοινὸν ὄφελος m, malim τὸ νόμιμον καὶ κοινωφελές. conf. ad Orat. I, 40. ‖ 9. θεοῖς. θεοῖς τε Orat. I. c. — 76, 1. φίλιος. φίλος M. ‖ ἀνθρώπους om. C. ‖ ξυνάγει. ξενάγει C. ‖ 2. φίλους εἶναι ἀλλήλοις. εἶναι ἀλλήλοις φίλους Orat. I. ‖ οὐδένα οὐδενός. μηδένα Orat. I. ‖ 3. τε καὶ ἵλεως τοῖς. τε καὶ ἵλεος τοῖς U, τε τοῖς A, γε τοῖς v. ‖ 4. ὅτι δεῖ μηδὲ τῶν ξένων ἀμελεῖν. ὅτι καὶ τοῦτο ἀρχὴ φιλίας, μηδὲ τῶν ξένων ἀμελεῖν Orat. I. ‖ 5. ἀνθρώπων μηδένα. μηδένα ἄνθρωπον Orat. I. ‖ 7. καὶ δυνάμεως. καὶ κτήσεως, οὐ πενίας οὐδὲ ἀπορίας Orat. I. — 77, 1. ὅτου δὲ ἦν Reisk. (qui praeterea multa temere mutabat). g, ὅπου δὲ ἦν BCU, ὡς οὐδὲν ἦν M, ὅσον οὐδὲ ἦν A. v, ὅσον οὐδὲ mr, ὑμνοῦ δὲ Selden., ὧς οὐκ οἶδεν (et infra φθεγγόμενος) Pflugk. ‖ 2. ἆρα. ἄρα M. ‖ 3. γὰρ om. M. ‖ καὶ τόν. οὐ τὸν C. ‖ 5. καὶ τὸν M, τὸν om. reliq., malim καὶ τό. ‖ νόμιμον. νόμιον Reisk. ‖ 7. συμβόλου. συμβούλου M. ‖ 9. πάντα τά. τὰ om. BM. ‖ 9. φιλανθρωπία. φιλανθρώπεια vg (vel φιλανθρωπικά), malim cum Iacobsio Add. p. 45. ἡ φιλανθρωπία. ‖ καὶ τὸ πρᾷον. καὶ uncis

στὸν ἐμφαινόμενον. προσομοιοῖ δὲ τὸν κτήσιον καὶ τὸν ἐπι-
κάρπιον ἥ τε ἁπλότης καὶ ἡ μεγαλοφροσύνη δηλουμένη διὰ
τῆς μορφῆς· ἀτεχνῶς γὰρ διδόντι καὶ χαριζομένῳ μάλιστα
78 προσέοικε τἀγαθά. ταῦτα μὲν οὖν, ὡς οἷόν τε ἦν, ἐμιμησά-
μην ἅτε οὐκ ἔχων ὀνομάσαι. συνεχῶς δὲ ἀστράπτοντα ἐπὶ
πολέμῳ καὶ φθορᾷ πλήθους ἢ ὄμβρων ὑπερβολῇ ἢ χαλάζης ἢ
χιόνος, ἢ τανύοντα κυανῆν ἶριν, τοῦ πολέμου ξύμβολον,
ἢ ἀστέρα πέμποντα ξυνεχεῖς σπινθῆρας ἀποβάλλοντα, δεινὸν
τέρας ναύταις ἢ στρατῷ, ἢ ἐπιπέμποντα ἔριν ἀργαλέαν Ἕλλησι 217 M
καὶ βαρβάροις, ἢ ἔρωτα ἐμβάλλει πολέμου καὶ μάχης ἄπαυ-
στον κάμνουσιν ἀνθρώποις καὶ ἀπειρηκόσιν· οὐδέ γε ἱστάντα
ἐπὶ πλάστιγγος ἀνθρώπων ἡμιθέων κῆρας ἢ στρατοπέδων
ὅλων αὐτομάτῳ ῥοπῇ κρινομένας· οὐκ ἦν διὰ τῆς τέχνης μι- 413 R
79 μεῖσθαι· οὐ μὴν οὐδὲ παρὸν ἠθέλησα ἄν ποτε. βροντῆς γὰρ
εἴδωλον ἄφθογγον ἢ ἀστραπῆς ἢ κεραυνοῦ εἴκασμα ἀλαμπὲς
ἐκ τῶν τῇδε ἐπιγείων μεταλλευμάτων ποῖον ἄν τι καὶ γένοιτο;
ἔτι δὲ γῆν σειομένην καὶ κινούμενον Ὄλυμπον ὑπὸ νεύματι
βραχεῖ τῶν ὀφρύων ἤ τινα νέφους περὶ τῇ κεφαλῇ στέφανον
Ὁμήρῳ μὲν εἰπεῖν εὐμαρὲς καὶ πολλὴ πρὸς τὰ τοιαῦτα ἅπαντα
ἐλευθερία, τῇ δέ γε ἡμετέρᾳ τέχνῃ παντελῶς ἄπορον ἐγγύθεν
80 ἐχούσῃ καὶ σαφῆ τὸν ἔλεγχον τῆς ὄψεως. εἰ δ' αὖ τὸ τῆς
ὕλης ἀσημότερον ἡγεῖταί τις ἢ κατὰ τὴν ἀξίαν τοῦ θεοῦ,
τοῦτο μὲν ἀληθές τε καὶ ὀρθόν· ἀλλ' οὔτε τοὺς δόντας οὐδὲ
τὸν ἑλόμενον καὶ δοκιμάσαντα ἐν δίκῃ μέμφοιτ' ἄν. οὐ γὰρ

inclus. g. ‖ τὸ χρηστόν. τὸ om. BM. — 78, 1. οἷόν τε. οἴονται M. ‖ 2. δέ. δὲ καὶ C. ‖ 3. φθορᾷ. φορᾷ M. ‖ ὑπερβολῇ ἢ C. g, ὑπερβολὴν reliqui, unde ὑπερβολὴν ἢ Selden., ὑπερβολὴν ἐφιέντα Reiskius. conf. Il. 10, 5. ‖ 4. ἶριν. referri haec videntur ad Il. 11, 24. ‖ τοῦ C. Reisk. g, ὡς τοῦ Iacobs., εἰρήνης τε καὶ τοῦ Seldenus, καὶ τοῦ reliqui. malim ἢ τοῦ. nam ad sequentia haec retrahenda esse intelligitur ex Il. 4, 82. ‖ ξύμβολον. ξύμβουλον M. ‖ 5. ἢ ἀστέρα. οἱ ἀστέρα v, malim ἀστέρα. ‖ ἀποβάλλοντα M, ἢ ἀποβάλλοντα BUA, [ἢ] ἀποβάλλοντα g, ἢ ἐπιβάλλοντα reliq. ‖ 6. στρατῷ ἢ Cens. p. 351, στρατιώταις ἢ Geel., στρατιώτῃ reliqui. conf. Il. 4, 75. ‖ Ἕλλησι. ἢ Ἕλλησι Reisk. ‖ 7. ἢ ἔρωτα Geelius. ceterum Homer. Il. 11, 3 seqq. de solis Graecis loquitur. ‖ ἐμβάλλει. ἀπεβάλλει v. ‖ 9. ἡμιθέων. ἢ ἡμιθέων r. conf. Il. 8, 70 et 19, 223. ‖ 10. κρινομένας. κρινόμενα M. ‖ 11. ἠθέλησα ἄν. ἠθέλησα δ' ἂν BUA, ἢ θέλης ἀδρᾶν M, i. e. ἠθέλησα δρᾶν. — 79, 2. ἢ ἀστραπῆς. ἢ a corr. add. in M. ‖ ἀλαμπές. ἀλαμπτὲς B. ‖ 3. ἐκ τῶν. ἐκ γὰρ τῶν BUA. ‖ μεταλλευμάτων. μεταλευμάτων B. ‖ γένοιτο. γένητο C. ‖ 4. κινούμενον. κεινούμενον M. ‖ 6. πολλή. πολλῆς M. ‖ 8. ἔλεγχον. ἔλαχον v. — 80, 2. ἤ. ἡ M. ‖ 3. ἀλλ' οὔτε. ἀλλ' οὔ τι BU, ἄλλου τι M. ‖ οὐδέ. οὓς δὲ v.

ἢν ἑτέρα φύσις ἀμείνων οὐδὲ λαμπροτέρα πρὸς ὄψιν, ἣν δυνα-
τὸν εἰς χεῖρας ἀνθρώπων ἀφικέσθαι καὶ μεταλαβεῖν δημιουρ-
81 γίας. ἀέρα γὰρ ἢ πῦρ ἐργάσασθαι καὶ τὴν ἄφθονον πηγὴν 416 R.
ὕδατος [ἔν τισι θνητοῖς ὀργάνοις] ὅσον τε ἐν ἅπασι τούτοις
στερεὸν ἔρμα· λέγω δὲ οὐ χρυσοῦ καὶ λίθου· ταῦτα μὲν γὰρ
σμικρὰ καὶ φαῦλα· ἀλλὰ τὴν πᾶσαν ἰσχυρὰν καὶ βαρεῖαν
οὐσίαν· ἰδίᾳ τε ἕκαστον διακρίνοντα καὶ ἐμπλέκοντα εἰς ταὐ-
τὸ [γένος ζώων καὶ φυτῶν], οὐδὲ θεοῖς πᾶσι δυνατὸν ἢ μόνῳ
τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος·

Δωδωναῖε μεγασθενὲς ἀριστότεχνα πάτερ.

82 οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς, χορηγὸν
λαβὼν τῆς αὑτοῦ τέχνης οὐ τὴν Ἠλείων πόλιν, ἀλλὰ τὴν
πᾶσαν τοῦ παντὸς ὕλην. Φειδίαν δὲ ἢ Πολύκλειτον οὐκ ἂν 218 M.
εἰκότως ἀπαιτοῖτε πλέον οὐδέν, ἀλλὰ καὶ ταῦτα μείζω καὶ
83 σεμνότερα τῆς ἡμετέρας χειρωναξίας. οὐδὲ γὰρ τὸν Ἥφαι-
στον Ὅμηρος ἐν ἄλλοις πεποίηκεν ἐπιδεικνύμενον τὴν ἐμπει-
ρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν εὐπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος
ἔργον, ὕλην δὲ ἑτέραν οὐκ ἐφίκετο εὑρεῖν. φησὶ γὰρ οὕτω·

χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον.

ἀνθρώπων μὲν οὖν ἔγωγε οὐδενὶ παραχωρήσαιμ' ἂν κρείττονα
ἐμοῦ ποτε γενέσθαι περὶ τὴν τέχνην, αὐτῷ δὲ τῷ Διὶ δημιουρ-
γοῦντι τὸν ἅπαντα κόσμον οὐ χρὴ ξυμβάλλειν οὐδένα θνητόν. —
84 ταῦτ' οὖν εἰπόντα καὶ ἀπολογησάμενον τὸν Φειδίαν εἰκότως

6. εἰς (sed obelo not.) M, ἐς reliq. — 81, 1. ἀέρα BMUA. Selden. rg, ἆρα reliq. ‖ γὰρ r, δὲ Selden., τε reliq., possit γε. ‖ 2. [ἔν τισι θνητοῖς ὀργάνοις] delenda. conf. Cens. p. 351. fortasse collocanda sunt supra post v. δημιουργίας. ‖ 3. ἔρμα Morell., ἔργμα reliq. ‖ 4. σμικρὰ BCM. g, μικρὰ reliq. ‖ 5. οὐσίαν. οὖσαν vm (verum viderat Selden.). ‖ ἰδίᾳ. ἰδίαν M. ‖ ἕκαστον. ἑαυτὸν M. ‖ 6. [γένος ζώων καὶ φυτῶν] delenda. conf. Cens. p. 351. ταὐτὸ γένος καὶ ζώων καὶ φυτῶν BA. g, ταὐτογενὲς τούτων καὶ φυτῶν C, ταὐτογενὲς καὶ ζώων καὶ φυτῶν M, ταὐτὸ γένος ζωίων καὶ φυτῶν U. ‖ 6. οὐδέ. οὐ δὴ vm (verum viderat Selden.). ‖ ἢ. ἀλλ' ἢ Reisk. ‖ μόνῳ. μόνον BM. m. ‖ 7. τούτῳ BM. Selden. rg, τοῦτο reliq. ‖ ὃν πάνυ Selden. rg, πάνυ M, ὃ πάνυ reliq. ‖ ποιητής. ὁ ποιητὴς M. conf. Boeckh. ad Pindar. fragm. p. 571. — 82, 2. λαβών. λαβὸν v. ‖ 3. Φειδίαν. φιδίαν M. ‖ 4. εἰκότως. εἰκότων m. ‖ ἀπαιτοῖτε. ἀπαιτεῖτε C. — 83, 2. ἐν ἄλλοις C. g, ἐν τοῖς ἄλλοις reliq., ἔν τισιν ἄλλοις Pflugk. ‖ 3. τεχνίτην. τεχνήτην M. ‖ 5. βάλλεν. βάλεν U. v. conf. Il. 18, 474. ‖ 6. τιμῆντα BC. g. Hom., τιμήεντα reliq. ‖ 7. παραχωρήσαιμ' ἂν Pflugk., παραχωρήσαιμι reliq. ‖ 8. Διὶ om. UA. v, quod probat Geel. ‖ 9. κόσμον mrg, κόσμον ἢ τόπον C, χρόνον reliq. — 84, 1. ταῦτ' BM, ταῦτα reliq. ‖ Φειδίαν.

Digitized by Google

ἐμοὶ δοκοῦσιν οἱ Ἕλληνες στεφανῶσαι ἄν. ἴσως δὲ τοὺς πολ-
λοὺς λέληθεν ὁ λόγος ὑπὲρ ὧν γέγονε, καὶ μάλα, ἐμοὶ δοκεῖ, 417 R
φιλοσόφοις τε ἁρμόττων καὶ πλήθει ἀκοῦσαι, περί τε ἀγαλ-
μάτων ἱδρύσεως ὅπως δεῖ ἱδρῦσθαι, καὶ περὶ ποιητῶν, ὅπως
ἄμεινον ἢ χεῖρον διανοοῦνται περὶ τῶν θείων, ἔτι δὲ περὶ τῆς
πρώτης ἐπινοίας θεοῦ, ποία τις καὶ τίνα τρόπον ἐν τοῖς ἀν-
θρώποις ἐγένετο. πολλὰ δὲ οἶμαι καὶ περὶ δυνάμεως ἐρρήθη
τοῦ Διὸς κατὰ τὰς ἐπωνυμίας. εἰ δὲ μετ' εὐφημίας τοῦ τε
85 ἀγάλματος καὶ τῶν ἱδρυσαμένων, πολὺ ἄμεινον. τῷ γὰρ ὄντι
τοιοῦτος ἡμῖν προσορᾷν ἔοικε, πάνυ εὔνους καὶ κηδόμενος,
ὥστ' ἔμοιγε μικροῦ φθέγγεσθαι δοκεῖ· τάδε μὲν οὕτως Ἠλεῖοι
καὶ ἡ ξύμπασα Ἑλλὰς καλῶς καὶ προσηκόντως ἐπιτελεῖ, θυ-
σίας τε θύουσα ἐκ τῶν παρόντων μεγαλοπρεπεῖς καὶ δὴ καὶ 418 R.
τὸν εὐκλεέστατον ἀγῶνα τιθεῖσα ἀπ' ἀρχῆς εὐεξίας καὶ ῥώ-
μης καὶ τάχους ὅσα τε ἑορτῶν καὶ μυστηρίων ἔθη λαβοῦσα
διαφυλάττει· ἀλλὰ ἐκεῖνο φροντίζων σκοπῶ, ὅτι

αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας 219 M.
λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.

φιδίαν M. ‖ 2. τούς. οὐ Geel. ‖ 3. δοκεῖ. δοκεῖν UA. vg. ‖ 4. φιλοσόφοις τε BCMUA. g, φιλοσόφοις γε reliq. ‖ ἁρμόττων BCM, ἁρμόζον r, ἁρμόζων reliq. ‖ καὶ CM, ἢ reliq. ‖ 5. ὅπως δεῖ ἱδρῦσθαι καὶ περὶ ποιητῶν BM (nisi quod δὲ pro δεῖ habet) om. reliq. ‖ 6. θείων BCM. g, θεῶν reliq. ‖ περὶ τῆς Reisk. g, περί τε reliq. ‖ 7. θεοῦ BM, θεῶν reliq., τῶν θεῶν Geel. ‖ 8. περί. περὶ τῆς g. ‖ 9. κατὰ τὰς ἐπωνυμίας BCMAE. var. l. v. g, καὶ τὰ τὰς ἐπωνυμίας D, καὶ ταυτᾶς ἐπωνυμίας U, καὶ τῶν ἐπωνυμιῶν vmr, κατὰ τὰς αὐτοῦ ἐπωνυμίας Geel. ‖ τοῦ τε BCMU. Reisk. g, τοῦ γε reliq. — 85, 3. οὕτως. οὗτος BDE. vrg, οὖν Pflugkius. sustuli interpunctionem post οὕτως. sunt enim Iovis verba. conf. Cens. p. 352. idem visum est Pflugkio. ‖ 4. καὶ M, δὲ καὶ reliqui. possit τε καί. ‖ 5. καὶ δὴ καὶ C. Reisk. g, καὶ δεῖ M, καὶ δή reliq. ‖ 6. ἀπ' ἀρχῆς ante εὐκλεέστατον collocat Geel. ‖ 7. λαβοῦσα. malim παραλαβοῦσα. ‖ 8. διαφυλάττει. διαφυλάττεις BCMA, διαφυλάττης U. ‖ ἐκεῖνο BCMUA. rg, ἐκεῖνος reliq. ‖ 9. αὐτόν. αὐτὴν BMA. v, αὐτοῖς C. ‖ σ'. γε BM. v, γ' CUA. ‖ ἀγαθὴ κομιδή. ἀγαθὴν κομιδῆς C. ‖ γῆρας. γῆράς τε C. ‖ 11. αὐχμεῖς. αὐχμεῖν v. ‖ καὶ ἀεικέα ἕσσαι. καὶ ἀεὶ κέ τα ἔσσαι (mrg. καὶ ἄψεα ἔσσαι) M, καὶ ἀεὶ καὶ ἀέσαι B, καὶ ἀεὶ καὶ ἀεεαι A, καὶ ἀεὶ καὶ ἀεε v. conf. Od. 24, 249.

ΛΟΓΟΣ ιγ

ΕΝ ΑΘΗΝΑΙΣ ΠΕΡΙ ΦΥΓΗΣ.

1 Ὅτε φεύγειν συνέβη με φιλίας ἕνεκεν λεγομένης ἀνδρὸς
οὐ πονηροῦ, τῶν δὲ τότε εὐδαιμόνων τε καὶ ἀρχόντων ἐγγύ-
τατα ὄντος, διὰ ταῦτα δὲ καὶ ἀποθανόντος, δι' ἃ πολλοῖς καὶ
σχεδὸν πᾶσιν ἐδόκει μακάριος, διὰ τὴν ἐκείνων οἰκειότητα
καὶ ξυγγένειαν, ταύτης ἐνεχθείσης ἐπ' ἐμὲ τῆς αἰτίας, ὡς δὴ
τἀνδρὶ φίλον ὄντα καὶ ξύμβουλον· ἔθος γάρ τι τοῦτό ἐστι
τῶν τυράννων, ὥσπερ ἐν Σκύθαις τοῖς βασιλεῦσι συνθάπτειν
οἰνοχόους καὶ μαγείρους καὶ παλλακάς, οὕτω τοῖς ὑπ' αὐτῶν
ἀποθνήσκουσιν ἑταίρους προστιθέναι πλείους ἀπ' οὐδεμιᾶς
2 αἰτίας· τότε δ' οὖν, ἐπεί με φεύγειν ἔδοξεν, ἐσκόπουν, πότε-
ρον ὄντως χαλεπόν τι καὶ δυστυχὲς εἴη τὸ τῆς φυγῆς κατὰ 419 R.
τὴν τῶν πολλῶν δόξαν, ἢ πάντα τὰ τοιαῦτα ἕτερον πέπονθεν,
ὁποῖον λεγόμενόν ἐστι περὶ τὴν μαντείαν τὴν τῶν γυναικῶν
ἐν τοῖς ἱεροῖς. ἐκεῖναι γὰρ βῶλόν τινα ἢ λίθον ἐπαίρουσαι
σκοποῦσιν ἐν τούτῳ περὶ τοῦ πράγματος οὗ πυνθάνονται.
καὶ δὴ ταῖς μὲν αὐτῶν φασι γίγνεσθαι κοῦφον, ταῖς δὲ βαρὺν,
3 ὡς μηδὲ κινῆσαι δύνασθαι ῥᾳδίως. μὴ ἄρα καὶ τὸ φεύγειν
καὶ τὸ πένεσθαι καὶ γῆρας δὴ καὶ νόσος καὶ πάντα τὰ τοιαῦ-
τα τοῖς μὲν βαρέα φαίνηται καὶ χαλεπά, τοῖς δ' ἐλαφρά τε
καὶ εὔκολα· ἐκεῖ μὲν ἴσως κατὰ τὴν τοῦ πράγματος διαφορὰν
ἐλαφρύνοντος τοῦ δαιμονίου τὸ βάρος, ἐνταῦθα δὲ οἶμαι πρὸς

Orat. XIII. Collati sunt BCM. titulum om. C. ‖ 1, 3. *δὲ καί. δὲ* om. M. ‖ 5. *ἐνεχθείσης ἐπ' ἐμέ. ἐνεχθεῖ ἧς ἐπὶ ἐμὲ* C. ‖ 6. *ξύμβουλον. σύμβουλον* BM. ‖ 8. *οὕτω. οὕτως* M. ‖ 9. *ἑταίρους. ἑτέρους* M. — 2, 3. *πάντα τὰ τοιαῦτα* delebat Iacobs. (idem in proximis *οὐχ ἕτερόν τι πέπονθεν, ἢ*). ‖ 4. *ὁποῖον.* cum Geelio malim *ὁποῖον τό.* alia tentavit Reisk. ‖ 5. *τοῖς. τοῖς Ἀπόλλωνος* Reisk. ‖ *βῶλόν* Vales. p. 53, sed dubitanter. r, *βῶμόν* C, *βωμόν* BM. vm. ‖ *ἐπαίρουσαι. αἴρουσαι* C. ‖ 6. *ἐν τούτῳ περὶ τοῦ πράγματος. ἐκ τούτου τοῦ πράγματος* BMA. ‖ 7. *βαρύν. βαρὺ* BMA. ‖ 8. *κινῆσαι. κινῆσθαι* C, *κιανῆσαι* M. — 3, 1. *ἄρα* M, *ἆρα* reliq. ‖ 2. *δή. δὲ* A. ‖ *πάντα τά. τὰ* om. m. ‖ 3. *φαίνηται* C, *φαίνεται* M, *φανεῖται* reliq. ‖ 4. *τοῦ* om. C. ‖ 5. *ἐλαφρύνοντος. ἠλαφρύνετο* m. post hoc verbum *ἢ βαρύνοντος*

4 τὴν τοῦ χρωμένου δύναμιν καὶ γνώμην. καὶ δὴ ἀνεμιμνησκόμην Ὀδυσσέως τε παρ' Ὁμήρῳ κατοδυρομένου πολλάκις αὐτὸν, ἀνδρὸς ἥρωος οὐδαμῶς τε ἀδυνάτου καρτερεῖν, πολλὰ ὅμως ἀνάξια λέγοντος καὶ θρηνοῦντος ἑκάστοτε παρὰ τῇ θαλάττῃ 229 M
διὰ πόθον τῆς πατρίδος. τέλος δὲ, ὥς φησιν ὁ ποιητὴς, ἐπε- 420 R
θύμει καπνὸν ἰδεῖν ἀπὸ τῆς αὐτοῦ γῆς ἀνιόντα, εἰ καὶ δέοι παραχρῆμα ἀποθνήσκειν. καὶ οὔτε τὰ πρότερον ἔργα παρεμυθεῖτο αὐτὸν οὔτε θεὸς μάλα καλὴ καὶ ἀγαθὴ περὶ πολλοῦ ποιουμένη, ὥστε ὑποσχέσθαι ποιήσειν αὐτὸν ἀθάνατον, ἀλλὰ πάντων τούτων κατίσχυεν ὁ τῆς πατρίδος πόθος τε καὶ ἔρως.

5 πάλιν δ' αὖ παρ' ἑτέρῳ ποιητῇ τῶν ὕστερον τὴν Ἠλέκτραν πυνθανομένην ὑπὲρ τοῦ ἀδελφοῦ λυπηρῶς καὶ ἐλεοῦσαν αὐτὸν τῆς φυγῆς οὕτω πως ἐρωτῶσαν·

> ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχει;

καὶ τὸν οὐχ ἧττον ἐλεεινῶς ἀποκρινόμενον·

> οὐχ ἕνα νομίζων φθείρεται πόλεως τόπον.

τὴν δὲ αὖθις ἐρωτῶσαν·

> ἦπου σπανίζει τοῦ καθ' ἡμέραν βίου;

κἀκεῖνον οὕτω λέγοντα·

> ἔχει μὲν, ἀσθενῆ δὲ, ἅτε φεύγων ἀνήρ.

6 πρὸς δὲ τούτοις μυρία δὴ τολμηθέντα τολμήματα καὶ πολέμους πολεμηθέντας ὑπὸ φυγάδων, ὅπως οἴκαδε κατέλθοιεν, πρός τε τοὺς δήμους καὶ τοὺς τυράννους τοὺς ἐξελάσαντας παρὰ δύναμιν, μέγα νομιζόντων, εἰ καὶ δέοι τελευτᾶν μαχομένους ἐν τῇ αὑτῶν γῇ· σύμπαντα ταῦτά με ἐξέπληττε καὶ 421 R
ἠνάγκαζε δεινὸν ἡγεῖσθαι καὶ βαρὺ τὸ συμβεβηκός. ἐπεὶ δὲ

excidisse suspicatur Reisk. — 4, 2. Ὀδυσσέως. Ὀδυσσέος vmr. ‖ Ὁμήρῳ. Ὁμήρου vm. ‖ 3. πολλά. ἀλλὰ Geelius. recte vero Seldenus πολλὰ retraxit ad sequentia. ‖ 6. καπνὸν. malim καὶ καπνὸν. conf. Od. 1, 58. ‖ ἀνιόντα BCMA. Reisk., ἀνιέντα reliq. ‖ 8. μάλα καλὴ BCM, μάλα om. reliq. ‖ περὶ. περὶ τοῦ C. ‖ 9. ὑποσχέσθαι. ὑπόχεσθαι M. — 5, 1. ὕστερον. post hoc v. ἐώρων supplet Reisk. ‖ 3. ἐρωτῶσαν. ἐρωτῶσα M. locus est Eurip. Electr. 233. ‖ 4. ὁ. ὧ M. ‖ τλήμονας. τλήμωνας M. ‖ ἔχει. ἔχων Eurip. l. l. ‖ 5. τὸν. τὸν μὲν C. ‖ ἀποκρινόμενον. sic dedi. ἀποκρινάμενον reliq. ‖ 6. νομίζων. θαμίζων Selden. ‖ τόπον. τὸν τρόπον C. ‖ 8. ἦπου. ἧπου M. ‖ 9. οὕτω. οὕτως M. ‖ λέγοντα. τέγοντα C. ‖ 10. ἀσθενῆ δὲ. ἀσθενὴς δὲ Eurip. ‖ ἅτε. ἄγε C, δὴ Eurip., malim γ' ἅτε. — 6, 1. πρὸς δὲ Geel., πρὸς δὴ reliq. ‖ 3. πρός τε C. Reisk., πρὸς δὲ reliq. ‖ 4. νομιζόντων Reisk. (nisi complura post ἐξελάσαντας exciderint.), νομίζοντας reliq. ‖ 5. ἐξέπληττε καὶ ἠνάγκαζε C. Geel., ἠνάγκαζε καὶ ἐξέπληττε reliq.

ἐνεθυμήθην, ὅτι Κροίσῳ, τῷ Λυδῶν βασιλεῖ, συνεβούλευσεν
ὁ Ἀπόλλων συμβάντος τινὸς φεύγειν ἑκόντα καταλιπόντα τὴν
ἀρχὴν καὶ μηδὲν αἰσχύνεσθαι τούτου ἕνεκεν, εἰ δόξει κακὸς
εἶναι τοῖς ἀνθρώποις, οὕτω πως θεσπίσας·

7 ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψήφιδα παρ' Ἕρμον
φεύγειν, μηδὲ μένειν μηδ' αἰδεῖσθαι κακὸς εἶναι· 221 M.

δηλονότι τὴν αἰδῶ νῦν ἀντὶ τῆς αἰσχύνης ὀνομάζων, ὥσπερ
ἔθος ἐστὶ τοῖς ποιηταῖς, καὶ τὸ κακὸν εἶναι ἀντὶ τῆς δόξης
8 τῆς παρὰ τοῖς πολλοῖς· ἐκ δὲ τούτου ἐνεθυμούμην, ὅτι οὐ
πάντως ἡ φυγὴ βλαβερὸν οὐδὲ ἀσύμφορον οὐδὲ τὸ μένειν
ἀγαθὸν καὶ πολλοῦ ἄξιον. οὐ γὰρ ἂν τὸ μὲν αὐτῶν παρῄνει
καὶ συνεβούλευεν ὁ Ἀπόλλων, τὸ φεύγειν, τὸ δὲ μένειν ἄντι-
κρυς ἀπηγόρευε, καὶ ταῦτα ἀνδρὶ θεσπίζων, ὃς ἦν ἐπιμελέ-
στατος περὶ τὸ θεῖον καὶ θυσίας τε πλείστας ἔθυε καὶ μέγι-
στα ἀναθήματα πεπόμφει τῶν πώποτε ἀναθέντων εἰς Δελ-
9 φούς. ταῦτα ἐνθυμουμένῳ μοι ἔδοξε καὶ αὐτὸν εἰς θεοῦ
βαδίσαντα χρήσασθαι συμβούλῳ κατὰ τὸ παλαιὸν ἔθος τῶν
Ἑλλήνων. οὐ γὰρ περὶ νόσου μὲν καὶ ἀπαιδίας [εἴ τῳ μὴ
γίγνοιντο παῖδες] καὶ περὶ καρπῶν ἱκανῶς συμβουλεύειν αὐ- 422 R.
τόν, περὶ δὲ τοιούτου πράγματος ἧττον δυνήσεσθαι. καὶ δὴ
χρωμένῳ μοι ἀνεῖλεν ἄτοπόν τινα χρησμὸν καὶ οὐ ῥᾴδιον συμ-
βαλεῖν. ἐκέλευε γάρ με αὐτὸ τοῦτο πράττειν, ἐν ᾧ εἰμι, πάσῃ
προθυμίᾳ, ὡς καλήν τινα καὶ συμφέρουσαν πρᾶξιν· ἕως ἄν,
ἔφη, ἐπὶ τὸ ὕστατον ἀπέλθῃς τῆς γῆς. καίτοι χαλεπὸν καὶ
10 κατ' ἄνθρωπον ψεύδεσθαι, μὴ ὅτι γε κατὰ θεόν. ἐλογισάμην
οὖν, ὅτι ὁ μὲν Ὀδυσσεὺς μετὰ τοσούτους πλάνους οὐκ ὤκνη-

7. ἐνεθυμήθην C, ἐνεθύμην M (corr. ἐνεθυμούμην), ἐνεθυμούμην reliq. ‖ Λυδῶν. λοιδῶν M. ‖ 10. οὕτω πως θεσπίσας. οὕτως ἐπιθεσπίσας C. — 7, 1. Μήδοισι. μήδωσι C. ‖ 2. καὶ τότε. δὴ τότε Porson. Adv. p. 276. ‖ ποδαβρὲ B, πόδαβρε reliq. ‖ πολυψήφιδα B, πολυψηφίδα reliq. ‖ 3. κακὸς εἶναι. κἂκ εἶναι C. conf. Herodt. 1, 55. ‖ 4. ὥσπερ C. Pflugk., ὥστε reliq. ‖ 6. τῆς παρὰ C, τῆς om. reliq. — 8, 3. τὸ μέν. τῷ μὲν vm. ‖ αὐτῶν. αὐτὸν B. ‖ 4. τὸ φεύγειν CM. Iacobs., τότε φεύγειν B, τὸ om. reliq. ‖ τὸ δέ. τῷ δὲ vm. ‖ 7. πεπόμφει BCM, ἐπεπόμφει reliq. — 9, 2. συμβούλῳ Obs. p. 28 (vel συμβούλῳ ἐκείνῳ), συμβούλῳ ἱκανῶς BMA, συμβούλῳ ἱκανῷ reliqui. vox ἱκανῶς e proximis male huc translata. ‖ 3. [εἴ τῳ μὴ γίγνοιντο παῖδες] inducenda ‖ 6. συμβαλεῖν. συμβάλλειν MA. ‖ 9. τό. τὸν B. ‖ ἀπέλθῃς. ἀπέλθοις BCM. ‖ 10. κατ' ἄνθρωπον. sic dedi. κατ' ἀνθρώπου CM. m, κατ' ἀνθρώπους A. vr, ἀνθρώπους Reisk. ‖ μὴ ὅτι γε Reisk., γε om. reliq. ‖ θεόν A. vr, θεοῦ CM. m.

σεν ἀλᾶσθαι πάλιν κώπην φέρων Τειρεσίου συμβουλεύσαντος,
ἀνδρὸς τεθνηκότος, μέχρις ἂν ἀνθρώποις συμβάλῃ μηδὲ ἀκοῇ
γιγνώσκουσι θάλατταν· ἐμοὶ δὲ οὐχὶ ποιητέον τοῦτο τοῦ θεοῦ
κελεύοντος; οὕτω δὴ παρακελευσάμενος ἐμαυτῷ μήτε δεδιέναι
μήτε αἰσχύνεσθαι τὸ πρᾶγμα, στολήν τε ταπεινὴν ἀναλαβὼν
11 καὶ τἄλλα κολάσας ἐμαυτὸν ἠλώμην πανταχοῦ. οἱ δὲ ἐντυγ-
χάνοντες ἄνθρωποι ὁρῶντες οἱ μὲν ἀλήτην, οἱ δὲ πτωχὸν
ἐκάλουν, οἱ δέ τινες καὶ φιλόσοφον. ἐντεῦθεν ἐμοὶ συνέβη
κατ' ὀλίγον τε καὶ οὐ βουλευσάμενον αὐτὸν οὐδὲ ἐφ' ἑαυτῷ 423 R.
μέγα φρονήσαντα τούτου τοῦ ὀνόματος τυχεῖν. οἱ μὲν γὰρ
πολλοὶ τῶν καλουμένων φιλοσόφων αὐτοὺς ἀνακηρύττουσιν, 222 M.
ὥσπερ οἱ Ὀλυμπίασι κήρυκες· ἐγὼ δὲ τῶν ἄλλων λεγόντων
12 οὐκ ἐδυνάμην ἀεὶ καὶ πᾶσι διαμάχεσθαι. τυχὸν δέ τι καὶ
ἀπολαῦσαι τῆς φήμης συνέβη μοι. πολλοὶ γὰρ ἠρώτων προσ-
ιόντες, ὅ τι μοι φαίνοιτο ἀγαθὸν ἢ κακόν· ὥστε ἠναγκαζόμην
φροντίζειν ὑπὲρ τούτων, ἵνα ἔχοιμι ἀποκρίνεσθαι τοῖς ἐρω-
τῶσιν. πάλιν δὲ ἐκέλευον λέγειν με καταστάντα εἰς τὸ κοι-
νόν. οὐκοῦν καὶ τότε ἀναγκαῖον ἐγίγνετο λέγειν περὶ τῶν
προσηκόντων τοῖς ἀνθρώποις καὶ ἀφ' ὧν ἔμελλον ὀνίνασθαι
13 τὰ ἐμοὶ φαινόμενα. ἐδόκουν δέ μοι πάντες ἄφρονες, ὡς ἔπος
εἰπεῖν, καὶ οὐδεὶς οὐδὲν, ὧν ἔδει, πράττειν οὐδὲ σκοπεῖν,
ὅπως ἀπαλλαγεὶς τῶν παρόντων κακῶν καὶ τῆς πολλῆς ἀμα-
θίας καὶ ταραχῆς ἐπιεικέστερον καὶ ἄμεινον βιώσεται, κυκώ-
μενοι δὲ καὶ φερόμενοι πάντες ἐν ταὐτῷ καὶ περὶ τὰ αὐτὰ
σχεδὸν, περί τε χρήματα καὶ δόξας καὶ σωμάτων τινὰς ἡδο-
νὰς, οὐδεὶς ἀπαλλαγῆναι τούτων δυνάμενος οὐδὲ ἐλευθερῶσαι 424 R.
τὴν ἑαυτοῦ ψυχήν· καθάπερ οἶμαι τὰ ἐμπεσόντα εἰς τὰς

10, 4. μέχρις. μέχρι M. ‖ 5. θάλατταν BCM, θάλασσαν reliq. ‖ 6. οὐχὶ C, οὐ reliq. ‖ τοῦτο. τούτου A. ‖ 8. κολάσας. κολούσας Wyttenb. ad Plut. Moral. p. 524. frustra. — 11, 4. ἐφ' om. M. ‖ 6. αὐτούς. αὐτοὺς M. — 12, 2. φήμης. φυγῆς Pflugk. frustra. ‖ 3. ὅ τι Reisk., ὅτι reliq. ‖ μοι φαίνοιτο BCM, μοι om. reliq. ‖ 4. ἀποκρίνεσθαι. ἀποκρίνασθαι B. ‖ τοῖς ἐρωτῶσιν B, τῆς ἐρωτῶσιν M, τοῖς ἐρωτῶσι reliq. ‖ 5. πάλιν δέ. πάλιν. οἱ δὲ Pflugk. (vel ἄλλοι δὲ). frustra. ‖ με καταστάντα Reisk., καταστάντα Pflugk., μεταστάντα reliq. ‖ 6. καὶ τότε. sic dedi. κἀνταῦθα Geel., καὶ τοῦτο reliq. ‖ 7. ὀνίνασθαι C, ὀνίνεσθαι reliq. — 13, 1. ἐδόκουν. ἐδοκοῦντο BMA. ‖ 2. οὐδὲν om. B. ‖ 3. καὶ τῆς C. Reisk., τῆς om. reliq. ‖ 4. καὶ ἄμεινον βιώσεται B, καὶ ἄμεινον βιώσηται CM, βιώσηται καὶ ἄμεινον reliq., βιώσεται καὶ ἄμεινον Obs. p. 28. ‖ 5. φερόμενοι. malim φυρόμενοι. ‖ 7. οὐδείς. οὐδεὶς δὲ Reisk. frustra. ‖ 8. ἑαυτοῦ. αὐτοῦ B, αὐτοῦ M.

δίνας εἱλούμενα καὶ περιστρεφόμενα καὶ οὐχ οἷά τε γιγνόμενα
14 ἀπαλλαγῆναι τῆς δινήσεως. ταῦτα καὶ τὰ τοιαῦτα τούς τε
ἄλλους ἅπαντας καὶ μάλιστα καὶ πρῶτον ἐμαυτὸν καταμεμ-
φόμενος ἐνίοτε ὑπὸ ἀπορίας ᾖα ἐπί τινα λόγον ἀρχαῖον λεγό-
μενον ὑπό τινος Σωκράτους, ὃν οὐδέποτε ἐκεῖνος ἐπαύσατο
λέγων, πανταχοῦ τε καὶ πρὸς ἅπαντας βοῶν καὶ διατεινόμε-
νος, καὶ ἐν ταῖς παλαίστραις καὶ ἐν τῷ Λυκείῳ καὶ ἐπὶ τῶν
δικαστηρίων καὶ κατ' ἀγοράν, ὥσπερ ἀπὸ μηχανῆς θεός, ὡς
15 ἔφη τις. οὐ μέντοι προσεποιούμην ἐμὸν εἶναι τὸν λόγον, ἀλλ'
οὗπερ ἦν, καὶ ἠξίουν, εἰ ἄρα μὴ δύνωμαι ἀπομνημονεῦσαι
ἀκριβῶς ἁπάντων τῶν ῥημάτων μηδὲ ὅλης τῆς διανοίας, ἀλλὰ 223 M.
πλέον ἢ ἔλαττον εἴπω τι, συγγνώμην ἔχειν, μηδὲ ὅτι ταῦτα
λέγω, ἃ τυγχάνει πολλοῖς ἔτεσι πρότερον εἰρημένα, διὰ τοῦτο 425 R.
ἧττον προσέχειν τὸν νοῦν. ἴσως γὰρ ἄν, ἔφην, οὕτω μάλιστα
ὠφεληθείητε. οὐ γὰρ δή γε εἰκός ἐστι τοὺς παλαιοὺς λόγους,
ὥσπερ φάρμακα [παλαιά], διαπνεύσαντας ἀπολωλεκέναι τὴν
16 δύναμιν. ἐκεῖνος γάρ, ὁπότ' ἴδοι πλείονας ἀνθρώπους ἐν τῷ
αὐτῷ, σχετλιάζων καὶ ἐπιτιμῶν ἐβόα πάνυ ἀνδρείως τε καὶ
ἀνυποστόλως· ποῖ φέρεσθε, ὤνθρωποι, καὶ ἀγνοεῖτε μηδὲν
τῶν δεόντων πράττοντες, χρημάτων μὲν ἐπιμελούμενοι καὶ
πορίζοντες πάντα τρόπον, ὅπως αὐτοί τε ἄφθονα ἔχητε καὶ
τοῖς παισὶν ἔτι πλείω παραδώσετε, αὐτῶν δὲ τῶν παίδων καὶ
πρότερον ὑμῶν τῶν πατέρων ἠμελήκατε ὁμοίως ἅπαντες, οὐ-
δεμίαν εὑρόντες οὔτε παίδευσιν οὔτε ἄσκησιν ἱκανὴν οὐδὲ

9. δίνας. δεινὰς M. ‖ οἷά τε BCM. Casaub. r, οἷα τὰ vm. ‖ γιγνόμενα. sic dedi. δυνάμενα BCA, γενόμενα reliq. ‖ 10. δινήσεως. δενήσεως M. — 14, 1. ταῦτα. τὰ αὐτὰ C. ‖ τὰ τοιαῦτα B, τὰ om. reliq. ‖ 2. καταμεμφόμενος. καταμεμψάμενος ἦν C. ‖ 3. ἐνίοτε Reisk., ἐνίοτε δὲ reliq. ‖ ᾖα. sic dedi. ᾖα B, οἷα A, ἤγαγε M, ἀνῆγον C, ἐφερόμην reliq. ‖ 5. πανταχοῦ τε C. Reisk., πανταχοῦ δὲ reliq. ‖ 6. καὶ ἐν ταῖς C, καὶ om. reliq. ‖ Λυκείῳ. Λυκίῳ B. ‖ τῶν δικαστηρίων A. vr, τῶν δικαστηρίῳ C, τῷ δικαστηρίῳ M. m. ‖ 7. καὶ κατ'. καὶ om. C, in M a corr. add. ‖ θεός. θεὸν Reiskius relatum ad λόγον, at conf. Plat. Clitoph. p. 407 a. Geel. — 15, 2. ἀπομνημονεύειν cum genit. constructum apud Plutarch. Sympos. p. 646 e. Geel. ‖ 6. οὕτω. οὕτως CM. ‖ 8. [παλαιά] om. C. ‖ ἀπολωλεκέναι. ἀπολωλεμέναι v, ἀπολωλέναι m. — 16, 1. ἴδοι. εἴδοι M. ‖ 3. ποῖ φέρεσθε ὤνθρωποι καὶ B, ποῖ φέρεσθαι ὤνθρωποι καὶ M, ὤνθρωποι (reliq. om.) C, ποῖ φέρεσθε ὦ ἄνθρωποι καὶ reliq. ‖ 5. ἔχητε C. Iacobs., ἔχετε reliq., ἕξετε Geel. ‖ 6. αὐτῶν δὲ. αὐτῶν τε C. totum locum sic constituit Geelius: αὐτοὶ δὲ τῶν παίδων, καὶ πρότερον ὑμῶν οἱ πατέρες, ἠμεληκότες. ‖ 8. εὑρόντες BCMA, ὁρῶντες reliq.

ὠφέλιμον ἀνθρώποις, ἣν παιδευθέντες δυνήσονται τοῖς χρή-
μασι χρῆσθαι ὀρθῶς καὶ δικαίως, ἀλλὰ μὴ βλαβερῶς καὶ
ἀδίκως καὶ ὑμῖν αὐτοῖς ἐπιζημίως· ὃ σπουδαιότερον ἡγεῖσθε
τῶν χρημάτων καὶ τοῖς υἱοῖς καὶ θυγατράσι καὶ γυναιξὶ καὶ 426 R
17 ἀδελφοῖς καὶ φίλοις κἀκεῖνοι ὑμῖν. ἀλλὰ, οἱ κιθαρίζειν καὶ
παλαίειν καὶ γράμματα μανθάνοντες ὑπὸ τῶν γονέων καὶ
τοὺς υἱοὺς διδάσκοντες, οἴεσθε σωφρονέστερον καὶ ἄμεινον
οἰκήσειν τὴν πόλιν; καίτοι εἴ τις συναγαγὼν τούς τε κιθαρι-
στὰς καὶ τοὺς παιδοτρίβας καὶ τοὺς γραμματιστὰς, τοὺς
ἄριστα ἐπισταμένους ἕκαστα τούτων, πόλιν κατοικίσειεν ἐξ
αὐτῶν ἢ καὶ ἔθνος, καθάπερ ὑμεῖς ποτε τὴν Ἰωνίαν, ποία
τις ἂν ὑμῖν δοκεῖ γενέσθαι πόλις καὶ τίνα οἰκεῖσθαι τρόπον;
οὐ πολὺ κάκιον καὶ αἴσχιον τῆς ἐν Αἰγύπτῳ καπήλων πόλεως,
ὅπου πάντες κάπηλοι κατοικοῦσιν, ὁμοίως μὲν ἄνδρες, ὁμοίως
δὲ γυναῖκες; οὐ πολὺ γελοιότερον οἰκήσουσιν οὗτοι, οὓς
λέγω τοὺς ὑμετέρους καὶ τῶν παίδων διδασκάλους, οἱ παιδο-
τρίβαι καὶ κιθαρισταὶ καὶ γραμματισταὶ προσλαβόντες τούς 221 M
18 τε ῥαψῳδοὺς καὶ τοὺς ὑποκριτάς; καὶ γὰρ δὴ, ὅσα μανθά-
νουσιν οἱ ἄνθρωποι, τούτου ἕνεκα μανθάνουσιν, ὅπως, ἐπει-
δὰν ἡ χρεία ἐνστῇ, πρὸς ἣν ἐμάνθανεν ἕκαστος, ποιῇ τὸ κατὰ
τὴν τέχνην, οἷον ὁ μὲν κυβερνήτης, ὅταν εἰς τὴν ναῦν ἐμβῇ,
τῷ πηδαλίῳ κατιθύνων· διὰ τοῦτο γὰρ ἐμάνθανε κυβερ-
νᾶν· ὁ δὲ ἰατρὸς, ἐπειδὰν παραλάβῃ τὸν κάμνοντα, τοῖς
φαρμάκοις καὶ τοῖς περὶ τὴν δίαιταν ἰώμενος, οὗ ἕνεκα ἐκτή-
19 σατο τὴν ἐμπειρίαν. οὐκοῦν καὶ ὑμεῖς, ἔφη, ἐπειδὰν δέῃ τι 427 R
βουλεύεσθαι περὶ τῆς πόλεως, συνελθόντες εἰς τὴν ἐκκλησίαν,

9. δυνήσονται. δυνήσεσθε (aut infra omittendum ὑμῖν) Reisk. ‖ 10. καὶ BCM, τε καὶ reliq. ‖ 11. ἡγεῖσθε BA, ἡγεῖσθαι reliq. ‖ 12. χρημάτων BMA. v, χρημάτων ἐχρῆν reliq., χρημάτων ὑμᾶς ἐχρῆν Reisk. ‖ τοῖς υἱοῖς BCMA. r, τοῖς ἀνθρώποις vm, ὑοῖς (om. τοῖς) Reisk. ‖ θυγατράσι. ταῖς θυγατράσι A. ‖ 13. κἀκεῖνοι. κἀκείνους C. r. — 17, 1. οἱ aut delendum aut γὰρ scribendum censet Reisk., ἢ Iacobs. ‖ 3. υἱοὺς BCM, ὑεῖς reliq. ‖ διδάσκοντες C, ἀσκοῦντες mrg. m, διδάξαντες reliq. ‖ 6. κατοικίσειεν. sic dedi. κατοικίσει C. Reisk., κατοικήσειεν BM, κατοικήσει reliq. ‖ 8. δοκεῖ. δοκῇ C. ‖ πόλις. πόλιν C. ‖ 9. κάκιον. κακεῖον M. ‖ 12. ὑμετέρους καὶ τῶν. τῶν ἡμετέρων C. — 18, 2. ἐπειδὰν CM. Iacobs., ἐπειδ' ἂν B, ἐπειδὴ r, ἐπειδὴ reliq. ‖ 3. τὸ κατά. κατὰ τὸ m. ‖ 5. κατιθύνων Reisk., κατευθύνῃ BCM. v, κατευθύνει m. ‖ ἐμάνθανε C, ἐμάνθανεν reliq. ‖ 6. ἐπειδὰν BCM, ἐπειδὴ reliq. ‖ 7. ἰώμενος. ἰώμενος θεραπεύῃ C. — 19, 1. ὑμεῖς. ἡμεῖς B. ‖ ἐπειδὰν BCM, ἐπειδὴ reliq. ‖ 2. εἰς om. M.

οἱ μὲν ὑμῶν κιθαρίζουσιν ἀναστάντες, οἱ δέ τινες παλαίετε, ἄλλοι δὲ ἀναγιγνώσκετε τῶν Ὁμήρου τι λαβόντες ἢ τῶν Ἡσιόδου· ταῦτα γὰρ ἄμεινον ἴστε ἑτέρων καὶ ἀπὸ τούτων οἴεσθε ἄνδρες ἀγαθοὶ ἔσεσθαι καὶ δυνήσεσθαι τά τε κοινὰ πράξειν ὀρθῶς καὶ τὰ ἴδια. καὶ νῦν ἐπὶ ταύταις ταῖς ἐλπίσιν οἰκεῖτε τὴν πόλιν καὶ τοὺς υἱέας παρασκευάζετε ὡς δυνατοὺς ἐσομένους χρῆσθαι τοῖς τε αὑτῶν καὶ τοῖς δημοσίοις πράγμασιν, οἳ ἂν ἱκανῶς κιθαρίσωσι Παλλάδα περσέπολιν δεινὰν ἢ τῷ ποδὶ βῶσι πρὸς τὴν λύραν· ὅπως δὲ γνώσεσθε τὰ συμφέροντα ὑμῖν αὐτοῖς καὶ τῇ πατρίδι καὶ νομίμως καὶ δικαίως μεθ' ὁμονοίας πολιτεύσεσθε καὶ οἰκήσετε, μὴ ἀδικῶν ἄλλος ἄλλον μηδὲ ἐπιβουλεύων, τοῦτο δὲ οὐδέποτε ἐμάθετε οὐδὲ ἐμέλησεν
20 ὑμῖν πώποτε οὐδὲ νῦν ἔτι φροντίζετε. καίτοι τραγῳδοὺς ἑκάστοτε ὁρᾶτε τοῖς Διονυσίοις καὶ ἐλεεῖτε τἀτυχήματα τῶν ἐν ταῖς τραγῳδίαις ἀνθρώπων· ἀλλ' ὅμως οὐδέποτε ἐνεθυμήθητε, ὅτι οὐ περὶ τοὺς ἀγραμμάτους οὐδὲ περὶ τοὺς ἀπᾴδοντας οὐδὲ τοὺς οὐκ εἰδότας παλαίειν γίγνεται τὰ κακὰ ταῦτα, οὐδὲ ὅτι πένης τίς ἐστιν, οὐδεὶς ἕνεκα τούτου τραγῳδίαν ἐδί- = R
δαξεν. τοὐναντίον γὰρ περὶ τοὺς Ἀτρέας καὶ τοὺς Ἀγαμέμνονας καὶ τοὺς Οἰδίποδας ἴδοι τις ἂν πάσας τὰς τραγῳδίας, οἳ πλεῖστα ἐκέκτηντο χρήματα χρυσοῦ καὶ ἀργύρου καὶ γῆς καὶ βοσκημάτων· καὶ δὴ τῷ δυστυχεστάτῳ αὐτῶν γενέσθαι = M
21 φασὶ χρυσοῦν πρόβατον. καὶ μὴν ὁ Θάμυρίς γε, εὖ μάλα ἐπιστάμενος κιθαρίζειν καὶ πρὸς αὐτὰς τὰς Μούσας ἐρίζων

3. κιθαρίζουσιν. κιθαρίζωσι B, κιθαρίζετε Reisk. ‖ παλαίετε. πάλαι ἔτι M. ‖ 4. ἄλλοι δὲ ἀναγιγνώσκετε om. M. ‖ 5. ἑτέρων BCM, ἑτέρου reliq. ‖ 6. δυνήσεσθαι. δυνήσεσθε B. ‖ πράξειν. πρᾶξιν M. ‖ 7. νῦν. malim νῦν τε. ‖ οἰκεῖτε. οἰκεῖται M. ‖ 9. τε αὑτῶν. ἑαυτῶν M. ‖ 10. οἳ ἂν CM (οἷς ἂν corr.). Pflugk., αἷς ἂν reliq., ὅταν (vel οἷον) Reisk. ‖ κιθαρίσωσι. sic dedi. κιθαρίσωσιν ἢ reliq. ‖ περσέπολιν BM. Aristoph. Nub. 967, πτερσέπτολιν reliq. ‖ δεινὰν M. Aristoph. l. l., ubi conf. scholia., δεινὰν θεὸν C, Ἀθηνᾶν reliq. ‖ τῷ ποδὶ. τῷ πόδε C, εὐτάκτῳ ποδὶ Reisk., nimirum ex Aristoph. v. 965. frustra. ‖ 12. αὐτοῖς. αὐτῶς C. ‖ 13. πολιτεύσεσθε C. Iacobs., πολιτεύσησθε reliq. ‖ οἰκήσετε BC. Iacobs., οἰκήσεται M, οἰκήσητε reliq. ‖ ἄλλος om. m. — 20, 2. τἀτυχήματα C, τὰ ἀτυχήματα reliq. ‖ 3. ἀνθρώπων. αὐτῶν C, displicebat Reiskio, ἀνάκτων Iacobs. ‖ 5. γίγνεται τὰ BM, γίγνε τὰ C, γίνεται τὰ reliq. ‖ 6. οὐδεὶς ἕνεκα τούτου τραγῳδίαν ἐδίδαξεν. οὐδεὶς οὗ ἕνεκα τραγῳδίαν τις ἐδίδαξε C, τούτων pro τούτου mavult Reisk., τοιούτοι Iacobs. ‖ ἐδίδαξεν. ἐδίδαξε B. ‖ 7. καὶ τοὺς Ἀγαμέμνονας. τοὺς om. C. ‖ 10. δυστυχεστάτῳ. εὐτυχεστάτῳ C.

Digitized by Google

περὶ τῆς ἁρμονίας, ἐτυφλώθη διὰ τοῦτο καὶ προσέτι ἀπέμαθε
τὴν κιθαριστικήν. καὶ τὸν Παλαμήδην οὐδὲν ὤνησεν αὐτὸν
εὑρόντα τὰ γράμματα πρὸς τὸ μὴ ἀδίκως ὑπὸ τῶν Ἀχαιῶν
τῶν ὑπ' αὐτοῦ παιδευθέντων καταλευσθέντα ἀποθανεῖν·
ἀλλ' ἕως μὲν ἦσαν ἀγράμματοι καὶ ἀμαθεῖς τούτου τοῦ μαθή-
ματος, ζῆν αὐτὸν εἴων. ἐπειδὴ δὲ τούς τε ἄλλους ἐδίδαξε
γράμματα καὶ τοὺς Ἀτρείδας δηλονότι πρώτους καὶ μετὰ τῶν
γραμμάτων τοὺς φρυκτοὺς ὅπως χρὴ ἀνέχειν καὶ ἀριθμεῖν τὸ
πλῆθος· ἐπεὶ πρότερον οὐκ ᾔδεσαν οὐδὲ καλῶς ἀριθμῆσαι τὸν
ὄχλον, ὥσπερ οἱ ποιμένες τὰ πρόβατα· τηνικαῦτα σοφώτεροι
22 *γενόμενοι καὶ ἀμείνους ἀπέκτειναν αὐτόν. εἰ δέ γε, ἔφη, τοὺς*
ῥήτορας οἴεσθε ἱκανοὺς εἶναι πρὸς τὸ βουλεύεσθαι καὶ τὴν
ἐκείνων τέχνην ἄνδρας ἀγαθοὺς ποιεῖν, θαυμάζω, ὅτι οὐ καὶ
δικάζειν ἐκείνοις ἐπετρέψατε ὑπὲρ τῶν πραγμάτων, ἀλλ' ὑμῖν
αὐτοῖς, καὶ ὅπως οὐκ, εἰ δικαιοτάτους καὶ ἀρίστους ὑπειλή-
φατε, καὶ τὰ χρήματα ἐκείνοις ἐπετρέψατε διαχειρίζειν. ὅμοιον
γὰρ ἂν ποιήσαιτε, ὥσπερ εἰ κυβερνήτας καὶ ναυάρχους τῶν 129 R.
23 *τριήρων ἀποδείξαιτε τοὺς τριηρίτας ἢ τοὺς κελευστάς. εἰ δὲ*
δή τις λέγοι τῶν πολιτικῶν τε καὶ ῥητόρων πρὸς αὐτόν,
ὅτι ταύτῃ μέντοι τῇ παιδεύσει χρώμενοι Ἀθηναῖοι Περσῶν
ἐπιστρατευσάντων τοσαύταις μυριάσιν ἐπὶ τὴν πόλιν δὶς ἐφε-
ξῆς καὶ τὴν ἄλλην Ἑλλάδα, τὸ μὲν πρῶτον δύναμιν καὶ στρα-
τηγοὺς ἀποστείλαντος τοῦ βασιλέως, ὕστερον δὲ αὐτοῦ Ξέρξου
παραγενομένου μετὰ παντὸς τοῦ πλήθους τοῦ κατὰ τὴν Ἀσίαν,
ἅπαντας τούτους ἐνίκησαν καὶ πανταχοῦ περιῆσαν αὐτῶν καὶ
τῷ βουλεύεσθαι καὶ τῷ μάχεσθαι· καίτοι πῶς ἂν ἠδύναντο
περιεῖναι τηλικαύτης παρασκευῆς καὶ τοσούτου πλήθους μὴ

21, 5. *γράμματα* om. M. ‖ 6. *τῶν ὑπ'* C, *καίτοι ὑπ'* Pflugk., *καὶ τῶν ὑπ'* reliq. ‖ 7. *τούτου τοῦ*. *τοιούτου* Geel. ‖ 11. *ᾔδεσαν* BM, *ᾔδεισαν* reliq. ‖ *οὐδὲ καλῶς*. *οὐδ' ὅλως* Geel. — 22, 3. *οὐ καί*. *οὐκ ἂν* B. ‖ 5. *οὐκ εἰ δικαιοτάτους* Reisk., *οὐ σκαιοτάτους* C, *οὐκ δικαιοτάτους* v, *οὐ δικαιοτάτους* reliq., *οὐχ οὓς δικαιοτάτους* Iacobs. ‖ 7. *ποιήσαιτε*. sic dedi. *ποιήσετε* B, *ποιήσητε* reliq. ‖ *ὥσπερ εἰ*. *ὡς περὶ* M, *ὥσπερ* B. ‖ 8. *ἀποδείξαιτε*. sic dedi. *ἀποδείξητε* BM, *ἀποδείξετε* C, *ἀποδείξοιτε* reliq. ‖ *τριηρίτας* Reisk., *τριηλάτας* CM (sed superscr. *τριηρήτας*). var. l. v. mrg. m, *τριηρήτας* reliq. — 23, 1. *δὲ δή τις* Pflugk., *δέ τις* C, *δέ τις δή τι* BM, *δέ τις δή τοι* reliq. ‖ 3. *μέντοι τῇ παιδεύσει χρώμενοι*. *μὲν οἱ* (reliq. om.) C. ‖ 4. *δὶς ἐφεξῆς καὶ τὴν ἄλλην*. *διεφεξῆς καὶ τὰ ἄλλα καὶ* C. ‖ 6. *ἀποστείλαντος*. *ἀποστίλαντος* M. ‖ 7. *κατὰ τήν*. *κατ'* C. ‖ 8. *τούτους*. *καὶ τούτους* B. ‖ 9. *καίτοι*. *καὶ τὸ* C

διαφέροντες κατ' ἀρετήν; ἢ πῶς ἂν ἀρετῇ διέφερον μὴ τῆς
ἀρίστης παιδείας τυγχάνοντες, ἀλλὰ φαύλης καὶ ἀνωφελοῦς;
24 πρὸς τὸν τοιαῦτα εἰπόντα ἔλεγεν ἄν, ὅτι οὐδὲ ἐκεῖνοι ἦλθον
παιδείαν οὐδεμίαν παιδευθέντες οὐδὲ ἐπιστάμενοι βουλεύεσθαι
περὶ τῶν πραγμάτων, ἀλλὰ τοξεύειν τε καὶ ἱππεύειν καὶ θηρᾶν 226 M.
μεμελετηκότες· καὶ τὸ γυμνοῦσθαι τὸ σῶμα αἴσχιστον αὐτοῖς
ἐδόκει καὶ τὸ πτύειν ἐν τῷ φανερῷ· ταῦτα δὲ αὐτοὺς οὐδὲν
ἔμελλεν ὀνήσειν· ὥστε οὐδ' ἦν στρατηγὸς ἐκείνων οὐδεὶς οὐδὲ
βασιλεύς, ἀλλὰ μυριάδες ἀνθρώπων ἀμύθητοι πάντων ἀφρό-
νων καὶ κακοδαιμόνων. εἷς δέ τις ἐν αὐτοῖς ὑπῆρχεν ὀρθὴν
ἔχων τιάραν καὶ ἐπὶ θρόνου χρυσοῦ καθίζων, ὑφ' οὗ πάντες
ὥσπερ ὑπὸ δαίμονος ἠλαύνοντο πρὸς βίαν, οἱ μὲν εἰς τὴν θά-
λατταν, οἱ δὲ κατὰ τῶν ὀρῶν, καὶ μαστιγούμενοι καὶ δεδιότες
καὶ ὠθούμενοι καὶ τρέμοντες ἠναγκάζοντο ἀποθνήσκειν.
25 ὥσπερ οὖν εἰ δύο ἀνθρώπω παλαίειν οὐκ εἰδότε παλαίοιεν, 430 R.
ὅ γε ἕτερος καταβάλλοι ἂν ἐνίοτε τὸν ἕτερον, οὐ δι' ἐμπειρίαν,
ἀλλὰ διά τινα τύχην, πολλάκις δὲ καὶ δὶς ἐφεξῆς ὁ αὐτός·
οὕτω καὶ Ἀθηναίοις Πέρσαι συμβαλόντες, τοτὲ μὲν Ἀθηναῖοι
περιῆσαν, τοτὲ δὲ Πέρσαι, ὥσπερ ὕστερον, ὅτε καὶ τὰ τείχη
τῆς πόλεως κατέβαλον μετὰ Λακεδαιμονίων πολεμοῦντες.
26 ἐπεὶ ἔχοις ἄν μοι εἰπεῖν, εἰ τότε Ἀθηναῖοι ἀμουσότεροι καὶ
ἀγραμματώτεροι γεγόνεσαν; ἔπειτα αὖθις ἐπὶ Κόνωνος, ὅτε
ἐνίκησαν τῇ ναυμαχίᾳ τῇ περὶ Κνίδον, ἄμεινον ἐπάλαιον καὶ
ᾖδον; οὕτως οὖν ἀπέφαινεν αὐτοὺς οὐδεμιᾶς παιδείας χρηστῆς
τυγχάνοντας. τοῦτο δὲ οὐ μόνον Ἀθηναίοις, ἀλλὰ καὶ σχε-
δόν τι πᾶσιν ἀνθρώποις καὶ πρότερον καὶ νῦν συμβέβηκεν.
27 καὶ μὴν τό γε ἀπαίδευτον εἶναι καὶ μηδὲν ἐπιστάμενον ὧν

11. διέφερον. διαφέρον C. — 24, 1. ἔλεγεν ἂν C, ἂν om. reliq. ‖ 4. αἴσχιστον. αἶσχος ἴσον Selden. (servato ὀπύειν). ‖ 5. πτύειν C. Iacobs. Add. p. 96, ποιεῖν M, ὀπύειν reliq. ‖ ταῦτα δὲ BCM. Reisk., ταῦτα καὶ reliq., καὶ ταῦτα Pflugk. ‖ 8. εἷς δέ Reisk., καί C, εἰ δέ reliq. ‖ 11. μαστιγούμενοι. μαστηγούμενοι M. ‖ δεδιότες. δεδειότες B. ‖ 12. καὶ τρέμοντες C. Reisk., κἆτα τρέμοντες B, καὶ ἀτρέμοντες M, καὶ κατατρέμοντες reliq. — 25, 1. παλαίειν οὐκ εἰδότε παλαίοιεν BC (nisi quod πλαίοιν pro παλαίοιεν). MA, οὐκ εἰδότε παλαίοιεν r, οὐκ εἰδότε παλαίειν vm. ‖ 2. ὅ γε BC, ὅτε M (superscr. ὁ γάρ). var. l. v. m, ὁ γάρ vr. ‖ καταβάλλοι. καταβάλοι B. ‖ 4. οὕτω. οὕτως CM. ‖ 5. τοτὲ δὲ. ποτὲ δὲ C. ‖ 6. κατέβαλον BCM. Iacobs., κατέβαλλον reliq. — 26, 1. εἰ τότε Casaub., εἴ ποτε reliq. ‖ 2. ἀγραμματώτεροι BM, ἀγραμματότεροι reliq. ‖ 2. ἔπειτα. ἢ ἔπειτα Selden., ἔπειτα δ' Geel. ‖ 3. τῇ ναυμαχίᾳ τῇ. τὴν ναυμαχίαν τῷ C. ‖ 6. συμβέβηκεν. malim συμβεβηκέναι. — 27, 1. εἶ-

χρὴ μηδὲ ἱκανῶς παρεσκευασμένον πρὸς τὸν βίον ζῆν τε καὶ
πράττειν ἐπιχειρεῖν οὕτω μεγάλα πράγματα μηδὲ αὐτοὺς ἐκεί-
νους ἀρέσκειν· τοὺς γὰρ ἀμαθεῖς καὶ ἀπαιδεύτους ψέγειν
αὐτοὺς ὡς οὐ δυναμένους ζῆν ὀρθῶς· εἶναι δὲ ἀμαθεῖς οὐχὶ
τοὺς ὑφαίνειν ἢ σκυτοτομεῖν μὴ ἐπισταμένους οὐδὲ τοὺς ὀρχεῖ- 431 R
σθαι οὐκ εἰδότας, ἀλλὰ τοὺς ἀγνοοῦντας, ἃ ἔστιν εἰδότα
28 καλὸν καὶ ἀγαθὸν ἄνδρα εἶναι. καὶ οὕτω δὴ παρεκάλει
πρὸς τὸ ἐπιμελεῖσθαι καὶ προσέχειν αὑτῷ τὸν νοῦν [καὶ φιλο-
σοφεῖν]. ᾔδει γὰρ, ὅτι τοῦτο ζητοῦντες οὐδὲν ἄλλο ποιήσου-
σιν ἢ φιλοσοφήσουσιν. τὸ γὰρ ζητεῖν καὶ φιλοτιμεῖσθαι, 275 M
ὅπως τις ἔσται καλὸς καὶ ἀγαθὸς, οὐκ ἄλλο τι εἶναι ἢ τὸ
φιλοσοφεῖν. οὐ μέντοι πολλάκις οὕτως ὠνόμαζεν, ἀλλὰ μόνον
29 ζητεῖν ἐκέλευεν, ὅπως ἄνδρες ἀγαθοὶ ἔσονται. — πρός τε οὖν
τοὺς ἄλλους σχεδόν τι τὰ αὐτὰ διελεγόμην ἀρχαῖα καὶ φαῦλα,
καὶ ἐπειδὴ οὐκ εἴων ἐν αὐτῇ τῇ Ῥώμῃ γενόμενον ἡσυχίαν
ἄγειν, ἴδιον μὲν οὐδένα ἐτόλμων διαλέγεσθαι λόγον, μὴ κατα-
γελασθῶ τε καὶ ἀνόητος δόξω φοβούμενος, ἅτε συνειδὼς αὑ-
τῷ πολλὴν ἀρχαιότητα καὶ ἀμαθίαν. ἐνεθυμούμην δὲ, φέρε,
εἰ μιμούμενος τοιούτους τινὰς διαλέγωμαι λόγους περὶ τῶν
θαυμαζομένων παρ' αὐτοῖς, ὡς οὐδέν ἐστιν αὐτῶν ἀγαθὸν,
καὶ περὶ τρυφῆς καὶ ἀκολασίας καὶ ὅτι παιδείας πολλῆς
καὶ ἀγαθῆς δέονται, τυχὸν οὐ καταγελάσουσί μου ταῦτα
30 λέγοντος οὐδὲ φήσουσιν ἀνόητον· εἰ δὲ μὴ, ἔξω λέγειν, ὅτι
εἰσὶν οἱ λόγοι οὗτοι ἀνδρὸς, ὃν οἵ τε Ἕλληνες ἐθαύμασαν

ναι. ὄντα Reisk. ‖ ἐπιστάμενον. ἐπισταμένως BM. ‖ ὧν χρὴ CM. Reisk., ἃ χρὴ reliq. ‖ 3. οὕτω. οὕτως M. ‖ αὐτοὺς ἐκείνους BCM, αὐτοῖς ἐκείνοις reliq. ‖ 4. ἀρέσκειν. ἀρέσκει m. ‖ 5. αὑτούς. sic dedi. αὐτοὺς reliq. ‖ οὐ δυναμένους. οὐ om. vm. ‖ 6. ὀρχεῖσθαι οὐκ. οὐκ ὀρχεῖσθαι οὐκ B, οὐκ ὀρχεῖσθαι M. — 28, 1. οὕτω. οὕτως M. ‖ παρεκάλει. παρακαλεῖ B, παρακαλεῖν C. ‖ 2. αὑτῷ. αὐτῷ M. ‖ [καὶ φιλοσοφεῖν] delenda. ‖ 3. ᾔδει. ἤδη B. ‖ ὅτι. ὅτι οἱ Reisk. ‖ 4. φιλοσοφησοῦσιν M, φιλοσοφησοῦσι reliq. ‖ ζητεῖν CMA. r, ζητοῦν vm. ‖ 6. μόνον. μόνος C. — 29, 1. πρός τε οὖν C, πρός τε M, ἀλλὰ πρός γε reliqui, unde ἀλλὰ πρὸς μὲν Reisk., ἀλλὰ πρός τε Pflugk. ‖ 3. γενόμενον. μενόμενος C, μενόμενον mrg. m. ‖ 4. ἄγειν. ἄγει C. ‖ καταγελασθῶ M, κατάγελασθῶ C, καταγέλαστός reliq. ‖ 5. ἅτε. ἅς τε C. ‖ αὑτῷ. αὐτῷ M. ‖ 6. φέρε εἰ. φέρειν M. ‖ 7. διαλέγωμαι. διαλέγομαι BC. ‖ περὶ C. Reisk., εἰ περὶ M, ἢ περὶ reliq., ἤδη περὶ Iacobs. ‖ 8. παρ' αὐτοῖς. παρ' αὐτοῦ C. ‖ αὐτῶν. αὐτοῖς B. ‖ 9. καὶ ὅτι. ὅτι om. C. ‖ πολλῆς C, πολλάκις BM, πολλῆς τε reliq. ‖ 10. ταῦτα λέγοντος. λέγοντος ταῦτα B. ‖ 11. ἀνόητον. ἀνόητος C. — 30, 1. λέγειν. λέγει C.

ἅπαντες ἐπὶ σοφίᾳ καὶ δὴ καὶ ὁ Ἀπόλλων σοφὸν αὐτὸν ἡγή-
σατο, καὶ Ἀρχέλαος, Μακεδόνων βασιλεύς, πολλὰ εἰδὼς καὶ
πολλοῖς συγγεγονὼς τῶν σοφῶν, ἐκάλει αὐτὸν ἐπὶ δώροις καὶ 432 R.
μισθοῖς, ὅπως ἀκούοι αὐτοῦ διαλεγομένου τοὺς λόγους τού-
31 τους. οὕτω δὴ καὶ ἐγὼ ἐπειρώμην διαλέγεσθαι Ῥωμαίοις,
ἐπειδή με ἐκάλεσαν καὶ λέγειν ἠξίουν, οὐ κατὰ δύο καὶ τρεῖς
ἀπολαμβάνων ἐν παλαίστραις καὶ περιπάτοις· οὐ γὰρ ἦν δυνα-
τὸν οὕτως ἐν ἐκείνῃ τῇ πόλει συγγίγνεσθαι· πολλοῖς δὲ καὶ
ἀθρόοις εἰς ταὐτὸ συνιοῦσιν, ὅτι δέονται παιδείας κρείττονος
καὶ ἐπιμελεστέρας, εἰ μέλλουσιν εὐδαίμονες ἔσεσθαι τῷ ὄντι
κατ' ἀλήθειαν, ἀλλὰ μὴ δόξῃ τῶν πολλῶν ἀνθρώπων, ὥσπερ
νῦν· εἴ τις αὐτοὺς μεταπείσει καὶ διδάξει παραλαβών, ὅτι
τούτων μὲν οὐδέν ἐστιν ἀγαθόν, ὑπὲρ ὧν σπουδάζουσι καὶ
πάσῃ προθυμίᾳ κτῶνται καὶ νομίζουσιν, ὅσῳ ἂν πλείω κτή-
32 σωνται, τοσούτῳ ἄμεινον βιώσεσθαι καὶ μακαριώτερον, σω-
φροσύνην δὲ καὶ ἀνδρείαν καὶ δικαιοσύνην ἐάν περ ἐκμελετή- 433 R.
σωσι καὶ ταῖς ψυχαῖς ἀναλάβωσι, διδασκάλους ποθὲν τούτων 228 M.
εὑρόντες καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσαντες, εἴτε Ἕλληνας
εἴτε Ῥωμαίους εἴτε τις παρὰ Σκύθαις ἢ παρ' Ἰνδοῖς ἀνὴρ
ἔστι διδάσκαλος ὧν εἶπον, ὥσπερ οἶμαι τοξικῆς τε καὶ ἱππι-
κῆς ἢ νὴ Δία ἰατρός τις θεραπεύειν ἐπιστάμενος τὰ νοσήματα
τοῦ σώματος, οὕτως ἱκανὸς ὢν ἰᾶσθαι τὰς τῆς ψυχῆς νόσους,
ὅστις ἀκολασίας καὶ πλεονεξίας καὶ τῶν τοιούτων ἀῤῥωστη-
μάτων δυνήσεται ἀπαλλάξαι τοὺς ὑπ' αὐτῶν κρατουμένους·
33 τοῦτον παραλαβόντας καὶ ἀγαγόντας, λόγῳ πείσαντας ἢ φιλίᾳ· 434 R.
χρήμασι μὲν γὰρ οὐ δυνατὸν ἄνδρα πεισθῆναι τοιοῦτον οὐδὲ
ἄλλοις δώροις· καταστήσαντας δὲ εἰς τὴν ἀκρόπολιν νόμῳ
προαγορεῦσαι, τοὺς νέους ἅπαντας φοιτᾶν παρ' αὐτὸν καὶ
συνεῖναι καὶ μηδὲν ἧττον τοὺς πρεσβυτέρους, ἕως ἂν ἅπαντες

31, 2. τρεῖς. τρὶς B. || 3. ἀπολαμβάνων CM. vmr, ἀπολαμβάνοντα BA, ἀπολαμβάνοντες Casaub. || 4. συγγίγνεσθαι BCM, ξυγγίνεσθαι reliq. || δὲ καὶ C, καὶ om. reliq. || 7. κατ' ἀλήθειαν CM om. reliqui. conf. Orat. XV, 28. || 8. εἴ τις BCMA, ἀεὶ εἴ τις Iacobs., ἂν οὖν τις Pflugk., ἄν τις reliqui, unde μεταπείσῃ et διδάξῃ Geelius et Pflugkius. || 10. πλείω om. C. — 32, 2. ἐάν περ. ἵνα περ Pflugkius (idem infra εὑρόντας et ἀμελήσαντας). || 4. εἴτε. εἴτε παρ' B, εἴτε παρὰ A. || 4. Ἕλληνας εἴτε Ῥωμαίους. Ἕλλην εἴτε Ῥωμαῖος Reisk. || 7. ἢ νή. τε ἢ νὴ B, ἢ om. m. — 33, 1. παραλαβόντας. suspensum e v. ἐπειρώμην διαλέγεσθαι Geelius. quod cum fugeret Reiskium, multa mutabat. παραλαβόντας χρὴ Iacobs. || 3. καταστήσαντας δὲ C, καταστήσαντα δὲ M, καταστήσαντάς τε reliq. || 5. ἅπαντες σοφοὶ γενόμενοι BCM,

σοφοὶ γενόμενοι καὶ δικαιοσύνης ἐρασθέντες, καταφρονήσαν-
τες χρυσοῦ καὶ ἀργύρου καὶ ἐλέφαντος καὶ ὄψου δὴ καὶ μύ-
ρου καὶ ἀφροδισίων εὐδαίμονες οἰκῶσι τῷ ὄντι καὶ ἄρχοντες
μάλιστα καὶ πρῶτον αὐτῶν, ἔπειτα καὶ τῶν ἄλλων ἀνθρώ-
34 πων· τότε γάρ, ἔφην, ἔσται ὑμῶν ἡ πόλις μεγάλη καὶ ἰσχυρὰ
καὶ ἄρχουσα κατ' ἀλήθειαν· ὡς τό γε νῦν τὸ μέγεθος αὐτῆς
ὕποπτον καὶ οὐ πάνυ ἀσφαλές. ὅσῳ γὰρ ἄν, ἔφην, πλείων
ἥ τε ἀνδρεία καὶ ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη γίγνηται
παρ' ὑμῖν, τοσούτῳ ἔλαττον ἔσται τό τε ἀργύριον καὶ τὸ
χρυσίον καὶ τὰ ἐλεφάντινα σκεύη καὶ τὰ ἠλέκτρινα καὶ κρύ-
σταλλος καὶ θύον καὶ ἔβενος καὶ ὁ τῶν γυναικῶν κόσμος καὶ
τὰ ποικίλματα ταῦτα καὶ αἱ βαφαὶ καὶ ξύμπαντα ἁπλῶς τὰ
νῦν ἐν τῇ πόλει τίμια καὶ περιμάχητα, καὶ ἐλαττόνων αὐτῶν
35 δεήσεσθε· ὅταν δὲ ἐληλυθότες ἦτε ἐπ' ἄκρον ἀρετῆς, οὐδε-
νός· καὶ οἰκίας μικροτέρας καὶ ἀμείνους οἰκήσετε, καὶ οὐ
τοσοῦτον ὄχλον θρέψετε ἀνδραπόδων ἀργῶν καὶ πρὸς οὐδὲν
χρησίμων. τὸ δὲ πάντων παραδοξότατον· ὅσῳ γὰρ ἂν εὐσε- 435 R.
βέστεροι καὶ ὁσιώτεροι γένησθε, τοσούτῳ ἐλάττων ἔσται παρ'
ὑμῖν ὁ λιβανωτὸς καὶ τὰ θυμιάματα καὶ τὰ στεφανώματα,
καὶ θύσετε ἐλάττους θυσίας καὶ ἀπ' ἐλάττονος δαπάνης, καὶ 229 M.
τὸ πᾶν πλῆθος τὸ νῦν παρ' ὑμῖν τρεφόμενον πολὺ ἔλαττον
ἔσται, καὶ ἡ ξύμπασα πόλις, ὥσπερ ναῦς κουφισθεῖσα, ἀνα-
36 κύψει τε καὶ πολὺ ἔσται ἐλαφροτέρα καὶ ἀσφαλεστέρα. ταὐ-
τὰ δὲ ταῦτα καὶ Σίβυλλαν εὑρήσετε μαντευομένην ὑμῖν καὶ
Βάκιν, εἴπερ ἀγαθὼ χρησμολόγω καὶ μάντιε ἐγενέσθην. ὡς
δὲ νῦν τὰ παρόντα διάκειται χρημάτων ἕνεκα πλήθους, ἃ
πάντα πανταχόθεν εἰς ἕνα τοῦτον ἤθροισται τὸν τόπον, τρυ-

σοφοὶ γενόμενοι ἅπαντες reliq. ‖ 8. οἰκῶσι M, οἰκοῦσιν reliq. ‖ τῷ ὄντι om. CM. ‖ 9. αὐτῶν. αὐτῷν M. ‖ καὶ τῶν. καὶ om. B. — 34, 1. γὰρ CM, γὰρ ἂν reliq. ‖ 2. τό γε. τό τε M. ‖ 3. ἔφην, πλείων. ἔφη πλεῖον B. ‖ 4. ἀνδρεία. ἀνδρία B. ‖ ἡ σωφροσύνη BCM, ἡ om. reliq. ‖ γίγνηται C, γίνηται Iacobs., γίγνεται reliq. ‖ 5. τό τε B. Pflugk. p. 8, τότε reliq. ‖ 7. θύον C. Casaub., θύος BM, θύσσος reliq. ‖ ἔβενος. ἔβαινος M. ‖ 8. ταῦτα om. C, in M a corr. add. ‖ 9. καὶ ἐλαττόνων Reisk., καὶ om. reliq. — 35, 1. οὐδενὸς CM, οὐδενὸς τούτων δεήσεσθε. ἀλλὰ reliq. ‖ 4. τὸ δὲ BCM. Reisk., τὸ δὴ reliq. ‖ εὐσεβέστεροι καὶ ὁσιώτεροι. εὐσεβέστερον καὶ ὁσιώτερον C. ‖ 5. ἐλάττων. ἔλαττον BCM. ‖ 9. ἀνακύψει τε. ἀνακύψεται C. ‖ 10. ἐλαφροτέρα. ἐλαφρωτέρα M. — 36, 1. ταὐτὰ BC. r, ταῦτα M. vm. ‖ 2. εὑρήσετε. εὑρήσεται M. ‖ 4. ἕνεκα πλήθους C. Geel., ἕνεκα καὶ πλήθους reliq. ‖ ἃ. καὶ M. ‖ 5. ἤθροισται. ἤθροις τε M. ‖ τὸν τόπον. τὸν om. C.

φῆς ἐπικρατούσης καὶ πλεονεξίας, ὅμοιόν ἐστιν ὥσπερ εἰ τὴν τοῦ Πατρόκλου πυρὰν κοσμήσας ὁ Ἀχιλλεὺς πολλῶν μὲν ξύλων, πολλῶν δὲ σωμάτων καὶ ἐσθῆτος, ἔτι δὲ πιμελῆς τε καὶ ἐλαίου πρὸς τούτοις, παρακαλεῖ τοὺς ἀνέμους σπένδων καὶ θυσίας ὑπισχνούμενος, ἐλθόντας ἐμπρῆσαί τε καὶ ἀνάψαι.
37 τὰ γὰρ τοιαῦτα οὐχ ἧττόν γε πέφυκεν ἐξάπτειν τὴν τῶν ἀνθρώπων ὕβριν τε καὶ ἀκολασίαν. οὐ μέντοι ἔλεγον ὡς χαλεπὸν αὐτοῖς παιδευθῆναι, ἐπεὶ καὶ τἄλλα, ἔφην, οὐδενὸς βελτίους πρότερον ὄντες, ὅσα ἐβουλήθητε, ῥᾳδίως ἐμάθετε, λέγω δὲ ἱππικὴν καὶ τοξικὴν καὶ ὁπλιτικήν.

ΛΟΓΟΣ ιδ

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ ΠΡΩΤΟΣ. 436 R.

1 Οἱ ἄνθρωποι ἐπιθυμοῦσι μὲν ἐλεύθεροι εἶναι μάλιστα πάντων καὶ φασι τὴν ἐλευθερίαν μέγιστον τῶν ἀγαθῶν, τὴν δὲ δουλείαν αἴσχιστον καὶ δυστυχέστατον ὑπάρχειν, αὐτὸ δὲ τοῦτο, ὅ τι ἐστὶ τὸ ἐλεύθερον εἶναι ἢ ὅ τι τὸ δουλεύειν, οὐκ ἴσασιν. καὶ τοίνυν οὐδὲ ποιοῦσιν οὐδέν, ὡς ἔπος εἰπεῖν, ὅπως τὸ μὲν αἰσχρὸν καὶ χαλεπὸν ἐκφεύξονται, τὴν δουλείαν, ὃ δὲ δοκεῖ αὐτοῖς πολλοῦ ἄξιον εἶναι κτήσονται, τὴν ἐλευθε-

6. ὥσπερ εἰ C, ὥσπερ ὅταν Reisk., ὥσπερ ὅτε Iacobs., ὥσπερ ὁ reliq. ‖ 7. ὁ Ἀχιλλεὺς CM, ὁ om. reliq. ‖ 8. σωμάτων. στρωμάτων Geelius probabiliter, etsi adversari videtur Hom. Il. 23, 161. conf. etiam Il. 18, 352. ‖ πιμελῆς. πημελῆς B, ἐπιμελῆς C. ‖ 9. πρὸς τούτοις, παρακαλεῖ. ita haec distinxit Pflugkius. vulgo interpungebatur ante πρός. ‖ 10. θυσίας BCMA, θυσίαν reliq. conf. Il. 23, 195. καὶ ὑπίσχετο ἱερὰ καλά. — 37, 2. τε καί. τε om. BM. ‖ ἔλεγον. ἔλεγεν M. ‖ 3. ἐπεί. ἐν' εἰ M. ‖ ἔφην. ἔφη CM. ‖ 5. καὶ τοξικήν. καὶ om. C. ‖ ὁπλιτικήν. πολετικὴν M. in fine haud pauca deesse suspicatur Reiskius.

Orat. XIV. Collati sunt BM. — 1, 4. ἐλεύθερον BMA. r, ἐλευθέριον vm. ‖ 4. ὅ τι τό. τὸ in M a corr. add. ‖ 5. ἴσασιν M, ἴσασι reliq.

ρίαν· ἀλλὰ τοὐναντίον ταῦτα πράττουσιν, ἐξ ὧν ἀνάγκη τοὺς ἐπιτηδεύοντας διατελεῖν δουλεύοντας τὸν ἅπαντα χρόνον καὶ
2 μηδεπώποτε ἐλευθερίας ἐπιτυγχάνειν. πλὴν τούτους οὐκ ἄξιον ἴσως θαυμάσαι, ὅτι οὔτε ἑλεῖν οὔτε φυλάξασθαι δύναιντ' ἂν ὃ τυγχάνουσιν ἀγνοοῦντες. εἰ γοῦν ἐτύγχανον ἀγνοοῦντες 230 M.
πρόβατον καὶ λύκον, ὅ τι ἐστὶν ἑκάτερον αὐτοῖν, ὅμως δὲ ἡγοῦντο τὸ μὲν ὠφέλιμον καὶ κτήσασθαι ἀγαθὸν τὸ δὲ βλαβερὸν καὶ ἀσύμφορον, οὐκ ἂν ἦν θαυμαστὸν οὐδέν, εἰ τὸ μὲν πρόβατον ἐφοβοῦντο καὶ ἔφευγον ἐνίοτε ὡς λύκον, τὸν δὲ λύκον προσίεντο καὶ ὑπέμενον νομίσαντες πρόβατον. ἡ γὰρ ἄγνοια τοιαῦτα ἐργάζεται τοὺς οὐκ εἰδότας καὶ ἀναγκάζει τἀναντία φεύγειν καὶ διώκειν ὧν βούλονται καὶ τῶν συμφε-
3 ρόντων. φέρε δὴ σκεψώμεθα, εἰ ἄρα τι οἱ πολλοὶ ἐπίστανται 437 R.
περὶ ἐλευθερίας καὶ δουλείας σαφές. ἴσως γάρ τοι μάτην αὐτοὺς αἰτιώμεθα, οἱ δὲ παντὸς μᾶλλον ταῦτα ἴσασιν. εἰ οὖν ἔροιτό τις αὐτούς, ὅ τι ἐστὶ τὸ ἐλεύθερον εἶναι, φαῖεν ἂν ἴσως, τὸ μηδενὸς ὑπήκοον, ἀλλὰ πράττειν ἁπλῶς τὰ δο-
4 κοῦντα ἑαυτῷ. τὸν δὲ τοῦτο ἀποκρινάμενον ἐάν τις ἐπερωτᾷ, εἰ ἐν χορῷ χορευτὴν ὄντα μὴ προσέχειν τῷ κορυφαίῳ μηδὲ ὑπήκοον εἶναι αὐτοῦ, ἀλλ' ᾄδειν τε καὶ ἀπᾴδειν, ὅπως ἂν αὐτῷ ἐπίῃ, τοῦτο καλὸν οἴεται εἶναι καὶ ἐλευθέριον, τὸ δὲ ἐναντίον τούτου, τὸ προσέχειν τε καὶ πείθεσθαι τῷ ἡγεμόνι τοῦ χοροῦ καὶ τότε ἄρχεσθαι καὶ παύεσθαι ᾄδοντα, ὁπόταν ἐκεῖνος κελεύσῃ, αἰσχρὸν εἶναι καὶ δουλοπρεπές, οὐκ ἂν οἶμαι
5 ὁμολογοῖ. οὐδὲ εἴ τις ἐρωτήσειε, πλέοντα μὴ φροντίζειν τοῦ κυβερνήτου μηδὲ ποιεῖν ἅττ' ἂν ἐκεῖνος εἴπῃ, εἰ τὸ τοιοῦτον ἐλευθέριον οἴοιτο· οἷον κελεύσαντος καθῆσθαι ἑστάναι ἐν

10. μηδεπώποτε. μηδέποτε Pflugk. — 2, 1. τούτους. τούτοις BM. ‖ 2. ἑλεῖν. ἐλθεῖν M. ‖ δύναιντ' ἂν ὃ. δύνανται ὃ B, δύνανται M. ‖ 3. εἰ γοῦν. ἤγουν M. ‖ 4. ὅ τι. ὃ BM. ‖ αὐτοῖν BM (αὐτῶν corr.), αὐτῶν reliq. ‖ ὅμως B. Selden. r, ὅπως reliq. ‖ 5. ἡγοῦντο r, ἡγοῖντο reliq. ‖ τὸ μέν. τὸ om. M. ‖ 6. οὐκ ἂν ἦν. sic dedi. οὐ καλὸν BM. v, οὐκ ἄρα reliq. ‖ οὐδέν. δὲ οὐδὲν B, om. M. — 3, 1. φέρε M (a corr. ἀλλὰ γὰρ φέρε), ἀλλὰ γὰρ φέρε reliq. ‖ ἄρα τι BM. Reisk., ἄρα τε reliq. ‖ 2. σαφές BM. Pflugk., σαφῶς reliq. ‖ 3. οἱ δέ. εἰ μὴ B. ‖ ἴσασιν. ἴασιν M. ‖ 4. εἶναι BM, om. reliq. ‖ 5. πράττειν. πρᾶττον Reisk. — 4, 2. χορῷ. χώρῳ M. ‖ 3. ἀλλ' BM, ἀλλὰ reliq. ‖ καὶ ἀπᾴδειν om. M (mrg. ἀπάδειν addit.). ‖ 4. ἐπίῃ. ἐπείη B. ‖ οἴεται εἶναι. εἶναι οἴεται B. ‖ 5. τε om. BM. ‖ πείθεσθαι. πίθεσθαι M. ‖ 6. ᾄδοντα. ἄδοντας M. ‖ 7. κελεύσῃ BM, κελεύῃ reliq. ‖ 8. ὁμολογοῖ B, ὁμολόγοι M, ὁμολογῇ reliq. — 5, 2. εἴπῃ BM, εἴποι reliq. ‖ 3. καθῆσθαι. καθῆσθε M.

τῇ νηΐ, ἂν αὐτῷ ἐπίῃ, κἂν κελεύσῃ ἀντλεῖν ποτε ἢ συνέλκειν
τὰ ἱστία, μήτ' ἀντλῆσαι μήθ' ἅψασθαι τῶν κάλων· οὐδὲ
τοῦτον εἴποι ἂν ἐλεύθερον οὐδὲ ζηλωτόν, ὅτι πράττει τὰ δο-
6 κοῦντα αὐτῷ. καὶ μὴν τούς γε στρατιώτας οὐκ ἂν φαίη δού-
λους εἶναι, διότι ὑπήκοοί εἰσι τοῦ στρατηγοῦ καὶ τότε ἀνί-
στανται, ὁπόταν ἐκεῖνος προστάξῃ, καὶ σῖτον αἱροῦνται καὶ
ὅπλα λαμβάνουσι καὶ παρατάττονται καὶ ἐπίασι καὶ ἀναχω-
ροῦσιν οὐκ ἄλλως ἢ τοῦ στρατηγοῦ κελεύσαντος· οὐδέ γε
τοὺς κάμνοντας, ὅτι πείθονται τοῖς ἰατροῖς, οὐ διὰ τοῦτο
7 φήσουσι δούλους εἶναι· καίτοι οὐ σμικρά γε οὐδὲ ῥᾴδια πεί-
θονται αὐτοῖς, ἀλλὰ καὶ πεινῆν καὶ διψῆν ἐνίοτε προστάτ- 438 R.
τουσι· κἂν δόξῃ ποτὲ τῷ ἰατρῷ τὸν κάμνοντα δῆσαι, παρα- 231 M.
χρῆμα ἐδέθη, κἂν τεμεῖν ἢ καῦσαι, καυθήσεται καὶ τμηθή-
σεται ἐφ' ὅσον ἂν ἐκείνῳ δοκῇ, ἐὰν δὲ μὴ πείθηται, πάντες
οἱ ἐν τῇ οἰκίᾳ τῷ ἰατρῷ συναγωνιοῦνται, οὐ μόνον οἱ ἐλεύθε-
ροι, ἀλλὰ πολλάκις οἱ τοῦ νοσοῦντος οἰκέται αὐτοὶ καταδοῦσι
τὸν δεσπότην, καὶ τὸ πῦρ κομίζουσιν, ὅπως καυθήσεται, καὶ
8 τἄλλα ὑπηρετοῦσιν. μὴ οὖν σὺ φῂς ἐλεύθερον εἶναι τὸν ἄνδρα
τοῦτον, ὅτι πολλὰ καὶ ἀηδῆ ἑτέρου κελεύοντος ὑπομένει; οὐ
γὰρ δήπου τὸν Περσῶν βασιλέα Δαρεῖον οὐκ ἂν ἔφης ἐλεύ-
θερον εἶναι, ἐπειδὴ καταπεσὼν ἀπὸ τοῦ ἵππου ἐν κυνηγεσίοις,
τοῦ ἀστραγάλου ἐκχωρήσαντος ὑπήκουε τοῖς ἰατροῖς ἕλκουσι
καὶ στρεβλοῦσιν αὐτοῦ τὸν πόδα, ὅπως καταστήσεται τὸ ἄρ-
θρον, καὶ ταῦτα Αἰγυπτίοις ἀνθρώποις· οὐδ' αὖ Ξέρξην ὁπη-
νίκα ἀναχωρῶν ἐκ τῆς Ἑλλάδος καὶ χειμαζόμενος ἐν τῇ νηὶ
πάντα ἐπείθετο τῷ κυβερνήτῃ καὶ παρὰ τὴν ἐκείνου γνώμην
οὐκ ἐπέτρεπεν αὐτῷ οὐδὲ νεῦσαι οὐδὲ μεταβῆναι. οὔκουν τὸ 439 R.
μηδενὸς ἀνθρώπων ὑπακούειν οὐδὲ τὸ πράττειν ὅ τι ἂν τις
9 ἐθέλῃ ἐλευθερίαν ἔτι φήσουσιν εἶναι. ἀλλ' ἴσως ἐροῦσιν, ὅτι

4. ἐπίῃ. sic dedi. μὴ ἐπείη B, μὴ ἐπίῃ reliq. ‖ κἂν BMA, om. reliq., ἂν δὲ Selden. ‖ 6. πράττει. πράττοι BM. — 7, 5. πείθηται. πείθεται M. ‖ 7. ἀλλά. ἀλλὰ καὶ Reisk. ‖ καταδοῦσι. καταδίουσιν Reisk. ‖ 8. τὸ πῦρ BM, τὸ om. reliq. ‖ 9. ὑπηρετοῦσιν M, ὑπηρετοῦσι reliq. — 8, 1. φῂς. φησὶ M, φήσουσιν Reisk. ‖ 3. τόν. τῶν B. ‖ ἔφης. ἔφη BM, ἔφησαν Reisk. ‖ 4. καταπεσών. καταπεσὸν M. ‖ 6. ὅπως. πῶς M. ‖ τὸ BM (corr. αὐτοῦ τὸ), αὐτοῦ τὸ reliq. ‖ 7. Ξέρξην. Ξέρξης. B. m. ‖ 9. ἐπείθετο. ἐπίθετο M. ‖ 10. αὐτῷ. αὐτῶ M. ‖ οὔκουν τὸ Reisk., διοικοῦντι M, δοκοῦντι reliqui, unde in proximis οὐ δὴ pro οὐδὲ Selden. ‖ 11. μηδενός. μηδενὶ M. ‖ τις. τι M.

οὗτοι μὲν ἐπὶ τῷ αὐτῶν συμφέροντι ὑπακούουσιν, ὡς οἱ πλέον-
τες τῷ κυβερνήτῃ καὶ οἱ στρατιῶται τῷ στρατηγῷ καὶ οἱ
κάμνοντες δὲ τῷ ἰατρῷ διὰ τοῦτο πείθονται. οὐδὲ γὰρ ἄλλ'
ἄττα προστάττουσιν οὗτοι ἢ τὰ συμφέροντα αὐτοῖς. οἱ δέ
γε δεσπόται τοῖς δούλοις οὐ ταῦτα ἐπιτάττουσιν, ἃ ἐκείνοις
10 συνοίσει, ἀλλ' ὅπερ αὐτοῖς οἴονται λυσιτελεῖν. τί δή; ἆρά γε
συμφέρει τῷ δεσπότῃ τὸ τεθνάναι τὸν οἰκέτην ἢ νοσεῖν ἢ
πονηρὸν εἶναι; οὐδεὶς ἂν εἴποι· ἀλλὰ τοὐναντίον, οἶμαι, τό
τε ζῆν καὶ ὑγιαίνειν καὶ χρηστὸν εἶναι. τὰ αὐτὰ δὲ ταῦτα
φανεῖται καὶ τῷ οἰκέτῃ συμφέροντα· ὥστε καὶ τῷ οἰκέτῃ ὁ
δεσπότης οὐδὲν ἧττον, ἄνπερ ἔχῃ νοῦν, τὰ συμφέροντα ἐκείνῳ
11 προστάξει· ταῦτα γὰρ καὶ αὐτῷ φαίνεται συμφέρειν. ἀλλὰ
ὑπὲρ ὅτου ἄν τις ἀργύριον καταβάλῃ, οὗτος ἐξ ἀνάγκης δοῦ-
λός ἐστιν. οὔκουν πολλοὶ περὶ πολλῶν καὶ ἐλευθέρων κατα- 440 R
βεβλήκασιν ἀργύριον, οἱ μὲν πολεμίοις οἱ δὲ λῃσταῖς λύτρα 23 M
διδόντες, οἱ δέ τινες τὴν αὐτῶν τιμὴν καταβεβλήκασι τοῖς
12 δεσπόταις, καὶ οὐ δήπου δοῦλοί εἰσιν οὗτοι αὐτῶν; ἀλλὰ
μὴν ὃν ἂν ἐξῇ ἑτέρῳ μαστιγῶσαι καὶ δῆσαι καὶ ἀνελεῖν καὶ
ἄλλο ὅ τι ἂν βούληται ἐργάσασθαι, οὗτος ἐκείνου δοῦλός
ἐστιν. τί δαί; οὐκ ἔξεστι τοῖς λῃσταῖς ταῦτα ποιεῖν τοὺς
ληφθέντας, καὶ οὐδὲν ἧττον οὐ δοῦλοί εἰσιν; τί δέ; τοῖς δικα-
σταῖς οὐκ ἔξεστι τιμᾶν καὶ δεσμοῦ καὶ θανάτου καὶ ἄλλου
ὅτου ἂν βούλωνται πολλοῖς τῶν κρινομένων, καὶ οὐ δήπου
δοῦλοί εἰσιν οὗτοι; εἰ δὲ μίαν ἡμέραν, ἐν ᾗ κρίνεται ἕκαστος,
οὐδὲν τοῦτο· καὶ γὰρ μίαν ἡμέραν ἤδη τις λέγεται γενέσθαι
13 δοῦλος. ἀλλὰ μὴν ἑνὶ λόγῳ συλλαβόντα χρὴ ἀποφήνασθαι· ὡς
ὅτῳ μὲν ἔξεστιν ὃ βούλεται πράττειν ἐλεύθερός ἐστιν, ὅτῳ δὲ
μὴ ἔξεστι δοῦλος, οὔτ' ἐπὶ τῶν πλεόντων οὔτ' ἐπὶ τῶν καμνόν-

9, 2. αὐτῶν. αὑτῶν M. ‖ 4. πείθονται. πίθονται M. ‖ 6. ταῦτα Reisk., τὰ αὐτὰ reliq. ‖ 7. ὅπερ BM, ἅπερ reliq. — 10, 1. δή M. δὲ δή reliq. ‖ ἆρά γε BA. r, ἆρά γε οὖν M. vm, ἆρα γοῦν Iacobs. ‖ 2. τὸ τεθνάναι BM, τεθνάναι reliq. ‖ 6. ἔχῃ νοῦν. ἔχειν οὖν M. ‖ 7. προστάξει. προστάξῃ B. ‖ ταῦτα. malim ταὐτὰ cum Seldeno. ‖ συμφέρειν BM, ξυμφέρειν reliq. — 11, 2. ὑπέρ. οὕτω περὶ M. ‖ καταβάλῃ BA, καταβαλῇ M, καταβάλλοι reliq. ‖ 3. ἐλευθέρων. ἐπ' ἐλευθέρων B. mrg. m, unde ἐλευθέρων καὶ ἐπ' ἐλευθερίᾳ Reisk. ‖ 5. αὐτῶν. αὑτῶν M. — 12, 3. ἄλλο M, ἄλλ' reliq. ‖ 4. δαί. δὲ M. ‖ τούς. αὐτοὺς M (corr. vulg.). ‖ 5. ἧττον οὐ M, ἧττον B. vm, μᾶλλον r, οὐκ interponebat Casaub. ante v. εἰσιν, (οὐ δήπου vel οὐδ' οὗτοι pro οὐδὲν ἧττον Selden.). ‖ εἰσιν M, εἰσι reliq. ‖ 7. βούλωνται. βούλονται M. ‖ 9. λέγεται BM, λέγει reliq. — 13, 1. ἑνί. εἰ ἑνὶ Pflugkius. non sine veri specie. ‖ 3. οὔτ' ἐπὶ

*των οὔτε τῶν στρατευομένων οὔτε τῶν μανθανόντων γράμ-
ματα ἢ κιθαρίζειν ἢ παλαίειν ἢ ἄλλην τινὰ τέχνην ἐρεῖς αὐτό·
οὐ γὰρ ἔξεστι τούτοις πράττειν, ὡς αὐτοὶ ἐθέλουσιν, ἀλλ'
ὡς ὅ τε κυβερνήτης καὶ ἰατρὸς καὶ διδάσκαλος προστάττει.
οὐ τοίνυν οὐδὲ τοῖς ἄλλοις ἔξεστιν ἃ ἐθέλουσι ποιεῖν, ἀλλ'* 441 R.
ἐάν τις παρὰ τοὺς νόμους τοὺς κειμένους πράττῃ, ζημιώσεται.
14 *οὐκοῦν ὅσα μὴ ἀπείρηται ὑπὸ τῶν νόμων μηδὲ προστέτακται,
ὁ περὶ τούτων ἔχων αὐτὸς τὴν ἐξουσίαν τοῦ πράττειν ὡς βού-
λεται ἢ μὴ ἐλεύθερος, ὁ δὲ τοὐναντίον ἀδύνατος δοῦλος. τί
δαί; οἴει σοι ἐξεῖναι, ὅσα μὴ ἀπείρηται μὲν ὑπὸ τῶν νόμων
ἐγγράφως, αἰσχρὰ δὲ ἄλλως δοκεῖ τοῖς ἀνθρώποις καὶ ἄτοπα·
λέγω δὲ οἷον τελωνεῖν ἢ πορνοβοσκεῖν ἢ ἄλλα ὅμοια πράτ-
τειν; οὐ μὰ Δία φαίην ἂν οὐδὲ τὰ τοιαῦτα ἐξεῖναι τοῖς ἐλευ-
θέροις. καὶ γὰρ περὶ τούτων ἐπίκειται ζημία τὸ μισεῖσθαι*
15 *ἢ δυσχεραίνεσθαι ὑπὸ τῶν ἀνθρώπων. τί δαί; τοῖς ἀκολά-
στοις ἀνθρώποις, ὅσα ποιοῦσι διὰ τὴν ἀκολασίαν, καὶ τοῖς
ἀνοήτοις, ὅσα διὰ τὴν ἄνοιαν, ἢ οὐσίας ἀμελοῦντες ἢ σώμα-
τος ἢ ἀδίκως καὶ ἀγνωμόνως προσφερόμενοι ἀλλήλοις, οὐ
πάντα ταῦτα ἐπιζήμια τοῖς ποιοῦσίν ἐστιν; ἢ γὰρ εἰς τὸ σῶμα* 233 M.
*ἢ τὴν οὐσίαν ἢ τὸ μέγιστον τὴν ψυχὴν τὴν αὑτῶν βλάπτον-
ται. τοῦτο μὲν ἀληθὲς λέγεις. οὐκοῦν οὐδὲ ταῦτα ἔξεστι*
16 *πράττειν; οὐ γὰρ οὖν. ἑνὶ δὴ λόγῳ τὰ μὲν φαῦλα καὶ ἄτοπα
καὶ ἀσύμφορα οὐκ ἔξεστι πράττειν, τὰ δὲ δίκαια καὶ συμφέ-
ροντα καὶ ἀγαθὰ χρὴ φάναι ὅτι προσήκει τε καὶ ἔξεστιν;
ἐμοὶ γοῦν δοκεῖ. οὐκοῦν οὐδενὶ τά τε φαῦλα καὶ ἀσύμφορα
ποιεῖν ἀζήμιόν ἐστιν, οὔτε Ἕλληνι οὔτε βαρβάρῳ οὔτε ὑπὲρ
ὅτου τις τιμὴν δέδωκεν ἀργύριον. οὐ γὰρ οὖν. τὰ δέ γε ἐναν-
τία πᾶσιν ὁμοίως ἐφεῖται, καὶ οἱ μὲν τὰ ἐφειμένα πράττοντες*
17 *ἀζήμιοι διατελοῦσιν, οἱ δὲ τὰ κεκωλυμένα ζημιοῦνται. ἄλλοι
οὖν δοκοῦσί σοι πράττειν ἃ ἔξεστιν ἢ οἱ ἐπιστάμενοι ταῦτα,* 442 R.

Pflugk., *ἀλλ' οὐδ' ἐπὶ* Reisk., *οὐδ' ἐπὶ* reliqui. punctum post *δοῦλος* commate mutavi. ‖ *οὔτ' ἐπί.* sic dedi. *οὔτε* Pflugk., *οὐδ' ἐπὶ* M, *οὐδὲ* reliq. ‖ 4. *οὔτε.* sic dedi. *οὐδὲ* reliq. ‖ *οὔτε.* sic dedi. *οὐδὲ* reliq. ‖ 6. *αὐτοί. αὐτοῖς* M. ‖ 7. *ἰατρός. ἰατρὸς καὶ στρατηγὸς* Reisk. ‖ *προστάττει* Vales. p. 53. r, *πράττει* reliq. — 14, 1. *μὴ* om. M. ‖ 3. *ὁ δέ. ὁ* om. M. ‖ *ἀδύνατος. ὁ δυνατὸς* M. ‖ 4. *δαὶ οἴει σοι* M in rasura. ‖ *μὲν ὑπό. μηνόντων* M (mrg. vulg.). ‖ 8. *τό. τῷ* M. — 15, 1. *δαί. δὲ* M (mrg. vulg.). — 16, 4. *γοῦν. οὖν* M. ‖ *ἀσύμφορα. ἀσύμφορον* M. ‖ 7. *ἐφειμένα* BA. r, *ἐφιμένα* M, *ἐφιεμένα* vm.

Digitized by Google

καὶ ἄλλοι τἀναντία ἢ οἱ ἀγνοοῦντες; οὐδαμῶς. οὐκοῦν οἱ
φρόνιμοι ὅσα βούλονται πράττειν, ἔξεστιν αὐτοῖς, οἱ δὲ ἄφρο-
νες ἃ βούλονται οὐκ ἐξὸν ἐπιχειροῦσι πράττειν· ὥστε ἀνάγκη
τοὺς μὲν φρονίμους ἐλευθέρους τε εἶναι καὶ ἐξεῖναι αὐτοῖς
ποιεῖν ὡς ἐθέλουσι, τοὺς δὲ ἀνοήτους δούλους τε εἶναι καὶ ἃ
18 μὴ ἔξεστιν αὐτοῖς, ταῦτα ποιεῖν; ἴσως. οὐκοῦν καὶ τὴν ἐλευ-
θερίαν χρὴ λέγειν ἐπιστήμην τῶν ἐφειμένων καὶ τῶν κεκωλυ-
μένων, τὴν δὲ δουλείαν ἄγνοιαν ὧν τε ἔξεστι καὶ ὧν μή. ἐκ
δὲ τούτου τοῦ λόγου οὐδὲν ἂν κωλύοι τὸν μέγαν βασιλέα,
πάνυ μεγάλην τιάραν ἐπὶ τῆς κεφαλῆς ἔχοντα, δοῦλον εἶναι
καὶ μὴ ἐξεῖναι αὐτῷ πράττειν μηδὲν ὧν ποιεῖ· πάντα γὰρ
ἐπιζημίως καὶ ἀσυμφόρως πράξει· ἄλλον δέ τινα δοῦλον δο-
κοῦντα καὶ ὀνομαζόμενον, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, ἂν οὕτω
τύχῃ, πεπραμένον, εἰ δὲ ἄρα τοῦτο συμβαίνοι, πέδας πάνυ
παχείας ἔχοντα, μᾶλλον ἐλεύθερον εἶναι τοῦ μεγάλου βασι-
19 λέως. ἐμοὶ μὲν σφόδρα δοκεῖ ἄτοπον, εἰ πέδας ἔχων τις ἢ
ἐστιγμένος ἢ ἐν μύλωνι ἀλῶν ἐλεύθερος ἔσται μᾶλλον τοῦ
μεγάλου βασιλέως. τί δέ; ἐν Θρᾴκῃ γέγονας; ἔγωγε. ἑώρα-
κας οὖν ἐκεῖ τὰς γυναῖκας τὰς ἐλευθέρας στιγμάτων μεστάς,
καὶ τοσούτῳ πλείονα ἐχούσας στίγματα καὶ ποικιλώτερα,
ὅσῳ ἂν βελτίους καὶ ἐκ βελτιόνων δοκῶσιν; τί οὖν δὴ τοῦτο; 234 M.
ὅτι βασίλισσαν, ὡς ἔοικεν, οὐδὲν κωλύει ἐστιγμένην εἶναι· 443 R.
20 βασιλέα δὲ οἴει κωλύειν; σὺ τοίνυν οὐδὲ περὶ ἐκείνου τοῦ
ἔθνους ἀκήκοας, παρ' οἷς ὁ βασιλεὺς ἐν πύργῳ πάνυ ὑψηλῷ
φυλάττεται, καὶ οὐκ ἔξεστιν αὐτῷ καταβῆναι ἀπὸ τοῦ πύργου.
εἰ δέ γε ἀκηκόεις, ἠπίστω ἄν, ὅτι καὶ περιειργμένον ἔστιν
εἶναι βασιλέα. καὶ τυχὸν ἤκουες ἂν ἐκείνων τῶν ἀνθρώπων
θαυμαζόντων, εἰ διηγοῦ σὺ περὶ τοῦ Περσῶν βασιλέως, καὶ
ἀπιστούντων, ὅτι ἔστι τις βασιλεὺς περιελαύνων ἐφ' ἅρματος

17, 3. ἢ οἱ ἀγνοοῦντες. ἢ om. M. ‖ οὐκοῦν οἱ BMA. r, οἱ om. vm. — 18, 2. ἐφει-μένων r, ἐφιεμένων reliq. ‖ 3. ἄγνοιαν. ἄνοιαν BM. ‖ 4. μέγαν. μέγα B. ‖ 7. πρά-ξει. παράξει (corr. vulg.) M. ‖ 8. οὕτω. οὕτως M. ‖ 9. τοῦτο. καὶ τοῦτο Reisk. — 19, 2. ἢ ἐν. εἶεν M. ‖ 3. δέ. δαί B. ‖ 6. δοκῶσιν. sic dedi. δοκοῦσιν M, δοκοῦσι reliq. ‖ τί οὖν δὴ BM, οὖν δὴ v, τί οὖν reliq. — 20, 4. ὅτι καὶ περιειργμένον ἔστιν εἶναι βασιλέα Reisk. (nisi quod ἐστὶν), ὅτι ἔστιν εἶναι βασιλέα περιειργμένον Iacobs., ὅτι καὶ δεδεμένον ἐστὶν εἶναι βασιλέα περιειργμένον reliqui. Geelius pro ἔστιν εἶναι mavult ἔστιν ἰδεῖν ceteroquin Reiskium secutus. ‖ 6. εἰ om. M. ‖ τοῦ. τῶν M. ‖ 7. ἔστι. sic. dedi. ἐστί reliq.

21 καὶ ὅποι βούλεται ἀπιών. ἀλλὰ δεδεμένον οὐκ ἀποδείξεις βα-
σιλέα. οὐ τῶν γε ἀνθρώπων τυχόν· ἐπεὶ ὅ γε τῶν θεῶν βασι-
λεὺς ὁ πρῶτος καὶ πρεσβύτατος δέδεται, ὥς φασιν, εἰ χρὴ
πιστεύειν Ἡσιόδῳ τε καὶ Ὁμήρῳ καὶ ἄλλοις σοφοῖς ἀνδράσιν,
οἳ περὶ Κρόνου ταῦτα λέγουσι· καὶ μὰ Δία οὐχ ὑπ' ἐχθροῦ
ἀδίκως παθόντα τοῦτο, ἀλλ' ὑπὸ τοῦ δικαιοτάτου καὶ φιλ-
τάτου, δηλονότι ὡς βασιλικὰ καὶ συμφέροντα ἐκείνῳ δρῶντος.
22 οἱ δὲ τοῦτο μὲν ἀγνοοῦσι καὶ οὐδέποτ' ἂν οἰηθεῖεν πτωχὸν ἢ
δεσμώτην ἢ ἄδοξον γενέσθαι βασιλέα· καίτοι τὸν Ὀδυσσέα
ἀκούοντες, ὅτι πτωχὸς ὢν καὶ τοὺς μνηστῆρας αἰτῶν οὐδὲν
ἧττον βασιλεὺς ἦν καὶ τῆς οἰκίας κύριος· ὁ δὲ Ἀντίνους καὶ 444 R.
ὁ Εὐρύμαχος, οὓς Ὅμηρος ὠνόμαζε βασιλέας, ἄθλιοι καὶ
δυστυχεῖς· ἀλλὰ ταῦτα μέν, ὡς ἔφην, ἀγνοοῦσι· σημεῖα δὲ
αὐτοῖς περιτιθέασι τιάρας ὀρθὰς καὶ σκῆπτρα καὶ διαδήματα,
μὴ λάθωσι βασιλεῖς ὄντες· ὥσπερ οἶμαι τοῖς βοσκήμασι χαρα-
23 κτῆρας ἐπιβάλλουσιν οἱ δεσπόται, ὅπως ἐπίσημα ἔσται. τοι-
γαροῦν ὁ Περσῶν βασιλεύς, ὅπως μὲν ἕξει μόνον ὀρθὴν τὴν
τιάραν ἐφρόντιζεν, καὶ εἴ τις ἄλλος τοῦτο ἐποίησεν, εὐθὺς
ἐκέλευσεν ἀποθνήσκειν αὐτόν, ὡς οὐκ ἐνὸν οὐδὲ συμφέρον ἐν
τοσαύταις μυριάσιν ἀνθρώπων δύο εἶναι φοροῦντας τιάρας
ὀρθάς· ὅπως δὲ τὴν γνώμην ὀρθὴν ἕξει καὶ μηδεὶς ἄλλος
24 φρονήσει αὐτοῦ σοφώτερον, οὐδὲν αὐτῷ ἔμελεν. μὴ οὖν,
ὥσπερ τῆς βασιλείας τῆς τότε τοιαῦτα ὑπῆρχε σημεῖα, καὶ
νῦν δέῃ τῆς ἐλευθερίας τοιαῦτα ὑπάρχειν σύμβολα καὶ βαδί-
ζειν πῖλον ἔχοντα ἐπὶ τῆς κεφαλῆς, ἄλλως δὲ οὐ δυνησόμεθα 235 M.
γνῶναι τὸν ἐλεύθερον ἢ τὸν δοῦλον.

9. βούλεται B. Pflugk., βούληται reliq. — 21, 2. γε τῶν. γε ὁ τῶν BM. ‖ 3. ὁ πρῶτος. ὁ om. BM. ‖ 6. παθόντα. φασὶ παθόντα Reisk., vulgatum defendit Iacobs. Add. p. 97. — 22, 1. οἱ δέ. οἱ δὲ πολλοὶ Reisk. ‖ 4. Ἀντίνους M, Ἀντίνοος reliq. ‖ 9. ἔσται BM. Selden. r, ἐστι reliq. — 23, 5. τιάρας ὀρθάς r, ὀρθὰς τιάρας Casaub., ὀρθὰς om. reliq. ‖ 7. σοφώτερον. σοφώτερος m. — 24, 3. δέῃ. sic dedi. δὴ BM, δεῖ reliq. ‖ 4. πῖλον. πεῖλον M.

by Google

ΛΟΓΟΣ ιε

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ ΔΕΥΤΕΡΟΣ. 445 R.

1 *Ἀλλὰ μὴν ἔναγχος παρεγενόμην τισὶ διαμφισβητοῦσι περὶ
δουλείας καὶ ἐλευθερίας, οὐκ ἐπὶ δικαστῶν οὐδ' ἐν τῇ ἀγορᾷ,
οὑτωσὶ δὲ κατ' οἰκίαν, ἐπὶ χρόνον πάμπολυν. καὶ παρῆσαν
ἑκατέρῳ τοῖν ἀνδροῖν οὐκ ὀλίγοι σπουδάζοντες. ἐτύγχανον
γὰρ ὑπὲρ ἄλλων πρότερον ἀντιλέγοντες, ὡς ἐμοὶ δοκοῦσιν·
ἡττώμενος δὲ ἐν τοῖς λόγοις ἅτερος καὶ διαπορῶν εἰς λοιδο-
ρίαν ἐτράπετο, ὥσπερ εἴωθε τοῦτο συμβαίνειν πολλάκις, καὶ
2 ὠνείδισεν ὡς οὐκ ἐλεύθερον ὄντα τὸν ἕτερον. καὶ ὃς πάνυ
πρᾴως ἐμειδίασέ τε καὶ εἶπε· πόθεν δὲ ἔστιν, ὦ ἄριστε, εἰδέ-
ναι, ὅστις δοῦλος ἢ ὅστις ἐλεύθερος; ναὶ μὰ Δία, ἔφη, ἐπί-
σταμαι γοῦν ἐμαυτὸν μὲν ἐλεύθερον ὄντα καὶ τούτους ἅπαν-
τας, σοὶ δὲ οὐδὲν προσῆκον ἐλευθερίας. καί τινες τῶν παρόν-
των ἐγέλασαν. καὶ ὃς οὐδέν τι μᾶλλον ᾐσχύνθη, ἀλλ' ὥσπερ
οἱ ἀλεκτρυόνες πρὸς τὴν πληγὴν ἐπεγείρονται καὶ θαῤῥοῦσιν,
κἀκεῖνος ἐπηγέρθη καὶ ἐθάῤῥησε πρὸς τὴν λοιδορίαν, καὶ
ἤρετο αὐτὸν, ὁπόθεν τοῦτο ἐπίσταται τὸ περί τε αὐτοῦ καὶ
3 περὶ ἐκείνου. ὅτι, ἔφη, τὸν μὲν ἐμαυτοῦ πατέρα ἐπίσταμαι
Ἀθηναῖον ὄντα, εἴπερ τις ἄλλος, τὸν δὲ σὸν οἰκέτην τοῦ δεῖ-
νος, εἰπὼν τὸ ὄνομα. καὶ ὅς· τί οὖν, εἶπε, κατὰ τοῦτο κω-
λύει με ἐν Κυνοσάργει ἀλείφεσθαι μετὰ τῶν νόθων, εἴπερ
ἐκ μητρὸς ἐλευθέρας, ἴσως δὲ καὶ ἀστῆς, τυγχάνω γεγονὼς
καὶ πατρὸς οὗ σὺ φῄς; ἢ οὐ πολλαὶ ἀσταὶ γυναῖκες δι' ἐρη- 446 R.
μίαν τε καὶ ἀπορίαν αἱ μὲν ἐκ ξένων ἐκύησαν, αἱ δὲ ἐκ δού-*

Orat. XV. Collati sunt BM. — 1, 6. *ἡττώμενος. ἡττόμενος* B. ‖ *ἅτερος* M, *ὁ ἕτερος* Pflugk., *ἕτερος* reliq. ‖ *λοιδορίαν. λοιδωρίαν* M. ‖ 8. *ὡς οὐκ* Morell., *οὐχ ὡς* reliq. — 2, 2. *ἔστιν* om. M. ‖ 6. *ὅς. ὡς* M. ‖ *τι. γε* A. ‖ 7. *οἱ ἀλεκτρυόνες. οἱ ἄνδρες οἱ ἀλεκτρίονες* M. ‖ 9. *ἤρετο. εἴρετο* B. ‖ *αὐτοῦ. αὐτοῦ* M. — 3, 1. *ἐμαυτοῦ. ἑαυτοῦ* M. ‖ 2. *δὲ* om. M. ‖ 3. *τί. τίς* BM. ‖ *κατὰ τοῦτο κωλύει με. κωλύει με κατὰ τοῦτο* A, *ὦ τάν τοῦτο κωλύει με* Pflugk. ‖ 6. *ἀσταί. αὗται* M.

Digitized by Google

λων; τινὲς μὲν ἀγνοοῦσαι τοῦτο, τινὲς δὲ καὶ ἐπιστάμεναι; καὶ
οὐδεὶς δοῦλός ἐστιν, ἀλλὰ μονονοὐκ Ἀθηναῖος, τῶν οὕτω γεν-
4 νηθέντων. ἀλλ' ἐγώ σου, ἔφη, καὶ τὴν μητέρα ἐπίσταμαι 236 M.
ὁμόδουλον τοῦ πατρός. εἶεν, ἔφη· τὴν δὲ σαυτοῦ οἶσθα;
πάνυ μὲν οὖν· ἀστὴν ἐξ ἀστῶν καὶ προῖκα ἱκανὴν ἐπενηνεγμέ-
νην. ἦ καὶ ἔχοις ἂν ὀμόσας εἰπεῖν, εἰ, ἐξ οὗ φησιν ἐκείνη,
ἐκ τούτου γέγονας; ὁ μὲν γὰρ Τηλέμαχος οὐ πάνυ ἠξίου δια-
τείνεσθαι ὑπὲρ Πηνελόπης τῆς Ἰκαρίου, σφόδρα σώφρονος
δοκούσης γυναικὸς, ὅτι ἀληθῆ λέγει τὸν Ὀδυσσέα ἀποφαί-
νουσα αὑτοῦ πατέρα· σὺ δὲ οὐ μόνον ὑπὲρ σαυτοῦ ἂν καὶ
τῆς σῆς μητρὸς, ἐὰν κελεύσῃ σέ τις, ὀμόσαις ὡς ἔοικεν,
ἀλλὰ καὶ περὶ δούλης ἡστινοσοῦν, ἐξ ὅτου ποτὲ ἐκύησεν,
5 ὥσπερ ἣν λέγεις ἐμὴν εἶναι μητέρα. ἀδύνατον γάρ σοι δοκεῖ
εἶναι ἐξ ἄλλου ἀνδρὸς κυῆσαι ἐλευθέρου ἢ καὶ τοῦ αὑτῆς
δεσπότου. οὐ πολλοὶ Ἀθηναίων συγγίγνονται θεραπαίναις
αὑτῶν, οἱ μέν τινες κρύφα, οἱ δὲ καὶ φανερῶς; οὐ γὰρ δήπου
βελτίους εἰσὶ πάντες τοῦ Ἡρακλέους, ὃς οὐδὲ τῇ Ἰαρδάνου
δούλῃ συγγενέσθαι ἀπηξίωσεν, ἐξ ἧς ἐγένοντο οἱ Σάρδεων
6 βασιλεῖς. ἔτι δὲ οὐ δοκεῖ σοι, ὡς ἔοικε, Κλυταιμνήστρα,
Τυνδάρεω μὲν θυγάτηρ, γυνὴ δὲ Ἀγαμέμνονος, μὴ μόνον
Ἀγαμέμνονι συνεῖναι, τῷ αὑτῆς ἀνδρὶ, ἀλλὰ καὶ ἀποδημή-
σαντος ἐκείνου Αἰγίσθῳ συγγενέσθαι, καὶ Ἀερόπη, ἡ Ἀτρέως
γυνὴ, τὴν Θυέστου προσδέξασθαι ὁμιλίαν, καὶ ἄλλαι πολλαὶ
καὶ πάλαι καὶ νῦν ἐνδόξων καὶ πλουσίων ἀνδρῶν γυναῖκες
ἑτέροις συγγίγνεσθαι καὶ παῖδας ἐνίοτε ἐξ ἐκείνων ποιεῖσθαι· 447 R.
ἣν δὲ σὺ λέγεις θεράπαιναν οὕτω πάνυ ἀκριβῶς φυλάττειν
τὰ πρὸς τὸν ἄνδρα τὸν αὑτῆς, ὥστε μὴ ἂν ἑτέρῳ συγγενέ-
7 σθαι. ἔτι δὲ καὶ περὶ σαυτοῦ καὶ περὶ ἐμοῦ διαβεβαιοῖς, ὡς

2. μονονοὐκ BMA. r, μονονοῦ reliq. ‖ οὕτω. οὕτως M. — 4, 1. σου MA. r, σοι reliq. ‖ 4. ἦ καὶ. καὶ om. B. ‖ ἔχοις. ἔχεις B. ‖ ὀμόσας. ὀνομάσας (mrg. vulg.) M. ‖ εἰ (mrg. vulg.) M, om. B, ὡς reliq. ‖ 5. διατείνεσθαι. διαγενέσθαι M. ‖ 8. ἂν καὶ Geel., καὶ (mrg. ἀλλὰ καὶ) M, ἀλλὰ καὶ reliq., Reiskius delebat v. σαυτοῦ ἀλλὰ καὶ. ‖ 9. ὀμόσαις ὡς ἔοικεν Geel., ὀμόσαι ἴσως ἔοικεν M, ὀμόσαι ἴσως ἔοικεν B, ὀμόσαι ἴσως ἔοικας reliq. ‖ 11. ἐμὴν εἶναι BM, εἶναι om. reliq. — 5, 3. οὐ om. M. ‖ συγγίγνονται BM, συγγίνονται reliq. ‖ 4. αὑτῶν. αὐτῶν M. ‖ οὐ γάρ. οἱ γὰρ M. ‖ 5. Ἰαρδάνου. ἄρ ἂν οὐ M, ἀρδάνου B, Ἀρδαύου A. ‖ 6. Σάρδεων B, Σαρδέων reliq. — 6, 4. Αἰγίσθῳ. αἰγίστω M. ‖ 7. συγγίγνεσθαι M, συγγίνεσθαι reliq. ‖ 8. οὕτω. οὕτως M. ‖ 9. αὑτῆς. αὐτῆς M. ‖ συγγενέσθαι BM, συγγίνεσθαι reliq. — 7, 1. διαβεβαιοῖς. διαβεβαίοι M.

ἑκάτερος ἡμῶν ἐστι τῆς δοκούσης καὶ λεγομένης μητρός. καί-
τοι πολλοὺς Ἀθηναίων ἔχοις ἂν εἰπεῖν καὶ τῶν πάνυ γνωρί-
μων, οἳ ἐφάνησαν ὕστερον οὐ μόνον πατρὸς, ἀλλὰ καὶ μη-
τρὸς οὐχ ἧς ἐλέγοντο, ὑποβολιμαῖοί ποθεν τραφέντες. καὶ
ταῦτα σὺ ἑκάστοτε ὁρᾷς δεικνύμενα καὶ λεγόμενα ὑπὸ τῶν
κωμῳδιοδιδασκάλων καὶ ἐν ταῖς τραγῳδίαις, καὶ ὅμως οὐδὲν 231 M.
ἧττον ἰσχυρίζῃ καὶ περὶ σαυτοῦ καὶ περὶ ἐμοῦ ὡς εὖ εἰδὼς,
8 ὅπως γεγόναμεν καὶ ἐκ τίνων. οὐκ οἶσθα, ἔφη, ὅτι κακηγο-
ρίας δίδωσιν ὁ νόμος γράψασθαι τοῦτον, ὃς ἂν βλασφημῇ
τινα οὐκ ἔχων ἀποδεῖξαι περὶ ὧν λέγει σαφὲς οὐδέν; καὶ ὅς·
ἐπίστασαι γὰρ, ἔφη, ὅτι αἱ μὲν ἐλεύθεραι γυναῖκες ὑποβάλ-
λονται πολλάκις δι' ἀπαιδίαν, ὅταν μὴ δύνωνται αὐταὶ κυῆ-
σαι, βουλομένη κατασχεῖν ἑκάστη τὸν ἄνδρα τὸν ἑαυτῆς καὶ
τὸν οἶκον καὶ ἅμα οὐκ ἀποροῦσαι, ὁπόθεν τοὺς παῖδας θρέ-
ψωσι· τὰς δὲ δούλας τοὐναντίον, τὰς μὲν πρὸ τοῦ τόκου
διαφθειρούσας, τὰς δὲ ὕστερον, ἐὰν δύνωνται λαθεῖν, τὸ
γενόμενον, εἴτε καὶ τῶν ἀνδρῶν συνειδότων, ὅπως μὴ πρά-
γματα ἔχωσι παιδοτροφεῖν ἀναγκαζόμεναι πρὸς τῇ δουλείᾳ.
9 καὶ μὰ Δία, ἔφη. πλήν γε τῆς Οἰνέως τοῦ Πανδίονος, εἶπε,
νόθου παιδός. ὁ γὰρ ἐκείνου νομεὺς ὁ ἐν ταῖς Ἐλευθεραῖς
καὶ ἡ γυνὴ ἡ τοῦ νομέως οὐ μόνον οὐκ ἐξετίθεσαν αὐτοὶ γεν- 148 R
νήσαντες, ἀλλὰ καὶ ἀλλότρια εὑρόντες ἐν τῇ ὁδῷ παιδία, οὐκ
εἰδότες ὅτου ποτὲ ἦσαν, ἀνελόμενοι ἔτρεφον ὡς αὐτῶν, καὶ
οὐδὲ ὕστερον ἑκόντες οὐδέποτε ὡμολόγησαν, ὅτι ἀλλότριοι
ἦσαν. σὺ δὲ ἴσως καὶ τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα ἐλοιδό-
ρεις ἂν πρὶν φανεροὺς γενέσθαι καὶ διώμνυσο ὡς περὶ δού-
10 λων τῶν τοῦ Διὸς υἱέων. καὶ ὃς γελάσας πάνυ εἰρωνικῶς·
τοὺς τραγῳδοὺς, ἔφη, καλεῖς μάρτυρας. οἷς γε πιστεύουσιν,

7. κωμῳδιοδιδασκάλων. κωμῳδοδιδασκάλων M. ‖ 8. ἰσχυρίζῃ. ἰσχυρίζει B. — 8, 1. κακηγορίας Reisk., κατηγορίας reliq. ‖ 2. δίδωσιν. δίδοσιν M. ‖ 3. ἀποδεῖξαι. ἀποδῖξαι M. ‖ 4. ἐπίστασαι Geel., ἐπίσταμαι reliq. ‖ ἐλεύθεραι. ἐλευθερίαι M. ‖ 5. αὐταί. αὐτῇ M. ‖ 7. ὁπόθεν BM, ὅθεν reliq. ‖ 9. διαφθειρούσας. διαφθαρείσας M. ‖ 10. γενόμενον B. Selden. (idem γεννώμενον), γενόμενος M, γινόμενον reliq. ‖ εἴτε. sic dedi. ἔτι δὲ Reisk., ἔτι reliq. ‖ 11. ἀναγκαζόμεναι BM (corr. ἀναγκαζόμενοι), ἀναγκαζόμενοι reliq. — 9, 1. Οἰνέως M (mrg. οἰήσεως). Selden. r, οἰήσεως reliq. ‖ Πανδίονος MA, Πανδίωνος reliq. ‖ εἶπε. εἶπεν M, εἴπερ Geelius. nimirum vulgo post ἔφη comma exarabatur. ‖ 2. Ἐλευθεραῖς B, Ἐλευθέραις reliq. ‖ 4. παιδία. παιδεία M. ‖ 7. δὲ ἴσως. δ' ἴσως M. ‖ Ἀμφίονα BA, ἀμφείονα M, Ἀμφίωνα reliq. ‖ ἐλοιδόρεις. ἐλοιδόροις M. ‖ 8. διώμνυσο. διόμνυσο M.

εἶπεν, οἱ Ἕλληνες. οὓς γὰρ ἐκεῖνοι ἀποδεικνύουσιν ἥρωας,
τούτοις φαίνονται ἐναγίζοντες ὡς ἥρωσι, καὶ τὰ ἡρῷα ἐκεί-
νοις ᾠκοδομημένα ἰδεῖν ἔστιν. ὅμως δὲ ἐννόησον, εἰ βούλει,
καὶ τὴν Φρυγίαν τὴν Πριάμου δούλην, ἣ τὸν Ἀλέξανδρον ἐν
τῇ Ἴδῃ ἐξέθρεψεν ὡς αὑτῆς υἱέα λαβοῦσα παρὰ τοῦ ἀνδρὸς
βουκόλου ὄντος καὶ τὴν παιδοτροφίαν οὐ χαλεπῶς ἔφερεν.
Τήλεφον δὲ, τὸν Αὔγης καὶ Ἡρακλέους, οὐχ ὑπὸ γυναικὸς,
ἀλλ' ὑπὸ ἐλάφου τραφῆναι λέγουσιν. ἢ δοκεῖ σοι ἔλαφος
μᾶλλον ἐλεῆσαι ἂν βρέφος καὶ ἐπιθυμῆσαι τρέφειν ἢ ἄνθρω-
11 πος, ἐὰν τύχῃ δούλη οὖσα; φέρε δὴ πρὸς θεῶν· εἰ δὲ δὴ προσ-
ομολογήσαιμί σοι τούτους εἶναί μου γονέας οὓς σὺ φῄς, 238 M.
πόθεν οἶσθα περὶ τῆς ἐκείνων δουλείας; ἢ καὶ τοὺς γονέας
αὐτῶν ἠπίστω σαφῶς καὶ ἕτοιμος εἶ καὶ περὶ ἐκείνων κατό-
μνυσθαι ἑκατέρου, ὅτι ἐξ ἀμφοῖν δούλοιν γεγόνασιν ἀμφό-
τεροι, καὶ τοὺς ἔτι πρότερον καὶ ἐξ ἀρχῆς ἅπαντας; δῆλον γὰρ,
ὡς, ἐάν περ ἐλεύθερος ᾖ τις τῶν ἐκ τοῦ γένους, οὐκέτι οἷόν
τε τοὺς ἀπ' ἐκείνου δούλους ὀρθῶς νομίζεσθαι. τοῦτο δὲ
οὐ δυνατόν ἐστιν, ὦ βέλτιστε, ὥς φασιν, ἐκ τοῦ παντὸς αἰῶ- 449 R.
νος εἶναί τι γένος ἀνθρώπων, ἐν ᾧ οὐκ ἄπειροι μὲν ἐλεύθεροι
γεγόνασιν, οὐκ ἐλάττους δὲ τούτων οἱ δεδουλευκότες, καὶ νὴ
Δία τύραννοι καὶ βασιλεῖς καὶ δεσμῶται καὶ στιγματίαι καὶ
κάπηλοι καὶ σκυτοτόμοι καὶ τἆλλα ὅσα ἐν ἀνθρώποις ἐστὶν,
ἁπάσας μὲν ἐργασίας, ἅπαντας δὲ βίους, ἁπάσας δὲ τύχας
12 καὶ ξυμφορὰς μετηλλαχότες. ἢ οὐκ οἶσθα, ὅτι τούτου ἕνεκεν
τὰ τῶν ἡρώων λεγομένων γένη εὐθὺς εἰς θεοὺς οἱ ποιηταὶ
ἀναφέρουσιν, ὥστε μηκέτι ἐξετάζεσθαι τὸ προσωτέρω; καὶ
τούς γε πλείονας αὐτῶν φασιν ἐκ Διὸς γεγονέναι, ἵνα μὴ αὐ-
τοῖς οἵ τε βασιλεῖς καὶ οἱ οἰκισταὶ τῶν πόλεων καὶ ἐπώνυμοι
εἰς τοιαῦτα ἐμπίπτωσιν, ἃ δοκεῖ παρὰ τοῖς ἀνθρώποις ὀνείδη

10, 6. ἦ B, ἣ M, ἡ relig. ‖ 7. αὑτῆς. αὐτῆς M. ‖ 8. οὐ χαλεπῶς. οὐχ ἁπλῶς B. ‖ 10. ἤ. εἰ M. ‖ 11. καὶ a corr. add. M. ‖ 12. δούλη οὖσα M, δούλης οὖσα B, δούλη om. reliq. — 11, 2. μου om. B. ‖ 3. ἤ. ἦ B. ‖ 5. δούλοιν. δοῦλοι BM. ‖ γεγόνασιν. γεγόνασαν (corr. vulg.) M. ‖ 7. οἷόν τε. οἴονται M. ‖ 8. ἐκείνου BM. Reisk., ἐκείνων reliq. ‖ 9. ἐστιν M, ἐστι reliq. ‖ 13. τἆλλα. τὰ ἄλλα M. ‖ ἐν. ἂν ἐν M. ‖ 14. ἐργασίας M (mrg. εὐεργεσίας). Reisk., γὰρ εὐεργεσίας B, εὐεργεσίας reliq. — 12, 1. ὅτι τούτου BM. Reisk., ὅτι om. reliq. ‖ 3. προσωτέρω Obs. p. 28, πρόσω Reisk., πρόσωπον reliq., ποδαπόν Geel. ‖ 4. πλείονας. πλέονας (superscr. vulg.) M. ‖ 5. καὶ οἱ. οἱ om. M. ‖ 6. ὀνείδη. εἴδη M.

by Google

εἶναι. ὥστε, εἴπερ οὕτως ἔχει τὰ τῶν ἀνθρώπων, ὡς ἡμεῖς
τε καὶ ἄλλοι σοφώτεροι ἡμῶν φασιν, οὐδὲν ἂν μᾶλλόν σοι
προσήκοι ἐλευθερίας κατὰ γένος ἢ ὁτῳοῦν τῶν σφόδρα δο-
κούντων οἰκετῶν· εἰ μὴ ἄρα καὶ σὺ φθάσεις ἀναγαγὼν εἰς
Δία ἢ Ποσειδῶνα ἢ Ἀπόλλωνα τοὺς σαυτοῦ προγόνους· οὐδέ
13 γε ἐμοὶ δουλείας. τὸ μὲν τοίνυν, ἔφη, τοῦ γένους καὶ τὸ τῶν
προγόνων ἐῶμεν, ἐπειδὴ οὕτω σοι δοκεῖ ἀστάθμητον εἶναι·
ἴσως γάρ τοι ἀναφανήσῃ ὥσπερ Ἀμφίων καὶ Ζῆθος καὶ
Ἀλέξανδρος ὁ Πριάμου γεγονώς. ἀλλὰ σέ γε αὐτὸν πάντες 450 R.
ἐπιστάμεθα δουλεύοντα. τί δέ; εἶπε, δοκοῦσί σοι πάντες οἱ
δουλεύοντες δοῦλοι, ἀλλ' οὐ πολλοὶ αὐτῶν ἐλεύθεροι ὄντες
καὶ ἀδίκως; ὧν τινες ἤδη καὶ εἰς δικαστήριον εἰσελθόντες ἀπέ- 239 M.
δειξαν ἐλευθέρους ὄντας ἑαυτούς, οἱ δέ τινες καὶ ἀνέχονται
μέχρι παντός, οὐκ ἔχοντες ἀποδεῖξαι φανερῶς περὶ τῆς ἐλευ-
θερίας, ἢ οἷς ἂν μὴ χαλεποὶ ὦσιν οἱ λεγόμενοι αὐτῶν δεσπό-
14 ται. ἐπεὶ φέρε, Εὔμαιος, ὁ Κτησίου τοῦ Ὀρμένου ἀνδρὸς
πάνυ ἐλευθέρου καὶ πλουσίου παῖς, οὐκ ἐδούλευεν ἐν Ἰθάκῃ
παρ' Ὀδυσσεῖ καὶ Λαέρτῃ; καὶ ἐνὸν αὐτῷ ἀποπλεῦσαι πολ-
λάκις οἴκαδε, εἰ ἐβούλετο, οὐδέποτε ἠξίωσεν; τί δαί; Ἀθη-
ναῖοι πολλοὶ τῶν ἐν Σικελίᾳ ληφθέντων οὐκ ἐδούλευον ἐν
Σικελίᾳ καὶ ἐν Πελοποννήσῳ ἐλεύθεροι ὄντες; καὶ ἐν ἄλλαις
πολλαῖς μάχαις οἱ ἀεὶ αἰχμάλωτοι γιγνόμενοι, οἱ μὲν χρόνον
τινά, ἕως ἂν εὕρωσι τοὺς λυσομένους, οἱ δὲ μέχρι παντός;
15 ὁπότε καὶ ὁ Καλλίου υἱὸς ἔδοξε δουλεῦσαι πολὺν χρόνον ἐπὶ
Θρᾴκης μετὰ τὴν μάχην, ἣν Ἀθηναῖοι περὶ Ἄκανθον ἡττή-
θησαν· ὥστε καὶ ὕστερον διαφυγὼν καὶ ἀφικόμενος ἠμφι-
σβήτει τοῦ κλήρου τοῦ Καλλίου καὶ πολλὰ πράγματα παρεῖχε

9. προσήκοι BM. Reisk., προσήκει reliq. ‖ 10. σὺ φθάσεις. σοι φθάσῃς B. ‖ 11. ἢ BM, ἢ εἰς reliq. ‖ Ποσειδῶνα. ποσιδῶνα M. ‖ σαυτοῦ. αὑτοῦ M. ‖ οὐδέ γε ἐμοὶ δουλείας Obs. p. 28, quod ita probat Geelius, ut post δουλείας quaedam deesse opinetur, οὐδέ γε ἐμοὶ περὶ δουλείας MA, τούς δέ γε ἐμοὶ περὶ δουλείας B, τοῦ δέ γ' ἐμοὶ περὶ δουλείας v, τούς δέ γε ἐμοὶ εἰς δούλους mr, unde ἐμοὺς pro ἐμοῦ Reisk. — 13, 1. τοῦ γένους. γένος m. ‖ 2. οὕτω. οὕτως M. ‖ 3. ἀναφανήσῃ. ἀναφανήσει M. ‖ 5. δουλεύοντα. δουλεύονται M. ‖ δέ. δαί B. ‖ 6. δοῦλοι om. M. ‖ 7. ἀδίκως BM, ἀδίκως δουλεύοντες reliq. ‖ εἰσελθόντες BMA, ἐλθόντες reliq. ‖ 8. ὄντας. ὄντες M. ‖ 10. μὴ χαλεποί. sic dedi. idem Pflugk., χαλεποὶ οὐκ Casaub. r, χαλεποὶ reliq. — 14, 2. ἐδούλευεν BM, ἐδούλευσεν reliq. ‖ 4. ἠξίωσεν M, ἠξίωσε reliq. ‖ δαί. δέ M. ‖ 7. γιγνόμενοι BM, γινόμενοι reliq. — 15, 4. παρεῖχε. εἶχεν M.

τοῖς ξυγγενέσιν. ἐκεῖνος μὲν, οἶμαι, ψευδόμενος· ἦν γὰρ οὐχ
υἱὸς, ἀλλ' ἱπποκόμος Καλλίου, τὴν δὲ ὄψιν ὅμοιος τῷ τοῦ
Καλλίου μειρακίῳ, ὃ ἔτυχεν ἐν τῇ μάχῃ τελευτῆσαν· ἔτι δὲ
16 ἐλλήνιζεν ἀκριβῶς καὶ γράμματα ἠπίστατο. ἀλλὰ ἕτεροί γε
μυρίοι τοῦτο πεπόνθασιν· ἐπεὶ καὶ τῶν νῦν ἐνθάδε δουλευόν- 451 R.
των οὐκ ἀπογιγνώσκω πολλοὺς εἶναι ἐλευθέρους. οὐ γὰρ ἐὰν
μὲν Ἀθηναίων τις ἁλοὺς κατὰ πόλεμον εἰς Πέρσας ἀπαχθῇ,
ἢ καὶ νὴ Δία ἐὰν εἰς Θρᾴκην ἢ Σικελίαν ἀχθεὶς ἀπεμποληθῇ,
φήσομεν ἐλεύθερον ὄντα δουλεύειν· ἐὰν δὲ Θρᾳκῶν τις ἢ
Περσῶν μὴ μόνον ἐξ ἐλευθέρων γεγονὼς ἐκεῖ δεῦρο ἀχθῇ,
ἀλλὰ καὶ δυνάστου τινὸς ἢ βασιλέως υἱὸς, οὐχ ὁμολογήσομεν
17 ἐλεύθερον εἶναι. οὐκ οἶσθα τὸν Ἀθήνησιν, ἔφη, νόμον, παρὰ
πολλοῖς δὲ καὶ ἄλλοις, ὅτι τὸν φύσει δοῦλον γενόμενον οὐκ
ἐᾷ μετέχειν τῆς πολιτείας; τὸν δὲ Καλλίου υἱὸν, εἴπερ ὄντως
ἐσώθη τότε ἁλοὺς, ἀφικόμενον ἐκ Θρᾴκης, συχνὰ ἔτη γεγο-
νότα ἐκεῖ καὶ πολλάκις μεμαστιγωμένον, οὐδεὶς ἂν ἠξίου τῆς
πολιτείας ἀπελαύνειν ἐνίοτε. ὥστε καὶ ὁ νόμος οὔ φησι δού-
18 λους γεγονέναι τοὺς ἀδίκως δουλεύσαντας. τί δὲ καὶ ποιοῦντά 240 M.
με ἐπίστασαι, πρὸς θεῶν, ἢ τί πάσχοντα, ὅτι με φῂς ἐπίστα-
σθαι δουλεύοντα; τρεφόμενον ἔγωγε ὑπὸ τοῦ δεσπότου καὶ
ἀκολουθοῦντα ἐκείνῳ καὶ ποιοῦντα ὅ τι ποτ' ἐκεῖνος προσ-
τάττοι, εἰ δὲ μὴ, παιόμενον. οὕτω μὲν, ἔφη, καὶ τοὺς υἱοὺς
ἀποφαίνεις δούλους τῶν πατέρων. καὶ γὰρ ἀκολουθοῦσι
πολλοῖς τῶν πενήτων καὶ εἰς γυμνάσιον βαδίζουσι καὶ ἐπὶ δεῖ-
πνον, καὶ τρέφονται πάντες ὑπὸ τῶν πατέρων, καὶ παίονται
πολλάκις ὑπ' αὐτῶν, καὶ πείθονται ὅ τι ἂν ἐκεῖνοι προστάτ- 452 R.
19 τωσιν αὐτοῖς. καίτοι ἕνεκα τοῦ πείθεσθαι καὶ πληγὰς λαμ-
βάνειν καὶ τῶν γραμματιστῶν οἰκέτας φήσεις τοὺς παρ' αὐ-
τοῖς μανθάνοντας, καὶ τοὺς παιδοτρίβας δεσπότας εἶναι τῶν

8. ἐλλήνιζεν BM, ἡλλήνιζεν reliq. — 16, 2. τῶν νῦν Reisk., τῶν νῦν τῶν reliq. ‖ 3. ἀπογιγνώσκω. sic dedi. ἀπογινώσκω reliq. ‖ 4. μὲν BM. Casaub. r, μὴ reliq. ‖ 5. ἢ καὶ B. corr. M. Reisk., καὶ reliq. ‖ ἀπεμποληθῇ. ἀπενποληθῇ M. — 17, 2. τὸν φύσει. φησὶ τὸν BM. ‖ 4. τότε. sic dedi. ποτὲ reliq. ‖ ἀφικόμενον. ἀφικόμενος B. ‖ γεγονότα. γεγονῶτα M. ‖ 5. μεμαστιγωμένον. μεμαστηγωμένον M. ‖ 6. ἐνίοτε. ante hoc v. quaedam excidisse statuit Reisk., τότε Pflugk. p. 8, εὖ ἴστε Iacobs., Geelius transponit post ἀδίκως. tale quid desidero: ἀπελαύνειν. εἰκότως γε. καὶ γὰρ ὁ νόμος. — 18, 1. δὲ. δαὶ B. ‖ 2. ἐπίστασαι. ἐπίστασε M. ‖ 4. προστάττοι BM. Reisk., προστάττει reliq. ‖ 8. τρέφονται. στρέφονται A. ‖ 9. καὶ. ἂν μὴ (et πείθωνται) Reisk. ‖ πείθονται. πίθονται M. — 19, 1. πείθεσθαι. πίθεσθαι M.

*μαθητῶν ἢ τοὺς ἄλλο τι διδάσκοντας. καὶ γὰρ προστάτ-
τουσιν αὐτοῖς καὶ τύπτουσι μὴ πειθομένους. νὴ Δί', ἔφη,
ἀλλ' οὐκ ἔστι τοῖς παιδοτρίβαις οὐδὲ τοῖς ἄλλοις διδασκάλοις
δῆσαι τοὺς μαθητὰς οὐδὲ ἀποδύσθαι οὐδέ γε εἰς μύλωνα
ἐμβαλεῖν· τοῖς δέ γε δεσπόταις ἅπαντα ταῦτα ἐφειμένα ἐστίν.*
20 *ἴσως γὰρ οὐκ οἶσθα, ὅτι παρὰ πολλοῖς καὶ σφόδρα εὐνομου-
μένοις ταῦτα ἃ λέγεις ἔξεστι τοῖς πατράσι περὶ τοὺς υἱέας,
καὶ δὴ καί, ἐὰν βούλωνται, καὶ ἀποδίδοσθαι καὶ ὃ ἔτι τούτων
χαλεπώτερον· ἐφεῖται γὰρ αὐτοῖς ἀποκτεῖναι μήτε κρίναντας
μήτε ὅλως αἰτιασαμένους· ἀλλ' ὅμως οὐδὲν μᾶλλον δοῦλοί εἰσι
τῶν πατέρων, ἀλλὰ υἱεῖς. εἰ δὲ δὴ ὅτι μάλιστα ἐδούλευον
καὶ δοῦλος ἐξαρχῆς ὑπῆρχον δικαίως, τί με, ἔφη, κωλύει νῦν
ἐλεύθερον εἶναι μηδενὸς ἔλαττον, σὲ δὲ αὖ τοὐναντίον, εἰ
καὶ σφόδρα ἐξ ἐλευθέρων ἦσθα, δοῦλον εἶναι παντὸς μᾶλλον;*
21 *ἐγὼ μέν, εἶπεν, οὐχ ὁρῶ, ὅπως ἐλεύθερος ὢν δοῦλος ἔσομαι·
σὲ δὲ οὐκ ἀδύνατον ἐλεύθερον γεγονέναι ἀφέντος τοῦ δεσπό-
του. τί δέ, ὦ λῷστε, ἔφη, οὐθεὶς ἂν γένοιτο ἐλεύθερος μὴ
ὑπὸ τοῦ δεσπότου ἀφεθείς; πῶς γάρ; εἶπεν. ὅπως Ἀθηναίων* 453 R.
*ψηφισαμένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην τοὺς συμπολεμή-
σοντας οἰκέτας ἐλευθέρους εἶναι, εἰ προὔβη ὁ πόλεμος, ἀλλὰ* 241 M.
*μὴ διελύσατο θᾶττον ὁ Φίλιππος πρὸς αὐτούς, πολλοὶ ἂν τῶν
Ἀθήνησιν οἰκετῶν ἢ μικροῦ πάντες ἐλεύθεροι ἦσαν, οὐχ ὑπὸ
τοῦ δεσπότου ἕκαστος ἀφεθείς. ἔστω τοῦτό γε, εἰ δημοσίᾳ*
22 *σε ἡ πόλις ἐλευθερώσει. τί δέ; ἐμαυτὸν οὐκ ἂν σοι δοκῶ
ἐλευθερῶσαι; εἴ γε ἀργύριόν ποθεν καταβάλοις τῷ δεσπότῃ.
οὐ τοῦτόν φημι τὸν τρόπον, ἀλλὰ ὅνπερ Κῦρος οὐ μόνον
ἑαυτόν, ἀλλὰ καὶ Πέρσας ἅπαντας ἠλευθέρωσε, τοσοῦτον
ὄχλον, οὔτε ἀργύριον οὐδενὶ καταβαλὼν οὔτε ὑπὸ τοῦ δεσπό-
του ἀφεθείς. ἢ οὐκ οἶσθα, ὅτι λυχνοποιὸς ἦν Κῦρος Ἀστυά-*

8. *ἅπαντα*. *ἅπαντας* m. ‖ *ἐφειμένα*. *ἐφημένα* M. — 20, 2. *υἱέας*. *ὑέας* M. ‖ 3. *καὶ δὴ καὶ* BMA, *καὶ δεῖν* reliq. ‖ *ὅ ἔτι* Pflugk. p. 8, *ὅ τι* reliq. ‖ 5. *μᾶλλον*. *ἧττον* BMA, malim *ἧττον οὐ*. ‖ 6. *υἱεῖς*. *ὑεῖς* M. ‖ 7. *δοῦλος* r, *δοῦλοι* reliq. ‖ 8. *σέ*. *σὺ* B. — 21, 2. *γεγονέναι* BM, *γενέσθαι* reliq. ‖ 3. *δὲ* M, *δαὶ* reliq. ‖ *ὦ λῷστε*. *ἄλλως τε* M. ‖ 5. *Χαιρονείᾳ*. *χαιρωνία* M. ‖ *συμπολεμήσοντας* Kays. ad Philostr. V. S. p. 256, *συμπολεμήσαντας* reliq. ‖ 7. *μή*. *εἰ μὴ* BM. ‖ 9. *εἰ*. *ἡ* M. ‖ 10. *πόλις*. *πόλεις* M. — 22, 1. *δέ* M, *δαὶ* reliq. ‖ 2. *καταβάλοις* B, *καταβάλλοις* reliq. ‖ 3. *οὐ τοῦτόν* M. Obs. p. 28, *οὐ* om. reliq. ‖ *ὅνπερ*. *ὅπερ* M. ‖ 4. *ἠλευθέρωσε*. *ἐλευθέρωσε* BM. ‖ 6. *λυχνοποιὸς* suspectum. ‖ *Κῦρος* BM, *ὁ Κῦρος* reliq.

γον, καὶ ὁπότε μὲν ἠδυνήθη καὶ ἔδοξεν αὐτῷ, ἐλεύθερος ἅμα
23 καὶ βασιλεὺς ἐγένετο τῆς Ἀσίας ἁπάσης; εἶεν. ἐμὲ δὲ πῶς φὴς
δοῦλον ἂν γενέσθαι; ὅτι μυρίοι δήπου ἀποδίδονται ἑαυτοὺς
ἐλεύθεροι ὄντες, ὥστε δουλεύειν κατὰ συγγραφὴν ἐνίοτε ἐπ'
οὐδενὶ τῶν μετρίων, ἀλλ' ἐπὶ πᾶσι τοῖς χαλεπωτάτοις. τέως
μὲν οὖν προσεῖχον τοῖς λόγοις οἱ παρόντες, ὡς οὐ μετὰ σπου-
δῆς λεγομένοις μᾶλλον ἢ μετὰ παιδιᾶς· ὕστερον δὲ ἐφιλονεί-
κουν, καὶ ἐδόκει ἄτοπον εἶναι, εἰ μηδὲν ἔσται εἰπεῖν τεκμή-
ριον, ᾧ τις ἀναμφιλόγως διακρίνῃ τὸν δοῦλον ἀπὸ τοῦ ἐλευ-
θέρου, ἀλλ' εὐμαρὲς ἔσοιτο περὶ παντὸς ἀμφισβητεῖν καὶ
24 ἀντιλέγειν. ἀφέντες οὖν ὑπὲρ ἐκείνου σκοπεῖν καὶ τῆς ἐκεί-
νου δουλείας ἐσκόπουν, ὅστις εἴη δοῦλος. καὶ ἐδόκει αὐτοῖς, 434 R.
ὃν ἄν τις ᾖ κεκτημένος κυρίως, ὥσπερ ἄλλο τι τῶν αὑτοῦ
χρημάτων ἢ βοσκημάτων, ὥστε ἐξεῖναι αὐτῷ χρῆσθαι ὅ τι
βούλεται, οὗτος ὀρθῶς λέγεσθαί τε καὶ εἶναι δοῦλος τοῦ
κεκτημένου. πάλιν οὖν ἠμφεσβήτει ὁ περὶ τῆς δουλείας ἀντι-
λέγων, ὅ τι ποτε εἴη τὸ κύριον τῆς κτήσεως. καὶ γὰρ οἰκίαν
καὶ χωρίον καὶ ἵππον καὶ βοῦν πολλοὺς ἤδη φανῆναι τῶν
κεκτημένων πολὺν χρόνον οὐ δικαίως ἔχοντας, ἐνίους δὲ καὶ
παρὰ τῶν πατέρων παρειληφότας· οὕτω δὴ καὶ ἄνθρωπον
25 εἶναι ἀδίκως κεκτῆσθαι. καὶ γὰρ δὴ τῶν κτωμένων τοὺς οἰ-
κέτας, ὥσπερ καὶ τὰ ἄλλα ξύμπαντα, οἱ μὲν παρ' ἄλλων λαμ- 242 M.
βάνουσιν ἢ χαρισαμένου τινὸς ἢ κληρονομήσαντες ἢ πριά-
μενοι, τινὲς δὲ ἐξ ἀρχῆς τοὺς παρὰ σφίσι γεννηθέντας, οὓς
οἰκογενεῖς καλοῦσιν. τρίτος δὲ κτήσεως τρόπος, ὅταν ἐν πολέμῳ
λαβὼν αἰχμάλωτον ἢ καὶ λῃσάμενος, κατὰ τοῦτον τὸν τρόπον

7. μὲν BM (mrg. γε). A, γε reliqui. malim γ' ἐνεθυμήθη (pro μὲν ἠδυνήθη). — 23, 1. πῶς BM (corr. πῶς ἂν), πῶς ἂν reliq. ‖ φῄς. φαίης Pflugk. ‖ 2. ἂν BM, om. reliq. ‖ ὅτι. haec Reiskius cum antecedentibus non recte cohaerere iudicavit. si quid mutandum, possit ὅπως. οὐχὶ (ut interrogantis) Pflugk. ‖ 6. παιδιᾶς. παιδείας M. ‖ ἐφιλονείκουν. ἐφιλονίκουν M. ‖ 7. εἰ om. M. ‖ ἔσται. ἔστε M. ‖ 8. διακρίνῃ BM. Reisk., διακρίνει reliq. — 24, 3. τις ᾖ Iacobs., τις ἔχῃ Reisk., τις reliq., ᾖ post κυρίως interponebat Casaub. ‖ αὑτοῦ. αὐτοῦ M. ‖ 5. οὗτος. οὕτως B. ‖ 6. ἠμφεσβήτει M, ἠμφισβήτει reliq. ‖ 8. φανῆναι. φανεῖναι vm. ‖ 9. ἐνίους BM, ἐνίοτε reliq. ‖ 10. οὕτω. οὕτως M. — 25, 1. τοὺς Reisk., εἶναι τοὺς reliq., οἶμαι τοὺς Iacobs. ‖ 2. τὰ ἄλλα BM, τἄλλα reliq. ‖ παρ' ἄλλων Reisk., γὰρ ἄλλως reliq. ‖ 3. χαρισαμένου M (corr. χρισαμένου). Reisk., χρησαμένου reliq. ‖ κληρονομήσαντες ἢ πριάμενοι Reisk., κληρονομήσαντος ἢ πριαμένου reliq. ‖ 4. τοὺς. malim τρέφουσι. ‖ 6. λῃσάμενος. sic dedi. ληϊσάμενος reliq.

ἔχῃ καταδουλωσάμενος, ὅσπερ οἶμαι πρεσβύτατος ἁπάντων
ἐστίν. τοὺς γὰρ πρώτους γενομένους δούλους οὐκ εἰκὸς ἐκ
δούλων φῦναι τὴν ἀρχὴν, ἀλλὰ ὑπὸ λῃστείας ἢ πολέμου κρα-
τηθέντας, οὕτως ἀναγκασθῆναι δουλεύειν τοῖς λαβοῦσιν.
26 οὐκοῦν οὗτος ὁ παλαιότατος τρόπος, ἐξ οὗ πάντες οἱ λοιποὶ
ἤρτηνται, σφόδρα ἀσθενὴς καὶ οὐδὲν ἔχων ἰσχυρόν· ὅταν γάρ
ποτε δυνηθῶσιν ἐκεῖνοι πάλιν ἀποφυγεῖν, οὐδὲν κωλύει ἐλευ- 455 R.
θέρους εἶναι αὐτοὺς, ὡς ἀδίκως δουλεύοντας· ὥστε οὐδὲ πρό-
τερόν ποτε δοῦλοι ἦσαν. ἐνίοτε δὲ οὐ μόνον αὐτοὶ ἀπέφυγον
τὴν δουλείαν, ἀλλὰ καὶ τοὺς δεσπότας κατεδουλώσαντο. κἀν-
ταῦθα ἤδη, φασὶν, ὀστράκου μεταπεσόντος ἅπαν γίγνεται
τοὐναντίον τῶν πρότερον. εἶπεν οὖν τις τῶν παρόντων, ὅτι
ἐκεῖνοι μὲν αὐτοὶ ἴσως οὐκ ἂν λέγοιντο δοῦλοι, τοῖς δὲ ἐξ
ἐκείνων γενομένοις καὶ τοῖς δευτέροις καὶ τοῖς τρίτοις κυρίως
27 ἂν ἤδη προσήκοι τοῦ ὀνόματος. καὶ πῶς; εἰ μὲν γὰρ τὸ ἁλῶ-
ναι ποιεῖ δουλεύειν, αὐτοῖς τοῖς ἑαλωκόσι μᾶλλον τούτου προσ-
ήκοι ἂν ἢ τοῖς ἐξ ἐκείνων. εἰ δὲ τὸ ἐκ δούλων γεγονέναι,
δηλονότι ἐξ ἐλευθέρων ὄντες τῶν ἑαλωκότων οἱ μετ' αὐτοὺς
οὐκ ἂν εἶεν οἰκέται. καὶ γὰρ δὴ ὁρῶμεν ἐκείνους Μεσσηνίους,
δι' ὅσων ἐτῶν οὐ μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τὴν χώραν
28 ἐκομίσαντο τὴν αὑτῶν. ἐπεὶ γὰρ ἡττήθησαν ἐν Λεύκτροις
ὑπὸ Θηβαίων Λακεδαιμόνιοι, στρατεύσαντες εἰς Πελοπόννη-
σον Θηβαῖοι μετὰ τῶν συμμάχων ἠνάγκασαν τήν τε χώραν
τὴν Μεσσηνίαν ἀποδοῦναι Λακεδαιμονίους, καὶ ὅσοι ἦσαν
ἀπ' ἐκείνων γεγονότες δουλεύοντες πρότερον παρὰ Λακεδαι-
μονίοις, τοὺς Εἵλωτας λεγομένους, κατῴκισαν πάλιν εἰς Μεσ-
σήνην. καὶ ταῦτα οὐδείς φησιν ἀδίκως πεποιηκέναι τοὺς
Θηβαίους, ἀλλὰ παγκάλως καὶ δικαίως. ὥστε, εἴπερ οὗτος ὁ 283 M.
τρόπος οὐ δίκαιός ἐστι τῆς κτήσεως, ἐξ οὗ πάντες οἱ λοιποὶ
τὴν ἀρχὴν ἔχουσι, κινδυνεύει μηδὲ ἄλλος μηθεὶς εἶναι, μηδὲ

7. ὅσπερ. ὥσπερ BM. ‖ 8. ἐστίν M, ἐστί reliq. — 26, 4. ὥστε. ὥς γε Pflugk. ‖ 6. δουλείαν. δουλίαν M. ‖ 7. γίγνεται M, γίνεται reliq. ‖ 10. ἐκείνων BM (mrg. vulg.). A, αὐτῶν reliq. ‖ γενομένοις BMA, γεννωμένοις reliq. — 27, 2. αὐτοῖς M. Reisk., αὐτοὺς reliq. ‖ μᾶλλον τούτου BM, μᾶλλον reliq. ‖ 3. τὸ ἐκ. τὸ ἐκ τῶν B, τὸ ἐκ τοῦ M, ἐκ τῶν A. ‖ 5. ἐκείνους Μεσσηνίους BM, Μεσσηνίους ἐκείνους reliq. ‖ 6. δι' M (ὡς δι' corr.). Casaub. r, ὡς δι' reliq. ‖ 7. αὑτῶν. αὐτῶν M. — 28, 4. Λακεδαιμονίους. Λακεδαιμονίοις B. ‖ 5. δουλεύοντες. δουλεύοντας (superscr. vulg.) M. ‖ παρὰ Λακεδαιμονίοις Reisk., γὰρ Λακεδαιμόνιοι reliq.

29 τῷ ὄντι κατ' ἀλήθειαν δοῦλος λέγεσθαι. ἀλλὰ μὴ οὐχ οὕτως
ᾖ λεγόμενος ἐξ ἀρχῆς ὁ δοῦλος, ὑπὲρ ὅτου ἀργύριόν τις τοῦ
σώματος κατέβαλεν ἢ ὃς ἂν ἐκ δούλων λεγομένων ᾖ γεγονώς, 456 R.
ὥσπερ οἱ πολλοὶ νομίζουσι, πολὺ δὲ μᾶλλον ὅσπερ ἀνελεύθερος
καὶ δουλοπρεπής. τῶν μὲν γὰρ λεγομένων δούλων πολλοὺς ὁμο-
λογήσομεν δήπου εἶναι ἐλευθερίους, τῶν δέ γε ἐλευθέρων
πολλοὺς πάνυ δουλοπρεπεῖς. ἔστι δὲ ὡς περὶ τοὺς γενναίους
καὶ τοὺς εὐγενεῖς. τούτους γὰρ οἱ ἐξ ἀρχῆς ὠνόμασαν τοὺς
εὖ γεγονότας πρὸς ἀρετήν, οὐδὲν πολυπραγμονοῦντες, ἐκ τίνων
εἰσίν· ὕστερον δὲ οἱ ἐκ τῶν πάλαι πλουσίων καὶ τῶν ἐνδόξων
30 ὑπό τινων εὐγενεῖς ἐκλήθησαν. τούτου δὲ σημεῖον σαφέστα-
τον· ἐπὶ γὰρ τῶν ἀλεκτρυόνων καὶ τῶν ἵππων καὶ τῶν κυνῶν
διέμεινε τὸ ὄνομα, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων εἶχε τὸ πα-
λαιόν. ὁ γὰρ ἵππον θεασάμενος θυμοειδῆ καὶ γαῦρον καὶ
πρὸς δρόμον εὖ ἔχοντα, οὐ πυθόμενος, εἴτε ἐξ Ἀρκαδίας
ὁ πατὴρ αὐτοῦ ἔτυχεν ὢν εἴτε ἐκ Μηδίας εἴτε Θετταλός,
φησὶν εὐγενῆ τὸν ἵππον αὐτὸν κρίνων. ὁμοίως δὲ ὃς ἂν
ἔμπειρος κυνῶν, ἐὰν κύνα ἴδῃ ταχεῖαν καὶ πρόθυμον καὶ
συνετὴν περὶ τὸ ἴχνος, οὐθὲν ἐπιζητεῖ, πότερον ἐκ Καρῶν
τὸ γένος ἢ Λάκαινα ἢ ἀλλαχόθεν ποθέν. ἀλλά φησι γεν-
ναίαν τὴν κύνα· τὸ αὐτὸ δὲ τοῦτο ἐπ' ἀλεκτρυόνος καὶ 457 R.
31 τῶν ἄλλων ζῴων. οὐκοῦν δηλονότι καὶ ἐπ' ἀνθρώπων οὕτως
ἔχοι ἄν, ὥστε ὃς ἂν ᾖ πρὸς ἀρετὴν καλῶς γεγονώς, τοῦτον
προσήκει γενναῖον λέγεσθαι, κἂν μηθεὶς ἐπίστηται τοὺς γο-
νέας αὐτοῦ μηδὲ τοὺς προγόνους. ἀλλὰ μὴν οὐχ οἷόν τε γεν-
ναῖον μὲν εἶναί τινα, μὴ εὐγενῆ δὲ τοῦτον, οὐδ' εὐγενῆ ὄντα
μὴ ἐλεύθερον εἶναι. ὥστε καὶ τὸν ἀγεννῆ πᾶσα ἀνάγκη δοῦ-
λον εἶναι. καὶ γὰρ δὴ εἰ τὸ τῆς ἐλευθερίας καὶ τὸ τῆς δου-

11. κατ' BM, καὶ κατ' reliqui. conf. Orat. XIII, 31. — 29, 1. οὕτως BM, οὗτος reliqui, unde ὢν δοῦλος in proximis Iacobs. ‖ 2. τις. τις τιμὴν Reisk. ‖ 4. ὅσπερ ἀνελεύθερος καὶ Reisk., ὥσπερ ὁ ἐλεύθερος καὶ reliq., ὅσπερ ὢν ἐλεύθερός ἐστι Iacobs. ‖ 7. ἔστι δὲ ὡς περὶ Prog. p. 28, ἔτι δὲ ὥσπερ reliqui Pflugkius infra scribit εὐγενεῖς, τούτους οἱ ἐξ ἀ. ‖ 9. οὐδὲν. οὐδὲ BM. ‖ 10. πάλαι BM, πάνυ reliq. — 30, 4. ὁ. καὶ Reisk. ‖ γὰρ ἵππον Reisk., ἵππον om. reliq. ‖ 6. ἔτυχεν BM, ἐτύγχανεν reliq. ‖ 7. αὐτόν. αὐτοῦ BMA. ‖ 8. ἔμπειρος. ἔμπειρος M. ‖ ἐὰν BMA. r, om. vm, ὢν Pflugk. ‖ 9. περί. ἐπὶ B. ‖ 10. Λάκαινα. λάκενα M. — 31, 1. καὶ ἐπ'. καὶ om. M. ‖ 2. ἔχοι ἂν BM. r, ἔχοιεν ἂν reliq. ‖ καλῶς. καλὸς B. ‖ 3. ἐπίστηται. ἐπίστητε M. ‖ 6. πᾶσα Reisk., πάντα reliq. ‖ 7. ἐλευθερίας καὶ τὸ τῆς δουλείας BM, δουλείας καὶ τῆς ἐλευθερίας reliq., ὄνομα addebat Reisk.

Digitized by Google

λείας ἔθος ἦν ἐπί τε ἵππων λέγεσθαι καὶ ἀλεκτρυόνων καὶ
κυνῶν, οὐκ ἂν ἄλλους μὲν γενναίους εἶναι ἐλέγομεν, ἄλλους 244 M
δὲ ἐλευθέρους, οὐδὲ ἄλλους μὲν δούλους, ἄλλους δὲ ἀγεννεῖς.
32 ὁμοίως δὴ καὶ ἐπ' ἀνθρώπων οὐκ ἄλλους μὲν εἰκός ἐστι γενναίους καὶ εὐγενεῖς λέγειν, ἄλλους δὲ ἐλευθέρους, ἀλλὰ τοὺς αὐτούς, οὐδὲ ἄλλους μὲν ἀγεννεῖς καὶ ταπεινούς, ἄλλους δὲ δούλους. καὶ οὕτω δὴ ἀποφαίνει ὁ λόγος οὐ τοὺς φιλοσόφους μεταφέροντας τὰ ὀνόματα, ἀλλὰ τοὺς πολλοὺς τῶν ἀνοήτων ἀνθρώπων διὰ τὴν ἀπειρίαν.

ΛΟΓΟΣ ις

ΠΕΡΙ ΛΥΠΗΣ.

1 Τὸ μὲν ὑφ' ἡδονῆς κρατεῖσθαι τοὺς πολλοὺς αἰτίαν ἴσως ἔχει· κηλούμενοι γὰρ καὶ γοητευόμενοι παρὰ ταύτῃ μένουσι· τὸ δὲ λύπῃ δεδουλῶσθαι παντελῶς ἄλογον καὶ θαυμαστόν. ὀδυνώμενοι γάρ, καὶ βασανιζόμενοι τῇ χαλεπωτάτῃ πασῶν
βασάνῳ μένομεν ἐν αὐτῇ καὶ τὸν λόγον ἐλευθεροῦντα ἡμᾶς 455 R
καὶ ἀπαλλάσσοντα τῆς ἀλγηδόνος οὐ προσιέμεθα. καίτοι τί μὲν ταπεινότερον ἀνδρὸς λυπουμένου; τί δὲ οὕτως αἰσχρὸν θέαμα; καθικνεῖται γὰρ οἶμαι καὶ τοῦ σώματος τὸ πάθος καὶ τοῦτο συστέλλει καὶ σκυθρωπὸν καὶ δυσειδὲς ὀφθῆναι
2 παρέχει. τὸ δὲ μὴ μόνον εἴκειν τῇ φορᾷ τῆς διανοίας, ἀλλὰ καὶ προσμηχανᾶσθαί τινα ἔξωθεν, οἷον μέλαιναν ἐσθῆτα καὶ συμπλοκὰς χειρῶν καὶ ταπεινὰς καθέδρας, ὡς ὑπὸ τούτων πάντων, ἀναγκάζεσθαι τρόπον τινὰ τὴν διάνοιαν μηδέποτε

10. ἀγεννεῖς BMA, ἀγενεῖς vmr. — 32, 3. ἀγεννεῖς MA, ἀγενεῖς B. vmr.

Orat. XVI. Collati sunt BM. — 1, 4. ὀδυνώμενοι. ὀδυνόμενοι BM. ‖ 5. μένομεν. μένωμεν M. ‖ 6. τί μὲν BM, μὲν om. reliq. ‖ 8. καθικνεῖται γὰρ Casaub., καθικνεῖται καὶ γὰρ BM. m, καθικνεῖται om. v. ‖ σώματος. σώματος καθικνεῖται r. ‖ πάθος. πάχος m. — 2, 1. φορᾷ BM (corr. φθορᾷ). Casaub., φθορᾷ reliq. ‖ 2. τινα Casaub., τινας reliq.

ἀφίστασθαι τῆς λύπης, ἀλλ' ἀεὶ μνημονεύειν καὶ λυπεῖσθαι,
διεγνωκότας ἔσεσθαί τινα ἀπαλλαγὴν τούτου καὶ μὴ πάντως
ἀεὶ φαίνεσθαί τινα αἰτίαν τοῦ πάθους, οὐχὶ σφόδρα εὔηθες:
3 ἢ γὰρ προσήκοντος θάνατος ἢ νόσος οἰκείων τινὸς ἢ καὶ αὐ-
τοῦ, πρὸς δὲ τούτοις ἀδοξία, χρημάτων ἀποβολή, τὸ μὴ περᾶ-
ναί τι τῶν προκειμένων ἢ παρὰ τὸ δέον, ἀσχολία, κίνδυνος,
μυρία ἄλλα [ὅσα] συμβαίνει κατὰ τὸν βίον· καὶ σχεδὸν 245 M.
4 ἀνάγκη τούτων ἀεί τι παρεῖναι. τὸ δὲ τελευταῖον, ἂν ἄρα 459 R.
γίγνηται χρόνος, ἐν ᾧ μηδὲν ἀπαντᾷ δύσκολον, ἀλλά τοι τὸ
προσδοκᾶν αὐτὰ καὶ γιγνώσκειν, ὡς δυνατόν ἐστι συμβῆναι,
καθάψεται τῆς γνώμης τῶν οὕτω διακειμένων. οὔκουν καθ'
ἕκαστον αὐτῶν δεῖ ποιεῖσθαι τὴν παραμυθίαν· ἀνήνυτον γὰρ
τὸ πρᾶγμα [καὶ λυπηρός ἐστιν ὁ βίος]· ἀλλὰ ὅλως ἐξελόντα
τῆς ψυχῆς τὸ πάθος καὶ τοῦτο κρίναντα βεβαίως, ὅτι μὴ λυ-
πητέον ἐστὶ περὶ μηδενὸς τῷ νοῦν ἔχοντι, τὸ λοιπὸν ἐλευθε-
ριάζειν, καὶ πάντων ἄδεια τῶν δυσχερῶν ἔσται. οὐδὲν γὰρ
ἐστιν αὐτὸ δεινὸν, ἀλλὰ ὑπὸ τῆς δόξης καὶ τῆς ἀσθενείας
5 τῆς ἡμετέρας γίγνεται τοιοῦτον. οἱ γοῦν πολλοί, ἐὰν γένηται
τι τῶν νομιζομένων ἀτόπων, ἀεὶ τοῦτον μνημονεύουσι, δυσχε-
ροῦς οὔσης τῆς μνήμης, ὅμοιον δή τι πάσχοντες τοῖς παιδίοις·
καὶ γὰρ ἐκεῖνα τοῦ πυρὸς ἅψασθαι προθυμεῖται, καίτοι
6 σφόδρα ἀλγοῦντα, κἂν ἀφῇς, ἅψεται πάλιν. ὥσπερ οὖν τοῖς
εἰς πόλεμον ἐξιοῦσιν οὐδέν ἐστιν ὄφελος, ἂν γυμνοὶ προελθόν- 460 R.
τες ἔπειτα ἕκαστον τῶν φερομένων βελῶν ἐκκλίνειν ἐθέλωσιν·
οὐ γὰρ ἔνι φυλάττεσθαι πάντα, δεῖ δὲ θώρακος στερεοῦ καὶ
τῆς ἄλλης πανοπλίας, ὥστε, κἂν ἐμπέσῃ τι, μὴ διικνεῖσθαι·

6. ἔσεσθαι M (corr. μὴ ἔσεσθαι). Pflugkius (qui in proximis servat εἰ μή), μὴ ἔσεσθαι reliq. ‖ καὶ μὴ M, εἰ μὴ reliqui, unde τὸ μὴ ἐν τῷ Casaub., ἢ μὴ Selden., καὶ δὴ Wyttenb. ad Plut. Moral. p. 764 Oxon. ‖ 7. φαίνεσθαι. φανήσεσθαι Wyttenb. l. l. — 3, 1. οἰκείων. ἐκείνων BM. mrg. m. ‖ 2. ἀποβολή. ἀποβολῆς M. ‖ περᾶναι Obs. p. 28, παρεῖναι reliq., προϊέναι Pflugk. ‖ 3. τι. ἢ M. ‖ ἢ παρὰ τὸ δέον. ἡ παρὰ τὸ δέον B, om. M. vulgo cum sequentibus copulabantur. ‖ 4. [ὅσα] om. M. — 4, 2. γίγνηται Selden., γιγνώσκεται m, γιγνώσκηται reliq. ‖ τοι τό. τοι om. M. ‖ 3. αὐτὰ BM. mrg. m, αὐτὸ reliq. ‖ γιγνώσκειν M, γινώσκειν reliq. ‖ 4. καθάψεται. καθάψηται m. ‖ οὕτω. οὕτως M. ‖ 6. [καὶ λυπηρός ἐστιν ὁ βίος] suspecta. ‖ 9. ἔσται om. M. ‖ 10. αὐτὸ M. Selden., καθ' αὑτὸ B, αὐτῷ m, αὐτῶν vr. ‖ ἀσθενείας. ἀσθενίας M. ‖ 11. γίγνεται M, γίνεται reliq. — 5, 1. ἐὰν Iacobs., κἂν reliq. ‖ 2. τούτου. τοῦτον M, τοῦτο BA. ‖ 5. κἂν ἀφῇς. καὶ ἐξ ἀφῆς mrg. m. — 6, 2. προελθόντες BM. Reisk., προσελθόντες reliq. ‖ 3. ἐκκλίνειν. ἐκκλείνειν M. ‖ 5. ἐμπέσῃ

τὸν αὐτὸν τρόπον καὶ τοῖς εἰς τὸν βίον προελθοῦσιν οὐχ οἷόν
τε ἐκκλ⸌ί⸍νειν οὐδὲ φυλάττεσθαι, ὥστε ὑπὸ μηδενὸς παίεσθαι
τῶν ἐκ τῆς τύχης, μυρίων ἐφ' ἕκαστον φερομένων, ἀλλὰ δια-
νοίας ἰσχυρᾶς ἐστιν ἡ χρεία, μάλιστα μὲν ἀτρώτου καὶ πρὸς
μηδὲν εἰκούσης, εἰ δὲ μή, μή γε ῥᾳδίως μηδὲ ὑπὸ τοῦ τυχόντος
τιτρωσκομένης· ἐπεὶ πολλάκις ἀνάγκη κεντεῖσθαι καὶ μυρία
7 τραύματα λαμβάνειν. καὶ γὰρ οἱ τοὺς πόδας ἔχοντες ἁπαλοὺς
καὶ παντελῶς ἀτρίπτους, ἔπειτα γυμνοῖς αὐτοῖς βαδίζοντες,
οὐδέποτε τοιαύτην εὑρήσουσιν ὁδὸν, ὥστε μὴ νύττεσθαι μηδὲ
ἀλγεῖν, ἀλλὰ καὶ τὸ τυχὸν αὐτῶν ἅπτεται· τοῖς δὲ ἠσκηκόσιν
οὐδὲ ἡ πάνυ τραχεῖα χαλεπή. τοσούτων οὖν δυσκόλων ὄντων
ἀπὸ τοῦ σώματος ἀρξαμένοις τί δεῖ προσδοκᾶν; ἢ πῶς ἔνεστιν 461 R. 246 M
ἑκάστου τούτων αἰσθανόμενον καὶ ῥᾳδίως ἐνδιδόντα μὴ κακο-
δαιμονέστατον ἁπάντων εἶναι, προσευχόμενον τοῖς θεοῖς, ὅπως
8 μὴ τοῦτο μηδὲ τοῦτο συμβῇ· καθάπερ εἴ τις ἐν ὄμβρῳ πορευό-
μενος σκέπασμα μὲν ἔχοι μηδὲν, εὔχοιτο δὲ μόνον ἕκαστον
τῶν σταλαγμῶν διαφυγεῖν· πολὺ γοῦν τῶν σταλαγμῶν συνε-
χέστερά ἐστι τὰ δυσχερῆ παρὰ τῆς τύχης· ἢ νὴ Δία εἴ τις
πλέων ἀντὶ τοῦ τοῖς οἴαξι προσέχειν καὶ τὸ προσπῖπτον δέ-
χεσθαι καλῶς εὔχοιτο μηδὲν τῶν κυμάτων κατὰ τὴν ναῦν
γενέσθαι. φέρε γάρ, ὦ μάταιε, κἂν πάντα σοι τἆλλα ἔχῃ
κατὰ τρόπον, ἀλλὰ τοῦ γε εἰς τὴν ἐπιοῦσαν ἡμέραν βιώσε-
σθαι τίνα ἔχεις πίστιν καὶ μὴ μεταξὺ πάντων ἀθρόως ἀφαι-
ρεθῆναι τῶν δοκούντων ἀγαθῶν; οὐκοῦν σε περὶ τούτου
πρῶτον προσήκει λυπεῖσθαι καὶ δεδιέναι τὴν ἀδηλότητα τοῦ
9 πράγματος. ἂν δὲ ἐκεῖνο ἐννοηθῇς, ὅτι μηδεὶς ὅλως ἔστι τοῦ
βίου χρόνος, ἀλλὰ πάντες οἱ μακάριοι καὶ λίαν εὐδαίμονες
δόξαντες εἶναι τεθνήκασι, καί σοι πάρεστιν ἤδη τοῦτο τὸ
πέρας, κἂν ἐπὶ πλεῖστον ἔλθῃς τοῦ βίου· πολὺν λῆρον ἡγήσῃ
καὶ μεγάλην εὐήθειαν τὸ νομίζειν ὅλως τι δεινὸν εἶναι τῶν

τι. ἐμπέσῃ σῃ m. ‖ 7. οὐδὲ. καὶ M. ‖ 8. ἀλλά. ἀλλὰ μηδενὸς A, unde ἀλλὰ μήν τινος Morell. ‖ 9. ἐστὶν ἡ B, ἐστὶν ἢ M, ἐστὶ reliq. ‖ 10. μή, μή γε Reisk., μήγε μὴ BMA, μήγε reliq., μή, μηδὲ (aut μή γε) Selden. — 7, 1. καὶ γὰρ om. M. ‖ 2. καὶ παντελῶς om. M. ‖ ἔπειτα. ἐπὶ τὰ M. ‖ 3. νύττεσθαι. κύττεσθαι v, κύπτεσθαι mrg. m. ‖ 5. οὐδὲ ἡ. ἡ om. m. ‖ 8. προσευχόμενον. ἀεὶ προσευχόμενον Iacobs. Add. p. 48. — 8, 5. προσπῖπτον. προσέπιπτον M. ‖ 7. κἂν M. var. l. v, καὶ reliq. ‖ 9. ἀφαιρεθῆναι. ἀφερεθῆναι M. — 9, 1. ἐννοηθῇς BM, ἐνθυμηθῇς reliq. ‖ ὅλως ἔστι BM, ἔστιν ὅλως reliq. ‖ 4. ἡγήσῃ. ἡγήσει M.

γιγνομένων ἢ μέγα ἢ θαυμαστὸν δίχα γε ἑνὸς, τοῦ χωρὶς
λύπης καὶ φόβου καὶ τῶν τοιούτων παθῶν μίαν γοῦν ἡμέραν
10 διαγαγεῖν. τὸν Ἰάσονά φασι χρισάμενον δυνάμει τινὶ,
λαβόντα παρὰ τῆς Μηδείας, ἔπειτα οἶμαι μήτε παρὰ τοῦ
δράκοντος μηδὲν παθεῖν μήτε ὑπὸ τῶν ταύρων τῶν τὸ 462 R.
πῦρ ἀναπνεόντων. ταύτην οὖν δεῖ κτήσασθαι τὴν δύναμιν
παρὰ τῆς Μηδείας, τουτέστι τῆς φρονήσεως, λαβόντα, καὶ
τὸ λοιπὸν ἁπάντων καταφρονεῖν. εἰ δὲ μὴ, πάντα πῦρ ἡμῖν
11 καὶ πάντα ἄϋπνοι δράκοντες. καίτοι τῶν λυπουμένων ἕκαστος
αὐτῷ τὸ συμβεβηκός φησιν εἶναι δεινότατον καὶ μάλιστα
ἄξιον λύπης· καὶ γὰρ τῶν φερόντων ἕκαστος, ὃ φέρει, τοῦτ'
εἶναι δοκεῖ βαρύτατον. ἔστι δὲ ἀσθενοῦς τοῦτο καὶ φαύλου
σώματος. τὸ γὰρ αὐτὸ ἕτερος λαβὼν ἂν ἰσχυρότερος ῥᾳδίως
οἴσει.

ΛΟΓΟΣ ιζ

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ.

1 Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων ὑπὲρ τούτων οἴονται δεῖν 217 M.
λέγειν, ὑπὲρ ὧν ἕκαστος οὐκ ἔχει τὴν ἀληθῆ δόξαν, ὅπως
ἀκούσαντες ὑπὲρ ὧν ἀγνοοῦσι μάθωσι· περὶ δὲ τῶν γνωρίμων
καὶ πᾶσιν ὁμοίως φαινομένων περιττὸν εἶναι διδάσκειν. ἐγὼ
δὲ εἰ μὲν ἑώρων ὑμᾶς οἷς νομίζομεν ὀρθῶς ἔχειν ἐμμένοντας
καὶ μηδὲν ἔξωθεν πράττοντας τῆς ὑπαρχούσης ὑπολήψεως,
οὐδ' ἂν αὐτὸς ᾤμην ἀναγκαῖον εἶναι διατείνασθαι περὶ τῶν
2 προδήλων. ἐπεὶ δὲ οὐχὶ τὴν ἄγνοιαν ὑμᾶς τῶν ἀγαθῶν καὶ 463 R.

6. ἢ μέγα ἢ. μέγα ἢ BM, malim ἢ μέγα καί. — 10, 1. τὸν. καθάπερ τὸν Casaub. ‖ χρισάμενον Reisk., χρησάμενον reliq. ‖ δυνάμει τινι, λαβόντα BM, verba δυνάμει τινὶ ante χρισάμενον collocant reliqui. ‖ 4. δεῖ. δὴ B. ‖ 6. ἁπάντων. πάντων M. — 11, 2. αὐτῷ τὸ BM (nisi quod αὑτῷ), τὸ αὐτῷ reliq.

Orat. XVII. Collati sunt BM. — 1, 1. οἴονται δεῖν Casaub. r, δεῖν om. reliq. ‖ 5. δὲ εἰ. δεῖ M. ‖ ὑμᾶς BM, ἡμᾶς reliq. ‖ οἷς. οἷον m. — 2, 1. ὑμᾶς BM. m, ἡμᾶς reliq.

τῶν κακῶν τοσοῦτον ὁρῶ λυποῦσαν, ὅσον τὸ μὴ πείθεσθαι
τοῖς ὑπὲρ τούτων διαλογισμοῖς μηδὲ ἀκολουθεῖν αἷς ἔχομεν
αὐτοὶ δόξαις, μεγάλην ὠφέλειαν ἡγοῦμαι τὸ συνεχῶς ἀναμι-
μνήσκειν καὶ διὰ τοῦ λόγου παρακαλεῖν πρὸς τὸ πείθεσθαι
καὶ φυλάττειν ἔργῳ τὸ προσῆκον. ὥσπερ γὰρ οἶμαι καὶ τοὺς
ἰατροὺς καὶ τοὺς κυβερνήτας ὁρῶμεν πολλάκις τὰ αὐτὰ προσ-
τάττοντας, καίτοι τὸ πρῶτον ἀκηκοότων οἷς ἂν κελεύωσιν,
ἀλλ' ἐπειδὰν ἀμελοῦντας αὐτοὺς καὶ μὴ προσέχοντας βλέπω-
σιν· οὕτω καὶ κατὰ τὸν βίον χρήσιμόν ἐστι γίγνεσθαι πολ-
λάκις περὶ τῶν αὐτῶν τοὺς λόγους, ὅταν ἴδωσι μὲν οἱ πολλοὶ
3 τὸ δέον, μὴ μέντοι πράττωσιν. οὐ γάρ ἐστι τέλος οὔτε τοῖς
κάμνουσι τὸ γνῶναι τὸ συμφέρον αὐτοῖς, ἀλλ' οἶμαι τὸ χρή-
σασθαι· τοῦτο γὰρ αὐτοῖς παρέξει τὴν ὑγείαν· οὔτε τοῖς
ἄλλοις τὸ μαθεῖν τά τε ὠφελοῦντα καὶ βλάπτοντα πρὸς τὸν
βίον, ἀλλὰ τὸ μὴ διαμαρτάνειν τῇ τούτων αἱρέσει. καθάπερ
γάρ ἐστιν ἰδεῖν τοὺς ὀφθαλμιῶντας ἐπισταμένους μέν, ὅτι
λυπεῖ τὸ προσάγειν τοῖς ὀφθαλμοῖς τὰς χεῖρας, ὅμως δὲ οὐκ
ἐθέλοντας ἀπέχεσθαι· παραπλησίως καὶ περὶ τὰ ἄλλα πρά-
γματα οἱ πολλοὶ καὶ λίαν εἰδότες, ὡς οὐ λυσιτελεῖ τι ποιεῖν,
4 οὐδὲν ἧττον ἐμπίπτουσιν εἰς αὐτό. τίς γοῦν οὐκ οἶδε τὴν
ἀκρασίαν ὡς μέγα ἐστὶ κακὸν τοῖς ἔχουσιν; ἀλλ' ὅμως μυρίους 248 M
ἄν τις ἀκρατεῖς εὕροι. καὶ νὴ Δία γε τὴν ἀργίαν ἅπαντες
ἴσασιν ὡς οὐ μόνον οὐχ οἷά τε πορίζειν τὰ δέοντα πρὸς τὸ
ζῆν, ἀλλ' ὅτι καὶ τὰ ὄντα ἀπόλλυσι· καίτοι τῷ παντὶ πλείους
5 ἔστιν εὑρεῖν τοὺς ἀργοὺς τῶν ἐθελόντων τι πράττειν. ὅθεν 461 R
οἶμαι προσήκει τοὺς ἄμεινον φρονοῦντας ἀεὶ καὶ συνεχῶς
ὑπὲρ τούτων λέγειν, ἐάν πως γένηται δυνατὸν ἐπιστρέψαι καὶ
βιάσασθαι πρὸς τὸ κρεῖττον. ὥσπερ γὰρ ἐν τοῖς μυστηρίοις
ὁ ἱεροφάντης οὐχ ἅπαξ προαγορεύει τοῖς μυουμένοις ἕκαστον
ὧν χρή, τὸν αὐτὸν τρόπον καὶ τοὺς ὑπὲρ τῶν συμφερόντων
λόγους, ὥσπερ τινὰ πρόῤῥησιν ἱεράν, λυσιτελεῖ πολλάκις, μᾶλ-
6 λον δὲ ἀεὶ λέγεσθαι. τὰ γοῦν φλεγμαίνοντα τῶν σωμάτων

2. πείθεσθαι. πίθεσθαι M. ‖ 4. δόξαις. δόξας M. ‖ 9. ἐπειδὰν BM. Geel., ἐπειδὴ reliq. ‖ 10. οὕτω corr. M, οὕτως reliq. ‖ 11. ἴδωσι BM, εἰδῶσι reliq. — 3, 4. τά τε Reisk., τά γε reliq. ‖ 5. τῇ. τῆς M. ‖ 7. ὅμως. ὅμοιως M. ‖ 9. λίαν. λεῖαν M. — 4, 4. οἷα: οἶα B. ‖ 5. ὅτι. ἔτι Reisk. ‖ καίτοι Obs. p. 20, καὶ reliq. ‖ τῷ παντί. sic dedi. τῷ ὄντι reliq. — 5, 7. τινὰ πρόῤῥησιν BM. Reisk., τινα πόῤῥησιν v, τιν' ἀπόῤῥησιν reliqui, τιν' ἀπόῤῥητον πρόῤῥησιν Lobeck. Aglaoph. I. p. 192.

οὐκ εὐθὺς ἐνέδωκε πρὸς τὴν πρώτην καταιόνησιν, ἀλλ' ἂν
συνεχῶς τοῦτο ποιῇ τις, ἐμαλάχθη καὶ ῥᾷον ἔσχεν· οὐκοῦν
ὁμοίως καὶ τὴν ἐν τῇ ψυχῇ τῶν πολλῶν φλεγμονὴν ἀγαπητὸν
εἴ τις δύναιτο πραῦναι διηνεκῶς τῷ λόγῳ χρώμενος. φημὶ δὴ
καὶ περὶ τῆς πλεονεξίας εἰδέναι μὲν ἅπαντας, ὡς οὔτε συμφέ-
ρον οὔτε καλόν ἐστιν, ἀλλὰ τῶν μεγίστων κακῶν αἴτιον, μὴ
μέντοι γε ἀπέχεσθαι μηδὲ ἐθέλειν μηδένα ἀνθρώπων ἴσον
7 ἔχειν τῷ πέλας. καίτοι τὴν μὲν ἀργίαν καὶ τὴν ἀκρασίαν
καὶ καθόλου πάσας ἁπλῶς τὰς ἄλλας κακίας εὕροι τις ἂν
αὐτοῖς τοῖς ἔχουσι βλαβεράς, καὶ νουθεσίας μὲν οἶμαι καὶ
καταγνώσεως τοὺς ἔν τινι τούτων ὑπάρχοντας δικαίως τυγχά-
νοντας, οὐ μὴν μισουμένους γε οὐδὲ κοινοὺς ἅπασι δοκοῦντας
ἐχθρούς. ἡ πλεονεξία δὲ μέγιστον μέν ἐστιν αὐτῷ τινι κακόν,
λυπεῖ δὲ καὶ τοὺς πέλας· καὶ τὸν πλεονέκτην οὐδεὶς ἐλεεῖ δή- 465 R.
πουθεν οὐδὲ ἀξιοῖ διδάσκειν, προβάλλονται δὲ ἅπαντες καὶ
8 πολέμιον αὐτῶν νομίζουσιν. ἕκαστος οὖν αὐτῶν εἰ βούλεται
γνῶναι τὸ μέγεθος τῆς τοιαύτης πονηρίας, ἐννοησάτω, πῶς
αὐτὸς ἔχει πρὸς τοὺς ἐπιχειροῦντας πλεονεκτεῖν. οὕτω γὰρ
ἂν συμβάλοι, πῶς καὶ τοὺς λοιποὺς ἀνάγκη πρὸς ἐκεῖνον
ἔχειν, ἐὰν ᾖ τοιοῦτος. Καὶ μὴν ὅ γε Εὐριπίδης, οὐδενὸς ἧτ-
τον ἔνδοξος ὢν τῶν ποιητῶν, τὴν Ἰοκάστην εἰσάγει λέγουσαν
πρὸς τὸν Ἐτεοκλέα, παρακαλοῦσαν αὐτὸν ἀποστῆναι τοῦ 249 M.
πλεονεκτεῖν τὸν ἀδελφόν, οὕτω πως·

9 *τί τῆς κακίστης δαιμόνων ἐφίεσαι*
πλεονεξίας, παῖ; μὴ σύ γ'. ἄδικος ἡ θεός.
πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
εἰσῆλθε, κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων·
ἐφ' ᾗ σὺ μαίνει. τοῦτο κάλλιστον βροτοῖς,
ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις

6, 3. τοῦτο ποιῇ BM, τοῦτο om. reliq. ‖ 8. ἴσον. ἴσων m. ‖ 9. τῷ. τὸν BA. — 7, 1. ἀργίαν. ἀργείαν M. ‖ ἀκρασίαν. ἀκράτειαν M. ‖ 6. μέγιστον μέν Pflugk., μὲν om. reliq. ‖ 9. αὐτῶν. sic dedi. αὐτῶν M, αὐτὸν reliq. — 8, 3. οὕτω corr. M, οὕτως reliq. ‖ 4. συμβάλοι BM, συμβάλλοι reliq. — 9, 2. πλεονεξίας. φιλοτιμίας Euripides. cf. Phoen. 531 seqq. ‖ γ'. γε M. ‖ 4. κἀξῆλθ' om. B, in M a corr. add., κἀξῆλθεν m. ‖ 5. σὺ μαίνει Eur., συμβαίνει BM, σὺ μαίνῃ reliq. ‖ τοῦτο κάλλιστον. κεῖνο κάλλιον Eurip. ‖ 6. ἤ. καὶ BM (corr. εἰ). ‖ ἀεί. εἶναι BM (corr. τ' ἀεί).

Digitized by Google

πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
συνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ.
τῷ πλέονι δ᾽ ἀεὶ πολέμιον καθίσταται
τοὔλασσον, ἐχθρᾶς θ᾽ ἡμέρας κατάρχεται.

10 *παρεθέμην δὲ ἑξῆς τὰ ἰαμβεῖα. τὸ γὰρ τοῖς καλῶς εἰρη-*
μένοις αὐτοῖς χρῆσθαι νοῦν ἔχοντός ἐστιν. ἐν δὴ τούτοις
ἅπαντα ἔνεστι τὰ συμβαίνοντα ἐκ τῆς πλεονεξίας· ὅτι μήτε
ἰδίᾳ μήτε κοινῇ συμφέρει· τοὐναντίον δὲ καὶ τὴν τῶν οἴκων
εὐδαιμονίαν καὶ τὴν τῶν πόλεων ἀνατρέπει καὶ διαφθείρει·
καὶ πάλιν ὡς νόμος ἀνθρώποις τιμᾶν τὸ ἴσον· καὶ ὅτι τὸ μὲν 466 R.
κοινὴν φιλίαν καὶ πᾶσιν εἰρήνην πρὸς ἀλλήλους ποιεῖ, τὰς δὲ
διαφορὰς καὶ τὰς ἐμφύλους ἔριδας καὶ τοὺς ἔξω πολέμους
κατ᾽ οὐδὲν ἕτερον συμβαίνοντας ἢ διὰ τὴν τοῦ πλείονος ἐπι-
11 *θυμίαν, ἐξ ὧν ἕκαστος καὶ τῶν ἱκανῶν ἀποστερεῖται. καίτοι*
τί τοῦ ζῆν ἀναγκαιότερόν ἐστιν; ἢ τί τούτου περὶ πλείονος
ποιοῦνται πάντες; ἀλλ᾽ ὅμως καὶ τοῦτο ἀπολλύουσι χρημά-
των· οἱ δὲ καὶ τὰς πατρίδας τὰς αὐτῶν ἀναστάτους ἐποίησαν.
μετὰ ταῦτα τοίνυν ὁ αὐτὸς ποιητὴς οὔ φησιν ἐν τοῖς θείοις
εἶναι πλεονεξίαν· διὰ τοῦτο ἄφθαρτα καὶ ἀγήρω μένειν αὐτὰ
τὴν προσήκουσαν ἓν ἕκαστον ἑαυτῷ τάξιν φυλάττοντα, τήν 250 M.
τε νύκτα καὶ τὴν ἡμέραν καὶ τὰς ὥρας. εἰ γὰρ μὴ τοῦτον
εἶχε τὸν τρόπον, οὐκ ἂν αὐτῶν οὐδὲν δύνασθαι διαμένειν.
ὅταν οὖν καὶ τοῖς θείοις ἡ πλεονεξία φθορὰν ἐπιφέρῃ, τί
χρὴ νομίζειν τἀνθρώπεια πάσχειν ἀπὸ ταύτης τῆς νόσου;
καλῶς δὲ μέμνηται καὶ μέτρων καὶ σταθμῶν, ὡς ὑπὲρ τοῦ 467 R.
δικαίου καὶ τοῦ πλεονεκτεῖν μηδένα μηδενὸς τούτων εὑρημέ-
12 *νων. ὁ δὲ Ἡσίοδος καὶ πλέον εἶναι τοῦ παντός φησι τὸ ἥμισυ*

7. *συμμάχους τε συμμάχοις. συμμάχοις τε συμμάχους* M. ‖ 8. *συνδεῖ. συνδεῖν* BM, *ξυνδεῖ* Eurip. ‖ 9. *ἀεὶ* M. Eurip., *αἰεὶ* reliq. ‖ 10. *θ᾽* Eurip., *τε* BM, *δ᾽* reliq. — 10, 3. *ὅτι. ὅτε* M. ‖ 4. *συμφέρει. συμφέρῃ* B. ‖ 6. *νόμος. νόμος ἐν* M. ‖ *τιμᾶν. τιμᾷ* M. ‖ *ὅτι τὸ.* sic dedi. *τοῦτο* M, *ἔτι τὸ* reliq. ‖ 7. *κοινὴν φιλίαν. φιλίαν κοινὴν* B. ‖ *ποιεῖ. ποιεῖν* vel *ἐμποιεῖν* Reisk. ‖ *τὰς δέ. τόγε τὰς δὲ* (volebat *τὸ δὲ τάς γε*) Selden. ‖ 10. *ἀποστερεῖται* BM. Reisk., *ἀποστερῆται* reliq. — 11, 2. *τούτου περὶ. περὶ τοῦ* M. ‖ *πλείονος* Reisk., *πλείστου* reliq., quo servato *ἢ τοῦτ᾽ οὐ* Iacobs. ‖ 3. *καὶ* om. M. ‖ *χρημάτων* BMA, *χρημάτων ἐπιθυμίαν* vm, *χρημάτων ἐπιθυμίᾳ* Casaub. r. ‖ 4. *καὶ* om. B. ‖ 5. *θείοις. θεοῖς* M. ‖ 7. *ἓν* om. M. ‖ 8. *ἡμέραν. ἡμέρα* M. ‖ 10. *θείοις. θεοῖς* M. ‖ 11. *τἀνθρώπεια. τἀνθρώπια* BM. ‖ 12. *ὡς ὑπὲρ* Casaub. r, *ὥσπερ* reliq., *ὅπερ* Selden.

τὰς ἐκ τοῦ πλεονεκτεῖν βλάβας οἶμαι καὶ ζημίας λογιζόμενος.
τίς γὰρ πώποτε ἢ βασιλεὺς ἢ δυνάστης ἢ δῆμος, ἐπιχειρήσας
ὑπερβῆναι τὸ δίκαιον καὶ τοῦ πλείονος ὀρεχθῆναι, οὐχ ἅπα-
σαν μὲν τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἀπέβαλε, μεγάλαις δὲ
καὶ ἀμηχάνοις ἐχρήσατο συμφοραῖς, ἅπασι δὲ τοῖς μετ' αὐτὸν
παραδείγματα ἐμφανῆ τῆς ἀνοίας καὶ τῆς πονηρίας κατέλιπεν;
ἢ τίς τῶν ἐλαττοῦσθαι βουλομένων καὶ τὴν δοκοῦσαν ἧτταν
ῥᾳδίως ὑπομένειν οὐ πολλαπλάσια μὲν τῶν ἄλλων ἐκτήσατο,
αὐτομάτως αὐτῷ καὶ δίχα πόνου περιγιγνόμενα, πλεῖστον δὲ
χρόνον τὴν εὐημερίαν κατέσχεν, ἀσφαλέστατα δὲ ἐχρήσατο
13 τοῖς παρὰ τῆς τύχης ἀγαθοῖς; αὐτίκα γοῦν οἱ τῆς Ἰοκάστης
υἱεῖς οὐκ, ἐπεὶ διέστησαν τοῦ πλείονος χάριν, ὁ μὲν μόνος
ἄρχειν βουλόμενος, ὁ δ' ἐξ ἅπαντος τρόπου ζητῶν κομίσασθαι
τῆς δυναστείας τὸ μέρος, οὐκ ἀδελφοὶ μὲν ὄντες ἀλλήλους
ἀπέκτειναν, μεγάλων δὲ κακῶν αἴτιοι κατέστησαν τοῖς συνα-
ραμένοις ἀμφότεροι, τῶν μὲν ἐπιστρατευσάντων παραχρῆμα
ἀπολομένων, τῶν δὲ αἰτιωμένων μετὰ μικρὸν ἡττηθέντων, 468 R.
14 ἐπειδὴ τοὺς νεκροὺς οὐκ εἴων ταφῆναι; καὶ μὴν δι' ἑνὸς ἀν-
δρὸς πλεονεξίαν, τοῦ τὴν Ἑλένην ἁρπάσαντος καὶ τὰ τοῦ
Μενελάου κτήματα, οἱ μεγίστην τῆς Ἀσίας οἰκοῦντες πόλιν
ἀπώλοντο μετὰ παίδων καὶ γυναικῶν, καὶ μίαν γυναῖκα ὑπο-
δεξάμενοι καὶ χρήματα ὀλίγα τηλικαύτην τιμωρίαν ἔτισαν.
ὁ τοίνυν Ξέρξης, ὁ τῆς ἑτέρας ἠπείρου κύριος, ἐπειδὴ καὶ τῆς
Ἑλλάδος ἐπεθύμησε καὶ τοσοῦτον στόλον καὶ τοσαύτας μυριά-
δας συναγαγὼν ἤνεγκεν, ἅπασαν μὲν αἰσχρῶς ἀπέβαλε τὴν
δύναμιν, μόλις δὲ τὸ σῶμα ἴσχυσε διασῶσαι φεύγων αὐτός. 251 M.
πορθουμένης δὲ μετὰ ταῦτα τῆς χώρας καὶ τῶν πόλεων τῶν
15 ἐπὶ θαλάττῃ φέρειν ἠναγκάζετο. καὶ μὴν Πολυκράτη φασίν,
ἕως μὲν Σάμου μόνης ἦρχεν, εὐδαιμονέστατον ἁπάντων γενέ-

12, 2. βλάβας. λαβὰς M. ‖ 3. ἐπιχειρήσας. ἐπεχείρησεν (superscr. vulg.) M. ‖ 4. ὀρεχθῆναι. ὠρέχθη, ὃς M. ‖ 7. ἀνοίας. ἀνθρωποίας v, ἀνθρωπείας ἴσ. ἀναν-θρωπείας mrg. m., unde ἀπανθρωπίας Anonym. ap. Reisk. ‖ 10. περιγιγνόμενα M, περιγινόμενα reliq., παραγινόμενα Reisk. — 13, 3. τρόπου. τοῦ τρόπου M. ‖ 6. ἀμφότεροι. ἀμφοτέροις Reisk. ‖ 7. ἀπολομένων. ἀπολλομένων M. ‖ αἰτιωμένων. ἀμυνομένων Geel., διαδεξαμένων Casaub., ἠναντιωμένων Reisk., ὠθουμένων mrg. m, malim ἀμυναμένων vel ἀπεωσμένων. — 14, 3. οἱ om. BM. ‖ 5. ἔτισαν. ἔτεισαν (superscr. vulg.) M. ‖ 8. αἰσχρῶς. αἰσχρὸς m. — 15, 1. φασίν M, φασὶ reliq.

σθαι, βουλόμενον δέ τι καὶ τῶν πέραν πολυπραγμονεῖν, δια-
πλεύσαντα πρὸς Ὀροίτην, ὡς χρήματα λάβοι, μηδὲ ῥᾳδίου γε
θανάτου τυχεῖν, ἀλλὰ ἀνασκολοπισθέντα ὑπὸ τοῦ βαρβάρου
διαφθαρῆναι. ταῦτα μέν, ἵν' ᾖ παραδείγματα ὑμῖν, ἔκ τε
τῶν σφόδρα παλαιῶν καὶ τῶν μετὰ ταῦτα καὶ τῶν ἐν ποιή- 169 R.
16 μασι καὶ τῶν ἄλλως ἱστορουμένων παρήνεγκα. ἄξιον δὲ
ἐνθυμηθῆναι καὶ τὸν θεόν, ὡς κἀκεῖνος κολάζειν πέφυκε
τοὺς πλεονεκτοῦντας. Λακεδαιμονίοις γὰρ χρωμένοις, εἰ δί-
δωσιν αὐτοῖς τὴν Ἀρκαδίαν, οὐ μόνον ἀπεῖπε καὶ τὴν ἀπλη-
στίαν ὠνείδισεν, οὕτως εἰπών·

Ἀρκαδίην μ' αἰτεῖς, μέγα μ' αἰτεῖς, οὔτοι δώσω·

ἀλλὰ καὶ τιμωρίαν αὐτοῖς ἐπέθηκε, προειπὼν μὲν τὸ μέλλον,
οὕτω δέ, ὥστε ἐκείνους μὴ συνέντας ἐπὶ Τεγέαν στρατεύε-
σθαι καὶ ταῖς γιγνωσκομέναις ὑπὸ πάντων συμφοραῖς περι-
πεσεῖν. καίτοι φανερῶς τὴν Ἀρκαδίαν αὐτοῖς ἀρνούμενος
οὐδὲ τὴν Τεγέαν ἐδίδου. τὸ γὰρ ἰσχυρότατον τῆς Ἀρκαδίας
καὶ μέγιστον τοῦτ' ἦν. ἀλλ' ὅμως διὰ τὴν πλεονεξίαν οὐδὲ
ὦτα ἔχουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐδὲ τῶν λεγομένων
17 αἰσθάνονται. πάλιν τοίνυν Ἀθηναίοις ἐρωτῶσι περὶ τῆς
νήσου Σικελίας ἔχρησε προσλαβεῖν τῇ πόλει τὴν Σικελίαν,
λόφον τινὰ ἐγγὺς ὄντα τῆς πόλεως. οἱ δὲ τῶν μὲν παρακει-
μένων καὶ τῶν ἐν ὀφθαλμοῖς ἠμέλησαν· οὕτως ἔκφρονες ὑπῆρ-
χον διὰ τὴν ἐπιθυμίαν τοῦ πλείονος, ὥστε τὸν θεὸν αὐτοῖς
ἐνόμιζον λέγειν ἑνὶ τείχει περιλαβεῖν τὰς Ἀθήνας καὶ τὴν
ἀπὸ μυρίων που σταδίων οὖσαν νῆσον. τοιγαροῦν ἐκεῖσε
πλεύσαντες οὐ μόνον Σικελίας διήμαρτον, ἀλλὰ καὶ τῆς Ἀτ-
τικῆς ἐστερήθησαν καὶ τὴν πόλιν αὐτὴν ἐπεῖδον ἐπὶ τοῖς πο-
18 λεμίοις γεγενημένην. καὶ τὰ μὲν τοιαῦτα εἰ θέλοι τις ἐπεξ- 232 M
ιέναι, δῆλον ὡς οὐδ' ἐν ἔτει ἐπιλείψει. σκοπεῖτε δ', ὅτι τὴν

3. τῶν BM (περὶ τῶν corr.), περὶ τῶν reliq. ‖ πέραν B. Pflugk., πέρα reliq. ‖ 4. Ὀροίτην B. Herodt. 3, 120, ὀρύττειν M, Ὀρόντην reliq. ‖ γε. τοῦ M. ‖ 6. ἵν' ᾖ. ἦ M. ‖ ὑμῖν BM, ἡμῖν reliq. ‖ 7. ἐν ποιήμασι. ἐμποιήμασιν M. ‖ 8. ἄλλως. ἄλλων M. — 16, 1. δέ. δ' M. ‖ 5. ὠνείδισεν. ὠνίδισεν M. ‖ 6. μέγα μ' αἰτεῖς om. r. conf. Herodt. 1, 66. ‖ 7. αὐτοῖς ἐπέθηκε BM, ἐπέθηκεν αὐτοῖς reliq. ‖ προειπὼν. προσειπὼν B. ‖ 8. οὕτω corr. M., οὕτως reliq. ‖ 11. ἰσχυρότατον Pflugk. p. 4, ἰσχυρὸν reliq. ‖ 13. τῶν. τῶν σαφῶς Reisk. — 17, 3. τινά. τινὰ λέγων Reisk. ‖ 5. πλείονος. πλέονος M. ‖ 6. ἑνί. ἐν ἑνὶ BM. ‖ περιλαβεῖν. περιβαλεῖν BM. — 18, 2. οὐδ' ἐν ἔτει Obs. p. 29, οὐδὲν ἔτι reliq. ‖ ἐπιλείψει. ἐπιλήψει M. Pflugkius totum locum sic constituit: ὡς οὐδ' ἂν τις ἔτι ἐπαινέσειεν. σκόπει δέ, vel ὡς οὐδεὶς ἔτ' ἐρεῖ λισι-

ἰσχὺν οἱ πλεῖστοι τῶν ἀγαθῶν εἶναι νομίζουσιν· ἀλλ' οἶμαι 470 R. τοῖς ἐπ' ἄκρον ἰσχύουσι καὶ λίαν ὑπερβάλλουσι τῇ κατὰ τὸ σῶμα εὐεξίᾳ συμφέρει μέρος τι αὐτῆς ἀφελεῖν· τὸ γὰρ πλέον οἶμαι τοῦ συμμέτρου παγχάλεπον. ὁμοίως ὁ πλοῦτος ἔχων τὴν χρείαν, ἐὰν μὲν ᾖ μέτριος, οὐ λυπεῖ τοὺς ἔχοντας, ἀλλ' εὐχερέστερον καὶ νὴ Δί' ἀνεπιδεῆ παρέχει τὸν βίον· ἐὰν δὲ ὑπερβάλλῃ, πλείονας παρέχει τὰς φροντίδας καὶ τὰ λυπηρὰ τῆς δοκούσης ἡδονῆς, καὶ πολλοὶ μετενόησαν σφόδρα πλουτήσαντες, οἱ δὲ δι' αὐτὸ τοῦτο ἄποροι καὶ τῶν ἐλαχίστων κατέστησαν. εἶεν. ἀλλ' ἐν ἡμῖν αὐτοῖς, εἰ τῶν τῆς φύσεως μερῶν ἕκαστον ἐθέλοι πλεονεκτεῖν, ἔσθ' ὅπως τὸν βραχύτατον καιρὸν διαμεῖναι δυνησόμεθα; λέγω δὲ οἷον εἰ πλέον τινὶ τοῦ συμμέτρου αἷμα γίγνοιτο, ἢ νὴ Δία τὸ πνεῦμα τὸ θερμὸν ὅ τι δήποτ' ἐν ἡμῖν ἐπιτείνοι παρὰ τὴν σύμμετρον καὶ τὴν προσήκουσαν· οὐχὶ μεγάλας ἐπίστασθε καὶ χαλεπὰς ἐκ τούτων ἀπαντῶν νόσους; ἐν δὲ ταῖς ἁρμονίαις τῶν ὀργάνων τούτων, εἰ πλεονεκτήσειε τῶν φθόγγων τις τῇ τάσει, πρὸς τοῦ 471 R. Διὸς οὐκ ἀνάγκη πᾶσαν λελύσθαι τὴν ἁρμονίαν; σφόδρα δ' ἔγωγε θαυμάζω, τί ἂν ἐποιήσαμεν, εἰ μὴ καὶ τοῦ βίου τὸ ἐλάχιστον παρὰ τῶν θεῶν μέτρον εἴχομεν, ὥσπερ εἰς τὸν αἰῶνα παρασκευαζόμενοι πλέον ἄλλος ἄλλου φιλοτιμούμεθα ἔχειν. ὥσπερ οὖν εἴ τις εἰδώς, ὅτι ἢ δύ' ἢ τριῶν ἡμερῶν, ἐὰν πλεῖστος διαγένηται χρόνος, ἔχει πλοῦν, ἔπειτα δὲ ἐνιαυτοῦ σῖτα ἐμβάλλοιτο, ἀνόητος δόξει· τὸν αὐτὸν τρόπον, εἴ τις ἐπιστάμενος, ὅτι πλείω τῶν ἑβδομήκοντα ἐτῶν οὐκ ἂν βιώσειεν, εἰς ἔτη χίλια πορίζοιτο βίον [ἴσως], οὐχ ὁμοίως ἂν εἴη

τελεῖν. οὐχὶ δὲ —; ‖ σκοπεῖτε. sic dedi. σκοπεῖ M, σκοπεῖν reliqui, unde Iacobs. Add. p. 125: σκοπεῖν δ' ἔστι τὴν ἰσχὺν, ἣν οἱ πλεῖστοι, idem postea σκόπει δ' ἔτι· τήν. ‖ 3. οἱ. τὲ οἱ Reisk. ‖ 4. ἄκρον B. Obs. p. 29, ἄκρων reliq. ‖ λίαν. λείαν M. ‖ 7. τήν. sic dedi. τινὰ reliq. ‖ 9. ὑπερβάλλῃ. ὑπερβάλῃ BM. ‖ πλείονας. πλίονας M. — 19, 2. ἐθέλοι. ἐθέλει B. ‖ 3. διαμεῖναι. διαμῖναι M. ‖ 4. αἷμα. τὸ αἷμα Reisk. ‖ 5. ὅ τι. sic dedi. ἢ ὅ τι Reisk., ὅτι reliq. ‖ 6. προσήκουσαν. κρᾶσιν excidisse suspicatur Reiskius. locum ita constituerim: σύμμετρον κρᾶσιν καὶ προσήκουσαν. ‖ ἐπίστασθε. ἐπίστασθαι M. ‖ τούτων. τατῶν Seldenus refutatus a Reiskio. ‖ 8. πλεονεκτήσειε BM, πλεονεκτήσει reliq. ‖ τις. τι m. ‖ τάσει. στάσει M. — 20, 3. ὥσπερ M (ἀλλ' ὥσπερ corr.), ἀλλ' ὥσπερ reliq., καὶ γὰρ ὥσπερ Geel., οἵ γε καὶ νῦν ὥσπερ Cens. p. 358. ‖ 4. φιλοτιμούμεθα. φιλοτιμοίμεθα r. ‖ 5. οὖν. οὐ M. ‖ 6. δὲ delet Reiskius. confert Orat. XXIX, 4 Iacobs. ‖ ἐνιαυτοῦ σῖτα. ἐνιαυτοὺς εἰ τὰ M. ‖ 7. ἐμβάλλοιτο. ἐμβάλοιτο B. ‖ 9. χίλια. χείλια M. ‖ βίον [ἴσως]. ἴσως delendum videtur Geelio, idem pro εἴη

Digitized by Google

μαινόμενος; ἔνιοι μὲν γὰρ τοσαῦτα παρασκευάζονται, ὡς εἴ
γ' ἔπλεον εὐθὺς ἂν καταδῦναι τὴν ναῦν. καὶ νὴ Δία γε συμ- 253 M.
21 βαίνει μυρίοις. εἶεν. εἰ δὲ δή τις ἐφ' ἑστίασιν κεκληκὼς
δέκα ἀνθρώπους ἢ πεντεκαίδεκα, τούτους αὐτὸν ἐμπλῆσαι
δέον, ὁ δὲ πεντακοσίοις ἢ χιλίοις ἑτοιμάζοι τροφήν, οὐ παν-
τελῶς ἐξεστάναι δόξει; τοιγαροῦν καὶ ἡμεῖς εἰδότες τὰς τοῦ
σώματος χρείας εὐαριθμήτους τινάς· ἐσθῆτος γὰρ οἶμαι καὶ
σκέπης καὶ τροφῆς δεόμεθα· ἔπειτα κατατεινόμεθα ὥσπερ
στρατοπέδῳ τὰ ἐπιτήδεια συνάγοντες· καὶ νὴ Δία γε εἰκότως.
οἱ γὰρ πολλοὶ βόσκουσι παρ' ἑαυτοῖς τῶν ἐπιθυμιῶν στρατό- 472 R.
πεδον. καὶ ἐσθῆτα μὲν οὐδεὶς βούλεται μείζω τοῦ σώματος
ἔχειν, ὡς δύσχρηστον ὄν· οὐσίαν δὲ τῷ παντὶ μείζω τῆς χρείας
ἔχειν ἅπαντες ἐπιθυμοῦσιν οὐκ εἰδότες, ὅτι τοῦτο ἐκείνου
22 χαλεπώτερον. δοκεῖ δέ μοι Κροῖσος καλῶς ὁ Λυδὸς τὴν ἀπλη-
στίαν τῶν ἀνθρώπων ἐλέγξαι βουλόμενος, εἰς τοὺς θησαυ-
ροὺς εἰσαγαγὼν τινας, τοσοῦτο χρυσίον αὐτοῖς ἐπιτρέπειν
ἐξενεγκεῖν, ὅσον ἕκαστος ἂν δύνηται τῷ σώματι. τοὺς γὰρ
πολλοὺς οὐ μόνον τὸν κόλπον ἐμπλήσαντας, ἀλλὰ καὶ τῇ κε-
φαλῇ τοῦ ψήγματος ἐκφέρειν καὶ τῷ στόματι, καὶ μόλις πο-
ρεύεσθαι πάνυ γελοίους καὶ διεστραμμένους. οὕτως οὖν καὶ
κατὰ τὸν βίον πορεύεσθαί τινας ἀσχημονοῦντας ὑπὸ τῆς πλεον-
εξίας καὶ καταγελάστους ὄντας.

mavult φανείη, vel locum sic constituit: ἴσως οὐχ ὅμοιος ἂν εἴη μαινομένῳ. — 21, 2. αὐτόν. αὐτῶν B. ‖ 3. ἑτοιμάζοι BM, ἑτοιμάζῃ reliq. ‖ 4. ἐξεστάναι M. Reisk., ἐξιστάναι reliq. ‖ 5. τινάς. τινὰς οὔσας Geel. ‖ 7. συνάγοντες. συναγαγόντες BM. ‖ 9. μείζω. μίζω M. ‖ 11. ἔχειν ἅπαντες ἐπιθυμοῦσιν BM, ἐπιθυμοῦσιν ἅπαντες ἔχειν reliq. — 22, 4. τῷ σώματι BM, τῷ om. reliq. ‖ 5. πολλούς. πολλούς φασιν Reisk. ‖ καὶ om. M. ‖ τῇ κεφαλῇ. τῆς κεφαλῆς v, τὴν κεφαλὴν Reisk. ‖ 6. καί. ὥστε καὶ Reisk. ‖ 7. διεστραμμένους. διεστρεμμένους M. ‖ 8. βίον. post hoc v. ἡγοῦμαι vel simile quid deesse suspicatur Reiskius, quo non magis opus est quam supra verbo φασιν, nam e Croesi persona haec dicuntur.

Digitized by Google

ΛΟΓΟΣ ιη

ΠΕΡΙ ΛΟΓΟΥ ΑΣΚΗΣΕΩΣ.

1 *Πολλάκις ἐπαινέσας τὸν σὸν τρόπον ὡς ἀνδρὸς ἀγαθοῦ* 473 R.
καὶ ἀξίου πρωτεύειν ἐν τοῖς ἀρίστοις, οὐδέποτε πρότερον
ἐθαύμασα, ὡς νῦν. τὸ γὰρ ἡλικίας τε ἐν τῷ ἀκμαιοτάτῳ
ὄντα καὶ δυνάμει οὐδενὸς λειπόμενον καὶ ἄφθονα κεκτημένον
καὶ πάσης ἐξουσίας οὔσης δι' ἡμέρας καὶ νυκτὸς τρυφᾶν,
ὅμως ἔτι παιδείας ὀρέγεσθαι καὶ φιλοκαλεῖν περὶ τὴν τῶν
λόγων ἐμπειρίαν καὶ μὴ ὀκνεῖν μηδὲ εἰ πονεῖν δέοι, σφόδρα
μοι ἔδοξε γενναίας ψυχῆς καὶ οὐ φιλοτίμου μόνον, ἀλλὰ τῷ 254 M.
ὄντι φιλοσόφου ἔργον εἶναι. καὶ γὰρ τῶν παλαιῶν οἱ ἄριστοι
οὐ μόνον ἀκμάζειν μανθάνοντες, ἀλλὰ καὶ γηράσκειν ἔφα-
2 *σκον. πάνυ δὲ σύ μοι δοκεῖς φρονεῖν ἡγούμενος πολιτικῷ*
ἀνδρὶ δεῖν λόγων ἐμπειρίας τε καὶ δυνάμεως. καὶ γὰρ πρὸς
τὸ ἀγαπᾶσθαι καὶ πρὸς τὸ ἰσχύειν καὶ πρὸς τὸ τιμᾶσθαι καὶ
πρὸς τὸ μὴ καταφρονεῖσθαι πλείστη ἀπὸ τούτου ὠφέλεια.
τίνι μὲν γὰρ μᾶλλον ἄνθρωποι δείσαντες θαῤῥοῦσιν ἢ λόγῳ;
τίνι δὲ ἐξυβρίζοντες καὶ ἐπαιρόμενοι καθαιροῦνται καὶ κολά-
ζονται; τίνι δὲ ἐπιθυμιῶν ἀπέχονται; τίνα δὲ νουθετοῦντα
3 *πρᾳότερον φέρουσιν οὐ λόγῳ εὐφραίνοντα; πολλάκις οὖν ἔστιν*
ἰδεῖν ἐν ταῖς πόλεσιν ἀναλίσκοντας μὲν ἑτέρους καὶ χαριζομέ-
νους καὶ ἀναθήμασι κοσμοῦντας, ἐπαινουμένους δὲ τοὺς λέ-
γοντας ὡς καὶ αὐτῶν ἐκείνων αἰτίους. διὸ καὶ τῶν ποιητῶν 474 R.
οἱ ἀρχαιότατοι καὶ παρὰ θεῶν τὴν ποίησιν λαβόντες οὔτε

Orat. XVIII. Collati sunt BMTRDE. (TRDE cum exemplo Morell.) — 1, 3. *τὸ γὰρ* **BMD,** *τὸν γὰρ* **reliq.** ‖ **8.** *γενναίας. γεννίας* **M. — 2, 1.** *δὲ σύ. δ' εὖ* **Pflugk.** ‖ **3.** *τὸ ἀγαπᾶσθαι. τῷ ἀγαπᾶσθαι* **E.** ‖ *πρὸς τὸ ἰσχύειν καὶ πρὸς τὸ τιμᾶσθαι* **om. E.** ‖ **4.** *τὸ μή. τῷ μὴ* **E.** ‖ *ὠφέλεια. ὠφέλια* **M.** ‖ **6.** *ἐξυβρίζοντες. ὑβρίζοντες* **B.** ‖ **8.** *οὐ λόγῳ.* **malim** *τοῦ λόγῳ* **(et infra** *εὐφραίνοντος*), *οὐ τὸν λόγῳ* **Iacobs.** ‖ *εὐφραίνοντα. εὐφραίνοντας* **M,** *εὐφραίνονται* **Reisk. — 3, 1.** *ἔστιν ἰδεῖν* **BMDE,** *ἰδεῖν ἔστιν* **Goerlitz.,** *ἰδεῖν ἔστιν* **reliq.** ‖ **2.** *ἀναλίσκοντας* **Casaub. r,** *ἀναδιδάσκοντας* **reliq.** ‖ **3.** *ἐπαινουμένους. ἐπαιρομένους* **E.**

τοὺς ἰσχυροὺς οὔτε τοὺς καλοὺς ὡς θεοὺς ἔφασαν ὁρᾶσθαι,
ἀλλὰ τοὺς λέγοντας. ὅτι μὲν δὴ ταῦτα καὶ συνεώρακας καὶ
4 ἐπιχειρεῖς πράττειν, ἐπαινῶ σε καὶ θαυμάζω. χάριν δὲ οὐ
τὴν τυχοῦσαν οἶδα ὑπὲρ ἐμαυτοῦ, ὅτι με πρὸς τὴν διάνοιαν
ταύτην καὶ τὸ ἐγχείρημα χρήσιμον σαυτῷ νενόμικας. μέχρι
νῦν μὲν γάρ, ὥσπερ τις ἔφη τῶν παλαιῶν αὑτῷ ἱκανὸς εἶναι
μάντις, κἀγὼ ἐξαρκεῖν ᾤμην ἐμαυτῷ περὶ τοὺς λόγους, μόγις
καὶ τοῦτο. σὺ δέ με ἐπαίρεις καὶ θαῤῥεῖν ἀναπείθεις, εἰ
ἀνδρὶ καὶ παιδείας ἐπὶ πλεῖστον ἥκοντι καὶ τηλικούτῳ δύνα-
μαι χρήσιμος εἶναι. δυναίμην δ' ἂν τυχόν, ὥσπερ ὁδὸν ἰόντι
μάλα ἰσχυρῷ καὶ ἀκμάζοντι παῖς ἤ τις πρεσβύτης ἐνίοτε
5 νομεὺς ἐπίτομον δείξας ἢ λεωφόρον, ἣν οὐκ ἔτυχεν εἰδώς. ἀλλ'
ἵνα μὴ πολλὰ πρὸ τοῦ πράγματος, ἤδη οἷς προσέταξας ἐγχει-
ρητέον. μειρακίῳ μὲν οὖν ἢ νέῳ ἀνδρὶ τοῦ τε πράττειν ἀπο- 475 R.
χωρῆσαι βουλομένῳ καὶ πρὸς ἀσκήσει γενέσθαι καὶ δύναμιν
περιποιήσασθαι λόγων ἑτέρων ἔργων τε καὶ πράξεων δεῖ. σὺ 255 M.
δὲ οὔτε ἄπειρος τοῦ ἔργου οὔτε ἀπολιπεῖν τὸ πράττειν δύνα-
σαι οὔτε χρῄζεις δικανικῆς δυνάμεώς τε καὶ δεινότητος, ἀλλὰ
6 τῆς πολιτικῷ ἀνδρὶ πρεπούσης τε ἅμα καὶ ἀρκούσης. τοῦτο
μὲν δὴ πρῶτον ἴσθι, ὅτι οὐ δεῖ σοι πόνου καὶ ταλαιπωρίας·
τῷ μὲν γὰρ ἐπὶ πολὺ ἀσκήσαντι ταῦτα ἐπὶ πλεῖστον προάγει,
τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ συλλήψει τὴν ψυχὴν καὶ ὀκνη- 476 R.
ρὰν ποιεῖ προσφέρεσθαι· καθάπερ τοὺς ἀσυνήθεις περὶ σώ-

7. συνεώρακας. συνεόρακας M. ‖ 8. ἐπαινῶ σε. ἐπαινως M. — 4, 3. σαυτῷ BMDE, σεαυτῷ Casaub., ἑαυτῷ reliq. ‖ 4. ὥσπερ τις. ὥς τις TR. ‖ αὑτῷ. αὐτῷ M. ‖ ἱκανὸς Goerlitz., κακὸς BTRDE, καλὸς Casaub., κακῶς reliqui. conf. Plat. Phaedr. p. 242 c. totum locum sic constituit Wyttenbach. Ep. Crit. p. 267: κακὸς μὲν εἶναι μάντις ἑαυτῷ δ' ἱκανός. ‖ 5. μόγις καί. μόγις δὲ καὶ (vel μόγις, καὶ οὐδὲ) Reisk. ‖ 6. σὺ δέ με. οὐδέ με A, σὺ δέ μ' E, σὺ δ' ἐμὲ Goerlitz. ‖ ἀναπείθεις. ἀνεπείθεις D, ἀναπλήθεις v. — 5, 2. οἷς. οἷ B. ‖ 3. μὲν οὖν BME, μὲν om. reliq. ‖ ἀποχωρῆσαι. ἀποχαρῆσαι v, ἐπιχειρῆσαι Anonym. apud Reisk., ἀποπειρήσασθαι Reisk. ‖ 5. περιποιήσασθαι. περὶ ποιήσασθαι D. ‖ λόγων ἑτέρων. ὁ ἀγὼν ἑτέρων B. corr. R. DE, ὁ ἀγωνοτέρων M (corr. λόγον ἀγωνοτέρων, mrg. vulg.). ‖ 6. τοῦ. εἶ τοῦ Reisk. ‖ δύνασαι. δύνασθαι M. ‖ 7. χρῄζεις. χρῄζειν m. ‖ 8. ἀρκούσης. post hoc verbum Reiskius ἐπείληψαι supplet. — 6, 2. ἴσθι. ἴσθη M. ‖ 3. προάγει. προάγειν D. ‖ 4. δ' ἐπ'. δὲ ἐπ' MD. ‖ συλλήψει. συλλυπεῖ Casaub., συντήκει (vel συντρίβει vel συγκόπτει vel συλλείβει) Reisk., συστέλλει Goerlitz., στύψει (vel συστύψει) Iacobs., malim συννεφεῖ vel συναλείφει. Kayserus ad Marc. Eugenic. p. 162 locum sic constituit: προάγειν, τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ συλλήψει (parum erudito) τὴν ψυχὴν καὶ ὀκνηροτέραν cett. ‖ ὀκνηράν. ὀκνηροτέραν E. ‖ 5. προσφέ-

ματος ἄσκησιν, εἴ τις κοπώσειε βαρυτέροις γυμνασίοις, ἀσθε-
νεστέρους ἐποίησεν· ἀλλὰ ὡς τοῖς ἀηθίστοις πονεῖν σώματος
ἀλείψεως δεῖ μᾶλλον καὶ κινήσεως συμμέτρου ἢ γυμνασίας·
οὕτω σοι ἐν τῇ περὶ τοὺς λόγους ἐπιμελείᾳ ἐστὶ χρεία μᾶλλον
ἡδονῆς μεμιγμένης ἢ ἀσκήσεως καὶ πόνου. τῶν μὲν δὴ ποιη-
τῶν συμβουλεύσαιμ' ἂν σοι Μενάνδρῳ τε τῶν κωμικῶν μὴ
παρέργως ἐντυγχάνειν καὶ Εὐριπίδῃ τῶν τραγικῶν, καὶ τούτοις
μὴ οὕτως αὐτὸν ἀναγιγνώσκοντα ἑτέρων ἐπισταμένων μάλιστα
μὲν καὶ ἡδέως, εἰ δ' οὖν, ἀλύπως ὑποκρίνασθαι. πλείων γὰρ 471 R.
ἡ αἴσθησις ἀπαλλαγέντι τῆς περὶ τὸ ἀναγιγνώσκειν ἀσχολίας.
7 καὶ μηδεὶς τῶν σοφωτέρων αἰτιάσηταί με ὡς προκρίναντα τῆς
ἀρχαίας κωμῳδίας τὴν Μενάνδρου ἢ τῶν ἀρχαίων τραγῳδῶν
Εὐριπίδην. οὐδὲ γὰρ οἱ ἰατροὶ τὰς πολυτελεστάτας τροφὰς
συντάττουσι τοῖς θεραπείας δεομένοις, ἀλλὰ τὰς ὠφελίμους.
πολὺ δ' ἂν ἔργον εἴη τὸ λέγειν, ὅσα ἀπὸ τούτων χρήσιμα. ἥ
τε γὰρ τοῦ Μενάνδρου μίμησις ἅπαντος ἤθους καὶ χάριτος
πᾶσαν ὑπερβέβληκε τὴν δεινότητα τῶν παλαιῶν κωμικῶν, ἥ
τε Εὐριπίδου προσήνεια καὶ πιθανότης τοῦ μὲν τραγικοῦ
ἀπαυθαδήματος καὶ ἀξιώματος τυχὸν οὐκ ἂν τελέως ἐφικνοῖτο,
πολιτικῷ δὲ ἀνδρὶ πάνυ ὠφέλιμος· ἔτι δὲ ἤθη καὶ πάθη δει-

ρεσθαι. προφέρεσθαι Casaub. ‖ 6. κοπώσειε. κοπώσειεν D, κοπῷσιν ἐν M. ‖ βαρυτέροις γυμνασίοις. βαρυτέραις γυμνασίαις Reisk. ‖ 7. ἀηθίστοις B. corr. M. DE, ἀήθεσι reliqui. malim cum Pflugkio ἀήθεσι τοῦ. ‖ σώματος. malim σώμασιν. sic et Pflugk. ‖ 8. ἀλείψεως Anon. apud Reisk., ἀπολείψεως reliqui, unde ἀπαλείψεως Casaub., ἀναλήψεως Reisk., ἀπολήψεως Goerlitz. ‖ 9. οὕτω σοι. οὕτως σοι DE, οὕτως οἱ M (mrg. vulg.). ‖ ἐν τῇ om. BM (corr. add.). DE. ‖ ἐπιμελείᾳ. ἐπιμέλεια B. ‖ ἐστὶ χρεία BDE, ἐστὶν χρεία M, χρεία ἐστὶ reliq. ‖ 11. τῶν κωμικῶν M, τῷ κωμικῷ reliq. ‖ 12. Εὐριπίδῃ. εὐριπίδη M. ‖ τῶν τραγικῶν M, τῷ τραγικῷ reliq. ‖ 13. οὕτως αὐτὸν BMDEA, αὐτὸν Casaub., οὕτως reliq. ‖ ἀναγιγνώσκοντα M, ἀναγινώσκοντα reliq. ‖ ἑτέρων. ἑτέρων δ' Selden., ἑτέρων δ' ἀκούσαντα Vales. p. 54, ἀλλ' ὑφ' ἑτέρων Reisk., malim ἀλλὰ δι' ἑτέρων. δι' ἑτέρων δὲ Pflugk. ‖ 14. εἰ δ' οὖν. εἰδ' οὖν D. ‖ 15. ἀναγιγνώσκειν Vales. p. 55, γιγνώσκειν MD, γινώσκειν reliq. — 7, 1. σοφωτέρων BMDE, σοφῶν reliq. ‖ 3. Εὐριπίδην. εὐριπίδην (corr. vulg.) M. ‖ 4. θεραπείας δεομένοις BM, δεομένοις θεραπείας reliq. ‖ 8. Εὐριπίδου. εὐριπίδου (corr. vulg.) M. ‖ προσήνεια. προσηνία M. ‖ τραγικοῦ. τραγικῶν v. ‖ 9. ἀπαυθαδήματος r, ἀπαιθήματος BMD. v, ἀπαι (spatium) θήματος E, παθήματος T, εὐπαθήματος R. m, εὐσταθήματος Casaub., ἐμπαθήματος Selden., παραστήματος Matthaei, αὐθαδίσματος Geel., αὐθαδήματος Kays. Ann. Monac. a. 1840 Nr. 142 p. 101, qui confert Aristot. Rhetor. III, 3. ‖ ἐφικνοῖτο. ἐφίκνοιτο TD. m, ἀφικνοῖτο M. ‖ 10. ὠφέλιμος· ἔτι δὲ. ὠφέλιμός ἐστι·

Digitized by Google

νὸς πληρῶσαι· καὶ γνώμας πρὸς ἅπαντα ὠφελίμους καταμί- 478 R.
8 γνυσι τοῖς ποιήμασιν, ἅτε φιλοσοφίας οὐκ ἄπειρος ὤν. Ὅμη-
ρος δὲ καὶ πρῶτος καὶ μέσος καὶ ὕστατος παντὶ παιδὶ καὶ
ἀνδρὶ καὶ γέροντι, τοσοῦτον ἀφ' αὑτοῦ διδούς, ὅσον ἕκαστος
δύναται λαβεῖν. μέλη δὲ καὶ ἐλεγεῖα καὶ ἴαμβοι καὶ διθύ- 256 M.
ραμβοι τῷ μὲν σχολὴν ἄγοντι πολλοῦ ἄξια· τῷ δὲ πράττειν
τε καὶ ἅμα τὰς πράξεις καὶ τοὺς λόγους αὔξειν διανοουμένῳ
9 οὐκ ἂν εἴη πρὸς αὐτὰ σχολή. τοῖς δ' ἱστορικοῖς διὰ πολλὰ
ἀνάγκη τὸν πολιτικὸν ἄνδρα μετὰ σπουδῆς ἐντυγχάνειν, ὅτι
καὶ ἄνευ τῶν λόγων τὸ ἔμπειρον εἶναι πράξεων καὶ εὐτυχιῶν
καὶ δυστυχιῶν οὐ κατὰ λόγον μόνον, ἀλλὰ ἐνίοτε καὶ παρὰ
λόγον, ἀνδράσι τε καὶ πόλεσι συμβαινουσῶν σφόδρα ἀναγ-
καῖον πολιτικῷ ἀνδρὶ καὶ τὰ κοινὰ πράττειν προαιρουμένῳ.
ὁ γὰρ πλεῖστα ἑτέροις συμβάντα ἐπιστάμενος ἄριστα, οἷς
αὐτὸς ἐγχειρεῖ, διαπράξεται καὶ ἐκ τῶν ἐνόντων ἀσφαλῶς,
καὶ οὔτε εὖ πράττων παρὰ μέτρον ἐπαρθήσεται δυσπραγίαν
τε πᾶσαν οἴσει γενναίως διὰ τὸ μηδ' ἐν οἷς εὖ ἔπραττεν ἀνεν-
10 νόητος εἶναι τῆς ἐπὶ τὸ ἐναντίον μεταβολῆς. Ἡροδότῳ μὲν
οὖν, εἴ ποτε εὐφροσύνης σοι δεῖ, μετὰ πολλῆς ἡσυχίας ἐν- 479 R.
τεύξῃ. τὸ γὰρ ἀνειμένον καὶ τὸ γλυκὺ τῆς ἀπαγγελίας ὑπό-
νοιαν παρέξει μυθῶδες μᾶλλον ἢ ἱστορικὸν τὸ σύγγραμμα
εἶναι. τῶν δὲ ἄκρων Θουκυδίδης ἐμοὶ δοκεῖ καὶ τῶν δευτέ-
ρων Θεόπομπος. καὶ γὰρ ῥητορικόν τι περὶ τὴν ἀπαγγελίαν
τῶν λόγων ἔχει· καὶ οὐκ ἀδύνατος οὐδὲ ὀλίγος περὶ τὴν ἑρμη-

Reiskius (idem in proximis δεινὸς ὤν). ‖ ἤθη. ἔθη T. vm, παντοδαπὰ ἤθη Reisk. ‖ 11. πληρῶσαι. ἐπιτηρῆσαι Kays. l. l. ‖ ἅπαντα BME, ἅπαντας reliq. ‖ καταμίγνυσι. καταμιγνὺς Reisk. — 8, 2. πρῶτος καὶ μέσος καὶ ὕστατος T, μέσος καὶ ὕστατος (omissis καὶ πρῶτος) D, καὶ μέσος καὶ ὕστατος καὶ πρῶτος reliqui. in R ἄξιον καὶ πρῶτος mrg. adscripta. ‖ 5. ἄξια BM (corr. v.). D, ἄξιοι reliq. — 9, 3. καὶ εὐτυχιῶν καὶ δυστυχιῶν BMTDE, καὶ δυστυχιῶν καὶ εὐτυχιῶν reliq. ‖ 6. τὰ κοινὰ BMDE, τὰ πολιτικὰ reliq. ‖ 8. ἐγχειρεῖ, διαπράξεται. ἐγχειριδία πράξεται M. ‖ 9. ἐπαρθήσεται. ἐπιθήσεται R. ‖ 10. μηδ' ἐν. μηδὲν BMDE, μὴ ἐν Goerlitz. ‖ ἀνεννόητος. ἐνεννόητος T (?). m, ἀνόητος E. — 10, 2. εὐφροσύνης σοι δεῖ Geel. (nisi quod δεῖ σοι), εὐφροσύνης οἱ M, σύμφορόν B, εὔφορόν TE, ἄφορόν R (sed α dubium est). v, ἔφορον reliq., ἐπίφορόν vel εὔωρόν Wyttenb. ad Plut. Moral. p. 389 Oxon., εὔφορόν vel εὔπορόν Matthaei, φορόν Goerlitz., Kayser. l. l. p. 120 probat σύμφορόν et pro ἡσυχίας scribit εὐφροσύνης vel ἡδονῆς. ‖ ἐντεύξῃ. ἐντεύξει MD. ‖ 3. ἀπαγγελίας BMTR. vr, ἐπαγγελίας DE (?). m. ‖ 4. παρέξει BM (mrg. παρέχει). E, παρέχει reliq. ‖ 6. ῥητορικόν BM, ἱστορικόν reliq. ‖ 7. ὀλίγος. ὁ λόγος D, ὀλίγωρος (vel λιτὸς) Reisk. ‖ ἑρμηνείαν. ἑρμηνίαν M.

νείαν, καὶ τὸ ῥᾴθυμον περὶ τὰς λέξεις οὐχ οὕτω φαῦλον,
ὥστε σε λυπῆσαι. Ἔφορος δὲ πολλὴν μὲν ἱστορίαν παραδί-
δωσι, τὸ δὲ ὕπτιον καὶ ἀνειμένον τῆς ἀπαγγελίας σοι οὐκ
11 ἐπιτήδειον. τῶν γε μὴν ῥητόρων τοὺς ἀρίστους τίς οὐκ ἐπί-
σταται; Δημοσθένην μὲν δυνάμει τε ἀπαγγελίας καὶ δεινό-
τητι διανοίας καὶ πλήθει λόγων πάντας τοὺς ῥήτορας ὑπερ-
βεβληκότα· Λυσίαν δὲ βραχύτητι καὶ ἁπλότητι καὶ συνεχείᾳ
διανοίας καὶ τῷ λεληθέναι τὴν δεινότητα; πλὴν οὐκ ἂν ἐγώ
σοι συμβουλεύσαιμι τὰ πολλὰ τούτοις ἐντυγχάνειν, ἀλλ' Ὑπερ-
είδῃ τε μᾶλλον καὶ Αἰσχίνῃ. τούτων γὰρ ἁπλούστεραί τε
αἱ δυνάμεις καὶ εὐληπτότεραι αἱ κατασκευαὶ καὶ τὸ κάλλος
τῶν ὀνομάτων οὐδὲν ἐκείνων λειπόμενον. ἀλλὰ καὶ Λυκούργῳ
συμβουλεύσαιμ' ἂν ἐντυγχάνειν σοι, ἐλαφροτέρῳ τούτων ὄντι 231 M.
καὶ ἐμφαίνοντί τινα ἐν τοῖς λόγοις ἁπλότητα καὶ γενναιότητα
12 τοῦ τρόπου. ἐνταῦθα δή φημι δεῖν· καὶ εἴ τις ἐντυχὼν τῇ
παραινέσει τῶν πάνυ ἀκριβῶν αἰτιάσεται· μηδὲ τῶν νεωτέρων 480 R.
καὶ ὀλίγον πρὸ ἡμῶν ἀπείρως ἔχειν, λέγω δὲ τῶν περὶ Ἀντί-
πατρον καὶ Θεόδωρον καὶ Πλουτίωνα καὶ Κόνωνα καὶ τὴν
τοιαύτην ὕλην. αἱ γὰρ τούτων δυνάμεις καὶ ταύτῃ ἂν εἶεν
ἡμῖν ὠφέλιμοι, ἧ οὐκ ἂν ἐντυγχάνοιμεν αὐτοῖς δεδουλωμένοι
τὴν γνώμην, ὥσπερ τοῖς παλαιοῖς. ὑπὸ γὰρ τοῦ δύνασθαί τι
τῶν εἰρημένων αἰτιάσασθαι μάλιστα θαῤῥοῦμεν πρὸς τὸ τοῖς
αὐτοῖς ἐπιχειρεῖν, ἧ καὶ ἥδιόν τις παραβάλλει αὑτόν, ᾧ πεί-
θεται συγκρινόμενος οὐ καταδεέστερος, ἐνίοτε δὲ καὶ βελτίων
13 φαίνεσθαι. τρέψομαι δὲ ἤδη ἐπὶ τοὺς Σωκρατικούς, οὓς δὴ
ἀναγκαιοτάτους εἶναί φημι παντὶ ἀνδρὶ λόγων ἐφιεμένῳ.
ὥσπερ γὰρ οὐδὲν ὄψον ἄνευ ἁλῶν γεύσει κεχαρισμένον, οὕτως
οὐδὲν εἶδος ἔμοιγε δοκεῖ ἀκοῇ προσηνὲς ἂν γενέσθαι χάριτος

9. Ἔφορος. εὔφορος E. ‖ παραδίδωσι. παραδίδωσιν MD. ‖ 10. ἀπαγγελίας. ἀπαγγελείας E. — 11, 2. δεινότητι. δεινότητος R. ‖ 3. ὑπερβεβληκότα. ὑποβεβληκότα R. ‖ 5. λεληθέναι. λελυθέναι D. ‖ 6. Ὑπερείδῃ. sic dedi. ὑπὲρ εἴδη M, Ὑπερίδῃ reliq. ‖ 7. Αἰσχίνῃ. αἰσχύνῃ M. ‖ τούτων. τοῦτον M. ‖ 10. συμβουλεύσαιμ' MDR. Goerlitz., συμβουλεύσαιμι reliq. ‖ σοι BMDE, σε reliq. ‖ 11. ἁπλότητα καὶ γενναιότητα BMTDE, καὶ γενναιότητα om. reliq. — 12, 2. νεωτέρων. νεοτέρων M. ‖ 3. ὀλίγον. ὀλίγων D. ‖ περὶ BMD, περὶ τὸν reliq. ‖ 4. καὶ τήν. κατὰ τὴν E. ‖ 5. ὕλην. de verbo ἴλην aliquando cogitavit Reiskius. ‖ 6. ἧ. ἡ M, εἰ (corr. ἧ) E, ἧ m. ‖ δεδουλωμένοι. δεδουλωμένοις E. m. ‖ 8. τὸ τοῖς. τὸ om. D. ‖ 9. ἧ. ἡ BME. m, delet Geelius. ‖ καὶ ἥδιόν τις. καὶ ἤδη ἥδιον τίς E. — 13, 3. ὄψον. ὄψος BMD.

Σωκρατικῆς ἄμοιρον. τοὺς μὲν δὴ ἄλλους μακρὸν ἂν εἴη
14 ἔργον ἐπαινεῖν καὶ ἐντυγχάνειν αὐτοῖς οὐ τὸ τυχόν. Ξενο-
φῶντα δὲ ἔγωγε ἡγοῦμαι ἀνδρὶ πολιτικῷ καὶ μόνον τῶν πα- 481 R
λαιῶν ἐξαρκεῖν δύνασθαι, εἴτε ἐν πολέμῳ τις στρατηγῶν, εἴτε
πόλεως ἀφηγούμενος, εἴτε ἐν δήμῳ λέγων, εἴτε ἐν βουλευτη-
ρίῳ, εἴτε καὶ ἐν δικαστηρίῳ, μὴ ὡς ῥήτωρ ἐθέλοι μόνον, ἀλλὰ
καὶ ὡς πολιτικὸς καὶ βασιλικὸς ἀνὴρ τὰ τῷ τοιούτῳ προσή-
κοντα ἐν δίκῃ εἰπεῖν· πάντων ἄριστος ἐμοὶ καὶ λυσιτελέστα-
τος πρὸς ταῦτα πάντα Ξενοφῶν. τά τε γὰρ διανοήματα σαφῆ
καὶ ἁπλᾶ καὶ παντὶ ῥᾴδια φαινόμενα, τό τε εἶδος τῆς ἀπαγ-
γελίας προσηνὲς καὶ κεχαρισμένον καὶ πειστικόν, πολλὴν μὲν
ἔχον πιθανότητα, πολλὴν δὲ χάριν καὶ ἐπιβολήν· ὥστε μὴ
λόγων δεινότητι μόνον, ἀλλὰ καὶ γοητείᾳ ἐοικέναι τὴν δύνα-
15 μιν. εἰ γοῦν ἐθελήσειας αὐτοῦ τῇ περὶ τὴν Ἀνάβασιν πραγ-
ματείᾳ σφόδρα ἐπιμελῶς ἐντυχεῖν, οὐδένα λόγον εὑρήσεις τῶν 258 M
ὑπὸ σοῦ λεχθῆναι δυνησομένων, ὃν οὐ διείληπται καὶ κανόνος
ἂν τρόπον ὑπόσχοι τῷ πρὸς αὐτὸν ἀπευθῦναι ἢ μιμήσασθαι
βουλομένῳ. εἴτε γὰρ θαῤῥῦναι τοὺς σφόδρα καταπεπτωκό-
τας χρήσιμον πολιτικῷ ἀνδρί, καὶ πολλάκις ὡς χρὴ τοῦτο
ποιεῖν δείκνυσιν· εἴτε προτρέψαι καὶ παρακαλέσαι, οὐδεὶς
Ἑλληνικῆς φωνῆς ἐπαΐων οὐκ ἂν ἐπαρθείη τοῖς προτρεπτικοῖς 482 R.
16 Ξενοφῶντος λόγοις· ἐμοὶ γοῦν κινεῖται ἡ διάνοια καὶ ἐνίοτε
δακρύω μεταξὺ τοσούτων ἔργων τοῖς λόγοις ἐντυγχάνων· εἴτε
μεγαλοφρονοῦσι καὶ ἐπηρμένοις ὁμιλῆσαι φρονίμως καὶ μήτε

5. μακρὸν. μακρὰν vm, οὐ μικρὸν Pflugk. (nam πολὺ non μακρὸν ἔργον dicendum fuisse). ‖ 6. τυχόν. τοιχόν M. — 14, 3. εἴτε. εἴτε γὰρ Reisk. ‖ 4. βουλευτηρίῳ εἴτε καὶ ἐν δικαστηρίῳ BME, βουλευτηρίῳ (om. ceteris) reliq. ‖ 6. τὰ τῷ τοιούτῳ BMTR. Pflugk., τὰ τῶν τοιούτων E, τῷ om. reliq. ‖ 7. ἐμοί. ἐμοὶ δοκεῖν Geel. ‖ 9. καὶ ἁπλᾶ. καὶ om. M. ‖ φαινόμενα om. E. ‖ 10. πειστικὸν TR. Lobeck. ad Aj. p. 140. Ed. II, πιστικὸν reliq. ‖ 11. ἔχον. ἔχων B. ‖ ἐπιβολήν. ἐπιβουλὴν D. Geel. (idem χάριτος ἐπιβολήν). — 15, 1. ἐθελήσειας. ἐθελησίας M. ‖ 3. ὃν r, ὃς reliq. ‖ οὐ διείληπται. οὐκ ἤδη εἴληπται D. ‖ 4. ὑπόσχοι M. Geel., ὑπόσχοιτο reliq., παράσχοιτο Pflugk. ‖ τῷ πρὸς αὐτόν. τῶν πρὸς αὐτῶν MD. ‖ ἀπευθῦναι. ἀπευθῆναι M, ἀπευθυνθῆναι (aut ἑαυτὸν ἀπευθῦναι) Reisk. ‖ 6. πολλάκις. πολλάκις ἐστι Reiskius verbis non recte constructis. ‖ τοῦτο. τοῦτον B, τὸ M. ‖ 7. δείκνυσιν. δείκνυσι D. ‖ 8. φωνῆς. φύσεως D. ‖ οὐκ ἄν. οὐκ ἂν οὐκ BDE. — 16, 1. ἐμοὶ γοῦν M, ἔμοιγ' οὖν reliq. ‖ 2. δακρύω. δακρύων B, δακρὺ T. ‖ μεταξύ. μετὰ M. mrg. R. ‖ τοσούτων. τοσοῦτον τῶν M. mrg. R. ‖ ἔργων om. B. ‖ ἐντυγχάνων MDE. r, ἐντυγχάνω TR (?). vm. ‖ 3. μεγαλοφρονοῦσι. μέγα φρονοῦσιν M. conf. Orat. LXXIX, 1. ‖ φρονίμως. φρονίμος E.

παθεῖν τι ὑπ' αὐτῶν δυσχερανάντων μήτε ἀπρεπῶς δουλῶσαι τὴν αὑτοῦ διάνοιαν καὶ τὸ ἐκείνοις κεχαρισμένον ἐκ παντὸς ποιῆσαι, καὶ ταῦτα ἔνεστιν. καὶ ἀποῤῥήτοις δὲ λόγοις ὡς προσήκει χρήσασθαι, καὶ πρὸς στρατηγοὺς ἄνευ πλήθους καὶ πρὸς πλῆθος κατὰ ταὐτὸ καὶ βασιλικῶς τίνα τρόπον διαλεχθῆναι, καὶ ἐξαπατῆσαι ὅπως πολεμίους μὲν ἐπὶ βλάβῃ, φίλους δ' ἐπὶ τῷ συμφέροντι, καὶ μάτην ταραττομένοις ἀλύπως τἀληθὲς καὶ πιστῶς εἰπεῖν, καὶ τὸ μὴ ῥᾳδίως πιστεύειν τοῖς ὑπερέχουσι [καὶ οἷς ἐξαπατῶσιν οἱ ὑπερέχοντες], καὶ οἷς καταστρατηγοῦσι καὶ καταστρατηγοῦνται ἄνθρωποι·

17 πάντα ταῦτα ἱκανῶς τὸ σύνταγμα περιέχει. ἅτε γάρ οἶμαι μιγνὺς ταῖς πράξεσι τοὺς λόγους οὐκ ἐξ ἀκοῆς παραλαβὼν οὐδὲ μιμησάμενος, ἀλλ' αὐτὸς πράξας ἅμα καὶ εἰπών, πιθανωτάτους ἐποίησεν ἐν ἅπασί τε τοῖς συντάγμασι καὶ ἐν τούτῳ μάλιστα, οὗ ἐπιμνησθεὶς ἐτύγχανον. καὶ εὖ ἴσθι, οὐδένα σοι τρόπον μεταμελήσει, ἀλλὰ καὶ ἐν βουλῇ καὶ ἐν δήμῳ ὀρέγοντός σοι χεῖρα αἰσθήσῃ τοῦ ἀνδρός, εἰ αὐτῷ προθύμως

18 καὶ φιλοτίμως ἐντυγχάνοις. γράφειν μὲν οὖν οὐ συμβουλεύω 483 R.
σοι αὐτῷ ἀλλ' ἢ σφόδρα ἀραιῶς, ἐπιδιδόναι δὲ μᾶλλον. πρῶτον μὲν γὰρ ὁμοιότερος τῷ λέγοντι ὁ ὑπαγορεύων τοῦ γράφοντος· ἔπειτα ἐλάττονι πόνῳ γίγνεται· ἔπειτα πρὸς δύναμιν μὲν ἧττον συλλαμβάνει τοῦ γράφειν, πρὸς ἕξιν δὲ πλεῖον. καὶ 259 M.
γράφειν δὲ οὐ ταῦτά σε ἀξιῶ τὰ σχολικὰ πλάσματα, ἀλλ' εἴπερ ἄρα, τινὰ τῶν λόγων, οἷς ἂν ἡσθῇς ἐντυγχάνων, μάλιστα τῶν Ξενοφωντείων, ἢ ἀντιλέγοντα τοῖς εἰρημένοις ἢ τὰ

6. ἔνεστιν MDE, ἔνεστι reliq. ‖ 7. καὶ πρός. πρὸς om. E. ‖ 8. κατὰ ταὐτό. καθ' αὑτὸ Iacobs. Add. p. 319. ‖ βασιλικῶς. βασιλικοῖς M. ‖ τίνα. sic dedi. τινὰ reliq. ‖ 9. ὅπως. πῶς Selden. ‖ 10. μάτην ταραττομένοις. μάτην πραττομένοις E. ‖ 12. ὑπερέχουσι. ὑπερέχουσιν MD. ‖ [καὶ—ὑπερέχοντες] delenda ut interpolatoris. nam de fraude dictum est in antecedentibus, nec pollentium et infirmorum fraus diversa est. ‖ 13. ἄνθρωποι. αὐτοὶ Geelius, quod refert ad οἱ ὑπερέχοντες. — 17, 5. ἴσθι. ἴσθη M. ‖ οὐδένα. ὡς οὐδένα E. ‖ 6. σοι. σου B. ‖ καὶ ἐν. καὶ om. D. ‖ 7. αἰσθήσῃ. αἰσθήσει M. — 18, 1. οὖν οὐ. οὐ om. D, οὖν om. BM. ‖ συμβουλεύω ME, συμβουλεύσω reliq. ‖ 2. ἐπιδιδόναι. ἀναδιδόναι Casaub. ‖ 3. ὁμοιότερος Reisk., ἑτοιμότερος reliq. ‖ 4. ἔπειτα. ἐπὶ τὰ M. ‖ πόνῳ om. D (?). m. ‖ γίγνεται MD, γίνεται reliq. ‖ 5. πρὸς ἕξιν. προσέξειν M. ‖ δὲ M. r, τε E, δὴ TDR. vm. ‖ καὶ om. E in lacuna. ‖ 6. ἀξιῶ. in R dubium an ἀξίων an ἠξίων. ‖ σχολικὰ BMTE, σχολαστικὰ reliq. ‖ 7. εἴπερ ἄρα. ἢ παρὰ M. ‖ 8. Ξενοφωντείων. ξενοφοντίων M.

Digitized by Google

19 αὐτὰ ἕτερον τρόπον ὑποβάλλοντα. καὶ ἀναλαμβάνειν μέντοι,
εἴ σοι ῥᾴδιον μεμνῆσθαι, τὰ ἐκείνων ἄμεινον. τῷ τε γὰρ
τρόπῳ τῆς ἀπαγγελίας καὶ τῇ ἀκριβείᾳ τῶν διανοημάτων
πάνυ συνήθεις ποιεῖ. λέγω δὲ οὐχ ἵνα σύνταγμά τι ὅλον,
ὥσπερ οἱ παῖδες, εἴρων συνάπτῃς, ἀλλ' ἵνα, εἴ τι σοι σφόδρα 484 R.
ἀρέσειε, τοῦτο κατάσχῃς. πλείονα περὶ τούτου μειρακίῳ ἂν
ἔγραψα, σοὶ δὲ ἀρκεῖ τοσαῦτα. καὶ γὰρ εἰ ἐλάχιστα ἀναλά-
βοις, πολὺ ὀνήσῃ· καὶ εἰ δυσκόλως ἔχοις καὶ μετὰ ὀδύνης
20 πράττοις, οὐκ ἐξ ἅπαντος ἀναγκαῖον. ἀλλὰ ἔοικα μὲν πάνυ
μηκῦναι τὴν συμβουλίαν· σὺ δὲ αἴτιος ἀναπείσας καὶ προκα-
λεσάμενος· ὥσπερ οἱ ἐν πάλῃ ὑπερέχοντες τοῖς ἀσθενεστέροις
ὑπείκοντες ἐνίοτε ἐποίησαν αὐτοὺς πείθεσθαι ἰσχυροτέρους
εἶναι· καὶ σὺ ἔοικας, ἃ κρεῖττον τυγχάνεις εἰδώς, ἐμὲ προ-
τρέψαι ὡς ἔλαττον ἐπισταμένῳ γράψαι. βουλοίμην δ' ἄν, εἴ
σοι κεχαρισμένον εἴη, καὶ ἐν τῷ αὐτῷ ποτε ἡμᾶς γενέσθαι,
ἵνα καὶ ἐντυγχάνοντες τοῖς παλαιοῖς καὶ διαλεγόμενοι περὶ
21 αὐτῶν χρήσιμοί τι γενοίμεθα· ὥσπερ τοῖς ζωγράφοις καὶ
πλάσταις οὐκ ἀπόχρη εἰπεῖν, ὅτι δεῖ τοιάδε τὰ χρώματα εἶναι
καὶ τοιάσδε τὰς γραμμάς, ἀλλὰ μεγίστη ὠφέλεια, εἴ τις αὐ- 485 R.
τοὺς ἢ γράφοντας ἢ πλάττοντας ἴδοι· καὶ ὡς τοῖς παιδοτρί-
βαις οὐκ ἀρκεῖ εἰπεῖν τὰ παλαίσματα, ἀλλὰ καὶ δεῖξαι ἀνάγκη
τῷ μαθησομένῳ· οὕτω καὶ ἐν ταῖς τοιαύταις συμβουλίαις
πλείων ἡ ὠφέλεια γίγνοιτ' ἄν, εἴ τις αὐτὸν πράττοντα ἴδοι
τὸν συμβεβουλευκότα. ὡς ἔγωγε, καὶ εἰ ἀναγιγνώσκειν με
δέοι σοῦ ἀκροωμένου, τῆς σῆς ἕνεκα ὠφελείας οὐκ ἂν ὀκνή-

19, 4. λέγω. λέγει M. ‖ 6. ἀρέσειε. ἀρίσειεν MD. ‖ τούτο. τοῦτου BMDE. ‖ πλείονα Interpr. r, πλεῖστα reliq. ‖ ἂν om. M. ‖ 7. ἀναλάβοις. ἀναλάβῃς (corr. vulg.) E. ‖ 8. ὀνήσῃ. ὄνησει BMD. ‖ ἔχοις. πρὸς τοῦτο ἔχοις Reisk. ‖ 9. πράττοις M. r, πράττεις reliq. — 20, 3. ὥσπερ. ὥσπερ γὰρ Geelius. at est protasis inter duplicem apodosin. ‖ 4. ἐποίησαν. sic dedi. ἂν ἐποίησαν Geel., ἀνέπεισαν BE, ἂν ἔπεισαν MD, ἔπεισαν reliq. ‖ 5. σύ. σοι D. ‖ ἃ κρεῖττον B. r, ἄκτειστον M, ἃ κρείττων reliq. ‖ εἰδώς. ἴδως M, εἰδὸς D. ‖ ἐμὲ BMDE. Reisk., ἐμοὶ reliq. ‖ προτρέψαι ὡς. προτρέψεως M. ‖ 7. αὐτῷ om. E. ‖ 9. γενοίμεθα. sic dedi. ἐσόμεθα E, ἐγινόμεθα R, ἐγενόμεθα reliq. — 21, 1. ὥσπερ. ὥσπερ γὰρ Geel. at conf. dicta ad § 20. ‖ 2. τὰ χρώματα. sic dedi. idem voluit Pflugk., τὰ om. reliq. ‖ 3. ὠφέλεια. ὠφέλια M. ‖ 6. καί. om. D. ‖ 7. πλείων. πλεῖον B, πλεῖον πλεῖον E. ‖ ὠφέλεια. ὠφέλια M. ‖ γίγνοιτ'. γίνοιτ' M. ‖ 8. ὡς. ὡς καὶ BDE. ‖ ἀναγιγνώσκειν. ἀναγινώσκειν D. ‖ 9. ὠφελείας. ὠφελίας M. ‖ ὀκνήσαιμι. ὀμνήσαιμι R.

σαιμι, στέργων τέ σε καὶ τῆς σῆς φιλοτιμίας ἀγάμενος καὶ τῆς πρὸς ἐμὲ τιμῆς χάριν εἰδώς.

ΛΟΓΟΣ ιθ

ΠΕΡΙ ΤΗΣ ΑΥΤΟΥ ΦΙΛΗΚΟΙΑΣ.

1 Ἐδέοντο μὲν πάλαι τῶν οἰκείων τῶν ἐμῶν τινες ἐντυγχά- 260 M.
νειν μοι· καὶ τῶν πολιτῶν δὲ ἐλέγοντο ἐπιθυμεῖν πολλοὶ θεάσασθαι, νομίζοντες πλέον τι παρὰ τοὺς ἄλλους ἔχειν με διὰ τὴν ἄλην καὶ τὴν μεταβολὴν τοῦ βίου καὶ διὰ τὴν δοκοῦσαν αὐτοῖς τοῦ σώματος ταλαιπωρίαν· τελευτῶντες δὲ ἤδη καὶ ἐνεκάλουν ἀδικεῖσθαι φάσκοντες. ἐγὼ δὲ οὐκ ἤθελον ἐγγὺς ἰέναι πρὸς αὐτοὺς τοὺς ὅρους, ἀλλὰ ἐδόκει μοι τὸ τοιοῦτο παντελῶς ἀχθομένου τινὸς εἶναι τῇ φυγῇ καὶ ἐπιθυμοῦντος κατελθεῖν· ὥσπερ οἱ μηδὲν καταλιπόντες ἐν τῇ κύλικι δῆλοί
2 εἰσι πάνυ διψῶντες. ἐλθὼν οὖν εἰς Κύζικον ἐκεῖ διέτριβον 486 R.
καὶ παρεῖχον, εἴ τις βούλεταί μοι τῶν ἐπιτηδείων συγγίγνεσθαι. καὶ δὴ τὸ τοῦ κιθαρῳδοῦ τοῦτο ὃ λέγουσιν ἔσωσέ με, ᾠδήν τινα αὐτοῖς. ἐπεὶ γὰρ ἧκεν ὁ ἄριστος τῶν νῦν κιθαρῳδῶν, ὡς δ' ἔνιοί φασιν οὐδὲ τῶν πρότερον οὐδενὸς ἐνδεέστερος, ἀλλ' οὐδὲ Ἀρίονος τοῦ ἐκ πελάγους· μαντευόμενοι δηλονότι· πῶς γὰρ ἂν εἰδεῖεν τὸ σαφὲς οὐκ ἀκούσαντες ἐκείνου;

10. στέργων τέ σε. στέργωντές σε M.

Orat. XIX. Collati sunt BM. — 1, 3. διὰ. διά τε Pflugk. ‖ 4. ἄλην καὶ τὴν Geel., ἄλλην καὶ τὴν M, ἄλλην καὶ B, ἄλλην reliq. ‖ 9. δῆλοί BM. Casaub. r, δῆλόν vm. — 2, 1. οὖν. ἐκ m. ‖ 2. συγγίγνεσθαι M, συγγίνεσθαι reliq. ‖ 3. δὴ BM, δὴ καὶ reliq. ‖ ὃ λέγουσιν. ὅ om. M. ‖ 4. τινα mr, τινα ᾄσαντα BMA, τινα ἅπαντα v, τινα ᾄσαντος Casaub., τινα ἀπαντᾶν Iacobs. ‖ 5. πρότερον BM, πρώτων reliq. ‖ 6. Ἀρίονος. ἀρείονος BM, Ἀρίωνος reliq. ‖ τοῦ ἐκ Reisk., ἐκ τοῦ reliqui, quae Casaub. defendit v. ἐκ τοῦ πελάγους cum sequentibus copulans. ‖ 7. ἂν εἰδεῖεν τὸ σαφὲς B, ἂν ἐντὸς ἀφὲς (corr. σαφὲς, mrg. εἰδοῖεν τὸ σαφὲς) M, εἰδοῖεν τὸ σαφὲς reliq.

ὡς δ' οὖν τάχιστα ᾔσθοντο ἐπιδημοῦντα τὸν ἄνδρα, εὐθὺς
καὶ σπουδὴ ἀμήχανος καὶ πάντες ἐβάδιζον εἰς τὸ βουλευτή-
3 ριον. ἐγὼ οὖν καὶ αὐτὸς ἐξεῖναι νομίζων καὶ ἡμῖν ἀκοῦσαι
καὶ μεταλαβεῖν οὕτω καλῆς εὐωχίας ἐν ἀνθρώποις τρισχιλίοις
καὶ πλείοσιν, ἧκον ἐν πρώτοις πάνυ θαῤῥῶν. εἰμὶ δὲ φιλή-
κοος καὶ φιλόμουσος ἀτεχνῶς, οὐ πάνυ ἔμπειρος ὢν μουσικῆς·
ὥστε εἴπερ ἔτυχον γεγονὼς κατὰ ταὐτὸν Ὀρφεῖ, δοκῶ μοι,
πρῶτος ἂν ἐπηκολούθουν, εἰ καὶ ἔδει μετὰ νεβρῶν τινων ἢ 487 R.
μόσχων, οὐδὲν αἰδούμενος· ἐπεὶ καὶ νῦν ταὐτὸ τοῦτο πάσχω
πολλάκις, ἐπειδὰν εἰσαφίκωμαι σοφιστοῦ, διὰ τὴν προσοῦσάν
μοι ἀκρασίαν περὶ τοὺς λόγους, καὶ μετὰ τοιούτων συναγε- 261 M.
λάζομαι θρεμμάτων ὡραίων καὶ καλῶν, ἄλλως δὲ θορυβούν-
4 των καὶ σκιρτᾶν προθυμουμένων. τοῦτο δὲ πέπονθα πρὸς
τοὺς σοφιστάς τε καὶ ῥήτορας ἅπαντας σχεδόν· καθάπερ οἱ
πτωχοὶ καὶ τοὺς μετρίως εὐπόρους μακαρίζουσι διὰ τὴν αὐ-
τῶν ἀπορίαν, κἀγὼ τοὺς ἁμηγέπη δυνατοὺς λέγειν θαυμάζω
καὶ ἀγαπῶ διὰ τὸ αὐτὸς ἀδύνατος εἶναι λέγειν. τὸ μέντοι
τῶν κιθαρῳδῶν τε καὶ νὴ Δία τῶν ὑποκριτῶν οὐ παρ' ὀλίγον
μοι δοκεῖ διαφέρειν πρὸς ἡδονήν. ἥ τε γὰρ φωνὴ μείζων καὶ
δηλονότι ἐπιμελεστέρα ἥ τε λέξις οὐκ αὐτοσχέδιος, ὥσπερ ἡ
τῶν ῥητόρων ἐξ ὑπογύου τὰ πολλὰ πειρωμένων λέγειν, ἀλλὰ
5 ποιητῶν ἐπιμελῶς καὶ κατὰ σχολὴν πεποιηκότων. καὶ τά γε
πολλὰ αὐτῶν ἀρχαῖά ἐστι καὶ πολὺ σοφωτέρων ἀνδρῶν ἢ
τῶν νῦν· τὰ μὲν τῆς κωμῳδίας ἅπαντα· τῆς δὲ τραγῳδίας τὰ
μὲν ἰσχυρὰ ὡς ἔοικε μένει· λέγω δὲ τὰ ἰαμβεῖα· καὶ τούτων
μέρη διεξίασιν ἐν τοῖς θεάτροις· τὰ δὲ μαλακώτερα ἐξεῤῥύηκε,
τὰ περὶ τὰ μέλη· ὥσπερ οἶμαι τῶν ἀνθρώπων τῶν παλαιῶν 488 R.
ὅσα μέν ἐστι στερεὰ τοῦ σώματος, ὑπομένει τῷ χρόνῳ, τά τε
ὀστᾶ καὶ οἱ μύες, τἆλλα δὲ ἐλάττω γίγνεται. οὐκοῦν τὰ σώ-

8. εὐθὺς καὶ BM, καὶ om. reliq. — 3, 5. κατὰ ταὐτὸν B, κατ' αὐτὸν M, κατὰ τὸν αὐτὸν χρόνον reliq. ‖ 6. ἔδει BM. Casaub. r, ἤδη reliq. ‖ 9. ἀκρασίαν Casaub. r, ἀκροᾶσιν M, ἀκρόασιν reliq. ‖ καὶ μετά. καὶ om. M. — 4, 1. τοῦτο. ταὐτὸ Casaub. ‖ 3. πτωχοί. πτωχοί, οἱ Casaub. ‖ 6. τε καί. τε om. M. ‖ 7. διαφέρειν πρὸς ἡδονήν. ἥ τε Obs. p. 30, διαφέρειν. πρὸς ἡδονήν τε reliq. ‖ 8. λέξις Reisk., ἕξις reliq. ‖ 9. ὑπογύου BM, ὑπογυίου Reisk., ὑπογείου reliq. ‖ ἀλλά. ἀλλ' ἀπὸ Casaub. — 5, 1. τά γε Reisk., τά τε reliq. ‖ 4. τὰ om. B. ‖ καί. ἐπεὶ Casaub. ‖ 5. ἐξεῤῥύηκε BM. Reisk., ἐξεῤῥύη καὶ reliq., quo servato τὰ περιττὰ μέλη Iacobs. ‖ 7. τά τε BM, τε om. reliq. ‖ 8. μύες. ἶνες Iacobs. ‖ γίγνεται. sic dedi. τείνεται BM, γίνεται reliq. ‖ οὐκοῦν τά. οὐκ ὄντα M.

ματα ὁρᾶται τὰ τῶν παντελῶς γερόντων ἐνδεδωκότα καὶ λαγαρά· ὅσοι δ' αὖ παχεῖς γέροντες ὑπὸ πλούτου καὶ τρυφῆς, ἰσχυροῦ μὲν οὐδενὸς προσόντος ἔτι, πιμελῆς δὲ ἀντὶ τῶν σαρκῶν, εὐτραφεῖς δὴ ὁρῶνται καὶ νεώτεροι τοῖς πολλοῖς.

ΛΟΓΟΣ κ

ΠΕΡΙ ΑΝΑΧΩΡΗΣΕΩΣ.

1 *Τί γάρ ποτε τὸ τῆς ἀναχωρήσεώς ἐστι καὶ τίνας χρὴ* 480 R.
τιθέναι τοὺς ἀναχωροῦντας; ἆρά γε τοὺς ἀπὸ τῶν προσηκόν-
των ἔργων αὐτοῖς καὶ πράξεων ἀφισταμένους, τούτους χρὴ
φάσκειν ἀναχωρεῖν; οἷον εἴ τις Ἀθηναῖος ὢν, δέον αὐτὸν
στρατεύεσθαι ὑπὲρ τῆς πατρίδος, Λακεδαιμονίων εἰσβεβλη-
κότων εἰς τὴν Ἀττικὴν ἢ Φιλίππου ἐπιόντος ἢ ἄλλων πολε- 262 M.
μίων, ὁ δὲ ἀναχωρήσειε εἰς Μέγαρα ἢ Αἴγιναν ἕνεκα τοῦ μὴ
στρατεύεσθαι μηδὲ κινδυνεύειν· οὗτος ἂν ἀνακεχωρηκέναι
2 *λέγοιτο; ἢ εἴ τις συχνὴν οὐσίαν κεκτημένος ἕνεκα τοῦ διαφυγεῖν τὰς λειτουργίας ἀπέλθοι ἐκ τῆς πόλεως; ἢ εἴ τις ἰᾶσθαι τοὺς νοσοῦντας ἱκανὸς ὢν καὶ φίλων δὴ καὶ ἐπιτηδείων αὐτῷ καμνόντων, ὅπως μὴ κακοπαθῇ καὶ πράγματα ἔχῃ τούτους θεραπεύων, ἀπολίποι τε αὐτοὺς καὶ ἀποδημήσειεν εἰς ἕτερον τόπον; ἢ εἴ τις ἄλλος, ἐν πόλει δέον ἐξετάζεσθαι αὐτὸν, ἄρχειν καὶ ἀρχαῖς ὑπηρετεῖν καὶ φυλακάς τινας φυλάττειν ἀγρυπνῶν μὴ βούλοιτο, ἀλλ' ὅπως τούτων ἀπηλλαγμένος ἁπάντων ἔσται*

9. *ὁρᾶται*. *ὁρᾶτε* BM. ‖ *ἐνδεδωκότα*. malim *ἐνδεδυκότα*. ‖ 11. *πιμελῆς*. *πειμελῆς* M. ‖ 12. *δὴ ὁρῶνται* M, *δὲ ὁρῶνται* B, *ὁρῶνται* reliq. ‖ *τοῖς πολλοῖς* BM, *τοῖς* om. reliqui. multa deesse intellexit Selden.

Orat. XX. Collati sunt BM. — 1, 7. *ἀναχωρήσειε*. sic dedi. *ἀναχωρήσει* reliq. ‖ 8. *οὗτος ἂν*. sic dedi. *ἂν* om. reliq. — 2, 2. *ἰᾶσθαι*. *εἰᾶσθαι* M. ‖ 5. *ἀπολίποι τε*. sic dedi. idem vidit Pflugk., *ἀπολιπῇ τε* BM, *ἀπολίποι* reliq. ‖ *αὐτοὺς* BM, *αὐτούς τε* reliq. ‖ 6. *αὐτόν*. sic dedi interpunctione mutata. *καὶ αὐτὸς* r, *καὶ αὐτὸν* reliq., Pflugkius *καὶ αὐτὸν* servat, sed corrigit *ἀγρυπνεῖν*.

καὶ μηδεὶς αὐτὸν ἐξελέγξῃ μηδὲ κωλύσῃ πίνοντα καὶ καθεύ-
δοντα καὶ ῥαθυμοῦντα, ἑτέρωσε ἀποχωροῖ ποι· ἆρα τούτους
ἀναχωρεῖν ῥητέον; ἀλλ' οὗτοι μὲν δῆλον ὅτι φεύγουσί τε καὶ
δραπετεύουσι, καὶ οὐκ ἂν εἴη πρόφασις αὐτοῖς οὐδὲ συγγνώμη
3 τῆς τοιαύτης σχολῆς τε καὶ ἀποδράσεως. μὴ οὖν τοὺς ἀπὸ 490 R.
τῶν ἀνωφελῶν πραγμάτων καὶ τῶν οὐ προσηκουσῶν αὐτοῖς
ἀσχολιῶν ἀπιόντας καὶ σχολήν τινα πορίζοντας αὐτοῖς ἀπὸ
τῶν ἐνοχλούντων μάτην ῥητέον ὡς ἀναχωροῦντας. ἀλλ' οὕτως
μὲν οὐχ ὁ μεταβὰς ἐκ πόλεώς τινος εἰς ἑτέραν πόλιν ἢ ἐκ τό-
που εἰς ἕτερον τόπον ἀναχωρεῖν λέγοιτ' ἄν· ὅπου γὰρ ἂν
ἀφίκηται, πολλὰ ἂν εἴη τὰ ἐμποδὼν αὐτῷ γιγνόμενα καὶ οὐκ
ἐῶντα τὰ προσήκοντα ποιεῖν. καὶ γὰρ τὸ ἐπὶ πολὺ πότῳ
ξυνεῖναι καὶ τὸ πίνοντα ἢ κυβεύοντα ἢ ἄλλο τι τῶν βλαβερῶν
καὶ ἀσυμφόρων πράττοντα διατελεῖν πανταχοῦ τὰ αὐτά
ἐστιν, καὶ τὸ συνδιατρίβειν ἀεὶ τῷ ἐντυχόντι ἀδολεσχοῦντα
καὶ ἀκούοντα λόγων οὐδὲν χρησίμων, ἢ περὶ τὰ βασιλέως
4 πράγματα διατρίβειν ἢ τὰ τοῦ δεῖνος, ὡς ἔφη τις. οὐ γάρ
ἐστιν ἀνόητος τῆς αὑτοῦ ψυχῆς κύριος, ἀλλὰ ῥεμβόμενός τε
καὶ ἀγόμενος ῥᾳδίως ὑπὸ τῆς τυχούσης προφάσεως καὶ ὁμι-
λίας· ὥστε οἱ πολλοὶ ἄνθρωποι, καθάπερ οἱ ἄσωτοι τῶν
χρημάτων οὐκ ἂν δύναιντο ἀποδοῦναι λόγον, πρὸς ὅ τι ἀνη-
λώκασιν ἕκαστον αὐτῶν, φαίνεται δ' ὅμως ἀνηλωμένα πάνυ 263 M.
συχνὰ χρήματα· οὐδὲ οὗτοι τοῦ χρόνου τε καὶ βίου δύναιντ' 491 R.
ἂν ἀποδοῦναι λόγον, πρὸς ὅ τι ἑκάστην ἡμέραν ἀνήλωσαν ἢ
μῆνα ἢ ἐνιαυτόν· φαίνεται δ' οὖν παριὼν ὁ βίος καὶ δαπα-
νώμενος ὁ χρόνος, οὐκ ὀλίγου ἄξιος τοῖς ἀνθρώποις οὐδὲ ἧτ-

9. μηδεὶς. sic dedi. μηδὲ εἷς reliq. ‖ 10. ἀποχωροῖ. ἀποχωρῇ BM. ‖ τούτους BM, τοῦτον Reisk., τοῦτο reliq. — 3, 4. ἀναχωροῦντας. ἀναχωροῦσι Reisk., illud defendit Geel. ‖ 8. τό. τῷ B. ‖ ἐπὶ πολὺ πότῳ Geel., ἐπὶ πολὺ τῷ M, ἐπὶ πότῳ reliq. ‖ 9. πίνοντα ἤ. malim cum Geelio πεττεύοντα ἤ, delebat Reiskius et Pflugkius, qui horum in locum substituebat ἀδολεσχοῦντα — ὡς ἔφη τις. ‖ 10. τὰ αὐτά Geel., τὰ τοιαῦτα Pflugk. (idem ἐστιν), τοιαῦτα reliq. ‖ 11. καὶ τὸ συνδιατρίβειν ἀεὶ τῷ ἐντυχόντι ἀδολισχοῦντα BM, ἀδολεσχοῦντα (om. ceteris) reliq. ceterum alii alias emendationes excogitarunt. ‖ 13. διατρίβειν delet Geelius. post h. v. in M haec leguntur: ἀεὶ τῷ ἐντυχόντι ἀδολεσχοῦντα καὶ ἀκούοντα λόγων οὐδὲν χρησίμων ἢ περὶ τὰ βασιλέως πράγματα διατρίβειν (e superioribus perperam repetita). ‖ τὰ τοῦ mrg. m. r, τὸ τοῦ reliq. — 4, 2. ἀνόητος. ἀνόητος ἄνθρωπος Pflugk. p. 12, ὁ ἀνόητος Iacobs. ‖ 3. ὁμιλίας. ὁμιλίας φθείρεται Reisk. ‖ 7. δύναιντ' ἂν BM, ἂν om. reliq. ‖ 10. ὀλίγου. ὀλίγον M.

5 τονος ἐμοὶ δοκεῖν ἢ τὸ ἀργύριον. ἀλλ' ὅμως μιᾶς δραχμῆς
ἀπολομένης ἀνάγκη αἰσθέσθαι καὶ δηχθῆναι ἀμηγέπη· εἰ δὲ
καὶ πλείους τις ἐκβάλοι, οὐ πολλοί εἰσιν οἱ ἐπὶ τῷ τοιούτῳ
πρᾴως ἔχοντες· λέγω δὲ οὐ διὰ τὴν ἀμέλειαν λυπούμενοι καὶ
δακνόμενοι καὶ διὰ τὸ μὴ προσέχειν, ἐφ' οἷς ἄξιον ἦν δάκνε-
σθαι, ἀλλ' ἐπὶ τῇ ἀπωλείᾳ τῶν δραχμῶν. ἡμέρας δὲ ἐξελ-
θούσης καὶ ἀπολομένης καὶ δύο καὶ τριῶν οὐδείς ἐστιν ὃς
6 ἐφρόντισεν. ἀλλ' ἐκεῖ μὲν δύνανται λογίζεσθαι [τὸ τοιοῦτον],
ὅτι, εἰ μὴ προσέξουσι μηδὲ φροντιοῦσι τῶν τοιούτων, λάθοι
ἂν αὐτοὺς ἡ σύμπασα οὐσία διαῤῥυεῖσα καὶ ἀπολομένη· ἐν-
ταῦθα δὲ οὐ δύνανται ταὐτὸ τοῦτο λογίσασθαι, ὡς, εἰ μὴ
προνοήσουσιν ἑκάστης ἡμέρας καὶ φυλάξουσι μὴ εἰκῇ προϊέ-
ναι, λάθοι ἂν αὐτοὺς ὁ σύμπας βίος διαῤῥυεὶς καὶ ἀπολόμε-
7 νος. ἀλλ' ὅτι γε οὐ τόπος ἐστὶν ὁ παρέχων οὐδὲ τὸ ἀποδη-
μῆσαι τὸ μὴ φαῦλ' ἅττα πράττειν οὐδὲ εἰς Κόρινθον ἢ Θήβας
ἀνακεχωρηκέναι, τὸ δὲ τὸν βουλόμενον πρὸς αὐτῷ εἶναι· καὶ 492 H.
γὰρ ἐν Θήβαις καὶ ἐν Μεγάροις καὶ πανταχοῦ σχεδὸν, οὗ τις
ἂν ἀπέλθοι τῆς Ἑλλάδος καὶ τῆς Ἰταλίας, ἔνεστι τό τε ἀρ-
γεῖν καὶ τὸ ῥᾳθυμεῖν, καὶ οὐκ ἀπορήσει προφάσεως, ὅπου
ἂν τύχῃ ὢν, δι' ἣν βλακεύων τε καὶ ἀσχολούμενος ἀναλώσει
8 καὶ πάνυ πολὺν χρόνον, ἂν οὕτω τύχῃ. μὴ οὖν βελτίστη καὶ
λυσιτελεστάτη πασῶν ἡ εἰς αὐτὸν ἀναχώρησις καὶ τὸ προσ-
έχειν τοῖς αὐτοῦ πράγμασιν, ἐάν τ' ἐν Βαβυλῶνι τύχῃ τις
ὢν ἐάν τ' Ἀθήνησιν ἐάν τ' ἐν στρατοπέδῳ ἐάν τ' ἐν νήσῳ
μικρᾷ καὶ μόνος. αἱ γὰρ τοιαῦται ἀναχωρήσεις καὶ ἀποδη-
μίαι μικράν τινα ἔχουσι ῥοπὴν πρὸς τὸ σχολὴν ἄγειν καὶ τὸ
πράττειν τὰ δέοντα· ὥσπερ τοῖς ἀσθενοῦσιν ἐφ' ἑτέρας καὶ
ἑτέρας κλίνας κατακλίνεσθαι φέρει μέν τινα ἐνίοτε μικρὰν 244 M.

5, 1. δραχμῆς. δραγμῆς M. ‖ 3. καὶ. κἂν M. ‖ ἐκβάλοι. sic dedi. ἐκβάλῃ M, ἐκβάλλῃ B, ἀποβάλλοι r, ἐκβάλλοι vm. ‖ 5. δακνόμενοι. δακνώμενοι M. ‖ 6. δραχμῶν. δραγμῶν M. — 6, 1. δύνανται. δύναται BM. ‖ [τὸ τοιοῦτον] delet Reisk. — 7, 1. ἀλλ' ὅτι γε. Reiskius excidisse quaedam suspicatur, ἀλλ' οὗτοι οὐδὲ Iacobsius. at mutanda erat distinctio. vulgo enim post εἶναι plena interpunctio legitur. Pflugkius locum sic constituit: ἀλλὰ τοῦτό γε ἀνακεχωρηκέναι δεῖ τὸν — αὐτῷ εἶναι. ‖ 3. τὸ δὲ. malim δεῖ. ‖ 7. τύχῃ BM, τύχοι reliq. ‖ 8. οὕτω. sic dedi. οὕτως reliq. — 8, 2. ἡ. ἦ ἡ Geelius. at conf. Or. XX. § 3. ‖ ἀναχώρησις. ἀναχωρήσεις M. ‖ 3. τ' ἐν M, τε B, τι ἐν reliq. ‖ 4. ἐάν τ'. ἐάν τ' ἐν M. ‖ 5. τοιαῦται. μὴ τοιαῦται Iacobs. ‖ 8. κλίνας. κλείνης (superscr. κλείνας) M. ‖ κατακλίνεσθαι. κατακλείνεσθαι M.

9 ἀνάπαυσιν, οὐ μὴν ἱκανήν γε οὐδ' ὥστε ἀπαλλάξαι. ἰδεῖν δὲ
ἔστι καὶ ἐν τῷ πάνυ πολλῷ θορύβῳ τε καὶ πλήθει οὐ κωλυό-
μενον πράττειν ἕκαστον τὸ αὑτοῦ ἔργον, ἀλλ' ὅ τε αὐλῶν ἢ
διδάσκων αὐλεῖν τοῦτο ποιεῖ πολλάκις ἐπ' αὐτῆς τῆς ὁδοῦ τὸ
διδασκαλεῖον ἔχων, καὶ οὐδὲν αὐτὸν ἐξίστησι τὸ πλῆθος οὐδὲ
ὁ θόρυβος τῶν παριόντων, ὅ τε ὀρχούμενος ὁμοίως ἢ ὀρχη-
στοδιδάσκαλος πρὸς τούτῳ ἐστίν, ἀμελήσας τῶν μαχομένων
τε καὶ ἀποδυομένων καὶ ἄλλα πραττόντων, ὅ τε κιθαριστὴς
ὅ τε ζωγράφος· ὃ δὲ πάντων σφοδρότατόν ἐστιν· οἱ γὰρ τῶν
γραμμάτων διδάσκαλοι μετὰ τῶν παίδων ἐν ταῖς ὁδοῖς κάθην- 493 R
ται, καὶ οὐδὲν αὐτοῖς ἐμποδών ἐστιν ἐν τοσούτῳ πλήθει τοῦ
10 διδάσκειν τε καὶ μανθάνειν. ἤδη δέ ποτε εἶδον ἐγὼ διὰ τοῦ
ἱπποδρόμου βαδίζων πολλοὺς ἐν τῷ αὐτῷ ἀνθρώπους ἄλλον
ἄλλο τι πράττοντας, τὸν μὲν αὐλοῦντα, τὸν δὲ ὀρχούμενον, τὸν
δὲ θαῦμα ἀποδιδόμενον, τὸν δὲ ποίημα ἀναγιγνώσκοντα, τὸν
δὲ ᾄδοντα, τὸν δὲ ἱστορίαν τινὰ ἢ μῦθον διηγούμενον· καὶ
οὐδὲ εἷς τούτων οὐδένα ἐκώλυσε προσέχειν αὐτῷ καὶ τὸ προ-
11 κείμενον πράττειν. καίτοι τούτων οὐδέν ἐστι τῶν ἔργων, ὃ
συνάγει τὴν ψυχὴν καὶ καθίστησι καὶ καταφρονεῖν ποιεῖ τῶν
ἄλλων ἁπάντων. παιδεία δὲ ὡς ἔοικε καὶ φιλοσοφία, αἳ
μάλιστα τοῦτο διαπράττονται, πολλῆς ἐρημίας τε καὶ ἀναχω-
ρήσεως τυγχάνουσι δεόμεναι· καὶ ὥσπερ τοῖς νοσοῦσιν, εἰ μὴ
πανταχόθεν ἐστὶ σιωπή τε καὶ ἡσυχία, οὐ δυνατὸν ὕπνου
μεταλαβεῖν, οὕτως ἄρα καὶ τοῖς φιλολόγοις, εἰ μὴ πάντες
ὑποσιγήσουσιν αὐτοῖς καὶ μήτε ὅραμα μηδὲν ἄλλο ἔσται μήτε
ἀκούσματος ἀκούειν μηδενός, οὐκ ἄρα οἵα τε ἔσται ἡ ψυχὴ
12 τοῖς αὑτῆς προσέχειν καὶ περὶ ταῦτα γίγνεσθαι. ἀλλ' ἔγωγε
ὁρῶ καὶ τοὺς πλησίον τῆς θαλάττης οὐδὲν πάσχοντας, ἀλλὰ
καὶ διανοεῖσθαι δυναμένους, ἃ βούλονται διανοεῖσθαι, καὶ
λέγοντας καὶ ἀκούοντας καὶ καθεύδοντας, ὁπόταν αὐτοῖς ᾖ

9, 1. δέ ἐστι. γέ ἐστι B, τέ ἐστιν M. ‖ 2. κωλυόμενον. κωλυώμενον M. ‖ 4. ποιεῖ. ποιεῖν M. ‖ 5. οὐδὲ ὁ. ὁ om. M. ‖ 8. ἀποδυομένων. ἀποδιδομένων BM. ‖ 9. ζωγράφος. ἔξω γράφος M. ‖ σφοδρότατόν Prog. p. 28, φοβερώτατόν reliqui. φανερώτατόν Iacobs., quod proposueram ibidem. ‖ 10. ἐν. τῶν M. — 10, 1. εἶδον. ἴδον M. ‖ 4. ἀναγιγνώσκοντα M, ἀναγινώσκοντα reliq. — 11, 3. αἳ a corr. add. M. ‖ 5. δεόμεναι. δεόμενοι M. ‖ 8. ὅραμα. Reiskius ὁρᾶν aut post v. ἄλλο aut post v. ἔσται excidisse suspicatur. ‖ 10. αὑτῆς Reisk., αὐτῆς BM, αὐτοῖς reliq. — 12, 2. οὐδὲν πάσχοντας om. M. ‖ ἀλλὰ καὶ BM, καὶ om. reliq.

καιρός, ὅτι οὐδὲν οἴονται προσήκειν αὐτοῖς τοῦ ψόφου τούτου
οὐδὲ φροντίζουσιν. εἰ δέ γε ἐβούλοντο προσέχειν, ὁπότε μεί- 494 R. 265 M.
ζων ἢ ἐλάττων γίγνοιτο ἦχος, ἢ διαριθμεῖν τὰ κύματα τὰ προσ-
πίπτοντα ἢ τοὺς λάρους τε καὶ τἆλλα ὄρνεα ὁρᾶν, ὅπως ἐπι-
πέτονται ἐπὶ τὰ κύματα καὶ νήχονται ῥᾳδίως ἐπ' αὐτῶν, οὐκ
13 ἂν ἦν αὐτοῖς σχολὴ ἄλλο τι ποιεῖν. οὐκοῦν καὶ ὅστις δυνατὸς
ἐννοῆσαι περὶ τῶν πολλῶν ἀνθρώπων καὶ τοῦ θορύβου τοῦ
κατ' αὐτοὺς καὶ τῶν πραγμάτων, ὅτι οὐδὲν διαφέρει ταῦτα
τῶν ἐν τῇ θαλάττῃ γιγνομένων, οὐκ ἂν ἐνοχλοῖτο ὑπ' αὐτῶν.
ἀλλὰ τοῦτό ἐστιν ὡς ἔοικε πολλοῦ ἄξιον τὸ μάθημα καὶ
δίδαγμα, τὸ τὴν ψυχὴν ἐθίζειν ἕπεσθαι τῷ λόγῳ καὶ μὴ ἐπ'
ἄλλ' ἄττα τρέπεσθαι ἢ τά τε προκείμενα καὶ δοκοῦντα ὀρθῶς
14 ἔχειν. καὶ ἡ μὲν οὕτως ἐθισθεῖσα ψυχὴ λόγῳ δυνήσεται
ἅπαντα διαπράττεσθαι τὰ προσήκοντα αὐτῇ· ἡ δὲ ῥεμβομένη
τε καὶ ἀλύουσα καὶ ἄλλοτε ἐπ' ἄλλο τρεπομένη, ὅταν τι προ-
φανῇ ποτε ἡδονήν τινα ἢ ῥᾳστώνην ἔχον, ὥσπερ ὕδατος ἐν
ἑτεροκλινεῖ χωρίῳ ὅποι ἔτυχε τρεπομένου, οὐδὲν ἂν ὠφεληθείη
15 οὐδ' ὑπὸ τῆς πάσης ἡσυχίας τε καὶ ἐρημίας. οἶδα γὰρ ἔγωγε
καὶ τῶν κυνῶν τὰς μὲν καλῶς ἀχθείσας καὶ φιλοπόνως, 496 R.
ἐπειδὰν ἀφεθῶσιν, εὐθὺς ἀναζητούσας τὸ ἴχνος καὶ οὐδ' εἰ
πάντες ἀποκαλοῖεν οὐκ ἄν ποτε τοῦτο ἀπολειπούσας· οὐδ' εἰ
πολλαὶ μὲν φωναὶ πανταχόθεν φέροιντο, πολλαὶ δὲ ὀσμαὶ ἀπό
τε τῶν καρπῶν καὶ ἀνθῶν ἐμπλέκοιντο, πολὺ δὲ πλῆθος ἀν-
θρώπων τε καὶ ἄλλων ζῴων φαίνοιτο καὶ ἴχνη τὰ μὲν ἵππων,
τὰ δὲ βοῶν, τὰ δὲ προβάτων· οὐδὲν οὔτε ὁρᾷ τούτων οὔτε
αἰσθάνεται αὐτῶν οὐδενός, ἀλλὰ ἐκεῖνα παριδοῦσα πανταχό-

5. ψόφου Morell., ψόφον reliq., φλοίσβου Casaub. ‖ 6. δέ γε. δέ γε ὁ M. ‖ 7. διαριθμεῖν. νὴ Δί' ἀριθμεῖν Reisk. ‖ τὰ προσπίπτοντα Reisk., τὰ om. reliq. ‖ 8. τἆλλα Reisk., τὰ ἄλλα M, ἄλλα reliq. ‖ 9. τὰ κύματα. τῶν κυμάτων Reisk. — 13, 4. ὑπ' αὐτῶν Geel., ὑπὸ πάντων reliq. — 14, 1. ἡ μὲν Selden., ἡμῖν reliq., μὴν Casaub. ‖ ἐθισθεῖσα. ἐθισθῆσα M. ‖ ψυχὴ Reisk., ἡ ψυχὴ reliq. ‖ 2. ἡ δέ. εἰ δὲ BM. ‖ 3. ἄλλο BM. Wyttenb. ad Plutarch. p. 22 e, ἄλλα Reisk., ἄλλῳ reliq. ‖ 4. ὥσπερ. δίκην Reisk., possit et τρόπον. ‖ 5. ἑτεροκλινεῖ. ἑτέρῳ κλίνει M. ‖ οὐδὲν ἂν BM. Casaub., οὐδὲ ἂν reliq. ‖ ὠφεληθείη Casaub., ὠφεληθῇ reliq., ὠφελήθη Geel. ‖ 6. οὐδ' M. Casaub., οὐχ reliq. ‖ ἡσυχίας τε καὶ ἐρημίας BM, ἐρημίας τε καὶ ἡσυχίας reliq. — 15, 1. οἶδα. οἱ δὲ M. ‖ 3. ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ 5. ὀσμαί. οἶμαι M. ‖ 6. ἀνθῶν. ἀνθέων B. ‖ πολὺ δὲ r, πολύ τε reliq. ‖ 8. οὐδὲν BM (corr. καὶ οὐδὲν), καὶ οὐδὲν reliq. ‖ 9. παριδοῦσα in M a corr. add. ‖ πανταχόθεν BM, ἁπανταχόθεν reliq.

Digitized by Google

θεν ἐκλέγει τὸ ἴχνος κἀκείνῳ ἕπεται, μέχρις ἂν εὕρῃ τε καὶ
ἀναστήσῃ τὸν λαγών, καὶ μετὰ ταῦτα κατέχει διώκουσα, δι'
ὁποίων ἄν ποτε ἴῃ χωρίων, καὶ οὔτε πεδίον οὔτε ὄρος οὔτε
τὰ λίαν τραχέα οὔτε χαράδρα ἢ ῥεῦμα ἀποκωλύει αὐτὴν
πολλούς τινας δρόμους τοῦ λαγὼ θέοντος καὶ πειρωμένου ἐξ-
16 απατᾶν· τὰς δὲ ἀμαθεῖς τε καὶ ἀπαιδεύτους κύνας βραδέως
μὲν αἰσθανομένας, ταχέως δὲ ἀπαγορευούσας, εἰ δέ ποθεν
ἀλλαχόθεν προσπέσοι θροῦς, εἴτε ὑλακὴ κυνῶν εἴτε ἀνθρώ- 266 M.
πων φθεγξαμένων ὁδοιπόρων ἢ νομέων, εὐθὺς ἀνακυπτούσας
ἐκ τοῦ ἴχνους κἀκεῖ φερομένας. τούτων δὴ πάντων, ὅπερ
ἔφην, τὸ ἔθος αἴτιον. ὁμοίως δὲ καὶ τὴν ψυχὴν ἐθίζειν ἂν 496 R.
δέοι μηδέποτε ἀποτρέπεσθαι μηδὲ ἀναχωρεῖν τοῦ δοκοῦντος
εἶναι προσήκοντος ἔργου. εἰ δὲ μή, οὐ ῥᾴδιον περιγενέσθαι
17 οὐδὲ ἐξεργάσασθαι οὐδὲν ἱκανῶς. ἢ οὐκ ἐν ταῖς ἐρημίαις καὶ
ἡσυχίαις, οὐκ ἐνταῦθα μάλιστα, ἀνευρίσκουσιν οἱ ἀνόητοι
ἄνθρωποι, ὅπως μηδὲν διανοῶνται τῶν δεόντων, ἕτερα πολλὰ
καὶ ἄτοπα διανοήματα, οἷς ἀγαπῶσι ξυνόντες, τυραννίδας τε
καὶ πλούτους καὶ ἄλλ' ἄττα θαυμαστὰ ἀναπλάττοντες αὐτοῖς;
οἱ μὲν θησαυρούς τινας ἀνασκάπτοντες χρυσοῦ τε καὶ ἀργύ-
ρου, πλῆθος ἐξαίφνης ἀμήχανον ὅσον κτώμενοι, οἱ δὲ βασι-
λεῖς τε καὶ μονάρχους πόλεών τε καὶ ἐθνῶν ἀποδεικνύντες
σφᾶς αὐτούς, ἔπειτα ἤδη τὰ ἑξῆς περὶ τὴν τυραννίδα πάντα
πράττοντες, τοὺς μέν τινας ἀποκτιννύντες, τοὺς δὲ ἐλαύνοντες,
παρθένοις δὲ καὶ μειρακίοις καὶ γυναιξὶ πλησιάζοντες αἷς ἂν
ἐθέλωσιν, ἑστιάσεων δὲ καὶ εὐωχιῶν τῶν πολυτελεστάτων
18 μεταλαμβάνοντες, οἱ δέ τινες ἀργύριον ἐκδανείζοντες ἢ ἄλλας
ἐργασίας ἐργαζόμενοι, οἷον ἐγρηγορότες τε καὶ ὁρῶντες ὀνεί-

10. ἐκλέγει. ἐκλέγειν M. ‖ 11. ἀναστήσῃ. ἀναστήσει M. ‖ κατέχει BM, κατέχῃ reliq. ‖ 12. ὄρος r, ὁδὸς reliq. ‖ 13. λίαν. λεῖαν M. ‖ τραχέα. παχέα BM (corr. vulg.). ‖ 14. δρόμους BMA. Interpr. r, τρόμους vm. — 16, 2. ταχέως BM, ταχὺ reliq. ‖ 3. προσπέσοι. προπέσοι M. ‖ ὑλακή. aut ὑλακτούντων scribendum, aut θροῦς ante ἀνθρώπων collocandum putat Reiskius, ὑλακῆς Geelius. non opus est mutatione. ‖ 6. ἔθος. αἶθος M. ‖ ὁμοίως. ὅμως BM. — 17, 1. ἢ οὐκ. οὐδ' Selden. ‖ ἐρημίαις M. Reisk., ἠρεμίαις reliq. ‖ 2. οὐκ. ἢ οι Selden. ‖ ἀνευρίσκουσιν Geel., ἀνευρήκασι reliq. ‖ 3. ἕτερα. τέρα (τέρατα) Iacobs. Add. p. 292. ‖ 4. διανοήματα suspectum Geelio. ‖ 6. ἀνασκάπτοντες Geel., ἀνορύττοντες (ἀναζύττοντες?) Selden., ἀναπλάττοντες reliqui, quod delebat Reisk. ‖ 9. πάντα πράττοντες BM, πάντα om. reliq. ‖ 11. μειρακίοις. μιρακίοις M. ‖ καὶ γυναιξί. καὶ om. r. ‖ 12. δὲ καί. sic dedi. δὲ om. reliq. — 18, 1. ἐκδανείζοντες. ἐκδανίζοντες M. ‖ 2. ἐργαζόμε-

Digitized by Google

ρατα ποικίλα καὶ παντοδαπὰ πλάττοντες αὐτοῖς. ἐνίοτέ γε
μὴν ἐκ τῶν ὀνειράτων τούτων ἀποβαίνει καὶ ὕπαρ αὐτοῖς τὰ
φαυλότατα καὶ ἀτοπώτατα. τυραννίδες μὲν γὰρ οὐ πάνυ τι
ἐκ τῶν τοιούτων γίγνονται· οὐ γὰρ ἐθέλει ἡ τυραννὶς ὑπὸ 497 R.
ῥᾳθύμου τε καὶ τρόπον τινὰ ἀεὶ κοιμωμένης διανοίας θηρεύε-
σθαι, ἀλλὰ τοὐναντίον ὑπὸ δριμείας τε καὶ ἀγρύπνου φροντί-
δος· δαπάναι δὲ καὶ ἔρωτες καὶ τοιαῦταί τινες διατριβαὶ πολ-
19 λοῖς ἤδη πολλάκις ἀπήντησαν. οἷον δὴ ἐγὼ οἶμαι τὸν Ἀλέξαν-
δρον, ὡς ἐτύγχανε σχολὴν ἄγων ἐν τῇ Ἴδῃ περὶ τὰ βουκόλια,
τοιαύτης ἐννοίας καὶ ἐπιθυμίας αὐτῷ γενομένης, ὡς ἄρα εὔ-
δαιμόν τε καὶ μακάριον τὸ τὴν πασῶν καλλίστην γυναῖκα
ἔχειν, καὶ οὔτε βασιλεία τούτου ἄξιον τοῦ χρήματος οὔτε 267 M.
πλοῦτος οὔτε κρατεῖν μαχόμενον ἁπάντων ἀνθρώπων, μετὰ
ταῦτα ἤδη διανοεῖσθαι, τίς τε δὴ καὶ παρὰ τίσιν ἡ τοιαύτη
20 γυνή, καὶ πόθεν ἂν αὐτῷ τοιοῦτος ὑπάρξαι γάμος. καὶ δὴ
τὰς μὲν ἐν Ἰλίῳ νύμφας καὶ παρθένους ἅτε τύραννος ὢν ἠτί-
μαζε καὶ οὐκ ᾤετο ἀξίας τυχεῖν, ὁμοίως δὲ καὶ τὰς Λυδῶν τε
καὶ Φρυγῶν τάς τε ἐν Λέσβῳ καὶ τὰς ἐν Μυσίᾳ γυναῖκας
ὑπερεώρα. πυνθανόμενος δὲ ἐν Σπάρτῃ τινὰ εἶναι Διὸς λε-
γομένην θυγατέρα Μενελάῳ συνοικοῦσαν, ἀνδρὶ βασιλεῖ καὶ
βασιλέως ἀδελφῷ τῆς ξυμπάσης Ἑλλάδος, ἣν ἐμνήστευσάν τε
καὶ ἔσπευσαν λαβεῖν πολλὰ ἕδνα καὶ δῶρα διδόντες οἱ πρῶτοί
τε καὶ ἄκροι τῶν Ἑλλήνων· καὶ δὴ καὶ ἀδελφῶν ἐλέγετο εἶναι
ἀγαθῶν, Πολυδεύκους καὶ Κάστορος, Διὸς υἱῶν γενομένων·
21 ἐπεθύμησεν αὐτῷ ταύτην γενέσθαι τὴν γυναῖκα. ἄλλως μὲν
οὖν οὐ πάνυ τι ἡγεῖτο δυνατόν, εἰ δὲ θεός τις ὑπόσχοιτο καὶ
δοίη, τάχ᾽ ἂν γενέσθαι τὸ τοιοῦτον. καὶ τίνα δὴ θεὸν ἄλλην
εἰκὸς τὰς τοιαύτας χαρίζεσθαι χάριτας ἢ τὴν κρατοῦσάν τε
καὶ ἄρχουσαν τῶν περὶ τοὺς γάμους τε καὶ ἔρωτας; οὐκοῦν
ἐκείνης μὴ διδούσης ἀδύνατον ἡγεῖτο τὸν γάμον. πῶς ἂν οὖν 498 R.

τοι Casaub. r, om. reliq. ‖ 4. ἀποβαίνει. ἀποβαίνειν vm. ‖ ὕπαρ. παρ᾽ M. ‖ 9. δαπάναι immerito suspectum Geelio, qui mavult ἀπάται vel ἁρπαγαί. — 19, 2. ἐτύγχανε. ἐτύγχανον M. ‖ 3. εὔδαιμόν. εὐδαῖμόν B. ‖ 7. τίς τε. sic dedi. τίς δὲ reliq. — 20, 2. Ἰλίῳ. ἡλίῳ (corr. vulg.) M. ‖ 3. τυχεῖν. θιγεῖν Iacobs. Add. p. 273, ἂν τυχεῖν Geel. ‖ 4. ἐν Μυσίᾳ BM, ἐν τῇ Μυσίᾳ reliq. ‖ 5. δὲ ἐν. γὰρ ἐν M. ‖ 9. ἀδελφῶν. ἀδελφῶν ἀγαθῶν BM. ‖ 10. ἀγαθῶν om. BM. — 21, 2. πάνυ τι BM, πάνυ τοι reliq. ‖ 3. καὶ τίνα. καὶ om. M. ‖ 6. μὴ om. BM. (an ἀκούσης pro μὴ διδούσης?)

ἐκείνην πεῖσαι χαρίσασθαι; εἰ τρόπον τινὰ γίγνοιτο αὐτὸς
προσφιλὴς τῇ θεῷ καὶ δωρεάν τινα καὶ χάριν δεδωκώς; ἀλλ'
οὔτε χρημάτων αὐτὴν τυγχάνειν δεομένην, ἅτε χρυσῆν οὖσαν
καὶ πάντα χρήματα ἁπλῶς κεκτημένην, οὔτε θυσιῶν· πάντας
γὰρ αὐτῇ πανταχοῦ θύειν· οὔτε ἄλλῃ τινὶ ὁμιλίᾳ καὶ δεήσει
ῥᾳδίως ὑπακοῦσαι ἄν· ἀλλ' εἰ οὗ μάλιστα ἐπεθύμει καὶ ὃ
πάντων τιμιώτατον νενόμικε, τοῦτο προσθείη τις αὐτῇ καὶ
μαρτυρήσειεν, ὥς ἐστι καλλίστη, τάχ' ἂν ἀγαπῆσαι αὐτήν.
22 νικᾶν δὲ καὶ προκρίνεσθαι κατὰ τοῦτο τίνος ἄν ποτε ἀξιώ-
σειεν ἢ θεῶν τῶν πρώτων τε καὶ μεγίστων, Ἀθηνᾶς τε καὶ
Ἥρας; καὶ ἔτι μᾶλλον, εἰ φαίνοιντο ἐκεῖναι μεγάλα καὶ θαυ-
μαστὰ παρεχόμεναι δῶρα ἕνεκα τῆς νίκης. οὕτω δὴ διελθών
τε καὶ ἐξεργασάμενος τὴν αὑτοῦ δόξαν καὶ ἐπίνοιαν, οἷον 268 M.
ψυχῆς ἐν ὕπνῳ φαντασίαις καὶ δόξαις ἐπακολουθούσης καὶ
μακρόν τι καὶ συντεταγμένον ὑφαινούσης ὄναρ, κριτής τε ὑπὸ
τοῦ Διὸς γίγνεται τῶν θεῶν καὶ τὰς μὲν αὐτάς τε ὑπερεῖδε
καὶ τὰ δῶρα αὐτῶν, τὴν δὲ προέκρινεν ἐπὶ μισθῷ τε καὶ
δώρῳ τῷ λαβεῖν τὸν γάμον ἐκείνης τῆς γυναικός, ὑπὲρ ἧς
23 ἐνεθυμήθη τε καὶ εὔξατο. εἰ μὲν οὖν αὐτὸ τοῦτο βουκόλος
καὶ ἰδιώτης ἔτυχεν ὤν, οὐδὲν ἂν πρᾶγμα ἀπήντησεν ἐκ τοῦ
τοιούτου ὀνείρατος. νῦν δὲ ἐπειδὴ τύραννος καὶ δυνάστης ἦν
καὶ πλούτῳ τε ἰσχύων καὶ ἀρχῇ πόλεως τῆς τότε μεγίστης
καὶ τῇ τῶν γονέων πρὸς αὐτὸν εὐνοίᾳ, τὰ λοιπὰ ἤδη ἔργῳ
ἐξειργάσατο, ὡς ἐπὶ τούτοις ἀληθῶς γεγονόσι ναῦς τε ναυ-
πηγησάμενος καὶ ἑταίρους συναγαγὼν καὶ πλεύσας ἐπί τε τὴν 199 R.
Ἑλλάδα καὶ Σπάρτην, καὶ εἰς τὴν οἰκίαν ἀφικόμενος τὴν Με-
νελάου καὶ Ἑλένης καὶ ξενίων τυχών, ἀναπείσας καταλιπεῖν
αὐτὴν τὸν ἄνδρα καὶ τὴν Ἑλλάδα, ἧκεν ἄγων εἰς Τροίαν,
24 πολλῶν καὶ χαλεπῶν πραγμάτων καὶ συμφορῶν ἀρχήν. οὕτως

7. γίγνοιτο. γείνοιτο M. ‖ 8. τῇ. τῆς M. ‖ καὶ δωρεάν τινα καὶ χάριν BM, καὶ χάριν τινὰ καὶ δωρεὰν reliq. ‖ 12. ἀλλ' εἰ. ἀλλ' ἢ B. ‖ 14. καλλίστη. καλλήστη M. — 22, 2. πρώτων τε. τε om. M. ‖ 3. φαίνοιντο. φαίνοιτο M. ‖ 4. ἕνεκα. ἕνεκεν M. ‖ 5. αὑτοῦ. αὐτοῦ M. ‖ 6. φαντασίαις Reisk., φαντασίας reliq. ‖ δόξαις Reisk., δόξης reliq. ‖ 8. ὑπερεῖδε. ὑπεριδεῖν M. ‖ 10. τῷ. τὸ BM. — 23, 1. μὲν οὖν. οὖν om. BM. ‖ 2 ἔτυχεν BM, ἐτύγχανεν reliq. ‖ 4. ἀρχῇ. sic dedi. ἄρχειν B, ἀρχὴν M, ἄρχων reliqui. quapropter Reiskius verba ita transponebat: καὶ ἄρχων πόλεως τῆς τότε μεγίστης καὶ πλούτῳ τε ἰσχύων. ‖ 5. ἤδη. ἴδη vm. ‖ 7. ἑταίρους. ἑτέρους M. ‖ 9. τυχών. ἐντυχὼν B. ‖ 11. ἀρχήν M (corr. ἄρχων). mr, ἄρχειν B, ἄρχων v.

αἱ μὲν ἰδιωτικῆς καὶ ἀδυνάτου ψυχῆς ἔννοιαί τε καὶ ἐπιθυ-
μίαι ὑπήνεμοί τε καὶ ἀδρανεῖς καὶ οὐδὲν ἀπ' αὐτῶν γίγνεται
χαλεπόν· ἀλλ' ὥσπερ τὰ τῷ ὄντι ὀνείρατα ἀναστάντων εὐθὺς
οἴχεται καὶ οὐδὲν αὐτῶν, ὥς φασι, τὸν ἥλιον οὐδὲ τὴν ἡμέραν
ὑπομένει, παραπλησίως καὶ τὰ τοιαῦτα ἔχει ἐπιθυμήματά τε
καὶ ἐλπίσματα. τὰ δὲ τῶν μονάρχων ἢ πλουσίων ἢ ἄλλην
τινὰ ἐχόντων δύναμιν ἐπὶ πέρας ἀφικνεῖται πολλάκις χαλεπόν
25 τε καὶ φοβερόν. [καὶ ἔστιν ὅμοιον, ὥσπερ ἐμοὶ δοκεῖ, τὸ
τοιοῦτον ὑπηνεμίοις γεννήμασιν. φασὶ γὰρ δὴ ᾠὰ γίγνεσθαι
οὕτως ἄνευ συνουσίας τε καὶ μίξεως ἄῤῥενος, ἃ καλοῦσιν
ὑπηνέμια, ὡς ὑπ' ἀνέμῳ προσπεσόντι γιγνόμενα. ὅθεν δὴ καὶ
Ὅμηρος ἐμοὶ δοκεῖν οὐκ ἀδύνατον ἡγησάμενος οὐδὲ ἀπίθα- 500 R.
νον τοῖς ἀνθρώποις φανῆναι ἵππων ὑπηνέμιον γένος, τὸν
Βοῤῥᾶν ἔφη ἐρασθέντα Τρωικῶν τινων ἵππων ἐμπλῆσαί τε
αὐτὰς γονῆς, καὶ γένος ἵππων ἐξ αὐτῶν γενέσθαι.] [πολλάκις 269 M.
ἔκ τινος ἐνθυμήματος ψευδοῦς καὶ ἀδυνάτου ἀποβῆναι πρᾶ-
26 γμα ἀληθές.] εἴρηται δέ μοι πάντα ταῦτα ἀπ' ἐκείνης
τῆς ἀρχῆς καὶ ἐκτροπῆς, ὅτι δεῖ τὴν ψυχὴν ἐθίζεσθαι τὰ
δέοντα πράττειν καὶ διανοεῖσθαι πανταχοῦ τε καὶ ἐν ἅπαντι
θορύβῳ καὶ ἐν ἁπάσῃ ἡσυχίᾳ. εἰ δὲ μή, τὸ τῆς ἐρημίας τε
καὶ ἡσυχίας οὐδὲν μεῖζον καὶ ἀσφαλέστερον τοῖς ἀνοήτοις
τῶν ἀνθρώπων πρὸς τὸ μὴ πολλὰ καὶ ἄτοπα διανοεῖσθαί τε
καὶ ἁμαρτάνειν.

24, 2. ἔννοιαί. sic dedi. ἄνιαι B, ἄνοιαί reliq. ‖ 3. ἀπ' αὐτῶν. ἐπ' αὐτῶν BM. m. ‖ 6. ἔχει r, ἔχειν reliq. ‖ 7. τὰ δὲ Selden. r, ταῖς δὲ BM, αἱ δὲ vm. ‖ μονάρχων. μοναχῶν M. ‖ 8. χαλεπόν τε καὶ φοβερόν BM, φοβερόν τε καὶ χαλεπόν reliq. — 25, 1. [καὶ ἔστιν — γενέσθαι] delenda videntur, vel certe post v. ἐλπίσματα (§. 24, 7.) inserenda. ‖ 2. γὰρ δὴ M, δὴ om. reliq. ‖ ᾠά. ὡς M. ‖ γίγνεσθαι M, γίνεσθαι reliq. ‖ 4. προσπεσόντι M, περιπεσόντι reliq. ‖ 7. Βοῤῥᾶν B, βορρὰν M, Βοῤῥέαν reliq. ‖ 8. [πολλάκις — ἀληθές] delenda. Reiskius ea inserebat post v. δύναμιν §24. frustra. corrigere conatur Casaubonus, Selden. post ἀληθὲς v. αἰνιττόμενος addit, vel γοῦν post πολλάκις. — 26, 1. εἴρηται BM, καὶ εἴρηται reliq.

ΛΟΓΟΣ κα

ΠΕΡΙ ΚΑΛΛΟΥΣ.

1 *Δ.* Ὡς ὑψηλὸς ὁ νεανίσκος καὶ ὡραῖος· ἔτι δὲ ἀρχαῖον αὐτοῦ
τὸ εἶδος, οἷον ἐγὼ οὐχ ἑώρακα τῶν νῦν, ἀλλ' ἢ τῶν Ὀλυμπία-
σιν ἀνακειμένων, τῶν πάνυ παλαιῶν. αἱ δὲ τῶν ὕστερον εἰ-
κόνες ἀεὶ χείρους καὶ ἀγεννεστέρων φαίνονται τὸ μέν τι ὑπὸ
τῶν δημιουργῶν, τὸ δὲ πλέον καὶ αὐτοὶ τοιοῦτοί εἰσιν. —
B. ἦ δεινὸν λέγεις, εἰ ὥσπερ φυτόν τι ἢ ζῷον ἐκλελοίπασι τῷ
χρόνῳ οἱ καλοί, οἷόν δή φασι τοὺς λέοντας παθεῖν τοὺς ἐν 501 R.
τῇ Εὐρώπῃ· οὐ γὰρ ἔτι αὐτῶν εἶναι τὸ γένος· πρότερον δὲ
ἦσαν καὶ περὶ Μακεδονίαν καὶ ἐν ἄλλοις τόποις· εἰ οὕτως
2 οἴχεται δὴ κάλλος ἐξ ἀνθρώπων. — *Δ.* τό γε ἀνδρεῖον, ὦ
βέλτιστε, τὸ μέντοι γυναικεῖον ἴσως πλεονάζει. ἀνὴρ δὲ καλὸς
σπάνιον μὲν εἰ γίγνεται νῦν, καὶ γενόμενος τοὺς πλείστους
λανθάνει, πολλῷ μᾶλλον ἢ οἱ καλοὶ ἵπποι τοὺς ὀρεοκόμους.
εἰ δ' ἄρα καὶ ἅψαιντο τῶν τοιούτων, μεθ' ὕβρεως καὶ πρὸς
οὐδὲν ἀγαθόν· ὥστε μοι δοκοῦσι καὶ οἱ γενόμενοι ταχὺ λή-
γειν καὶ ἀφανίζεσθαι. οὐ γὰρ μόνον ἡ ἀρετὴ ἐπαίνῳ αὔξε-
ται, ἀλλὰ καὶ τὸ κάλλος ὑπὸ τῶν τιμώντων αὐτὸ καὶ σεβο-
μένων· ἀμελούμενον δὲ καὶ οὐδενὸς εἰς αὐτὸ βλέποντος ἢ
πονηρῶν βλεπόντων σβέννυται, ὥσπερ τὰ κάτοπτρα. — **B.** ἆρ'
οὖν ὅπερ Ἀθηναῖοι πολλάκις, καὶ ἡμᾶς χρὴ ἀναρχίαν ἀνα- 270 M.

Orat. XXI. Collati sunt BM. — 1, 1. *ὡραῖος. ὁραῖος* **M.** ‖ **2.** *ἑώρακα. ἑόρακα* **M.** ‖ **3.** *παλαιῶν* **M,** *παλαιῶν παίδων* **reliq.** ‖ **6.** *εἰ. ἢ* **M.** ‖ *τι* **BM. Casaub. r,** *τε* **vm.** ‖ **9.** *εἰ. ἢ* **Casaub. — 2, 3.** *σπάνιον* **M. Pflugkius, qui ceteroquin vulgatam servat,** *καὶ σπανίως* **vel** *καὶ σπάνιον θέαμα* **Reisk.,** *καὶ σπάνιον* **reliq.** ‖ *εἰ γίγνεται.* **sic dedi.** *γίγνεται* **M,** *καὶ γίγνεται* **reliq.** ‖ *γενόμενος.* **sic dedi.** *γιγνόμενος* **M,** *γενόμενος* **reliq.** ‖ **4.** *πολλῷ. πολὺ* **Pflugk.** ‖ *ὀρεοκόμους* **B,** *ὀρεωκόμους* **reliq.** ‖ **5.** *ἅψαιντο* **Reisk.,** *ἅψαιτο* **reliqui. locum sic tentat Pflugkius:** *ἅψαιτό τινων, καὶ τοῦτο μεθ'* **cett.** ‖ *ὕβρεως. ὕβρεως ἅπτονται* **Reiskius. at conf. Obs. p. 44.** ‖ **8.** *σεβομένων. σεβόμενον* **A.** ‖ **10.** *πονηρῶν. πονηρῶς* **Iacobsius, quod Morellus in MS nescio quo reperiri affirmat.** ‖ **11.** *ἀναρχίαν.* **malim cum Casaubono** *κάλλους ἀναρχίαν.* **Pflugkius locum sic constituit:** *Ἀθηναῖοί ποτε, κάλλους καὶ ἡμᾶς.*

γράφειν τὸν παρόντα καιρὸν, ὡς οὐδενὸς ὄντος καλοῦ. —
3 Δ. οὐ μὰ Δία ὡς Πέρσαι γε ἐνόμιζον, Ἑλλήνων δὲ οὐδεὶς ἢ
εἴ τις ἐκ τῶν τριάκοντα. ἢ οὐκ οἶσθα Κριτίαν τὸν τῶν τριά- 302 R.
κοντα, ὅτι κάλλιστον ἔφη εἶδος ἐν τοῖς ἄῤῥεσι τὸ θῆλυ, ἐν
δ' αὖ τοῖς θήλεσι τοὐναντίον; οὐκοῦν δικαίως Ἀθηναῖοι
νομοθέτην αὐτὸν εἵλοντο ἐπί γε τῷ μεταγράψαι τοὺς παλαιοὺς
νόμους, ὃς οὐδένα αὐτῶν ἔλιπεν. — Β. εἶεν. οἱ δὲ Πέρσαι πῶς
4 ἐνόμιζον; — Δ. οὐ γὰρ φανερὸν, ὅτε εὐνούχους ἐποίουν τοὺς
καλοὺς, ὅπως αὐτοῖς ὡς κάλλιστοι ὦσιν; τοσοῦτον διαφέρειν
ᾤοντο πρὸς κάλλος τὸ θῆλυ, σχεδὸν δὲ καὶ πάντες οἱ βάρβα-
ροι, ᾗπερ τὰ ἄλλα ζῷα, διὰ τὸ μόνον τὰ ἀφροδίσια ἐννοεῖν.
ὡς οὖν λέγεται Δαίδαλος ποιῆσαι τὸν ταῦρον ἐξαπατῶν, περι-
τεῖναι τῷ ξύλῳ δέρμα βοὸς, κἀκεῖνοι γυναικὸς εἶδος περιτι-
5 θέασι τοῖς ἄῤῥεσιν, ἄλλως δὲ οὐκ ἐπίστανται ἐρᾷν. ἴσως δὲ
καὶ ἡ τροφὴ αἰτία τοῖς Πέρσαις, τὸ μέχρι πολλοῦ τρέφεσθαι 303 R.
ὑπό τε γυναικῶν καὶ εὐνούχων τῶν πρεσβυτέρων, παῖδας δὲ
μετὰ παίδων καὶ μειράκια μετὰ μειρακίων μὴ πάνυ συνεῖναι
μηδὲ γυμνοῦσθαι ἐν παλαίστραις καὶ γυμνασίοις. ὅθεν ἐγὼ
οἶμαι ξυμβῆναι αὐτοῖς ταῖς μητράσι μίγνυσθαι· ὥσπερ οἱ
πῶλοι, ἐπειδὰν ἁδρότεροι ὄντες ἀκολουθῶσιν ἔτι ταῖς μητρά-
6 σιν, ἐπιβαίνειν ζητοῦσιν. τὸ μέντοι τῆς τροφῆς καὶ ἐνταῦθα
δείκνυσι τὴν ἰσχύν· κάλλιον μὲν γὰρ δὴ πολὺ ἵππος ὄνου· οἱ
δέ γε ὄνοι οὐκ ἐπιθυμοῦσιν ἵππων διὰ τὴν φύσιν, εἰ μὴ ὃς ἂν
ᾖ τεθραμμένος ἵππου γάλακτι· ὁμοίως δὲ καὶ ἵππος πωλευθεὶς
ὑπὸ ὄνου τὸ αὐτὸ πάσχει. ἐν δὲ τοῖς ἀνθρώποις καὶ ἡ ἐξου-
σία παράνομόν τί ἐστιν. Νέρωνα γοῦν πάντες ἐπιστάμεθα
ἐφ' ἡμῶν ὅτι οὐ μόνον ἐξέτεμε τὸν ἐρώμενον, ἀλλὰ καὶ τὸ
ὄνομα αὐτοῦ μετωνόμασε γυναικεῖον, τῆς αὐτοῦ ἐρωμένης καὶ
γυναικὸς, ἧς ἐκεῖνος ἐπιθυμήσας ἔγημεν, ἀναφανδὸν εἵρξας

3, 1. οὐ μά. sic dedi. ναὶ μὰ reliqui, unde aliquid excidisse suspicatur Casaubonus, quale εἶσιν post Δία. ‖ οὐδείς. ἢ οὐδεὶς Reisk. ‖ 4. αὖ τοῖς θήλεσι. αὖ ταῖς θηλείαις M (mrg. vulg.), αὐταῖς θηλείαις B. ‖ 6. ὅς M. Casaub., ὡς reliq. — 4, 1. ὅτε. ὅτι Casaub. ‖ 2. ὦσιν M, ὦσι reliq. ‖ 3. δὲ καὶ BM. Reisk., δὲ om. reliq. ‖ 4. ᾗπερ. ἧπερ B, οἵπερ m. ‖ 5. περιτεῖναι B. v, περί τινα M, περιθεῖναι reliq., περιτείνας Casaub. — 5, 2. τό. τῷ Casaub. r. ‖ 6. ξυμβῆναι. συμβῆναι M. ‖ ταῖς. τὸ ταῖς Reisk. ‖ 7. πῶλοι. πολλοὶ M. — 6, 4. ᾖ. εἴη M, om. B. ‖ δὲ καὶ B, δὲ om. reliq. ‖ 6. ἐστιν M, ἐστι reliq. ‖ γοῦν BM. Reisk., οὖν reliq. ‖ 7. ἐρώμενον M. Casaub. r, ἐράμενον reliq. ‖ 8. ἐρωμένης M. Casaub. r, ἐραμένης reliq.

Digitized by Google

7 τὴν πρόσθεν, ἐφ' ᾗ τὴν βασιλείαν εἰλήφει. — Β. καὶ τί ἦν
τὸ ὄνομα τῇ γυναικὶ, ὃ τῷ εὐνούχῳ ἔθετο; — Δ. τί δέ σοι
τοῦτο; πάντως γὰρ οὐ Ῥοδογούνη ἐλέγετο. ἀλλ' ἐκεῖνός γε 271 M
καὶ τὰς ἐν τῇ κεφαλῇ τρίχας διεκέκριτο, καὶ παιδίσκαι ἠκο-
λούθουν ὁπότε βαδίζοι, καὶ ἀμπίσχετο ἐσθῆτα γυναικείαν
καὶ τά γε ἄλλα οὕτως ἠναγκάζετο ποιεῖν· τέλος δὲ προὐτέ-
θησαν μεγάλαι τιμαὶ καὶ χρήματα ἄπειρα τὸ πλῆθος, ὅστις
αὐτὸν γυναῖκα ποιήσειεν. — Β. ἦ οὖν καὶ ὑπέσχοντο; — 504 R.
8 Δ. τί δὲ οὐκ ἔμελλον ἐκείνῳ ὑποσχέσθαι τοσαῦτα διδόντι; ἢ
οὐκ οἶσθα τὴν δύναμιν τοῦ διδόντος ὅση ἐστίν; ὅπου γε καὶ
ὁπόταν βασιλέα ἀποδεῖξαι δέῃ, τὸν πλουσιώτατον αἱροῦνται
καὶ παρ' οὗ ἂν ἐλπίσωσιν ὡς πλεῖστον ἀργύριον λήψεσθαι·
τὰ δὲ ἄλλα οὐδὲν φροντίζουσιν ὁποῖος ἂν ᾖ, κἂν μέλλῃ πάντας
διατεμεῖν παραλαβὼν τὴν ἀρχὴν, τούς τε ἄλλους ἅπαντας καὶ
αὐτοὺς ἐκείνους τοὺς εἰληφότας τὰ χρήματα, καὶ ἔτι πάντων
9 αὐτοὺς καὶ τῶν ὑπαρχόντων ἀφαιρήσεσθαι. τούτῳ δὴ μάλι-
στα περιῆν ὁ Νέρων, καὶ οὐδεὶς ἀντέλεγεν αὐτῷ περὶ οὐδενὸς
ὅ τι εἴποι οὐδ' ἀδύνατον ἔφη εἶναι ὃ κελεύσειεν· ὥστε καὶ εἰ
πέτεσθαι κελεύοι τινὰ, καὶ τοῦτο ὑπέσχετο αὐτῷ, καὶ συχνὸν
χρόνον ἐτρέφετο ἔνδον παρ' αὐτῷ ἐν τοῖς βασιλείοις ὡς πτη-
σόμενος. μόνος γὰρ δὴ οὐδένα τρόπον ἐφείδετο χρημάτων
οὔτε διδοὺς οὔτε λαμβάνων. διὰ μόνην μέντοι ταύτην τὴν
ὕβριν καὶ ἀπέθανε τὴν εἰς τὸν εὐνοῦχον. ὀργισθεὶς γὰρ ἐξή-
νεγκεν αὐτοῦ τὰ βουλεύματα τοῖς περὶ αὐτὸν, καὶ οὕτως ἀπέ-
στησαν ἀπ' αὐτοῦ καὶ ἠνάγκασαν ὅτῳ ποτὲ τρόπῳ ἀπολέσθαι
10 αὐτόν· οὐδέπω γὰρ καὶ νῦν τοῦτό γε δῆλόν ἐστιν. ἐπεὶ τῶν
γε ἄλλων ἕνεκεν οὐδὲν ἐκώλυεν αὐτὸν βασιλεύειν τὸν ἅπαντα
χρόνον, ὅν γε καὶ νῦν ἔτι πάντες ἐπιθυμοῦσι ζῆν· οἱ δὲ πλεῖ-
στοι καὶ οἴονται, καίπερ τρόπον τινὰ οὐχ ἅπαξ αὐτοῦ τεθνη- 505 R.

7, 3. Ῥοδογούνη BM, Ῥοδογύνη reliqui. Ῥοδογύνη γ' Reisk. ‖ 4. παιδίσκαι. παιδίας καὶ M. ‖ 5. ἀμπίσχετο. ἀμπείχετο BM. ‖ ἐσθῆτα. αἰσθῆτα M. ‖ 6. καὶ τά γε BM. Iacobs., τά τε (aut καὶ τά) Reisk., καὶ τά τε reliq. ‖ 7. τιμαὶ Reisk., καὶ τιμαὶ reliq. ‖ 8. ἦ οὖν B, ἡ οὖν M, ἢ οὖν Reisk., οἷς οὖν v, οἳ οὖν mr, τί οὖν Selden., οἱ δ' οὖν Casaub. — 8, 1. τί δὲ M, τί δαὶ reliq. ‖ ὑποσχέσθαι. ὑπέσχεσθαι M. ‖ 3. δέῃ BM, δέοι reliq. ‖ 5. ὁποῖος BM. Pflugk., ὅπως reliq. ‖ 8. ἀφαιρήσεσθαι. ἀφαιρέσασθαι M. — 9, 3. κελεύσειεν. κελεύσειεν ἂν Iacobs. ‖ καί. οὐδ' BM. ‖ 4. καί. κἂν Iacobs. Add. p. 16. at re vera promisit aliquis. ‖ 10. ἀπολέσθαι. ἀπωλέσθαι M, ἀπολέσαι Reisk. (Idem αὐτὸν pro αὐτόν). — 10, 3. ὅν γε Casaub. r, ὅν om. reliq. ‖ 4. καίπερ. sic dedi. καίτοι Reisk., καὶ reliq. ‖ αὐτοῦ τεθνηκότος. αὐ-

κότος, ἀλλὰ πολλάκις, μετὰ τῶν σφόδρα οἰηθέντων αὐτὸν
ζῆν. — Β. σὺ μὲν ἀεὶ λόγους ἀνευρίσκεις, ὥστε διασύρειν τὰ
τῶν ἀνθρώπων, καὶ νῦν ἐξ οὐδενὸς, ὡς εἰπεῖν, ἐπὶ ταῦτα
11 ἦλθες. ὃ δὲ ἐβουλόμην ἔρεσθαι, οὐκ εἴασας. — Δ. ἴσως γάρ
μου καταφρονεῖς καὶ ἡγῇ με ληρεῖν, ὅτι οὐ περὶ Κύρου καὶ
Ἀλκιβιάδου λέγω, ὥσπερ οἱ σοφοὶ ἔτι καὶ νῦν, ἀλλὰ Νέρωνος 272 M.
καὶ τοιούτων πραγμάτων νεωτέρων τε καὶ ἀδόξων μνημονεύω.
τούτου δὲ αἴτιον τὸ μὴ πάνυ φιλεῖν τοὺς τραγῳδοὺς μηδὲ
ζηλοῦν· ἐπεὶ οἶδα, ὅτι αἰσχρόν ἐστιν ἐν τραγῳδίᾳ τοὺς νῦν
ὄντας ὀνομάζειν, ἀλλ' ἀρχαίου τινὸς δεῖ παραδείγματος καὶ
οὐδὲ πάνυ πιστοῦ. οἱ μὲν οὖν ἔμπροσθεν οὐκ ᾐσχύνοντο τοὺς
τότε ὄντας ὀνομάζειν καὶ λέγοντες καὶ γράφοντες, οἱ δὲ νῦν
12 ἐκείνους ἐξάπαντος ὀνομάζειν ζητοῦσιν. ἥτινι δὲ τῇ σοφίᾳ
πράττουσιν αὐτὸ, ἐγώ σοι ἐρῶ, ἵνα μὴ πάντα φλυαρεῖν με
φῇς. ἀλλ' ἴσως ὁμοίου δέῃ. πάντως γάρ τινι τῶν βιβλιο-
πώλων προσέσχηκας; — Β. διὰ τί δὴ τοῦτό με ἐρωτᾷς; —
Δ. ὅτι εἰδότες τὰ ἀρχαῖα τῶν βιβλίων σπουδαζόμενα ὡς ἄμει-
νον γεγραμμένα καὶ ἐν κρείττοσι βυβλίοις, οἱ δὲ τὰ φαυλό-
τατα τῶν νῦν καταθέντες εἰς σῖτον, ὅπως τό γε χρῶμα ὅμοια
γένηται τοῖς παλαιοῖς, καὶ προσδιαφθείροντες ἀποδίδονται
ὡς παλαιά. ἀλλὰ τί ἦν, ὃ πάλαι δὴ ἐρέσθαι σπεύδεις; —
13 Β. περὶ τοῦδε τοῦ νεανίσκου, ὅστις τέ ἐστι καὶ οὗτινος υἱός· 506 R.
ὡς ἐγὼ οὐδένα πώποτε οὕτως ἐξεπλάγην. ἡ μὲν γὰρ ἡλικία παῖδα
αὐτὸν ἐνδείκνυσιν ἑκκαίδεκα ἴσως ἢ ἑπτακαίδεκα ἐτῶν· τὸ δὲ
μέγεθος οὐδενὸς ἧττον τῶν ἀνδρῶν· ἡ δὲ αἰδὼς τοσαύτη,
ὥστε καὶ τὸν προσιόντα αἰδεῖσθαι εὐθὺς ποιεῖ. καὶ οὐκ ἔστιν
ἐπιπλέον αὐτοῦ εἰς τὸ πρόσωπον ὁρᾶν, εἰ μὴ καὶ αὐτὸς ἀπο-
βλέψειεν ἀπὸ τύχης. οὐδεὶς γὰρ οὕτως ἀναιδὴς οὐδὲ λίθινός

τὸν τεθνηκότα B. — 11, 4. ἀδόξων Reisk., ἀδόξων ὢν reliq., ἀδόξων ὄντων Iacobs. Add. p. 21. ‖ 5. τούτου. τοῦτο M. ‖ 6. οἶδα. οἶδας vel οἶσθα Reisk. ‖ 7. ἀλλ' M, ἀλλὰ reliq. ‖ δεῖ Reisk., ἔδει reliq. ‖ παραδείγματος. πράγματος BM. ‖ 8. οὐδὲ: οὐδὲ τούτου Reisk. ‖ 9. καὶ λέγοντες — ὀνομάζειν om. B. ‖ 10. ζητοῦσιν. τοῖς ζητοῦσιν B. — 12, 1. ἥτινι. ἤ τινι M. ‖ δὲ om. M. ‖ 2. ἵνα Reisk., καὶ reliq., ὡς Iacobs. ‖ 3. ὁμοίου. sic dedi. ὁμοῦ M, ὅπου reliqui, unde Reiskius τύπου. ‖ 6. βυβλίοις Casaub., βιβλίοις reliq. ‖ 7. καταθέντες BM, καθέντες reliq. ‖ σῖτον non sollicitandum esse demonstrat A. Iahn. Ann. Darm. 1842. p. 517. σιρὸν Geel., ζῦθον Unger. Progr. p. 27. ‖ τό γε Casaub., τό τε reliq. — 13, 2. πώποτε οὕτως Casaub., οὕτως om. reliq. ‖ ἐξεπλάγην. ἐξεπλάγην ὁρῶν Reisk. ‖ 6. αὐτοῦ εἰς BM, εἰς reliq. ‖ ὁρᾶν BM (corr. αὐτοῦ ὁρᾶν), αὐτοῦ ὁρᾶν reliq ‖ 7. τύχης.

ἐστιν, ὅστις ὑπομενεῖ καὶ ἀντιστήσεται ὁρῶν αὐτὸν, ἀλλ'
εὐθὺς ἀνάγκη τραπῆναι καὶ μεταβαλέσθαι τὼ ὀφθαλμώ.
τοῦτο δὲ ἐγὼ τὸ πάθος πάνυ θαυμάζω, ὅτι τὸ κάλλος, ἐὰν
μετὰ αἰδοῦς ᾖ, καὶ τοὺς ἀναιδεῖς τρέπει τε καὶ ἀναγκάζει
14 αἰδεῖσθαι. — Δ. ἴσως γὰρ οὐ προσενόησας τὸ ἐν τοῖς ὕδασι
γιγνόμενον. — Β. τί δή; — Δ. ὅτι τοῦ ἡλίου ἐπιλάμψαντος
εἰς τὸ κατευθὺ μάλιστα ἀντιλάμπει. καὶ ἴσως ἑώρακας ἐν
τοῖς τοίχοις τὸ κινούμενον καὶ περιτρέχον φῶς, οὐκ ὂν ἀλη-
θινὸν, ἀλλ' ἀπὸ τῆς ἐν τοῖς ὕδασιν αὐγῆς τοῦ ἡλίου γεγονὸς 213 M
[πρὸς τὸ μάλιστα κατευθύ]. τοιοῦτον οὖν τι καὶ ἀπὸ τῆς
ἀληθινῆς αἰδοῦς ἀντιλάμπει τε καὶ ποιεῖ δοκεῖν αἰδεῖσθαι
τοὺς ὁρῶντας· ἔπειτ' εὐθὺς ἀπελθόντες ἀναιδεῖς εἰσιν. — 501 R.
Β. ὡς ἔμοιγε καὶ ὁ παιδοτρίβης ἐδόκει, καὶ αὐτὸς οἷον ἐν-
15 θουσιῶν τε καὶ ἐκπεπληγμένος. — Δ. οὐκοῦν ἔτι μᾶλλον θαυ-
μάσεις, ἐπειδὰν πύθῃ, ὅτι οὗτος τοιοῦτος ὢν οὐδενὸς υἱός
ἐστιν. — Β. πῶς λέγεις μηδενὸς εἶναι αὐτόν; — Δ. οὕτως,
ὅπως σὺ ἐπύθου, ὅτου ἐστίν. οἶμαι γάρ ἐρωτᾷν σε, ὅτου υἱός
ἐστιν. — Β. ἀλλ' ἢ τῶν Σπαρτῶν ἐστιν εἷς; — Δ. πρέποι μὲν
ἂν τῷ μεγέθει αὐτοῦ καὶ τῇ ἀνδρείᾳ, εἴγε ἐπιεικεῖς ἦσαν καὶ
φιλάνθρωποι τὰς φύσεις, ὥσπερ ὅδε, ἀλλὰ μὴ παντελῶς
σκληροὶ καὶ ἄγριοι, τῆς γῆς τὰ τέκνα· ἐπεί τό γε σῶμα οὐ
φαύλως εἰκάζεις Βοιωτίῳ μᾶλλον εἰκάζων αὐτὸ ἢ Λακωνικῷ
τε καὶ Ἀττικῷ. ὅτι μὲν γὰρ Ἑλληνικὸν ἄκρως ἐστὶν, οὐ δεῖ
16 δήπου ἀγνοῆσαι. — Β. τί γάρ; εἴη τις ἂν τοῦ γένους δια-
φορὰ πρός γε τὸ κάλλος, ἢ οὐδένα οἴει γίγνεσθαι ἐν τοῖς βαρ-
βάροις καλόν; — Δ. ἀλλ' οὐκ οἴει τὸ μέν τι βαρβαρικὸν εἶναι

ψυχῆς B. ‖ οὐδὲ BMA, καὶ r, om. reliq. — 14, 1. οὐ προσινόησας. οὐ προσενόησας Reisk., malim οὔπω ἐνενόησας. ‖ 6. [πρὸς τὸ μάλιστα κατευθύ] e superioribus perperam repetita. ‖ 7. ἀντιλάμπει. ἀντιλάμπη M. ‖ 8. ὁρῶντας Casaub., ἐρῶντας reliq. ‖ ἀπελθόντες BM. Reisk., ἐπελθόντες reliq. ‖ 9. ὡς — ἐκπεπληγμένος cum Seldeno interlocutori tribui; Casaubonus Dioni continuat. ‖ ὡς. ὥστ' M. ‖ ἐδόκει. ἐπιδοκεῖ M. — 15, 2. πύθῃ. πύθοι M. ‖ 3. ἐστιν M, ἐστι reliq. ‖ 4. ἐπύθου. ἐπεύθου M. ‖ 5. ἠ. ἢ B. ‖ 6. αὐτοῦ. αὐτοῖς Reisk. ‖ 8. τὰ delet Reisk., ὄντα Iacobsius, falsa distinctione decepti. ‖ τό γε Pflugk., γε τὸ reliq. ‖ 9. εἰκάζεις. δικάζεις M. ‖ 10. καὶ Ἀττικῷ. κἀττικῷ B. ‖ Ἑλληνικὸν ἄκρως BM. Obs. p. 30, τῶν Ἑλληνικῶν ἄκρως Casaub., ἑλληνίζων ἄκρος Reisk., Ἑλληνικὸς ἄκρως Pflugk., Ἑλληνικῶν ἄκρος reliq. ‖ οὐ δεῖ δήπου ἀγνοῆσαι. οὐδεὶς δήπου ἀγνοήσειεν ἂν Selden. — 16, 2. κάλλος, ἢ οὐδένα — καλόν Casaubonus. vulgo v. ἢ οὐδένα — καλόν infra postponuntur verbis εἶδος καὶ κάλλος.

ὥσπερ εἶδος καὶ κάλλος, τὸ δὲ Ἑλληνικὸν, ὥσπερ καὶ φωνὴν 508 R.
καὶ ἐσθῆτα; ἀλλ' ὁμοίως σοι δοκεῖ γενέσθαι καλὸς Ἀχιλλεύς
τε καὶ Ἕκτωρ; — Β. οὐ γὰρ μόνον ὡς περὶ ἀνδρείου τοῦ
Ἕκτορος ὁ ποιητὴς διέξεισιν; — Δ. ὅπου γε τὰς ναῦς ἐμπίμ-
πρησιν. οὐ γὰρ οἶμαι περὶ κάλλους ἔπρεπεν αὐτοῦ ἔτι μεμνῆ-
σθαι. τελευτήσαντος δὲ καὶ γυμνωθέντος ἐκπλαγῆναί φησιν
αὐτοῦ τὸ κάλλος τοὺς Ἀχαιοὺς ἰδόντας, οὕτω πως λέγων·

οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος·

17 οὐ γὰρ ἦν αὐτοῖς πρότερον οἶμαι σχολὴ θηήσασθαι αὐτὸν
ἀκριβῶς· καὶ τὰ ἄλλα σχεδὸν σαφέστερον ἐπέξεισιν, ὡς
περὶ ἄλλου τινὸς τῶν καλλίστων. τήν τε γὰρ κεφαλὴν χα-
ρίεσσαν αὐτοῦ φησιν εἶναι καὶ τὴν κόμην πάνυ μέλαιναν καὶ
τὸ σῶμα οὐ σκληρόν. περὶ δὲ τοῦ Ἀχιλλέως εἴδους οὐδὲν
λέγει καθέκαστον ἢ τῆς κόμης, ὅτι ξανθὸς ἦν, καὶ περὶ τῆς
Εὐφόρβου κόμης καὶ Πατρόκλου, ὡς μάλιστα ἐν ἀκμῇ τε- 274 M. 509 R.
λευτησάντων, καὶ περὶ τῶν ἄλλων σμικρόν τι περὶ ἑκάστου
καὶ ἀνδρῶν καὶ γυναικῶν τῶν καλλίστων. πλὴν ὅτι γε οὐ-
δεὶς ἂν εἴποι τούσδε ὁμοίως ἂν εἶναι καλοὺς, οὐδὲ Ἀλέξαν-
δρον ἢ Εὔφορβον ἢ Τρωΐλον ἐοικέναι τι Μενελάῳ καὶ Πα-
τρόκλῳ καὶ Νιρεῖ, οὐδὲ ἐν τοῖς βαρβάροις Σέσωστριν τὸν
Αἰγύπτιον ἢ Μέμνονα τὸν Αἰθίοπα ἢ Μινύαν ἢ Εὐρύπυλον
ἢ Πέλοπα.

4. καὶ. οὕτω καὶ Reisk. ‖ 5. ἀλλ' om. BM. ‖ καλὸς. κάλλος M. ‖ 6. οὐ γὰρ — διέξεισιν cum Casaubono Interlocutori tribui, addito interrogandi signo. Reiskius haec Dioni assignat, proxima ὅπου — ἐμπίμπρησιν Interlocutori. ‖ ἀνδρείου. ἀνδρείους M. ‖ τοῦ Ἕκτορος om. m. ‖ 7. ἐμπίμπρησιν M, ἐμπίπρησιν reliq. ‖ 8. ἔπρεπεν. sic dedi. ἐπέτρεπεν BM, αὐτῷ ἔπρεπεν reliqui, αὐτοῦ ἔπρεπεν Pflugk. ‖ αὐτοῦ ἔτι. αὐτοῖς ἔτι M, malim αὐτόθι. ἐν τῷ τότε Pflugk. ‖ 11. λέγων BM. Reisk., λέγεται reliqui. totum locum sic scribit Casaubonus: οὐχ οὕτω πως λέγεται; conf. Il. 22, 370. — 17, 1. ἦν αὐτοῖς πρότερον οἶμαι BM, οἶμαι πρότερον ἦν αὐτοῖς reliq. ‖ 3. ὡς. ὡς οὐ B, om. M, ἢ Reisk. ‖ 4. κόμην. κόνην M. ‖ 5. εἴδους. ἴδους M. ‖ 6. ἤ. ἀλλ' ἤ Reisk. ‖ ξανθὸς BM, ξανθὴ reliq. ‖ 8. σμικρόν τι. τι in M a corr. add. ‖ 9. ὅτι γε. τοῦτό γε Pflugkius. ‖ οὐδεὶς ἂν Casaub. r, οὐδὲ κἂν reliq. ‖ 10. ἂν εἶναι BM. Casaub., ἀνεῖναι reliqui, ἅπαντας εἶναι Pflugk. ‖ καλούς. κάλλους M. ‖ 11. τι BM, τε reliqui, quod Reiskius post v. Μενελάῳ transponebat. ‖ 12. Νιρεῖ. Νηρεῖ B, νηρέει M. ‖ 13. Μινύαν. Νινύαν Reisk., Μίνωα Casaub., malim Κινύραν cum Iacobs. Add. p. 244. in fine multa deesse opinatur Seldenus.

ΛΟΓΟΣ κβ

ΠΕΡΙ ΕΙΡΗΝΗΣ ΚΑΙ ΠΟΛΕΜΟΥ.

1 *Πολλὰ μὲν καὶ ἄλλα εὕροι τις ἂν καὶ ξύμπαντα ἀτεχνῶς
τὰ ἔργου τινὸς ἐχόμενα καὶ πράξεως κοινὰ τοῖς φιλοσόφοις
καὶ ῥήτορσιν, ὅσοι μὴ ἀγοραῖοι μηδὲ μίσθαρνοι, πρὸς χρή-
ματα ὁρῶντες μόνον καὶ τὰς ἰδιωτικὰς ἀμφιλογίας περὶ συμ-
βολαίων ἤ τινων, δημοσίᾳ δὲ συμβουλεύειν καὶ νομοθετεῖν
ἀξιούμενοι· καθάπερ οἶμαι Περικλῆς καὶ Θουκυδίδης Ἀθή-
νησι καὶ Θεμιστοκλῆς ἔτι πρότερον καὶ Κλεισθένης καὶ Πει-* 510 R
σίστρατος, ἕως ἔτι ῥήτωρ καὶ δημαγωγὸς ἠνείχετο καλούμε-
2 *νος. Ἀριστείδην μὲν γὰρ καὶ Λυκοῦργον καὶ Σόλωνα καὶ
Ἐπαμεινώνδαν καὶ εἴ τις ἕτερος τοιοῦτος φιλοσόφους ἐν πο-
λιτείᾳ θετέον ἢ ῥήτορας κατὰ τὴν γενναίαν τε καὶ ἀληθῆ
ῥητορικήν. λέγω δὲ οἷον περί τε ἀγωγῆς τῶν νέων συμβου-
λεύοντας καὶ νομοθετοῦντας, ὥσπερ ἐν Λακεδαίμονι Λυκοῦρ-
γος, καὶ περὶ τῆς ἐρωτικῆς ὁμιλίας καὶ περὶ χρημάτων κτή-
σεως, ὅσην τε καὶ ὅπως δεῖ ποιεῖσθαι, καὶ περὶ γάμου καὶ
περὶ κοινωνίας καὶ περὶ νομίσματος καὶ περὶ τιμῆς καὶ ἀτι-
μίας καὶ περὶ οἴκων κατασκευῆς, καὶ πότερα χρὴ τετειχισμέ-
νην οἰκεῖν πόλιν, ἤ, καθάπερ ὁ θεὸς παρῄνεσε Λακεδαιμο-
νίοις, ἀτείχιστον, καὶ περὶ ἀσκήσεως τῶν πολεμικῶν καὶ
τάξεως, οὐ μόνον ὁπλιτικῆς, ἀλλὰ καὶ οἵαν Ἐπαμεινώνδας
εἰρεῖν λέγεται τοὺς ἐραστὰς μετὰ τῶν ἐρωμένων τάξας, ἵνα
σώζοιντο μᾶλλον καὶ μάρτυρες ὦσιν ἀλλήλοις τῆς ἀρετῆς καὶ* 275 M

Orat. XXII. Collati sunt BM. titulus *περὶ εἰρήνης καὶ πολέμου* BM, *περὶ πολέμου καὶ εἰρήνης* reliq. — 1, 3. *χρήματα. σχήματα* M. ‖ 5. *ἤ τινων.* malim *δή τινων. ἤ τινων τοιούτων* Reisk., *ἢ τοιούτων τινῶν* Selden., *ἢ δικῶν* Iacobs. ‖ *δημοσίᾳ δὲ* Selden., *δημοσίας* M, *δημοσίᾳ* reliqui, *περὶ δὲ τῶν συμφερόντων δημοσίᾳ* Reisk. — 2, 2. *Ἐπαμεινώνδαν* BM, *Ἐπαμινώνδαν* reliq. ‖ *φιλοσόφους. φιλόσοφος* BM. ‖ 4. *οἷον. οἷον τε* M. ‖ 8. *καὶ περὶ τιμῆς* B, *καὶ περὶ* om. M, *περὶ* om. reliq. ‖ 9. *καὶ πότερα.* sic dedi. *καὶ* om. reliq. ‖ 11. *πολεμικῶν.* sic dedi. *πολεμίων* reliq. ‖ 12. *ὁπλιτικῆς. πολιτικῆς* M. ‖ *Ἐπαμεινώνδας* M, *Ἐπαμινώνδας* reliq.

τῆς κακίας· καὶ τὸν λόχον τοῦτον ἱερὸν ἐπονομασθέντα κρα-
τῆσαι Λακεδαιμονίων τῇ ἐν Λεύκτροις μάχῃ, ξυμπάντων ἐκεί-
3 νοις ἑπομένων τῶν Ἑλλήνων· τὸ δὲ δὴ κεφάλαιον καὶ πολλά-
κις πολλοῖς παρέπιπτε, περί τε εἰρήνης καὶ πολέμου, ὃ νῦν
τυγχάνει ζητούμενον. πᾶν δὲ τὸ τοιοῦτον γένος παρὰ τοῖς
φιλοσόφοις καλεῖται περὶ τοῦ προσήκοντος, οἷον εἰ γαμητέον,
εἰ πολιτευτέον, εἰ βασιλεῖ χρηστέον ἢ δημοκρατίᾳ ἢ ἄλλῃ τινὶ
καταστάσει πολιτείας· ἐν οἷς ἐστι καὶ τοῦτο, ἐμοὶ δοκεῖν, εἰ
πολεμητέον. οὐ γὰρ μόνον ἁπλῶς οἱ φιλόσοφοι ζητοῦσι περὶ 511 R.
τούτων, ἀλλὰ πηνίκα καὶ τίσι καὶ πρὸς τίνας καὶ τίνος συμ-
βάντος ἢ μὴ συμβάντος ἕκαστα τούτων πρακτέον. διαφέρει
δὲ τοσοῦτον, ὅτι οἵ γε ῥήτορες ἐπὶ τῶνδε ἢ τῶνδε σκοποῦσιν,
οἷον εἰ συμφέρει πολεμεῖν Ἀθηναίοις πρὸς Πελοποννησίους ἢ
βοηθεῖν Κερκυραίοις πρὸς Κορινθίους, ἢ Φιλίππῳ συμμα-
χῆσαι Θηβαίοις ἐπὶ Φωκέας, ἢ Ἀλεξάνδρῳ διαβῆναι εἰς τὴν
4 Ἀσίαν. ἐν γὰρ ταύταις ἁπάσαις ταῖς βουλαῖς οὐχ ἥκιστα
ἐμπίπτει καὶ τὸ τοιοῦτον· εἰ δίκαιον τοῖς μὴ προαδικήσασι
πολεμεῖν· εἰ συμβέβηκεν ἀδίκημα παρὰ τούτων, οἷς διανοοῦν-
ται πολεμεῖν, πηλίκον τέ τι τοῦτο τὸ συμβεβηκός. οἱ φιλόσοφοι
δὲ πόῤῥωθεν τὰ πράγματα ὁρῶσιν ἐπ' αὐτῶν ἐξετάζοντες, ὁποῖ'
ἄττα ἐστίν. πολὺ γὰρ κρεῖττον τὸ βεβουλεῦσθαι περὶ ἁπάν-
των ἐκ πλείονος καὶ διεγνωκότας, ἐπειδὰν ἥκῃ τινὸς πράγμα-
τος καιρὸς, αὐτούς τε εἰδότας ἔχειν χρῆσθαι καὶ ἑτέροις παρ-
αινεῖν, ἀλλὰ μὴ τρόπον τινὰ ἐξαίφνης ληφθέντας ταράττε-
5 σθαι καὶ αὐτοσχεδιάζειν περὶ ὧν οὐκ ἴσασιν. οἱ μὲν γὰρ
ῥήτορες, ὅταν δέῃ σκοπεῖν περί τινος, οὐδὲν εἰδότες τῶν ἄλλων
πλέον οὐδὲ ἐσκεμμένοι πρότερον ἅμα τε αὐτοὶ βουλεύονται
τρόπον τινὰ καὶ συμβουλεύουσιν ἑτέροις. οἱ φιλόσοφοι δὲ

15. ἐπονομασθέντα Reisk., ἐπονομάσαντα reliq. ‖ 16. ἐν Λεύκτροις. Λεύκτρα BM. an περὶ Λεῦκτρα? — 3, 2. παρέπιπτε. παρέπιπτεν M, παρενέπιπτε Reisk., παραπῖπτον Geel. ‖ 5. βασιλεῖ. βασιλείᾳ Reisk. ‖ 8. ἀλλά. ἀλλὰ καὶ Reisk. ‖ τίνος BM (corr. τίνων), τίνων reliq. ‖ συμβάντος BM (corr. συμβάντων), συμβάντων reliq. ‖ 9. ἢ μὴ συμβάντος B, om. M (mrg. ἢ μὴ συμβάντων), ἢ μὴ συμβάντων reliq. ‖ 10. γε. μὲν Reisk. ‖ τῶνδε ἢ τῶνδε BM, ἢ τῶνδε om. reliq. — 4, 4. πηλίκον τέ τι τοῦτο τὸ Pflugk. p. 15, πηλίκον τι τοῦτο reliq., καὶ (vel ἢ) πηλίκον τι τοῦτο Reisk. ‖ 5. ἐπ' αὐτῶν BM. Casaub. r, ἐπ' αὐτὸν reliq. ‖ 6. γὰρ om. M. ‖ 7. πλείονος. πλίονος M. ‖ ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ 10. ἴσασιν. εἴσασιν M.

Digitized by Google

περὶ τῶν πράξεων προοίδασι καὶ πάλαι βεβουλευμένοι τυγχάνουσιν· ὥστε ἄν τις αὐτοὺς παρακαλῇ συμβούλους τῶν πόλεων 276 M.
ἢ τῶν ἐθνῶν ἢ τῶν βασιλέων, κρεῖττον ἕξουσι καὶ ἀσφαλέστερον ἀποφαίνεσθαι, οὐ τὸ ἐπιὸν αὐτοῖς οὐδὲ νῦν μὲν ταῦτα πάλιν δὲ τἀναντία δι' ὀργὴν ἢ φιλονεικίαν ἢ χρήμασι πληγέντες, ὥσπερ ἐπὶ τρυτάνης ἔφη τις οἶμαι τῶν ῥητόρων αὐ- 512 R.
τῶν, κατὰ τὸ λῆμμα ἀεὶ ῥέποντες. λέγω δὲ οὐ ψέγων ῥητορικὴν οὐδὲ ῥήτορας τοὺς ἀγαθούς, ἀλλὰ τοὺς φαύλους καὶ τοὺς προσποιουμένους τὸ πρᾶγμα.

ΛΟΓΟΣ κγ.

ΟΤΙ ΕΥΔΑΙΜΩΝ Ὁ ΣΟΦΟΣ.

1 *Δ.* Πότερον δοκεῖ σοι εἶναι ἄνθρωπος εὐδαίμων, εἰ δὲ μή, γεγονέναι ἢ ἔσεσθαι, ἢ ἀδύνατον ἡγῇ τὸ τοιοῦτον περὶ ἀνθρώπου, ὥσπερ εἴ τις ἀθάνατον ἄνθρωπον λέγοι εἶναι; ἴσως γὰρ ἂν τὴν αὐτὴν ἔχοις δόξαν Ὁμήρῳ καὶ ἄλλοις συχνοῖς τῶν ποιητῶν. — *B.* καὶ ποῦ ἀποφαίνεται περὶ τούτου Ὅμηρος; — *Δ.* ὅπου πεποίηκε τὸν Δία λέγοντα αὐτὸν, οὐκ ἄλλον τινὰ τῶν θεῶν, ὡς οὐδὲν, φησὶν, ὀϊζυρότερον εἶναι ἀνδρὸς ἁπάντων τῶν ζώων,

ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.

οὐ δοκεῖ σοι τὴν ὀϊζὺν ἄντικρυς κακοδαιμονίαν τινὰ λέγειν; —

5, 5. τυγχάνουσιν. τυγχάνωσιν M. ‖ 7. κρεῖττον. κρίττον M. ‖ 9. φιλονεικίαν. φιλονικίαν M. ‖ 10. ἔφη. conf. Demosth. de coron. p. 325 Reisk. ‖ 11. λῆμμα. λῆμα M. — Reiskius fragmentum vel prooemium hanc dissertationem esse iudicat.

Orat. XXIII. Collati sunt BM. — 1, 1. εἶναι BM, γεγονέναι reliqui, quo servato Iacobsius in proximis delebat γεγονέναι ἤ. ‖ 2. τὸ om B. ‖ 4. ἔχοις. ἔχοι BM. ‖ 5. τούτου Ὅμηρος. τοῦ Ὁμήρου B. ‖ 7. εἶναι. ἐστι Reisk. ‖ 9. ὅσσα. Il. 17, 447. ‖ ἔπι πνείει Hom. l. l., ἐπιπνείει M (corr. ἐπιπνέει), ἐπιπνέει reliq. ‖ 10. ἄντικρυς BM (mrg. αὐτὴν). mrg. m, αὐτὴν reliq. ‖ λέγειν. λέγεν m.

2 Β. ἔμοιγε. — Δ. ἕτερος δὲ ποιητὴς οὐκ ἰδίᾳ οὕτως, ἀλλὰ
κοινῇ πρὸς θέατρον ἀγωνιζόμενος εἰσηγεῖται·

τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά·
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον

χαίροντας καὶ συνηδομένους οἴεται δεῖν ἐκπέμπειν. — Β. ἔστι 513 R.
ταῦτα. — Δ. οὔκουν ὀρθῶς παρήνεσεν. εἰ γὰρ ἅπαξ δεῖ
κλαίειν τοὺς ἀνθρώπους διὰ τὴν ἀτυχίαν, καὶ γενομένους
προσήκει θρηνεῖν τῶν ἐσομένων αὐτοῖς κακῶν ἕνεκεν, καὶ
τελευτήσαντας, ὅτι πολλὰ καὶ δεινὰ πεπόνθασι, καὶ ζῶντας,
3 ὅτι εἰσὶν ἐν κακοῖς. ὥστε ὥρα ἂν εἴη κατὰ τὸν ποιητὴν μη- 277 M.
δέποτε παύσασθαι ὀδυρομένους πολὺ μᾶλλον τῶν ἀηδόνων.
ἐκεῖναι μὲν γὰρ τοῦ ἦρος λέγονται θρηνεῖν τὸν Ἴτυν, τοὺς δὲ
ἀνθρώπους εἰκὸς ἦν θρηνεῖν καὶ θέρους καὶ χειμῶνος. πόσῳ
δὲ βέλτιον τοὺς γενομένους ἐᾶν εὐθὺς ἀπολέσθαι ὑπὸ τῶν
κακῶν, ἀλλὰ μὴ σπαργάνοις ἐνειλοῦντας καὶ λούοντας καὶ
τιθηνουμένους τοσαύτην ἐπιμέλειαν ποιεῖσθαι, ὅπως ἄθλιοι
ἔσονται· ἐχθρῶν γάρ, οὐ φίλων οὐδὲ κηδομένων τὸ τοιοῦτο·
4 καὶ νὴ Δία αὐτοὺς πρώτους ἀπαλλάττειν τοῦ βίου; κινδυ-
νεύουσι γὰρ κατὰ τὸν λόγον τοῦτον μόνοι φρόνιμοι γενέσθαι
οἱ γενόμενοι ἐν Κόλχοις ἐκ τῶν τοῦ δράκοντος ὀδόντων, οὓς
ἔσπειρεν Ἰάσων. οὗτοι γάρ, ὅτε πρῶτον ᾔσθοντο γεγο-
νότες, εὐθὺς ἀλλήλους ἀνῄρουν, ἕως οὐδένα ἔλιπον, βοηθοῦν-
τες ἀλλήλοις δηλονότι καὶ διὰ φιλίαν τοῦτο πράττοντες, οὐ 514 R.
5 δι' ἔχθραν. — Β. ἀλλὰ οὗτός γε ὁ ποιητὴς ληρεῖν ἔμοιγε
φαίνεται. τὸ δὲ τοῦ Ὁμήρου ταράττει με, ὅτι οὕτω σαφῶς
ὑπὲρ τῶν ἀνθρώπων ταύτην ἀπεφήνατο τὴν γνώμην. —
Δ. καὶ τί ἄτοπον εἴρηκεν; οὐ γὰρ ὡς ἅπαντες οἱ ἄνθρωποι
ἄθλιοί εἰσί φησιν, ἀλλ' ὅτι οὐθὲν ἐστι ζῷον ἀνθρώπου ἀθλιώ-
τερον, τοῦ γε ἀθλίου. ὥσπερ ἀμέλει καὶ ἡμεῖς φαῖμεν ἄν.
ἴσως γάρ τοι καὶ μόνος τῶν ἄλλων ὁ ἄνθρωπος κακοδαίμων

2, 1. ἰδίᾳ. ἰδίαν M. ‖ 3. ὅσ'. ὅσα BM. fragmentum est Cresphontis Euripidei XIII. apud Dind. ‖ 6. οὔκουν B. Selden. r, οὐκοῦν reliq. ‖ παρήνεσεν M. Reisk., παρήνεσαν reliq. ‖ δεῖ Geel., ἔδει reliq. ‖ 7. κλαίειν. κλάειν B. ‖ 8. ἕνεκεν. ἕνεκα B. ‖ 9. ζῶντας Casaub., πάντας reliq., πάντως πάντας (vel πάντας παντάπασι) Iacobs. — 3, 6. λούοντας Selden. r, λύοντας reliq. — 4, 4. ἔσπειρεν. ἔπειρεν M. ‖ 6. οὐ δι' ἔχθραν BM. Selden. r, οὐδ' ἔχθραν reliq. — 5, 1. οὗτός B. mrg. M (in text. αὐτός), τοῦτό reliq. ‖ γε. μὲν Reisk. ‖ 2. οὕτω σαφῶς. οὕτω σοφὸς B, οὕτως σοφὸς M. ‖ 5. οὐθὲν BM, οὐδὲν reliq. ‖ 6. τοῦ γε Casaub. r, τοῦ δὲ reliq.

Digitized by Google

ἐστὶν, ὥσπερ καὶ εὐδαίμων· ἐπεί τοι καὶ μόνος ἄφρων, ὥσπερ
καὶ φρόνιμος. οὔτε γὰρ ἄδικος οὔτε ἀκόλαστος εἴη ἂν ἵππος
ἢ σῦς ἢ λέων, ὥσπερ οὐδὲ ἄμουσος οὐδὲ ἀγράμματος. —
6 B. ἀλλὰ καλῶς μοι δοκεῖς διωρθῶσθαι τὸ τοῦ Ὁμήρου· καὶ
ἀπόκριναί μοι, ὅ τι ἡγῶμαι ἄνθρωπον εὐδαίμονα εἶναι. —
Δ. ἆρ' οὗ ὁ δαίμων ἀγαθός ἐστιν, τοῦτον εὐδαίμονα εἶναι
φῄς, οὗ δὲ μοχθηρὸς, κακοδαίμονα; — B. ἔγωγε. — Δ. δαί-
μονα δὲ ἄλλως ἀγαθὸν λέγεις; — B. ἢ πῶς γε; — Δ. ὥσπερ
ἄνθρωπον, ἔτι δὲ μᾶλλον θεόν; ἢ τοὺς θεοὺς, εἴπερ νομίζεις 318 R.
ἀγαθοὺς εἶναι, οὐ δικαίους νομίζεις καὶ φρονίμους καὶ σώ-
φρονας καὶ τὰς ἄλλας ἀρετὰς ἔχοντας, ἀλλὰ ἀδίκους καὶ
ἀνοήτους καὶ ἀκολάστους; — B. οὐδαμῶς ἔγωγε. — Δ. οὐκ-
οῦν καὶ δαίμονα, εἴπερ τινὰ ἀγαθὸν ἡγῇ, δῆλον ὡς δίκαιον 278 M
ἡγῇ καὶ χρήσιμον καὶ φρόνιμον; — B. πῶς γὰρ οὔ; — Δ. ἦ
γὰρ, ὃν κακόν τινα νομίζεις, πονηρὸν οἴει τὸν αὐτὸν εἶναι καὶ
7 ἄδικον καὶ ἀνόητον; — B. ἀνάγκη πάντως. — Δ. τί δαί; οὐ
τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν αὐτοῦ δαίμονα βιοῦν, ὁποῖος
ἂν ᾖ ποτε, ἀλλὰ καθ' ἕτερον; — B. οὐδαμῶς καθ' ἕτερον. —
Δ. οὐκοῦν τὸν τυχόντα ἀγαθοῦ δαίμονος ἡγῇ δικαίως ζῆν
καὶ φρονίμως καὶ σωφρόνως; τοιοῦτον γὰρ ὁμολογεῖς εἶναι
τὸν δαίμονα αὐτοῦ. — B. πάνυ γε. — Δ. τὸν δὲ μοχθηροῦ
δαίμονος πονηρῶς καὶ ἀφρόνως καὶ ἀνοήτως καὶ ἀκολάστως; —
B. φαίνεται ταῦτα συμβαίνειν ἐκ τῶν εἰρημένων νῦν; —
Δ. ἆρα ὅστις ἄνθρωπος νοῦν ἔχων ἐστὶ καὶ δίκαιός καὶ σώ-

0. εἴη ἂν BM, ἂν εἴη reliq. — 6, 1. δοκεῖς. δοκεῖ BM. ‖ διωρθῶσθαι. διορθῶσθαι M, διορθώσασθαι Reisk. ‖ 2. ἀπόκριναί μοι Reisk., ἀποκρίνασθαι reliq., ἀποκρίνασθαι ἔστιν Iacobs. ‖ ὅ τι ἡγῶμαι. sic dedi. ὅστινα ἡγῶμαι Reisk., ὅ τι ἡγοῦμαι M, ὅ τι εἰ ἡγοῦμαι reliq. ‖ ἄνθρωπον. ἀνθρώπων B. ‖ 3. ἆρ' οὗ ὁ δαίμων. sic dedi. ἆρ' ὁ εὐδαίμων reliq. ‖ τοῖτον M (mrg. τοῦτον ὅς δ' ἀγαθός ἐστι), τοῦτον ὃς ἀγαθός ἐστι B, τοῦτον ὅς δ' ἀγαθός ἐστι reliq. ‖ 4. οὗ δέ. sic dedi. οὐδὲ M (mrg. τὸν δέ), τὸν δὲ reliq. ‖ μοχθηρός. sic dedi. μοχθηρὸν reliqui. corruptelam loci indicaveram Obs. p. 30, de medela lapsus. totum locum sic constituit Pflugkius: *B. ἀλλὰ καλῶς μοι δοκεῖς διορθώσασθαι τὸ τοῦ Ὁμήρου καὶ ἀποκρίνασθαι αὐτὸς τὸ εἰ ἡγοῦμαι ἄνθρωπον εὐδαίμονα εἶναι. καὶ γὰρ εὐδαίμων ὁ ἀγαθός ἐστιν. — Δ. ὅς δὴ ἀγαθός ἐστι* cett. ‖ 5. ἢ πῶς Reisk., ἢ om. reliqui. ἔγωγε (vel πῶς γὰρ οὔ) Casaubonus, Pflugkius ita: ἦ οὕτως; — B. πῶς λέγεις; — Δ. ὥσπερ ἄνθρωπον. ‖ 6. ἤ. ἦ B. ‖ 7. σώφρονας. ἄφρονας (corr. vulg.) M. ‖ 11. ἡγῇ. ἡγεῖ M. ‖ ἦ. εἰ M. ‖ 12. ὄν. οὐ M. — 7, 1. δαί. δὴ M. ‖ 4. ἡγῇ. ἡγεῖ M. ‖ 9. ἆρα. ἄρα M. ‖ ἐστὶ καὶ M. Obs. p. 31, ἐστὶ reliq.

φρων, οὗτος εὐδαίμων ἐστὶν ἀγαθῷ δαίμονι συνών· ὅστις δὲ
ἀσελγὴς καὶ ἄφρων καὶ πανοῦργος, ἀνάγκη κακοδαίμονα φά-
σκειν ἐκεῖνον κακῷ δαίμονι συνεζευγμένον καὶ λατρεύοντα; —
8 B. ἀληθές. — Δ. σοφὸν δὲ ἄλλον τινὰ καλεῖς ἢ τὸν φρόνιμον
ἄνθρωπον καὶ δίκαιον καὶ ὅσιον καὶ ἄνδρειον, φαῦλον
δὲ τὸν ἄδικον καὶ ἀνόσιον καὶ δειλόν; — B. φημί. — Δ. μὴ
τοίνυν ἔτι θαύμαζε τῶν λεγόντων, ὅτι μόνον καὶ πάντα φασὶ 516 R.
τὸν σοφὸν εὐδαίμονα εἶναι, τῶν δὲ φαύλων οὐδένα ὅντινα
9 οὐ κακοδαίμονα· ἐπειδή γε καὶ σοὶ ταῦτα δοκεῖ. — B. τὰ
μὲν ἄλλα δοκεῖς μοι οὐ παρὰ δόξαν διειλέχθαι· ὅπως δὲ χρὴ
δαιμόνιόν τι πονηρὸν ἡγεῖσθαι καὶ ἄδικον καὶ ἀνόητον, οὐκ
ἔχω εἰπεῖν. ἄλλως τε οὐ πρὸς ὑμῶν τῶν φιλοσόφων ἐστίν,
εἴπερ θεῖον τὸ δαιμόνιον ἡγεῖσθε, τοιοῦτον ὑπολαμβάνειν. —
Δ. ἀλλ' ἐγὼ νῦν οὐ κατὰ τὴν ἐμαυτοῦ δόξαν διείλεγμαι τὰ
πολλά, πλήν γε αὐτὸ τοῦτο, ὅτι μοι δοκεῖ πᾶς καὶ μόνος εὐ-
δαίμων ὁ σοφός· τὰ δὲ ἄλλα κατὰ τὴν τῶν πολλῶν ἀνθρώ-
10 πων, ὅπως μὴ δοκῶ βιάζεσθαι αὐτούς. ἐπεὶ φέρε, εἰ ἡγεῖσθε
τὸ δαιμόνιον θεῖον καὶ ἀγαθὸν καὶ μηδενὶ κακοῦ μηδενὸς
αἴτιον, πῶς φατε γίγνεσθαι κακοδαίμονα ἄνθρωπον; ἢ ὅταν
μὴ προσέχωσι μηδὲ πείθωνται τῷ δαιμονίῳ ἀγαθῷ ὄντι; 279 M.
ὥσπερ εἰ νομίζοιμεν τοὺς ἰατροὺς ἅπαντας ἀγαθοὺς εἶναι τὰ 517 R.
τῆς τέχνης καὶ μηδένα αὐτῶν πονηρὸν ἰατρὸν μηδὲ βλαβερόν·
τῶν δὲ καμνόντων κακῶς τινας πράττοντας βλέποιμεν καὶ
βλαπτομένους ἐν ταῖς νόσοις, δηλονότι τούτους ἂν φαῖμεν μὴ
ἐθέλειν τὰ προσταττόμενα ποιεῖν· τοὺς δὲ πειθομένους ἀνάγκη
καλῶς ἀπαλλάττειν, καὶ τί ἂν γίγνεσθαι οὐκ ἂν θαυμάζοι-
11 μεν; — Δ. οὕτως ἔχει. — B. πότερον οὖν δοκοῦσί σοι οἱ

12. κακῷ δαίμονι. κακοδαίμονι M. — 8, 1. ἀληθές r, ἀληθῆ M, ἄληθες B. vm. ‖ 3. δὲ. δὲ φῂς Reisk. ‖ 4. πάντα. παντάπασι mrg. m. ‖ 6. σοί. σὺ M. ‖ ταῦτα. ταὐτὰ B. — 9, 5. ἡγεῖσθε B. Anonym. ap. Reisk. r, ἡγεῖσθαι reliq. ‖ 8. τὰ δὲ. τά τε M. — 10, 1. ἐπεὶ φέρε. ἐπίφερε M. ‖ εἰ ἡγεῖσθε Interpr. r, εἰ οὐχ ἡγεῖσθε B, εἰ οὐχ ἡγεῖσθαι M, εἰ ἡγεῖσθαί vm. ‖ 3. ἢ ὅταν. ἢ ὅταν B, ὁπόταν r. ‖ 4. πείθωνται. πείθονται r. ‖ 5. νομίζοιμεν Reisk., νομίζεις reliq., νομίζοις Iacobs ‖ 7. βλέποιμεν Reisk., βλέπομεν reliq. ‖ 8. τούτους M (corr. τούτους οὓς), τούτους οὓς reliq., τοὺς τοιούτους Iacobs. ‖ μὴ ἐθέλειν. θέλειν M (corr. vulg.). ‖ 10. τί ἂν γίγνεσθαι M, τί ἂν γίνεσθαι reliq., ταυτὶ οὕτω γίγνεσθαι Reisk., malim περιγίγνεσθαι. excidisse quaedam suspicatur Casaub., ἀρτίους γίγνεσθαι Pflugk. ‖ θαυμάζοιμεν Reisk., θαυμάζειν reliq. — 11, 1. ἔχει Reisk., ἔχειν reliq. ‖ σοι οἱ Geel., οἱ om. reliq.

ἐγκρατεῖς καὶ σώφρονες καὶ νοῦν ἔχοντες, οὗτοι ἀπειθεῖν ἂν τοῖς ἰατροῖς τοῖς ἐμπείροις καὶ τὰ συμφέροντα προστάττουσιν ἢ τοὐναντίον οἱ ἀνόητοι καὶ ἀκόλαστοι; — Β. δῆλον ὅτι οἱ ἀκόλαστοι. — Δ. τί δαί; τῷ δαίμονι χρηστῷ ὄντι πείθεσθαι καὶ ζῆν κατ' ἐκεῖνον πότερον ἡγῇ τῶν σωφρόνων εἶναι καὶ νοῦν ἐχόντων ἢ τῶν πονηρῶν καὶ ἀνοήτων; — Β. τῶν σωφρό-
12 νων. — Δ. τὸ δέ γε μὴ πείθεσθαι μηδὲ προσέχειν, ἀλλ' ἐναντίως τῷ θείῳ τε καὶ δαιμονίῳ πράττειν, τῶν κακῶν καὶ ἀγνωμόνων; — Β. πῶς δ' ἂν ἄλλως λέγοιμεν; — Δ. εἶναι δὲ τοὺς πειθομένους τῷ δαιμονίῳ τοιούτῳ ὄντι εὐδαίμονας, τοὺς δὲ ἀπειθοῦντας κακοδαίμονας; — Β. ἀνάγκη. — Δ. οὐκοῦν κἀνταῦθα συμβαίνει τὸν μὲν σοφὸν καὶ φρόνιμον εὐδαίμονα εἶναι πάντα, τὸν δὲ φαῦλον κακοδαίμονα, οὐχ ὡς τοῦ δαιμονίου κακοῦ ὄντος, ἀλλ' ὡς αὐτὸν οὐ προσέχοντα ἐκείνῳ χρηστῷ ὄντι.

ΛΟΓΟΣ κδ

ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

1 Οἱ πολλοὶ ἄνθρωποι καθόλου μὲν οὐδὲν πεφροντίκασιν, 518 R.
ὁποίους χρὴ εἶναι οὐδὲ ὅ τι βέλτιστον ἀνθρώπῳ ἐστίν, οὗ ἕνεκα χρὴ πάντα τἆλλα πράττειν, ἰδίᾳ δὲ ἐσπουδάκασιν οἱ μὲν ἱππεύειν, οἱ δὲ στρατηγεῖν, οἱ δὲ περὶ ἀγωνίαν, οἱ δὲ περὶ μουσικήν, ἄλλοι περὶ γεωργίαν, ἄλλοι δύνασθαι λέγειν. ἥντινα δὲ χρείαν αὐτοῖς ἔχει τούτων ἕκαστον ἢ τί τὸ ὄφελος ἐξ αὐ-
2 τοῦ γίγνοιτ' ἄν, οὐκ ἴσασιν οὐδὲ ζητοῦσιν. τοιγαροῦν ἱππεῖς 280 M.

2. καὶ (post v. ἐγκρατεῖς) Geel., ἂν εἶναι καὶ M, εἶναι καὶ reliq., τινες καὶ Selden., ὄντες καὶ Iacobs. ‖ οὗτοι ἀπειθεῖν ἄν. ὅσοι ἀπειθῶσιν ἂν Reiskius (qui retinet σοι ἐγκρατεῖς εἶναι). ‖ 4. οἱ ἀνόητοι BM. m, οἱ om. reliq. ‖ ὅτι οἱ BM, οἱ om. reliq. ‖ 5. δαί. δὲ M. ‖ πείθεσθαι. πίθεσθαι M. ‖ 6. ἐκεῖνον. ἐκεῖνο BM. — 12, 5. ἀπειθοῦντας. ἀπιθοῦντας M. ‖ 8. οὐ προσέχοντα Reisk., μὴ προσχόντα M, οὐ προσχόντα reliq.

Orat. XXIV. Collati sunt BM. — 1, 2. ἀνθρώπῳ. ἀνθρώπων M. ‖ 5. ἄλλοι (post v. γεωργίαν) ἄλλοι περὶ τὸ Reisk. — 2, 1. ἱππεῖς. ἵππης M.

μὲν ἀγαθοὶ γίγνονταί τινες, οἳ ἂν φιλοπονῶσιν αὐτὸ καὶ ἐκ-
μελετῶσι, καὶ παλαῖσαι ἄλλοι ἄλλων ἱκανώτεροι καὶ πυκτεῦ-
σαι καὶ δραμεῖν καὶ τἆλλα ἀγωνίσασθαι καὶ τοῦ σπόρου μὴ
διαμαρτεῖν καὶ πλέοντες μὴ διαφθεῖραι τὴν ναῦν, καὶ τὰ κατὰ
μουσικήν τινες ἐπίστανται βέλτιον ἑτέρων· ἀγαθὸν δὲ ἄνδρα
καὶ φρόνιμον καὶ αὐτὸ τοῦτο εἰδότα, ὅστις ἐστὶν ὁ χρηστὸς
3 ἀνὴρ καὶ νοῦν ἔχων, οὐδένα τούτων ἔστιν εὑρεῖν. αὐτίκα περὶ
τὸ λέγειν πάντως ἐσπουδάκασι καὶ πολλοὶ τῶν ἐλευθέρων καὶ
φιλοτίμων εἶναι δοκούντων, οἱ μὲν ὥστε ἐν δικαστηρίοις
ἀγωνίζεσθαι καὶ πρὸς δῆμον λέγοντες, διὰ δὲ τοῦτο ἰσχύειν
πλέον τῶν ἄλλων καὶ πράττειν ὅ τι ἂν αὐτοὶ θέλωσιν, οἱ δὲ
τῆς δόξης ἕνεκα τῆς ἀπὸ τοῦ πράγματος, ὅπως δεινοὶ νομίζων-
ται. τινὲς δὲ αὐτῆς φασι τῆς ἐμπειρίας ἐπιθυμεῖν, καὶ τού-
των οἱ μὲν λέγοντες οἱ δὲ συγγράφοντες μόνον, οὓς ἔφη τις 319 R.
τῶν πρότερον μεθόρια εἶναι τῶν φιλοσόφων καὶ τῶν πολιτι-
κῶν· ὅ τι δὲ συμφέρει πράττουσιν ἢ πρὸς ὅ τι ἡ δόξα αὐτοῖς
ὠφέλιμος ἢ τί τῆς ἐμπειρίας ταύτης ὄφελος, οὐ σκοποῦσιν.
4 ἐγὼ δέ φημι πάντα τἆλλα δίχα τῆς τοιαύτης ἐπιμελείας καὶ
ζητήσεως ὀλίγου ἄξια εἶναι, τῷ δὲ ἐκεῖνο ἐννοήσαντι καὶ ξυν-
έντι, τούτῳ καὶ τὸ λέγειν καὶ τὸ στρατηγεῖν καὶ ὅ τι ἂν ἄλλο
ποιῇ ξυμφέρον τε εἶναι καὶ ἐπ' ἀγαθῷ γίγνεσθαι· ἐπεὶ τό γε
ἐπαινεῖσθαι καθ' ἑαυτὸ ὑπὸ ἀνθρώπων ἀνοήτων, οἷοί πέρ
εἰσιν οἱ πολλοί, ἢ τὸ δύνασθαι ἐν τοῖς τοιούτοις ἢ τὸ ἡδέως
ζῆν οὐδὲν ἂν διαφέροι πρὸς εὐδαιμονίαν τοῦ ψέγεσθαι καὶ
μηδὲν ἰσχύειν καὶ ἐπιπόνως ζῆν.

2. αὐτὸ καὶ Obs. p. 31, καὶ B, αὐτοὶ M, αὐτοὶ καὶ reliq. ‖ 5. καὶ τὰ BM. Reisk., τὰ om. reliq. — 3, 2. πάντως Geel., πάντες reliq. ‖ καὶ πολλοί. καὶ om. M, malim πολλοὶ καί. ‖ 4. ἀγωνίζεσθαι. εὐδοκιμεῖν desiderat Reisk. ‖ διὰ δέ. δὲ delet Jacobs. ‖ 6. νομίζωνται. νομίζονται m. ‖ 7. φασι. φησι B. ‖ 10. πράττουσιν. ταῦτα πράττουσιν Reisk. — 4, 2. ὀλίγου. ὀλίγους M. ‖ 4. ξυμφέρον τε Anonym. apud Reisk. r, ξυμφέροντα reliq. ‖ 5. καθ'. καὶ καθ' B. ‖ οἷοί. ὅσοι M. mrg. m.

ΛΟΓΟΣ κε

ΠΕΡΙ ΤΟΥ ΔΑΙΜΟΝΟΣ.

1 *Β. Φασὶ τοὺς φιλοσόφους λέγειν, ὡς ἄρα εὐδαίμων εἴη μό-*
νος ὁ σοφός. — Δ. λέγουσι γάρ. — Β. ἆρ᾽ οὖν ἀληθῆ σοι δοκοῦσι
λέγειν; — Δ. ἔμοιγε. — Β. τί οὖν οὐχὶ κἀμοὶ ἔφρασας τὴν 251 M
διάνοιαν αὐτῶν; — Δ. ἐὰν ἐμοὶ σὺ πρῶτον εἴπῃς, ὅ τι νομί-
ζεις τὸν δαίμονα εἶναι. — Β. ἐγὼ μὲν τὸ κρατοῦν ἑκάστου
καὶ καθ᾽ ὃν ζῇ τῶν ἀνθρώπων ἕκαστος, ὁμοίως μὲν ἐλεύθερος,
ὁμοίως δὲ δοῦλος καὶ πλούσιος καὶ πένης καὶ βασιλεὺς καὶ
ἰδιώτης, καὶ πράττει ὅσα ἂν πράττῃ. — Δ. τοῦτο δὲ ἐν αὐτῷ
νομίζεις εἶναι τῷ ἀνθρώπῳ, τὸ κρατοῦν ἑκάστου, ὃ δαίμονα 520 R
καλεῖς, ἤ, ἔξωθεν ὄν, ἄρχον τε καὶ κύριον τοῦ ἀνθρώπου; —
2 *Β. ἔξωθεν ἔγωγε. — Δ. ἆρά γε ἄνθρωπον ἕτερον; ἔστι γάρ*
που ἄνθρωπος ὁ μὲν ἑνός τινος κρατῶν, ὁ δὲ πολλῶν, καὶ
ἄγων ὅπῃ τε καὶ ὅπως αὐτὸς βούλεται ἤτοι πειθοῖ ἢ βίᾳ ἢ
καὶ ἀμφοτέροις. λέγω δὲ οὐδὲν ἄγνωστον, ἀλλὰ τούς τε δη-
μαγωγούς, οἷς πάντα πείθονται αἱ πόλεις καὶ ὅπως ἂν ἐκεῖνοι
ἐξηγῶνται καὶ συμβουλεύωσιν, οὕτω πράττουσιν, ἐάν τε πολε-
μεῖν συμβουλεύωσιν ἐάν τε εἰρήνην ἄγειν ἐάν τε τείχη οἰκοδο-
μεῖσθαι ἐάν τε τριήρεις κατασκευάζεσθαι ἐάν τε θυσίας
θύειν ἐάν τε ἐκβάλλειν τινὰς αὐτῶν ἢ χρήματα ἀφαιρεῖσθαι
ἢ καὶ ἀποσφάττειν· καὶ τοὺς βασιλέας καὶ τοὺς τυράννους,
ὁμοίως δὲ καὶ τοὺς δεσπότας τῶν οἰκετῶν, ὅσοι ἀργύριον κα-
3 *ταβαλόντες ἢ ἄλλῳ τῳ τρόπῳ κέκτηνταί τινα· ὡς ἂν εἰ Λυ-*
κοῦργόν τε Λακεδαιμονίων δαίμονα καλοῖς· ἐκείνου γὰρ κελεύ-

Orat. XXV. Collati sunt BM. — 1, 4. *εἴπῃς* **BM. Iacobs.,** *εἴποις* **reliq. ‖ 8.** *πράττῃ* **B,** *πράττει* **M,** *πράττοι* **reliq. ‖ 10.** *ἄρχον τε* **Reisk.,** *ἄρχοντα* **reliq. ‖ 11.** *ἔξωθεν* **om. BM. — 2, 2.** *ἑνός τινος* **Reisk.,** *τινος ἑνὸς* **M,** *ἑνὸς* **om. reliq. ‖ 4.** *οἰδὲν. οὐδὲ* **m. ‖ 5.** *πείθονται. πίθονται* **M. ‖** *ἐκεῖνοι. ἐκείνοις* **BM. ‖ 6.** *συμβουλεύωσιν. συμβουλεύουσι* **BM. ‖ 9.** *αὐτῶν. ἀστῶν* **Iacobs. Ann. in Eurip. p. 26. ‖** *ἀφαιρεῖσθαι. φαιρεῖσθαι* **M. ‖ 11.** *καταβαλόντες. καταβάλλοντες* **BM. ‖ 12.** *ἄλλῳ. ἄλλως* **M. — 3, 1.** *ἂν εἰ. ἂν* **M. ‖ 2.** *τε* **M. r,** *γε* **reliq. ‖** *καλοῖς* **BM. Iacobs,** *καλεῖς*

σαντος ἔτι νῦν μαστιγοῦνται Λακεδαιμόνιοι καὶ θυραυλοῦσι
καὶ γυμνητεύουσι καὶ ἄλλα πολλὰ καὶ χαλεπὰ δόξαντα ἂν
ἑτέροις ἀνέχονται· καὶ Πεισίστρατον Ἀθηναίων τῶν πρότερον.
οἶσθα γὰρ δήπου, ὅτι Πεισιστράτου προστάττοντος καὶ ἄρ-
χοντος εἰς μὲν τὴν πόλιν οὐ κατῄεσαν ὁ δῆμος, ἐν δὲ τῇ χώρᾳ 321 R
διατρίβοντες γεωργοὶ ἐγίγνοντο· καὶ τὴν Ἀττικὴν πρότερον
ψιλὴν καὶ ἄδενδρον οὖσαν ἐλαίαις κατεφύτευσαν Πεισιστρά-
του προστάξαντος· καὶ τἆλλα ὅπως ἐκεῖνος ἐβούλετο, οὕτως
4 ἔπραττον. ὕστερον δὲ ἴσως ἄλλους τε φαίη τις ἂν καὶ Θεμι-
στοκλέα καὶ Περικλέα γενέσθαι· οὐ γὰρ ἀνήκοος δήπου τυγ-
χάνεις περὶ τοῖν ἀνδροῖν· τὸν μέν, ὅτι ναυμαχεῖν Ἀθηναίους
ἠνάγκασε πεζοὺς πρότερον ὄντας, καὶ τὴν χώραν καὶ τὴν
πόλιν προιεμένους τοῖς βαρβάροις καὶ θεῶν ἱερὰ καὶ τάφους 282 M.
προγόνων ἐν ταῖς ναυσὶ ποιήσασθαι πάντα τὰ σφέτερα πράγ-
ματα, καὶ ὕστερον τὸν Πειραιᾶ τειχίσαι πλειόνων ἢ ἐννενή-
κοντα σταδίων, καὶ ἄλλα τοιαῦτα προσέταξεν αὐτοῖς, ὧν τὰ
μὲν ἐπὶ τοσοῦτον ἔπραττον, ἐφ᾽ ὅσον ἐκεῖνος παρῆν, τὰ δὲ
καὶ φυγόντος αὐτοῦ καὶ τελευτήσαντος. καὶ μετὰ ταῦτα
ἄλλους τινὰς ἴσως φήσεις δαίμονας γεγονέναι τῶν Ἀθηναίων,
οἷον Ἀλκιβιάδην τὸν Κλεινίου καὶ Νικίαν καὶ Κλέωνα καὶ
Ὑπέρβολον, τοὺς μέν τινας ἐπιεικεῖς τυχόν, τοὺς δὲ πάνυ
5 πονηρούς τε καὶ χαλεπούς. ἔτι δὲ Κῦρον Περσῶν ἐπὶ χρόνου
τινὸς δαίμονα γενέσθαι βασιλικόν τινα καὶ ἐλευθέριον, ὃς
δουλεύοντας αὐτοὺς Μήδοις πρότερον εἰς ἐλευθερίαν ἀφείλετο
καὶ πάντων ἀπέφηνε δεσπότας τῶν κατὰ τὴν Ἀσίαν. ἔτι δὲ
Καμβύσην καὶ Δαρεῖον καὶ τοὺς ἄλλους τοὺς ἐφεξῆς· τὸν μὲν
Καμβύσην τά τε χρήματα αὐτῶν ἀναλίσκοντα καὶ αὐτοὺς 322 R.
κατατοξεύοντα καὶ στρατείας προστάττοντα χαλεπὰς καὶ
συνεχεῖς καὶ μηδέποτε ἐῶντα οἴκοι μένειν· τὸν δὲ Δαρεῖον

reliq., ἀνάλεις Reisk. ‖ 3. Πεισίστρατον. πισίστρατον M. ‖ τῶν πρότερον Reisk., τῶν om. reliq. ‖ 6. Πεισιστράτου. πισιστράτου M. ‖ 8. ἐγίγνοντο. ἐγείνοντο M. ‖ 9. Πεισιστράτου. πισιστράτου M. ‖ 10. τἆλλα M, τὰ ἄλλα reliq. — 4, 2. καὶ Περικλέα om. M. ‖ δήπου τυγχάνεις BM, τυγχάνεις δήπου reliq. ‖ 3. τὸν. του Reisk. ‖ 5. προιεμένους. προιεμένοις M. ‖ 7. τειχίσαι. τειχῆσαι M. ‖ πλειόνων. πλιόνων M. ‖ ἐννενήκοντα. ἐνενήκοντα M. ‖ 11. φήσεις δαίμονας BM, δαίμονας φήσεις reliq. ‖ 12. Κλέωνα. Κλείωνα m. — 5, 1. ἐπὶ sic dedi. ἀπὸ reliq. ‖ 2. βασιλικόν Reisk., καὶ βασιλικὸν reliqui, quod defendit Iacobs. Add. p. 157. ‖ 3. ἀφείλετο. ἀφίλετο M. ‖ 4. δεσπότας. δεσπότην BM. ‖ 6. χρήματα. χρήματ᾽ M. ‖ 7. στρατείας. στρατίας M, στρατειὰς B. ‖ προστάττοντα B, προστάσσοντα reliq. ‖ 8. οἴκοι

by Google

*χρήματα μὲν ὡς οἷόν τε πολλὰ συναγαγόντα καὶ τῇ χώρᾳ
γενόμενον αἴτιον ὅπως ἐργασθήσεται, πολέμους δὲ καὶ τοῦ-
τον ἀναγκάζοντα πολεμεῖν χαλεποὺς καὶ ἐπικινδύνους, καθά-
6 περ οἶμαι τὸν πρὸς Σκύθας καὶ τὸν πρὸς Ἀθηναίους. οὕτω
δὲ καὶ Νουμᾶν μὲν Ῥωμαῖοι τυχὸν ἂν λέγοιεν αὐτῶν δαίμονα,
Καρχηδόνιοι δὲ Ἄννωνα καὶ Ἀννίβαν, Μακεδόνες δὲ Ἀλέξαν-
δρον ἢ Φίλιππον, ὃς Μακεδόνας ταπεινοὺς ὄντας καὶ ἀσθενεῖς
καὶ τοῦ πατρὸς αὐτοῦ παραχωρήσαντος Ὀλυνθίοις τῆς ἀρχῆς
ἰσχυροὺς ἐποίησε καὶ πολεμικοὺς καὶ μικροῦ δεῖν ἁπάσης Εὐ-
ρώπης ἐγκρατεῖς. Ἀλέξανδρος δὲ ὕστερον μετ' ἐκεῖνον εἰς τὴν
Ἀσίαν ἐξαγαγὼν ἅμα μὲν πλουσιωτάτους ἁπάντων ἀνθρώπων
ἀπέδειξεν ἅμα δὲ πενιχροτάτους, καὶ ἅμα μὲν ἰσχυροὺς ἅμα
δὲ ἀσθενεῖς, φυγάδας τε καὶ βασιλέας τοὺς αὐτούς, Αἴγυπτον
μὲν καὶ Βαβυλῶνα καὶ Σοῦσα καὶ Ἐκβάτανα προσθείς,
7 Αἰγὰς δὲ καὶ Πέλλαν καὶ Δῖον ἀφελόμενος. Καρχηδονίους
δὲ Ἄννων μὲν ἀντὶ Τυρίων ἐποίησε Λίβυας καὶ Λιβύην κατ-
οικεῖν ἀντὶ Φοινίκης καὶ χρήματα πολλὰ κεκτῆσθαι καὶ* 283 M.
*συχνὰ ἐμπόρια καὶ λιμένας καὶ τριήρεις καὶ πολλῆς μὲν
γῆς πολλῆς δὲ θαλάττης ἄρχειν· Ἀννίβας δὲ πρὸς τῇ Λιβύῃ
καὶ τῆς Ἰταλίας αὐτῆς κρατῆσαι παρέσχεν ἑπτακαίδεκα
ἔτη. αὖθις δὲ αἴτιος ἐγένετο ἀναστάτους γενέσθαι καὶ τὴν
πόλιν αὐτὴν μεταβαλεῖν ὑπὸ Ῥωμαίων, πολλοὺς πρότερον
τῶν Ῥωμαίων ἀπολέσας καὶ μικρὸν ἀποσχὼν αὐτὴν ἑλεῖν τὴν* 523 R.
*Ῥώμην, οὐ βουληθεὶς δέ, ὥς φασι, διὰ τοὺς οἴκοι ἀντιστα-
σιώτας. καὶ τοῦτον ἴσως οὔτε Καρχηδονίοις οὔτε Ῥωμαίοις
8 ἀγαθὸν δαίμονα προσήκει αὐτῶν καλέσαι. Νουμᾶς δὲ τὴν
Ῥώμην παραλαβὼν μικρὰν καὶ ἄδοξον ἔτι, ἐν ἀλλοτρίᾳ χώρᾳ
δὲ ᾠκισμένην καὶ σύγκλυδας καὶ πονηροὺς ἔχουσαν τοὺς ἐνοι-
κοῦντας, ἔτι δὲ τοῖς προσχώροις πᾶσιν ἐχθροὺς καὶ πένητας*

μένειν. σαι καὶ μένειν M, ‖ 9. *οἷόν τε.* οἴονται BM. — 6, 2. *Νουμᾶν* BM, τὸν Νουμᾶν reliq. ‖ *αὐτῶν.* sic dedi. αὐτὸν B, αὐτῶν reliq. ‖ 4. *Φίλιππον ὅς.* Φίλιππος μὲν M. ‖ *ἀσθενεῖς.* ἀσθενεῖς παραλαβὼν Reisk. ‖ 6. *ἁπάσης.* -ἀπὸ τῆς M. ‖ 9. *ἀπέδειξεν.* ἀπέδιξεν M. ‖ *πενιχροτάτους.* πενιχρωτάτους BM. ‖ μὲν r, δὲ reliq. — 7, 2. *Ἄννων.* ἄννωνα M. ‖ 4. *ἐμπόρια.* ἐμπορεῖα B. ‖ 8. πολλοὺς BM, πολλοὺς δὲ reliq. ‖ 9. *ἀπολέσας.* ἀπωλέσας vm. ‖ 12. προσήκει Reisk., προσήκειν reliq. ‖ αὐτῶν Obs. p. 31, αὐτῶν BM, αὐτὸν reliqui, quod defend. Iacobs. Add. p. 290. — 8, 2. ἔτι M, ἔτι δὲ reliqui. mutanda fuit distinctio. ‖ 3. *δὲ ᾠκισμένην.* sic dedi. νὴ Δί' ᾠκισμένην Reisk., ᾠκισμένην Iacobs., διῳκισμένην reliq. ‖ *σύγκλυδας.* συνήλυδας M. ‖ *ἔχουσαν.* ἔχουσα BM. ‖ 4. *προσχώροις.* προσχωρίοις M.

καὶ ἀγρίους καὶ ἐπικινδύνως ζῶντας διὰ τὴν Ῥωμύλου χαλεπότητα τήν τε γῆν αὐτοὺς βεβαίως ἔχειν ἐποίησε καὶ φίλους εἶναι τοῖς περιοίκοις, καὶ νόμους καὶ θεοὺς καὶ πολιτείαν κατεστήσατο, καὶ πάσης αἴτιος ὑπῆρξε τῆς λεγομένης ὕστερον
9 εὐδαιμονίας. ἔχοιμι δ' ἂν καὶ περὶ τῶν ἄλλων λέγειν πόλεων καὶ γενῶν καὶ ἀνθρώπων τὸν αὐτὸν τρόπον εὖ τε καὶ κακῶς πραξάντων διά τινας ἄρχοντας αὐτῶν γενομένους καὶ προστάτας· ἀλλὰ ἱκανῶς οἶμαι τὴν ἐμαυτοῦ διάνοιαν ἐνδεδεῖχθαι. εἰ δὴ τούτους καλεῖς δαίμονας τῶν ὑπ' αὐτοῖς, δι' οὓς ἕκαστοι βέλτιον ἢ χεῖρον ἔπραξαν, ἡδέως ἂν ἀκούοιμι.

ΛΟΓΟΣ κϛ

ΠΕΡΙ ΤΟΥ ΒΟΥΛΕΥΕΣΘΑΙ.

1 Πάλαι καθήμενος καὶ ὑμῶν ἀκούων, ὅτε πολλαῖς ὥραις 524 R.
διετρίβετε παρά τινι τῶν πολιτικῶν βουλευόμενοι περί τινων
πραγμάτων, σκοπῶ παρ' ἐμαυτῷ καὶ ἀναζητῶ, τί ἐστι τοῦτο,
ὅ φατε βουλεύεσθαι, ἢ ὅ τι αὐτὸ δὴ τὸ βουλεύεσθαι. ἆρα
γὰρ περὶ τούτου τις βουλεύεται τοῦ πράγματος, ὃ οἶδέ τε 281 M.
καὶ ἐπίσταται; οὐ δοκεῖ μοι περὶ ὧν τις οἶδε, περὶ τούτων
βουλεύεσθαι, ἀλλὰ ἤδη εἰδέναι. τί δαί; ἃ οὐκ οἶδεν οὐδὲ
ἐπίσταται, περὶ τούτων ὥσπερ διαμαντευόμενος καὶ ἀναζητῶν

5. διὰ τὴν Obs. p. 31, διὰ om. reliq. ‖ χαλεπότητα τήν τε γῆν Obs. p. 32 (nisi quod ibi τε deest), χαλεπωτάτην τε γῆν M, χαλεπωτάτην γῆν reliq. ‖ 7. πολιτείαν. πολιτίαν M. ‖ κατεστήσατο. κατεστήσαντο M. ‖ 8. λεγομένης. γενομένης Reisk. — 9, 3. αὐτῶν. αὐτῷ M. ‖ 4. ἐμαυτοῦ. ἑαυτοῦ B. ‖ 5. τῶν Reisk., ὡς τῶν reliq. ‖ δι' οὓς Reisk., καὶ διδοὺς M, καὶ δι' οὓς reliq. ‖ 6. ἕκαστοι BM, ἕκαστος reliq. ‖ ἔπραξαν BM (corr. ἔπραξεν), ἔπραξεν reliq. ‖ ἀκούοιμι. ἀκούοι M.

Orat. XXVI. Collati sunt BM. — 1, 1. ὑμῶν. ἡμῶν m. ‖ ὅτε. ὅτι BM. ‖ 2. βουλευόμενοι. βουλόμενοι B. ‖ 4. ἢ ὅ τι. ἢ B, om. M. unde proxima quoque v. αὐτὸ δὴ τὸ βουλεύεσθαι suspecta sunt. ‖ ἆρα γάρ. εἰ μὲν γάρ M. ‖ 5. τοῦ om. M. ‖ ὃ οἶδε. τοῦτο οἶδεν (corr. ὃ οἶδεν) M. ‖ 7. ἤδη. εἴδη M. ‖ τί δαί. εἰ δὲ M. ‖ οὐδὲ Reisk., οὐδὲ ἃ reliq. ‖ 8. τούτων. τούτων βουλεύεται Reiskius, quo non opus est.

[γνῶναι ἃ οὐκ οἶδεν]; οὐ δοκεῖ μοι οὐδὲ οὕτως δύνασθαι βου-
2 λεύεσθαι περὶ τούτων, περὶ ὧν οὐδεμίαν ἐπιστήμην ἔχει. [ἆρα
οὖν μὴ τοιόνδε τι ᾖ τὸ βουλεύεσθαι, ὥστε τινὰ μὲν εἰδέναι
τινὰ δὲ ἀγνοεῖν, καὶ τοῦτο ᾖ περὶ οὗ βουλεύονται ἄνθρωποι;
ἵνα δὲ μᾶλλον τῷ λόγῳ παρακολουθήσωμεν, δι' εἰκόνος τινὸς
ἐπιδείξομεν αὐτό. ὑποτιθέμεθα γάρ, εἰδέναι μὲν ἡμᾶς Χαρι-
κλέα καὶ Χαρίξενον, ὅπου δὲ οἰκοῦσιν ἀγνοεῖν· στοχάζεσθαι
3 δὲ περὶ τῆς οἰκίας αὐτοῖν.] μὴ ἄρα τοῦτο ᾖ τὸ βουλεύεσθαι,
ὥστε ἐξ ὧν οἴδαμεν, ἐκ τούτων καὶ περὶ ὧν οὐδέπω ἴσμεν
τεκμαίρεσθαι, καθάπερ οἱ ἀρτιάζοντες ἴσασι μέν, ὅτι ἐν ταῖς 525 R.
χερσὶν ἔχουσιν οἱ προκαλεσάμενοι αὐτοὺς χρῆμα, οὐ μέντοι,
ὅτι τοσοῦτον· ἀλλ' ἐνίοτε καὶ ἐπέτυχον εἰπεῖν καὶ οὕτω δὴ
κρατήσαντες ἀπηλλάγησαν. μὴ ἄρα καὶ τὸ βουλεύεσθαι
τοιοῦτον ᾖ, ὥστε εἰδέναι μέν τι, τὰ δὲ ἄλλα, ὅσα ἀγνοοῦμεν,
στοχασάμενοι ἐνίοτε αὐτομάτως ἐπετύχομεν καὶ μετ' οὐδε-
4 μιᾶς ἐπιστήμης. φέρε γὰρ ἴδωμεν, ὁποῖόν ἐστι τὸ πρᾶγμα.
τὰ ὄντα καὶ ἔστι καὶ ἐγένετο καὶ ὑφέστηκε, τὰ δὲ μὴ ὄντα
οὔτε ἐστὶ οὔτε ἐγένετο οὔτε ὑφέστηκεν. οὐ δεῖ μὲν οὖν περὶ
τῶν ἤδη ὄντων· ἔστι γάρ, καὶ οὐδὲν ὄφελος περὶ τῶν γεγο
νότων καὶ ὑφεστηκότων βουλεύεσθαι· τί γὰρ καὶ βουλευ-
σόμεθα περὶ αὐτῶν; ἵνα μὴ γένηται τὰ γεγονότα; οὐ δύ-
ναται μὴ γεγονέναι. ἀλλ' ἵνα μὴ ᾖ τὰ ὄντα; πῶς δυνά-
μεθα ποιῆσαι μὴ εἶναι οὕτως, ὡς ἐγένετο; ἀλλ' ἵνα μὴ ὑφε-
στήκῃ; πᾶν τὸ ὂν ὑπόστασιν ἔχει. ἀλλὰ περὶ μὲν τῶν ὄντων
5 τί ἄν τις καὶ βουλεύοιτο; περὶ τίνων οὖν βουλευόμεθα; περὶ
τῶν μελλόντων, ὡς ὁ λόγος ὑποδείκνυσι. τὰ δὲ μέλλοντα
οὔτε ἔστιν οὔτε γέγονεν οὔτε ὑφέστηκεν. περὶ τῶν οὐκ ὄν-

9. [γνῶναι ἃ οὐκ οἶδεν] delenda. γνῶναι ἃ οὐκ οἶδεν εἰδέναι BM. totum locum sic constituit Iacobsius: οὐδὲ ἐπίσταται, περὶ τούτων, ὥσπερ διαμαντευόμενος, ἐστὶν ἀναζητῶν, γνῶναι ἃ οὐκ οἶδεν. ‖ οὕτως. οὗτος Reisk. — 2, 1. [ἆρα οὖν — αὐτοῖν] delenda sunt, nam plane idem cum sequentibus continent. ‖ ἆρα. cum Pflugkio malim ὅρα. ‖ 2. ᾖ τὸ. τὸ om. BM. — 3, 1. ἄρα. sic dedi. ἆρα reliq. ‖ τοῦτο. τοιοῦτο Pflugk. p. 16. ‖ 3. ἀρτιάζοντες. ἁρπάζοντες M. ‖ ὅτι. ὅ τι m. ‖ 4. ἔχουσιν οἱ προκαλεσάμενοι αὐτοὺς BM, οἱ προκαλεσάμενοι αὐτοὺς ἔχουσιν reliq. ‖ 6. ἄρα M, ἆρα reliq. ‖ 7. ὅσα ἀγνοοῦμεν. sic dedi. ὅσα ἠγνοοῦμεν Geel., ὅσα ποιοῦμεν BM (at οῦμεν in litura), ὅσα ποιήσομεν reliqui, unde ὡς ἀπ' οἰήσεως Iacobs. Add. p. 151. — 4, 3. οὐ δεῖ μὲν οὖν. εἰ μὲν οὖν M. ‖ 4. ὄντων. ὄντων βουλεύεσθαι Reisk. ‖ 5. γὰρ καί. καὶ om. B. ‖ 8. ὑφεστήκῃ BM, ὑφεστήκοι reliq. ‖ 10. τί. ὅτι M. — 5, 3. ἔστιν M, ἐστὶν reliq.

των οὖν τίς δύναται βουλεύεσθαι καὶ περὶ τῶν οὐχ ὑφε-
στώτων; τὸ γὰρ μήπω ὂν οὐδὲ ἔστιν. περὶ δὲ τοῦ οὐκ 285 M.
ὄντος οὐδεὶς δύναται βουλεύεσθαι. οὐδεὶς ἄρα δύναται βου-
λεύεσθαι περὶ τῶν μελλόντων. ἡ γὰρ βουλὴ ἐπί τινί ἐστιν.
τὸ δὲ μέλλον οὐκ ἔστιν. οὐκ ἄρα οὐδὲ τὸ βουλεύεσθαι περὶ
6 τῶν μελλόντων δύναιτ᾽ ἂν εἶναι. τί οὖν; ὁ ἄμουσος καὶ ὁ
ἀνεπιστήμων ἁρμονίας καὶ μέλους καὶ ῥυθμοῦ καὶ τῆς τού-
των τάξεως καὶ κινήσεως δύναιτ᾽ ἂν καλῶς βουλεύσασθαι
περὶ μουσικῆς καὶ τῶν ἔργων τῶν κατὰ μουσικήν; οὐδαμῶς.
τί δαί; ὁ γεωμετρίας ἄπειρος περὶ σώματος καὶ μήκους καὶ
πλάτους καὶ βάθους βουλευόμενος ἂν καλῶς βουλεύοιτο; οὐδὲ 526 R.
οὗτος. τί δαί; ὁ νεὼς ἄρχειν οὐκ ἐπιστάμενος περὶ νεὼς ἀρχῆς
καὶ ἔργων κυβερνητικῶν ἱκανῶς ἂν βουλευόμενος βουλεύοιτο;
7 οὐδὲ οὗτος. ἄρα ὅστις οὐδὲν ἱκανῶς περὶ οὐδενὸς οὔτε πεπαί-
δευται οὔτε οἶδεν, οὗτος οὐδὲ βουλεύσασθαι περὶ τούτου
ἱκανός ἐστιν. χρὴ οὖν ἐπιμελεῖσθαι μάλιστα φρονήσεως καὶ
παιδείας, ἵνα ἡμῖν ᾖ ῥᾴδιον περὶ ἁπάντων πραγμάτων βου-
λεύεσθαι καὶ εἰδέναι τὸ συνοῖσον ἑκάστῃ βουλῇ καὶ μὴ δια-
μαρτάνειν· ἀλλὰ καθάπερ οἱ μουσικοὶ καὶ οἱ γεωμέτραι καὶ
οἱ κυβερνῆται περὶ τῶν ἰδίων ἔργων ἀτεχνῶς σκέπτονται, καὶ
ἅπαντες οἱ περί τι δεινοὶ καὶ συνεῖναι περὶ αὐτῶν εἰσιν, οὕτω
δὴ καὶ ἡμεῖς περὶ τῶν ἰδίων ἱκανοὶ ὦμεν βουλεύεσθαι καὶ
8 λέγειν. ἄτοπον γὰρ τοὺς μὲν ἀρτιάζοντας σύνεσιν ἐπιδεί-
κνυσθαι, καὶ ταῦτα εἰκάζοντας καὶ μὴ ὁρῶντας τοῦτο περὶ
οὗ ἀποφαίνονται, τοὺς δὲ περὶ πραγμάτων βουλευομένους
μήτε ξύνεσιν μήτε ἐπιστήμην μήτε ἐμπειρίαν ἐπιδείκνυσθαι,
καὶ τούτων ἐνίοτε τῶν μεγίστων ὄντων, περὶ ὁμονοίας καὶ
φιλίας οἰκιῶν καὶ πόλεων καὶ περὶ εἰρήνης καὶ πολέμου καὶ

5. τὸ γὰρ μήπω ὂν οὐδὲ ἔστιν. τὸ γὰρ οὐκ ὂν οὐδέν ἐστι BM. in his quoque quae-dam turbata esse videntur ex interpolatione. ‖ 7. τινί ἐστιν M, τινι ἐστί reliq. — 6, 1. τί. διὰ τί M. ‖ 5. δαί. δὲ M. ‖ 7. οὗτος. οὕτως M. ‖ δαί. δὲ M. ‖ 8. ἔργων. ἔργων καὶ B. — 7, 1. ἄρα. malim οὐκ ἄρα. ‖ ἱκανῶς. ἱκανὸς B. ‖ οὔτε πεπαίδευται οὔτε. sic dedi. οὐδὲ πεπαίδευται οὐδὲ reliq. ‖ 2. βουλεύσασθαι BM. mrg. m, βουλεύεσθαι reliq. ‖ 3. ἐστιν M, ἐστι reliq. ‖ φρονήσεως. φρονήματος BM (corr. vulg.). ‖ 6. καὶ οἱ. οἱ om. B. ‖ 8. εἰσιν. ἱκανοί εἰσιν Reiskius. at οἱ περί τι est οἱ περί τι ὄντες, δεινοὶ vero cum συνεῖναι copulandum, quod et Pflugkius vidit. Iacobsius sic locum constituit: οἱ περί τι δεινοί, δεινοὶ καὶ cett. ‖ 9. δὴ καί. sic dedi. δὲ καὶ B, δεῖ καὶ M, δὴ om. reliq. — 8, 1. ἀρτιάζοντες. ἁρπάζοντες M (mrg. vulg.). ‖ 2. τοῦτο BM, τὸ reliqui haud deterius.

περὶ κατοικισμοῦ καὶ περὶ κατοικίσεως περί τε παίδων καὶ περὶ γυναικῶν.

ΛΟΓΟΣ *κζ*

ΔΙΑΤΡΙΒΗ ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΥΜΠΟΣΙΩ.

1 *Οἱ ἄνθρωποι γίγνονται καταφανεῖς, ὁποίαν ἔχουσι διά-* 521 R.
νοιαν ἕκαστος ἐν ταῖς πανηγύρεσιν οὐχ ἧττον ἢ ἐν τοῖς συμ-
ποσίοις· πλὴν ὅτι ποικιλώτερον τὸ τῶν πανηγύρεων καὶ χρόνου
πλείονος. οὐκοῦν εἰς τὰ συμπόσια δήπου οἱ μέν τινες ἀφι-
κνοῦνται τοῦ πιεῖν ἕνεκεν καὶ οὐθὲν ἄλλο πράττουσιν, ὥσπερ
οἱ διψῶντες τῶν ὁδοιπόρων, ἐπειδὰν ἔλθωσιν ἐπὶ κρήνην τινά,
πίνουσιν ἐπικύψαντες. ἀλλὰ ἐκεῖνοι μὲν ἐμπλησθέντες καὶ τὸ
δίψος ἀποσβέσαντες ἡσυχῇ ἀπαλλάττονται, οὔτε πράξαντες
οὔτε τι εἰπόντες ἄτοπον· οἱ δὲ πολλὰ καὶ δυσχερῆ ἐνίοτε καὶ
2 *λέγουσι καὶ δρῶσιν. οὐ γὰρ ὁμοίως ὑποδέχονται τοὺς δεομέ-*
νους αὐτῶν αἵ τε Νύμφαι καὶ ὁ Διόνυσος· ἀλλὰ ἅτε διθύ-
ραμβος ὢν ὁ Διόνυσος καὶ ὑπὸ κεραυνοῦ καὶ βροντῆς γενό-
μενος, ὥς φασιν οἱ ποιηταί, τοὺς ἀμαθέστερον χρωμένους
ἀτεχνῶς πυρὸς πίμπλησι καὶ τῷ ὄντι πολλοὺς αὐτῶν ἐμβροντή-
τους ἐποίησεν. οὗτοι μὲν οὖν σχεδόν τι μαινόμενοι πολλὰ
κακὰ δρῶσιν, ὥσπερ Ὅμηρός φησι τὸν Κένταυρον μεθυσθέντα

7. *κατοικισμοῦ.* malim *ἀποικισμοῦ* vel *μετοικισμοῦ.* ‖ *κατοικίσεως* M, *κατοικήσεως* reliq.

Orat. XXVII. Collati sunt BM. titulus. *συμποσίῳ. συμποσίοις* M. — 1, 2. *πανηγύρεσιν. πανεγύρεσιν* M. ‖ *οὐχ ἧττον ἢ.* sententia poscit *οὐχ ἧττον δέ,* nisi malumus verba sic transponi: *ἐν τοῖς συμποσίοις οὐχ ἧττον ἢ ἐν ταῖς πανηγύρεσι.* ‖ 3. *ποικιλώτερον. ποικιλώτερα* Reisk. ‖ *τὸ τῶν.* sic dedi. *τὰ τῶν* reliq. ‖ 5. *ἕνεκεν. ἕνεκα* B. ‖ 6. *ἐπειδάν. ἐπειδὴ* m. ‖ 8. *ἡσυχῇ ἀπαλλάττονται. ἡσυχεῖα πλάττονται* M. ‖ *πράξαντες* Obs. p. 32, *κράξαντες* reliq. ‖ 9. *οὔτε τι. τι* om. BM. — 2, 1. *ὑποδέχονται* BM (corr. *ἀποδέχονται*), *ἀποδέχονται* reliq. ‖ 3. *κεραυνοῦ καὶ βροντῆς. κεραυνῷ καὶ βροντῇ* Hemsterh. ad Luc. T. I. p. 355. ‖ 5. *πίμπλησι. ἐμπίμπλησι* Reisk. ‖ 7. *κακὰ* BM. Casaub., *καὶ* reliqui. malim *καὶ κακά.*

3 ἐν τῇ τοῦ *Πειρίθου* οἰκίᾳ κακὰ ἐργάσασθαι. καὶ ἄλλοι δὲ
φύσει ἀδολέσχαι οἷον ἀκροατῶν τινων λαβόμενοι τῶν συμπο-
τῶν ἀναισθήτους καὶ μακροὺς διατίθενται λόγους· οἱ δὲ
ᾄδουσι καὶ ἀπᾴδουσι, σφόδρα ἄμουσοι ὄντες, καὶ σχεδόν τι 528 R.
μᾶλλον λυποῦσι τῶν μαχομένων καὶ λοιδορουμένων. ἕτεροι
δὲ αὐστηροὶ καὶ σώφρονες εἶναι λέγοντες ἀποκναίουσιν ἀηδίᾳ,
4 μήτε ποτοῦ τὸ μέτριον μήτε λαλιᾶς κοινωνεῖν ἀξιοῦντες. ὃς
δ' ἂν ᾖ πρᾷος ἀνὴρ καὶ τὸν τρόπον ἱκανῶς ἡρμοσμένος, τῶν
τε ἄλλων ῥᾳδίως ὑπομένει τὴν δυσκολίαν καὶ αὐτὸς ὡς οἷόν
τε ἀμαθῆ χορὸν εἰς τὸ δέον καθίστησι ῥυθμῷ τε καὶ μέλει
τῷ προσήκοντι, τούς τε οἰκείους λόγους εἰσφέρων καὶ δεξιό- 287 M.
τητι καὶ πειθοῖ προσαγόμενος τοὺς παρόντας, ὥστε ἐμμελέ-
5 στερον καὶ φιλικώτερον ξυνεῖναι ἀλλήλοις. τὰ μὲν δὴ τῶν
συμποσίων τοιαῦτα. ἀφικνοῦνται δὲ καὶ πρὸς τὰς πανηγύρεις
οἱ μὲν ἱστορίας ἕνεκεν τῶν τε ἄλλων θεαμάτων καὶ τῶν ἀγώ-
νων· καὶ τούτων ὅσοι σφόδρα ἐσπουδακότες περὶ τὸ πρᾶγμα,
διατελοῦσιν οὐθὲν ἄλλο πράττοντες ἐξ ἑωθινοῦ· πολλοὶ δὲ
ὤνια κομίζοντες παντοδαπὰ, ἀγοραῖος ὄχλος, οἱ δέ τινες ἑαυ-
6 τῶν ἐπιδειξόμενοι τέχνας καὶ δημιουργίας, ἄλλοι δὲ σοφίαν
τινὰ αὑτῶν ἐκφαίνοντες, πολλοὶ μὲν ποιήματα ἐπιδεικνύντες
τραγῳδίας τε καὶ ἐπῶν, πολλοὶ δὲ καταλογάδην συγγράμματα,
τὸν σχολῆς ἕνεκεν ἥκοντα καὶ ῥᾳθυμεῖν βουλόμενον ἐνοχλοῦν-
τες· οὗτοι δὲ μάλιστα ἐοίκασι τοῖς μινυρίζουσι καὶ ᾄδουσιν 529 R.
ἐν τοῖς συμποσίοις, ὧν ἐξ ἀνάγκης ἀκούειν ἐστὶ, κἂν μὴ θέλῃ
τις. ἐν τούτοις ὁ δυνάμενος λόγους εἰπεῖν ὠφελίμους καὶ
συμφέροντας καὶ τὴν ὅλην σύνοδον εὐσχημονεστέραν καὶ
ἀμείνω παρασχεῖν, οὗτος ὑπὸ τῆς ταραχῆς καὶ τοῦ πλήθους
7 τῶν ἄλλων ἡσυχίαν ἄγει καὶ τρέπεται καθ' αὑτόν. πεπόν-
θασι γὰρ δὴ οἱ πολλοὶ πρὸς τοὺς ἐκ φιλοσοφίας λόγους ὅπερ
οἶμαι πρὸς τὰ τῶν ἰατρῶν φάρμακα. οὔτε γάρ τις ἐκείνοις
εὐθὺς πρόσεισιν οὐδὲ ὠνεῖται, πρὶν ἢ περιπεσεῖν φανερῷ νοσή-

8. *Πειρίθου* BM, *Πειριθόου* reliq. — 3, 4. ἀπᾴδουσι. ἀντᾴδουσι Reisk. ‖ 7. τὸ μέτριον Geel., τὸ μέτρον reliq. — 4, 3. αὐτός. αὐτὸς εὐσχημονεῖ Reisk. ‖ οἷόν τε. οἴονται M. ‖ 4. καθίστησι Iacobs. Add. p. 194, καθιστὰς reliq. ‖ 6. πειθοῖ. πιθοῖ M. — 5, 3. ἕνεκεν. ἕνεκα B. ‖ 4. περὶ τὸ M (corr. εἰς τὸ), εἰσὶ τὸ Geel., εἰς τὸ reliq., malim εἰσὶ περὶ τό. — 6, 2. τινὰ αὑτῶν BM, αὑτῶν τινα reliq. ‖ ἐκφαίνοντες. ἐκφανοῦντες Reisk. ‖ 3. τε καὶ BM, τε om. reliq. ‖ 9. ὑπὸ. ἀπὸ Casaub. — 7, 2. ὅπερ BM, ὥσπερ reliq. ‖ 3. γάρ τις. τις om. M. ‖ 4. ὠνεῖται. ὤνιται M.

Digitized by Google

*ματι καὶ ἀλγῆσαί τι τοῦ σώματος· οὔτε τῶν τοιούτων λόγων
ἀκούειν ἐθέλουσιν ὡς τοπολὺ, ὅτῳ ἂν μὴ λυπηρόν τι ξυνε-*
8 *νεχθῇ καὶ τῶν δοκούντων χαλεπῶν. αὐτίκα τὸν εὐτυχοῦντα
ὁποίαν τινά φασιν οἱ πολλοὶ τὴν εὐτυχίαν· οἷον χρήματα ἐκ
δανείων τὰ πολλὰ ἢ χώραν ἱκανὴν κεκτημένον καὶ αὐτὸν
ὑγιαίνοντα καὶ τέκνων σωζομένων καὶ γυναικὸς καί τινα δύ-
ναμιν καὶ ἀρχὴν ἔχοντα μεγάλην ἄνευ πολέμου καὶ στάσεως
καί τινων φανερῶν κινδύνων· οὐκ ἂν εὕροι τις ῥᾳδίως προσ-
ιόντα τοῖς τοιούτοις οὐδὲ ἀξιοῦντα κοινωνεῖν τῶν ἐκ φιλο-*
9 *σοφίας λόγων. εἰ δέ τῳ συμβαίη τι πταῖσμα κατὰ τὸν βίον,
ἤτοι πένης ἐκ πλουσίου γένοιτο ἢ ἀσθενὴς καὶ ἀδύνατος ἐκ* 289 M
*δυναμένου ἢ ἄλλην τινὰ ἔχων λύπην, οἱ δὲ οἰκειότερόν πως
διατίθενται πρὸς τὸ πρᾶγμα καὶ τρόπον τινὰ ὑπομένουσι
τοὺς τῶν φιλοσόφων λόγους καί πώς φασι δεῖσθαι παραμυ-
θίας. κἂν ἀπολέσας τύχῃ τινὰς τῶν οἰκείων, ἢ γυναῖκα ἢ
παῖδα ἢ ἀδελφὸν, ἀξιοῦσιν ἀφικνεῖσθαι τὸν φιλόσοφον καὶ
παρηγορεῖν· ὡς τότε δέον σκοπεῖν, ὅπως μετρίως φέρῃ τις τὰ* 530 R
γιγνόμενα καὶ δυνήσονται ἀντέχειν τοῖς λοιποῖς, πρότερον δὲ
10 *οὔ· ὥσπερ καὶ περὶ τὸ σῶμα ἔχουσι σχεδὸν οἱ ἀνόητοι· τὸν μὲν
ἄλλον χρόνον οὐθὲν αὐτοῖς μέλει, ὅπως δύνωνται ὑγιαίνειν,
ἀλλὰ σιτίοις τε καὶ οἴνῳ καὶ ἀφροδισίοις καὶ τῇ ἄλλῃ διαίτῃ ὡς
οἷόν τε ἀκολάστως καὶ ἀδεῶς χρῶνται, ἐὰν δ' ἄρα τις κατα-
λαμβάνῃ κόπος [καὶ] περὶ τὰς τοῦ ἀέρος μεταβολὰς θεραπεύειν
σφᾶς κελεύουσι μεστοὶ ὄντες ἀταξίας πολλῆς καὶ νοσημάτων
ἰσχυρῶν, οἷον εἰκὸς τοὺς τοιούτους καταλαμβάνειν, ὅπως δὲ
μηθὲν ἰατροῦ δεήσονται, τοῦτο τὴν ἀρχὴν οὐ σκοποῦσιν.*

6. *ὅτῳ ἄν.* *ὅταν* Geel. — 8, 2. *ἐκ δανείων τά.* *εἰς δανείων τὰ* M, *ἐκδανείοντα* mrg. m, *ἐκδανείζοντα* Casaub., *εἰςδανείζοντα* Geel. — 9, 1. *ξυμβαίη τι* BM, *συμβαίη* Pflugk. p. 24, *συμβῇ* reliq. ‖ 2. *πλουσίου* BM. Reisk., *πλουσίων* reliq. ‖ 3. *οἱ δὲ* BM, *οὗτοι δὲ* reliq. ‖ 6. *τινάς.* malim *τινά.* ‖ 8. *ὡς τότε* Reisk., *ὡς τὸ* (mrg. *ὥστε τὸ*) M, *ὥστε τὸ* reliq. ‖ 9. *γιγνόμενα.* malim *γινόμενα.* ‖ *τοῖς λοιποῖς.* *ταῖς λύπαις* vel *τοῖς λυπηροῖς* Reisk. — 10, 1. *ὥσπερ.* sic dedi. *οὕτως ἄρα* Casaub., *ὡς* Reiskius (idem infra *τὸν μὲν γὰρ*), *ὡσαύτως* Iacobs. Add. p. 331, *ὣς γὰρ* reliq. ‖ 3. *ἀλλὰ—χρῶνται* huc transposuit Casaubonus. vulgo leguntur post v. *μεταβολάς.* ‖ 4. *οἷόν τε.* *οἴονται* M. ‖ *ἐὰν δ'* Casaub., *δ'* om. reliq. ‖ 5. *κόπος.* *κόστος* v. ‖ [*καὶ*] *περί.* *καὶ* delet Reiskius, nisi quid exciderit, quale *πυρετὸς* vel *ῥῖγος.* ‖ *θεραπεύειν.* sic dedi. *καὶ θεραπεύειν* reliqui. *προσίασι πρὸς τὸν ἰατρὸν καὶ θεραπεύειν* Reisk., *αἰτιῶνται καὶ θεραπεύειν* Pflugk. ‖ 6. *ἀταξίας.* *ἀξίας* M. ‖ 7. *οἷον* BM, *οἵων* reliq. ‖ 8. *δεήσονται.* *δεήσωνται* B. ‖ *τοῦτο* BM. mrg. m. r, *τῶν* vm.

Digitized by Google

ΛΟΓΟΣ κη

ΜΕΛΑΓΚΟΜΑΣ ΠΡΩΤΟΣ [ΤΗ ΤΑΞΕΙ Β].

1 Ἀναβάντες ἀπὸ τοῦ λιμένος εὐθὺς ἐβαδίζομεν ὀψόμενοι 531 R.
τοὺς ἀθλητάς, ὡς ἂν τὴν ὅλην ἐπιδημίαν πεποιημένοι κατὰ
θέαν τοῦ ἀγῶνος. ἐπεὶ δὲ πρὸς τῷ γυμνασίῳ ἦμεν τοὺς μέν
τινας ἑωρῶμεν ἐν τῷ δρόμῳ ἔξω τρέχοντας, καὶ κραυγὴ τῶν
παρακελευομένων ἦν, τοὺς δὲ καὶ ἄλλως γυμναζομένους. τού-
τοις μὲν οὖν οὐκ ἐδόκει προσέχειν, ὅπου δὲ πλεῖστον ὄχλον
2 ἴδοιμεν, ἐκεῖ ἐβαδίζομεν. ὁρῶμεν οὖν πάνυ πολλοὺς ἑστηκό-
τας πρὸς τῇ ἐξέδρᾳ τοῦ Ἡρακλέους καὶ ἑτέρους ἀεὶ προσά-
γοντας, τοὺς δὲ καὶ ἀπιόντας διὰ τὸ μὴ δύνασθαι ἰδεῖν. τὸ
μὲν οὖν πρῶτον ἐπειρώμεθα ὁρᾶν ὑπερκύπτοντες, καὶ μόλις 289 M.
ἑωρῶμεν τοῦ γυμναζομένου τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἀνα-
τετακότος· ἔπειτα κατὰ μικρὸν ἐνδοτέρω ἐγενόμεθα. ἦν οὖν
νεανίσκος πάνυ μέγας καὶ καλός. ἔτι δὲ ὡς εἰκὸς μεῖζον
αὐτοῦ καὶ κάλλιον ὑπὸ τῆς γυμνασίας τὸ σῶμα ἐφαίνετο.
πάνυ δὲ λαμπρῶς ἐγυμνάζετο καὶ μετὰ φρονήματος, ὥστε
3 ἀγωνιζομένῳ μᾶλλον ἐῴκει. ἐπεὶ δὲ ἐπαύσατο γυμναζόμενος
καὶ τὸ πλῆθος ἀνεχώρει, κατενοοῦμεν αὐτὸν ἐπιμελέστερον.
ἦν δὲ ὅμοιος τοῖς ἀνδριάσι τοῖς ἀκριβῶς εἰργασμένοις. εἶχε
δὲ καὶ τὸ χρῶμα ὅμοιον χαλκῷ κεκραμένῳ. ἐπεὶ δὲ ἀπηλλάγη,
4 τῶν παρόντων τινὰ ἠρόμεθα πρεσβύτην, ὅστις εἴη. καὶ ὃς 532 R.
σκυθρωπάσας· οὗτος μέντοι Ἰατροκλῆς, ὁ τοῦ Μελαγκόμα
ἀνταγωνιστὴς καὶ μόνος ἐκείνῳ οὐκ ἀξιῶν παραχωρεῖν, τὸ
γοῦν ἐφ' ἑαυτῷ· οὐδὲν μέντοι πλέον ἐποίει. ἡττᾶτο γὰρ ἀεὶ
ἐνίοτε δι' ὅλης τῆς ἡμέρας ἀγωνισάμενος· ἤδη μέντοι ἀπειρή-

Orat. XXVIII. Collati sunt BM. in BM Orat. XXIX cum hoc ipso titulo huic praemissa legitur. igitur in vetustis libris Orat. XXIX praecedebat Orationem XXVIII, quod cum nescio quis perperam fieri intellexisset, titulo Orationis XXVIII adscripsit πρῶτος τῇ τάξει β. postea in suo loco reposita est Orat. XXVIII, at in titulo male remanserunt v. τῇ τάξει β. denique in BM pristinus ordo servatus est, at inter se commutati sunt Orationum tituli. — 3, 2. κατενοοῦμεν. κατενόουν μὲν M.

κει, ὥστε τὸν τελευταῖον τοῦτον ἀγῶνα τὸν ἐν τῇ Νεαπόλει
οὐδένα ταχύτερον τούτου ἐνίκησεν. ἀλλὰ νῦν ὁρᾶτε, ὅσον
φρονεῖ καὶ ἐν ὅσῳ πλήθει γυμνάζεται. οἶμαι δὲ ἔγωγε καὶ
ἐπιχαίρειν αὐτὸν ἐκείνῳ. καὶ εἰκὸς μέντοι. οὐ γὰρ μόνον
τοῦτον τὸν στέφανον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐπίστα-
5 ται αὐτοῦ ὄντας. ἦ γάρ, ἔφην, τέθνηκεν ὁ Μελαγκόμας;
ἐπεὶ τό γε ὄνομα καὶ ἡμεῖς ᾔδειμεν αὐτὸν οὐδεπώποτε ἰδόντες.
οὐ πρὸ πολλοῦ γε, εἶπεν· ἀλλὰ τρίτη που ἡμέρα ἐστὶν ἀπὸ
τῆς ταφῆς. τίνι δέ, εἶπον, τούτου διέφερε, καὶ τῶν ἄλλων
δέ; πότερον μεγέθει ἢ εὐψυχίᾳ; ἐκεῖνος, ἔφη, ὦ βέλτιστε,
πάντων ἀνθρώπων, οὐχὶ τῶν ἀνταγωνιστῶν μόνον, εὐψυχό-
τατος καὶ μέγιστος ἔφυ, ἔτι δὲ κάλλιστος. καὶ εἴγε ἰδιώτης 533 R.
ἔμεινε καὶ μηδὲν ὅλως ἔπραξε, δι' αὐτό που τὸ κάλλος περι-
βόητος ἂν ἦν· ἐπεὶ καὶ νῦν ἐπέστρεφεν ἅπαντας, ὁπότε ἀπίοι
6 που, καὶ τοὺς οὐκ εἰδότας, ὅστις ἐστίν. καίτοι οὔτε ἐσθῆτι
ἐκόσμει ἑαυτὸν οὔτε ἄλλῳ τῳ γιγνώσκεσθαι μᾶλλον ἐπετή-
δευεν ἢ λανθάνειν· ἀποδυσαμένου δ' οὐκ ἔστιν ὅστις ἄλλον 290 M.
ἐθεᾶτο πολλῶν μὲν παίδων πολλῶν δὲ ἀνδρῶν γυμναζομένων.
εἰωθότος δὲ τοῦ κάλλους εἰς τρυφὴν ἄγειν καὶ τοὺς μετρίως
αὐτοῦ μετειληφότας, τοιοῦτος ὢν τὸ εἶδος ἔτι σωφρονέστερος
ἦν, καὶ καταφρονῶν δὲ τοῦ κάλλους οὐδὲν ἧττον ἐφύλαττεν
7 αὐτὸ ἐν οὕτω χαλεπῷ ἐπιτηδεύματι. πυγμὴν γοῦν ἀγωνιζό-
μενος οὕτως ὑγιὴς ἦν, ὥσπερ τῶν δρομέων τις. οὕτω δὲ
σφόδρα γεγύμναστο καὶ τοσοῦτο περιῆν τοῖς πόνοις, ὥστε
δυνατὸς ἦν καὶ δύο ἡμέρας ἑξῆς μένειν ἀνατετακὼς τὰς χεῖ-
ρας, καὶ οὐκ ἂν εἶδεν οὐδεὶς ὑφέντα αὐτὸν ἢ ἀναπαυσάμενον,
ὥσπερ εἰώθασιν. πρότερον δὲ ἠνάγκαζε τοὺς ἀνταγωνιστὰς
ἀπειπεῖν, οὐ μόνον πρὶν αὐτὸς πληγῆναι, ἀλλὰ καὶ πρὶν πλῆ-
ξαι ἐκείνους· οὐ γὰρ τὸ παίειν καὶ τιτρώσκεσθαι ἀνδρείαν
ἐνόμιζεν, ἀλλὰ τοῦτο μὲν εἶναι μὴ δυναμένων πονεῖν καὶ ἀπηλ-
8 λάχθαι βουλομένων· τὸ δὲ ἀνέχεσθαι τοῦ χρόνου καὶ μήτε
τοῦ βάρους τῶν χειρῶν ἡττᾶσθαι μήτε τοῦ πνεύματος ἐνδεᾶ

4, 6. ὥστε. ὥστε κατὰ Casaub. — 5, 1. ἔφην. ἐφ' ἧ M. ‖ 2. ἐπεί. ἐπὶ M. ‖ 3. πολλοῦ γε BM, γε om. reliq. ‖ 9. ἂν ἦν. ἀνὴρ BM. mrg. m. ‖ 10. ἐστίν M, ἐστί reliq. — 6, 1. ἐσθῆτι. αἰσθῆτι M. ‖ 2. ἐκόσμει. ἐκόσμη M. ‖ γιγνώσκεσθαι. γινώσκεσθαι M. ‖ 7. ἦν om. M. — 7, 1. γοῦν. οὖν M. ‖ 3. γεγύμναστο BM, ἐγεγύμναστο reliq. ‖ 5. ἀναπαυσάμενον. ἂν παυσάμενον M. ‖ 8. καὶ BM, καὶ τὸ reliq. — 8, 1. μήτε — ἄχθεσθαι om. M.

γίγνεσθαι μήτε τῷ καύματι ἄχθεσθαι, τὸ δὲ εἶναι γενναῖον.
ὀρθῶς μέντοι, ἔφην, ὑπολαμβάνων. καὶ γὰρ ἐν τῷ πολέμῳ
οἱ φαυλότατοι τὰ ὅπλα ῥίπτουσιν, εὖ εἰδότες, ὅτι γυμνοὶ 534 R.
μᾶλλον ἂν τιτρώσκοιντο· οὕτω μᾶλλον ἡττῶνται τοῦ κόπου
9 ἢ τῶν τραυμάτων. τοιγάρτοι, εἶπεν, ἀφ' οὗπερ ἤρξατο ἀγω-
νίζεσθαι Πυθοῖ, πρῶτος μὲν ὧν ἴσμεν ἀήττητος διεγένετο,
πλείστους καὶ μεγίστους στεφάνους ἀνελόμενος καὶ ἀνταγω-
νισταῖς οὔτε φαύλοις οὔτε ὀλίγοις χρησάμενος, καὶ τὸν πατέρα
ἐνδοξότατον ὄντα, τὸν Μελαγκόμαν ἐκεῖνον τὸν ἀπὸ τῆς Κα-
ρίας, ἄλλους τε ἀγῶνας καὶ Ὀλυμπίασι νικήσαντα, οὐδέπω
10 ἀνὴρ ὢν ὑπερεβάλετο· οὐ γὰρ ἐκεῖνος ἄλειπτος. τοιοῦτος
μέντοι ὢν ἀθλίως ἐτελεύτησε, τῶν μὲν πόνων τῆς ἀθλήσεως
ἐπὶ πλεῖστον ἐλθών, τῶν δὲ ἐν τῷ βίῳ τερπνῶν οὐδενὸς πει-
ραθείς. οὕτω δὲ σφόδρα φιλότιμος ὑπῆρχεν, ὥστε καὶ ὅτε
ἀπέθνησκεν Ἀθηνοδώρου τοῦ παγκρατιαστοῦ, φίλου ὄντος 291 M.
ἀπὸ παιδός, ἐπυνθάνετο, πόσαι τινὲς εἶεν ἡμέραι λοιπαὶ
τοῦ ἀγῶνος. καὶ ταῦθ' ἅμα λέγων ἐδάκρυεν ὁ πρεσβύτης.
11 ἀλλὰ σοὶ μέν, ἔφην, συγγνώμη ὑπερλυπουμένῳ διὰ τὸ πάντως
προσήκειν τί σοι αὐτοῦ. μὰ τοὺς θεούς, εἶπεν, οὐδὲν ἔμοιγε.
οὔτε γὰρ ἀπὸ γένους μοι ἦν οὔτε ἐγύμναζον αὐτόν, ἀλλὰ τῶν
παίδων τινὰ τῶν παγκρατιαστῶν. ὁ δὲ ἄνθρωπος τοιοῦτος
ἦν, ὥστε πάντας ἐπ' αὐτῷ λυπεῖσθαι τοὺς ἐπισταμένους
12 ἐκεῖνον. οὐκοῦν, ἔφην, ἄθλιον δεῖ καλεῖν αὐτόν· τοὐναν-
τίον γὰρ εὐδαιμονέστατος ἂν εἴη καὶ μακαριώτατος, εἴπερ 535 R.
οἷος λέγεται ἦν· ᾧ καὶ γένους ὑπῆρξε λαμπροῦ τυχεῖν καὶ
κάλλους, ἔτι δὲ ἀνδρείας καὶ ἰσχύος καὶ σωφροσύνης, ἃ δὴ
μέγιστα τῶν ἀγαθῶν ἐστι· τό γε μὴν θαυμαστότατον ἐν ἀν-

3. τὸ δέ. τοῦτο δὲ Reisk., τόδε Casaub., τοῦτο δὴ Iacobs. ‖ 4. ὑπολαμβάνων. ὑπολαμβάνεις BM. ‖ 5. εὖ εἰδότες Iacobs., εἰδότες Reisk., οὐκ εἰδότες reliq. conf. Orat. XXIX, 13. ‖ 6. οὕτω BM (corr. καὶ οὕτω), καὶ οὕτω reliq. ‖ 7. ἢ om. M. — 9, 2. ἴσμεν ἀήττητος Casaub. (idem ἴσμεν ἄλειπτος), ἴσμεν (spatium) ππος B, οἷς μελάνιππος M, ἴσμεν ἀνίκητος r, ἴσμεν ἄνιππος reliq. ‖ 4. πατέρα. πατέρα δὲ (aut supra delendum μὲν post v. πρῶτος) Reisk. ‖ 5. ἐνδοξότατον Reisk., ἐνδοξότερον reliq. ‖ Καρίας. καρείας M. ‖ 6. Ὀλυμπίασι. ὀλυμπιᾶσιν M. ‖ νικήσαντα B, ἰκήσαντα M, νενικηκότα reliq. ‖ 7. ἀνὴρ ὢν BM. Pflugk., ὢν om. reliq. ‖ ὑπερεβάλετο BM, ὑπερεβάλλετο reliq. — 10, 2. ἀθλίως. ἄθλιος B. ‖ 3. ἐλθών, τῶν. ἐλθόντων M. ‖ 5. ἀπέθνησκεν. ἐτέθνησκεν B. ‖ 7. ἐδάκρυεν M, ἐδάκρυσεν reliq. — 11, 1. σοὶ μέν, ἔφην. σὺ μὲν ἔφη B. — 12, 3, λέγεται. λέγετε B. ‖ 5. ἀνθρώπῳ BM, ἀνθρώποις reliq.

Digitized by Google

θρώπῳ, ἀήττητον γενέσθαι οὐ μόνον τῶν ἀνταγωνιστῶν, ἀλλὰ καὶ πόνου καὶ καύματος καὶ γαστρὸς καὶ ἀφροδισίων· δεῖ γὰρ πρῶτον τούτοις ἀήττητον εἶναι τὸν μέλλοντα ὑπὸ μη-
13 δενὸς τῶν ἀνταγωνιστῶν λειφθήσεσθαι. ἡδονὰς δὲ τίς μείζονας ᾔσθη, ὅστις φιλοτιμότατος ὢν ἀεὶ ἐνίκα καὶ θαυμαζόμενος ᾐσθάνετο; καί μοι δοκοῦσι σφόδρα αὐτὸν ἀγαπῆσαι οἱ θεοὶ καὶ μάλιστα τῇ τελευτῇ τιμῆσαι, ὡς ἂν μηδενὸς πειραθείη τῶν χαλεπῶν. ἀνάγκη γὰρ αὐτῷ ἦν προβαίνοντι ἀντὶ μὲν καλλίστου αἰσχροτέρῳ γίγνεσθαι, ἀντὶ δὲ ἰσχυροτάτου ἀσθενεστέρῳ, ἴσως δὲ καὶ λειφθῆναί που. ὅστις δὲ τοῖς μεγίστοις ἀγαθοῖς συναπέρχεται τὰ ἄριστα πράξας, οὗτος εὐδαιμονέστατα τελευτᾷ. εὕροι δ' ἄν τις καὶ τῶν παλαιῶν
14 τοὺς θεοφιλεῖς ὠκυμόρους. τίνας, ἔφη, τούτους λέγεις; τὸν Ἀχιλλέα, εἶπον, καὶ Πάτροκλον καὶ Ἕκτορα καὶ Μέμνονα καὶ Σαρπηδόνα. ἔτι δὲ καὶ ἄλλους ὀνομάζοντος ἐμοῦ· ταῦτα 536 R.
μέν, ἔφη, καλῶς εἶπες εἰς παραμυθίαν ἀνθρώπων, καὶ ἔγωγε ἐβουλόμην σου ἔτι ἀκούειν· ἀλλὰ γὰρ ὥρα γυμνάζειν τὸν παῖδα· καὶ ἀπέρχομαι.

6. μόνον. μόνων A. ‖ 7. ἀφροδισίων. ἀφροδεισίων M. ‖ 8. τούτοις. τοιούτοις M. ‖ 9. λειφθήσεσθαι Casaub. r, ληφθήσεσθαι reliq. — 13, 2. ᾔσθη, ὅστις. sic dedi. ἢ ἔσθ' ὅστις BM. vm, ᾔσθη ἢ ὅστις r, ᾔσθετο; ὅστις Casaub. ‖ φιλοτίμοτατος. φιλοτιμώτατος M. ‖ 4. πειραθείη BM. Reisk., πειρασθείη reliq. ‖ 6. γίγνεσθαι. sic dedi. γίνεσθαι BM, γενέσθαι reliq. ‖ 7. ἀσθενεστέρῳ. ἀσθενεστέρου M. ‖ λειφθῆναί BM. Casaub. r, ληφθῆναί reliq. ‖ που. του Reisk. ‖ 8. τὰ ἄριστα BM, τὰ om. reliq. — 14, 3. καὶ om. BM.

ΛΟΓΟΣ κθ 292 M.

ΜΕΛΑΓΚΟΜΑΣ ΔΕΥΤΕΡΟΣ [ΤΗΙ ΤΑΞΕΙ Α.]

1 *Ἀλλ' ἐμοὶ μὲν, ὦ ἄνδρες, οὐδ' ὅ τι εἴπω ἔπεισιν ὑπὸ λύπης*
ἅμα καὶ ἐκπλήξεως τοῦ αἰφνιδίου πάθους. οὐ γὰρ μόνον διὰ
τὴν ἀρχὴν ἣν ἔχω μᾶλλον ἑτέρου μοι τῶν πολιτῶν οἰκεῖον τὸ
συμβεβηκὸς, ἀλλὰ καὶ ἰδίᾳ μοι φίλος ἦν Μελαγκόμας ὑπὲρ
ἅπαντας, ὥσπερ καὶ ὑμῶν ἐπίστανται οἱ πλείους. καὶ ἔμοιγε
ἄτοπον φαίνεται τὸ ἐπὶ τοῖς τεθνεῶσιν ἔθος, ὅτι τοῖς πλεῖστα
λυπουμένοις μάλιστα προσήκειν δοκεῖ τὸ ἐπ' αὐτοῖς λέγειν.
οἱ γὰρ σφοδρότατα ἀνιώμενοι ἀδύνατοι λέγειν ὑπ' αὐτοῦ
2 *τούτου εἰσίν. ἔτι δὲ καὶ ἡλικίας ἐν τούτῳ εἰμὶ, ἐν ᾧ ἡ μὲν*
τοῦ λόγου δύναμις ἧττον ἅπασιν ὑπάρχει, τὸ δὲ χαίρειν καὶ
τὸ λυπεῖσθαι ἰσχυρότατον γίγνεται. ἀλλ' ἐπειδὴ τιμιώτερος
μὲν στρατηγοῦ ἔπαινος ἐπὶ στρατιώτῃ ἀγαθῷ τελευτήσαντι,
τιμιώτερος δὲ παντὸς ἄρχοντος ἢ ἰδιώτου, κἀμοὶ λεκτέον τῆς 537 R.
ἀρχῆς ἕνεκεν ὡς ἂν δύνωμαι. πρέποι δ' ἂν τῇ ἐκείνου ἀρετῇ
καὶ τῇ ἐμῇ νεότητι μηδὲν μακρὸν ἀπαιτεῖν μηδὲ ἀκριβῆ μᾶλ-
λον ἢ γενναῖον τὸν ἔπαινον. πρῶτον μὲν οὖν εὐγενείας ἀλη-
θοῦς ἔτυχεν. οὐ γὰρ εἴ τῳ πλουσίων συνέβη τυχεῖν προγό-
νων, οὐ μὴν οὐδ' εἰ βασιλέων, τὰ δὲ ἄλλα φαύλων, ὅδε ἂν
3 *εἴη καλῶς γεγονώς· ἀλλ' οἱ φύντες ἐξ ἀγαθῶν, ὥσπερ ὅδε. ὁ*
γὰρ πατὴρ αὐτοῦ τῶν κατ' αὐτὸν διήνεγκε τοῖς καλλίστοις,
εὐψυχίᾳ καὶ ῥώμῃ. δηλοῦσι δὲ αἱ νῖκαι, ἃς ἐνίκησε καὶ Ὀλυμ-
πίασι καὶ ἐν τοῖς ἄλλοις ἀγῶσιν. αὐτὸς δὲ ἔφυ κάλλιστος
ἀνθρώπων, οὐ τῶν νῦν μόνον, ἀλλ' ὡς ἔνεστιν εἰκάζειν ἐκ

Orat. XXIX. Collati sunt BM. — 1, 1. *μὲν* om. BM. ‖ 2. *ἔχω. ἔχων* M. ‖ 4. *ὑπὲρ. καὶ ὑπὲρ* M. ‖ 6. *φαίνεται τὸ.* sic dedi. *φαίνετο* M, *ἐφαίνετο τὸ* reliq. ‖ *πλεῖστα.* sic dedi. *ἥκιστα* reliq. — 2, 3. *γίγνεται. γίγνεσθαι* m. ‖ 4. *ἐπὶ. ἐστι* Reisk. ‖ *στρατιώτῃ. στρατιώτης* M. ‖ 5. *δὲ παντὸς. δ' ἔπαινος* Reisk. ‖ *κἀμοὶ. καί μοι* M. ‖ 7. *μακρὸν* v, *μικρὸν* BM. m, *ἄκρον* r. ‖ 9. *συνέβη τυχεῖν* BM, *τυχεῖν συνέβη* reliq. ‖ 10. *οὐδ' εἰ. οὐδεὶς* M. — 3, 3. *Ὀλυμπίασι. ἐν ὀλυμπιάσι* BM. ‖ 5. *μόνον. μόνων* B.

τῆς ὑπερβολῆς, καὶ ἁπάντων ἁπλῶς τῶν ἐξ ἅπαντος τοῦ χρό- 293 M
4 νου ὠνομασμένων ἐπὶ κάλλει, ὅσοι θνητοὶ ἐγένοντο. οἱ μὲν
γὰρ πολλοὶ τῶν νενομισμένων καλῶν μέρη τινὰ τοῦ σώματος
εὐπρεπῆ ἔχοντες, ἔπειτα δὲ ἔδοξαν καλοί, τῆς ὄψεως ἀεὶ τὰ
ἥδιστα βουλομένης ὁρᾶν, τῶν δὲ ἡττόνων ἀμελούσης. οἱ δέ
τινες φύσει μὲν εὐειδοῦς σώματος οὐκ ἔτυχον, ὥρα δὲ αὐτοῖς
ἐπῆλθεν· ἡττώμενοι δὲ ὑπὸ τῆς ὥρας οἱ ἐντυγχάνοντες κάλλος
αὐτὴν ὠνόμασαν, ἀνθούσης ἀεὶ τῆς ἀκμῆς ἐν ἅπασι καὶ ζῴοις
5 καὶ φυτοῖς τοιούτους μὲν οὖν μυρίους ἂν εὕροι τις, τοὺς
αὐτοὺς ὁτὲ μὲν καλοὺς δοκοῦντας ὁτὲ δὲ αἰσχρούς, καὶ τοῖς
μὲν σφόδρα ἀρέσκοντας παρ' ἑτέροις δὲ οὐδενὸς λόγου τυγ- 538 R
χάνοντας. ὁλόκληρον δὲ καὶ ἀληθινὸν κάλλος θαυμαστὸν εἴ
τῳ ὑπῆρξεν ὥσπερ τῷδε. ἐν ἅπαντι μὲν γὰρ τῷ σώματι ἐκέ-
κτητο αὐτό, ἀεὶ δὲ ὁμοίως, καὶ πρὸ ἥβης καὶ ὕστερον· καὶ
οὐκ ἄν ποτε ἐπὶ τοσοῦτον τοῦ χρόνου προῆλθεν, οὐδὲ εἰ πάνυ
6 μακροῦ γήρως ἔτυχεν, ὥστε ἀμαυρῶσαι τὸ εἶδος. τεκμήριον
δὲ τῆς ὑπερβολῆς· οὐ γὰρ ἐν ἰδιώταις ἐξεταζόμενος διέφερεν,
οὐδὲ ὑπὸ ὀλίγων θεωρούμενος ὑπὸ τούτων ἐθαυμάζετο, ἀλλὰ
μὴν ἀεὶ δήπου ἐν τοῖς ἁπάντων καλλίστοις, ἅμα τοῖς ἀθλη-
ταῖς ὤν. οἱ γὰρ μέγιστοι καὶ εὐειδέστατοι καὶ πλείστης ἐπι-
μελείας τῶν σωμάτων τυγχάνοντες οἵδε εἰσίν. ἑωράθη δὲ
μικροῦ δεῖν ὑπὸ πάντων ἀνθρώπων. οὔτε γὰρ πόλις οὐδεμία
τῶν ἐνδόξων οὔτε ἔθνος οὐδέν, ἔνθα μὴ ἀφίκετο· καὶ παρὰ
πᾶσιν ὁμοίως τὴν αὐτὴν εἶχε δόξαν, ὡς οὐδένα ἰδοῦσι καλ-
λίονα. ὁ δὲ ὑπὸ πλείστων μὲν θαυμασθείς, ἐν δὲ τοῖς καλ-
λίστοις μόνος ἔχων τὴν ὑπὲρ τοῦ κάλλους φήμην, δῆλον ὡς
7 θείας τινὸς μορφῆς ἔτυχεν. ἐγὼ οὖν πρῶτον εὐδαιμονίζω τοῦ
κάλλους αὐτόν, ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν ἀριδη-
λότατον καὶ ἥδιστον μὲν θεοῖς ἥδιστον δὲ ἀνθρώποις, ἀλυ-

7. κάλλει ὅσοι. κάλλιος οἱ M. — 4, 2. πολλοὶ BM (mrg. ἄλλοι), ἄλλοι reliq. ‖ 3. ἔπειτα δὲ. δὲ delet Reiskius. conf. Orat. XVII, 20. ‖ 6. ἐπῆλθεν. ἐπήνθει Reiskius. displicet imperfectum. ‖ ἡττώμενοι. ἡττόμενοι M. — 5, 1. τοιούτους. τοιούτοις M. ‖ 2. τοῖς. τοὺς M. m. ‖ 4. εἴ τῳ M. Obs. p. 32, οὔπω reliqui, unde οὔπω τῳ Reiskius deleto v. θαυμαστόν. ‖ 7. πάνυ BM. r, πάντα reliq. ‖ 8. μακροῦ. μικροῦ M. ‖ ἀμαυρῶσαι. ἅμα τρῶσαι M. — 6, 3. ὀλίγων. ὀλίγον M. ‖ 4. μὴν. γὰρ ἦν Reisk., ἦν Geel., malim μετῆν (et δήπουθεν pro δήπου ἐν). ‖ 5. ἐπιμελείας. ἐπιμελίας M. ‖ 6. οἵδε. οἳ δέ B, οἳ δὲ vm.. ‖ ἑωράθη. sic dedi. ἐπράθη (mrg. vulg.) M, ὡράθη reliq. ‖ 11. μόνος. μόνοις m. — 7, 3. καὶ ἥδιστον μέν. μὲν καὶ ἥδιστον Stob. T. LXIII, 9. ‖ ἀλυπότατον BMA. Stob. r, ἀλλ' ὑπότατον v, ἀλλ' ὑπέρτατον m.

πότατον δὲ τῷ ἔχοντι καὶ ἐπιγνωσθῆναι ῥᾷστον. τὰ μὲν γὰρ 294 M.
ἄλλα ἀγαθὰ κἂν λάθοι τινὶ προσόντα, καὶ ἀνδρεία καὶ φρό- 539 R.
νησις, εἰ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος· τὸ δὲ κάλλος
οὐχ οἷόν τε λανθάνειν. ἅμα γὰρ τῷ ἔχοντι φαίνεται, εἴποι
δ' ἄν τις, ὅτι καὶ πρότερον· οὕτως ὀξεῖαν αἴσθησιν αὐτοῦ
παρέχει. ἔτι δὲ τοῖς μὲν ἄλλοις ἀγαθοῖς οἱ πλεῖστοι φθονοῦσι
καὶ δυσμενεῖς γίγνονται· τὸ δὲ κάλλος τοὺς αἰσθανομένους
8 αὐτοῦ φίλους ποιεῖται καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίγνεσθαι. εἰ
δέ τίς φησι κάλλους με ποιεῖσθαι ἐγκώμια, ἀλλ' οὐχὶ τοῦ
ἀνδρός, οὐκ ἂν ὀρθῶς αἰτιῷτο. αὐτίκα γὰρ ἔπαινος ἀνδρὸς
ἂν λέγοιτο, ἐπειδὰν τὴν ἀνδρείαν αὐτὴν ἐπεξίωμεν. ὅπου μὲν
γὰρ ἀμφίλογον τὸ εἶναί τινα τοιοῦτον, τότε ἀποδεικνῦναι
χρή· ὅπου δὲ γιγνώσκεται, τὴν φύσιν ἐπαινεῖν τοῦ προσόντος
ἀγαθοῦ τινι. ὁ γὰρ τοῦδε ἔπαινος ἅμα ἂν εἴη καὶ τοῦ ἔχον-
τος αὐτό. μάλιστα δ' ἄν τις θαυμάσειε Μελαγκόμαν, ὅτι
9 μορφῇ τοιοῦτος ὢν τῇ ἀνδρείᾳ διήνεγκεν. δοκεῖ γάρ ἔμοιγε
τῇ ψυχῇ φιλονεικῆσαι πρὸς τὸ σῶμα καὶ σπουδάσαι, ὅπως ἂν
διὰ ταύτην ἐνδοξότερος γένηται. γνοὺς οὖν τῶν πρὸς ἀν-
δρείαν ἔργων κάλλιστον ἅμα καὶ ἐπιπονώτατον τὴν ἄθλησιν,
ἐπὶ ταύτην ἦλθεν. τῶν μὲν γὰρ πολεμικῶν ὅ τε καιρὸς οὐκ 540 R.
ἦν ἥ τε ἄσκησης ἐλαφροτέρα. φαίην δ' ἂν ἔγωγε καὶ ταύτης
ἥττονα εἶναι. μόνης γὰρ εὐψυχίας ἐπίδειξις ἐν τοῖς πολεμι-
κοῖς, ἡ δὲ ἄθλησις ἅμα μὲν ἀνδρείαν [ἅμα δὲ εὐψυχίαν] ἅμα
10 δὲ ἰσχὺν ἅμα δὲ σωφροσύνην ἐμποιεῖ. καὶ τοίνυν τῆς ἀθλή-
σεως εἵλετο οὐ τὸ ῥᾷστον, ἀλλὰ τὸ χαλεπώτατον· πυγμὴν γὰρ
ἤσκησεν. χαλεπὸν μὲν οὖν καὶ τοῦ ἐλαχίστου ἔργου ἐπ' ἄκρον

4. ῥᾷστον. ἄριστον Stob. ‖ 5. τινὶ om. Stob. ‖ ἀνδρεία. ἀνδρία M. ‖ 7. οἷόν τε. οἴον-ται M. ‖ λανθάνειν. λαθεῖν Stob. ‖ 8. οὕτως Stob. r, ὅμως reliq. ‖ ὀξεῖαν. ὀξεῖναι M. ‖ 9. ἔτι δὲ BM. Stob., εἰ δὲ reliqui. ἔτι δὲ Reiskius quoque voluisse videtur, sed eius adnotatio perperam translata ad v. 11. ‖ ἄλλοις om. Stob. — 8, 2. φησι. φήσει Iacobs. ‖ με. μὲν corr. M. ‖ 3. ἂν. οὖν ἂν mrg. m. ‖ αἰτιῷτο BM. r, αἰτιᾶτο v, αἰ-τιᾶται m. ‖ αὐτίκα. ἄντικρυς Iacobs. ‖ ἀνδρὸς. ἀνδρείας M. ‖ 4. ἐπειδὰν. ἐπειδὴ m. ‖ ἀνδρείαν. ἀνδρίαν B. ‖ αὐτὴν Geel., αὐτοῦ reliq. ‖ 5. ἀμφίλογον r, ἂν ἀμφί-λογον m, ἀναμφίλογον reliq. ‖ 6. γιγνώσκεται Obs. p. 32, γίγνεται reliqui, unde φανερὸν γίγνεται Reisk., φαίνεται Iacobs. ‖ 8. θαυμάσειε. θαυμάσιε M. ‖ 9. ἀν-δρείᾳ. ἀνδρίᾳ BM. — 9, 2. φιλονεικῆσαι. φιλονικῆσαι M. ‖ 3. ἀνδρείαν. ἀνδρίαν M. ‖ 5. ἦλθεν M, ἦλθε reliq. ‖ 6. ταύτης. πάντως Geelius, cui totus locus immerito suspectus fuit. ‖ 8. [ἅμα δὲ εὐψυχίαν] om. BM. — 10, 2. εἵλετο. εἵλατο M. ‖ 3. ἤσκησεν M, ἤσκησε reliq. ‖ ἐλαχίστου. ἐμαχίστου M.

Digitized by Google

ἐλθεῖν, μήτι γε ἐν τῷ μεγίστῳ καὶ δυσχερεστάτῳ πάντας ὑπερβαλέσθαι, ὥσπερ ὅδε. καὶ τὸ μὲν τοὺς στεφάνους αὐτοῦ καθ' ἕκαστον ἐπεξιέναι καὶ τοὺς ἀγῶνας, ἐν οἷς ἐνίκησε, πρὸς εἰδότας ὑμᾶς, περιττόν· ἄλλως τε καὶ ἑτέρους ἂν εἴποι
11 τις τῶν αὐτῶν τυχόντας. ὃ δὲ μηδενὶ ὑπῆρξεν, ἐπίστασθε μὲν ὁμοίως, δι' αὐτὸ μέντοι τοῦτο ῥητέον· τοῖς γὰρ μηδὲ εἰ- 295 M
δόσιν οὐδὲ πιστεῦσαι ῥᾴδιον· ὅτι τοσούτοις ἀνταγωνισταῖς χρησάμενος καὶ οὕτως ἀγαθοῖς ὑπ' οὐδενὸς ἡττήθη, αὐτὸς δὲ ἀεὶ πάντας ἐνίκα. καίτοι οὔτε στρατηγὸν εὕροι τις ἂν ἐν παντὶ τῷ χρόνῳ ἀήττητον, οὔτε ἀριστέα πολέμων, ὃς οὐκ ἤδη ποτὲ καὶ ἔφυγεν ἐκ μάχης. οὐδὲ γὰρ ὅτι ταχέως ἐτελεύτησε, διὰ τοῦτο φαίη τις ἂν αὐτὸν ἀήττητον διαγενέσθαι. πολὺ γὰρ πλείστους ἀγῶνας ἠγωνίσατο· ἐν δὲ τῇ πείρᾳ τὸ σφάλλεσθαι, οὐκ ἐν τῷ μήκει τοῦ χρόνου. ἔτι δὲ καὶ τόδε ἄν τις 541 R
αὐτοῦ κατεπλάγη, τὸ μήτε παιόμενον αὐτὸν μήτε παίοντα νικᾶν· τοσοῦτο τῇ ῥώμῃ περιῆν καὶ τῷ δύνασθαι πονεῖν.
12 πολλάκις γὰρ δι' ὅλης τῆς ἡμέρας ἠγωνίσατο ἐν τῇ σφοδροτάτῃ ὥρᾳ τοῦ ἔτους, καὶ δυνάμενος θᾶττον ἂν περιγενέσθαι παίων οὐκ ἐβούλετο, νομίζων τὸ μὲν πληγῇ νικῆσαι καὶ τοῦ φαυλοτάτου ἔσθ' ὅτε εἶναι τὸν βέλτιστον, εἰ τύχοι, τὴν δὲ ἀληθεστάτην νίκην, ὅταν ἄτρωτον ἀναγκάσῃ τὸν ἀντίπαλον ἀπειπεῖν. οὐ γὰρ τοῦ τραύματος, ἀλλ' ἑαυτοῦ ἡττῆσθαι. καὶ τὸ ὅλῳ τινὰ τῷ σώματι ἀπειπεῖν, ἀλλὰ μὴ τῷ πληγέντι μέρει, λαμπρόν. τὸν δὲ ἐπειγόμενον ὡς οἷόν τε τάχιστα νικῆσαι καὶ παίοντα καὶ συμπλεκόμενον αὐτὸν ἡττῆσθαι τοῦ καύμα-
13 τος καὶ τοῦ χρόνου. εἰ δέ τις οὐ ταύτῃ ὑπολαμβάνει, ἐννοείτω, ὅτι σύες καὶ ἔλαφοι, μέχρι μὲν αὐτοῖς ἡ ἰσχὺς πάρεστιν, οὔτε ἀνθρώποις οὔτε κυσὶν ὁμόσε χωροῦσιν· ὅταν δὲ ἡττηθῇ καὶ κάμῃ, τηνικάδε συμπλέκεται, καὶ μᾶλλον ἐθέλει τιτρώσκεσθαι καὶ ἀποθνήσκειν ἢ πονεῖν ἔτι διωκόμενα. ὁμοίως δὲ καὶ ἄνδρες ἐν πολέμῳ, καίτοι εἰδότες, ὅτι μᾶλλον ἂν παίοιντο φεύ-

4. μήτι BM, μήτοι reliq. — 11, 1. ἐπίστασθε. ἐπίστασθαι B. ‖ 2. μηδὲ. μὴ Reisk. (vel excidisse quaedam ante μηδὲ). ‖ 3. ὅτι τοσούτοις v, τοσούτοις r, ὅταν τοσούτοις reliq., ὡς τοσούτοις Iacobs. Add. p. 363. ‖ 6. πολέμων. πολιτικὸν M. ‖ 8. αὐτὸν ἀήττητον Casaub., ἀήττητον om. reliq. ‖ 9. πλείστους Reisk., πλείστους ἂν reliq. ‖ ἐν δὲ τῇ — ἠγωνίσατο (§. 12, 1) om. B, in M obelo notat. ‖ τὸ M. Casaub., τοῦ reliq. ‖ 10. τῷ. τὸ mrg. m. — 12, 3. τὸ BM (corr. τῇ), τῇ reliq. ‖ 4. φαυλοτάτου Reisk., φαυλοτέρου reliq. ‖ βέλτιστον. βέλτιστον ἂν M. ‖ 7. τό. τῷ B. ‖ 8. οἷόν τε. οἴονται M. — 13, 6. παίοιντο. παίειντο M.

γοντες ἢ μένοντες, διὰ τὸ μὴ βούλεσθαι πλείω χρόνον κάμνειν
ἀπίασι παραδόντες αὐτοὺς τοῖς ὄπισθε παίειν. οὕτω τό γε
τραυμάτων καταφρονεῖν οὐκ ἀνδρείας ἐστὶν, ἀλλὰ τοὐναντίον.
14 οἶμαι δὴ ἐν ταὐτῷ πάντα εἰρῆσθαι καὶ περὶ ἀνδρείας καὶ περὶ 342 R.
εὐψυχίας καὶ περὶ ἐγκρατείας καὶ περὶ σωφροσύνης. εἰ μὴ
γὰρ ἐγκρατής τε καὶ σώφρων ἦν, οὐκ ἂν οἶμαι τοσοῦτο τῇ
ῥώμῃ ὑπερέσχεν, οὐδὲ εἰ φύσει ἰσχυρότατος ὑπῆρχεν. καὶ 296 M.
ἔγωγε οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι καὶ τῶν παλαιῶν ἡρώων,
οὓς ἅπαντες ὑμνοῦσιν, οὐδενὸς ἐλάττονα ἀρετὴν εἶχεν, οὔτε
τῶν ἐν Τροίᾳ πολεμησάντων οὔτε τῶν ὕστερον ἐν τῇ Ἑλλάδι
τοὺς βαρβάρους ἀμυναμένων. καὶ εἴ γε τότε ἐγένετο, ἅπερ
15 ἐκεῖνοι ἔπραξεν ἄν. καὶ καθόλου δὲ ἔγωγε τοῦτο τῆς ἐν τοῖς
πολέμοις ἀρετῆς προκρίνω, ὅτι πρῶτον μὲν οἱ ἐνθάδε ἄριστοι
ἐκεῖ διαφέροιεν ἄν· ὁ γὰρ ἰσχυρότατος τῷ σώματι καὶ πλείω
χρόνον πονεῖν δυνάμενος, οὗτος ἄν μοι καὶ ἄνευ ὅπλων καὶ
σὺν ὅπλοις κρείττων ἐστίν· ἔπειτα οὐχ ὅμοιον πρὸς ἰδιώτας
ἀγωνίζεσθαι καὶ τῷ παντὶ φαυλοτέρους, ἢ ἐξ ἁπάσης τῆς
οἰκουμένης τοὺς κρατίστους ἔχειν ἀντιπάλους. κἀκεῖ μὲν ἅπαξ
ὁ κρατήσας τὸν ἀνταγωνιστὴν ἀπέκτεινεν, ὥστε μὴ αὖθις
ἔχειν τὸν αὐτὸν ἀντίπαλον· ἐνθάδε δὲ ἡ νίκη περὶ τῆς ἡμέρας
ἐκείνης ἐστίν, ἔπειτα καὶ τοὺς ἡττωμένους ὁμοίως ὁ νικῶν
16 ἀνταγωνιστὰς ἔχει καὶ τῶν ἄλλων τὸν βουλόμενον. ἔτι δὲ
ἐνθάδε μὲν ὁ κρείττων τοῦ ἥττονος περίεστιν· οὐδενὶ γὰρ
ἄλλῳ ἢ τῇ εὐψυχίᾳ καὶ ἰσχύϊ δεῖ κρατεῖν· ἐν δὲ τοῖς πολέμοις 343 R.
ἡ τοῦ σιδήρου δύναμις, πολὺ κρείττων οὖσα τῆς ἀνθρωπίνης
φύσεως, οὐκ ἐᾷ τὴν τῶν σωμάτων ἀρετὴν ἐξετάζεσθαι, πολ-
λάκις δὲ πρὸς τῶν χειρόνων γίγνεται. ὅσα δὲ αὖ περὶ ἀθλή-
σεως, καὶ περὶ ἀθλητοῦ εἴρηκα, ἀποδειχθέντος γε, ὅτι ἄρι-

8. ὄπισθε M, ὄπισθεν reliq. — 14, 3. τοσοῦτο. τοσούτῳ mrg. m. ‖ 4. ὑπῆρχεν M, ὑπῆρχε reliq. ‖ 8. ἀμυναμένων. ἀμυνομένων B. — 15, 1. τοῦτο. deesse aliquid, quale ἐπιτήδευμα τοῦ βίου, suspicatur Reiskius, τὸ τούτου Iacobs. ‖ 2. πολέμοις. πολεμίοις BM. ‖ 3. ἐκεῖ. malim κἀκεῖ. ‖ διαφέροιεν ἄν. διαφέροιαν B. ‖ ἰσχυρότατος. malim ἰσχυρότερος ‖ 4. ἄν μοι. malim οἶμαι. ‖ καὶ σύν. τῶν σὺν Reisk. ‖ 7. ἅπαξ ὁ BM, ὁ ἅπαξ reliq. ‖ 9. ἐνθάδε. ἔνθα B. ‖ 10. ἔπειτα. ἐπὶ τὰ M, ἐπεὶ Pflugk. p. 20, ἔπειτα δ' Geel. — 16, 1. ἔτι δὲ Reisk., δὲ om. reliq. ‖ 2. μέν. δὲ μὲν (sed δὲ erasum) M. ‖ 7. καὶ περὶ ἀθλητοῦ B. Reisk., καὶ περὶ ἀθλητῶν reliqui, at in M mrg. addita. ‖ εἴρηκα Seldenus (idem δὲ post ἴσως delebat), εἴρηκα καὶ reliq. ‖ ἄριστος. ἄριστον Pflugkius, qui pugilatum significari existimat servato v. καὶ post v. εἴρηκα et ἀθλητῶν.

Digitized by Google

στός ἐστι τῶν ἐν τῷ ἔργῳ. ἴσως δὴ κἀμοὶ καὶ τοῖς παροῦσι
προσήκων ὁ λόγος, ὥστε τοῦτον ἄριστον ἀποφαίνειν. ὅτῳ
γὰρ ὑπῆρξε μὲν κάλλος σώματος, ὑπῆρξε δὲ ἀνδρεία καὶ εὐψυ-
χία, ἔτι δὲ σωφροσύνη καὶ τὸ ἀήττητον γενέσθαι, τίνα ἂν
17 τοῦδε τοῦ ἀνδρὸς εὐδαιμονέστερόν τις φήσειεν; καίτοι αὐτῷ
τούτῳ παραγενέσθαι χαλεπωτάτω ἐστὸν ἀνδρεία καὶ σωφρο-
σύνη· κάλλος γὰρ ἀνθρώπους μάλιστα δὴ χαυνοῖ καὶ ἀνα-
πείθει τρυφᾶν, ὡς ἂν δόξης μὲν ἑτέρας οὐ δεομένους, ὅταν
τις περιβόητος ᾖ τὸ εἶδος, ἡδίονος δ' οὔσης τῆς ῥᾳθυμίας.
εὕροι δ' ἄν τις ἐξ ἀρχῆς ἀναλογιζόμενος τοὺς καλλίστους τῶν 291 M.
πρότερον τοὺς δὴ πολλοὺς αὐτῶν οὐδὲν ἀνδρείας οὐδὲ ἀρετῆς 541 R.
ἔργον ἀποδειξαμένους. ἀλλὰ Γανυμήδης μὲν διὰ τὸ παῖς ἀφα-
18 νισθῆναι ἐξ ἀνθρώπων οὐδὲν ἐδόκει πρᾶξαι λαμπρόν. περὶ
δὲ Ἀδώνιδος ἢ Ἰασίωνος ἢ τῶν ὁμοίων, ὅσοι περιττῆς δόξης
ἐπὶ τῷ εἴδει ἔτυχον, οὐδὲν ὅτι μὴ περὶ τοῦ κάλλους ἀκούομεν.
μόνους δὲ ἂν εἴποι τις ἀνδρείους τῶν ἄγαν καλῶν Θησέα καὶ
Ἀχιλλέα· καὶ τούτοις οὐ πάνυ ἡ σωφροσύνη ὑπῆρξεν. οὐ γὰρ
ἂν αὐτῶν ὁ μὲν Ἑλένην πρὸς βίαν ἥρπασεν, ὁ δ' ἐστασίαζεν
ἐπὶ Τροίας, ὧν ἕνεκεν ἐστασίαζεν. Ἱππολύτῳ δὲ σωφροσύνη
μὲν ὑπῆρξεν, ἀνδρεία δὲ ἄδηλον εἰ παρῆν. οὐ γὰρ ἀληθὲς
19 τεκμήριον κυνηγεσία. ἀλλ' ὃς δὴ πάντα τὰ ἐν ἀνθρώποις
ἀγαθὰ ἐκτήσατο, ἄξιος ἂν εἴη καὶ τῆς τελευτῆς εὐδαιμονίζε-
σθαι. εἰ μὲν γὰρ ὁ πλεῖστος ἀνθρώποις χρόνος ἄριστος ἦν,
ταύτῃ ἄν τις αὐτὸν ὠλοφύρατο· νῦν δὲ ὀλίγου τοῦ παντὸς
ἀνθρώποις βίου δεδομένου πλείστους ἂν εὕροι τις, οἷς πολὺ
ἄμεινον εἶχεν, εἰ θᾶττον ἐτελεύτησαν· τοσαῦται συμφοραὶ

8. ἔργῳ in M in rasura est. ‖ δὴ Pflugkius (idem punctum post εἴρηκα, comma ante ἴσως collocat), δὲ reliq. ‖ 9. τοῦτον ἄριστον. τοῦτο ἄριστον B, τοῦτο ἄριστος M, malim τοῦτον μακαριστὸν. ‖ 10. ἀνδρεία. ἀνδρία M. ‖ 11. γενέσθαι. sic dedi. γίνεσθαι reliq. ‖ 12. τις om. M. — 17, 1. αὐτῷ τούτῳ. τῷ αὐτῷ ταῦτα Casaub., αὖ τῷ τοιούτῳ Reisk., malim τῷ τοιούτῳ, idem coniecit Pflugkius. ‖ 2. χαλεπωτάτω ἐστὸν ἀνδρεία (corr. ἀνδρείαν) καὶ σωφροσύνη M, χαλεπώτατον τὴν ἀνδρείαν καὶ σωφροσύνην reliq. ‖ 3. ἀνθρώπους. ἀνθρώπου M. ‖ 4. τρυφᾶν. τρυφῇ BM. ‖ 7. τοὺς δὴ BM, τοὺς δὲ reliq., τούς γε Obs. p. 32. ‖ οὐδὲν B. Reisk., οὐδὲ reliq. ‖ 8. παῖς. παῖς μὴν B, παῖς μὲν M, malim παῖς ὤν. — 18, 2. Ἰασίωνος. sic dedi. Ἰασίονος Casaub. r, Ἰάσονος reliq. ‖ περιττῆς. περὶ τῆς M. ‖ 5. καὶ τούτοις. ἀλλὰ καὶ τούτοις vel καίτοι καὶ τούτοις Reisk. ‖ 6. ἐστασίαζεν ἐπὶ Τροίας ὧν ἕνεκεν ἐστασίαζεν BM, ἐστασίαζεν reliq. — 19, 1. ἀλλ' ὃς δή. ἄλλος δὲ (superscr. δὴ) M. ‖ τὰ ἐν M, τὰ om. reliq. ‖ 2. ἂν εἴη. sic dedi. δ' ἂν εἴη BM, ἂν reliq. ‖ 6. το-

20 καταλαμβάνουσιν. ἔτι δὲ τῶν παλαιῶν τοὺς ἐξοχωτάτους
ἀκούομεν οὐδένα αὐτῶν ἐπὶ πολὺ ἐλθόντα τοῦ βίου, Πάτρο-
κλόν τε καὶ Ἀντίλοχον, ἔτι δὲ Σαρπηδόνα καὶ Μέμνονα καὶ
Ἀχιλλέα καὶ Ἱππόλυτον, τούς τε Βοιωτοὺς Ὦτον καὶ Ἐφιάλ-
την, οὓς μεγίστους καὶ καλλίστους γενέσθαι φησὶν Ὅμηρος
μετὰ Ὠρίωνα, αὐτόν τε ἐκεῖνον. ἀλλ' οἱ μὲν δι' ἀφροσύνην 345 R.
ἀπώλοντο. τοὺς δὲ ἄλλους, οὓς εἶπον, θεῶν παῖδας καὶ ἀπο-
γόνους εἶπον. οὐκ ἂν οὖν οἱ θεοὶ τοῖς ἑαυτῶν παισὶ καὶ οὓς
μάλιστα ἐφίλουν ταχεῖαν ἐποίησαν τὴν τελευτήν, εἰ μὴ ἀγα-
21 θὸν τοῖς ἀνθρώποις τοῦτο ἐτίθεντο. ταῦτα οὖν, ὦ ἄνδρες,
λογιζομένους ὑμᾶς ἐκεῖνόν τε ὡς μακάριον νομίζειν χρὴ καὶ
αὐτοὺς μηδὲν ἧττον διὰ τοῦτο ἐφίεσθαι τῶν πόνων καὶ τῆς
φιλοτιμίας, ὡς εἴ τινι συμπέσοι τελευτῆσαι ταχύτερον, ἀνόνη-
τος ἐσόμενος τῶν ἀγαθῶν τινος· ὁ γὰρ εὐκλεοῦς δόξης τυχὼν
μεστὸς ἄπεισι τῶν ἀγαθῶν· ἀλλὰ καὶ γυμνάζεσθε προθύμως 298 M.
καὶ πονεῖτε, οἱ μὲν νεώτεροι νομίζοντες αὐτοῖς ἀπολελεῖφθαι
τὴν ἐκείνου χώραν, οἱ δὲ πρεσβύτεροι τῶν ἰδίων ἔργων ἀξίως.
καὶ φρονεῖτε δὲ ἐπ' αὐτοῖς, ὅσον χρὴ ἄνδρας πρὸς ἔπαινον
καὶ δόξαν ἀγαθὴν βιοῦντας καὶ τῆς ἀρετῆς ὄντας ἀσκητάς.
22 τὸν δὲ ἀποιχόμενον μνήμῃ τιμᾶτε, μὴ δάκρυσιν· οὐ γὰρ πρέποι
ἂν ἥδε ἡ τιμὴ γενναίοις ὑπὸ γενναίων, οὐδ' ἂν Ὅμηρον ἐπαι-
νέσαιμι, ὅτι φησὶ δεύεσθαι τάς τε ψαμάθους καὶ τὰ ὅπλα
τοῖς δάκρυσι τῶν Ἀχαιῶν. ἀλλὰ ἐκεῖνος μὲν ποιητικῇ μᾶλλον
ἠκολούθησεν ἡδονῇ θρήνων ὑπερβολὰς ἐπιδειξάμενος, ὑμεῖς
δὲ ἐγκρατῶς φέρετε.

σαῦται. τοσαῦται δὲ m. — 20, 6. Ὠρίωνα. ὠρείωνα M. ‖ οἱ μέν. οἵδε μὲν M. ‖ δι' ἀφροσύνην. ἀφροσύνῃ M. ‖ 7. ἀπώλοντο. ἀπώλλοντο B. — 21, 2. ὡς delebat Reiskius (vel substituit πάντως sive τελέως). ‖ 4. ἀνόνητος. ἀνόητος B. m, ἀνονήτους (et ἐσομένους) Pflugkius. conf. Obs. p. 32. ‖ 5. εὐκλεοῦς B, εὐκλέους reliq. ‖ 6. γυμνάζεσθε. γυμνάζεσθαι M. ‖ 7. ἀπολελεῖφθαι. ἀπολελίφθαι M. ‖ 9. φρονεῖτε. φρονίτε M. ‖ ἄνδρας. ἀνδρὸς BM. — 22, 1. τιμᾶτε. τιμᾶται M. ‖ 3. δεύεσθαι. δουλεύεσθαι r. conf. Il. 23, 15.

Digitized by Google

ΛΟΓΟΣ λ

ΧΑΡΙΔΗΜΟΣ.

1 *Δ.* Ἀκηκόειν μὲν καὶ πρότερον, πρὶν ὑμᾶς ἰδεῖν, πρὸ ἱκανοῦ 346 R.
περὶ τῆς Χαριδήμου τελευτῆς. εὐθὺς γὰρ ἐπυνθανόμην, ὡς
παρέβαλον δευρὶ, περί τε ἄλλων τινῶν καὶ μάλιστα δὴ περὶ
τούτων ἀμφοτέρων, ὅπου τε εἶεν καὶ ὅ τι πράττοιεν. καί μοι
τις ἐνέτυχεν οὐ πάνυ τι αὐτοὺς ἐπιστάμενος ἄλλως, ὅς· ἤκουσε
γὰρ τὰ ὀνόματα· ἠρώτησεν, εἰ τοὺς Τιμάρχου υἱεῖς λέγω·
κἀμοῦ φήσαντος τοῦτον ἐδήλου, τὸν νεώτερον δὴ λέγων, ἐν
Μεσσήνῃ ἔτι εἶναι μετὰ σοῦ διὰ τὸ πένθος τἀδελφοῦ· τελευ-
2 τῆσαι γὰρ αὐτοῖν τὸν πρεσβύτερον. φανερὸς οὖν ἦν Χαρί-
δημον ἀπαγγέλλων τεθνηκέναι· καὶ τότε μὲν ἐδόκει καὶ ἀμφι-
βολία τις εἶναι, καίτοι σαφῶς τἀνθρώπου εἰρηκότος· αὖθις
δὲ ἀκριβέστερον ἔγνωμεν. καὶ οἶμαί γε ἐμαυτὸν οὐ πολύ τι 347 R.
ἔλαττον ὑμῶν δηχθῆναι· τὸ μὲν γὰρ μᾶλλον φάναι οὐ θεμι-
τὸν οὐδὲ ὅσιον ἡμῖν, εἴ τις ἐκεῖνον μᾶλλον ἐφίλει ὑμῶν, τοῦ
3 τε πατρὸς καὶ ἀδελφοῦ. καίτοι οὐ μέγα ἰσχύειν ἔοικεν ἡ
φύσις ἐν τοῖς φαύλοις· οἷόν τι καὶ περὶ τοῦτον τὸν Ὀπούντιον
ἀκούω γεγονέναι χαρίεντα καὶ κομψὸν νεανίσκον ἀποβαλόν-
τα, ἡμέτερον κἀκεῖνον ἑταῖρον, ἀλλ' ὅμως ἔλαττον αὐτὸν 299 M.
λυπηθῆναί φασιν ἢ εἴ τι ἄλλο τῶν ἐκ τῆς οἰκίας ἀπολωλέκει.

Orat. XXX. Collati sunt BM. — 1, 3. *δευρί. δευρεὶ* (mrg. vulg.) M. ‖ 5. *ἐπιστάμενος ἄλλως, ὅς· ἤκουσε γάρ.* sic dedi. *ἐπιστάμενος, ἀλλ' ὃς ἤκουσε γὰρ* B, *ἐπιστάμενος ἀλλὰ σὲ ἀκοῦσαι* M, *ἐπιστάμενος, ἀλλ' ὡς ἤκουσε γὰρ* reliq. ‖ 7. *τοῦτον* M. Geel., *τουτονὶ* Pflugk., *τούτοιν* reliqui. alia excogitarunt Iacobs. Add. p. 173, Casaubonus, Reiskius et Wyttenb. ad Eunap. p. 227. ‖ 8. *Μεσσήνῃ* BM, *Μεσήνῃ* reliq. ‖ *μετὰ σοῦ* M. var. l. v. r, *μετὰ οὖ* B. vm, unde *μεγάλου* Casaubonus cum sequentibus copulatum. ‖ *διὰ τὸ* BM, *διὰ* reliq. — 2, 1. *φανερός. καὶ φανερὸν* M, *φανερὸν* B. mrg. m. ‖ 2. *ἀπαγγέλλων. ἀπαγγέλων* vm. ‖ *ἐδόκει. ἐδόκει μοι* Geel. ‖ *καί.* aut delebat, aut *καὶ ἔτι* scribebat Reisk. ‖ 4. *τι. ἔτι* B. mrg. m. ‖ 5. *δηχθῆναι. δειχθῆναι* BM. ‖ 6. *ἡμῖν. ὑμῖν* BM. — 3, 3. *γεγονέναι χαρίεντα* BM. Reisk., *χαρίεντα γεγονέναι* reliq. ‖ 4. *ἑταῖρον. ἕτερον* M. ‖ 5. *οἰκίας. οἰκείας* M.

ἀλλ' ὑμεῖς γε πάνυ ἐοίκατον ἀχθομένω τῇ συμφορᾷ, καὶ οὐ-
δὲν θαυμαστὸν, ἐπεὶ καὶ τῇ πόλει ὑμῶν καὶ τῇ Ἑλλάδι πάσῃ
ὠφέλιμος ἦν τοιοῦτος ἀνὴρ ἐν τῷ βίῳ διαγενόμενος, οἷος δὴ
Χαρίδημος τάχα ἔμελλεν ἔσεσθαι. οὐ γὰρ ἔγωγε ἐκείνου μει-
ρακίου ὄντος οὐδένα ἔγνων εὐψυχότερον οὐδὲ ἄμεινον πεφυ-
4 κότα. — Τ. εἴ γε ᾔδεις, ὅπως διέκειτο πρὸς σὲ, πολὺ ἂν
μᾶλλον ἐνεκωμίαζες αὐτόν. ἐμοὶ μὲν γὰρ ἐδόκει κἀμοῦ τοῦ
πατρὸς, οὐ μόνον τῶν ἄλλων ἀνθρώπων σὲ προτιμᾶν, ὅς γε
καὶ ἐν τῇ νόσῳ κἀπειδὴ πρὸς αὐτῷ σχεδόν τι τῷ θανάτῳ ἦν,
καὶ ἡμῶν ἔνδον ὄντων καὶ ἄλλων ξυγγενῶν καὶ πολιτῶν καὶ
γνωρίμων, σὲ ὠνόμαζε, τὸ παράπαν πάνυ μόλις ἤδη φθεγγό- 548 R.
μενος, καὶ ἡμᾶς ἐκέλευε λέγειν, ὅταν σοι ἐντύχωμεν, ὅτι σου
μεμνημένος ἐτελεύτα. καὶ γὰρ τὸ συνεῖναι αὐτῷ καὶ διαλέ-
γεσθαι ἕως ὑστάτου παρέμεινεν. οὐ μὴν ἀλλὰ καὶ ζῶν οὕτω
διέκειτο, ὥστε καὶ τῇ σιωπῇ καὶ τῷ βαδίσματι καὶ τοῖς ἄλλοις
5 πᾶσί σε ἐμιμεῖτο, ὡς ἔλεγον οἱ εἰδότες. — Δ. οὔτοι ταῦτα
ἐμιμεῖτο ἐκεῖνος οὔτε ἐμὲ οὔτε ἄλλον οὐδένα, ἀλλ' οὕτως
πεφύκει. πρότερον δὲ ἴσως ὑμᾶς ἔτι παῖς ὢν ἐλάνθανεν·
ἔπειτα προϊὼν ἐκδηλότερος ἐγένετο. πολὺ γὰρ μᾶλλον ἐκείνῳ
ἔπρεπεν ἢ ἄλλῳ τινὶ τό τε ἀνδρεῖον καὶ τὸ σεμνὸν τοῦ σχή-
ματος. ἀλλὰ μή τι ὑμᾶς ἐλύπει τούτοις ἢ σκυθρωπότερος
ὑμῖν ἐφαίνετο; — Τ. ἐμοὶ μὲν γὰρ ἐδόκει τοὐναντίον πολλῶν
ἱλαρώτερος καὶ πρὸς τὸ παίζειν ἕτοιμος, ὅσαι ἐλευθέριοι παιδιαὶ,
καὶ ἀεί πως μειδιᾷν πρὸς τοὺς συνήθεις· γελῶντα δὲ αὐτὸν
ἀνέδην οὐ πολλάκις εἶδον. οὐδὲν οὖν ἡμᾶς ἐλύπει. καὶ γὰρ
δὴ καὶ ἐπῃνεῖτο ὑπὸ πολλῶν, καὶ μᾶλλον ἐκεῖνον ᾐσχύνοντο
οἱ πολῖται δύο καὶ εἴκοσιν ἐτῶν ὄντα· τοσούτων γὰρ ἐτελεύ-
6 τησεν· ἢ τοὺς πρεσβυτέρους τε καὶ ἐνδόξους. — Δ. ἀλλ' ἦ τι
ἄλλο ὑμῖν ἐπέστειλεν ἢ διελέχθη τελευτῶν; — Τ. πολλὰ καὶ 549 R.

6. ὑμεῖς. ἡμεῖς B. ‖ ἀχθομένω. ἀχθομένῳ vm. ‖ 8. βίῳ. βίῳ ἐπὶ πλεῖστον Reisk. — 4, 1. πολὺ BM. Reisk., πολλὰ reliq., πολλῷ Iacobs. ‖ 2. ἐνεκωμίαζες BM, ἐνεγκωμίαζες reliq. ‖ κἀμοῦ. καλοῦ M. ‖ 5. καὶ γνωρίμων M, τῶν γνωρίμων reliqui, unde Reiskius μόνον τῶν γνωρίμων. ‖ 6. ὠνόμαζε τὸ παράπαν B. Iacobs, ὠνόμαζε παράπαν M, ὠνόμαζέ τι παράπαν Reisk., ὠνομάζετο παράπαν reliq. ‖ 7. ἐκέλευε λέγειν. ἐκέλευσεν (om. λέγειν) M. ‖ 9. ἕως om. M. ‖ 11. σέ. γε M.: — 5, 1. οὔτοι B. Interpr. r, οὗτοι reliq. ‖ 2. οὕτως. οὗτος M. ‖ 3. πεφύκει BM, ἐπεφύκει reliq. ‖ 8. ἐλευθέριοι BM, ἐλευθέριαι reliq. ‖ 9. ἀεί πως BM, ἀεί περ reliq., ἀεὶ ὥσπερ Reisk. ‖ 10. ἀνέδην. ἀναίδην B. ‖ εἶδον. ἴδον M. ‖ οὖν om. B, in M a corr. add. — 6, 1. ἦ τι Reisk., εἴ τι reliq. ‖ 2. ἄλλο. ἄλλον M. ‖ ὑμῖν BM. Reisk., ὑμῖν προσέ-

δαιμόνια, ὥς γε ἐμοὶ δοκεῖ πατρὶ ὄντι· ὅς γε ἐν τούτῳ τῆς
ἡλικίας ἐκ τοῦ βίου μεθιστάμενος οὐχ ὅπως ὠλοφύρατο αὐτὸν 300 M.
ἢ λυπουμένῳ ἐῴκει, ἀλλὰ τοὐναντίον ἡμᾶς παρεμυθεῖτο. καὶ
τά γε τελευταῖα τὸν παῖδα καλέσας ἐκέλευε γράφειν ὥσπερ
ἐνθουσιῶν παράκλησίν τινα ἡμῖν, ὥστε ὑπενόουν ἐγώ, μὴ ἄρα
ἐξεστηκὼς ἤδη διὰ τὸν θάνατον ταῦτα ποιοῖ· πλὴν ὅτι οἱ
7 παρόντες θαυμαστῶς ἐπῄνουν. — Δ. ἔχεις οὖν τὰ γεγραμ-
μένα; — Τ. πῶς γὰρ οὔ; — Δ. θέλεις οὖν εἰπεῖν; — Τ. ἀλλὰ
αἰσχύνομαι, μὴ οὐκ ὀρθῶς ἔχῃ ὡς ὑπὸ νεωτέρου τε καὶ ἐν
τοιούτῳ καιρῷ εἰρημένα. καὶ γὰρ ἐκεῖνος ἐδόκει μοι μᾶλλον
ἑνὸς σοῦ παρόντος ἂν εὐλαβηθῆναί τι εἰπεῖν ἢ τῶν ἄλλων
ἁπάντων. — Δ. οὐ πρὸς ἀλλότριον ἀναγνώσῃ, ὦ βέλτιστε,
καὶ ἅμα οὐ τὴν ἑρμηνείαν ποθῶ γνῶναι τοσοῦτον, ὅσον τὴν
διάνοιαν ἀφ' ἧς ἔλεγεν, εἰ τῷ ὄντι εὐθύμως καὶ θαῤῥῶν ἀπέ-
8 θνησκεν. — Τ. ἀλλ' ἔστι ταῦτα· „τὰ μὲν καθ' ἡμᾶς οὕτω
γέγονεν, ὡς ἔδοξε τῷ θεῷ. χρὴ δὲ μηδὲν τῶν ὑπ' ἐκείνου
γιγνομένων χαλεπὸν ἡγεῖσθαι μηδὲ δυσχερῶς φέρειν, ὡς πα-
ραινοῦσιν ἄλλοι τε σοφοὶ καὶ οὐχ ἥκιστα Ὅμηρος, λέγων μη-
δαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα· καλῶς ὀνο-
μάζων δῶρα τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα ἀγαθὰ ὄντα καὶ
9 ἐπ' ἀγαθῷ γιγνόμενα. ἐγὼ μὲν οὖν οὕτω φρονῶ καὶ δέχομαι
πρᾴως τὴν πεπρωμένην, οὐκ ἐν ἑτέρῳ καιρῷ ταῦτα λέγων,
ἀλλὰ παρούσης τε αὐτῆς καὶ τὴν τελευτὴν ὁρῶν οὕτως ἐγγύ- 550 R.
θεν. ὑμεῖς δὲ ἐμοὶ πιστεύοντες· ἐπειδὴ καὶ μᾶλλον ὑμῶν ἐπε-
μελήθην ἀληθείας· καθόσον οἷοί τέ ἐστε, μὴ συγχωρεῖτε τῇ
ἀλγηδόνι, ὡς μηδενὸς ἐμοὶ δεινοῦ συμβεβηκότος, μηδὲ εἴ τις
10 ἐπὶ τὸν δυσχερέστατον ἔλθοι τῶν λόγων. λέξω δὲ αὐτὸν ὑμῖν
οὔτι που τερπνὸν ὄντα οὐδὲ χαρίεντα· οὐ γὰρ οἶμαι πρὸς

ταξεν reliqui. Iacobsius aut v. προσέταξεν delet, aut ἢ addendum existimat. ‖ 3. δαιμόνια. δαιμονίως M. ‖ ὥς γε Selden. r, ὥστε reliq. ‖ πατρὶ ὄντι Selden. r, πάτριόν τι reliq., τεράστιόν τι Casaub. ‖ 6. τά γε BM. Iacobs., τά r, τά τε vm. ‖ 8. ποιοῖ BM, ποιῇ reliq. — 7, 2. θέλεις οὖν Progr. p. 28, κέλευσον οὖν Reisk., κελεύεις οὖν Iacobs., κέλευσον reliq., possit θέλοις ἄν. ‖ ἀλλά. ἀλλ' M. ‖ 3. τε καὶ BM, τε om. reliq. ‖ 5. σοῦ. οὐ M. ‖ 6. ἀναγνώσῃ. ἀναγνώσει M. — 8, 1. τὰ μὲν — γιγνόμενα corrupta leguntur apud Stob. T. 123, 33. ‖ τῶν ὑπ' BM. r, τῶν om. vm. apud Stob. om. v. τῶν ὑπ' ἐκείνου et pro μηδὲν legitur μή. conf. Wyttenb. ad Plut. Moral. p. 737 Oxon. ‖ 3. ἡγεῖσθαι μηδὲ δυσχερῶς φέρειν. μηδὲ δυσχερῶς φέρειν om. Stob., quorum loco habet e proximis verbis male corrupta ὥσπερ ἐν δεινοῖς οὖσι. παραινοῦσι δὲ placuerunt tamen Wyttenbachio. ‖ 4. ἄλλοι. ἄλλοις M. ‖ τά. τε M. ‖ 5. καλῶς. κακῶς Stob. ‖ 6. ἅπαντα. ἅπαντα τὰ Stob. — 10, 2. οὔτι που BM. Obs. p. 32,

Digitized by Google

χάριν τὴν ἡμετέραν γέγονεν· ἔχοντα δέ τι θαυμαστὸν ἴσως·
ὅτι τοῦ τῶν Τιτάνων αἵματός ἐσμεν ἡμεῖς ἅπαντες οἱ ἄνθρω-
ποι. ὡς οὖν ἐκείνων ἐχθρῶν ὄντων τοῖς θεοῖς καὶ πολεμη-
σάντων οὐδὲ ἡμεῖς φίλοι ἐσμὲν, ἀλλὰ κολαζόμεθά τε ὑπ' αὐ-
τῶν καὶ ἐπὶ τιμωρίᾳ γεγόναμεν ἐν φρουρᾷ δὴ ὄντες ἐν τῷ 301 M.
βίῳ τοσοῦτον χρόνον, ὅσον ἕκαστοι ζῶμεν. τοὺς δὲ ἀποθνή-
σκοντας ἡμῶν κεκολασμένους ἤδη ἱκανῶς λύεσθαί τε καὶ
11 ἀπαλλάττεσθαι. εἶναι δὲ τὸν μὲν τόπον τοῦτον, ὃν κόσμον
ὀνομάζομεν, δεσμωτήριον ὑπὸ τῶν θεῶν κατεσκευασμένον
χαλεπόν τε καὶ δυσάερον, οὐδέποτε τὴν αὐτὴν κρᾶσίν τε καὶ
στάσιν τοῦ ἀέρος φυλάττον, ἀλλὰ ποτὲ μὲν ψυχρόν τε καὶ
παγερόν, ἀνέμου τε καὶ πηλοῦ καὶ χιόνος καὶ ὕδατος ἐμπε-
πλησμένον, ποτὲ δὲ αὖ θερμόν τε καὶ πνιγηρόν· μικρὸν δέ
τινα παντελῶς καιρὸν τοῦ ἔτους μετρίως ἔχειν· καταπίπτειν
δὲ καὶ πρηστῆρας ἐν αὐτῷ καὶ τυφῶνας ἐγγίγνεσθαι καὶ
12 πολλάκις σείεσθαι κάτωθεν ὅλον. ταῦτα δὲ πάντα εἶναι
κολάσεις δεινάς. ἐκπλήττεσθαι γὰρ ἑκάστοτε ὑπ' αὐτῶν καὶ
φοβεῖσθαι τοὺς ἀνθρώπους, ὁπότε συμβαίνοι. πρὸς δὲ τού-
τοις οὐκ ἀνεχομένους τοῦ ἀέρος τὴν φαυλότητα καὶ τὰς μετα-
βολὰς ἕτερα αὖ μηχανᾶσθαι μικρὰ δεσμωτήρια, τάς τε οἰκίας
καὶ πόλεις, ξύλα καὶ λίθους ξυντιθέντας, ὥσπερ εἴ τις ἐν
μεγάλῃ εἱρκτῇ ἑτέρας βραχυτέρας ἐνοικοδομοῖ· καὶ τὰ φυό- 521 R.
μενα ταῦτα καὶ τὸν καρπὸν τὸν ἐκ γῆς ἕνεκα τοῦ παραμένειν
ἡμᾶς γίγνεσθαι, καθάπερ δεσμώταις τροφὴν διδομένην ἀηδῆ
τε καὶ φαύλην· ἡμᾶς δὲ ἄλλως ἀγαπᾶν διὰ τὴν ἀνάγκην τε
13 καὶ ἀπορίαν. καὶ γὰρ τοῖς ὑφ' ἡμῶν κολαζομένοις, ἅττ' ἂν
παράσχῃ τις, ὑπὸ λιμοῦ καὶ συνηθείας ἡδέα φαίνεσθαι. καὶ
ταῦτα τὰ σιτία τῇ μὲν ἀληθείᾳ πονηρὰ εἶναι καὶ διεφθορότα,
δηλοῦσθαι δὲ τὴν διαφθορὰν ἐκ τῆς τῶν σωμάτων ἀσθενείας·

οὔτε πάνυ r, οὔτε που reliq. ‖ οὐδὲ. οὔτε r. ‖ 3. ἡμετέραν. ὑμετέραν B. ‖ 7. δὴ ὄντες ἐν τῷ βίῳ τοσοῦτον χρόνον, ὅσον ἕκαστοι ζῶμεν. τοὺς δὲ ἀποθνήσκοντας ἡμῶν κεκολασμένους BM, διὰ ὄντες (cett. om.) reliqui, unde δὴ ὄντες Casaub., οὗ δὴ κολασθέντες Reisk. — 11, 4. φυλάττον. φυλάττοντα M. ‖ 6. πνιγηρόν. πνιγερὸν BM. ‖ 9. κάτωθεν ὅλον. κάτωθε νόμον M. — 12, 3. συμβαίνοι BM, συμβαίνει reliq. ‖ τούτοις. τοὺς Pflugkius. non accedo. ‖ 4. ἀνεχομένους. ἀνεχόμενοι B, ἀνεχομένου M. ‖ 5. μηχανᾶσθαι. μηχανᾶσθε B. ‖ τάς τε BM. vm, τὰς δὲ r, τάς γε Iacobs. ‖ 6. ξυντιθέντας M, ξυντιθέντες B, συντιθέντας reliq. ‖ 7. ἐνοικοδομοῖ B. Iacobs., ἐνοικοδόμοι M, ἐνοικοδομῇ r, ἐνοικοδομεῖ vm. ‖ 8. τὸν καρπὸν τόν. τὸν r. ‖ 10. ἄλλως. ὅμως Reisk. — 13, 2. παράσχῃ BM, παράσχοι reliq. ‖ λιμοῦ. λειμοῦ M.

ἔτι δὲ μηδὲ ἐξ ἑτοίμου πορίζεσθαι μηδὲ πᾶσιν ἄφθονα ὑπάρ-
χειν, ἀλλὰ μετὰ ἀμηχάνων πόνων καὶ κακῶν. ξυγκεῖσθαι δὲ
ἡμᾶς ἐξ αὐτῶν δὴ τῶν βασανιζόντων, ψυχῆς τε καὶ σώματος.
14 τὴν μὲν γὰρ ἐπιθυμίας τε καὶ λύπας καὶ ὀργὰς καὶ φόβους
καὶ φροντίδας καὶ μυρία πάθη τοιαῦτα ἔχειν ἐν ἑαυτῇ, καὶ
δι' ἡμέρας καὶ νυκτὸς ὑπὸ τούτων ἀεὶ κατατείνεσθαι καὶ
στρεβλοῦσθαι. καὶ γὰρ ὅστις ἐπιεικέστερον διάκειται, καθό-
λου μὲν ἀπήλλακται τούτων οὐδενός, ὥσπερ δὲ θηρία ἔνδον
κατακεκλεισμένα ἔχει, μετὰ βίας ὁμοῦ καὶ πειθοῦς τινος ἠναγ- 302 M
κασμένα ἠρεμεῖν, εἰ δὲ καὶ σμικρὸν παύσαιτο κατεπᾴδων καὶ
15 προσέχων, αὐτίκα δὴ μάλα κινούμενα. τὸ δὲ σῶμα ἰλίγγους
τε καὶ σπασμοὺς καὶ ἐπιληψίας καὶ τἆλλα νοσήματα, ὅσα
οὐδὲ τῷ λόγῳ δυνατὸν διελθεῖν, ὡς ἂν αἵματος καὶ πνεύμα-
τος μεστόν, ἔτι δὲ ἐκ σαρκῶν τε καὶ νεύρων καὶ ὀστέων συγ- 552 R.
κείμενον, ἐκ μαλακῶν τε καὶ σκληρῶν καὶ ὑγρῶν καὶ ξηρῶν,
ἐκ τῶν ἐναντιωτάτων. τά τε σιτία, ὅπερ εἶπον, μοχθηρὰ
ὄντα καὶ τὸν ἀέρα ἀνώμαλον προσπίπτοντα τὰς μὲν ἐπιτείνειν
τῶν νόσων τὰς δὲ ἀνακινεῖν, οὐ δοκούσας μὲν εἶναι πρότερον,
16 ἐνούσας δὲ ἐν τῇ φύσει τῶν σωμάτων. καὶ ταῦτα μὲν ἔνδον
ἐγκεῖσθαι τὰ κακὰ ἐν ἡμῖν αὐτοῖς, ἑτέρας δὲ ἔξωθεν κολά-
σεις, εἴ τις αὐτὰς παραβάλλοι ταῖς ἐκ τῆς φύσεως. ἡ γὰρ
πυρός τε καὶ σιδήρου φύσις καὶ πληγῶν δὲ καὶ τῶν ἄλλων
ὀξεῖα καὶ ταχὺ ἀπαλλάττει τῆς αἰσθήσεως, εἴ τις καὶ σμικρὸν
ὑπερβάλοι· ἐν δὲ ταῖς νόσοις ἐνίοτε παρατείνουσι καὶ πάνυ
17 πολὺν χρόνον. τοιαῖσδε μὲν δὴ καὶ τοσαῖσδε βασάνοις ξυνε-
χομένους τοὺς ἀνθρώπους ἐν τῇδε τῇ φρουρᾷ καὶ τῷδε τῷ
δεσμωτηρίῳ μένειν τὸν τεταγμένον ἕκαστον χρόνον, καὶ μὴ
πρὶν ἀπιέναι τοὺς πολλούς, πρὶν ἂν ἐξ αὐτοῦ ποιησάμενος 553 R.
ἄλλον ἀνθ' ἑαυτοῦ καταλίπῃ διάδοχον τῆς κολάσεως, οἱ μὲν

5. μηδὲ ἐξ ἑτοίμου πορίζεσθαι μηδὲ om. m. — 14, 5. δὲ BM. r, τε vm. ‖ 6. πει-θοῦς. πίθους M. — 15, 1. ἰλίγγους. εἰλίγγους BM. ‖ 2. ὅσα. ὅσα δὲ BM. ‖ 4. μεστόν. μεστοὶ BM (corr. vulg.). ‖ 5. ξηρῶν. ξηρῶν καὶ ξυνελόντι εἰπεῖν Reisk. ‖ 6. ὅπερ BM, ὥσπερ reliq. ‖ 8. οὐ. οὐ v, οὗ m. — 16, 2. κολάσεις. κολάσας v. excidisse post hoc v. tale quid, quale κουφοτέρας εἶναι, vidit Anonym. apud Reisk., ἐλαφροτέρας μέντοι Casaub., οὐδὲν δὲ κουφοτέρας ἐπικεῖσθαι (vel tale quid) Reisk. ‖ 3. αὐτάς. αὐτὰ BM (corr. αὐτὰς). ‖ 5. ὀξεῖα M, ὀξὺ reliq. ‖ ταχύ. παχὺ B. ‖ 6. ὑπερβάλοι BM, ὑπερβάλλοι reliq. — 17, 1. τοσαῖσδε. τοιαῖσδε (superscr. vulg.) M. ‖ 3. μένειν τόν. μὲν αὐτὸν mrg. M. ‖ ἕκαστον BM, ἑκάστους vel ἑκάστοις Reisk., ἕκαστος reliqui. malim cum eodem Reiskio ἕκαστος ante ἄλλον transponi.

ἕνα οἱ δὲ καὶ πλείους. μένειν δὲ οὐχ ἑκόντας, ἀλλὰ μιᾷ πάντας
ἀλύσει δεδέσθαι τά τε σώματα καὶ τὰς ψυχάς. καθάπερ καὶ
ὑφ' ἡμῶν ἰδεῖν ἔστιν ἐν ἀλύσει μιᾷ δεδεμένους πολλοὺς ἐφεξῆς,
τοὺς μὲν αὐτῶν σμικροὺς τοὺς δὲ μεγάλους, καὶ τοὺς μὲν
αἰσχροὺς τοὺς δ' εὐπρεπεῖς, οὐδὲν δὲ ἧττον ἅπαντας ἐπίσης
18 ἐν τῇ αὐτῇ ἀνάγκῃ ἔχεσθαι. ὁμοίως δὲ καὶ ταῖς τύχαις τε
καὶ δόξαις καὶ τιμαῖς ἀλλήλων ὑπερέχειν, ὥσπερ τοῖς σώμα-
σιν. εἶναι γὰρ τοὺς μὲν βασιλέας τοὺς δὲ ἰδιώτας, καὶ τοὺς
μὲν πλουσίους τοὺς δὲ ἀπόρους. καὶ οὐδέν γε παρὰ τοῦτο
ἔλαττον κακοπαθεῖν καὶ συνέχεσθαι τῷ αὐτῷ δεσμῷ τοὺς
εὐδαίμονας καλουμένους τῶν πενήτων τε καὶ ἀδόξων, ἀλλὰ
19 μᾶλλον τούτων ἐκείνους. ἰσχνοτέροις γὰρ οὖσιν αὐτοῖς κεχα-
λάσθαι τὸν δεσμὸν καὶ λαγαρώτερον ἑκάστῳ περικεῖσθαι·
τοῖς δὲ βασιλεῦσι καὶ τυράννοις, οἷα δὴ πεφυσημένοις τῇ 363 M.
ψυχῇ καὶ σφόδρα εὐεκτοῦσι, μᾶλλον ἐγκεῖσθαι καὶ θλίβειν,
ὥσπερ ἐν τοῖς τὰ σώματα δεδεμένοις τοὺς παχεῖς τε καὶ ὀγκώ-
δεις τῶν λεπτῶν τε καὶ ἀτρόφων μᾶλλον ὁ δεσμὸς πιέζει· τινὰς
μέντοι καὶ λίαν ὀλίγους πάρεσίν τινα ἔχειν ἐκ τοῦ θεοῦ, καὶ
δεδέσθαι μέν, ἐλαφρῶς δὲ πάνυ δι' ἐπιείκειαν, ὑπὲρ ὧν αὖθις
20 λέξομεν. πρότερον δὲ εἰπεῖν ἄξιον, ὡς ἐγώ ποτε ἤκουσα ἀν-
δρὸς ἀγύρτου παῖς ὤν, ὁποίαν τινὰ ἔφασκεν εἶναι τὴν ἄλυσιν,
οὔτι που ταῖσδε ὁμοίαν, ἐκ σιδήρου τε καὶ χαλκοῦ πεποιημέ-
νην, πολὺ μέντοι κραταιοτέραν, τὸ δὲ σχῆμα καὶ τὴν πλοκὴν
παραπλησίαν. ὥσπερ γὰρ αἵδε εἰσὶν ἐκ κρίκων τινῶν κεχαλ- 354 R.
κευμέναι δι' ἀλλήλων διαβεβλημένων, καὶ τοῦτο ἀπ' ἀρχῆς
μέχρι τέλους· οὕτω δὴ κἀκείνην ἔχειν, ᾗ δὴ ἔφαμεν τοὺς ἀν-
21 θρώπους ὑπὸ τῶν θεῶν δεδέσθαι. συνηρτῆσθαι δὲ αὐτὴν
ἅπασαν ἐξ ἡδονῆς τε καὶ λύπης, καὶ ταῦτα ἐξ ἀλλήλων ἀεὶ
πεπλέχθαι, τό τε ἡδὺ καὶ λυπηρόν, καὶ τῷ ἑτέρῳ τὸ ἕτερον
ἐξ ἀνάγκης ἀεὶ ἀκολουθεῖν, ὥσπερ οἶμαι τοὺς κρίκους τῆς
ἀλύσεως· ἕπεσθαι δὲ ταῖς μὲν μεγάλαις ἡδοναῖς μεγάλας λύ-
πας, ταῖς δὲ σμικραῖς σμικροτέρας, καὶ τήν γε μεγίστην ἡδο-
νὴν ἐπὶ τέλους εἶναι τὸν θάνατον. διὰ τοῦτο καὶ λύπην πρὸ

7. τά τε. τὰ δὲ BM. ‖ 8. καὶ ὑφ' ἡμῶν M, καὶ ἐφ' ἡμῶν B, ὑφ' ἡμῶν Pflugk., ἐφ' ἡμῶν reliq. ‖ ἀλύσει. ἀλήσει M. — 19, 5. ἐν om. m. — 20, 3. οὔτι BM. Obs. p. 32, οὔτε reliq. ‖ ἐκ. οὔτε ἐκ Reiskius deceptus scriptura οὔτε in antecedentibus. ‖ 4. κραταιοτέραν. κρατεοτέραν M. ‖ 5. κρίκων. κρίκκων M. ‖ 8. δεδέσθαι. δεδόσθαι M. — 21, 1. αὐτήν. αὐτῇ M. ‖ 2. ἀεὶ om. BM. ‖ 6. σμικραῖς. μικραῖς M. ‖ 7. ἐπὶ

αὐτοῦ συμβαίνειν μεγίστην. δῆλον γάρ, ὡς οὐκ ἔστιν ἀν-
θρώπῳ μείζων ταύτης τῆς λύπης καὶ ὀδύνης τῆς ἀγούσης ἐπὶ
22 τὸν θάνατον. ἔλεγε δὲ καὶ κατ' ἄνδρα ἕτερα εἶναι δεσμὰ
τοῖς μὲν ἐλάττω τοῖς δὲ μείζω περικείμενα, ὥσπερ πέδας· κα-
λεῖσθαι δὲ ὑφ' ἡμῶν αὐτὰς ἐλπίδας. ὥσπερ οὖν τὰς πέδας
κατωτάτω τοῦ σώματος εἶναι καὶ περὶ τοῖς ἐσχάτοις μέρεσιν,
οὕτω καὶ τὰς ἐλπίδας κατωτάτω εἶναι καὶ περὶ τὸ τελευταῖον
μέρος τοῦ βίου, καὶ μάλιστα δὴ κρατεῖν τοὺς ἀνθρώπους καὶ
ἀναγκάζειν πάντα πάσχοντας ὑπομένειν. τοῖς μὲν οὖν ἀνοή-
τοις τε καὶ ἠλιθίοις ὑπερόγκους τε εἶναι τὰς πέδας ταύτας
καὶ σφόδρα παχείας, τοῖς δὲ κομψοτέροις κεχαλάσθαι τε καὶ
23 λεπτὰς περικεῖσθαι. καὶ γάρ τοι προσείκαζε καὶ ῥίνῃ τι, πάνυ 304 M
ἀνδρικῶς ἐπόμενος τῇ εἰκόνι· τοῦτο δέ, ἔφη, μόνους εὑρίσκειν
τοὺς κομψούς τε καὶ δριμεῖς. ἀποκεκλεῖσθαι γὰρ αὐτὸ πάνυ
ἀκριβῶς, ὥσπερ εἴ τις ἐν δεσμωτηρίῳ ῥίνην ἀποκρύψειεν, 555 R.
ὅπως μηδεὶς τῶν δεσμωτῶν λάβοι, ἔπειτα λύσειεν ἑαυτόν.
τοὺς οὖν φιλοτίμους καὶ φιλοπόνους μόλις μέν, ὅμως δὲ ἀνευ-
ρίσκειν. καλεῖσθαι δὲ ὑπ' αὐτῶν αὐτὸ λόγον. ἐπειδὰν οὖν
τάχιστα εὕρωσι, χρῆσθαί τε καὶ ῥινᾶν τὰ δεσμὰ καὶ ποιεῖν
τῆς ἀλύσεως τὸ καθ' αὑτοὺς ὡς οἷόν τε ἰσχνότατον καὶ ἀσθε-
νέστατον, μέχρις ἄν, ᾗ δυνατόν, κατεργάσωνται τάς τε ἡδο-
24 νὰς καὶ τὰς λύπας. βραδὺ δὲ τοῦτο γίγνεται. μόλις γὰρ
αὐτῶν ὁ λόγος ἅτε στερεῶν ὄντων καὶ ἀδαμαντίνων καθικνεῖ-
ται καὶ κατὰ μικρὸν ἀπεσθίει, παντελῶς δὲ οὐκ ἂν δύναιτο
δαπανῆσαι καὶ διελεῖν. ὅτῳ δ' ἂν ἐγγένηται τοῦτο τὸ φάρ-
μακον καὶ φιλοπόνως αὐτῷ χρήσηται δι' ἡμέρας καὶ νυκτός,
ἐφ' ὅσον οἷόν τ' ἐστίν, εὐχερῶς ἤδη τὴν φρουρὰν φέρει καὶ
περιέρχεται παρὰ τοὺς ἄλλους ὥσπερ λελυμένος καὶ τοῦ
χρεὼν ἐπιστάντος ῥᾳδίως ἄπεισιν, ὡς ἂν οὐκέτι βίᾳ κρατού-

τέλους εἶναι τόν. ἐπιτελοῦσιν αὐτὸν M. — 22, 2. καλεῖσθαι. καλεῖσθε m. ‖ 4. κατωτάτω. κατωτάτου m. — 23, 1. γάρ τοι. γάρ τι Obs. p. 32. praetuli Pflugkii rationem. ‖ ῥίνῃ τι Pflugk., ῥίνην τινὶ M, ῥίνῃ τινὶ reliqui. Reiskius tale quid desiderat: καὶ γάρ τοι ἔχειν αὐτοὺς ἐργαλεῖόν τι, ὃ προσείκαζε cett. ‖ 3. ἀποκεκλεῖσθαι M, ἀποκεκρύφθαι reliq. ‖ αὐτό. αὐτῷ M. ‖ 4. ἀποκρύψειεν. ἀποκλέψειεν M. ‖ 5. τῶν δεσμωτῶν. παῖδας βωτῶν M. ‖ 6. ἀνευρίσκειν BM, εὑρίσκειν reliq. ‖ 7. ὑπ' αὐτῶν αὐτὸ BM (corr. vulg.), αὐτὸ ὑπ' αὐτῶν reliq. ‖ ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ 10. ᾗ Selden., ἧ B, εἰ M, ᾗ reliq. ‖ κατεργάσωνται. κατεργάσονται M. — 24, 1. γίγνεται M, γίνεται reliq. ‖ 6. τ'. τε M. ‖ φέρει. φέρειν BM. ‖ 8. χρεὼν M. Wyttenb. ad Plut. Moral. p. 113. C. (p. 755. Oxon.), χρεῷ reliq.

μενος οὐδὲ σφιγγόμενος. ἐκ τούτων ἐνίοτε οἱ θεοί τινας καὶ
παρέδρους ἑαυτοῖς ποιοῦνται δι' ἀρετὴν καὶ σοφίαν, καθόλου
25 *τῆς τιμωρίας ἀπαλλάξαντες. ταῦτα μέν τις εἶπεν ἀνὴρ δυσά-*
ρεστος, ὡς ἐγὼ δοκῶ, καὶ πολλὰ λελυπημένος κατὰ τὸν βίον,
ὀψὲ παιδείας ἀληθοῦς ᾐσθημένος, οὐ μὴν ἀληθῆ γε οὐδὲ πρέ-
ποντα θεοῖς. ἕτερος δὲ βελτίων ἐστὶ τοῦδε λόγος, ὃν πολὺ
ἂν εἴποιμι προθυμότερον. ἤκουσα δὲ αὐτὸν ἀνθρώπου γεωρ-
γοῦ ἐν ἀγροίκῳ τινὶ ῥυθμῷ καὶ μέλει· πλὴν τοῦτο μὲν ἴσως
οὐδὲν ἡμᾶς δεῖ μιμεῖσθαι, τὴν δὲ διάνοιαν αὐτὴν ἀπομνησθῆ-
26 *ναι πειρασόμεθα. ἔλεγε δὲ ὑμνῶν τόν τε Δία καὶ τοὺς ἄλλους*
θεούς, ὡς ἀγαθοί τέ εἰσι καὶ φιλοῖεν ἡμᾶς, ἅτε δὴ ξυγγενεῖς 336 R.
ὄντας αὐτῶν. ἀπὸ γὰρ τῶν θεῶν ἔφη τὸ τῶν ἀνθρώπων
εἶναι γένος, οὐκ ἀπὸ Τιτάνων οὐδ' ἀπὸ Γιγάντων. ὅτε γὰρ
τὰ σύμπαντα ἔσχον, ὥσπερ ἀποικίαν τινὰ αὐτῶν ἐν τῇ γῇ
ἐρήμῃ οὔσῃ κατοικίσαι τοὺς ἀνθρώπους ἐφ' ἥττοσι τιμαῖς καὶ 300 M.
ὄλβῳ, δικαίοις δὲ καὶ νόμοις τοῖς αὐτοῖς· ὥσπερ αἱ μεγάλαι
πόλεις καὶ εὐδαίμονες τὰς μικρὰς κατοικίζουσι· καί μοι ἐδόκει
λέγειν οὐ προστιθεὶς αὐτὸς τὰ ὀνόματα, οἷον Ἀθηναῖοι Κυ-
θνίους ἢ Σεριφίους ἢ Λακεδαιμόνιοι Κυθηρίους τὸ παλαιὸν
ἐπὶ νόμοις τοῖς αὐτοῖς ᾤκισαν· καὶ μιμήματά γε παρ' ἑκάστοις
τούτοις ἰδεῖν ἔστι τῶν ἐθῶν καὶ τῆς πολιτείας, ἣν οἱ κτίσαν-
τες ἔχουσιν, ἀσθενῆ δὲ πάντα καὶ χείρονα· τὴν μέντοι διαφο-
27 *ρότητα οὐκ ἴσην εἶναι. τοὺς μὲν γὰρ ἅτε ἀνθρώπους ἀν-*
θρώπων διαφέρειν, τὴν δὲ τῶν θεῶν ὑπεροχὴν πρὸς ἡμᾶς
ἄπειρόν τινα εἶναι. μέχρι μὲν οὖν ἔτυχε νεοκατάστατος ὢν
ὁ βίος, τοὺς θεοὺς αὐτούς τε παραγίγνεσθαι καὶ πέμπειν
ὥσπερ ἁρμοστὰς παρ' αὐτῶν ἄρχοντας τοὺς ἐπιμελησομένους,
οἷον Ἡρακλέα τε καὶ Διόνυσον καὶ Περσέα καὶ τοὺς ἄλλους, 337 R.
οὓς ἀκούομεν θεῶν παῖδας, τοὺς δὲ ἐκγόνους, γενέσθαι παρ'
ἡμῖν· ἔπειτα ὕστερον ἐᾶσαι δι' αὑτῶν οἰκεῖν ὅπως ἂν δυνώ-

25, 1. *ταῦτα. τὰ* M. ‖ 3. *παιδείας. παιδίας* M. ‖ 7. *δεῖ. δὴ* M. — 26, 1. *δὲ* om. B. ‖ 3. *ὄντας* r, *ἐόντας* reliq. ‖ *αὐτῶν. ἑαυτῶν* Reisk. ‖ 6. *ἐρήμῃ οὔσῃ* BM, *ἐρήμῳ* reliq. ‖ *κατοικίσαι. κατοικῆσαι* BM. ‖ 10. *Σεριφίους. Σερίφους* B. ‖ 11. *ᾤκισαν. ᾠκίσαντο* M. ‖ 12. *τούτοις. τούτων* Reisk. ‖ *ἐθῶν* Selden. r, *θεῶν* reliq. ‖ *οἱ κτίσαντες* Interpr. r, *οἱ κτήσαντες* B, *οἰκτίσαντες* reliq. ‖ 13. *χείρονα. χείρωνα* M. ‖ 14. *ἴσην. εἴσην* M. — 27, 5. *ἄρχοντας. ἢ ἄρχοντας* Reisk. ‖ 6. *οἷον. τὸν* (mrg. vulg.) M. ‖ 7. *θεῶν. θεῶν τοὺς μὲν* aut *τοὺς μὲν θεῶν* Reisk. ‖ *ἐκγόνους. ἐκγάμους* M. ‖ 8. *δι' αὑτῶν. δι' αὐτῶν* M.

Digitized by Google

μεθα. καὶ τότε δὴ τὰ ἁμαρτήματα καὶ τὰς ἀδικίας ξυμβαι-
28 νειν. ᾖδε δὲ καὶ ἑτέραν ᾠδήν· ὡς ὁ μὲν κόσμος οἶκός ἐστι
πάνυ καλός τε καὶ θεῖος ὑπὸ θεῶν τε κατεσκευασμένος, ὥσπερ
ὑπὸ τῶν εὐδαιμόνων τε καὶ πλουσίων καλουμένων ἀνδρῶν
οὕς τινὰς ὁρῶμεν κατεσκευασμένους, σταθμοῖς καὶ κίοσι
καὶ χρυσῷ καὶ γραφαῖς τήν τε ὀροφὴν καὶ τοίχους καὶ θύρας
εἰργασμένους· ὁμοίως γεγονέναι τὸν κόσμον εἰς ὑποδοχήν τε
καὶ εὐφροσύνην ἀνθρώπων εὐειδῆ καὶ ποικίλον ἄστροις τε
καὶ ἡλίῳ καὶ σελήνῃ καὶ γῇ καὶ θαλάττῃ καὶ φυτοῖς, ἃ δὴ
29 τοῦ θεῶν πλούτου καὶ τέχνης τῆς ἐκείνων ἐστίν. παραγίγνε-
σθαι δὲ τοὺς ἀνθρώπους εἰς αὐτὸν ἑορτάσοντας, ὑπὸ τοῦ
βασιλέως τῶν θεῶν κεκλημένους ἐπ' εὐωχίαν τινὰ καὶ θοίνην
λαμπρὰν ἁπάντων ἀπολαύσοντας τῶν ἀγαθῶν. κατακεῖσθαι
δὲ ἄλλους ἀλλαχῇ, καθάπερ ἐν δείπνῳ, τοὺς μὲν ἀμείνονος
χώρας τοὺς δὲ φαυλοτέρας τυχόντας. εἶναι δὲ πάντα ὅμοια 366 M
τοῖς παρ' ἡμῖν γιγνομένοις ἐν ταῖς ὑποδοχαῖς, πλὴν ὡς μικροῖς 555 R
καὶ ἀγεννέσι θεῖα καὶ μεγάλα εἰκάσαι. φῶς τε γὰρ ἡμῖν
παρέχειν τοὺς θεοὺς διττὸν διὰ λαμπτήρων τινῶν, τοτὲ μὲν
30 πλεῖον τοτὲ δὲ ἔλαττον, τὸ μὲν νυκτὸς τὸ δὲ ἡμέρας. καὶ
παρακεῖσθαι δὴ τραπέζας πάντων μεστάς, σίτου τε καὶ ὀπώ-
ρας, τῆς μὲν αὐτομάτου τῆς δὲ εἰργασμένης, ἔτι δὲ καὶ κρεῶν,
τῶν μὲν ἡμέρων τῶν δὲ ἀγρίων, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐκ
θαλάττης. εἶναι δὲ τὰς τραπέζας ἔφη, πάνυ ἀγροίκως λέγων,
τούς τε λειμῶνας καὶ πεδία καὶ νάπας καὶ ἀκτάς, ἐν οἷς τὰ
μὲν φύεσθαι τὰ δὲ νέμεσθαι τὰ δὲ θηρᾶσθαι. ἄλλα δὲ
ἄλλοις πλείονα παρεῖναι, πρὸς αἷς ἂν ἕκαστοι τραπέζαις κα-
τακλιθῶσιν. τοὺς μὲν γὰρ πρὸς θαλάττῃ τυχεῖν, τοὺς δὲ
31 πρὸς πεδίοις, τοὺς δὲ πρὸς ὄρεσι. διακονεῖσθαι δὲ τὰς Ὥρας
οἷα δὴ νεωτάτας οὔσας τῶν θεῶν, εὖ μὲν ἀμπεχομένας καλὰς

28, 2. καλός τε καὶ θεῖος. καλῶς τε καὶ θείως M. ‖ ὑπὸ θεῶν τε. ἅτε ὑπὸ θεῶν Reisk. ‖ ὥσπερ. ὥσπερ γὰρ Reisk. ‖ 4. οὕς BM, οἴκους reliq. ‖ ὁρῶμεν. ἑώρωμεν BM. ‖ 5. τήν τε BM, εἰς τὴν Reisk., τὴν reliq. ‖ τοίχους BM (mrg. τείχη). Reisk., τείχη reliq. ‖ θύρας BM (mrg. θύραν). Reisk., θύραν reliq. ‖ 6. εἰργασμένους Casaub., εἰργασμέναις BM, εἰργασμένας reliq. ‖ ὁμοίως. ὁμοίαις B, οἵαις M. — 29, 3. τινὰ καὶ M (mrg. τε καὶ). Reisk., τε καὶ v, τινά τε καὶ mr. ‖ 4. ἀπολαύσοντας om. M (sed in spatio, quod explevit corr.). ‖ 5. καθάπερ. καθώσπερ M (mrg. vulg.). ‖ ἀμείνονος. ἀμείνωνος M. ‖ 8. εἰκάσαι om. M. ‖ γὰρ Reisk., γὰρ παρ' reliq. — 30, 3. εἰργασμένης. ἐργασμένης M. ‖ 4. μὴν. malim μόνον. ‖ 6. λειμῶνας. λιμῶνας M. ‖ 8. κατακλιθῶσιν M, κατακλιθῶσι reliq.

δὲ ἰδεῖν, οὔτι που χρυσῷ κεκοσμημένας, ἀλλὰ παντοίων ἀν-
θῶν στεφάνοις. διανέμειν δὲ καὶ τῶν ἀνθῶν αὐτῶν καὶ
τἆλλα ἐπιμελεῖσθαι τῆς ἑστιάσεως, τὰ μὲν παρατιθείσας τὰ
δὲ αἰρούσας κατὰ καιρόν. γίγνεσθαι δὲ χοροὺς καὶ τὴν ἄλλην
32 εὐπάθειαν ἅπασαν. τὸν μέντοι πόνον τοῦτον, ὃν ἔχειν δο- 559 R
κοῦμεν γεωργίαις τε καὶ θήραις καὶ φυτείαις εἶναι τοσοῦτον,
ὅσον τοῖς κατακειμένοις τὸ ἐπορέξασθαί τινος καὶ τῇ χειρὶ
λαβεῖν. ὃ δὲ ἔφη ἄλλον ἀλλαχῇ κατακεῖσθαι, τούτου καὶ ἡ
κρᾶσις τῶν ἀέρων αἰτία. τοὺς γὰρ πρώτους καὶ τοὺς ὑστά-
τους μᾶλλον τῶν ἄλλων εἶναι τοὺς μὲν ἐν ψύχει τοὺς δὲ ἐν
33 ἀλέᾳ, τοὺς μὲν ἐγγὺς τοῦ φωτὸς ὄντας τοὺς δὲ πόῤῥω. τῇ
οὖν εὐφροσύνῃ καὶ τῇ εὐωχίᾳ χρῆσθαι οὐχ ἅπαντας ὁμοίως,
ἀλλ᾽ ἕκαστον κατὰ τὴν αὑτοῦ φύσιν. τοὺς μὲν γὰρ ἀσώτους
καὶ ἀκρατεῖς οὔτε ὁρᾶν οὐδὲν οὔτε ἀκούειν οὐδενὸς, ἀλλὰ
ἐγκεκυφότας ἐσθίειν, ὥσπερ ἐν συφεῷ ὗς, ἔπειτα νυστάζειν.
τινὰς δὲ αὐτῶν μὴ ἀρκεῖσθαι τοῖς παροῦσιν, ἀλλὰ ἐπὶ τὰ
ποῤῥωτέρω διατείνειν τὰς χεῖρας, οἷον μεσογείους ὄντας ἰχθύων
34 ὀρέγεσθαι καὶ πράγματα ἔχειν. ἄλλους δὲ ἀπλήστους τε καὶ 307 M
ἀθλίους ὄντας, φοβουμένους μή ποτε αὐτοῖς ἐλλείπῃ, πρὸς
αὑτοὺς συνάγειν καὶ σωρεύειν ὅσ᾽ ἂν δύνωνται. καὶ μετὰ
ταῦτα, ὅταν αὐτοὺς ἀπιέναι δέῃ, πορεύεσθαι μηδενὸς μετα-
σχόντας, ἀλλὰ πάνυ ἐνδεεῖς, καταλείπειν δὲ ταῦτα ἑτέροις·
οὐ γὰρ εἶναι φέρεσθαι μεθ᾽ ἑαυτῶν. τούτους μὲν οὖν κατα- 560 R
35 γελᾶσθαί τε καὶ ἀσχημονεῖν. ἑτέρους δὲ πεττεύειν, τοὺς δὲ
ἀστραγάλοις παίζειν· εἶναι δὲ τοὺς πεττούς τε καὶ ἀστραγά-
λους οὐχ οἵους ἡμεῖς ὀνομάζομεν, ἀλλὰ τοὺς μὲν χρυσοῦς τοὺς
δὲ ἀργυροῦς, ὃ δὴ νόμισμα καλοῦμεν ἡμεῖς, ὑπὲρ οὗ διαφέ-
ρεσθαι καὶ ζητεῖν ἕκαστον πλεονεκτεῖν. πλεῖστον δὴ θόρυβον
καὶ ἀκοσμίαν τούτους παρέχειν, τοὺς δὴ κυβεύοντας, καὶ θο-

31, 3. οὔτι πού. οὔτι πω M. ‖ 6. γίγνεσθαι M, γίνεσθαι reliq. ‖ δὲ. δὲ καὶ Reisk. — 32, 1. τὸν. τὸ M. ‖ πόνον M. var. l. v. r, τόπον B. vm. ‖ 4. ὃ δὲ M. Casaub., ᾧ δὲ B, ὧδε vm, τοῦ δὲ r. ‖ ἔφη. ἔφην M. — 33, 4. οὐδὲν οὔτε BM, οὐδὲν οὐδὲ reliq. ‖ 5. συφεῷ ὗς. συφεοῖς M. ‖ 6. ἐπὶ τὰ. ἔπειτα M. ‖ 7. διατείνειν. διατίνειν M. — 34, 2. ἐλλείπῃ. ἐλλίπῃ BM, ἐλλείπῃ τι Geel. ‖ πρὸς αὐτούς. προσόδους Iacobsius (et in proximis ὅσ᾽). ‖ 3. ὅσ᾽ Casaub., ὅς M, ὡς Selden., οὓς reliqui, unde Reiskius σώρους vel θησαυροὺς deesse suspicatus est. ‖ 5. καταλείπειν BM, καὶ καταλείπειν reliq. ‖ δὲ. οἱ δὲ B, αἱ δὲ M. ‖ ταῦτα. πάντα ταῦτα Reisk. ‖ 6. εἶναι. οἵους τε εἶναι Reisk. ‖ μεθ᾽ ἑαυτῶν. μετα αὐτῶν B, μετ᾽ αὐτῶν M (mrg. vulg.). — 35, 1. δὲ. δὲ τοὺς μὲν Geel. ‖ 5. δή. aut delet aut δὲ δή Reisk. ‖ 6. καὶ ἀκοσμίαν τούτους.

κεῖν τῶν συμποτῶν ἀηδεστάτους. ἐνίοτε δὲ καὶ μάχεσθαι καὶ
εἰς χεῖρας ἰέναι καὶ τιτρώσκειν ἀλλήλους. μάλιστα δὲ τοὺς
36 μεθυσκομένους ταῦτα δρᾶν. μεθύσκεσθαι δὲ οὐκ ἀπὸ οἴνου,
καθάπερ τοὺς παρ' αὐτοῖς, ἀλλ' ὑφ' ἡδονῆς. τοῦτο γὰρ ἐν
τῇ κοινῇ ἑστιάσει τὸ πόμα παρέχειν τοὺς θεούς, ὥστε ἐξελέγ-
χεσθαι τὸν ἑκάστου τρόπον. δύο δὲ οἰνοχόους ἐφεστάναι,
τὸν μὲν ἄῤῥενα τὴν δὲ θήλειαν· ὀνομάζεσθαι δὲ αὐτοῖν τὸν
μὲν Νοῦν τὴν δὲ Ἀκράτειαν. τοὺς μὲν οὖν φρονίμους τὸν
ἄῤῥενα οἰνοχόον ἔχειν, καὶ παρ' ἐκείνου μόνου τούτους δέ-
χεσθαι σπανίως τε καὶ σμικραῖς κύλιξι καὶ πάνυ ἀσφαλῶς
37 κεκραμένον. κεῖσθαι γὰρ ἕνα κρατῆρα, τόν γε τῆς Σωφρο-
σύνης. ἑστάναι γὰρ πολλοὺς ἐν τῷ μέσῳ καὶ διαφέροντας
τῇ γεύσει ὥσπερ οἴνων πολλῶν· εἶναι δὲ αὐτοὺς ἀργυροῦς τε
καὶ χρυσοῦς· ἔτι δὲ καὶ ζῷα ἔξωθεν κύκλῳ ἔχειν καὶ ἕλικάς 361 R
τινας καὶ τορείας. τὸν δὲ τῆς Σωφροσύνης λεῖόν τε εἶναι
καὶ οὐ μέγαν καί, ὡς ἂν εἰκάσαι τις ὁρῶν, χαλκοῦν. δεῖν
οὖν ἐκεῖθεν πολλαπλάσιον λαμβάνοντας καὶ ξυγκεραννύντας
38 σμικρόν τι τῆς ἡδονῆς πίνειν. οἷς μὲν οὖν ἐστιν ὁ Νοῦς οἰνο-
χόος, οὕτως οἰνοχοεῖν, φοβούμενον καὶ προσέχοντα, μή πη τῆς
κράσεως ἁμαρτὼν σφήλῃ τὸν δαιτυμόνα καὶ καταβάλῃ. τὴν
δὲ Ἀκράτειαν τοῖς μὲν πλείστοις ἄκρατον τὴν ἡδονὴν ἐγχεῖν
μηδὲ σμικρὸν σωφροσύνης παραμιγνύουσαν, τοῖς δὲ ὀλίγον τι 368 M
παντελῶς λόγου ἕνεκεν· τοῦτο δὲ εὐθὺς ἐξίτηλον γίγνεσθαι
καὶ μηδαμοῦ φαίνεσθαι. τοὺς δὲ πίνοντας μὴ διαλείπειν,
ἀλλ' ἐπισπέρχειν τε αὐτὴν καὶ κελεύειν θᾶττον ἰέναι παρ'
αὐτούς, καὶ προαρπάζειν ἕκαστον. τὴν δὲ ἐπείγεσθαι καὶ
39 περιτρέχειν ἀσθμαίνουσαν καὶ ῥεομένην ἱδρῶτι. τοὺς μὲν

τούτους τε καὶ ἀκοσμίαν BM. || τοὺς δὴ κυβεύοντας interpretis, non Dionis esse suspicatur Geel. || 8. μάλιστα δέ. δὲ om. M. — 36, 2. αὐτοῖς. αὐτοῖς BM. || 6. Ἀκράτειαν. ἀκράτιαν M. || 7. μόνου BM, μόνον reliq. || 9. κεκραμένον. κεκρατημένον BM. — 37, 1. κρατῆρα. malim κρατῆρα, οἷον ὕδατος. || τόν γε. τόν τε M. || 2. γὰρ πολλούς. γὰρ om. M. malim μὲν γὰρ πολλούς. || 5. τε εἶναι BM, εἶναι om. reliq. || 6. δεῖν. sic dedi. δεῖ reliq. || 8. σμικρόν. μικρόν M. — 38, 2. οὕτως M, οὗτος reliq. || οἰνοχοεῖν BM (corr. οἰνοχοεῖ), οἰνοχοεῖ reliq. || φοβούμενον BM (corr. φοβούμενος), φοβούμενος reliq. || προσέχοντα BM (corr. προσέχων), προσέχων reliq. || 3. σφήλῃ. σφάλῃ B. || δαιτυμόνα. δὲ τυμόνα M. || καταβάλῃ BM. Reisk., καταβάλλῃ reliq. || 4. Ἀκράτειαν. ἀκράτιαν M. || ἐγχεῖν. ἔχειν B. || 5. σμικρὸν. μικρὸν BM. || τοῖς δέ. τοῖς δὲ ἄλλοις Geel. || τι. τε B. || 6. ἕνεκεν. ἕνεκα B. || ἐξίτηλον. ἐξείτηλον M. || γίγνεσθαι. γίνεσθαι M. || 8. τε. om. M. || 9. ἐπείγεσθαι. ἐπίγεσθαι M.

οὖν ἐκείνης ἑστιάτορας ὀρχεῖσθαί τε καὶ κυλίεσθαι προπίπτοντας ἐν τῷ μέσῳ καὶ μάχεσθαι καὶ βοᾶν, οἷα δὴ ποιοῦσιν οἱ μεθυσθέντες ὑπὸ οἴνου· πλὴν οὗτοι μὲν ἐπ' ὀλίγον καὶ μετρίως· μικρὸν γὰρ ἐξαρκεῖ καταδαρθεῖν, ἔπειτα ἄμεινον 562 R.
ἑαυτῶν ἔχουσιν, ἅτε ἐλαφρῶς οὔσης τῆς μέθης· οἱ δὲ ὑπὸ τῆς ἡδονῆς καρωθέντες, ὡς ἂν ὑπὸ ἰσχυροτέρου πόματος κατεχόμενοι δι' ὅλου τοῦ βίου ταῦτα ποιοῦσι, καὶ οὐκ ἔστιν ἀπαλλαγῆναι [ζῶσιν], εἰ μή γε ἀποθανοῦσιν. οὗτος γὰρ ὕπνος
40 ἐστὶ τῶν οὕτω μεθυσκομένων καὶ μόνος αὐτοὺς ὠφελεῖ. πολλοὶ δὲ καὶ ἐξεμοῦσιν ὑπὸ πλησμονῆς· γίγνεται δὲ μετὰ σπαραγμοῦ τε καὶ λύπης τῆς ἐσχάτης τὸ τὴν ἡδονὴν ἐκβάλλειν. ὅστις δ' ἂν ἰσχύσῃ, κουφίζεται καὶ ῥᾷον διάγει τὸ λοιπόν. σπανίως δὲ τοῦτο συμβαίνει τὸ ἐθέλειν ἐξεμεῖν, ἀλλὰ πολὺ μᾶλλον πίνειν ἐθέλουσιν. οὐδὲ γὰρ παύονται τοῦ δίψους, ἀλλ' ἀεὶ σφοδρότερον ἔχουσι, καθάπερ οἱ τῷ οἴνῳ ἀκράτῳ χρώμενοι. οἱ μὲν οὖν τοιοῦτοί εἰσι καὶ καταισχύνουσι καὶ
41 ὑβρίζουσι τὴν χάριν τῶν θεῶν. οἱ δὲ μέτριοί τε καὶ ἐπιεικεῖς τῇ μὲν ἡδονῇ πρᾴως χρῶνται καὶ διὰ χρόνου φοβούμενοι. ὥσπερ δὲ ἄνθρωπος ἐλεύθερος κληθεὶς ὑπό τινων τῶν κρειττόνων, βασιλέως ἢ δυνάστου, τοῦ μὲν ἐσθίειν καὶ πίνειν ἀμελεῖ, πλὴν ὅσον ἀναγκαῖον, προσέχει δὲ τοῖς ἔνδον καὶ τούτοις τέρπεται· κἀκεῖνοι μέθης μὲν καὶ πεττῶν καὶ ἀστραγάλων ἀμελοῦσιν, ὁρῶσι δὲ τἄνδον ὅπως ἔχει, καὶ τόν τε ἀνδρῶνα ἐν ᾧ κατάκεινται θαυμάζουσί τε καὶ ζητοῦσιν, ὅπως γέγονε, καὶ τὰ ἐν αὐτῷ πάντα, ὥσπερ γραφάς τινας εὐειδεῖς καὶ καλάς, κατανοοῦσι, καὶ τὴν ἄλλην οἰκοδομίαν τε καὶ τάξιν καὶ 309 M. 563 R.
τὰς ὥρας, ὡς εὖ τε καὶ ἐπισταμένως ἅπαντα πράττουσι, καὶ προσέχουσιν αὐτοῖς, καὶ μόνοι δὴ τοῦ κάλλους αἰσθάνονται.
42 μέλει δ' αὐτοῖς, ὅπως μὴ δοκῶσιν ὡς τυφλοί τε καὶ κωφοὶ

39, 2. ὀρχεῖσθαί. ὀργεῖσθαι v. ‖ προπίπτοντας BM, προσπίπτοντας reliq. ‖ 5. ἐξαρκεῖ M. Anonym. apud Reisk. r, ἐξαρκεῖν B, ἐξαρκῇ vm. ‖ καταδαρθεῖν. καθαδαρθεῖν m. ‖ 6. ἑαυτῶν. ἑαυτὸν B. ‖ 9. [ζῶσιν] suspectum Geelio. ‖ ἀποθανοῦσιν Obs. p. 33, ἀποθάνουσιν M, ἀποθάνωσιν reliq. ‖ 10. οὕτω. οὕτως M. — 40, 2. δέ. δὴ m. ‖ ἐξεμοῦσιν. ἐξαιμ[illegible]ῦσιν M. ‖ γίγνεται M, γίνεται reliq. ‖ 4. ὅστις. ὅς τι M. ‖ διάγει. διάγῃ m. ‖ 7. ἀλλ' ἀεί. ἀλλὰ εἰ M. ‖ ἔχουσι (ἔχουσιν M) καθάπερ οἱ τῷ οἴνῳ ἀκράτῳ χρώμενοι M, ἔχουσιν (om. ceteris) reliq. ‖ 8. οἱ μέν. οὗτοι μὲν M. — 41, 3. ἐλεύθερος om. B. ‖ 7. ἔχει M. Reisk., ἔχῃ reliq. ‖ τόν τε. τότε M. ‖ 8. θαυμάζουσί τε καὶ ζητοῦσιν. θαυμάζουσιν (om. reliq.) M. ‖ 10. οἰκοδομίαν. οἰκονομίαν Reisk.

Digitized by Google

μετειληφέναι τούτων, ἀλλὰ καὶ ἀπαλλαγέντες ἔχωσί τι εἰπεῖν
περὶ αὐτῶν, εἴ τις πυνθάνοιτο, ἅ τε εἶδον ἅ τε ἔγνωσαν. καὶ
ταῦτα φροντίζοντες καὶ μετὰ νοῦ τῆς ἡδονῆς ἐμμελῶς μετέ-
χοντες διάγουσιν, εἷς ἑνὶ διαλεγόμενοι καὶ κατὰ δύο καὶ τρεῖς
ὅμοιοι. ἐνίοτε δὲ μεγάλης κραυγῆς γενομένης καὶ θορύβου
παρὰ τῶν μεθυόντων κἀκεῖσε ἀπέβλεψαν, ἔπειτα εὐθὺς πάλιν
43 πρὸς ἑαυτοῖς ἐγένοντο. καὶ ἐπειδὰν ἀπιέναι δέῃ, οἱ μὲν ἄσω-
τοι καὶ ἀκρατεῖς ὑπὸ τῶν ἀκολουθούντων ἕλκονται καὶ σύρον-
ται μετὰ πόνων τε καὶ νοσημάτων κεκραγότες καὶ οἰμώζον-
τες, οὐδὲν εἰδότες, οὔτε ὅποι παρῆλθον οὔτε ὅπως εἱστιάθη-
σαν, κἂν πάνυ πολύν τις αὐτῶν μείνῃ χρόνον. οἱ δὲ ὀρθοί
τε καὶ ἀσφαλῶς τοῖς ἑαυτῶν ποσὶν ἀπίασιν προσαγορεύσαν-
τες τοὺς φίλους, φαιδροί τε καὶ γεγηθότες, ὡς οὐδὲν ἀσχη-
44 μονήσαντες. ταῦτα οὖν ὁ θεὸς ἐπισκοπῶν καὶ πάντα ὁρῶν
ὡς ἐν ἰδίῳ οἴκῳ, ὅπως ἕκαστος εἱστιᾶτο, τοὺς βελτίστους ἀεὶ
παρ' αὐτὸν καλεῖ, κἄν τῳ σφόδρα ἀρεσθεὶς τύχῃ, μένειν
αὐτοῦ κελεύει καὶ συμπότην καὶ ἑταῖρον ἐποιήσατο, καὶ τοῦ
νέκταρος ἤδη οὗτος εὐωχεῖται. τοῦτο δὲ ἔοικε μὲν τῷ τῆς
σωφροσύνης πώματι, διαυγέστερον δέ ἐστιν ἐκείνου πολὺ καὶ 361 R
καθαρώτερον, ὡς ἂν οἶμαι θείας ὂν καὶ ἀληθοῦς σωφροσύ-
45 νης." — Δ. παπαί, ὦ Χαρίδημε, οἷος ὢν ἡμῖν τέθνηκας, ὡς
πολὺ τῶν κατὰ σαυτὸν ἀνθρώπων ὑπερέξειν ἔμελλες, οἵαν δὲ
καὶ τῷ πατρὶ καὶ τοῖς πολίταις ἐπίδειξιν σαυτοῦ παρέσχες
μὰ Δί' οὐ λόγων, ἀλλὰ μεγάλης καὶ ἀληθινῆς ἀνδρείας. ἐγὼ
μὲν οὐκ ἔχω ὅπως παραμυθήσωμαι ὑμᾶς τοιούτου στερηθέν-
τας μὴ βαρέως φέρειν. οὐδὲ γὰρ ἐμαυτὸν οἷός τέ εἰμι ἱκανῶς
46 παραμυθήσασθαι ἐν τῷ παρόντι. σὺ δέ, ὦ Τίμαρχε, μόνος
δύνασαι τὸν πατέρα τοῦτον κουφίζειν καὶ θεραπεύειν αὐτοῦ
τὴν ἀτυχίαν, ἐὰν μέλῃ σοὶ μὴ πολὺ ἐκείνου καταδεεστέρῳ
φαίνεσθαι. καὶ γὰρ ἄτοπον, εἰ τὴν μὲν οὐσίαν αὐτοῦ τὴν 310 M
μὲν ἤδη παρείληφας, τοσαύτην οὖσαν, τὴν δὲ αὖθις λήψῃ

42, 3. εἶδον. ἴδον M. ‖ 8. ἑαυτοῖς M, ἑαυτοὺς reliq. — 43, 1. ἐπειδὰν M. Reisk. (idem ὁπηνίκ' ἂν), ὅπη δ' ἂν reliq., ὅταν δ' ἤδη Iacobs. ‖ 4. ὅποι BM, ὅπῃ reliq. ‖ εἱστιάθησαν. εἰσθιάθησαν M. ‖ 5. πολύν τις αὐτῶν BM, τις αὐτῶν πολὺν reliq. — 44, 2. εἱστιᾶτο. εἰσθιᾶτο M. ‖ 3. αὐτόν. αὐτὸν M. ‖ κἄν τῳ Reisk., κἂν τῷ reliq. ‖ μένειν. μένειν εἶναι M. ‖ 6. πώματι M, σώματι B, πόματι reliq. — 45, 4. ἀνδρείας M, ἀνδρίας reliq. ‖ 5. παραμυθήσωμαι BM, παραμυθήσομαι reliq. ‖ 6. ἱκανῶς. ἱκανὸς m. — 46, 2. δύνασαι. δύνασε M. ‖ 3. μέλῃ. μέλλῃ m. ‖ 5. λή-

τοῦδε ἀποθανόντος· τὴν δὲ σωφροσύνην καὶ τὸ θάρσος καὶ τὸ τῶν καλλίστων ἐρασθῆναι ἀφήσεις ὡς κατά γε ταῦτα οὐδὲν ἐκείνῳ προσήκων.

γῆ. λήψει M. ‖ 7. κατά γε BM, γε om. reliq.

LIPSIAE, IMPRESSIT BERNH. TAUCHNITZ.

ΛΟΓΟΣ λα

ΡΟΔΙΑΚΟΣ.

1 Εἰκὸς μέν ἐστιν, ὦ ἄνδρες Ῥόδιοι, τοὺς πολλοὺς ὑμῶν 565 R.
ἐμὲ νομίζειν ὑπὲρ ἰδίου τινὸς πράγματος ἐντευξόμενον ὑμῖν
ἀφῖχθαι· ὥστε, ἐπειδὰν αἴσθησθε τῶν ὑμετέρων τι κοινῶν
ἐγχειροῦντα ἐπανορθοῦν, δυσχερανεῖτε ἴσως, εἰ μήτε πολίτης
ὢν μήτε κληθεὶς ὑφ' ὑμῶν, ἔπειτα ἀξιῶ συμβουλεύειν, καὶ
2 ταῦτα ὑπὲρ οὐδενὸς ὧν σκεψόμενοι συνεληλύθατε. ἐγὼ δὲ
ἂν μὲν ὑμῖν ἀκούσασιν ἢ μηδὲν τῶν δεόντων ἢ περί τινος τῶν
μὴ πάνυ ἀναγκαίων φανῶ λέγων, δικαίως ἂν ἀμφότερά φημι
δόξειν, ἅμα εὐήθης καὶ περίεργος· ἐὰν δ' ὡς οἷόν τε καὶ περὶ
μεγίστου πράγματος καὶ τούτου σφόδρα φαύλως ἔχοντος,
ὥστε δημοσίᾳ τὴν πόλιν ἀπ' αὐτοῦ διαβεβλῆσθαι καὶ πάντας
ὑμᾶς ἐπὶ πᾶσι τοῖς ἄλλοις εὐδοκιμοῦντας καθ' ἓν τοῦτο δόξης
οὐ προσηκούσης τυγχάνειν, εἰκότως ἄν μοι χάριν ἔχοιτε καὶ
νομίζοιτε εὔνουν ἑαυτοῖς. δῆλον γὰρ ὡς, εἰ μὴ πάνυ τις ὑμᾶς
ἀγαπᾷ, τοῖς γε ἄλλοις οὐθὲν μέλει δήπου τῶν ὑμῖν τινα φερόν-
3 των αἰσχύνην ἢ βλάβην. οὐκοῦν ἄτοπον, εἰ μὲν ἀργύριόν τις 566 R.
ὑμῖν ἐχαρίζετο ἀφ' ἑαυτοῦ, ξένος ἢ μέτοικος, τοῦτον μὲν οὐκ
ἂν ἡγεῖσθε περίεργον, ὅτι μηδὲν προσήκειν δοκῶν ἐφιλοτι-

Orat. XXXI. Collati sunt BM. — 1, 1. ἐστιν ὦ B, ἐστιν M (corr. ἐστιν ὦ), ὦ reliq. ‖ 3. ἐπειδὰν BM, ἐπειδὴ reliq. — 2, 2. ἀκούσασιν ἢ M, ἀκούσασι reliq. ‖ ἢ περί. ἢ om. B, in M a corr. add. ‖ 3. φανῶ. φανῶμεν (corr. vulg.) M. ‖ 4. οἷόν τε. οἴονται M. ‖ 5. τούτου. τούτου οὕτω Reisk. ‖ 7. ὑμᾶς BM. Casaub. r, ἡμᾶς vm. ‖ 10. ἀγαπᾷ. post hoc v. mrg. B (ut addendum) οὐκ ἂν τοιοῦτος φανεῖται. — 3, 3. ἡγεῖσθε BM, ἡγοῖσθε reliq.

μεῖτο μηδ᾽ ὑμῶν ἀπαιτούντων· συμβουλεύοντος δέ τι τῶν
χρησίμων δυσχερέστερον ἀκούσεσθε, ὃς ἂν μὴ τύχῃ κληθεὶς
ἢ μὴ πολίτης ὑπάρχῃ. καίτοι χρημάτων μὲν οὔθ᾽ ὑμεῖς σφόδρα
ἴσως ἐν τῷ παρόντι δεῖσθε, καὶ μυρίους ἔστιν εὑρεῖν, οἷς
μᾶλλον ἀφελοῦσι τῶν ὄντων συνέφερε· γνώμης δὲ ἀγαθῆς 311 M.
οὐκ ἔστιν οὐδεὶς ὁ μὴ δεόμενος ἐν παντὶ καιρῷ καὶ πρὸς ἅπαν-
4 τα τὸν βίον, οὐδ᾽ ὁ κάλλιστα πράττειν δοκῶν. εἰ μὲν οὖν
περί τινος τῶν προκειμένων ἔλεγον, οὐθὲν ἂν ὑπ᾽ ἐμοῦ τηλι-
κοῦτον ὠφελεῖσθε· εἰκὸς γὰρ ἦν καὶ καθ᾽ αὑτοὺς ὑμᾶς τὸ
δέον εὑρεῖν σκοποῦντάς γε ἅπαξ· ἐπεὶ δὲ ὑπὲρ οὗ μηδὲ ζητεῖτε
τὴν ἀρχὴν ὅπως ποτὲ ἔχει, τοῦτό φημι δείξειν αἴσχιστα γιγνό- 563 R.
μενον, πῶς οὐκ ἂν εἴην παντελῶς ὑμῖν χρήσιμον πρᾶγμα
πεποιηκώς, ἐὰν ἄρα μὴ φανῶ ψευδόμενος; νομίζω δ᾽ ἔγωγε
πάντας μὲν προσήκειν ἀποδέχεσθαι τῶν δι᾽ εὔνοιαν ὁτιοῦν
λεγόντων καὶ μηδένα ὀχληρὸν ποιεῖσθαι τῶν τοιούτων, μάλι-
στα δὲ ὑμᾶς, ἄνδρες Ῥόδιοι. δῆλον γὰρ ὅτι τούτου χάριν
σύνιτε βουλευόμενοι καθ᾽ ἡμέραν, καὶ οὐ καθάπερ ἄλλοι
δυσκόλως καὶ διὰ χρόνου καὶ τῶν ἐλευθέρων τινὲς εἶναι δο-
κούντων, ὅπως ὑμῖν ᾖ σχολὴ περὶ πάντων ἀκούειν καὶ μηδὲν
5 ἀνεξέταστον παραλίπητε. ταυτὶ μὲν οὖν ἦν ἀναγκαῖον προει-
πεῖν, ὥστε τὴν ἀρχὴν ὑμᾶς ἐπὶ τοῦ πράγματος γενέσθαι· νυνὶ
δὲ ἐπ᾽ αὐτὸ βαδιοῦμαι, τοσοῦτον ὑπειπών, ὅτι μοι προσήκειν
δοκεῖ πάντα μὲν πράττειν δικαίως καὶ καλῶς τὰ κατὰ τὸν
βίον, ἄλλως τε τοὺς δημοσίᾳ ποιοῦντας ὁτιοῦν· οὐ μόνον
ἐπειδὴ τὰ κοινὰ ὑπάρχει φανερώτερα ὧν ἂν ἕκαστος ἰδίᾳ
πράττῃ μὴ δέον, ἀλλὰ καὶ δι᾽ ἐκεῖνο, ὅτι τὰ μὲν τῶν ἰδιωτῶν
ἁμαρτήματα οὐκ εὐθὺς ἀποφαίνει τὴν πόλιν φαύλην, ἐκ δὲ
τῶν δημοσίᾳ γιγνομένων οὐχ ὃν προσήκει τρόπον ἀνάγκη δο-
6 κεῖν καὶ τοὺς καθ᾽ ἕνα μοχθηρούς. ὁποῖοι γὰρ ἂν ὦσιν οἱ

5. ἀκούσεσθε. ἀκούσεσθαι M, ἀκούσαισθε Reisk. ‖ 6. ὑπάρχῃ. ὑπάρχοι BM. ‖ οὔθ᾽. οὐδ᾽ Geel. ‖ 8. ἀφελοῦσι. malim ἂν ἀφελοῦσι. ἂν ἀποβαλοῦσί τι Geel. ‖ συνέφερε. συμφέροι Geel. — 4, 2. οὐθὲν ἂν Reisk., ἂν om. reliq. ‖ 3. ὠφελεῖσθε. ὠφελεῖσθαι M. ‖ 4. δέον εὑρεῖν BM, εὑρεῖν om. reliq., εὑρήσειν addebat Casaub. ‖ 5. ἔχει Reisk., ἕξει reliq. ‖ 7. δ᾽. δὲ M. ‖ 8. πάντας. πάντα BM. ‖ 9. καὶ μηδένα — τοιούτων om. B. ‖ 11. σύνιτε. συνεῖτε M. ‖ 14. παραλίπητε. παραλίπηται BM. — 5, 1. ταυτὶ. ταυτὴ M (ὴ in rasura). ‖ οὖν ἦν BM, ἦν om. reliq. ‖ προειπεῖν. προσειπεῖν mrg. m. ‖ 3. μοι. ποι r. ‖ 4. τὰ κατὰ M, τὰ om. reliq. ‖ 5. τε. τε καὶ Reisk. ‖ 6. ἂν om. B. ‖ 8. ἀποφαίνει. ἀποφαίνειν m.

πλείους ἐν δημοκρατίᾳ, τοιοῦτο φαίνεται καὶ τὸ κοινὸν ἦθος·
τὰ γὰρ τούτοις ἀρέσκοντα ἰσχύει δήπουθεν, οὐχ ἕτερα. μά-
λιστα δ' ἂν φαίην ἔγωγε τοῖς καλλίστοις καὶ σεμνοτάτοις
οἰκεῖον εἶναι χρῆσθαι προσέχοντας· παρ' οἷς γὰρ τὰ τοιαῦτα
ἀμελεῖται, καὶ κακίαν τινὰ ἐμφανιεῖ τῆς πόλεως, τῶν τε ἄλλων
7 οὐδὲν οἷόν τε ἐπιτηδείως πράττεσθαι. καὶ μὴν ὅτι γε τῶν 312 M. 568 R.
πρὸς τοὺς θεοὺς ἐξηρημένων, ἃ δεῖ μέγιστα ἡγεῖσθαι, τῶν
λοιπῶν οὐδέν ἐστι κάλλιον οὐδὲ δικαιότερον ἢ τιμᾶν τοὺς
ἀγαθοὺς ἄνδρας καὶ τῶν εὖ ποιησάντων μεμνῆσθαι, νομίζω
μηδὲ λόγου δεῖσθαι· καίτοι καὶ τὸ συμφέρον οὐχ ἥκιστα ἐν
τούτῳ τις ἂν ἴδοι. τοὺς γὰρ σπουδαίους ὄντας περὶ τοὺς
εὐεργέτας καὶ τοῖς ἠγαπηκόσι δικαίως χρωμένους πάντες
ἡγοῦνται χάριτος ἀξίους καὶ βούλοιτ' ἂν ἕκαστος ὠφελεῖν
κατὰ τὴν ἑαυτοῦ δύναμιν· ἐκ δὲ τοῦ πολλοὺς ἔχειν τοὺς εὐ-
νοοῦντας καὶ συμπράττοντας, ὅταν ᾖ καιρὸς, καὶ πόλις πᾶσα
8 καὶ ἰδιώτης ἀσφαλέστερον διάγει. ταῦτα τοίνυν ἡγεῖσθε,
ἄνδρες Ῥόδιοι, πάνυ φαύλως παρ' ὑμῖν ἔχοντα καὶ τῆς πόλεως
οὐκ ἀξίως, τὰ περὶ τοὺς εὐεργέτας λέγω καὶ τὰς τιμὰς τῶν
ἀγαθῶν ἀνδρῶν· οὐκ ἀρχῆθεν ὑμῶν οὕτω τῷ πράγματι χρω-
μένων· πόθεν; τοὐναντίον γὰρ, ὥσπερ ἄλλο τι τῶν ὑμετέρων
διαφερόντως ἄν τις ἀποδέξαιτο καὶ θαυμάσειεν, οὕτω μοι
δοκεῖτε καὶ τιμῆς μάλιστα προνοῆσαι· γνοίη δ' ἄν τις εἰς τὸ
τῶν εἰκόνων πλῆθος ἀπιδών· μοχθηροῦ δὲ ἄλλως κατεσχη-
κότος ἔθους ἔκ τινος χρόνου καὶ μήτε τιμωμένου λοιπὸν παρ' 569 R.
ὑμῖν μηδενὸς, εἰ βούλεσθε τἀληθὲς εἰδέναι, τῶν τε πρότε-
ρον γενναίων ἀνδρῶν καὶ περὶ τὴν πόλιν προθύμων, οὐκ
ἰδιωτῶν μόνον, ἀλλὰ καὶ βασιλέων καί τινων δήμων ὑβριζο-

6, 2. δημοκρατίᾳ. δημοκρατεία M. ‖ 6. ἐμφανιεῖ. ἐμφανεῖ B, ἐμφαίνει M. — 7, 2. δεῖ BM. Casaub. r, δῆ v, δὴ m. ‖ 3. οὐδὲ BM, ἢ reliq. ‖ 5. οὐχ ἥκιστα ἐν τούτῳ BM, ἐν τούτῳ οὐχ ἥκιστα reliq. ‖ 8. χάριτος. καὶ χάριτος M. ‖ 9. δύναμιν· ἐκ δὲ τοῦ. sic dedi. δύναμιν ἑκάστου M (corr. δύναμιν ἑκάστου καὶ), δύναμιν ἑκάστους καὶ reliqui, unde δύναμιν αὐτοὺς καὶ Reisk., δύναμιν ἑκάστοτε καὶ Iacobs. Add. p. 160. totum locum sic constituit Hemsterh. apud Geelium: δύναμιν ἑκάστοτε, καὶ τῷ πολλοὺς, Pflugkius ita: καὶ βούλοιντ' ἂν ὠφελεῖν κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος, καὶ τῷ πολλούς. In his particula καὶ non recte nectuntur enunciationes. ‖ 11. ἰδιώτης. ἰδιώτης οὕτως Reisk. ‖ διάγει. διάγῃ M. — 8, 6. τις. τις καὶ τοῦτο Reisk. ‖ οὕτω. οὕτως M. ‖ 7. τιμῆς. τῆς τούτων τιμῆς Reisk. ‖ γνοίη. γνώῃ M. ‖ 10. βούλεσθε. βούλεσθαι BM. ‖ πρότερον BM, προτέρων καὶ reliq. ‖ 12. μόνον BM. Reisk., μόνων reliq.

9 *μένων καὶ τὰς τιμὰς ἀποστερουμένων. ὅταν γὰρ ψηφίσησθε
ἀνδριάντα τινί· ῥᾳδίως δὲ ὑμῖν ἔπεισι τοῦτο νῦν ὡς ἂν ἄφθο-
νον ὑπάρχον· ἐκεῖνο μὲν οὐκ ἂν αἰτιασαίμην, τὸ χρόνον τινὰ
καὶ διατριβὴν προσεῖναι· τοὐναντίον γὰρ εὐθὺς ἕστηκεν ὃν
ἂν εἴπητε, μᾶλλον δὲ καὶ πρότερον ἢ ψηφίσασθαι· συμβαίνει
δὲ πρᾶγμα ἀτοπώτατον· ὁ γὰρ στρατηγὸς ὃν ἂν αὐτῷ φανῇ
τῶν ἀνακειμένων τούτων ἀνδριάντων ἀποδείκνυσιν· εἶτα τῆς
μὲν πρότερον οὔσης ἐπιγραφῆς ἀναιρεθείσης, ἑτέρου δ' ὀνό-
ματος ἐγχαραχθέντος, πέρας ἔχει τὸ τῆς τιμῆς, καὶ λοιπὸν
τέτευχε τῆς εἰκόνος ὁ δόξας ὑμῖν ἄξιος, πάνυ ῥᾳδίως οἶμαι
καὶ λυσιτελῶς οὑτωσὶ σκοπουμένοις· ὥστε θαυμαστὴν εἶναι* 313 M
*τὴν εὐπορίαν καὶ τὸ πρᾶγμα εὐχῆς ἄξιον, εἰ μόνοις ὑμῖν ἔστιν
ὃν ἂν βούλησθε ἑστάναι χαλκοῦν δίχα ἀναλώματος καὶ μηδε-
μίαν δραχμὴν μήτε ὑμῶν καταβαλόντων μήτε τῶν τιμωμένων.*
10 *τίς γὰρ οὐκ ἂν οὕτως ἀγασθείη τῆς σοφίας τὴν πόλιν; ἀλλ'
οἶμαι πολλὰ τῶν ἐν τῷ βίῳ γιγνομένων καὶ μετὰ πόνου πλείο-
νος καὶ δαπάνης οὐ σμικρᾶς ἔστι προῖκα καὶ πάνυ ῥᾳδίως
ποιεῖν, εἴ τις ἀμελεῖ τοῦ προσήκοντος καὶ τοῦ πράττειν ἀλη-
θῶς. οἷον εὐθὺς τὰς θυσίας, ἃς ἑκάστοτε τελοῦμεν τοῖς
θεοῖς, ἔστι μὴ θύσαντας φάσκειν τεθυκέναι μόνον, ἂν δοκῇ,
στεφανωσαμένους καὶ τῷ βωμῷ προσελθόντας καὶ τῶν οὐλῶν
θιγγάνοντας καὶ τἆλλα ποιοῦντας ὡς ἐφ' ἱερουργίας. τί δ';* 570 R
*οὐχὶ ταὐτὸ ἱερεῖον ἅπασιν ἐν κύκλῳ τοῖς ἀγάλμασι προσαγαγόν-
τας, τῷ τοῦ Διός, τῷ τοῦ Ἡλίου, τῷ τῆς Ἀθηνᾶς, καὶ παν-
ταχῇ κατασπείσαντας πᾶσιν οἴεσθαι τεθυκέναι τοῖς θεοῖς οὐ*
11 *ῥᾴδιον; τίς δ' ὁ κωλύσων; ἐὰν δὲ δὴ βωμὸν ἢ ναὸν νῦν τινος
ἱδρύσασθαι θελήσωμεν· καὶ γὰρ εἰ πάντων εἰσὶ παρ' ὑμῖν
τῶν θεῶν, οὐκ ἀδύνατον οἴομαι καὶ κρείττω κατασκευάσαι
τοῦ πρότερον καὶ διὰ πλειόνων τιμᾷν προελέσθαι τὸν αὐτόν·
ἆρ' οὐχ ἕτοιμον ἐξοικίσαι τινὰ τῶν ἄλλων θεῶν ἢ μετενεγκεῖν*

9, 4. προσεῖναι. προσιέναι BM. ‖ 5. εἴπητε BM, εἴποιτε reliq. ‖ ψηφίσασθαι. ἐψηφίσασθε M. ‖ 6. ὃν M, ὃς reliq. ‖ 11. οὑτωσί. οὕτως εἰ M. ‖ 13. βούλησθε B, βούλοισθε reliq. ‖ ἑστάναι BM, ἱστάναι reliq. ‖ 14. καταβαλόντων BM, καταβαλλόντων reliq. — 10, 7. οὐλῶν Vales. p. 57, ὀδῶν M, οὐδῶν reliq. ‖ 9. ταὐτό. ταὐτὸ ἔξεστιν Reisk., τοὺς τὸ αὐτὸ Casaub. ‖ προσαγαγόντας. sic dedi. προσάγοντας BM, περιπροσάγοντας reliq., πέριξ προσάγοντας Casaub. ‖ 11. οἴεσθαι. οἴεσθε B. m. ‖ 12. κωλύσων. κωλύων v. — 11, 2. θελήσωμεν. θελήσομεν B. ‖ 4. τοῦ. τῶν Reisk. ‖ 5. ἆρ'. ἄρ' M.

τι τῶν ἤδη καθιερωμένων; ἢ καὶ τὴν ἐπιγραφὴν ἀλλάξαι
μόνον, ὃ νῦν ποιοῦμεν; καίτοι τὸν μὲν Ἀπόλλω καὶ τὸν Ἥλιον
καὶ τὸν Διόνυσον ἔνιοί φασιν εἶναι τὸν αὐτόν, καὶ ὑμεῖς οὕτω
νομίζετε· πολλοὶ δὲ καὶ ἁπλῶς τοὺς θεοὺς πάντας εἰς μίαν
τινὰ ἰσχὺν καὶ δύναμιν συνάγουσιν· ὥστε μηδὲν διαφέρειν τὸ 311 R.
τοῦτον ἢ ἐκεῖνον τιμᾶν. ἐπὶ δὲ τῶν ἀνθρώπων οὐθέν ἐστι
τοιοῦτον· ἀλλ' ὁ διδοὺς τὰ τοῦδε ἑτέρῳ τοῦτον ἀφῄρηται
12 τῶν ἑαυτοῦ. νὴ Δία, ἀλλ' οὐχ ὅμοιον τὸ παραβαίνειν τὰ
πρὸς τοὺς θεοὺς ἢ τὰ πρὸς τοὺς ἀνθρώπους; οὐδ' ἐγώ φημι.
παραβαίνειν δὲ ὅμως ἔστι καὶ τὰ πρὸς τούτους, ὅταν τις αὐ-
τοῖς μὴ ὑγιῶς προσφέρηται μηδὲ τοὺς μὲν εἰληφότας ἐῶν
ἔχειν ἅ γε δικαίως ἔλαβον, τοῖς δὲ ἀξίοις δόξασι τῶν αὐτῶν
ὃ φησιν ὄντως διδούς, ἀλλὰ τοὺς μὲν ἀποστερῶν τῆς δωρεᾶς, 314 M.
13 τοὺς δὲ ὥσπερ ἐνεδρεύων καὶ παραλογιζόμενος. ἡ μὲν οὖν
φύσις τοῦ πράγματος ὁμοία, καὶ τὸ ποιεῖν ὁτιοῦν μετὰ ἀπά-
της καὶ φενακισμοῦ καὶ τῆς ἐσχάτης μικρολογίας ταὐτό· δια- 312 R.
φέρει δ', ὅτι τὰ μὲν περὶ τοὺς θεοὺς γιγνόμενα μὴ δεόντως
ἀσεβήματα καλεῖται, τὰ δὲ πρὸς ἀλλήλους τοῖς ἀνθρώποις
ἀδικήματα. τούτων τὴν μὲν ἀσέβειαν ἔστω μὴ προσεῖναι τῷ
νῦν ἐξεταζομένῳ πράγματι· τὸ λοιπὸν δέ, εἰ μὴ δοκεῖ φυλα-
14 κῆς ὑμῖν ἄξιον, ἀφείσθω. καίτοι καὶ τὴν ἀσέβειαν εὕροι τις
ἂν ἴσως τῷ τοιούτῳ προσοῦσαν· λέγω δὲ οὐ περὶ ὑμῶν οὐδὲ
περὶ τῆς πόλεως· οὔτε γὰρ ὑμῖν ποτε ἔδοξεν οὔτε δημοσίᾳ
γέγονεν· ἀλλ' αὐτὸ σκοπῶν κατ' ἰδίαν τὸ πρᾶγμα. τὰ γὰρ
περὶ τοὺς κατοιχομένους γιγνόμενα οὐκ ὀρθῶς ἀσεβήματα
κέκληται καὶ τῆς προσηγορίας ταύτης τυγχάνει παρὰ τοῖς
νόμοις, εἰς οὓς ἂν ποτε ᾖ· τὸ δ' εἰς ἄνδρας ἀγαθοὺς καὶ τῆς
πόλεως εὐεργέτας ὑβρίζειν καὶ τὰς τιμὰς αὐτῶν καταλύειν
καὶ τὴν μνήμην ἀναιρεῖν ἐγὼ μὲν οὐχ ὁρῶ πῶς ἂν ἄλλως ὀνο-

6. τι τῶν BM, τι om. reliq. ‖ 9. τοὺς θεοὺς πάντας. πάντας τοὺς θεοὺς B. ‖ 11. τι-
μᾶν om. M. ‖ οὐθὲν BM, οὐδὲν reliq. ‖ 13. ἑαυτοῦ. αὐτοῦ r. — 12, 3. ὅμως.
ὁμοίως Reisk. ‖ ἔστι καὶ τὰ πρὸς Obs. p. 34, ἔστιν ἐνίοτε πρὸς reliqui, unde ἔστι
δίκαια τὰ πρὸς Casaub., ἔστιν εἰκὸς τὰ πρὸς Koen. ad Gregor. Cor. p. 131 ed.
Schaef., ἔστιν ἑκάστοτε τὰ πρὸς Reisk. ‖ 4. μηδέ. μηδὲ δικαίως Reisk., μὴ Geelius.
nihil mutaverim. ‖ 5. ἀξίως Reisk., αἰτίως reliq. ‖ 6. φησιν M. r, φησι δοῦναι
Casaub., φασιν reliq. — 13, 7. λοιπὸν δέ. λοιπὸν δέ, τί συμβήσεται Reisk. ‖
δοκεῖ. δοκῇ BM. — 14, 4. σκοπῶν BM, σκοπῶ reliq. ‖ τὰ γὰρ BM. mrg. m, γὰρ
om. reliq. ‖ 5. γιγνόμενα M, γινόμενα reliq.

μάζοιτο· ἐπεὶ καὶ τοὺς ζῶντας εὐεργέτας οἱ ἀδικοῦντες οὐκ
15 ἂν εὐλόγως εἶεν ἀπηλλαγμένοι τοῦδε τοῦ ὀνείδους. οἱ γοῦν
περὶ τοὺς γονεῖς ἐξαμαρτάνοντες, ὅτι τῆς πρώτης καὶ μεγί-
στης ὑπῆρξαν εὐεργεσίας εἰς ἡμᾶς, εἰκότως ἀσεβεῖν δοκοῦσιν.
καὶ τὸ μὲν τῶν θεῶν ἴστε δήπουθεν, ὅτι κἂν σπείσῃ τις αὐ-
τοῖς κἂν θυμιάσῃ μόνον κἂν προσάψηται, μεθ' ἧς μέντοι
προσήκει διανοίας, οὐθὲν ἔλαττον πεποίηκεν· οὐδὲ γὰρ δεῖται
τῶν τοιούτων οὐθενὸς ἴσως ὁ θεός, οἷον ἀγαλμάτων ἢ
θυσιῶν· ἄλλως δὲ οὐ μάτην γίγνεται ταῦτα, τὴν προθυ-
16 μίαν ἡμῶν καὶ τὴν διάθεσιν ἐμφαινόντων πρὸς αὐτούς. οἱ
δὲ ἄνθρωποι δέονται καὶ στεφάνου καὶ εἰκόνος καὶ προε-
δρίας καὶ τοῦ μνημονεύεσθαι. καὶ πολλοὶ καὶ διὰ ταῦτα
ἤδη τεθνήκασιν, ὅπως ἀνδριάντος τύχωσι καὶ κηρύγμα-
τος ἢ τιμῆς ἑτέρας καὶ τοῖς αὖθις καταλίπωσι δόξαν τινὰ
ἐπιεικῆ καὶ μνήμην ἑαυτῶν. εἰ γοῦν τις ὑμῶν πύθοιτο,
ἁπάντων τῶν τοιούτων ἀνῃρημένων καὶ μηδεμιᾶς εἰς ὕστερον
μνήμης ἀπολειπομένης μηδὲ ἐπαίνου τῶν εὖ πραχθέντων εἰ
καὶ πολλοστὸν ἡγεῖσθε μέρος ἂν γεγονέναι τῶν θαυμαζομέ-
νων παρὰ πᾶσιν ἀνδρῶν, ἢ τῶν ἐν πολέμῳ ποτὲ προθύμως
ἠγωνισμένων ἢ τῶν τυράννους καθῃρηκότων ἢ τῶν ἑαυτοὺς
ἢ τέκνα προεμένων οὕνεκα κοινῆς σωτηρίας ἢ τῶν πόνους
μεγάλους πονησάντων ὑπὲρ τῆς ἀρετῆς, ὥσπερ Ἡρακλέα
φασὶ καὶ Θησέα καὶ τοὺς ἄλλους ἡμιθέους ποτὲ ἥρωας· οὐκ
17 ἂν οὐθένα εἰπεῖν οἴομαι. τὸ γὰρ προκαλούμενον ἕκαστον
καὶ κινδύνων καταφρονεῖν καὶ πόνους ὑπομένειν καὶ τὸν μεθ'
ἡδονῆς καὶ ῥαθυμίας ὑπερορᾶν βίον οὐκ ἂν ἄλλο τις εὕροι
παρά γε τοῖς πλείοσιν. τοῦτό ἐστι τὸ ποιοῦν ἐν ταῖς μάχαις
τοὺς ἀγαθοὺς ἄνδρας ἔμπροσθεν εὑρίσκεσθαι τετρωμένους
καὶ μὴ μεταστραφέντας οἴχεσθαι, πολλάκις ἑτοίμου τῆς σωτη-
ρίας ἀποκειμένης. διὰ τοῦτό φησιν ὁ ποιητὴς τὸν Ἀχιλλέα
μὴ θελῆσαι γηράσαντα ἀποθανεῖν οἴκοι καὶ τὸν Ἕκτορα
μόνον στῆναι πρὸ τῆς πόλεως, εἰ δέοι, πᾶσι μαχούμενον.

15, 3. ὑπῆρξαν εὐεργεσίας. εὐεργεσίας ὑπῆρξαν M. ‖ 4. σπείσῃ. ἐπεισι M. ‖ 5. κἂν. κἂν κανοῦ Hemsterh. apud Geelium. ‖ 8. ἄλλως. ὅμως Geel. p. 105. — 16, 7. τῶν τοιούτων M, τῶν ὑπὲρ τοιούτων reliq. ‖ καὶ delebat Reisk. ‖ 8. εἰ καὶ r, εἰς B. vm, εἰ M. Casaub. ‖ 9. ἡγεῖσθε. ἡγεῖσθαι B. vm. ‖ 12. προεμένων. προῃρημένων B. m, προειρημένων (corr. vulg.) M. ‖ 13. πονησάντων BM. Casaub. r, ποιησάντων vm. ‖ 14. ποτὲ BM, τε καὶ reliq. — 17, 4. πλείοσιν M, πλείοσι reliq.

18 τοῦτο ἦν τὸ ποιῆσαν Λακεδαιμονίων τινὰς ἐν τοῖς στενοῖς ἀν-
τιτάξασθαι πρὸς τοσαύτας Περσῶν μυριάδας. τοῦτο ἐποίησε
τοὺς ὑμετέρους προγόνους ἅπασαν γῆν καὶ θάλατταν ἐμπλῆ-
σαι τροπαίων καὶ τῆς λοιπῆς Ἑλλάδος τρόπον τινὰ ἐσβεσμέ-
νης μόνους ἐφ' αὑτοῖς διαφυλάξαι τὸ κοινὸν ἀξίωμα τῶν Ἑλ-
λήνων εἰς τὸν νῦν παρόντα χρόνον. ὅθεν εἰκότως μοι δοκεῖτε
19 μεῖζον ἁπάντων ἐκείνων φρονεῖν. οἱ μὲν γὰρ ἐν ἀρχῇ τὰ
πρὸς τοὺς βαρβάρους εὐτυχήσαντες καὶ λαμπροὶ φανέντες τὰ
λοιπὰ ἐξήμαρτον, φθόνου μᾶλλον καὶ ἀνοίας καὶ φιλονεικίας
ἤπερ ἀρετῆς ἐπίδειξιν ποιούμενοι, μέχρι μηδενὸς ἔξωθεν ἐνοχ-
λοῦντος αὐτοὶ παρείθησαν καὶ πάντα ἤδη τὸν βουλόμενον
εἶναι δεσπότην ἐκάλουν. ὑμεῖς δὲ τοσούτους πολέμους κα-
τωρθωκότες ἅπαντας οὐχ ἧττον καλῶς ἀνείλεσθε ἢ γενναίως 575 R.
20 ἐπολεμήσατε. πλὴν ἐκεῖνό γε δῆλόν ἐστιν, ὅτι μήτε ὑμεῖς μήτε
ἄλλοι τινές, οἳ δοκοῦσιν Ἑλλήνων ἢ βαρβάρων μεγάλοι γενέ- 316 M.
σθαι, δι' ἄλλο τι προῆλθον εἰς δόξαν καὶ δύναμιν ἢ τῶν
κατὰ μέρος φιλοτίμων τυχόντες καὶ περὶ πλείονος τοῦ ζῆν
ἡγουμένων τὴν ὕστερον εὐφημίαν. ἡ γὰρ στήλη καὶ τὸ ἐπί-
γραμμα καὶ τὸ χαλκοῦν ἑστάναι μέγα δοκεῖ τοῖς γενναίοις ἀν-
δράσι, καὶ μισθὸς οὗτος ἄξιος τῆς ἀρετῆς, τὸ μὴ μετὰ τοῦ
σώματος ἀνῃρῆσθαι τὸ ὄνομα μηδ' εἰς ἴσον καταστῆναι τοῖς
μὴ γενομένοις, ἀλλὰ ἴχνος τι λείπεσθαι καὶ σημεῖον, ὡς ἂν
21 εἴποι τις, τῆς ἀνδραγαθίας. τοὺς ἀγωνιστὰς τούτους ὁρᾶτε,
ὅσα πάσχουσι γυμναζόμενοι, δαπανῶντες, τὸ τελευταῖον ἀπο-
θνήσκειν αἱρούμενοι πολλάκις ἐν αὐτοῖς τοῖς ἄθλοις. τί οὖν; 576 R.
εἴ τις ἀνέλοι τὸν στέφανον, οὗ χάριν φιλοτιμοῦνται, καὶ τὴν
ἐπιγραφὴν τὴν ἐσομένην Ὀλυμπίασιν ἢ Πυθοῖ τῆς νίκης, ἆρ'
οἴεσθε μίαν ἡμέραν αὐτοὺς ἀνέξεσθαι τὸν ἥλιον μόνον, οὐχ
ὅπως τὰ ἄλλα ὅσα τῷ πράγματι πρόσεστιν ἀηδῆ καὶ χαλεπά;
τί δαί; ἂν γένηται δῆλον αὐτοῖς, ὅτι τὴν εἰκόνα, ἣν ἂν στή-
σωσιν, ἕτερος αὑτοῦ ποιήσεται, τὸ μὲν τοῦ θέντος ὄνομα

18, 1. ταῦτα ἦν τὸ BM. Obs. p. 34, τοῦτ' ἦν reliq. (om. τό). ‖ 3. ἐμπλῆσαι BM, ἐκπλῆσαι reliq. ‖ 5. ἐφ' αὑτοῖς Reisk. (idem ἐφ' αὑτῶν), ἀφ' ἑαυτοὺς B, ἀφ' αὑτοὺς v, ἐφ' αὑτοὺς reliqui. posuit ἔτ' αὐτοῖς. ‖ 7. μεῖζον ἁπάντων B. Reisk., μείζονα πάντων M, μείζονα ἁπάντων reliq. — 19, 5. αὐτοί. αὐτοῖς M. ‖ 7. ἅπαντας. ἅπαντα m. — 20, 2. οἵ. ὅσοι Reisk. ‖ 4. φιλοτίμων Reisk., φιλοτιμιῶν reliq. ‖ 5. ἡγουμένων BM. var. l. v. r, ἡγούμενοι vm. ‖ στήλη BM. Casaub. r, στόλη v, στολή m. — 21, 8. δαί; ἂν. δ' ἐὰν M. ‖ 9. αὑτοῦ. αὐτοῦ M. ‖ ποιήσε-

ἀνελὼν, αὐτὸν δὲ ἐπιγράψας· ἔτι θεασόμενον ἡγεῖσθε ἐλθεῖν
ἄν τινα ἐκεῖσε, οὐχ ὅπως ἀγωνιούμενον; ὅθεν οἶμαι καὶ βα-
22 σιλεῖς ἐπιδικάζονται τῆς τοιαύτης μαρτυρίας. ἅπασι γάρ ἐστιν
περὶ πολλοῦ τὰ τῆς ἀρετῆς σύμβολα, καὶ οὐδεὶς αἱρεῖται τῶν
πολλῶν, ὅ τι ἂν οἴηται καλὸν εἶναι, μόνον αὐτῷ πεπρᾶχθαι,
μηδένα δὲ εἰδέναι. πρὸς τοῦ Διὸς, ἆρα ἀγνοεῖτε τοῦτο τὸ
ἔργον οὐκ ἐκείνους μόνον ἀτίμους ποιεῖν, ἀλλὰ καὶ τὴν πόλιν
ἔρημον τῶν εὐνοησόντων καὶ προθυμησομένων ὑπὲρ αὐτῆς;
μηδὲ γὰρ ἐκεῖνο εἰσέλθῃ μηδένα ὑμῶν, ὅτι εἴπερ ἄρα μίαν
τιμὴν καταλύσετε, τὴν τῶν εἰκόνων, αἱ λοιπαὶ δή εἰσιν ἀναφ- 317 R
αίρετοι. πρῶτον μὲν γὰρ οἱ τὴν μεγίστην ἀναιροῦντες καὶ
ἧς μάλιστα ἕκαστος ἐπιθυμεῖ τυγχάνειν ὁμολογοῦσι δήπουθεν
ἐκ τοῦ πλείονος μέρους τὴν πόλιν βλάπτειν· εἴ γέ φασι βλα-
23 βερὸν εἶναι τὸ πάσας αὐτὰς καταλελύσθαι. πρὸς τούτῳ δὲ
κἀκεῖνό ἐστιν, ὅτι παρ' οἷς ἂν ἕν τι κινηθῇ, παρ' ἐκείνοις 311 M
κεκίνηται πάντα ὁμοίως, καὶ τῶν παραπλησίων βέβαιον οὐθέν
ἐστιν. οἱ γὰρ τὴν αἰτίαν παραβάντες, καθ' ἣν οὐκ ἂν ἐδό-
κει τι συμβῆναι, καὶ ταύτην παρ' οὐδὲν ἡγησάμενοι πάντα
λελύκασιν, ἃ τὴν αὐτὴν εἶχε πρόφασιν τοῦ μένειν βέβαια.
οἷον εἴ τις μίαν λύσαι τῶν τιμωριῶν ἡντιναοῦν, οὐδὲ τῶν
24 ἄλλων οὐδεμίαν ἰσχυρὰν καταλέλοιπεν. εἰ δέ γέ τις τὴν μεγί-
στην ἀνέλοι, φυγὴν ἢ θάνατον, τά γε ἐλάττω τῶν ἐπιτιμίων
λοιπὸν ἀνάγκη μηδὲ γεγράφθαι δοκεῖν. ὥσπερ οὖν οἱ παρα-
χαράττοντες τὸ νόμισμα, κἂν μέρος λυμήνωνται, τὸ σύμπαν
διεφθαρκέναι δοκοῦσιν ὑπαίτιον ποιήσαντες, ὁμοίως οἱ τῶν
τιμῶν τινας ἢ τῶν τιμωριῶν ἀναιροῦντες ὅλον τὸ πρᾶγμα κα-
25 ταλύουσι καὶ τοῦ μηδενὸς ἄξιον δεικνύουσιν. καὶ μὴν εἴ τίς
με ἔροιτο τοῦτο, μεγίστην ὡς οἷόν τε ἑκατέρων βλάβην φερόν-

ται. ποιήσηται B. ‖ 10. αὐτὸν. αὐτὸν M. ‖ ἔτι BM, ἔτι δὲ reliq. ‖ θεασόμενον BM. Casaub. r, θεασάμενον vm. ‖ ἡγεῖσθε. ἡγεῖσθαι BM. ‖ 11. ὅθεν — εἰδέναι suspecta Geelio, cui videntur post ἀνδραγαθίας § 20 extrem. transponenda. — 22, 2. σύμβολα. σύμβουλα (corr. vulg.) M. ‖ 3. αὐτῷ. αὐτῷ M, αὐτὸ m. ‖ 5. μόνον BM, μόνους reliq. ‖ ποιεῖν. ποιοῦν B. ‖ τὴν. τῆς (superscr. vulg.) M. ‖ 8. δή. δὲ M. ‖ 12. καταλελύσθαι BM, καταλύεσθαι reliq. — 23, 1. τούτῳ BM. Reisk., τοῦτο reliq. ‖ 3. οὐθέν BM. r, οὐθέν οὐκ ἓν v, οὐθὲν οὐχ ἓν m. ‖ 4. καθ' ἣν οὐκ ἂν BM, δι' ἣν οὐκ ἂν reliqui, δι' ἣν ποτ' ἂν (et infra συμμεῖναι) Geel. ‖ 5. συμβῆναι. malim λυθῆναι. — 24, 1. δέ γέ M, γε om. reliq. ‖ 2. ἐπιτιμίων. ἐπιτιμιῶν M. ‖ 5. ὑπαίτιον. ὕποπτον Geel. ‖ 6. ἢ τῶν τιμωριῶν delebat Reiskius, frustra. ‖ 7. δεικνύουσιν M, δεικνύουσι reliq. — 25, 2. τοῦτο. τί τὴν B, τὴν M. ‖ οἷόν τε.

των, τοῦ τε τὰς τιμὰς ἀπίστως ἔχειν καὶ τοῦ τὰς τιμωρίας
ἀσθενῶς, εἰ μὴ δυνατὸν ἀμφότερα εὐλαβηθῆναι, πότερον 578 R.
αὐτῶν ἐπιεικέστερον κρίνω καὶ μετριωτέρων ἀνθρώπων· οὐκ
ἂν διστάσας τὸ περὶ τὰς τιμωρίας εἴποιμι· εἴ γε τοῦτο μὲν
ἔστιν ἀνενεγκεῖν εἰς φιλανθρωπίαν, εἰς ἔλεον, εἰς ἄλλα τοιαῦ-
τα, ἅπερ ἐστὶν οἰκεῖα τοῖς χρηστοῖς· τὸ δὲ τῶν ἀρίστων ἀν-
δρῶν ἐπιλανθάνεσθαι καὶ τὰ τῆς ἀρετῆς ἆθλα ἀποστερεῖν
οὐκ ἔνι τυγχάνειν οὐδεμιᾶς εὐπρεποῦς προφάσεως, ἀλλ' ἀχα-
ριστίᾳ, φθόνῳ, σμικρολογίᾳ, ἅπασι τοῖς αἰσχίστοις ἀνάγκη
προσήκειν. ἔτι δὲ οἱ μὲν τοὺς ὄντας πονηροὺς ἧττον κατείρ-
γουσι τὰς κολάσεις ἀνιέντες, οἱ δὲ αὐτοὶ τὰ μέγιστα ἐξαμαρ-
τάνουσι περὶ τοὺς εὐεργέτας. τοσούτῳ δὲ τοῦτο ἐκείνου κά-
κιον, ὅσῳ τὸ αὐτὸν ἀδικεῖν τοῦ μὴ σφόδρα κωλύειν ἕτερον.
26 οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι μὴ τοῦτο ὑπάρχει μέ-
γιστον τῶν δεδομένων τισί· δίχα γὰρ τοῦ πᾶσιν εἶναι φανερὸν
ἑαυτοῖς ἐναντία ἐροῦσιν οἱ λέγοντες. φασὶ γὰρ ἀνάγκην εἶναι
πολλοὺς ἐν τῷ παρόντι τιμᾶν τῶν ἡγουμένων, οἷς ἅπασιν εἰ- 318 M.
κόνας εἰ δεήσει κατασκευάζεσθαι, μεγάλην τινὰ ἔσεσθαι τὴν
δαπάνην, ὡς τάς γε ἄλλας τιμὰς οὐκ οὔσας κατ' αὐτοὺς οὐδὲ 579 R.
27 ἀποδεξομένων αὐτῶν ὡς πολὺ ἐλάττους. τὸ μὲν δὴ τῆς δα-
πάνης οἷόν ἐστιν, ὄψεσθε μετὰ μικρόν· τὸ δὲ μεγίστην εἶναι
τῶν τιμῶν, ἣν ἀφαιροῦνται τοὺς εἰληφότας πρότερον, ἐκ
τούτων ὡμολόγηται. καὶ μὴν ἀτόπου γε ὄντος τοῦ τινα παρ-
εῖναι τῶν ἀξίων τιμῆς καὶ μηδεμίαν παρασχεῖν ἀμοιβὴν τῆς
εὐεργεσίας, ὡς πάντων μάλιστα ἀνάγκη τούτοις ὁμολογεῖν,
οἳ καὶ τὸ μετριώτερον τιμῆσαί τινα τῆς ἀξίας δεινὸν οἴονται·
τὸ τιμήσαντας, ἔπειτα δ' οὐδὲν αἰτιωμένους ἀφαιρεῖσθαι τὰ
δοθέντα πῶς οὐχ ὑπερβολὴν ἀδικίας ἔχει; τὸ μέν γε ἀχαρι-

οἴονται M. ‖ 3. τοῦ τε τάς. τοῦ περὶ τὰς (et mox καὶ τοῦ περὶ τάς) Reiskius, frustra. ‖ 5. ἐπιεικέστερον M, ἐπιεικεστέρων reliq. ‖ 6. τὸ. αὐτὸ (corr. vulg.) M. ‖ 10. εὐπρεποῦς M. Reisk., εὐπρεπῶς reliq. ‖ ἀχαριστίᾳ Reisk., ἀχαριστεία M, ἀχαριστία reliq. ‖ 11. φθόνῳ Reisk., φθόνως M, φθόνος reliq. ‖ σμικρολογίᾳ. sic dedi. σμικρολογία B, μικρολογίᾳ Reisk., μικρολογία reliq. ‖ ἅπασι. πᾶσι M, ἃ πᾶσι B. Casaub., qui supra nominativos servabat. ‖ 14. κάκιον. κάκιστον M. ‖ 15. αὐτὸν B. Casaub. r, αὐτὸν M, αὐτὸ vm. — 26, 6. τάς γε. τάς τε BM. ‖ 7. ἀποδεξομένων Casaub. r, ἀποδεξαμένων BM. m, ἀποδεξομένον v. — 27, 2. ὄψεσθε. ὄψεσθαι BM. ‖ 6. πάντων BM. Selden. (idem παντός) r, πάντας vm. ‖ 8. τὸ M (τὸ καὶ corr.). Reisk., καὶ τὸ B, τὸ καὶ reliqui, τὸ δικαίως Geel. ‖ δ' οὐδὲν BM, οὐδὲν reliq. ‖ 9. ἀδικίας. ἀδικείας M. ‖ μέν γε M, μὲν γὰρ reliq.

στεῖν ἐστι τοῖς εὐεργεταις, τὸ δὲ ὑβρίζειν εἰς αὐτούς, καὶ τὸ
μὲν ἐστι μὴ τιμᾶν τοὺς ἀγαθοὺς ἄνδρας, τὸ δὲ ἀτιμάζειν.
28 οἱ μὲν γὰρ ἃ δοκοῦσι τοῖς ἐπιεικέσιν ὀφείλειν οὐ παρέχουσιν,
οἱ δὲ ἃ σύνηθές ἐστι γίγνεσθαι κατὰ τῶν ἄκρως πονηρῶν,
ταῦτα πράττουσι κατ᾽ αὐτῶν. εἰ γοῦν τις τῶν ποτε νομισθέν-
των μετρίων αὖθις ἀνήκεστον ἁμάρτοι τι καὶ χαλεπὸν, οἷον
εἰ προδοσίαν βουλεύσειεν ἢ τυραννίδα, τῶν τοιούτων ἔθος
ἐστὶ τὰς τιμὰς ἀναιρεῖσθαι, κἂν ἐπιγραφῆς τινος πρότερον
ὦσι τετευχότες. εἶτ᾽ οὐκ αἰσχρὸν τῶν αὐτῶν ἀξιοῦν ὑμᾶς
τοὺς ὁμολογουμένως ἀρίστους, ὧν τους ἀσεβεῖς καὶ τοὺς ἀνο-
σίους τυγχάνειν οἱ νόμοι κελεύουσιν, οἷς οὐδὲ ταφῆς μέτεστιν; 380 R.
29 ὥστε μοι δοκοῦσιν, ὅσην παρ᾽ ἑτέροις ἔχουσι τοῦ τιμᾶσθαι
πάντες ἐπιθυμίαν, τοσαύτην ἢ καὶ πλείονα ἕξειν παρ᾽ ὑμῖν,
ὅπως μηδέποτε τεύξονται τῶν τοιούτων μηδενός· ὅσῳ τὴν
ὕβριν ἕκαστος καὶ τὸ προπηλακισθῆναι μεῖζον ἡγεῖται κακὸν
ἢ τὴν τιμὴν ἀγαθὸν νενόμικεν. εἰ γοῦν τινα καλοῖτε εἰς
προεδρίαν ἢ πολίτην ἀναγράφοιτε μέλλοντες ὕστερον ἀναστή-
σειν ἢ τὴν πολιτείαν ἀφελέσθαι, πολλὰ ἂν ἱκετεύσειεν ὑμᾶς
ἐᾶν αὐτόν. τοὺς γοῦν τυράννους ἢ τοὺς βασιλέας, ὧν αὖθις 319 M
οἱ βιαίως ἀρχθέντες καὶ παρανόμως τὰς εἰκόνας ἀνεῖλον καὶ
τὰ ὀνόματα ἠφάνισαν· ὅπερ οἶμαι καὶ ἐφ᾽ ὑμῶν συμβέβηκε·
διατεινάμενος εἴποιμ᾽ ἂν, εἰ προῄδεισαν τοῦτο ἐσόμενον, μήτ᾽
ἂν εἰκόνας ἑαυτῶν ἐᾶσαί τινα στῆσαι μήτε ὀνόματα ἐγγρά-
30 ψαι. καίτοι τοῦτο οὐ μόνον ἐκείνους ἀδικουμένους καὶ δεινὰ
πάσχοντας, ἀλλὰ καὶ τὴν πρόφασιν δείκνυσι κενὴν, δι᾽ ἣν 381 R
ἴσως ὑμᾶς τινες ἀξιώσουσι τοῦτο ποιεῖν, μᾶλλον δὲ κατὰ τοῦ
πράγματος οὖσαν. εἰ γὰρ ἀναγκαῖον ἅμα καὶ συμφέρον φή-
σουσιν εἶναι τὸ ἑτέρους τιμᾶν, πῶς οὐχ ὑπεναντίον ἐστὶ τού-
τῳ τοὺς πρότερον οὕτω τετιμημένους ὑβρίζειν; ὃ γὰρ τῶν

11. μὴ om. B. — 28, 5. ἢ BM. r, εἰ reliq. ‖ 7. τετευχότες BM, τετυχηκότες reliq. ‖ 8. ὁμολογουμένως M, ὁμολογουμένους reliq. — 29, 1. ὥστε μοι. ὥστ᾽ ἐμοὶ M. ‖ 2. ἕξειν παρ᾽ ὑμῖν BM, παρ᾽ ὑμῖν ἕξειν reliq. ‖ 3. τεύξονται M, τεύξωνται reliq. ‖ ὅσῳ. negligenter haec prioribus annexa videntur Geelio et fortasse manca. ‖ 6. προεδρίαν BM, προεδρείαν reliq. ‖ 7. ἀφελέσθαι. ἀφελεῖσθαι M. ‖ ἱκετεύσειεν ὑμᾶς ἐᾶν BA. Casaub. r, ἱκετεύσειεν ὑμᾶς ἐὰν M. m, om. v. ‖ 9. ἀρχθέντες BM, ἄρχοντες reliqui. ἀρχόντων Selden., prorsus a vero hic aberravit Casaub. ‖ 10. ὑμῶν M (corr. ὑμῖν). Selden., ὑμῖν reliq. ‖ 11. ἂν om. m. ‖ 12. τινα M. r, τινας B. vm. — 30, 1. δεινά. δεινὰς M. ‖ 5. εἶναι τό. νέον αἴ τι M. ‖ τούτῳ BM. r, τοῦτο vm.

πρότερόν τις οὐκ ἂν εἵλετο λαβεῖν εἰδὼς τοῦτο ἐσόμενον, πῶς εἰκός ἐστι τῶν νῦν τινα ἡδέως λαμβάνειν ὁρῶντα τὸ γιγνόμενον; ὥστ' εἰ μὴ καὶ δι' ἐκείνους γε τοὺς θᾶττον εὐεργέτας, ἀλλὰ τούτους γε οὓς νῦν τιμῶμεν, εἰκὸς ἦν φυλάξασθαι τὸ
31 πρᾶγμα. πάντες μὲν γὰρ ὑπόπτως ἔχουσι πρὸς τὰ ὑπὸ τούτων διδόμενα, οὓς ἴσασι τῶν πρότερον ἐπαινεθέντων καὶ δοξάντων φίλων οὕτως ἀμελοῦντας, μάλιστα δὲ οἱ τῶν αὐτῶν τυγχάνοντες, ὧν τοὺς εἰληφότας ὁρῶσιν ἀπεστερημένους. εἰ δὲ δὴ καὶ ὅπως αὐτοὶ λάβωσι τοῦτο γίγνοιτο, μᾶλλον δὲ ὅπως δοκῶσιν εἰληφέναι, παντελῶς ἤδη τὸ πρᾶγμα εἰρωνείαν καὶ χλεύην νομίζουσιν. πολὺ δὲ βέλτιον ἦν λέγειν τοῖς βουλομένοις ποιῆσαι μικρὰ φροντίζειν ὑμᾶς τῶν τάχιον τετιμημένων, ὅτι μηκέτι μηδεμία χρεία τοῦ τιμᾶν τινά ἐστιν, ἢ τοὐναντίον οὗ τὴν μεγίστην φασὶν εἶναι τῇ πόλει χρείαν καὶ πρὸς
32 πλείονας νῦν ἢ πρότερον, τοῦτο διαβάλλειν. καίτοι μὰ τὸν 582 R.
Δία καὶ τοὺς θεοὺς οὐδ' εἰ τὴν ἀνωτάτην χάριν ὑμῖν ἕξειν ἔμελλον οἱ δοκοῦντες νῦν τῶν εἰκόνων τυγχάνειν καὶ σφόδρα ἐπαινέσειν τὸν δῆμον, οὐδ' οὕτως ἐχρῆν αὐτὸ γίγνεσθαι. τὸ γὰρ μόνον ζητεῖν, ἐξ ὧν ἄν τις ἀρέσαι τινὰ ποιήσας καὶ προσ- 320 M.
αγάγοιτο, εἰ δ' ἄλλον ὃν οὐ προσῆκεν ἀδικήσει τοῦτο ποιῶν ἢ καθόλου τι μὴ δέον πράξει, μὴ σκοπεῖν, οὔτε μὰ τοὺς θεοὺς ἐλευθέρων ἐστὶν ἀνθρώπων οὔτε μετρίων τὸ ἦθος. οὐδεὶς γὰρ οὐδὲ τῶν πάνυ πονηρῶν προαιρεῖταί τι φαῦλον, ὃ μὴ συμφέρειν ἑαυτῷ νομίζει πρὸς τὸ παρόν. ἀλλ' ἔστιν αὐτὸ τοῦτο ἡ μοχθηρία, τὸ κέρδους ἕνεκα καὶ χρείας μηδενὸς αἰσχροῦ μηδὲ ἀδίκου πράγματος ἐπιστρέφεσθαι μηδὲ φροντί-
33 ζειν, ποῖον τὸ γιγνόμενον, ἀλλὰ μόνον, εἰ λυσιτελές. οὐκοῦν ὁ τὸν μὲν παρόντα θεραπεύων, ὀλιγωρῶν δὲ τοῦ θᾶττον φίλου, καὶ τῆς μὲν γεγενημένης χρείας ἐπιλελησμένος, τὴν δ' ἐλπιζομένην ὠφέλειαν περὶ πλείστου ποιούμενος, ἆρ' οὐκ ἴστε,

9. γε om. BM. — 31, 2. πρότερον. sic dedi. πρότερόν τινα reliq., πρότερόν τι Iacobs. ‖ 5. γίγνοιτο. γείνοιτο M. ‖ 6. εἰρωνείαν. εἰρωνίαν M. ‖ 7. νομίζουσιν. νομίσουσι Reisk. ‖ δὲ BM. Selden., ὃ vm, οὖν r. ‖ 8. τάχιον. τάχειον M. ‖ 9. ἐστιν M, ἐστι reliq. ‖ 11. διαβάλλειν BM. Selden. r, διαβάλλει vm. — 32, 2. οὐδ' BM. Casaub. r, δ' vm. ‖ 5. καὶ M, ἢ B (?). r, μὴ vm. totum locum sic scribit Seldenus: ἀρέσαι καὶ τίνα ποιήσας προσαγάγοιτο vel καὶ τί μὴ ποιήσας μὴ προσαγάγοιτο. ‖ 6. εἰ δ'. εἶτ' B. ‖ 7. πράξει BM. Casaub. r, παρέξει vm. ‖ 11. τὸ BM. Reisk., τοῦ reliq. ‖ χρείας BM, τῆς χρείας reliq. — 33, 2. ὀλιγωρῶν. ὀλιγορῶν M. ‖ 4. ὠφέ-

*ἥστινος τυγχάνει προσηγορίας; οὐ κόλαξ ὁ τοιοῦτος ὀνομάζε-
ται παρὰ πᾶσιν; οὐκ ἀγεννής, οὐκ ἄπιστος δοκεῖ; νῦν τοίνυν
οὐδὲ τοῦτο περιγίγνεται τῇ πόλει, τὸ θεραπεύεσθαί τινας* 353 R
*ὑπὸ αὐτῆς καὶ μεγάλου τινὸς οἴεσθαι τυγχάνειν, ὧν ἂν τὰ
ὀνόματα ἐπιγράφηται. τοὐναντίον γὰρ δυσχεραίνουσι καὶ
μέμφονται παρ' αὐτοῖς, εἰ καὶ σιωπῶσιν ἄλλως, προσκρούειν
οὐ θέλοντες. ἢ νόμισμα μὲν εἴ τῳ χαρίζεσθε κίβδηλον, οὐ-
θεὶς ἂν ἑκὼν λάβοι, μᾶλλον δὲ ὕβριν ἡγοῖτο ἢ δωρεὰν τὸ
γιγνόμενον· τιμὴν δὲ κίβδηλον καὶ μηδὲν ἔχουσαν ὑγιὲς νομί-*
34 *ζετε δέχεσθαι τοὺς νοῦν ἔχοντας; ἀλλ' ἐὰν μὲν οἰκέτην τις
ἀλλότριον ἢ σκεῦος ἀποδῶται ψευσάμενος ὡς ἑαυτοῦ, σφόδρα
ἕκαστος ἀγανακτεῖ τῶν ἠπατημένων, καὶ θαυμάζοιμ' ἄν, εἰ
μὴ θανάτῳ ἐζημιοῦτε τοῦτον ὑμεῖς· εἰ δ' ἀλλοτρίαν τις εἰκόνα
καὶ μηδὲν αὐτῷ προσήκουσαν ἐξαπατηθεὶς λάβοι παρὰ τῶν
μὴ κυρίων· ὃ γὰρ ἂν ἄλλῳ δῷ τις, τούτου κύριος οὐκ ἔτ'
ἐστὶν ἑτέρῳ διδόναι· χάριν αὐτὸν οἴεσθε τοῖς παρακρουσαμέ-*
35 *νοις ἔχειν*; [*τίνος*;] *δέομαι δέ, ἂν οἱ λόγοι φαίνωνται πικρότεροι,
μηθὲν ἐμοὶ δυσχεραίνειν. οὐδὲ γὰρ ὑμᾶς φημι τοῦτο ποιεῖν,
τρόπον δέ τινα ἀκούσης τῆς πόλεως αὐτὸ γίγνεσθαι. τὸ δὲ* 354 R
*πρᾶγμα εἰ τοιοῦτόν ἐστιν, ὥστε πᾶν αἰσχρὸν δοκεῖν ἐξεταζό-
μενον, τοσούτῳ προθυμότερον ὑμᾶς ἀκούειν δεῖ τοῦ λέγοντος,* 521 M
*ὥστε ἀπηλλάχθαι τὸ λοιπὸν τῆς αἰσχύνης. οὐδὲ γὰρ τὰ ἐν
τοῖς σώμασι δυσχερῆ χωρὶς ὀδύνης ἔστιν ἰάσασθαι, πολλάκις
δὲ αὐτὸ τοῦτο σημεῖον ὑπάρχει τοῦ σφόδρα ἐπείγειν τὴν θε-*
36 *ραπείαν, τὸ σφόδρα ἀλγεῖν τὸ θεραπευόμενον. ὃ τοίνυν
ἀρχόμενος εἶπον οὐδ' ἂν νῦν ὀκνήσαιμι εἰπεῖν, ὅτι πανταχοῦ*

λειαν. ὠφελίαν M. ‖ 5. ὁ. ὁ γὰρ B. ‖ 6. ἀγεννής M, ἀγενὴς reliq. ‖ 7. περιγίγνεται. sic dedi. περιγείνεται M, περιγίνεται reliq. ‖ 8. ἂν om. B. ‖ 9. ἐπιγράφηται M. v, ἐπιγράφητε B. mr. ‖ 10. αὐτοῖς. αὑτοῖς M. ‖ ἄλλως. ἄλλῳ M. ‖ 11. οὐ θέλοντες. ἐθέλοντες B. ‖ ἤ. εἰ m. ‖ χαρίζεσθε M. Casaub. r, χαρίζεσθαι B. vm, χαρίζοισθε Reisk. ‖ 13. δὲ BM, δὲ καὶ reliq. ‖ 14. τοὺς νοῦν ἔχοντας BM. r, τοὺς ἔχοντας (om. νοῦν) v, τοὺς ἑκόντας m, unde αὐτοὺς ἑκόντας Casaub., που ἑκόντας Iacobs. — 34, 1. οἰκέτην. οἰκέτης M. ‖ 2. ἀποδῶται BM. Casaub. r, ἀποδῶτε v, ἀποδῷ τι m. ‖ 6. τούτου. τοιοῦτο Reiskius, quod cum antecedentibus copulat. ‖ οὐκ ἔτ' B, ἔτ' om. reliq. ‖ 7. οἴεσθε. οἴεσθαι BM. ‖ 8. [τίνος] om. BM. v. — 35, 1. φαίνωνται BM. Iacobs., φαίνονται reliq. ‖ 2. ὑμᾶς. ἡμᾶς M. ‖ 3. ἀκούσης. ἀκούσας v. ‖ τὸ δὲ mrg. m. r, τότε reliq. ‖ 4. πᾶν αἰσχρὸν BM, πάναισχρον reliq. ‖ 5. δεῖ. ἀεὶ B. ‖ 6. αἰσχύνης. αἰσχύνης καὶ εἰ μετ' ὀδύνης Reisk. ‖ 9. ἀλγεῖν τό. ἀλγεῖν τὸν B. — 36, 2. εἶπον, οὐδ' ἂν νῦν ὀκνήσαιμι om. M.

μὲν οἰκεῖόν ἐστι φαίνεσθαι τοὺς ἀγαθοὺς ἄνδρας ὑγιεῖς καὶ
μηδὲν παλίμβολον ἔχοντας μηδὲ δυσχερὲς, ἀλλὰ πλεῖστον ἀπά-
της καὶ πονηρίας ἀπηλλαγμένους· λέγω δὲ τοὺς ὑμῖν ὁμοίους·
μάλιστα δὲ οἶμαι περὶ τὸ τιμᾶν καὶ τὰς δωρεάς. τὸ γὰρ
αἰσχύνην τινὰ προσάπτειν τοῖς καλοῖς καὶ τὸ ἀδίκως ποιεῖν
τὸ πάντων δικαιότατον οὐδ' αἰσθανομένων ἐστὶν ἀνθρώπων
τῆς ἑκάστου φύσεως. ὥσπερ οὖν οἱ παρανομοῦντες εἰς τὰ
ἱερὰ τῶν εἰς ἄλλ' ὁτιοῦν ἁμαρτανόντων χείρους εἰσὶν, οὕτως
37 οἱ περὶ ταῦτα ἄδικοι καὶ πονηροὶ φαινόμενοι. τί γάρ ἐστιν
ἱερώτερον τιμῆς ἢ χάριτος; οὐκ ἴστε, ὅτι καὶ θεὰς νομίζουσιν
οἱ πλεῖστοι τῶν ἀνθρώπων τὰς χάριτας; ἐὰν οὖν τὰ ἀγάλματα
αὐτῶν περικόπτῃ τις ἢ τοὺς βωμοὺς ἀνατρέπῃ, τοῦτον ἡγεῖσθε
ἀσεβεῖν· ἐὰν δὲ αὐτὸ λυμήνηται καὶ διαφθείρῃ τὸ πρᾶγμα, 525 R.
ἀφ' οὗ καὶ τὰς θεὰς ὠνομάσθαι συμβέβηκε, μὴ ὃν δεῖ τρόπον
χαριζόμενος, ἀλλ' ἀγεννῶς καὶ ἀνελευθέρως καὶ μετὰ τέχνης
τοῖς εὐεργέταις ἀχαριστῶν, αὐτὸν φρονεῖν φήσομεν καὶ τῶν
ἄλλων εἶναι συνετώτερον; ἀλλὰ τοὺς μὲν καπήλους τοὺς ἐν
τοῖς μέτροις κακουργοῦντας, οἷς ὁ βίος ἐστὶν αὐτόθεν, ἀπὸ
αἰσχροκερδείας, μισεῖτε καὶ κολάζετε· τὴν δὲ πόλιν, εἰ δόξει
περὶ τοὺς ἐπαίνους τῶν ἀγαθῶν ἀνδρῶν πανουργεῖν καὶ τὰς
δωρεὰς καπηλεύειν, οὐκ αἰσχύνεσθε παλίμβολα καὶ παλίμ-
38 πρατα ποιοῦσαν τὰ σεμνά; καὶ οὐδὲ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι
μηδὲ τοῖς καπήλοις μηδεὶς ἔτι ῥᾳδίως πρόσεισιν, παρ' οἷς ἂν
πονηρὰ ᾖ τὰ μέτρα; καὶ μὴν ὅτι φύσει τὸ πρᾶγμα τοιοῦτόν
ἐστιν, οὐχ ὁ λόγος αὐτὸ ἐξονειδίζει, θεάσασθε οὕτως. εἰ γάρ
τις πύθοιτο ὑμῶν, πότερα βούλεσθε τοὺς τιμωμένους ὑφ' 322 M.
ὑμῶν, οἷς οἴεσθε διδόναι τὰς εἰκόνας, ἐπίστασθαι τἀληθὲς
καὶ τὸ γιγνόμενον οἷόν ἐστιν, ἢ λανθάνειν αὐτούς· οὐκ ἄδη-
λόν ἐστιν, ὃ ἂν εἴποιτε εὖ φρονοῦντες. τί γὰρ ἐκώλυεν εὐθὺς

3. ὑγιεῖς. ὑγιεῖς ὄντας Reisk. ‖ 5. πονηρίας. γοητείας B. ‖ 7. αἰσχύνην BM. Selden. r, αἰσχύνειν vm. ‖ 10. ἀλλ' ὁτιοῦν. ἄλλό τι B. — 37, 4. ἀνατρέπῃ. ἀνατρέπει B. ‖ ἡγεῖσθε. ἡγεῖσθαι (corr. vulg.) M. ‖ 5. λυμήνηται B. r ex Interpr., λυμήνητε M, λυμήνετε vm. ‖ 6. μή. ἦτε BM. ‖ δεῖ M. Selden. r, δὴ B. vm. ‖ 7. τέχνης. αἰσχύνης Wyttenb. Ind. Plut. s. v. τέχνη. ‖ 8. ἀχαριστῶν Interpr. r, ἀχαρίστως reliq., ἀχαρίστως χαριζόμενος Casaub. ‖ 11. αἰσχροκερδείας. αἰσχροκερδίας M. ‖ 13. αἰσχύνεσθε. αἰσχύνεσθαι M. — 38, 5. βούλεσθε. βούλεσθαι M. ‖ 6. οἴεσθε. οἴεσθαι M. ‖ ἐπίστασθαι B. vr, ἐπίστασθε reliq. ‖ 7. ἤ. ἢ B. ‖ 8. ὅ. ὃν M. v, ὅ τι Reisk. ‖ εἴποιτε. εἴπητε M.

Digitized by Google

ἐν τῷ ψηφίσματι γράφειν ὥσπερ τἆλλα καὶ τοῦτο· εἶναι δὲ
τὴν εἰκόνα αὐτοῖς μίαν τῶν ἀνακειμένων ἢ τὴν τοῦ δεῖνος· εἰ
κἀκείνους ἐβούλεσθε γιγνώσκειν; ἀλλ' οὐδέποτε οἶμαι τοῦτο 386 R
39 ἐγγράψετε. οὐκοῦν ὅτι μὲν τὰ γιγνόμενα ὀρθῶς καὶ μηθὲν
ἔχοντα ἄτοπον οὐδεὶς περιστέλλει, δῆλόν ἐστιν. ὅτι δὲ ἥκιστ'
ἄν τις φυλάξαιτο τοὺς εὖ πάσχοντας εἰδέναι, τίνα τρόπον
τῆς χάριτος τυγχάνουσι καὶ τῶν γιγνομένων περὶ τὴν τιμὴν
ὁτιοῦν, εἴ γέ τις ἁπλῶς αὐτὸ πράττοι καὶ δικαίως, ἔτι μοι
δοκεῖ τοῦ πρώτου φανερώτερον· ὥστε ἀνάγκη τὸ συμβαῖνον
εἶναι πανταχῇ φαῦλον καὶ μηδενὶ μηδὲ ἰδιώτῃ πρέπον. ὁ γὰρ
ἐν αὐτοῖς οἷς τινας εὖ ποιεῖ, παθὼν πρότερος ἢ νὴ Δία κα-
τάρχων καὶ προκαλούμενος εἰς φιλίαν, παρακρουόμενος καὶ
φενακίζων, τί ἂν οὗτος ἄλλως ποιήσειεν; ἐπίστασθε τοίνυν,
ὅτι μηδένα λανθάνει τὸ γιγνόμενον, ἀλλ' ἔστι διαβόητον καὶ
τῶν παρὰ πᾶσι θρυλλουμένων, οὐ μόνον ἐπειδὴ λίαν κατα-
κόρως καὶ ἀνέδην αὐτῷ κέχρηνταί τινες, ἀλλὰ καὶ ὅτι παρ'
40 ὑμῖν πράττεται. τὸ γὰρ ἀξίωμα τῆς πόλεως καὶ τὸ μέγεθος
οὐθὲν ἄγνωστον ἐᾷ τῶν ἐν αὐτῇ καὶ τὸ σεμνότερον ὑμᾶς
ἁπάντων ἐν τοῖς ἄλλοις ἑαυτοὺς ἄγειν· ἔτι δὲ οἶμαι τὸ πράτ-
τειν ἄριστα τῶν Ἑλλήνων φθόνον κινεῖ καὶ ζηλοτυπίαν, ὥστε
πολλοὺς εἶναι τοὺς ἐξετάζοντας, ἐάν τι δοκῆτε ἁμαρτάνειν. 387 R
οὐκοῦν οἱ μὲν ὅπως ὅ τι πράττουσιν ἀγνοεῖσθαι μᾶλλον ἐθέ-
λοντες κακίας τοῦτο σημεῖον ἐκφέρουσιν· οἱ δ' ἃ μηδεὶς ἀγνοεῖ
λανθάνειν νομίζοντες εὐηθείας· οἷς ἀμφοτέροις οὐκ ἂν ἕλοισθε
41 ἔνοχον εἶναι τὴν πόλιν. νὴ Δία ἀλλὰ δαπανήσομεν, εἰ μὴ
τοῖς οὖσιν χρησόμεθα; καὶ πόσων δεήσει χρημάτων, ἐὰν πᾶσιν
κατασκευάζωμεν ἀνδριάντας, ὅσοις ψηφιζόμεθα; καὶ πόσῳ [illegible] M

11. κἀκείνους ἐβούλεσθε B. Casaub. r, κἀκείνου σε βούλεσθε reliq. ‖ 12. ἐγγράψετε BM. r, ἐγράψετε vm. — 39, 3. τίνα. τινὰ m. ‖ 4. τυγχάνουσι M, τυγχάνουσιν reliq. ‖ 5. πράττοι BM, πράττει reliq. ‖ ἔτι. ἔστι BM. ‖ 8. πρότερος BM, πρότερον reliq. ‖ 9. φιλίαν BM. Casaub. r, φιλίας vm. ‖ 10. ἄλλως. καλῶς Casaub., ἄλλο καλῶς (vel ἄλλους) Reisk., ἁπλῶς Iacobs. Add. p. 45. ‖ 12. θρυλλουμένων. θρυλουμένων M. ‖ λίαν. λείαν M. ‖ 13. ἀνέδην Davis. ad Max. Tyr. p. 604, ἀναίδην reliq. ‖ ἀλλὰ καὶ ὅτι. sic dedi. ἀλλ' ὅτι καὶ reliq. — 40, 5. δοκῆτε BM. Iacobs., δοκεῖτε reliq. ‖ 6. ὅπως ὅ τι. ὅπως πράττουσιν ὅ τι Casaub., ὅπως τι Selden., ὅ τι Reiskius (vel v. ὅπως servato infra ἀγνοῆται scribebat), ὅπως καὶ ὅ τι Pflugk., οὕτως ὅ τι Iacobs., ὅπως ὁτιοῦν Geel. ‖ 7. οἱ Casaub. r, εἰ reliq. ‖ ἀγνοεῖ Casaub., ἀεὶ B, ἀκούει reliq. ‖ 8. εὐηθείας. εὐηθίας M. ‖ 9. ἔνοχον. ἐνοχλον M. — 41, 3. πόσῳ BM. r, πόσα v. mrg. m, πόσου m.

κρεῖττον ἐλάττοσι διδόναι τὴν δωρεὰν ἢ πλείους ἐξαπατᾶν, μέλλοντάς γε ὑπὸ πλειόνων καταγιγνώσκεσθαι καὶ μισεῖσθαι σαφῶς εἰδότων ὃ ποιεῖτε; καὶ γὰρ εἰ μὲν οὐ σφόδρα ἐπιεικεῖς εἰσιν, οὓς ὁπωσδήποτε ἵστατε νῦν, ὃ μηδαμῇ φρονοῦντες εἴποιτ' ἄν, ὁρᾶτε τὸ γιγνόμενον· διὰ γὰρ τοὺς φαύλους ἀδι- 588 R.
κεῖτε τοὺς χρηστούς. ὅτι γὰρ ὑμῶν οἱ πρόγονοι μὴ ἐθαύμαζον εἰκῇ μηδὲ ἀνάξιόν τινα, ἐγὼ διαβεβαιωσαίμην ἄν. εἰ δὲ ἀγαθοὺς τιμᾶτε, τούς γε τοιούτους εἰκὸς ἄχθεσθαι τῷ πρά-
42 γματι. τίς γὰρ ἂν μέτριος ἄνθρωπος βούλοιτο ἕτερον κακῶς πάσχειν καὶ τῶν δικαίως δεδομένων ἀποστερεῖσθαι δι' αὐτόν; ἢ πῶς οὐκ ἂν ὀργίζοιτο ἐπὶ τούτῳ γιγνομένῳ μᾶλλον ἤπερ εἰδείη χάριν; ἢ γυναῖκα μὲν οὐδεὶς ἂν ὑπομείνειε χρηστὸς ὢν διὰ μοιχείαν λαβεῖν, ὅτι τὸν πρότερον ἔχοντα ἠδίκησε· μᾶλλον δὲ οὐδ' ἂν ὅλως λάβοι τις ἡδέως παρὰ ἀνδρὸς ἑτέρου· καίτοι πολλάκις γίγνεται τοῦτο οὐ μετὰ πονηρᾶς αἰτίας· τιμὴν δέ, ἣν οὐκ ἔστι δικαίως ἀπ' ἄλλου λαβεῖν οὐδὲ χωρὶς ὕβρεως τῆς εἰς ἐκεῖνον, ἀγαπᾶν τινα οἴεσθε; καὶ ταῦτα μηδ' αὐτὸν ἐλπίζοντα, ὡς οὐθὲν ἂν πάθοι τοιοῦτον; ἀλλ' ἀνδράποδον μέν τις ὠνούμενος, εἴ ποτε ἀπέδρα, σκοπεῖ, καὶ εἰ μὴ παρέμενε τῷ πρώτῳ δεσπότῃ· δωρεὰν δὲ καὶ χάριν, ἣν ἄπιστον ἡγεῖται καὶ σαφῶς οἶδε μηδὲν ἔχουσαν βέβαιον, ἑκὼν ἂν πρόσοιτο;
43 Ῥωμαῖοι γάρ εἰσιν οἱ πλείους αὐτῶν, καὶ τίς ἂν τούτων ἅψαι- 589 R.
το; οἱ δέ γε παρεστῶτες αὐτοῖς Μακεδόνες, οἶδε δὲ Λακεδαιμόνιοι· καὶ νὴ Δία τούτων ἀπτόμεθα. καίτοι τοὺς μὲν πρό-

5. γε Reisk., τε reliq. ‖ 7. εἰσιν, οὓς. εἰσι τοὺς BM. m. ‖ ἵστατε. ἵστασθε M, ἱστᾶτε r. ‖ εἴποιτ'. εἶπον' r. ‖ 8. ἀδικεῖτε B. Casaub. ex Interpr. r, ἀδικεῖται M, ἀδικῆσαι mv. ‖ 10. διαβεβαιωσαίμην. διαβεβαιωσάμην M. ‖ 11. τούς γε B. Casaub. r, τούς τε reliq. — 42, 2. αὐτόν. αὐτὸν M. ‖ 3. ἤπερ. εἴπερ B, in M ἤπερ in litura. ‖ εἰδείη. εἴδει ἢ M. v, εἰδείη ἢ m. ‖ 4. ὑπομείνειε M, ὑπομένειε reliq. ‖ 5. διὰ μοιχείαν. διὰ μοιχείας (vel διὰ μοιχείαν ἐκβληθεῖσαν) Reisk. ‖ λαβεῖν. λαβεῖν εἰδὼς Reisk. ‖ 6. λάβοι. sic dedi. λάβῃ reliq. ‖ παρά. τοῦ παρὰ r. ‖ 7. γίγνεται. sic dedi. γείνεται M, γίνεται reliq. ‖ οὐ μετὰ BM, οὐκ ἀπὸ Casaub., οὐ reliq., διὰ ante αἰτίας inserebat Reisk. ‖ 8. ἀπ'. ἐπ' B. ‖ 11. καὶ εἰ—δεσπότῃ suspecta Reiskio. Iacobsius post δεσπότῃ excidisse putat οὐκ ὠνεῖται vel ἐᾷ. ‖ 12. τῷ. ἐν τῷ B. ‖ 13. οἶδε M, οἶδεν reliq. — 43, 2. οἶδε δὲ B, οἱ δ' εἰ M. v, οἱ δέ γε Reisk., οἱ δὲ reliq. ‖ 3. καὶ νὴ Δία Cens. p. 300, καὶ δὴ Unger. Ann. p. 1183, καὶ διὰ τί reliqui. totum locum sic constituit Geelius: verbis καίτοι — θεραπεύεσθαι transpositis ante v. Ῥωμαῖοι scribit καὶ διὰ τί τούτων οὐκ ἂν ἀπτοίμεθα (vel καὶ διὰ τί τούτων φεισόμεθα).

Digitized by Google

τερον κειμένους πάντας ἢ τούς γε πλείστους δι' εὐεργεσίαν
φήσετε τεθῆναι· τῶν δὲ νῦν τιμωμένων πολλοὺς δι' ἰσχὺν
θεραπεύεσθαι. τὸ μὲν δὴ ποτέρους αὐτῶν δικαιότερόν ἐστι
ποιεῖσθαι περὶ πλείονος ἐάσω. τὸ δέ, εἰ μὴ πᾶσι τὰ δοθέντα
δικαίως ὑπάρξει, ποτέρους μᾶλλον εἰκὸς ἐπ' ἀδήλῳ λαμβάνειν
οὐδ' αὐτοὺς τούτους λανθάνει. πάντες γάρ οἴδασιν, ὅσῳ
βεβαιότερόν ἐστιν εὐεργεσία δυνάμεως. ἰσχὺν μὲν γὰρ οὐκ
44 ἔστιν ἥντινα οὐκ ἀναιρεῖ χρόνος, εὐεργεσίαν δὲ οὐδεμίαν. ἵν' 331 M
οὖν τὴν ὑπερβολὴν ἐκείνην ἀφῇ τις ἀληθῆ τρόπον τινὰ οὖσαν,
τὸ πρὸς τὴν πόλιν ἀηδέστερον ἔχειν τοὺς οὕτω τιμᾶσθαι ζη- 390 R
τοῦντας καὶ τὸ συμβαῖνον εἰς ὕβριν λαμβάνειν καὶ καταφρό-
νησιν ἑαυτῶν· ἀλλὰ τοῦτό γε εἰδέναι φημὶ βεβαίως, ὅτι μηδὲ
χάριν ὑμῖν μηδεμίαν οἴδασιν μηδ' οἴονται τυγχάνειν μηδενός,
τὸ γιγνόμενον εἰδότες καὶ τὴν ῥᾳδιουργίαν τὴν ἐν αὐτῷ. πρὸς
τοῦ Διὸς εἶθ' ἃ καὶ τούτων δεχομένων οὐκ εἰκὸς ἦν ἀφαι-
ρεῖσθαι τοὺς ἔμπροσθεν εἰληφότας, ταῦτα ἀφαιρώμεθα τοὺς
45 ἔχοντας οὐδὲ ἑτέροις διδόντες; καὶ μὴν εἴ γε ἐν οἷς ἡ πόλις
δοκεῖ τινος δεῖσθαι, τὴν δαπάνην μόνον ὀψόμεθα καὶ τὸ
πῶς ἂν εὐχερέστατα γένηται, μηθὲν ἄλλο ἐξετάζοντες· τί
κωλύει μὴ μόνον ταύτην ὑπάρχειν ἐν ἑτοίμῳ τὴν δωρεάν,
ἀλλά, κἂν ἄλλο τι θέλητε, χαρίσασθαί τινι, γῆν, ἀργύριον,
οἰκίαν, τοὺς ἔχοντας ἀφαιρουμένους; ἢ τί δεῖ πόρους ζητεῖν
καὶ τὰ κοινὰ ἀναλίσκειν, ὅταν ᾖ καιρὸς ἢ τεῖχος ἐπισκευά-
ζειν ἢ ναῦς· ἀλλὰ μὴ τὰ τοῦ δεῖνος λαβεῖν, ἢ τὰ τῶν πολι-
τῶν τινος ἢ τῶν ἐνοικούντων παρ' ὑμῖν; ἀλλὰ νὴ Δία βοή-
46 σονται καὶ δεινὰ φήσουσι πάσχειν. οὐκοῦν ἐξέσται δήπου-
θεν μὴ προσέχειν αὐτοῖς. καὶ γὰρ εἰ νῦν εἰσίν, ἐφ' οὓς ἂν
ἔλθοιεν ὑμῶν ταῦτα ποιούντων, πρότερόν γε οὐκ ἦν ἕτερος
οὐδεὶς τοῦ δήμου κυριώτερος. ἆρ' οὖν οἱ τότε ὄντες οὕτω 391 R
προσεφέροντο τοῖς κατὰ μέρος; πόθεν; οἳ τοῦτο πάντων

5. φήσετε. φήσεται M, φήσαιτε Reisk. ‖ 9. λανθάνει Casaub. r, λανθάνειν reliq. — 44, 2. οὖν τὴν BM. Pflugk., τὴν om. reliq. ‖ 3. τοὺς οὕτω Reisk., τοσούτῳ reliq. ‖ 6. ὑμῖν. sic dedi. ἡμῖν reliq ‖ 9. ἔμπροσθεν B. Iacobs. Add. p. 189, μὲν πρόσθεν reliq., Reisk. aut delebat μὲν aut ἐν τῷ πρόσθεν scribebat. ‖ ταῦτα. ταῦτ' ἂν B. ‖ ἀφαιρώμεθα M, ἀφαιροίμεθα reliq. ‖ 10. διδόντες. διδόντες καταληφθείημεν B. — 45, 3. γένηται. malim γίνοιτο. ‖ τί B. Casaub. r, ἢ reliq. ‖ 4. ἐν ἑτοίμῳ BM, ὡς ἑτοίμην mrg. m, ὑμῖν ἑτοίμην Casaub., ἑτοίμην (vel πάνυ ἑτοίμην) Reisk., ἦν ἑτοίμην reliq. ‖ 6. οἰκίαν. οἰκίαν δεῖ τοῦτο ποιεῖν B. ‖ 9. νὴ Δία βοήσονται. μὴν διαβοήσονται B.

ἡγοῦντο χαλεπώτατον, καὶ τοῖς θεοῖς ἐπεύχοντο μηδέποτε
συμβῆναι τοιοῦτον καιρὸν, ἐν ᾧ δεήσει κατ' ἄνδρα ἕκαστον
ἀπὸ τῶν ἰδίων εἰσενεγκεῖν· καὶ τὸ τοιοῦτο σπανίως ποτὲ
παρ' ὑμῖν γενέσθαι φασὶν οὐδὲ ἐν ἅπασι τοῖς πολέμοις, ἀλλὰ
47 εἴ ποτε ἐσχάτως ἡ πόλις ἐκινδύνευσεν. ἴσως οὖν ἐρεῖ τις, ὡς
οἵ γε ἀνδριάντες τῆς πόλεώς εἰσιν. καὶ γὰρ ἡ χώρα τῆς πό-
λεως, ἀλλ' οὐθὲν ἧττον τῶν κεκτημένων ἕκαστος κύριός ἐστι
τῶν ἑαυτοῦ. καὶ κοινῇ μὲν ἐὰν πυνθάνηταί τις, τίνος ἐστὶν
ἡ νῆσος ἢ τίνος ἡ Καρία, φήσουσι Ῥοδίων. ἐὰν δὲ ἄλλως 329 M.
ἐρωτᾷς τουτὶ τὸ χωρίον ἢ τὸν ἀγρόν, δῆλον ὅτι πεύσῃ τοῦ
δεσπότου τὸ ὄνομα. καὶ τὰς εἰκόνας ἁπλῶς μὲν πάσας Ῥο-
δίων εἶναι λέγουσιν, ἰδίᾳ δὲ ἑκάστην τοῦ δεῖνος ἢ τοῦ δεῖνος,
ᾧ ἄν ποτε ᾖ δεδομένη. καίτοι τὰ μὲν χωρία καὶ τὰς οἰκίας
καὶ τἄλλα κτήματα οὐκ ἂν εἰδείης ὧν ἐστιν, εἰ μὴ πυθόμε-
νος· ἡ δὲ εἰκὼν ἐπιγέγραπται καὶ οὐ μόνον τὸ ὄνομα, ἀλλὰ
καὶ τὸν χαρακτῆρα σώζει τοῦ λαβόντος, ὥστ' εὐθὺς εἶναι
προσελθόντα εἰδέναι, τίνος ἐστίν. λέγω δὲ ἐφ' ὧν ἔτι μένει
48 τἀληθές. καὶ μὴν τό γε ἐν κοινῷ κεῖσθαι, γελοιότατόν ἐστιν,
εἴ τις ἄρα σημεῖον ἡγεῖται τοῦ μὴ τῶν εἰληφότων αὐτὰς
ὑπάρχειν, ἀλλὰ τῆς πόλεως. οὕτω μὲν γὰρ ἐξέσται λέγειν καὶ
τὰ ἐν μέσῳ τῆς ἀγορᾶς πιπρασκόμενα τοῦ δήμου, καὶ τὰ
πλοῖα δήπουθεν οὐχὶ τῶν κεκτημένων, ἀλλὰ τῆς πόλεως,
ἐπείπερ ἐν τοῖς λιμέσιν ἕστηκεν. ὃ τοίνυν ἤκουσά τινος ὑπὲρ 330 R.
τούτου λέγοντος ὡς ἰσχυρότατον, οὐκ ἂν ἀποκρυψαίμην· ὅτι
δημοσίᾳ τοὺς ἀνδριάντας ἀπεγράψασθε ὑμεῖς. τί οὖν τοῦτό
ἐστιν; καὶ γὰρ τὴν ἀντικρυς χώραν καὶ Κάρπαθον ταύτην
καὶ ἤπειρον, ἑτέρας νήσους καὶ καθόλου πολλά ἐστιν εὑρεῖν,
ἃ κοινῇ μὲν ἀπεγράψατο ἡ πόλις, διῄρηται δὲ εἰς τοὺς κατὰ
49 μέρος. ὅλως δὲ οὐκ, εἰ μὴ τοῦτον τὸν τρόπον ἕκαστος τὴν
εἰκόνα ἔχει τῶν τιμηθέντων, καθάπερ ἂν ἄλλο τι κτησάμε-

46, 8. καὶ τὸ τοιοῦτο. sic dedi. καίτοι τοῦτο reliq. ‖ 9. ὑμῖν. ἡμῖν BM. ‖ ἀλλὰ M, ἀλλ' reliq. ‖ 10. εἰ BM. Casaub. r, ἀεὶ reliq. — 47, 6. τουτὶ B. Casaub. r, τουτεὶ M, τοῦτ' ἢ vm. ‖ πεύσῃ. πεύσει M. — 48, 3. οὕτω. οὕτως M. ‖ 8. ἀπεγράψασθε B. Casaub. r, ἀπεγράψασθαι M. v, ἀπογράψασθαι m. ‖ ὑμεῖς. ὑμᾶς m. ‖ 10. καὶ ἤπειρον. καὶ κατ' ἤπειρον Geel., malim καὶ Νίσυρον καί. ‖ ἑτέρας. καὶ ἑτέρας B. Reiskius (idem ἑτέρας τε). ‖ 11. κατὰ BM. Casaub. r, μετὰ reliq. — 49, 1. εἰ μή. εἰ δὲ μὴ Seldenus (idem infra ante διὰ interponebat οὐ, nimirum falsa distinctione deceptus). verum vidit Reiskius.

νος, διὰ τοῦτο ἂν ἔλαττον αὐτῷ προσήκειν λέγοιτο ἢ μηδὲν
ἀδικεῖσθαι διδόντων ὑμῶν ἑτέρῳ τὴν ἐκείνου. μυρίους γὰρ
εὑρήσετε τρόπους, καθ' οὓς ἑκάστου τί φαμεν εἶναι, καὶ
πλεῖστον διαφέροντας, οἷον ἱερωσύνην, ἀρχήν, γάμον, πολιτείαν,
ὧν οὔτε ἀποδόσθαι τι ἔξεστι τοῖς ἔχουσιν οὔτε ὅπως ἄν τις
50 ἐθέλῃ χρῆσθαι. κοινὸν δ' οὖν ἐπὶ πᾶσιν ὥρισται δίκαιον, τὸ
πάνθ' ὅσα δικαίως τις ἔλαβε, ἄν τε καθάπαξ τύχῃ λαβὼν
ἄν τε εἴς τινα χρόνον, καθάπερ οἶμαι τὰς ἀρχάς, βεβαίως 531 R
ἔχειν καὶ μηδένα ἀφαιρεῖσθαι. πῶς οὖν δικαιότερόν ἐστιν 326 M
ὁτιοῦν ἔχειν ἢ εἴ τις ἀνὴρ ἀγαθὸς γενόμενος καὶ χάριτος
ἄξιος ἀντὶ πολλῶν καὶ καλῶν τύχοι τιμῆς; ἢ παρὰ τίνος
κυριωτέρου καὶ μείζονος ἢ παρὰ τοῦ Ῥοδίων δήμου καὶ τῆς
ὑμετέρας πόλεως; καὶ γὰρ τοῦτο οὐ σμικρόν ἐστι, τὸ μὴ Κα-
λυμνίους εἶναι τοὺς δεδωκότας ἢ τοὺς κακοβούλους τούτους
Καυνίους. ὥσπερ ἐπὶ τῶν ἰδιωτικῶν, ὅσῳ τις ἂν κρείττω
καὶ πιστότερον δεικνύῃ, παρ' οὗ τυγχάνει τι κτησάμενος, το-
σούτῳ κρατεῖ καὶ οὐδεὶς ἂν ἀμφισβητήσειεν αὐτῷ. καίτοι πᾶσα
πόλις, ἣν ἂν εἴπῃ τις, ἑνὸς ἀνδρὸς ἰδιώτου, κἂν ὁ σεμνότα-
τος ᾖ, πιστοτέρα τῷ παντὶ καὶ κρείττων, καὶ τὰ κοινῇ γιγνό-
51 μενα τῶν κατ' ἰδίαν πραττομένων ἰσχυρότερα. σκοπεῖτε δέ,
ὅτι πάντες ἡγοῦνται κυριώτερα ταῦτα ἔχειν, ὅσα ἂν δημοσίᾳ
συμβάλωσι διὰ τῶν τῆς πόλεως γραμμάτων· καὶ οὐκ ἔνι λυθῆ-
ναι τῶν οὕτω διῳκημένων οὐδέν, οὔτ' εἴ τις ὠνήσαιτο παρά
του χωρίον ἢ πλοῖον ἢ ἀνδράποδον, οὔτ' εἴ τῳ δανείσειεν,
οὔτ' ἂν οἰκέτην ἀφῇ τις ἐλεύθερον, οὔτ' ἂν δῷ τινα δωρεάν.
τί δήποτ' οὖν συμβέβηκεν ταῦτ' εἶναι βεβαιότερα τῶν ἄλλων;
ὅτι τὴν πόλιν μάρτυρα ἐποιήσατο τοῦ πράγματος ὁ τοῦτον
52 τὸν τρόπον οἰκονομήσας τι τῶν ἑαυτοῦ. πρὸς τοῦ Διὸς εἶθ'
ὧν μὲν ἄν τις παρ' ἰδιώτου τύχῃ διὰ τῆς πόλεως, οὐκ ἔστιν
ὅπως ἀφαιρεθήσεται τούτων· ἃ δέ τις εἴληφεν οὐ δημοσίᾳ 532 R

3. αὐτῷ. αὐτῇ Reisk. ‖ 6. διαφέροντας BM. Reisk., διαφέρονται reliq. ‖ 7. τις ἐθέλῃ. sic dedi. τις ἐθέλοι B, θέλοι reliq. — 50, 6. τύχοι BM. Casaub. r, om. reliq. ‖ 7. Ῥοδίων. ῥαδίων M. ‖ 10. κρείττω. κρεῖττον B. ‖ 13. εἴπῃ BM, εἴποι reliq. — 51, 3. συμβάλωσι. συμβάλλωσι B. ‖ 4. οὕτω. οὕτως M. ‖ οὔτ' εἰ. οὔτε M. ‖ παρά του χωρίον B. Casaub. r, παρὰ τοῦ χωρίον M, παρὰ τοῦ χωρίου vm. ‖ 5. εἴ τῳ BM. r, εἶτα vm, εἴ τι Casaub., εἴτε Selden. ‖ δανείσειεν. δανίσειεν M. ‖ 7. δήποτ' οὖν B, δήποτε reliq. ‖ βεβαιότερα BM. Casaub. r, βεβαιότερον vm. — 52, 2. τύχῃ sic dedi. τύχοι reliq.

μόνον, ἀλλὰ καὶ τοῦ δήμου δεδωκότος, οὐκ ἔσται βέβαια;
καὶ τὸ μὲν ὑπ' ἄλλων γενόμενον τοῦτον τὸν τρόπον οὐ λυθή-
σεται διὰ τὴν πόλιν· ἃ δ' ἡ πόλις αὐτὴ πεποίηκε, ῥᾳδίως οὕ-
τως ἀνελεῖ; καὶ ταῦτα οὐχ ὡς ἔδωκεν, ὁμοίως ἀφαιρουμένη,
κατὰ κοινόν, ἀλλ' ἑνὸς ἀνδρός, ἂν τύχῃ στρατηγῶν, ἐξουσίαν
53 ἔχοντος τοῦτο ποιεῖν; καὶ μὴν καὶ γράμματά ἐστιν ἐν κοινῷ
περὶ τούτων, ὑπὲρ ὧν ἔφην. τὰ γὰρ ψηφίσματα γέγραπται
δήπουθεν τὰ τῶν τιμῶν καὶ δημοσίᾳ μένει τὸν ἅπαντα χρό-
νον. τὸ μὲν γὰρ ἀποδοῦναι χάριν οὕτως ἀκριβῶς γίγνεται
παρ' ὑμῖν, τὸ δ' ἀφελέσθαι τοὺς εἰληφότας πάνυ ῥᾳδίως.
εἶτα τὸ μὲν οὐχ οἷόν τε γενέσθαι δίχα ψηφίσματος ἁπάντων 331 M.
ὑμῶν πεισθέντων, τὸ δὲ ἔθει τινὶ συμβαίνει κἂν ἑνὶ δόξῃ
μόνον. πλὴν ὅ γε ἔφην, ὅτι δημοσίᾳ ταῦτα ἀναγέγραπται
καὶ οὐ μόνον ἐν τοῖς ψηφίσμασιν, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν
εἰκόνων, τό τε ὄνομα τοῦ τιμηθέντος καὶ τὸ δεδωκέναι τὸν
54 δῆμον· καὶ τούτων πάλιν ἐν τῷ δημοσίῳ κειμένων. ὅτι τοίνυν
οὐθέν ἐστιν τὸ τῆς ἀπογραφῆς οὐδὲ τὸ ἐν κοινῷ κεῖσθαι
πρὸς τὸ μὴ τῶν εἰληφότων εἶναι τοὺς ἀνδριάντας, πάλαι μὲν
ἴσως ὑπάρχει δῆλον· ἀλλ' ὥστε μηδ' ἐπιχειρῆσαι μηδένα ἀντ-
ειπεῖν, ἐκεῖνο ὑμῖν ἐρῶ. ἴστε που τοὺς Ἐφεσίους, ὅτι πολλὰ 595 R.
χρήματα παρ' αὐτοῖς ἐστι, τὰ μὲν ἰδιωτῶν, ἀποκείμενα ἐν τῷ
νεῷ τῆς Ἀρτέμιδος, οὐκ Ἐφεσίων μόνον, ἀλλὰ καὶ ξένων καὶ
τῶν ὁπόθεν δήποτε ἀνθρώπων, τὰ δὲ καὶ δήμων καὶ βασι-
λέων, ἃ τιθέασι πάντες οἱ τιθέντες ἀσφαλείας χάριν, οὐδε-
νὸς οὐδεπώποτε τολμήσαντος ἀδικῆσαι τὸν τόπον, καίτοι καὶ
πολέμων ἤδη μυρίων γεγονότων καὶ πολλάκις ἁλούσης τῆς
πόλεως. οὐκοῦν ὡς ὅτι μὲν ἐν κοινῷ κεῖται τὰ χρήματα δῆ-
λόν ἐστιν· ἀλλὰ καὶ δημοσίᾳ κατὰ τὰς ἀπογραφὰς ἔθος αὐτὰ
55 τοῖς Ἐφεσίοις ἀπογράφεσθαι. τί οὖν; ἆρά γε καὶ λαμβά-

5. ὑπ' BM, ἀπ' reliq. — 53, 4. γίγνεται. sic dedi. γείνεται M, γίνεται reliq. ‖ 6. οἷόν τε BM. Casaub. r, οἷόν τι vm. ‖ 7. κἂν B. Casaub. r, καὶ reliq. ‖ 11. καὶ τούτων. καὶ τοῦτο πάντων Reisk. — 54, 4. ὥστε. ᾧ γε (et infra ἀντειπεῖν οἴομαι vel νομίζω) Reisk. ‖ 5. που τούς. τούτους M, τοὺς B. ‖ 8. ὁπόθεν δήποτε. sic dedi. ὁπόθεν δήποθεν BM, ὅπουθεν δήποθεν reliq. ‖ 9. ἃ τιθέασι B, ἃ ἐπεὶ τιθέασι Reisk., τιθέασι δὲ Iacobs., τιθέασι reliq. ‖ 10. καίτοι καὶ BM, καὶ om. reliq. ‖ 12. ὡς ὅτι μέν. ὡς οὐ μόνον Reisk., ὡς delet Pflugk. ‖ 13. ἔθος αὐτά. ἃς ἔθος αὐτῶν Reisk. ‖ 14. ἀπογράφεσθαι. συναπογράφεσθαι Pflugk. — 55, 1. γε καί. καὶ om. B.

νουσιν ἐξ αὐτῶν, ὅταν ᾖ χρεία τις, ἢ δανείζονται γοῦν, ὃ
τάχα δόξει μηδὲν εἶναι δεινόν; ἀλλ᾽ οἶμαι πρότερον ἂν περιέ-
λοιεν τὸν κόσμον τῆς θεοῦ πρὶν ἢ τούτων ἅψασθαι. καίτοι
τοὺς Ἐφεσίους οὐκ ἂν εἴποιτε εὐπορωτέρους αὐτῶν· τοὐναν-
τίον γὰρ ὑμεῖς μὲν καὶ πρότερον ἦτε πλουσιώτατοι τῶν Ἑλ-
λήνων καὶ νῦν ἔτι μᾶλλόν ἐστε, ἐκείνους δὲ πολλῶν ἐστιν
56 ἰδεῖν καταδεέστερον πράττοντας. μὴ τοίνυν εἰ ἐκεῖνα μὲν
ἔστιν ἀνελέσθαι τοῖς θεοῖς, τῆς εἰκόνος δὲ οὐθεὶς οὕτως ἐστὶν 596 R
τῆς ἑαυτοῦ κύριος, μὴ καὶ τὸ πρᾶγμα ἀνόμοιον ἡγήσησθε.
τὸ γὰρ μὴ πάντ᾽ εὐθὺς τῆς πόλεως εἶναι τὰ ἐν κοινῷ κείμενα
καὶ δημοσίας ἀπογραφῆς τυχόντα δεῖξαι βουλόμενος, ὃν τού-
τῳ κατὰ τοῦτο ἐχρησάμην. τὸ μέντοι μηθένα πρὸς ἄλλο τι
τὴν εἰκόνα ἔχειν ἢ τὸ ἑστάναι παρ᾽ ὑμῖν, ᾧ μόνῳ διαφέρου-
σιν οὗτοι τῶν ἐκεῖ τὰ χρήματα τιθέντων, ἔτι μᾶλλον ὑπὲρ
αὐτῶν ἐστιν. ἃ γὰρ μηδὲ τοῖς λαβοῦσιν ἔξεστιν ἀνελεῖν, ἦπου 395 M
57 γε τοῖς δεδωκόσιν ἐξεῖναι προσήκει; καθόλου δὲ ἄλλοις ἔγωγε
φιλονεικεῖν ἔοικα πρὸς τὸν εἰπόντα δή, ὡς τῆς πόλεως πάντες
εἰσὶν οἱ ἀνδριάντες. ἐπεὶ τοῦτό γε οὐθέν ἐστι σημεῖον, ὡς
οὐκ ἔστιν ἄτοπον τὸ γιγνόμενον. τὰ γοῦν ἐν τοῖς ἱεροῖς ἀνα-
θήματα, ἃ κατασκευάσασα ἡ πόλις καὶ ἐκ τῶν ἰδίων ἀνατέ-
θεικεν, οὐκ ἂν οὐδεὶς ἀμφισβητήσειεν, ὡς οὐ δημόσιά ἐστιν.
ἆρ᾽ οὖν οὐχὶ δεινόν, εἰ καταχρησόμεθα τούτοις πρὸς ἄλλο
τι; νὴ Δία ταῦτα γάρ ἐστιν ἀναθήματα. αἱ δ᾽ εἰκόνες τι-
μαί· κἀκεῖνα δέδοται τοῖς θεοῖς, ταῦτα δὲ τοῖς ἀγαθοῖς ἀν-
58 δράσιν, οἵπερ εἰσὶν ἔγγιστα αὐτῶν. καίτοι καὶ θεοφιλεῖς
ἅπαντες οἱ χρηστοὶ λέγονται καὶ εἰσίν· εἶτα ἡμᾶς μὲν οὐχ ὁ 597 R
τῶν κτημάτων τι τῶν ἡμετέρων ἀφαιρούμενος, ἀλλὰ κἂν τοὺς

5. αὐτῶν BM. r, ἑαυτῶν Casaub., αὐτῶν reliq. ‖ 7. πολλῶν BM, πολλοῦ reliq. — 56, 1. εἰ Casaub. r, ἢ reliqui. infelicius haec tentavit Seldenus. ‖ 3. μὴ καὶ Obs. p. 36, μὴ Casaub., καὶ Geel., καὶ μὴ reliq. ‖ ἀνόμοιον B. Casaub. r, ἂν ὅμοιον reliq. ‖ 4. τὸ BM. Casaub. r, τὰ vm. ‖ κοινῷ BM. m, τῷ κοινῷ reliq. ‖ κείμενα om. m. ‖ 5. ὃν τούτῳ κατὰ τοῦτο. ὃν om. B, ὅς τούτῳ κατὰ τοῦτο M, λόγῳ τούτῳ κατὰ τοῦτο Casaub., ὃν ταὐτὸ κατὰ ταὐτὸ (vel ἐν τούτῳ κατὰ ταὐτὸ) Selden., ἂν τούτῳ (vel καὶ τούτῳ vel τοιούτῳ) Reisk., ἐν τύπῳ, κατὰ τοῦτο Obs. p. 36, ὡς τύπῳ Geelius. malim nunc ὡς τύπῳ, κατὰ τοῦτο. ‖ 6. μηθένα. μὴ θέντα B. — 57, 3. ἐπεὶ BM. Reisk., ἐπὶ reliq. ‖ 5. καὶ delet Reisk. ‖ 7. καταχρησόμεθα. καταχρησώμεθα B. ‖ 8. εἰκόνες τιμαί. εἰκόνες τί; τιμαὶ Reisk., εἰκόνες τί δαί; Iacobs. ‖ 9. κἀκεῖνα. κἀκεῖναι B. ‖ 10. οἵπερ. εἴπερ B. — 58, 1. καίτοι καί. καὶ δὴ καὶ Pflugk.

φίλους βλάπτῃ τι τοὺς ἡμετέρους, ἀδικεῖ τῷ παντὶ πλέον· τοὺς δέ γε θεοὺς φήσομεν, ὡς ἔοικε, τῶν φίλων μᾶλλον ὀλιγωρεῖν ἢ τῶν κτημάτων; ἀλλὰ πάντα μὲν προσήκει βεβαίως ἔχειν τοὺς κτησαμένους, καὶ ταῦτα ἐν δημοκρατίᾳ καὶ παρ' ὑμῖν, οἳ μέγιστον φρονεῖτε ἐπὶ τῷ νομίμως καὶ δικαίως διοικεῖν τὰ παρ' ἑαυτοῖς, μάλιστα δὲ οἶμαι τὰς τιμὰς καὶ τὰς χάριτας· οὐ μόνον ἐπειδὴ τὰ μὲν ἄλλα καὶ φαῦλος ὤν τις ἂν ἔχοι, χρήματα, οἰκίας, ἀνδράποδα, χώρας, ταῦτα δὲ μόνοις ὑπάρχει τοῖς ἐπιεικέσιν· ἀλλὰ καὶ δι' ἐκεῖνο, ὅτι ταῦτα μὲν ἔστι κεκτῆσθαι καὶ δι' ἑτέρου τρόπου, κληρονομήσαντα ἢ πριάμενον, τῶν δὲ τοιούτων διὰ μόνης ἀρετῆς ἐστιν ἡ κτῆσις.
59 καὶ μὴν ὧν γέ τις τὴν τιμὴν κατέβαλε τοῖς κυρίοις, οὐδ' ἀμφισβητεῖ δήπουθεν οὐδείς, ὡς οὐ δίκαιόν ἐστιν ἐᾶν ἔχειν αὐτόν, τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν πλείονα ᾖ δεδωκώς. οὐκοῦν ἅπαντες οὗτοι δεδώκασι τιμὴν ἕκαστος τῆς εἰκόνος τῆς ἑαυτοῦ, καὶ ταύτην οὐδὲ μετρίαν, οἱ μὲν στρατηγίας λαμπρὰς ὑπὲρ τῆς πόλεως, οἱ δὲ πρεσβείας, οἱ δὲ καὶ τρόπαια ἀπὸ τῶν πολεμίων, οἱ δέ τινες καὶ χρήματα ἴσως, οὐ μὰ Δία χιλίας δραχμὰς οὐδὲ πεντακοσίας, ὅσων ἔστιν εἰκόνας ἀναστῆσαι.
60 τί οὖν; οὐχὶ νενόμισται παρά γε τοῖς μὴ παντάπασιν ἀδίκοις 329 M.
τὸν ἀποστερούμενόν τινος κτήματος ὃ γοῦν κατατέθεικε κομίζεσθαι παρὰ τῶν εἰληφότων; ἆρ' οὖν ἐθέλοιτ' ἂν ἀποδοῦναι 598 R.
τὰς χάριτας, ἀνθ' ὧν ἐψηφίσασθε ἐκείνοις τοὺς ἀνδριάντας; λυσιτελεῖ γοῦν ὑμῖν ἐκτίνουσιν, ἐπειδὴ τὸ λυσιτελὲς οἴονται
61 δεῖν τινες ὁρᾶν ἐξάπαντος. ἐὰν οὖν ᾖ πόλεμον ᾖ τις κατορθωκώς, ὃν εἰ μὴ συνέβη κατορθῶσαι τοῖς τότε, ἡμεῖς οἱ νῦν οὐκ ἂν εἴχομεν τὴν πόλιν, ἢ τὴν ἐλευθερίαν ἡμῖν κεκομισμένος ἢ τῶν οἰκιστῶν ὑπάρχῃ τις· οὐ γὰρ ἔχομεν σαφῶς εἰπεῖν, τίνες εἰσὶν οἷς συμβέβηκεν ἢ συμβήσεται, τοῦ πράγματος εἰκῇ γιγνομένου καὶ μόνον ἔθει τινί· μὴ δυσχερὲς εἰπεῖν ᾖ τὸ μετὰ ταῦτα, ὅτι καὶ τῆς πόλεως αὐτῆς ἀποστῆναι δεήσει βουλομένους

4. τι. τις B. ‖ 5. ὀλιγωρεῖν. ὀλιγορεῖν M. ‖ 6. ἀλλά. ἀλλὰ γὰρ Reisk. — 59, 2. ἐᾶν. ἂν M. ‖ 3. τοσούτῳ. καὶ ταῦτα τοσούτῳ Reisk. ‖ 7. χιλίας. χειλίας M. ‖ 8. δραχμάς. δραγμὰς B. ‖ ὅσων ἔστιν M. Casaub., ὅσον ἐστὶν B, ἔστιν om. reliq. — 60, 2. τὸν om. m. ‖ κατατέθεικε. sic dedi. κατέθεικεν M. vm, κατέθηκεν B. r. ‖ 4. ἐκείνοις B. r, ἐκείνους reliq. ‖ 5. ἐκτίνουσιν B. r ex Interpr., ἐκτείνουσιν reliq. — 61, 2. κατορθῶσαι. κατορθῶσαι M. ‖ τότε B. r ex Interpr., ποτε reliq. ‖ 4. ὑπάρχῃ. ὑπάρχει B. ‖ 6. ᾖ B. r, ἢ reliq. ‖ 7. βουλομένους. sic dedi. βουλομένοις B, ὑμᾶς βουλομένους

Digitized by Google

γε τὰ δίκαια ποιεῖν. εἰ δὲ δή τις εἴη τι τοιοῦτον δεδωκώς, ὃ μηδὲ βουληθέντας ἀποδοῦναι δυνατόν· μύριοι δ' εἰσὶν οἱ τὰς ψυχὰς προέμενοι ἑαυτῶν ὑπὲρ τῆς πόλεως καὶ τοῦ ζῆν ἐωνημένοι τὴν εἰκόνα καὶ τὴν ἐπιγραφήν, καθάπερ εἶπον καὶ πρό-
62 τερον· ἆρ' οὐ δεινὰ πάσχουσιν; οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι οὐχὶ ἡμεῖς ἐσμεν οἱ ταῦτ' εἰληφότες. πρῶτον μὲν γὰρ ἅπαντα ὀφείλουσι τὰ τῶν προγόνων οὐχ ἧττον αὐτῶν ἐκείνων, εἰς οὓς ἂν ποτε καθήκῃ τὸ γένος. οὐ γὰρ ἀφίστα- 599 R
σθαί γε φήσετε τῆς διαδοχῆς εἰς ἅπανθ', ὅσα ἐξ ὧν τότε ἐκείνους τινὲς εὐηργετήκασι καὶ προυθυμοῦντο πάσχοντες ἢ δρῶντες ὑπὲρ αὐτῶν συνήχθη χρήσιμα καὶ μεγάλα ὑμῖν ἔτι νῦν· ἡ δόξα τῆς πόλεως, τὸ μέγεθος, τὸ χωρὶς μιᾶς αὐ-
63 τὴν πασῶν τῶν ἄλλων ὑπερέχειν. εἰ τοίνυν, ὅτι μὴ παρ' ὑμῶν εἰλήφασι, διὰ τοῦτο ἔλαττον ἀδικεῖν οἴεσθε, ἢ εἴ τι τῶν ἄλλων ὑπαρχόντων τινὸς ἀφαιρεῖσθε, τῶν ἄγαν τι φανερῶν ἀγνοεῖτε. πρῶτον μὲν ὅτι πάντες οἵ τινα ἀποστεροῦντες ὁτιοῦν κἀκεῖνον ἀδικοῦσιν οὐχ ἧττον, παρ' οὗ ποτ' ἂν τοῦτο εἰληφὼς τύχῃ· οἷον οἱ τῶν δημοσίων τι καταλύοντες οἰκοδομημάτων, ὅ τις τῶν καθ' ἕνα ἐποίησε χαριζόμενος ὑμῖν, μᾶλ- 330 M
λον ἂν δόξαιεν τὸν ποιήσαντα ἀδικεῖν ἢ τὴν πόλιν. οὐκοῦν 600 R
ὁ αὐτὸς λόγος κἂν πόλις ᾖ τι τῶν ἰδιωτῶν τινι δεδωκυῖα πρὸς τὸν ἀφαιρούμενον τοῦτον. ἆρα ὑμεῖς πρὸς ἐκείνοις, ὧν

Casaub., μὴ βουλομένους r, μὴ βουλομένου reliq. ‖ 8 δή B. Casaub. r, δεῖ reliq. ‖ 9. βουληθέντας BM, βουληθέντα reliq. ‖ 10. προέμενοι Casaub., προειμένοι M. προειμένα reliq. ‖ ἐωνημένοι. ἐῶν ἢ μέντοι M. — 62, 1. οὐ τοίνυν B. Selden., οἵ τοι νῦν reliqui cum antecedentibus copulata. ‖ ἐκεῖνο. ἐκεῖνος M. ‖ 4. καθήκῃ τὸ. καθήκει τὸ M, καθήκητο m. ‖ 5. γε φήσετε BM, γε om. reliq. ‖ εἰς ἅπανθ'. sic dedi. εἶθ' ὅτι πάνθ' B, εἰ τὰ πάνθ' r, εἶτα πάνθ' reliqui. multum a vero aberravit Selden. in Addend. p. 293. ‖ 6. εὐηργετήκασι B, εὐεργέτουν Reisk., εὐεργετοῦσιν reliq. ‖ προυθυμοῦντο B, προεθυμοῦντο reliq. ‖ 7. συνήχθη Reisk., συνήθη reliq. ‖ χρήσιμα BM. Casaub. r, ῥήσιμα vm. ‖ 8. ἔτι. sic dedi. ἐστι M, ἔστιν reliq. — 63, 2. εἴ τι. εἴ τινα (et τῶν ἄλλων τῶν) Reisk. ‖ 5. ὁτιοῦν B. Casaub. r, ὅτι οὖν reliq. ‖ 6. τύχῃ BM. Casaub. r, τύχης reliq. ‖ 7. ὅ τις B. r, ἅ τις Casaub., ὅτ' εἰς reliq. ‖ 8. δόξαιεν Casaub., δόξει B, δείξαιεν reliq. ‖ ἢ τὴν B. Casaub., ἢ om reliqui. Reiskius tale quid desiderat, quale μᾶλλον τοῦ ποιήσαντος ἀδικεῖν τὴν πόλιν. ‖ 9. ὁ αὐτὸς B. Casaub., ὁ om. reliq. ‖ κἂν Reisk., καὶ εἰ ἡ B, καὶ εἰ Casaub., κἂν ἡ Iacobs. Add. p. 100, καὶ ἡ reliq. ‖ ᾖ B. Casaub., ἢ reliq. ‖ 10. τοῦτον. cum Geelio malim τοῦτο. οὕτως cum sequentibus copulatum (et ἄρα) Iacobs. Add. p. 100. ‖ ἆρα. ἆρ' οὖν B, καὶ γὰρ Pflugkius. malim τοιγαροῦν. ‖ ἐκείνοις BM. Casaub. r, ἐκείνας vm.

τὰς εἰκόνας ἀνεστήσατε, καὶ τὴν πόλιν οἶμαι τὴν δεδωκυῖαν
64 ἀδικεῖτε, τουτέστιν ἑαυτούς. ἀλλ᾽ ὁ μὲν εἰς ἄλλον ἁμαρτὼν
ὥστε ἑαυτὸν ὠφελῆσαι κακίᾳ μόνον ἐστὶν ἔνοχος τοῖς πολλοῖς·
ὁ δ᾽ ἑαυτὸν ἀδικῶν ἐν οἷς ἕτερον τῆς μὲν πονηρίας ὑπερβολήν
τινα ἔδειξεν, ἐκ περιττοῦ δὲ ἀνόητος δοκεῖ. πρὸς τούτῳ δ᾽ ἂν
ἴδοι τις καὶ ἕτερον. ὁ μὲν ἀφαιρούμενος ἁπλῶς ὅ τις ἔχει
δικαίως ὅτῳ δήποτε τρόπῳ κτησάμενος κατ᾽ αὐτὸ τὸ πρᾶγμα
ἁμαρτάνει, φύσει τι ποιῶν ἄτοπον· ὁ δὲ τῶν ὑφ᾽ ἑαυτοῦ δε-
δομένων ἐν μέρει τιμῆς καὶ χάριτός τινα ἀποστερῶν οὐ μόνον
τὸ κοινὸν τοῦτο παραβαίνει, καθ᾽ ὃ προσήκει μηδένα βλά-
πτειν, ἀλλὰ καὶ χρηστὸν ἄνδρα ἀδικεῖ καὶ τοῦτον ὃν ἥκιστα
αὐτῷ προσῆκεν. οὐδαμῇ γὰρ ἰδεῖν ἔστι τοῖς φαύλοις τὰς
65 τιμὰς διδομένας οὐδὲ ὑφ᾽ ὧν μηδὲν εὖ πεπόνθασιν. ὅσῳ δὴ
χεῖρον τὸ τοὺς ἀγαθοὺς ἀφαιρεῖσθαι τιμὰς ἢ τὸ τοὺς ἄλλους
καὶ τὸ τοὺς εὐεργέτας βλάπτειν τοῦ τὸν τυχόντα ἀδικεῖν, οὐ-
δένα λανθάνει. καὶ τοίνυν καὶ τοὺς Ἐφεσίους, εἴ τις ἀφέ-
λοι τὸ πρὸς τὴν θεόν, κατ᾽ αὐτὸ τοῦτο φαίη τις ἂν ἁμαρτά- 611 R.
νειν, λαβόντας ἀπ᾽ ἐκείνων τῶν χρημάτων· τοὺς δὲ οὕτω προσ-
φερομένους ταῖς εἰκόσιν οὐ μόνον διὰ τὰ νῦν εἰρημένα δή-
πουθεν, ὅτι μηδὲν προσήκοντας ἀνθρώπους ἔμελλον ἀδικεῖν,
ὧν τοὺς πολλοὺς οὐδὲ ἔγνωσαν, ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ
πράγματος αἰτίαν. τοῖς μὲν γὰρ παρακαταθήκην τινὰ μὴ
φυλάξασιν οὐδεὶς ἂν οὐδὲν ἔτι τῶν ἑαυτοῦ πιστεύσειεν· τοὺς
δὲ ὑβρίζοντας εἰς τοὺς εὐεργέτας οὐδεὶς κρινεῖ χάριτος ἀξίους.
ὥσθ᾽ ὁ κίνδυνος ὑμῖν μὲν ἐν τῷ μηκέτ᾽ εὖ πάσχειν ὑπὸ μηδενός,
66 ἐκείνοις δὲ ἐν τῷ μηκέτι φυλάττειν τὰ ἀλλότρια. βούλομαι
τοίνυν ὑμέτερόν τι ἔργον εἰπεῖν οὐ πάλαι μὲν γεγονός, εὐδο-
κιμοῦν δὲ παρὰ πᾶσιν οὐχ ἧττον τῶν πάνυ παλαιῶν, ἵν᾽ εἰ- 321 M.

11. καὶ τὴν B, τὴν reliq. ‖ 12. ἀδικεῖτε. ἀδικεῖται M. — 64, 3. δ᾽ ἑαυτόν. δὲ αὐτὸν M. ‖ πονηρίας. πονηρίας καὶ οὗτος Reisk. ‖ 4. τούτῳ. τοῦτο B. ‖ 5. ἀφαιρούμενος ἁπλῶς ὅ τις ἔχει δικαίως ὅτῳ δήποτε τρόπῳ κτησάμενος BM, ἀφαιρούμενος (om. cett.) reliq. ‖ 9. τὸ κοινὸν BM, τὸ om. reliq. ‖ μηδένα. μηδὲν M. malim μηδένα μηδέν. ‖ 12. διδομένας BM, διδομένας reliq. — 65, 2. τιμάς. τινὰς B. ‖ 3. καὶ τὸ. τὸ om. B. ‖ 4. ἀφέλοι τὸ Obs. p. 37, ἀφέλοι τι τῶν B, ἀφέλοιτο reliq., ἀφέλοιτο τὸ Iacobs. Add. p. 18. longius a vero aberravit Reiskius. ‖ 6. τοὺς δὲ Selden., δὲ om. reliq. ‖ 10. αἰτίαν. ἀηδίαν Reisk., malim ζημίαν. ‖ 11. φυλάξασιν BM. Reisk., φυλάξουσιν reliq. ‖ 12. κρινεῖ M, de quo Reiskius quoque cogitavit, κρίνει reliq. ‖ 13. ὥσθ᾽. ὡς M. — 66, 3. παλαιῶν Casaub. r, χαλεπῶν reliq.

δῆτε παραθέντες, εἰ καθόλου τοὺς τοιούτους ἄξιόν ἐστι τοιοῦ-
τόν τι ποιεῖν. μετὰ γὰρ τὸν συνεχῆ καὶ μακρὸν ἐκεῖνον Ῥω-
μαίων πόλεμον, ὃν πρὸς ἀλλήλους ἐπολέμησαν, ὅτε ὑμῖν ἀτυ-
χῆσαι συνέβη διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, ἐπειδὴ πέρας
εἶχε τὰ δεινὰ καὶ πάντες ᾤοντο σεσῶσθαι, καθάπερ ἐν ταῖς
μεγάλαις νόσοις πολλάκις δεινοῦ τινος ἐδέησεν βοηθήματος. 608 R
καὶ τότε ἔδοξε τὰ πράγματα ζητεῖν τοιαύτην ἐπανόρθωσιν.
67 ὅθεν πᾶσιν ἐδόθη τοῖς ἔξωθεν χρεῶν ἄφεσις. ἀσμένως δὲ
αὐτῶν προσεμένων καὶ τὸ πρᾶγμα δωρεὰν ἡγησαμένων μόνοι
τῶν ἄλλων ὑμεῖς οὐκ ἐδέξασθε, καίτοι τῆς ἁλώσεως ὑμῖν,
ὅπερ ἔφην, ἄρτι γεγενημένης καὶ τῶν πολεμίων ἐν τῇ πόλει
τὰς οἰκίας μόνον εἰακότων· ἀλλ' ὅμως δεινὸν ὑμῖν ἔδοξεν τὸ
ἐν ὁποίῳ δήποτε καιρῷ παραβῆναί τι τῶν δικαίων καὶ διὰ
τὰς συμφορὰς τὰς καταλαβούσας ἔτι καὶ τὴν πίστιν ἀνελεῖν
τὴν παρ' αὐτοῖς· καὶ τἆλλα πάντα Ῥωμαίοις παραχωροῦντες
οὐκ ἠξιώσατε καθ' ἓν τοῦτο παραχωρῆσαι, τὸ μηδὲν αἰσχρὸν
68 αἱρεῖσθαι κέρδους ἕνεκα. ὧν γὰρ οἶμαι τὴν ἐκείνων πόλιν
ἑωρᾶτε μὴ δεηθεῖσαν δι' ἀρετὴν ἅμα καὶ εὐτυχίαν, τούτου
τὴν ὑμετέραν ἀπεφήνατε μὴ δεομένην διὰ μόνην τὴν ἀρετήν.
οὐ τοίνυν φήσετε ἔλαττον, ὦ ἄνδρες Ῥόδιοι, τὴν χάριν ὀφεί-
λεσθαι τοῖς εὖ πεποιηκόσιν ἢ τοῖς συμβαλοῦσι τὸ χρέος. εἶτα
τὸ μὲν μὴ ἑκόντας ἐκτίνειν τὰ ὀφειλόμενα δεινὸν ὑμῖν ἔδοξεν, 609 R
τὸ δὲ ἀποδόντας ἀφαιρεῖσθαι μέτριον. οὐ γὰρ δὴ τὸ μετὰ
πάντων ἀσχημονεῖν τοῦ μόνους αἴσχιον ὑπειλήφατε. καίτοι
τοσαύτης μεταβολῆς καθ' ὃν εἴρηκα καιρὸν γενομένης καὶ
περὶ πάντα συγχύσεως τά γε δοθέντα ὑπῆρχε βεβαίως ἔχειν
τοῖς προειληφόσι καὶ οὐδεὶς ἐτόλμησεν εἰσπράττειν τοὺς ἤδη
τι κεκομισμένους. ὑμεῖς δὲ νῦν οὐδὲ ἃ ἔφθητε διαλῦσαι τοῖς
εὐεργέταις ἐᾶτε, ἀλλ' οἱ μηδὲ τῶν αὐτῶν μηδὲν ὑπομείναντες

4. ἀξιόν. ἄξιος BM. ‖ 7. ἐπειδὴ πέρας. ἐπειδή περ B. ‖ 8. σεσῶσθαι. σε σῶσαι B. — 67, 5. οἰκίας B. Interpr., οἰκείας reliq. ‖ τὸ B. r ex Interpr., τὸν reliq. ‖ 6. διὰ τὰς συμφορὰς τὰς καταλαβούσας. πρὸς ταῖς συμφοραῖς ταῖς καταλαβοῦσιν Reisk. ‖ 9. ἕν. ἑνὸς Casaubonus (qui servat τούτου). ‖ τοῦτο B. Selden., τούτου τὸ reliq. ‖ 10. αἱρεῖσθαι. αἱρεῖσθε M. — 68, 2. ἑωρᾶτε mr, εὕρετε B, εὕρατε M, εὕρατο v. ‖ 3. ὑμετέραν. ἡμετέραν r. ‖ 4. φήσετε. φήσεται M. ‖ 5. συμβαλοῦσι Reisk., συμβάλλουσι reliq. ‖ 6. ἐκτίνειν B. r ex Interpr., ἐκτείνειν reliq. ‖ 7. τὸ μετὰ πάντων — τοῦ μόνους. τὸ μόνους — τοῦ μετὰ πάντων Vales. p. 58. ‖ 10. πάντα BM. Iacobs., πάντας reliq. ‖ τά γε. sic dedi. τά τε reliq. ‖ 12. κεκομισμένους B. r, κεκοσμημένους M. v, κεκομησμένους m. ‖ οὐδὲ ἃ B. Casaub. r, ἃ om. reliq.

τοτε τοῖς ἄλλοις, καὶ ταῦτα ἐπταικότες, νῦν εὐτυχοῦντες 332 M.
69 πράττετε ὃ μηδὲ ἐκείνων τότε μηδὲ εἷς. καίτοι τὸ μὲν τῶν 604 R.
χρεῶν γεγονὸς εὕροι τις ἂν καὶ ἐν ἄλλῳ χρόνῳ καὶ Σόλωνα
λέγεται παρὰ Ἀθηναίοις ποτὲ ποιῆσαι. δίχα γὰρ τοῦ πολ-
λάκις ἀναγκαίως αὐτὸ συμβαίνειν ἐκ τῆς ἀπορίας τῶν δεδα-
νεισμένων ἔσθ᾽ ὅτε οὐδὲ ἀδίκως γίγνεται διὰ τὸ μέγεθος τῶν
τόκων, ὅταν τινὲς πολλάκις ὦσιν ἐν τούτοις τὰ ἀρχαῖα κεκο-
μισμένοι. τὸ δὲ τὰς χάριτας τὰς ἀντὶ τῶν εὐεργεσιῶν ἀποστε-
ρεῖσθαι τοὺς εἰληφότας οὔτε ἀφορμὴν οὐδεμίαν δύναται πα-
ρασχεῖν εὔλογον οὔτε εἰσηγήσατο οὐδεὶς πώποτε, ἀλλὰ μόνου
70 τούτου σχεδὸν ἁπάντων οὐδέποτε καιρὸς γέγονεν. καὶ μὴν
δύο ταῦτα ὁμοίως τῆς μεγίστης φυλακῆς ἐν τοῖς νόμοις ἠξίω-
ται καὶ ἀρᾶς καὶ ἐπιτιμίων τῶν ἐσχάτων, ἐάν τις εἰσάγῃ
χρεῶν ἀποκοπὰς ἢ ὡς τὴν γῆν ἀναδάσασθαι προσήκει. τού-
των τοίνυν τὸ μὲν παρ᾽ ὑμῖν οὐ γέγονεν· τὸ δὲ λοιπὸν, ὃ μηδ᾽
ὅλως ἴσμεν εἴ ποτε συνέβη, σκέψασθε παραθέντες τῷ νῦν
ἐξεταζομένῳ πράγματι. τῆς μέν γε χώρας ἄνωθεν διαιρου-
μένης τοῦτο ἂν εἴη δεινότατον, τὸ ἐξίσου γίγνεσθαι τὸν ἔχοντα
πρότερον τῷ μὴ κεκτημένῳ· τῆς δὲ εἰκόνος ἑτέρῳ δοθείσης οὐ- 605 R.
δαμῶς ἴσος ἐστὶν ὁ ἀφαιρεθεὶς τῷ λαβόντι. ὁ μὲν γὰρ τέ-
71 τευχεν, εἴπερ ἄρα, τῆς τιμῆς, τῷ δὲ οὐθὲν περίεστιν. φέρε
τοίνυν εἴ τις ἔροιτο τὸν στρατηγὸν ὑμῶν ἐφεστῶτα καὶ κελεύον-
τα ἐκχαράττειν τὴν ἐπιγραφὴν ἕτερον δ᾽ ἐγγράφειν, τί ἐστι
τὸ γιγνόμενον· ἢ νὴ Δία πέφηνέ τι δεινὸν εἰργασμένος τὴν
πόλιν τοσούτοις ἔτεσιν ὕστερον οὗτος ἁνήρ· πρὸς τοῦ Διὸς,
οὐκ ἂν ὑμῖν δοκεῖ διατραπῆναι, καὶ ταῦτα ἐὰν ᾖ μέτριος; ἐγὼ
μὲν γὰρ οἶμαι καὶ τὸν τεχνίτην ἐρυθριάσειν. εἰ δὲ δὴ παῖδες
ἢ συγγενεῖς τινες παρατύχοιεν τἀνδρὸς ἐκείνου, πόσα οἴεσθε
ἀφήσειν αὐτοὺς δάκρυα, ἐπειδὰν ἄρξηταί τις ἀφανίζειν τὸ

15. πράττετε. πράττεται M. — 69, 4. δεδανεισμένων B. r, δεδανισμένων reliq. ‖ 5. ὅτε. ὅτου r. — 70, 2. μεγίστης Reisk., μεγάλης reliq. ‖ 3. ἐπιτιμίων B. r, ἐπιτιμιῶν reliq. ‖ 4. ἀποκοπὰς BM. Reisk., ἀποκοπαὶ reliq. ‖ τούτων. τοῦτο B. ‖ 5. παρ᾽. πᾶν M. ‖ μηδ᾽ ὅλως M, μηδόλως reliq. ‖ 6. ἴσμεν εἰ B. Casaub. r, εἴσμεν εἰ M, εἰς μένει vm. ‖ 11. περίεστιν M, περίεστι reliq. — 71, 3. ἕτερον. ἑτέραν Reisk. ‖ 4. πέφηνέ τι Selden. r, ἀπέφηνέ τι BM, ἀπέφην ἔτι vm, ἀπέφηνέ τι (et εἰργασμένον) Casaub. ‖ 5. ὕστερον om. B. ‖ ἁνήρ. sic dedi. ἀνὴρ reliq. ‖ 6. δοκεῖ Casaub. r, δοκῇ B, om. reliqui. Iacobsius infra scribit δοκεῖ ταῦτα pro καὶ ταῦτα. ‖ καί. κἂν Reisk. ‖ 7. τεχνίτην. τεχνείτην M.

72 ὄνομα; οὐμενοῦν· ἀλλὰ ἐνστήσονται πάντες εἰς ὑμᾶς παριόν-
τες, εἰς τὸν δῆμον βοῶντες. ἆρ' οὖν, οὐδ' ἂν τοιοῦτο συμβῇ,
κωλύσετε οὐδὲ ἐπιστραφήσεσθε; ἐγὼ μὲν οὐδὲν ἂν τοιοῦτον
περὶ ὑμῶν ὑπολάβοιμι, μᾶλλον δὲ καὶ νῦν φημι λανθάνειν 333 M
αὐτὸ γιγνόμενον, ἀλλ' οὐκ ἐάσετε γνόντες· οὐκοῦν νῦν γε 606 R.
ἐπίστασθε δήπουθεν τὸ πρᾶγμα ὅλον, ὥστε καθάπαξ κωλῦ-
σαι προσήκει. νὴ Δία ἀλλ' οὐχ ὅμοιόν ἐστιν, πολλῶν ὄντων,
οἷς μηδεὶς προσήκει, καὶ τοῦ πράγματος συμβαίνοντος ἐπ'
73 οὐδενὶ τῶν γνωρίμων. ἐγὼ δ' ὅτι μὲν οὐκ, εἴ τινες ἀγνοοῦ-
σιν προσήκοντας ἑαυτοῖς ἐνίους τούτων, ὅπερ εἰκὸς, διὰ τοῦτο
ἔλαττον ἀδικοῦνται τῶν προγόνων ἀτιμαζομένων, ἀφίημι·
χαλεπώτερον δὲ ἄλλως εἶναί μοι δοκεῖ τὸ γιγνόμενον εἰς ἐκεί-
νους, οἷς μηδὲ ἔστιν οἰκεῖος μηδὲ εἷς ἔτι. καὶ γὰρ τῶν ζώντων
δοκεῖ δεινότερον εἶναι τούτους ἀδικεῖν, οἷς μηδὲ εἷς ἔστιν ὁ
βοηθῶν ἔτι. ἐπεὶ κατά γε τοῦτο λεγέτωσαν μηδὲν εἶναι χα-
λεπὸν μηδὲ τὸ τοὺς ὀρφανοὺς βλάπτειν τοὺς παντάπασιν ἐρή-
μους, οἳ μήτε ἑαυτοῖς ἀμύνειν δύνανται μήτε ἄλλον ἔχουσι
τὸν κηδόμενον. ἀλλὰ ὑμεῖς τοὐναντίον καὶ μᾶλλον ἐπὶ τού-
τοις ἀγανακτεῖτε καὶ δημοσίᾳ καθίστασθε ἐπιτρόπους, ὅπως
74 μηδὲν ἀδικῶνται. καθόλου δὲ πάντων ὧν μέλλουσιν ἐρεῖν
λόγων οὐδενὸς ἔχοντος ἐπιεικὲς οὐδὲν, ὁ τοιοῦτός ἐστιν ἀτο- 607 R.
πώτατος, ὡς ἄρα οὐδενὸς ἅπτονται τῶν γνωρίμων ἀνδριάν-
των οὐδὲ οὓς ἐπίσταταί τις ὧν εἰσιν, ἀλλὰ ἀσήμοις τισὶ καὶ
σφόδρα παλαιοῖς καταχρῶνται. καθάπερ εἴ τις λέγοι μηδένα
τῶν ἐπιφανῶν ἀδικεῖν πολιτῶν, ἀλλὰ τοὺς δημοτικοὺς καὶ
οὓς μηδεὶς οἶδεν. καίτοι μὰ τὸν Δία οὐχ ὅμοιον. ἐν μὲν γὰρ
τοῖς ζῶσι καὶ δι' εὐγένειαν καὶ δι' ἀρετὴν ἄλλος ἄλλου
φανερώτερός ἐστι, καὶ διὰ πλοῦτον τοῦτο συμβαίνει καὶ δι'
ἑτέρας προφάσεις ἀξιολόγους· ἐπὶ δὲ τῶν εἰκόνων μὴ τοὐναν-

72, 1. οὐμενοῦν. οὐ μόνον μὲν, ἀλλὰ Selden. ‖ 2. δῆμον. δῶμον r. ‖ 3. κωλύσετε. κωλύσεται M. ‖ μὲν. μὲν οὖν B. ‖ 5. οὐκοῦν BM, οὔτε γοῦν reliqui. totum locum sic scribit Pflugkius: γνόντες, τὸ γοῦν νῦν γε, ἐπεὶ ἐπίστασθε. ‖ 7. προσήκει aut tollendum videbatur Reiskio, aut ᾗ προσήκει scribendum, aut ante hoc v. distinguendum. nimirum vulgo post νὴ Δία puncto distinctum erat, quod collocavimus ante νὴ Δία. ‖ ὅμοιόν. malim οἷόν τε. — 73, 5. εἷς BM. r ex Interpr., εἰς vm. ‖ 7. βοηθῶν ἔτι. ἐπεὶ M, βοηθῶν. ἐπεὶ B. Progr. p. 29, βοηθῶν ἔτι. ᾗ Reisk., βοηθῶν. ἔτι reliq. ‖ 11. καθίστασθε. καθίστασθαι M. — 74, 4. ἀσήμοις. ἀσίμοις M. ‖ 10. μὴ. ὁρᾶτε μὴ (vel μὴ omittendum, vel scribendum μὴ ἀδίκως) Reisk.

τίον λέγοι τις ἄν, ὡς εἰσιν αυται βελτιόνων ἀνδρῶν. οὐ γαρ
δι' ἀγένειαν ἢ κακίαν τινὰ οὐκ ἐπιστάμεθα αὐτούς, οἵ γε
τῶν αὐτῶν τοῖς λαμπροτάτοις τετεύχασιν, ἀλλὰ διὰ μῆκος
75 χρόνου τοῦτο γέγονεν. ὅσῳ τοίνυν τοὺς πρότερον ἀεὶ τῶν
ἐπιγιγνομένων πάντες ἡγοῦνται φύσει κρείττους, καὶ τὸ πάλαι
τυχεῖν τινας τούτου σπανιώτερον ὑπῆρχε, τοσούτῳ περὶ ἀμεί-
νους ἄνδρας καὶ μειζόνων ἀγαθῶν αἰτίους ὁμολογοῦσιν ἁμαρ- 334 M.
τάνειν. ὅτι δ' ἀληθῆ ταῦτα ἀμφότερα, δῆλον. τούς τε γὰρ
σφόδρα ἀρχαίους ἡμιθέους ὄντας ἐπιστάμεθα, καὶ τοὺς μετ'
αὐτοὺς οὐ πολὺ ἐκείνων χείρονας· ἔπειτα τοὺς ἐφεξῆς ἐλάτ-
τονας ἀεὶ κατὰ τὸν χρόνον, καὶ τέλος τοὺς νῦν ὁποίους ἡμᾶς
αὐτοὺς οἴδαμεν. καὶ πρότερον μὲν οὐδὲ τοῖς ἀποθνήσκουσι
πᾶσιν ὑπὲρ τῆς πόλεως ἦν ἱστάναι χαλκοῖς, ἀλλ' εἰ μή τις
ὑπερφυᾶ καὶ θαυμαστὰ πράξειε· νῦν δὲ τοὺς καταπλέοντας 608 R.
τιμῶμεν, ὥστ', εἴπερ ἄρα, τοὺς ὕστερον μᾶλλον καὶ τοὺς
76 ἔγγιστα νῦν ἀνακειμένους μεταποιητέον. οὐδὲ γὰρ ἐκεῖνο
ἀγνοεῖτε δήπουθεν, ὅτι πάντες οἱ νοῦν ἔχοντες τοὺς παλαιοὺς
τῶν φίλων μᾶλλον ἀγαπῶσιν καὶ περὶ πλείονος ποιοῦνται τῶν
δι' ὀλίγου γεγονότων, καὶ τούς γε πατρικοὺς τῷ παντὶ πλέον
ἢ τοὺς ὑφ' αὑτῶν ἐγνωσμένους. οἱ μὲν γὰρ τὰ πρὸς τούτους
παραβαίνοντες μόνους αὐτοὺς ἀδικοῦσιν, οἱ δὲ τῶν πρὸς ἐκεί-
νους τι λύοντες καὶ τῶν κτησαμένων αὐτοὺς ὀλιγωροῦσιν.
77 καθόλου δέ, ὥσπερ ὅταν τῶν ζώντων τις ἐξετάζηται παρ'
ὑμῖν, ὃν αὐτοὶ μὴ σφόδρα οἴδατε ἢ παντάπασιν ἀγνοεῖτε,
τοῖς ἐπισταμένοις αὐτοὺς προσέχετε καὶ τίθεσθε τὴν ψῆφον
κατὰ τοὺς μάρτυρας, ἄλλως τε ἂν ὦσιν οὗτοι μὴ πονηροί·
ταὐτὸ καὶ νῦν ποιήσατε· ἐπεὶ καὶ περὶ ἀνδρῶν ὁ λόγος ἐστίν, 609 R.
οὓς φασι μηδένα εἰδέναι τῶν ζώντων· παρὰ τῶν ἐγνωκότων
αὐτοὺς μάθετε. οἱ τοίνυν τότε ὄντες καὶ σαφέστατα ἐκείνους

75, 6. ἡμιθέους om. m. ‖ 10. ἀλλ' εἰ μή. ἀλλ' εἰ (vel ἀλλ' εἰ δή) Reisk., πλὴν εἰ μὴ Pflugkius. at conf. Orat. 30. § 5, ubi Pflugkius ἀλλ' εἰ μὴ in πλὴν εἰ μὴ mutat, et Orat. 45. § 1. ‖ 12. ὥστ' εἴπερ M. Selden., ὡς εἴπερ B, ὥσπερ ἴσως Casaub. ex interpr., οὐκοῦν εἴπερ Iacobs., οὔπερ reliq. ‖ 13. νῦν. τοὺς νῦν vel ἡμῖν Reisk. — 76, 2. ὅτι πάντες οἱ νοῦν ἔχοντες om. M. ‖ 5. ἐγνωσμένους BM. Selden. r, ἐγνωμένους vm. — 77, 2. ὅν. sic dedi. ὃν ἂν reliq. ‖ αὐτοὶ μὴ BM, αὐτοὶ οὐ Selden., αὐτοὶ reliq. ‖ 3. τίθεσθε. τίθεσθαι M. ‖ 4. ἄλλως τε ἂν BM. Casaub. r, ἀλλ' ὥστε ἂν reliq., ἄλλως τε καὶ Iacobs. ‖ 5. καὶ νῦν ποιήσατε BM. Reisk., νῦν ποιήσετε reliq.

Digitized by Google

εἰδότες εὐεργέτας ἡγοῦντο τῆς πόλεως καὶ τῶν μεγίστων
ἠξίουν· οἷς οὐ θεμιτὸν ὑμᾶς ἀπιστεῖν, ὑμετέροις γε οὖσι προ-
78 γόνοις, οὐδὲ φῆσαι πονηρούς. οὐ τοίνυν οὐδὲ τοιοῦτον οὐδὲν
ἔστιν εἰπεῖν, ὡς κατὰ πολὺν χρόνον ἐσχήκασι τὰς τιμάς· οὐ
γὰρ ἔσθ' ὅπως δείξουσι πλείονα ἐκείνους χρόνον τιμωμένους
ὑπὸ τῆς πόλεως ἢ τὴν πόλιν ὑπ' αὐτῶν εὖ πεπονθυῖαν. ὥσπερ
οὖν ὁ χρέος πάλαι μὲν ὀφείλων, πάλαι δὲ ἀποδοὺς, οὐθὲν
πλέον τι πεποίηκεν τοῦ νῦν ἀποδιδόντος, ὅτε εἴληφεν· ὁμοίως
οὐδ' εἴ τις πάνυ πρὸ πολλοῦ τινα ἠμείψατο τότε εὖ παθών. 335 M.
79 ἄλλως τε εἰ μὲν ἀτέλειαν ἢ χρήματα ἢ γῆν ἢ τοιοῦτόν τι δε-
δωκότες ἀφῃρεῖσθε, μᾶλλον ἂν ἴσως ἠδικοῦντο οἱ μετὰ ταῦτα
εἰληφότες· ὁ γὰρ χρόνον τινὰ κατασχὼν τὰ τοιαῦτα ὠφέλη-
ταί τι καὶ προείληφεν· ἐπὶ δὲ τῆς τιμῆς οὐδὲν ἔστι τοιοῦτον.
οἱ μὲν γάρ εἰσιν εὐπορώτεροι καὶ τὸν ἄλλον χρόνον· ἃ γὰρ
ἐκτήσαντο ἀπὸ τούτων ἔχουσιν· τοῖς δὲ τοὐναντίον ἀτιμοτέ-
ροις ὑπάρχει γεγονέναι. ὅπου μὲν γὰρ ἐλάττων ἡ ζημία τοῖς
πολὺν χρόνον καρπωσαμένοις, ὅπου δὲ ἡ ἀτιμία μείζων τοῖς
80 σφόδρα παλαιᾶς τιμῆς ἀφαιρουμένοις. ὅτι τοίνυν οὐδὲ ἀσε-
βείας ἀπήλλακται τὸ γιγνόμενον, μάλιστα ὃν οὗτοί φασι 610 R.
τρόπον, κἂν ὑπερβολῆς ἕνεκα δόξω τισὶ λέγειν, οὐχ ὡς πρό-
τερον εἶπον, ὅτι πάντα ἁπλῶς ἀσεβήματά ἐστι τὰ περὶ τοὺς
τεθνεῶτας γιγνόμενα, ἀλλὰ ὅτι καὶ πάντες ἥρωας νομίζουσι
τοὺς σφόδρα παλαιοὺς ἄνδρας, ἐὰν μηθὲν ἐξαίρετον ἔχωσι,
δι' αὐτὸν οἶμαι τὸν χρόνον. τοὺς δὲ δὴ σεμνοὺς οὕτως καὶ
τῶν μεγίστων ἠξιωμένους, ὧν ἔνιοι καὶ τὰς τελετὰς ἐσχήκασιν
ἡρώων, τοὺς τοσαῦτα ἔτη κειμένους, ὥστε καὶ τὴν μνήμην
ἐπιλελοιπέναι, πῶς ἔνι τῆς αὐτῆς τυγχάνειν προσηγορίας, ἧς
οἱ τεθνηκότες ἐφ' ἡμῶν ἢ μικρὸν ἔμπροσθεν, ἄλλως δὲ μηδε-

78, 1. οὐ BM. r, οὗ vm. ‖ 2. ὡς κατὰ B, ὅτι Reisk., κατὰ reliq. ‖ πολὺν. πολὺ M. ‖ 3. ἐκείνους BM. r, ἐκείνου vm. ‖ 5. ὀφείλων. ὀφίλων M. — 79, 1. ἄλλως τε. ἐναντίως δὲ Geelius (idem οἶμαι εἰ pro εἰ μὲν). frustra. ‖ εἰ B. Casaub. r, οἱ reliq. ‖ 2. ἀφῃρεῖσθε Casaub., ἀφαιρεῖσθε B. r, ἀφαιρεῖσθαι reliq. ‖ μετὰ ταῦτα. ἄρτι ταῦτα Geelius, μὴ ταῦτα Pflugkius. at conf. § 145. ‖ 3. ὠφέληταί. ὠφελεῖταί B, ὠφελῆταί M. ‖ 4. προείληφεν. προσείληφεν B. ‖ 7. ἐλάττων. ἔλαττον B. ‖ 8. δὲ ἡ B, δὴ M, δὲ reliq. ‖ μείζων. μεῖζον B. — 80, 1. ὅτι. ἔτι (aut infra λέγειν ἐρῶ) Reiskius, cuius adnotatio ad inferius ὅτι aberravit. Casaubonus supplebat φανερόν ἐστιν (aut φαίην ἔγωγε). ‖ 5. γιγνόμενα. γιγνόμενα οὐκ ὀρθῶς Geelius, qui confert § 14. ‖ 6. ἐάν. ἐὰν καὶ Reisk., malim cum Geelio κἄν. ‖ 8. καὶ τὰς τὰς delet Reisk. ‖ 9. καὶ τὴν BM, καὶ om. reliq. ‖ 10. ἔνι. ἐν εἶ M, ἔνι οὐ Reisk. ‖ 11. ἄλλως δὲ Reisk., ἄλλως

81 νὸς ἄξιοι φανέντες; καὶ μὴν τά γε εἰς τοὺς ἥρωας ἀσεβήματα
οὐδ' ἂν ἀμφισβητήσειεν οὐδεὶς ὡς οὐχὶ τὴν αὐτὴν ἔχει τάξιν,
ἣν τὰ περὶ τοὺς θεούς. τί οὖν; οὐκ ἀδίκημά ἐστι τὸ τὴν
μνήμην ἀναιρεῖν; τὸ τὴν τιμὴν ἀφαιρεῖσθαι; τὸ ἐκκόπτειν τὸ
ὄνομα; δεινόν γε καὶ σχέτλιον, ὦ Ζεῦ. ἀλλ' ἐὰν μὲν στέφα-
νόν τις ἀφέλῃ τὸν μίαν ἴσως ἢ δευτέραν μενοῦντα ἡμέραν, ἢ
κηλῖδά τινα τῷ χαλκῷ προσβάλῃ, τοῦτον ἡγήσεσθε ἀσεβεῖν·
τὸν δὲ ὅλως ἀφανίζοντα καὶ μετατιθέντα καὶ καταλύοντα
82 τὴν δόξαν οὐδὲν ποιεῖν ἄτοπον; ἀλλ' ἐὰν μὲν δοράτιον ἐξέλῃ
τις ἐκ τῆς χειρὸς ἢ κράνους ἀποῤῥήξῃ τὸν λόφον ἢ τὴν ἀσπίδα 336 M.
τοῦ βραχίονος ἢ χαλινὸν ἵππου, τῷ δημοσίῳ τοῦτον εὐθὺς 611 R.
παραδώσετε, καὶ τὴν αὐτὴν ὑπομενεῖ τιμωρίαν τοῖς ἱεροσύ-
λοις, ὥσπερ ἀμέλει καὶ πολλοὶ τεθνήκασι διὰ τοιαύτας αἰτίας,
καὶ πλέον οὐδὲν λέγουσιν αὐτοῖς, ὅτι τῶν ἀνωνύμων τινὰ καὶ
σφόδρα παλαιῶν ἐλωβήσαντο εἰκόνων· δημοσίᾳ δὲ ἡ πόλις
τῷ παντὶ χείρων καὶ φαυλοτέρα φανεῖται περὶ τοὺς ἥρωας;
83 καὶ τοίνυν ἐὰν εἴπῃ τις εἰσελθών, ὅτι πεφώραταί τις ξένος ἢ
καὶ πολίτης ἢ χεῖρα ἢ δάκτυλον ἀφαιρῶν ἀνδριάντος, βοή-
σεσθε καὶ παραχρῆμα ἐπιθεῖναι κελεύσετε ἐπὶ τὸν τροχόν.
καίτοι χειρὸς μὲν ἀφαιρεθείσης ἢ δόρατος ἢ φιάλης, ἐὰν τύχῃ
κρατῶν, ἡ τιμὴ μένει καὶ τὸ σύμβολον ἔχει τῆς ἀρετῆς ὁ τι-
μηθείς, ὁ δὲ χαλκὸς μόνος ἐλάττων γέγονεν· τῆς δὲ ἐπιγραφῆς
ἀναιρουμένης ἀνῄρηται δήπουθεν ἡ μαρτυρία καὶ τὸ δοκεῖν
84 ἄξιον ἐπαίνου γεγονέναι τὸν ἄνθρωπον. βούλομαι τοίνυν
ὅπερ Ἀθήνησι μὲν οἶδα γιγνόμενον, οἶμαι δὲ κἀνταῦθα γίγ-
νεσθαι κατὰ νόμον πάνυ καλῶς ἔχοντα, εἰπεῖν πρὸς ὑμᾶς.
ἐκεῖ γὰρ ὅταν δημοσίᾳ τινὰ δέῃ τῶν πολιτῶν ἀποθανεῖν ἐπ'
ἀδικήματι, πρότερον αὐτοῦ τὸ ὄνομα ἐξαλείφεται. τίνος
ἕνεκα; ἑνὸς μέν, ὅπως μηκέτι δοκῶν πολίτης εἶναι πάσχῃ τι
85 τοιοῦτον, ἀλλ' ὡς δυνατὸν ἀλλότριος γεγονώς. εἶτ' οἶμαι καὶ
τῆς τιμωρίας αὐτῆς τοῦτο μέρος οὐκ ἐλάχιστον δοκεῖ, τὸ μηδὲ

τε reliq. — 81, 7. κηλῖδά. sic dedi. κηλεῖδα M, κηλῖδα reliq. ‖ ἡγήσεσθε. ἡγήσεσθαι M. — 82, 2. ἀποῤῥήξῃ. ἀποῤῥήξη M. ‖ 3. χαλινόν. χαλινὸν M. ‖ 6. ὅτι M. v, εἴη ὅτι Casaub., ἢ ὅτι reliq. ‖ 7. εἰκόνων BM, εἰκόνα reliq. — 83, 1. τοίνυν. νῦν (mrg. vulg.) M. ‖ εἴπῃ BM, εἴποι reliq. ‖ 2. βοήσεσθε. βοήσεσθαι M. ‖ 3. κελεύσετε. κελεύσεται M. ‖ 6. γέγονεν M, γέγονε reliq. — 84, 2. Ἀθήνησι μέν. Ἀθήνησιν M. ‖ 5. αὐτοῦ τὸ ὄνομα M, τὸ ὄνομα αὐτοῦ reliq. ‖ 6. ἕνεκα. εἵνεκα M. ‖ 7. τοιοῦτον M, τοιοῦτο reliq. — 85, 2. μηδὲ τὴν BM, τὴν om. reliq.

Digitized by Google

τὴν προσηγορίαν ἔτι φαίνεσθαι τοῦ προελθόντος εἰς τοῦτο
κακίας, ἀλλ' ἠφανίσθαι παντελῶς, καθάπερ οἶμαι τὸ μὴ 612 R
θάπτεσθαι τοὺς προδότας, ὅπως μηδὲν ᾖ σημεῖον εἰσαῦθις
ἀνδρὸς πονηροῦ. φέρε οὖν, ἐὰν εἴπῃ τις ἐπὶ τοῖς εὐεργέταις
τοῦτο γίγνεσθαι παρ' ὑμῖν, ὃ παρὰ πολλοῖς ἔθος ἐστὶν ἐπὶ
τοῖς κακούργοις, ἆρ' οὐ σφόδρα ἀλγήσετε; μὴ τοίνυν ἀχθε-
σθῆτε τῷ νῦν αὐτὸ δοκοῦντι εἰρηκέναι· τοῦ γὰρ μηκέτι μηδ'
86 ἀεὶ λέγεσθαι γένοιτ' ἂν ὑμῖν αἴτιος. καὶ μὴν ἐάν τις ἓν μόνον
ἐκχαράξῃ ῥῆμα ἀπὸ στήλης τινὸς, ἀποκτενεῖτε αὐτὸν, οὐκέτι 331 M
ἐξετάσαντες, ὅ τι ἦν ἢ περὶ τίνος; καὶ εἰ δή τις ἐλθὼν οὗ τὰ
δημόσια ὑμῖν γράμματά ἐστιν κεραίαν νόμου τινὸς ἢ ψηφί-
σματος μίαν μόνην συλλαβὴν ἐξαλείψειεν, οὕτως ἕξετε, ὥσπερ
ἂν εἴ τις ἀπὸ τοῦ ἅρματός τι καθέλοι; οὐκοῦν ὁ τὴν ἐπιγρα-
φὴν ἀναιρῶν εἰκόνος τινὸς ἧττόν τι ποιεῖ τοῦ τὴν στήλην
ἀποχαράττοντος; καὶ μὴν ὅλον γε ἐξαλείφει τὸ ψήφισμα,
καθ' ὃ τὴν τιμὴν ἐκεῖνος ἔλαβε, μᾶλλον δὲ ἄκυρον ποιεῖ γε-
γραμμένον. ἀλλ' εἴ τις καταδικασθεὶς ὑπὲρ ὅτου δήποτε καὶ
ζημίαν τινὰ ὀφλὼν, λαθὼν ἢ διαπραξάμενος ἐξαλείψειεν ἑαυ- 613 R
τὸν, καταλύειν δόξει τὴν πολιτείαν· ὥστε δεινότερον ὑμῖν
δοκεῖ τὸ ζημίας τινὰ ἀπαλλάττειν αὐτὸν τοῦ τιμῆς ἀποστερεῖν
87 ἄλλον. οὐ τοίνυν οὐδὲ ἐκεῖνό ἐστιν ἀφετέον· ἐπείπερ τοὺς
λόγους ὡς ἐπ' ἀσεβήματι ἐποιησάμην· ἐπίστασθε γὰρ σαφῶς,
ὅτι ἅπασα μὲν ἡ πόλις ἐστὶν ἱερὰ, τῶν δὲ ἀνδριάντων πολλοὺς
ἂν εὕροιτε τῶν ἐν αὐτοῖς τοῖς ἱεροῖς ἑστηκότων τοῦτο πεπον-
θότας. καὶ γὰρ ἀρχαιοτάτους συμβέβηκε τούτους εἶναι, καὶ
τῶν στρατηγῶν ὃν ἂν ἕκαστος ἐθέλῃ θεραπεύειν, ὡς ὑμῶν
τιμώντων, φιλοτιμεῖται τοῦτον ὡς κάλλιστα ἑστάναι. καὶ τί
δεῖ λόγων; οἶμαι γὰρ μηθένα ἂν ἀντειπεῖν, ὅτι καὶ τῶν οὕτω

3. φαίνεσθαι. φέρεσθαι BM. ‖ 5. σημεῖον εἰσαῦθις BM, εἰσαῦθις om. reliq. ‖ 6. εἴπῃ BM. Iacobs., εἴποι reliq. ‖ 7. γίγνεσθαι M, γίνεσθαι reliq. ‖ ὅ. οἱ M. ‖ 8. ἀλγήσετε. ἀλγήσεται M. — 86, 2. ἀποκτενεῖτε BM, οὐ κτενεῖτε v, οὐ ἀποκτενεῖτε reliq. ‖ 3. καὶ εἰ. καὶ om. M. ‖ 5. μίαν. ἢ μίαν M. ‖ ἐξαλείψειεν. ἐξαλίψειεν M. ‖ 6. τι. τινὰ B. ‖ 8. ἐξαλείφει. ἐξαλίφει M. ‖ 11. ὀφλὼν, λαθὼν Obs. p. 37, λαθὼν BM. Reisk., λαχὼν reliqui. totum locum sic constituit Pflugkius: δήποτε, ἢ δύναμίν τινα λαβὼν ἢ διαπραξάμενος cett. ‖ ἐξαλείψειεν. ἐξαλίψειεν M. ‖ 13. δοκεῖ Pflugk., ἐδόκει reliq. ‖ τινὰ M. Pflugk., τινὸς reliq. ‖ αὑτὸν Pflugk., αὐτὸν reliq. — 87, 2. ἐπίστασθε. ἐπίστασθαι M. ‖ 6. ὃν ἂν M, ὧν ἂν B, ἂν om. reliq. ‖ ἐθέλῃ BM, ἐθέλει reliq. ‖ 8. μηθένα. sic dedi. μηθὲν M, μηδένα Reisk., μηδὲν reliq. ‖ ἂν ἀντειπεῖν ὅτι Reisk., ἀντειπεῖν ὅτι M, ἄν τι ποιεῖν ὅτι B, ἀντιποιεῖν οὕτω Selden., ἀντειπεῖν ὡς οἵ

Digitized by Google

κειμένων, εἰ μὴ καὶ καθάπερ ἐγὼ νῦν ἔλεγον οἱ πλείους εἰσὶ
μετωνομασμένοι, τινὲς δ' οἶμαι καὶ σφόδρα ἐγγὺς παρεστῶτες
88 τοῖς θεοῖς. εἶθ' ὅποι μηδὲ τοὺς κακὸν δράσαντας ἐάνπερ
καταφύγωσιν ἔθος ἐστὶν ἀδικεῖν, τοὺς εὐεργέτας οὐ δεινὸν
ἐὰν φαινώμεθα ἀδικοῦντες; καὶ τὴν ἀσυλίαν, ἣν παρέχουσι
τοῖς φαύλοις οἱ τοιοῦτοι τόποι, μόνοις ὡς ἔοικε τοῖς ἀγα-
θοῖς οὐ δυνήσονται παρέχειν; ἀλλ' ἐὰν μὲν θυμιατήριόν τις
ἀλλάξῃ τῶν ἔνδον κειμένων ἢ φιάλην, ἱερόσυλος οὐχ ἧττον
νομισθήσεται τῶν ὑφαιρουμένων· ἐὰν δ' εἰκόνα ἀλλάξῃ καὶ 611 R.
89 τιμήν, οὐθὲν ἄτοπον ποιεῖ; καίτοι καὶ τοὺς ἀνδριάντας οὐχ
ἧττον ἀναθήματα εἴποι τις ἂν εἶναι τῶν θεῶν τοὺς ἐν τοῖς
ἱεροῖς· καὶ πολλοὺς ἰδεῖν ἔστιν οὕτως ἐπιγεγραμμένους, οἷον· 338 M.
ὁ δεῖνα ἑαυτὸν ἀνέθηκεν ἢ τὸν πατέρα ἢ τὸν υἱὸν ὅτῳ δήποτε
τῶν θεῶν. ἐὰν οὖν ἀπὸ τῶν ἄλλων ἀναθημάτων ἀφελών τις
τοῦ θέντος τὸ ὄνομα ἄλλον ἐπιγράψῃ, μόνον τοῦτον οὐκ ἀσε-
βεῖν φήσομεν; ὁ δέ τοι Ἀπόλλων οὐκ εἴα δήπουθεν ἐκ τοῦ
περιβόλου τοὺς νεοττοὺς ἀναιρεῖσθαι τὸν Κυμαῖον, ἱκέτας
90 ἑαυτοῦ λέγων. δι' ὧν τοίνυν πειράσονταί τινες τὸ πρᾶγμα
ἀποφαίνειν ἐπιεικέστερον, τῷ παντὶ χεῖρον ἀποδείξουσιν. οἷον
ὅταν λέγωσι, τοῖς σφόδρα ἀρχαίοις καταχρῆσθαι, καί τινας
εἶναι καὶ ἀνεπιγράφους. εἰ γὰρ δοίη τις αὐτοῖς οὕτω τοῦτο
ἔχειν, οὐκ ἂν εἴποιμι τὸ πρόχειρον, ὡς ἄρα ἐγὼ νῦν ὑπὲρ τῶν 615 R.
ἐπιγεγραμμένων ποιοῦμαι τὸν λόγον· ἀλλ' οὐδὲ ἐκείνων φημὶ
δεῖν ἅπτεσθαι. σκοπεῖτε γάρ, ἄνδρες Ῥόδιοι, τὴν αἰτίαν,
δι' ἣν εἰκὸς τεθῆναί τινας οὕτως. οὐ γὰρ ἐκλαθέσθαι γε
οὐδὲ ὀκνῆσαι τὸν ἱστάντα εἰκὸς οὐδὲ φείσασθαι τῆς εἰς τοῦτο
91 δαπάνης. οὐ γὰρ ἦν οὐδεμία. λοιπὸν οὖν τῶν δύο θάτερον·
ἢ τῷ σφόδρα εἶναί τινας μεγάλους καὶ κατ' ἀλήθειαν ἥρωας
οὐκ ᾤοντο δεῖν ἐπιγράφειν ὡς ἂν ἅπασι γνωρίμους ὄντας,
ἡγούμενοι διὰ τὴν ὑπερβολὴν τῆς τότε οὔσης δόξης εἰς ἅπαντα
καὶ τὸν αὖθις χρόνον παραμενεῖν τὸ ὄνομα· ἢ τινων ἡμιθέων

τινες Pflugk., ἄν τι ποιεῖν οὕτω reliq. ‖ τῶν οὕτω. τῶν οὕτως M. ‖ 9. εἰ μὴ καὶ M, εἰ μὴ reliqui, quod delebat Reiskius. ‖ 10. δ' om. M. — 88, 3. φαινώμεθα. φαινόμεθα M. ‖ 5. θυμιατήριόν. θημιατήριόν r. ‖ 7. ὑφαιρουμένων M, ἀφαιρουμένων reliq. ‖ δ'. δὲ M. — 89, 6. ἐπιγράψῃ· deesse quaedam vidit Reiskius. ‖ 7. τοι in M a corr. add. ‖ 8. νεοττούς. νεωττοὺς M. — 90, 4. εἶναι καί. καὶ om. m. ‖ οὕτω τοῦτο B, οὕτως τοῦτο M, τοῦτο οὕτως reliq. ‖ 8. εἰκός. εἰκὼς M. — 91, 5. παραμενεῖν. παραμένειν B. m. ‖ τὸ ὄνομα. τὰ ὀνόματα Casaub. (idem mox

ἢ καὶ θεῶν ὄντας ὕστερον ἀγνοηθῆναι διὰ τὸν χρόνον. τοὺς
γὰρ θεοὺς ἐπιγράφειν οὐκ ἔστιν ἔθος· ὡς ἔγωγε οὐκ ἀπελ-
92 πίζω καὶ τῶν ἄλλων τινὰς εἶναι τοιούτους. ἐν γοῦν Θήβαις
Ἀλκαῖος ἀνάκειταί τις, ὃν Ἡρακλέα φασὶν εἶναι, πρότερον
οὕτω καλούμενον· καὶ παρ᾽ Ἀθηναίοις Ἐλευσινίου μύστου
παιδὸς εἰκὼν οὐκ ἔχουσα ἐπιγραφήν· κἀκεῖνον εἶναι λέγουσιν
Ἡρακλέα. καὶ παρ᾽ ἑτέροις οἶδα πολλοὺς τοὺς μὲν ἡμιθέων
τοὺς δὲ ἡρώων ἀνδριάντας, οἷον Ἀχιλλέως, Σαρπηδόνος, Θη-
σέως, διὰ τοῦτο ἀρχῆθεν οὐκ ἐπιγραφέντας. καὶ Μέμνονος
ἐν Αἰγύπτῳ κολοσσὸν εἶναι λέγουσιν. ἀλλ᾽ ἐπ᾽ ἐνίων μὲν ἡ
δόξα παρέμεινε καὶ διεφύλαξε τὴν φήμην ὁ χρόνος· οὐ μὴν
93 ἐπὶ πάντων συνηνέχθη δι᾽ ἣν δήποτ᾽ οὖν αἰτίαν. οὐκοῦν καὶ 616 R.
παρ᾽ ὑμῖν οὐκ ἀδύνατον εἶναί τινας τοιούτους. οἷον οὖν ἐστιν
Ἡρακλέους ἢ Τληπολέμου, φέρ᾽ εἰπεῖν, ἢ τῶν Ἡλίου παίδων
τινὸς ἀνδριάντα διδόναι τῷ δεῖνι, χρηστῷ μὲν ἀνδρὶ καὶ τιμῆς
ἀξίῳ· πάντες γὰρ ἔστωσαν οὓς ἡ πόλις θεραπεύει τοιοῦτοι,
καὶ δεῖ γε εὔχεσθαι πάντας εἶναι χρηστοὺς, μάλιστα δὲ τοὺς
ἡγουμένους· ἀλλ᾽ οὐκ ἐκείνοις ὅμοιοι· πόθεν; οὐδ᾽ ἂν αὐτοὶ
φήσαιεν ὀλίγον αὐτῶν ἐλάττους ὑπάρχειν, ἀλλὰ κἂν φοβη-
θείην εἰπεῖν τι τοιοῦτον. ἆρ᾽ ὑμῖν ἐκ τῶν εἰρημένων δοκεῖ,
μᾶλλον ἀπὸ τούτων ἀρχομένους· λέγω δὲ τῶν οὐκ ἐχόντων
τὰς ἐπιγραφάς· τὸ πρᾶγμα ἐπὶ πάντας μεταφέρειν, ἢ σφόδρα
94 εἶναι τῶν τοιούτων φειστέον; καίτοι τὸ τῆς ἀγνοίας καὶ τὸ 617 R.
τῆς ἀρχαιότητος ὅμοιόν ἐστιν, ὥσπερ ἂν εἴ τις λέγοι, μηδὲ
τοὺς τυμβωρυχοῦντας τοὺς σφόδρα παλαιοὺς τάφους μηδὲν
ἁμαρτάνειν, ὅτι μηδεὶς αὐτοῖς προσήκει μηδὲ ἴσμεν οἵτινές
εἰσιν. ὁ μὲν οὖν τάφος οὐκ ἔστι σημεῖον ἀρετῆς, ἀλλ᾽ εὐπο-
ρίας, οὐδὲ ἔχομεν εἰπεῖν τοὺς ἐν τοῖς μνήμασι κειμένους, ὡς
ἦσαν ἀγαθοί· πλὴν εἰ μή γε δημοσίᾳ τις φαίνοιτο τεθαμμέ-
νος, ὅπερ οἶμαι τρόπον τινὰ τούτοις συμβέβηκεν. ἡ δὲ εἰκὼν

ὄντα pro ὄντας). ‖ 7. ὡς. malim ὥστ᾽. ‖ 8. ἄλλων. ἀνθρώπων Iacobs. — 92, 5. καὶ in M a corr. add. ‖ πολλούς. πολλοῖς M. ‖ 7. καὶ Μέμνονος — λέγουσιν suspecta Iacobsio. ‖ 10. πάντων. πάντων τοῦτο Reisk. ‖ δήποτ᾽. δήποτε M. — 93, 2. ὑμῖν. ἡμῖν M. ‖ 6. δεῖ. δή B. ‖ εὔχεσθαι. εὔχεσθε B. ‖ μάλιστα δὲ Reisk., δὲ om. reliq. ‖ 8. ὀλίγον. ὀλίγων B. ‖ φοβηθείην BM, φοβηθεῖεν reliq. ‖ 10. μᾶλλον. καλὸν Casaub. ‖ 12. τῶν τοιούτων. τὸν τοιοῦτον B. — 94, 1. ἀγνοίας. ἀνοίας M. ‖ 2. ἀρχαιότητος. ἀρχαιότητος ὅστις λέγει Reisk. frustra. ‖ 7. τεθαμμένος. τεθεαμμένος (sed ε obelo notat.).

δι' ἀνδραγαθίαν δίδοται καὶ διὰ τὸ δόξαι τινὰ πρότερον γεν-
ναῖον· ὅτι γὰρ οὐδεὶς ἐστάθη τούτων ἁλοὺς κλέπτων οὐδὲ
μοιχεύων, οὐκ ἄδηλόν ἐστιν· οὐδέ γε ἐπὶ τοῖς τυχοῦσιν, ἀλλ'
95 ὡς οἷόν τε ἐπὶ τοῖς μεγίστοις. ὅτι τοίνυν καὶ θείας τινὸς
δυνάμεως καὶ προνοίας, ὡς ἂν εἴποι τις, οἱ τοιοῦτοι μετέχου-
σιν, ἐπ' ἀνδριάντος τι βούλομαι γεγονὸς εἰπεῖν. Θεαγένης
ἦν Θάσιος, ἀθλητής. οὗτος ἐδόκει ῥώμῃ διενεγκεῖν τοὺς καθ'
αὑτόν, καὶ δὴ σὺν ἑτέροις πολλοῖς καὶ τὸν Ὀλυμπίασι τρὶς
εἰλήφει στέφανον. ὡς δ' ἐπαύσατο καὶ ἧκεν εἰς τὴν πατρίδα,
λοιπὸν τοῦ σώματος παρακμάσαντος ἦν ἀνὴρ οὐδενὸς χείρων 618 R.
περὶ τὰ κοινά, ἀλλ' ὡς οἷόν τε ἄριστος. ἐντεῦθεν, ὅπερ εἰκὸς,
96 εἰς ἔχθραν τινὶ προῆλθε τῶν πολιτευομένων. ὁ δὲ ζῶντι μὲν 340 M.
ἐφθόνει μόνον, τελευτήσαντος δὲ πρᾶγμα πάντων ἀνοητότα-
τον καὶ ἀσεβέστατον ἐποίει. τὸν γὰρ ἀνδριάντα αὐτοῦ τὸν
ἑστῶτα ἐν μέσῃ τῇ πόλει νύκτωρ ἐμαστίγου. τοιγαροῦν, εἴτε
ἀπὸ τύχης εἴτε δαιμονίου τινὸς νεμεσήσαντος αὐτῷ, κινηθεὶς
ποτε ἐκ τῆς βάσεως ἠκολούθησεν ἅμα τῇ μάστιγι καὶ κτείνει
τὸν ἄνδρα. νόμου δὲ ὄντος καταποντίζειν κρίναντας, ἐάν
τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινά, οἱ τοῦ τεθνεῶτος
προσήκοντες αἱροῦσι δίκῃ τὸν ἀνδριάντα καὶ κατεπόντωσαν.
97 λοιμοῦ δὲ συμβάντος, ὥς φασι, χαλεπωτάτου καὶ τῶν Θασίων
οὐδενὶ τρόπῳ λῆξαι δυναμένων τῆς νόσου καὶ τελευταῖον χρω-
μένων, τοὺς φυγάδας αὐτοῖς ἀνεῖπε κατάγειν ὁ θεός. ὡς δὲ
πλέον οὐδὲν ἦν ἁπάντων ἐληλυθότων, χρωμένοις αὖθις λέγεται
τὴν Πυθίαν οὕτως ἀνειπεῖν·

Θεαγένους δ' ἐλάθεσθε ἐνὶ ψαμάθοισι πεσόντος·
κεῖθ' ὑμῖν ὁ πρὶν μυριάεθλος ἀνήρ.

ᾧ καὶ δῆλον, ὅτι καὶ τὸ πρῶτον οὐχὶ τῶν φυγάδων ἕνεκα
τοῦτο ἐχρήσθη καὶ τὸ συμβὰν οὐ δι' ἄλλην τινὰ αἰτίαν ἐγέ-

9. διὰ τὸ Casaub., διῖ M, δὴ τῷ B. m, τῷ vm. ‖ γενναῖον. γενναῖον εἶναι (vel γ. γεγονέναι) Reisk. ‖ 12. οἷόν τε. οἴονται M. — 95, 5. αὑτὸν BM, ἑαυτὸν reliq. ‖ 7. παρακμάσαντος. παρικμάσαντος M. ‖ 8. οἷόν τε. οἴονται M. ‖ 9. προῆλθε. προήχθη malit Geel. — 96, 1. ὁ δὲ ζῶντι. ὁ δ' ἐξ ὧν τι M. ‖ 5. κινηθείς. κιενηθεὶς M. ‖ 7. κρίναντας Selden. r, κρίνοντας M. Casaub., κρίνοντος B. vm. ‖ 9. αἱροῦσι r, αἵρουσι B, ἐρουσιν M, αἵρουσι vm. — 97, 1. λοιμοῦ. λιμοῦ B, ut Pausan. 6, 11, 7. ‖ 6. Θεαγένους. alium versum habet Pausan. 6, 11, 8. ‖ δ' ἐλάθεσθε. δὲ λαθέσθαι M, δ' ἐλάθεσθ' ἔτ' Iacobs. ‖ ἐνί. ἐνὶ m. ‖ 7. μυριάεθλος M. mr, μυρίαθλος BA. v. ‖ 8. ᾧ. οὗ M. ‖ 9. δι' ἄλλην. δι' ὅλην M.

98 νετο. καὶ μηδεὶς ἐκεῖνο ὑπολάβῃ· τί οὖν; ἡμεῖς τοὺς ἀνδριάν-
τας ἀφανίζομεν ἢ ῥιπτοῦμεν; ἀλλ᾽ ἀτιμάζετε ἐκείνους ὧν εἰσι 619 R
καὶ ἀφαιρεῖσθε τοὺς ἔχοντας, ὅπερ καὶ τότε ἔδοξε τῷ θεῷ·
ἐπεὶ τοῦ χαλκοῦ οὐκ εἰκὸς ἦν φροντίσαι αὐτόν. μὴ τοίνυν
τοῦ Θασίου μὲν ἡγεῖσθε ὑβρισθέντος οὕτως ἀγανακτῆσαι τὸ
δαιμόνιον, τῶν δὲ παρ᾽ ὑμῖν τετιμημένων μηδένα θεοφιλῆ
99 εἶναι μηδὲ ἥρωα. οὐ τοίνυν οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ὅπως
οὐκ ἂν καὶ πρὸς ἔχθραν ὑπ᾽ ἐνίων τοῦτο γένοιτο, ἐὰν ἄρα
τύχῃ τις τῶν στρατηγούντων μισῶν τινα τῶν πρὸ αὐτοῦ. τὸ
γοῦν τοῦ Θεαγένους ἀκηκόατε ὡς συνέβη διὰ τὸν φθόνον
καὶ τὴν ζηλοτυπίαν τὴν ἐκ τῆς πολιτείας. καὶ γὰρ εἰ νῦν 341 M
ἐπὶ μόνοις τοῖς παλαιοῖς αὐτό φασι ποιεῖν, χρόνου γε προϊόν-
τος, ὥσπερ ἐπὶ πάντων ἀεὶ συμβαίνει τῶν φαύλων ἐθῶν,
ἀνάγκη καὶ τοῦτ᾽ ἐπὶ πλέον προελθεῖν. οὐδὲ γὰρ οὐδ᾽ αἰτιά-
σασθαι οἷόν τε, ἐπ᾽ αὐτῷ γε ὅλου τοῦ πράγματος ὄντος. νὴ
Δί᾽ ἀλλὰ κωλύσουσιν οἱ προσήκοντες. ἐὰν οὖν ἀπόντες ἢ
ἀγνοήσαντες τύχωσιν, ὅταν γνῶσι, τί ποιήσομεν; ἆρά γε δεήσει
100 τοῦτον ἐκχαράττειν πάλιν, ὃν ἂν φθάνῃ τις ἐπιγράψας; πάνυ
τοίνυν ὄντος ἀτόπου τοῦ γιγνομένου, μᾶλλον δὲ ἀσεβοῦς,
ἧττον ἂν δεινὸν ἦν, εἰ μὴ διὰ τοιαύτην πρόφασιν συνέβαινε,
δι᾽ οἵαν τινές φασιν ὡς ἀπολογούμενοι περὶ τῆς πόλεως. τὸ
γὰρ δι᾽ ἀργύριον πράττειν ὁτιοῦν τῶν ἄλλως αἰσχρῶν ἅπαν-
τες αἴσχιον ἡγοῦνται τοῦ καθ᾽ ἑτέραν τινὰ αἰτίαν. ὅταν οὖν
προβαλλόμενοι τὴν δαπάνην καὶ τὸ δεῖν ἀναλίσκειν ἢ ποιή- 620 R
σασθαι ἑτέρους ἀνδριάντας ἀξιῶσι παραπέμπειν τὸ πρᾶγμα,
δῆλον ὅτι μεῖζον τὸ ὄνειδος κατασκευάζουσιν, εἰ χρημάτων
ἕνεκα δόξουσιν ἀδικεῖν, καὶ ταῦτα πλουτοῦντες, ὡς οὐδένες
101 ἄλλοι τῶν Ἑλλήνων. καίτοι τί δήποτε ἐπὶ μὲν τῶν προγόνων
ὑμῶν οὐθὲν ἐγίγνετο τοιοῦτον, οὐκ ἐχόντων αὐτῶν πλείονα
ἢ νῦν ἔχετε ὑμεῖς; ὅτι γὰρ οὔθ᾽ ἡ νῆσος χείρων γέγονε, καὶ

98, 1. ἐκεῖνο BM. r, ἐκείνῳ vm. ‖ ἡμεῖς. ὑμεῖς B. ‖ 3. ἀφαιρεῖσθε. ἀφαιρεῖσθαι M. ‖ ἔδοξε. δεινὸν ἔδοξε Selden. ‖ 4. ἐπεί. ἐπὶ M. ‖ 5. ἡγεῖσθε. ἡγεῖσθαι M. — 99, 8. οὐδ᾽ M, οὐδέν᾽ Reisk., οὐδὲ reliq. ‖ 9. ἐπ᾽ αὐτῷ M. Casaub. r, ἐπ᾽ αὐτό B. vm. ‖ 11. τί. τί οὖν M. ‖ 12. φθάνῃ. malim φθάσῃ. — 100, 4. δι᾽ om. M. ‖ 5. ἄλλως BM. Selden., ἄλλων reliqui, quod Casaub. abesse malebat. ‖ 7. ἤ. καὶ Reiskius (vel εἰ et ποιήσονται). ‖ 8. ἀξιῶσι. ἀξιώσει BM. ‖ 9. μεῖζον τὸ ὄνειδος M, τὸ ὄνειδος μεῖζον reliq. ‖ 10. οὐδένες. οὐδὲν εἰ M. — 101, 3. ὅτι. οὔτε M. ‖ νῆσος. νόσος M.

τὴν Καρίαν καρποῦσθε καὶ μέρος τι τῆς Λυκίας, καὶ πόλεις
ὑποφόρους κέκτησθε, καὶ χρήματα ἀεὶ πολλὰ ὑπὸ πολλῶν
ἀνατίθενται τῷ δήμῳ, καὶ τῶν πρότερον οὐδεὶς ἀφῄρηται,
102 μηθένα νομίζετε ἀγνοεῖν. καὶ μὴν οὐδὲ δαπανῆν φήσετε νῦν
μᾶλλον. τότε μὲν γὰρ εἰς πάνθ' ὅσα καὶ νῦν ἀνηλίσκετο,
πανηγύρεις, πομπὰς, ἱερουργίας, εἰς τὰ τείχη, τοῖς δικάζουσι,
τῇ βουλῇ. νῦν δὲ οὐκ ἔστι τὰ μέγιστα τῶν πρότερον. τὰς
γὰρ εἰς τὸν πόλεμον δαπάνας, σχεδόν τι συνεχῶς αὐτῶν πολε-
μούντων καὶ σπάνιον εἴ ποτε ἀναπαυομένων, οὐκ ἔνι συμβάλ-
103 λειν οἶμαι τοῖς ἐν εἰρήνῃ γιγνομένοις ἀναλώμασιν. οὐ γὰρ
ὅμοιον ἑκατὸν νεῶν ἢ καὶ πλειόνων στόλον ἀποστεῖλαι καὶ 312 M.
πάλιν ἑβδομήκοντα καὶ τριάκοντα ἑτέρων, καὶ τοῦτον ἔσθ'
ὅτε μὴ καταλύειν τριῶν ἢ τεττάρων ἐτῶν· οὐδὲ συνεχῶς τριή-
ρεις πλεῖν, οὐ μέχρι Κύπρου καὶ Κιλικίας, ἀλλ' ὁτὲ μὲν εἰς
Αἴγυπτον, ὁτὲ δὲ εἰς τὸν Εὔξεινον, τὸ δὲ τελευταῖον ἐν αὐτῷ
τῷ Ὠκεανῷ· οὐδὲ ξένους στρατιώτας τρέφειν τὰ φρούρια καὶ 621 R.
τὴν χώραν φυλάττοντας· καὶ ὃ νῦν ἐφ' ἡμῶν ἰδεῖν ἔστι, μιᾷ
καθ' ἕκαστον ἐνιαυτὸν ἢ δυσὶν ἀφράκτοις ἀπαντᾶν εἰς Κό-
104 ρινθον. καὶ λέγω ταῦτα οὐκ ὀνειδίζων οὐδὲ τῶν προγόνων
ὑμᾶς χείρονας ποιῶν· οὐ γὰρ ὅτι μὴ δύνασθε ταὐτὰ πράττειν
ἐκείνοις, ἀλλ' ὅτι καιρὸς οὐκ ἔστι τῶν τοιούτων, ἐν εἰρήνῃ
διάγετε. δῆλον γὰρ, ὡς κἀκεῖνοι μᾶλλον ἐβούλοντο μὴ κιν-
δυνεύειν, καὶ διὰ τοῦτο ἐπόνουν, ἵνα καταστῇ ποτε τὰ πρά-
γματα. πλὴν ὅτι γε οὐκ ἴσα ὑμῖν ἀνήλισκον. ἵνα γὰρ τἆλλα
ἀφῇ τις, τὸ τῶν νεωρίων, τὸ τῶν ὅπλων, τὸ τῶν μηχανημά-
των, ὃ νῦν εἶπον, αὐτὸ δήπου τὸ τῶν τειχῶν οὐκ ἔστιν ὅμοιον
ὡς ἐφ' ὑμῶν ἐπισκευάζεται. καὶ γὰρ ἂν τὰ τῆς ἐπιμελείας
θῇ τις μὴ διαφέρειν· ἀλλά τοι σχολῇ γίγνεται καὶ κατ' ὀλίγον
καὶ ὁπηνίκα τις βούλεται· τότε δὲ οὐκ ἦν αὐτὰ μὴ ἑστάναι.
καὶ νῦν μὲν ὑφ' ὑμῶν δοκιμασθησόμενα οἰκοδομεῖται, τότε
105 δὲ ὑπὸ τῶν πολεμίων. εἶεν. οὐ τοίνυν οὐδὲ τοῦτο ἔστιν εἰπεῖν,

4. καρποῦσθε. καρποῦσθαι M. ‖ 6. πρότερον M, προτέρων reliq. ‖ 7. μηθένα BM, μηδένα reliq. — 102, 1. νῦν. τότε BM. ‖ 2. τότε μὲν. τὸ μὲν M. ‖ 3. πανηγύρεις. πανήγυρις M. ‖ 4. οὐκ ἔστι. malim οὐκέτι εἰς. ‖ πρότερον M, προτέρων reliq. ‖ 6. σπάνιον BM, σπανίως reliq. ‖ ἔνι B, ἐν εἰ M, ἔστι reliq. — 103, 3. τοῦτον. τούτων BM. m. ‖ 4. καταλύειν. καταλύσειν M. — 104, 2. ταὐτά. ταῦτα m. ‖ 3. ἐν BM, καὶ ἐν reliq. ‖ 4. κἀκεῖνοι. sic dedi. idem coniecit Pflugk., ἐκεῖνοι reliq. ‖ μᾶλλον. μᾶλλον ἂν Pflugk. ‖ 8. ὃ Reisk., ἃ reliq. ‖ 9. ὑμῶν. ἡμῶν M.

Digitized by Google

*ὡς πλείονας τιμᾶτε· τὸ γὰρ πλῆθος αὐτὸ δηλοῖ τῶν ἐξ ἐκείνου
τοῦ χρόνου κειμένων ἀνδριάντων. χωρὶς δὲ τούτου τίς ἂν
εἴποι πλείους εἶναι τοὺς νῦν φιλοτιμουμένους περὶ τὴν πόλιν;
νὴ Δία ἀνάγκην γὰρ ἡμεῖς ἔχομεν τοὺς ἡγεμόνας τιμᾶν ἅπαν-
τας. τί δ'; οὐχὶ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ Βυζάν-
τιοι καὶ Μυτιληναῖοι τοὺς αὐτοὺς τούτους θεραπεύουσιν;
ἀλλ' ὅμως, ὅταν δόξῃ τινὰ στῆσαι χαλκοῦν, ἱστᾶσι καὶ τῆς
106 εἰς τοῦτο δαπάνης εὐποροῦσιν. καὶ μὴν ἤδη τινὸς ἤκουσα
Ῥοδίου λέγοντος· οὐχ ὅμοια τὰ ἐκείνων καὶ τὰ ἡμέτερα. τοῖς
μὲν γὰρ μόνον ὑπάρχειν τὴν ἐλευθερίαν δίχα Ἀθηναίων, καὶ
τούτους δὲ μηδὲν μέγα κεκτῆσθαι· τὴν δὲ ὑμετέραν πόλιν ἐπί-
φθονον εἶναι παρὰ πᾶσιν ὡς ἄριστα πράττουσαν, διόπερ αὐτῇ
πλειόνων δεῖν τῶν εὐνοούντων. ἔτι δὲ μηδένα τῶν Ῥωμαίων
διαφέρεσθαι παρὰ τοῖσδε ἑστάναι, τῆς δέ γε ἐνθάδε τιμῆς
107 οὐκ ἀμελεῖν. ταῦτα δέ ἐστι μὲν ἀληθῆ, μᾶλλον δὲ ὀφείλετε
ἀποστῆναι δι' αὐτὰ τοῦ πράγματος. τούς τε γὰρ λόγον ἔχον-
τας τῆς τιμῆς παρ' ὑμῖν εἰκός ἐστι μὴ παραπέμπειν μηδὲ τὸ
πῶς αὐτῆς τυγχάνουσιν, ἀλλ' ἅμα καὶ τὴν διάνοιαν τὴν ὑμετέ-
ραν σκοπεῖν· τούς τε ἐπίφθονον εἶναι τὴν εὐπορίαν τῆς πόλεως
ὁμολογοῦντας οὐκ εἰκὸς ἦν ὑπολογίζεσθαι τὸ τῆς δαπάνης.
οὐ γάρ τοι τοσούτῳ διὰ τοῦτο πλείους τιμᾶτε τῶν ἄλλων,
ὅσῳ πλείονα κἀκείνων κέκτησθε. καὶ μὴν τῶν γε αὐτοκρα-
τόρων καὶ νῦν ποιεῖσθε εἰκόνας καὶ τῶν ἄλλων δὲ τῶν ἐπ'
ἀξιώματος. οὐδὲ γὰρ ὑμᾶς λέληθεν, ὡς οὐδέν ἐστι τὸ τοῦτον
ἵστασθαι τὸν τρόπον. ἵν' οὖν τίνας τιμήσητε, λοιπὸν οὕτως
108 αἰσχρὸν καὶ ἀνάξιον ὑμῶν αὐτῶν ἔργον διαπράττεσθε; εἰ μὲν
γὰρ ἅπασιν ὁμοίως προσεφέρεσθε δίχα τῶν αὐτοκρατόρων,
οὐκ ἂν οὕτως ἠλέγχεσθε. νῦν δ' εἰσὶν οὓς αὐτοὺς ἵστατε·*

105, 5. *ἡμεῖς ἔχομεν* BM, *ὑμεῖς ἔχετε* reliq. ‖ 6. *δ'* BM, *δὴ* reliq. ‖ 7. *Μυτιληναῖοι* M, *Μιτυληναῖοι* reliq. ‖ 9. *εὐποροῦσιν* M, *εὐποροῦσι* reliq. — 106, 2. *Ῥοδίου. Ῥοδίους* M. ‖ *ἡμέτερα* BM, *ὑμέτερα* reliq. ‖ 4. *ὑμετέραν. ἡμετέραν* BM. ‖ 6. *μηδένα. μηδενὶ* (et mox *διαφέρειν τι*) Casaub. — 107, 3. *τιμῆς* om. BM. ‖ *παραπέμπειν* BM. Casaub. r, *ἀμελεῖν παρατρέχειν* v (var. lect. *παραπέμπειν*), *ἀμελεῖν παραπέμπειν* m. ‖ *τὸ πῶς* Reisk., *τοῦ πῶς* reliq. ‖ 4. *τυγχάνουσιν. τυγχάνουσιν ἀμελεῖν* r. ‖ 7. *οὐ* BM, *καὶ* reliq. ‖ *γάρ τοι. γάρ σοι* M. ‖ *πλείους. πλείονος* (et *τιμᾶσθε*) Casaub. ‖ 8. *κέκτησθε. κεκτῆσθαι* M. ‖ 10. *τοῦτον* BM. Pflugk. p. 16, *τοιοῦτον* reliq. ‖ 11. *τίνας* Geel., *τινας* reliq. ‖ 12. *διαπράττεσθε. διαπράττεσθαι* M. — 108, 2. *προσεφέρεσθε. προσφέρεσθε* M. ‖ 3. *αὐτοὺς* Selden. r, *αὐτοῦ* reliq., *οὕτως* Casaub. ‖ *ἵστατε. ἵσταται* M.

ὥστε τοῖς ἄλλοις εἶναι φανερὸν ἐκ τούτων, ὅτι οὐ τιμᾶτε
αὐτούς. εἰ δὲ τῶν πολλῶν καὶ τῶν μηδένα ὠφελησάντων
εἰσὶν οὗτοι, τίνος χάριν ἀσχημονεῖτε; ἢ τί βουλόμενοι τούτους
θεραπεύετε, καὶ ταῦτα ἐνὸν ὑμῖν ἄλλως ἐπιμελεῖσθαι; καὶ
γὰρ ξένια πλείω καὶ τὸ τῆς ὑποδοχῆς ἐλευθέριον τοῖς πολλοῖς
ἱκανόν· κἂν βελτίων ᾖ τις, ἔτι καὶ ψήφισμα ἤρκεσεν ἁπλοῦν,
εἰ εἰς τὸ πρυτανεῖον, εἰς προεδρίαν ἐκλήθη. νυνὶ μὲν γὰρ
δοκεῖτε, ὥσπερ οἱ σφόδρα γέμοντες τῶν ναυκλήρων καὶ χει-
μαζόμενοι, διὰ τοῦτο ἐκβολὴν ποιεῖσθαι τῶν ἀνδριάντων. 624 R.
109 καίτοι φέρε εἴ τις ὑμῖν ἔλεγεν, ὡς ἄρα ἀποδόσθαι προσήκει 344 M.
τοὺς πολλοὺς αὐτῶν, ἵνα εὐπορήσητε χρημάτων, οὐκ ἔστιν
ὅπως οὐκ ἂν ἀνδράποδον ἡγήσασθε εἶναι τὸν λέγοντα. νῦν
τοίνυν αὐτὸ τοῦτο ποιεῖτε· ὅσου γὰρ ἀνδριὰς γένοιτ' ἄν, το-
σοῦτον ἐφ' ἑκάστῳ κερδαίνετε· πλὴν ὅτι γε αὐτοῖς ἀποδίδοσθε
αὐτοὺς καὶ οὐκ ἐπ' ἐξαγωγῇ, καθάπερ οἶμαι τὰ σφόδρα πο-
νηρὰ ἀνδράποδα. καθόλου δὲ εὖ ἴστε, ὅτι μηδέν ἐστι τῶν
τοιούτων μέγα μηδὲ τίμιον ἄλλως, εἰ μη παρὰ τοὺς διδόντας,
ἐὰν διδῶσιν ὡς τοιοῦτον. εἰ δὲ τῶν ὄντων ὅ τι ἂν θέλῃ τις
ῥᾳδίως καὶ τῷ τυχόντι παρέχοιεν, ταχὺ δόξει τοῦ μηδενὸς
110 ἄξιον. διὰ τοῦτο σεμνότερόν ἐστι τὸ παρ' ὑμῖν κληθῆναι εἰς
προεδρίαν ἅπαξ τῆς παρ' ἑτέροις εἰκόνος. καὶ τὸ μὲν ὑμᾶς
καθημένους ἐπαινέσαι λαμπρόν· ἄλλοι δὲ οὐδὲ ἂν διαῤῥαγῶσι
κεκραγότες, οὐ δοκοῦσιν ἱκανῶς τιμᾶν. τὸν Ὀλυμπίασι στέ- 625 R.
φανον, ἴστε δήπουθεν ἐλάϊνον ὄντα, καὶ τοῦτον πολλοὶ προτε-
τιμήκασι τοῦ ζῆν, οὐχὶ τῆς ἐκεῖ φυομένης ἐλαίας ἐχούσης τι
θαυμαστόν, ἀλλ' ὅτι μὴ ῥᾳδίως μηδ' ἐπὶ μικρῷ δίδοται. τοι-
γαροῦν ἔγγιστα ἐφ' ἡμῶν, ὡς ἐπίστασθε, τῶν αὐτοκρατόρων

9. τις, ἔτι. τις ἔτι, Reisk. ‖ 10. εἰ εἰς τὸ Casaub. (vel hoc vel ᾧ εἰς τὸ vel ἢ εἰς τὸ Selden.), ᾧ ἂν εἰς Reisk., εἰς reliq. ‖ εἰς M, ἢ εἰς Casaub., ἢ Reisk., εἰ εἰς reliq. ‖ 12. ποιεῖσθαι. ποιεῖσθε M. — 109, 2. εὐπορήσητε BM. r, εὐπορίσητε vm. ‖ οὐκ ἄν. sic dedi. idem visum est Pflugkio. ἂν om reliq. ‖ 3. ἡγήσασθε BM. m, om. v, ἡγή-σαισθε r, ἡγήσεσθε Iacobs. ‖ 4. ὅσου. ὅσον m. ‖ 5. κερδαίνετε Casaub. r, κερδανεῖτε B. vm, κερδανεῖται M. ‖ γε αὐτοῖς. γι αὐτοῖς M, γ' ἐν ἑαυτοῖς Casaub., γ' ἑαυτοῖς Reisk. ‖ ἀποδίδοσθε. ἀποδίδοσθαι M. ‖ 6. αὐτοὺς καὶ BM, αὐτοὺς om. reliq. ‖ 8. μέγα. μέγαν M. ‖ 9. διδῶσιν. δίδωσιν m. ‖ τῶν ὄντων. τοὐναντίον Pflugk. p. 9. ‖ θέλῃ B. Pflugk. p. 9, θέλοι reliq. ‖ 10. παρέχοιεν Pflugk. p. 9, παρέχουσι Reisk., παρέχειν reliq. — 110, 1. τὸ παρ' ὑμῖν κληθῆναι εἰς προεδρίαν ἅπαξ. sic dedi. τὸ κληθῆναι παρ' ἑτέροις εἰς προεδρίαν ἅπαξ BM, τὸ παρ' ὑμῖν κληθῆναι reliq. ‖ 3. οὐδὲ ἂν B, οὐδὲ κἂν reliqui (at M κἂν in rasura). ‖ 7. μικρῷ. σμικρῷ B.

Digitized by Google

τις οὕτω σφόδρα ἡττήθη τοῦ πράγματος καὶ ἐπεθύμησε τῆς
ἐκεῖ νίκης, ὥστε καὶ ἀγωνίσασθαι παρ' Ἠλείοις καὶ τοῦτον
ὅρον ἡγήσασθαι τῆς εὐδαιμονίας. εἰ δέ γε πάντας ἐστεφά-
νουν τοὺς ἐπὶ τὴν θέαν ἀφικνουμένους τῶν ἡγουμένων, τίνα
111 ζῆλον ἢ ποίαν ἔτι δόξαν ἔσχεν ὁ στέφανος; ἀλλὰ ἐκείνους γέ
φασι μηδὲ τὰς ἐπιστολὰς λύειν, ἃς ἂν γράψωσιν οἱ τῶν ἀθλη-
τῶν τινα συνιστάντες, πρὶν ἢ ἀγωνίσηται. καὶ τοῦτο οὐδένα
πώποτε αὐτοῖς ἤνεγκε κίνδυνον, ἀλλὰ τοὐναντίον τιμὴν καὶ
ἔπαινον τῷ δοκεῖν ἀξίους εἶναι βραβεύειν τὸν ἀγῶνα. μὴ
γὰρ οἴεσθε Ῥωμαίους οὕτως εἶναι σκαιοὺς καὶ ἀμαθεῖς, ὥστε
μηδένα αἱρεῖσθαι τῶν ὑφ' αὑτοῖς ἐλευθέριον εἶναι μηδὲ καλόν,
112 ἀλλὰ βούλεσθαι μᾶλλον ἀνδραπόδων κρατεῖν. εἶτα Ἠλεῖοι
μὲν οὕτως ἀξιοῦσι τὰ ἑαυτῶν οὐδενὸς Πελοποννησίων κατά
γε τἆλλα ἀμείνους ὄντες· ὑμεῖς δὲ τοὺς παριόντας δεδοίκατε,
κἂν ἕνα τινὰ μὴ στήσητε χαλκοῦν τὴν ἐλευθερίαν οἴεσθε 345 M
ἀποβάλλειν; ἀλλ' εἴ γε οὕτω σφόδρα ἐπισφαλής ἐστιν, ὥστε
ἐκ τῆς τυχούσης προφάσεως περιαιρεθῆναι, δουλεύειν ὑμῖν
τῷ παντὶ βέλτιον ἤδη. καὶ γὰρ τοῖς τὸ σῶμα οὕτως ἐπικιν-
δύνως ἔχουσιν, ὥστε μηκέτ' ἀνενεγκεῖν, τεθνάναι κρεῖττον ἢ 636 R
113 ζῆν. εἰ γὰρ ὑμῖν ἡ μὲν ἐκ τοσούτου χρόνου πίστις καὶ πρὸς
τὸν δῆμον εὔνοια τὸν ἐκείνων καὶ κοινωνία πάσης τύχης οὐ
δύναται βεβαιοῦν τὴν πολιτείαν, οὔτε Μιθριδάτης καθαιρε-
θεὶς οὐδ' Ἀντίοχος, οὐδ' ἡ τῆς θαλάττης ἀρχὴ παραδοθεῖσα
διὰ πολλῶν κινδύνων καὶ πόνων, οὐδ' οἱ πρὸ τοσούτων ἐτῶν
ὅρκοι τῆς φιλίας, οὐδ' αἱ παρ' αὐτὸν τὸν Δία στῆλαι κείμε-
ναι μέχρι νῦν, οὐδ' ἡ μέχρις Ὠκεανοῦ συγκινδυνεύσασα δύνα-
μις, οὐδ' ἡ τὸ τελευταῖον ὑπὲρ αὐτῶν ἁλοῦσα πόλις· ἀλλ' εἰ
μὴ τὸν δεῖνα καὶ τὸν δεῖνα κολακεύσετε ἀγεννῶς, πάντα ταῦ-
τα ἀνατέτραπται, ὡς ἀεὶ προσδοκῶν ὀργήν τινα ἢ μῖσος· σφό-

10. Ἠλείοις. ἡλίοις M, ἡλίους v, ἡλήους m. ‖ 13. ποίαν. malim ποίαν ἄν. — 111, 2. γράψωσιν οἱ τῶν. sic dedi. γράψωσι τῶν reliqui, unde Casaub. complura deesse suspicabatur. ‖ 5. τῷ. τὸ M. ‖ 6. οὕτως εἶναι BM, εἶναι οὕτω reliq. ‖ 7. μηδένα. μηδὲν M. — 112, 1. Ἠλεῖοι. ἥλιοι M. ‖ 3. ἀμείνους. ἀμίνους M. ‖ 4. τὴν BM. Casaub., τὴν ἐν v, τὴν ἂν reliq. ‖ 5. ἀποβάλλειν. ἀποβαλεῖν Selden. ‖ εἴ γε BM. Casaub. r, οἵ γε v, ἥ γε m. ‖ οὕτω M, οὕτως reliq. — 113, 2. τὸν ἐκείνων M. Selden. r, τῶν ἐκείνων B. m, ἐκείνων v. ‖ 4. Ἀντίοχος. ἀντίλοχος M. ‖ 5. πρό. πρὸς B. ‖ 6. οὐδ' αἱ. οὐδὲ M. ‖ 10. ὡς. καὶ BM (corr. vulg.). ‖ ὀργήν τινα BM, τινα ὀργὴν reliq.

δρα ὑμῖν φαύλως τὰ πράγματα ἔχει καὶ ἐπ' οὐδενὸς ἵδρυσθε
ἰσχυροῦ. καὶ ἔγωγε φαίην ἄν, εἰ καὶ χαλεπῶς ἀκούσεσθε,
κρεῖττον ὑμῶν ἀπαλλάττειν τοὺς ἐν Φρυγίᾳ μέσῃ δουλεύοντας
114 ἢ τοὺς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ. τὸ γὰρ ἀγνοούμενον καὶ μὴ
δοκοῦντα μηδενὸς ἄξιον ποιεῖν ὁτιοῦν ἔλαττον αἰσχρόν· τὸ δὲ
οὕτως ὄντας ἐπισήμους καὶ θαυμαζομένους παρὰ πᾶσιν ἀνάγ-
κην ἔχειν ὥσπερ τοὺς ἀγεννεῖς κύνας σαίνειν τὸν παριόντα
δεινόν. φέρε τοίνυν εἰ δὲ καὶ πάντας δέοι τιμᾷν· ὅπως καὶ
τὴν ἐσχάτην ἀπορίαν θείη τις εἶναι περὶ τὴν πόλιν, πόσῳ 627 R.
κρεῖττον αὐτὸ τὸ ψήφισμα προσπέμψαι τὸ τῆς εἰκόνος, ἵν'
115 ἐὰν βούληται στήσῃ παρ' ἑαυτοῦ; νὴ Δί' ἀλλ' αἰσχρόν, εἰ
τοσαύτην στενοχωρίαν ὁμολογήσομεν, καὶ Ῥοδίων οὐκ ἄξιον.
καὶ τίς οὐκ ἂν εὖ φρονῶν ἕλοιτο πένης δοκεῖν μᾶλλον ἢ πονη-
ρός; ἢ τὸ νυνὶ γιγνόμενον ἧττον ὑμῖν δοκεῖ τινος αἰσχρὸν
εἶναι; τὸ τοὺς ἀνδριάντας ὑμῶν δύνασθαί τινα διηγεῖσθαι,
καθάπερ τὰς οἰκίας· ὅτι πρότερον μὲν ἦν αὕτη τοῦ δεῖνος,
νῦν δὲ τοῦ δεῖνος γέγονεν, ἂν δ' οὗτος τελευτήσῃ, πάλιν ἔσται
τοῦ κληρονομήσαντος ἢ τοῦ πριαμένου; καίτοι τὴν εἰκόνα οὐκ
116 ἔστιν οὐδενὶ δικαίῳ μεταθεῖναι, καθάπερ τὴν οἰκίαν. ἤδη 346 M.
τοίνυν ἤκουσά τι καὶ τοιοῦτόν τινος ἀποσχεδιάζοντος, ὅτι
καὶ παρ' ἑτέροις ἰδεῖν ἔστι τοῦτο γιγνόμενον. πάλιν δὲ ἑτέρου,
ὡς καὶ παρ' Ἀθηναίοις πολλὰ πράττεται νῦν, οἷς οὐκ ἀπει-
κότως ἄν τις ἐπιπλήξειεν, οὐ περὶ τὰ ἄλλα μόνον, ἀλλὰ καὶ
περὶ τὰς τιμάς. οἵ γε τὸν δεῖνα μὲν Ὀλύμπιον κεκλήκασιν
οὐδὲ φύσει πολίτην ἑαυτῶν, Φοίνικα δὲ ἄνθρωπον, οὐκ ἀπὸ
Τύρου καὶ Σιδῶνος, ἀλλ' ἀπὸ κώμης τινὸς ἢ τῆς ἠπείρου,
καὶ ταῦτα πιττούμενον τοὺς βραχίονας καὶ περιδήματα φο- 628 R.

11. ἵδρυσθε. ἱδρυθεὶς M. ‖ 12. ἀκούσεσθε. ἀκούσεσθαι M. ‖ 13. δουλεύοντας. δ' οὐ κελεύοντας M. — 114, 1. τὸ BM, τὸν reliq. ‖ 2. ὁτιοῦν BM. Casaub. r, οὖν reliq. ‖ 3. ὄντας ἐπισήμους BM, ἐπισήμους ὄντας reliq. ‖ 5. τιμᾷν· ὅπως καί. τιμᾷν ὁμοίως καὶ Reisk., τιμᾷν ἁπλῶς, καὶ Iacobs. Add. p. 45. totum locum sic constituit Geelius: εἰ δὲ καὶ πάντως δέοι τινὰ τιμᾷν, ἅμα δὲ καί. ‖ 6. ἀπορίαν — περὶ τὴν om. M. ‖ 7. προσπέμψαι τό. προσπέμψαντα B. — 115, 2. στενοχωρίαν ὁμολογήσομεν BM, ὁμολογήσομεν στενοχωρίαν reliq. ‖ 4. γιγνόμενον M, γινόμενον reliq. ‖ τινος. τίνος Geel. ‖ 8. κληρονομήσαντος BM, κληρονομήσοντος reliq. — 116, 2. ἤκουσά τι Vales. p. 59, ἤκουσα r, ἤκουσά ποτε Reisk., ἠκούσατε reliq. ‖ 3. παρ'. παρὰ M. frustra haec tentarunt Reisk. et Iacobs. Add. p. 128. ‖ 4. ἀπεικότως. εἰκότως M. ‖ 8. ἢ τῆς ἠπείρου. malim ἢ λῃστηρίου. ἢ delebat Reisk. ‖ 9. καὶ ταῦτα. καὶ ταῦτα καὶ Reisk. ‖ τοὺς BM. Reisk., καὶ reliqui, unde βραχιόνια

*ροῦντα· τὸν δεῖνα δὲ τὸν εὐχερῆ λίαν ποιητήν, ὃς καὶ παρ'
ὑμῖν ποτε κἀνθάδε ἐπεδείξατο, οὐ μόνον χαλκοῦν ἑστάκασιν,
ἀλλὰ καὶ παρὰ Μένανδρον. λέγειν δὲ εἰώθασιν οἱ διασύρον-
τες τὴν πόλιν καὶ τὸ ἐπίγραμμα τὸ ἐπὶ τῆς Νικάνορος εἰκόνος,
117 ὃς αὐτοῖς καὶ τὴν Σαλαμῖνα ἐωνήσατο. ἐγὼ δ' εἰ μέν τις ἢ
τοῖς Ἀθηναίοις ἐπιτιμῶν λέγει ταῦτα καὶ δεικνὺς οὐκ ὄντας
ἀξίους τοὺς ἐνοικοῦντας τῆς πόλεως οὐδὲ τῆς δόξης, ἣν οἱ
πρότερον γενόμενοι κατέλιπον, ἢ καθόλου τὴν Ἑλλάδα ἐλεῶν
εἰς ὃ πέπτωκεν, ὅταν τοιαῦτα πράττωσιν οἱ χρόνον τινὰ δό-
ξαντες αὐτῆς προεστάναι· καλῶς αὐτὸν ἡγοῦμαι λέγειν. εἰ
δ' ὅτι προσήκει μηδ' ὑμᾶς μηδὲν μέγα φρονεῖν μηδ' ἐκείνων
κρεῖττον, οὐκ ἔχω τὴν ὑπερβολὴν τῆς ἀναισθησίας εἰπεῖν τοῦ
118 ταῦτα λέγοντος. οὐ γὰρ ὃν τρόπον τὰ καλῶς παρ' ἑτέροις
γιγνόμενα πᾶσιν ἔθος ἐστὶ λέγειν ζήλου καὶ προτροπῆς ἕνεκεν,
ὁμοίως κἂν φαῦλόν τι πράττηται παρ' ἄλλοις δεῖ τοῦτο μνη-
μονεύειν ὥστε μιμεῖσθαι· τοὐναντίον δὲ ὑπὲρ τοῦ φυλάξα-* 629 R.
*σθαι καὶ μὴ λαθεῖν εἴς τι τοιοῦτον ἐμπεσόντας. καὶ γὰρ εἰ
μὲν ἐπαινῶν τις ἐκείνους ταῦτα ἔλεγε, καὶ μηδὲν χείρονος
δόξης ἀποφαίνων ἐπιτυγχάνοντας, ἦν μὲν ἂν δήπουθεν εὐή-
θης, μᾶλλον δὲ ἀναιδής· πλὴν κατά γε τὴν ἑαυτοῦ γνώμην
παρεῖχέ τινα ἀφορμὴν τοῖς ἁμαρτάνειν βουλομένοις. εἰ δ' ὡς
αἰσχρὰ καὶ ὀνείδη πάντες αὐτὰ προφέρουσι καὶ οὐθεὶς ἂν
εἴποι τῶν ἐγκωμιαζόντων τὴν πόλιν τοιοῦτον οὐδέν· ἀλλ' ἤτοι
βλασφημῶν τις ἢ καθαπτόμενος ἄλλως καὶ ἐπιπλήττων· παν-* 347 M.
*τελῶς εὐήθης ὁ διὰ τῶν τοιούτων ὑμᾶς προτρέπειν δοκῶν
119 ὥστε ἀμελεῖν τῶν παρ' αὐτοῖς. καθάπερ εἴ τις ἀθλητὴν
πείθων ἀπειπεῖν καὶ προέσθαι τὸν στέφανον ἀργυρίου λέγοι
πρὸς αὐτόν· οὐχ ὁρᾷς ἐκεῖνον τὸν παραχωρήσαντα πρὸ σοῦ
μαστιγούμενον; ἢ νὴ Δία εἴ τις τῶν ὑποκριτῶν δεικνὺς τοὺς
ἐκπίπτοντας καὶ συριττομένους τοιαῦτα παραμυθοῖτο, ὅπως*

vel *περιβραχιόνια* pro *βραχίονας* Casaub., *τὰ σκέλη καὶ* Iacobs. ‖ 10. *λίαν. λείαν* M. ‖ *καὶ παρ' ὑμῖν* malim abesse. ‖ 12. *καὶ* in M a corr. add. ‖ *Μένανδρον. Μενάνδρῳ* r. ‖ 14. *ἐωνήσατο. ἐωνίσατο* M. — 117, 4. *πρότερον. πρότεροι* B. ‖ *ἐλεῶν. ἐλαίων* M. ‖ 6. *εἰ δ'. εἰ δὲ δεικνύναι βουλόμενος* Reisk. — 118, 2. *γιγνόμενα.* sic dedi. *γεινόμενα* (corr. *γινόμενα*) M, *γινόμενα* reliq. ‖ 3. *δεῖ. ἀεὶ* M. ‖ 11. *οὐδέν* BM, *οὐθέν* reliq. ‖ 13. *ὁ διὰ* Reisk., *ὁ* om. reliq. ‖ *εἰ. ἂν εἰ* Reisk. ‖ 13. *αὐτοῖς. αὑτοῖς* M. — 119, 3. *πρὸ. πρὸς* B. ‖ 4. *εἴ τις. εἰ* om. M. ‖ 5. *ἐκπίπτοντας* Reisk., *ἐκεῖ πίπτοντας* reliq.

μηδὲ σὺ προσέξεις, ἀλλ' ὁμοίως ἀγωνιῇ. καὶ νῦν ὑμῖν σχεδὸν
ἐκεῖνοι λέγουσιν· οὐχὶ ὁρᾶτε τοὺς Ἀθηναίους ὡς ἀσχημονοῦ-
σιν; ὡς κακῶς ἀκούουσιν; ὡς παράδειγμα πᾶσίν εἰσι τῆς 630 R.
ἀγεννείας καὶ τῆς ὕβρεως, ἣν ὑβρίζουσιν εἰς τὴν πατρίδα;
120 καίτοι πότερον θῇ τις αὐτοὺς ἀνταγωνιστὰς ὑμῶν, ὥσπερ
ἀξιοῦσιν, ἢ μᾶλλον, ὃ τῷ παντὶ βέλτιον καὶ δικαιότερον, καὶ
τούτους καὶ τοὺς Λακεδαιμονίους καὶ πάντας τοὺς ὁμοίους
μέρος ὑμέτερον ἢ ὑμᾶς ἐκείνων; ἀλλ' οὔτε τοὺς ἀνταγωνιστὰς
ἁμαρτάνοντας εὔλογόν ἐστι μιμεῖσθαι· τοὐναντίον δὲ τοσούτῳ
μᾶλλον κατορθοῦν, ἵνα τῷ παντὶ φαίνησθε προέχοντες αὐ-
τῶν, καὶ μὴ μόνον διὰ τὴν ἐκείνων κακίαν, ἀλλὰ καὶ διὰ τὴν
αὐτῶν ἀρετὴν εὐδοκιμῆτε· οὔτε τοὺς οἰκείους καὶ προσήκον-
τας, ἀλλὰ μάλιστα μὲν κωλύειν, εἰ δ' οὖν, αὐτούς γε πειρᾶ-
σθαι τοῖς ἑαυτῶν ἔργοις τὰ ἁμαρτήματα ἐκείνων ἐλάττω
121 ποιεῖν. ἔτι δὲ εἰ μὲν ἐν τοῖς ἄλλοις μηδὲν αὐτῶν διεφέρετε,
οὐδὲν ἴσως ἔδει καθ' ἓν τοῦτο φιλοτιμεῖσθαι καὶ σκοπεῖν,
ὅπως κρείττους δόξετε. νῦν δὲ οὐθέν ἐστιν, ἐφ' ὅτῳ τῶν
ἐκεῖ γιγνομένων οὐκ ἂν αἰσχυνθείη τις. οἷον εὐθὺς τὰ περὶ
τοὺς μονομάχους οὕτω σφόδρα ἐζηλώκασι Κορινθίους, μᾶλ-
λον δὲ ὑπερβεβλήκασι τῇ κακοδαιμονίᾳ κἀκείνους καὶ τοὺς
ἄλλους ἅπαντας, ὥστε οἱ Κορίνθιοι μὲν ἔξω τῆς πόλεως θεω-
ροῦσιν ἐν χαράδρᾳ τινί, πλῆθος μὲν δυναμένῳ δέξασθαι τόπῳ,
ῥυπαρῷ δὲ ἄλλως καὶ ὅπου μηδεὶς ἂν μηδὲ θάψειε μηδένα 631 R.
τῶν ἐλευθέρων, Ἀθηναῖοι δὲ ἐν τῷ θεάτρῳ θεῶνται τὴν
καλὴν ταύτην θέαν ὑπ' αὐτὴν τὴν ἀκρόπολιν, οὗ τὸν Διόνυ-
σον ἐπὶ τὴν ὀρχήστραν τιθέασιν· ὥστε πολλάκις ἐν αὐτοῖς 348 M.
τινα σφάττεσθαι τοῖς θρόνοις, οὗ τὸν ἱεροφάντην καὶ τοὺς
122 ἄλλους ἱερεῖς ἀνάγκη καθίζειν. καὶ τὸν εἰπόντα περὶ τούτου

6. προσέξεις. προσέξῃς B. ‖ 7. οὐχί. οὐχ BM. ‖ 8. παράδειγμα. sic dedi. παρα-δείγματα reliq. ‖ 9. ἀγεννείας B, ἀγενείας reliq. — 120, 1. ἀνταγωνιστάς. ἀγω-νιστάς M. ‖ 5. τοσούτῳ BM. Reisk., τοσοῦτο reliq. ‖ 6. ἵνα. ἂν Pflugk. ‖ φαίνη-σθε. φαίνησθαι M. ‖ 8. αὐτῶν. αὑτῶν M. ‖ 9. εἰ δ' οὖν, αὐτούς. sic dedi. in idem incidit Pflugkius, ἤγουν αὐτοὺς B, εἰ γοῦν αὐτοὺς M, κἂτ' οὖν αὐτούς reliqui, unde εἰ δὲ μή, ἀλλ' οὖν αὐτοὺς Casaub., εἰ δὲ μή, κατ' οὖν αὐτοὺς Reisk., κατὰ δ' οὖν αὐτούς Selden. — 121, 1. εἰ μὲν BMA. Casaub. r, οὐ μὲν reliq. ‖ διεφέρετε B. Reisk., διαφέρετε reliq. ‖ 2. ἔδει Reisk., δεῖ reliq. ‖ 3. οὐθέν BM, οὐδέν reliq. ‖ τῶν. τῷ τῶν M. ‖ 8. δυναμένῳ. δυναμένη m. ‖ 12. τὴν ὀρχήστραν. τῆς ὀρχήστρας Reisk. ‖ τιθέασιν BM, διατιθέασιν reliq. ‖ 13. τινα B, τινας reliq. ‖ σφάττεσθαι. φάττεσθαι M.

Digitized by Google

φιλόσοφον καὶ νουθετήσαντα αὐτοὺς οὐκ ἀπεδέξαντο οὐδὲ
ἐπήνεσαν, ἀλλ' οὕτως ἐδυσχέραναν, ὥστε ἐκεῖνον ὄντα μὲν
γένει Ῥωμαίων μηδενὸς ὕστερον, δόξαν δὲ τηλικαύτην ἔχοντα,
ἡλίκης οὐδεὶς ἐκ πάνυ πολλοῦ τετύχηκεν, ὁμολογούμενον δὲ
μόνον μάλιστα μετὰ τοὺς ἀρχαίους ἀκολούθως βεβιωκέναι
τοῖς λόγοις, καταλιπεῖν τὴν πόλιν καὶ μᾶλλον ἑλέσθαι δια- 632 R
τρίβειν ἀλλαχόσε τῆς Ἑλλάδος. ἀλλ' οὐκ ἂν ὑμεῖς, ἄνδρες
Ῥόδιοι, τοιοῦτον οὐθὲν ὑπομείναιτε, παρ' οἷς νόμος ἐστὶ τὸν
123 δημόσιον μηδέποτε εἰσελθεῖν εἰς τὴν πόλιν. τίνος οὖν ἕνεκα
ἐπεμνήσθην; οὐ μὰ τὸν Δία λοιδορῆσαι βουλόμενος τοὺς Ἀθη-
ναίους· τοὐναντίον γὰρ πᾶσιν ἐλεεῖν αὐτοὺς ἐπέρχεται τοῖς
μετρίοις· ἀλλ' ὅπως εἰδῆθ', ὅτι λοιπὸν ὑμῖν οὐ πρὸς ἐκείνους
ἐστὶν ὁ λόγος, ἀλλὰ πρὸς ὑμᾶς αὐτοὺς καὶ τῶν ἄλλων εἴ τις
σωφρονεῖ. καίτοι πάντα ὅσα ἂν εἴποι τις κατὰ Ἀθηναίων
ἢ κατὰ Λακεδαιμονίων ἢ καθ' ὧν δήποτε, παρ' οἷς ἄλλα
τινὰ φαύλως ἔχει καὶ σφόδρα ὀλιγώρως, ἐμοὶ συναγωνιεῖται·
τὸ γὰρ τῶν εἰκόνων οὐκ ἔστι παρ' αὐτοῖς ἰδεῖν οὕτω γιγνό-
μενον· ὥσθ' ὅ γε μηδὲ παρ' ἐκείνοις ἁμαρτάνεται τοῖς ἐσχά-
τως ἀπολωλόσι, πῶς οὐκ ἂν ὑπερβολήν τινα ἔχοι τῆς ἀτοπίας;
124 ἔτι δὲ μᾶλλον αὐτὰ τὰ περὶ τὰς τιμὰς παρατεθέντα ἀποδεί-
κνυσι τοῦτο. εἰ γὰρ τὸ τῶν νῦν τινα παραστῆσαι τῶν ἀρ-
χαίων τινὶ δοκεῖ δεινὸν, πόσῳ δεινότερον τὸ οὕτως ἀφελέσθαι
τινὰ ἐκείνων τῆς τιμῆς, ὥστε ἑτέρῳ δοῦναι; καὶ εἰ τὸ ὄνομα 633 R
ἐπιγράψαι τινὸς ἄλλῳ τῳ πολὺ ἐλάττονι τηλικαύτην κατά-
γνωσιν φέρει, τὸ ἐξαλεῖψαι καὶ ἀνελεῖν τὸ τοῦ κρείττονος,
ἐὰν οὕτω τύχῃ, ποῖόν τι φαίνεσθαι νομίζετε; καὶ μὴν εἴ τις
ὑμᾶς Καυνίοις ἢ Μυνδίοις ὁμοίους εἶναι λέγοι, σφόδρα

122, 3. ὄντα μὲν. sic dedi. μὲν ὄντα reliq. ‖ 4. Ῥωμαίων M. Vales. p. 79. r, Ῥωμαῖον B. vm. ‖ 5. πολλοῦ B (?) M. Reisk., πολλῶν reliq. ‖ 6. μόνον. μόνον ? Reisk. ‖ 8. ἀλλαχόσε. ἀλλαχός τε M. ‖ ἄνδρες. ὦ ἄνδρες B. ‖ 9. ὑπομείναιτε r, ὑπομείνετε BM, ὑπομείνατε vm. ‖ 10. δημόσιον. δήμιον vel δημόκοινον mrg. m. ‖ εἰς τὴν BM, εἰς om. reliq. — 123, 2. ἐπεμνήσθην. sic dedi. ὑπεμνήσθην reliq. ‖ 3. ἐλεεῖν. ἐλεῖν M. ‖ ἐπέρχεται M. Casaub. r, ἐπάρχεται mrg. m, ὑπάρχεται vm, ὑπέρχεται Selden. ‖ 4. λοιπὸν BM, τὸ λοιπὸν reliq. ‖ ὑμῖν. ἡμῖν Reisk. ‖ 6. κατὰ. καὶ τὰ M. ‖ 8. ὀλιγώρως. ὀλιγόρως M. ‖ 9. οὕτω. οὕτως M. ‖ 10. ἁμαρτάνεται. ἁμαρτάνετε M. ‖ ἐσχάτως BM. r, ἐσχάτοις vm. ‖ 11. ὑπερβολήν τινα BM, τινα ὑπερβολὴν reliq. — 124, 1. ἀποδείκνυσι. ἀποδεικνύουσι B. ‖ 2. παραστῆσαι. παραβαλεῖν mrg. m. ‖ 3. πόσῳ. πρόσω M. ‖ 5. τῳ r, τὸ M, τῷ reliq. ‖ ἐλάττονι. ἔλαττον M.

ὀργιεῖσθε καὶ βλασφημεῖν αὐτὸν ἡγήσεσθε κατὰ τῆς πόλεως· πῶς ἂν οὖν ἔθ' ὑμῖν ἀπολογίαν τινὰ φέροι περί τινος τῶν 30 M
125 παρ' ὑμῖν, τὸ καὶ παρ' ἐκείνοις αὐτὸ γίγνεσθαι; καθάπερ εἰ καὶ τὰ τείχη τις οἴοιτο δεῖν λῦσαι τὰ παρ' ὑμῖν ἢ καὶ καταπίπτοντα ἐᾶν, ὅτι καὶ παρ' ἑτέροις πέπτωκε, μᾶλλον δὲ πᾶσι τοῖς ἄλλοις σχεδόν. καίτοι τὰ μὲν τείχη διὰ τὴν εἰρήνην καὶ τὴν δουλείαν ἐᾶται παρ' αὐτοῖς, ὧν τὸ μὲν ἅπαντες εὔχονται, τὴν εἰρήνην, τὸ δὲ λοιπὸν οὐκ ἔστι κακίας σημεῖον· τὸ δὲ τοῖς παλαιοῖς τῶν εὐεργετῶν οὕτω προσφέρεσθαι δι' ἀχαριστίαν γίγνεται. φαίην δ' ἂν ἔγωγε παρὰ τούτοις μηδὲ εὐεργέτας ἀδικεῖσθαι. τίς γὰρ παρὰ Καυνίοις γέγονε γενναῖος ἀνήρ; ἢ τίς πώποτε ἐκείνους ἀγαθόν τι πεποίηκεν; οἵ γε δουλεύουσιν οὐχ ὑμῖν μόνοις, ἀλλὰ καὶ Ῥωμαίοις, δι' ὑπερβολὴν ἀνοίας καὶ μοχθηρίας διπλῆν αὐτοῖς τὴν δουλείαν κατασκευάσαντες. 631 R
126 ταῦτα δὲ καὶ περὶ ἄλλων τις ἂν εἴποι τῶν ὁμοδόξων. ἐγὼ δὲ καὶ καθόλου τοὺς τηλικοῦτον ἐφ' αὐτοῖς φρονοῦντας, ἡλίκον ὑμεῖς δικαίως, οὐ πρὸς ἑτέρους ἀποβλέπειν οἴομαι δεῖν, ἐν οἷς πράττουσιν, ἄλλως τε τοὺς τοσοῦτον χείρονας, ἀλλὰ πρὸς τὴν ἑαυτῶν δόξαν καὶ τὸ τῆς πόλεως ἀξίωμα. γελοῖον γὰρ ἂν ἦν, εἰ τῶν ὑμετέρων τις πολιτῶν, Δωριεὺς ἐκεῖνος ἢ Λεωνίδας, οὓς τοσαυτάκις φασὶν Ὀλυμπίασι νικῆσαι, πρὸς ἄλλον τινὰ ὁρῶν ἐγυμνάζετο, καὶ ταῦτά γε μηδέποτε στεφανωθέντα. τοῖς μέντοι Λακεδαιμονίοις ἢ τοῖς Ἀθηναίοις εἰ βούλεσθε ἀντεξετάζεσθαι συγχωρῶ τοῖς τότε οὖσιν, ὅτε αὐτοῖς εἰκότως ἂν
127 τις τῶν ὁμοίων ὑμῖν συνεκρίνετο. καὶ γὰρ τὸν ἀθλητὴν τὸν φιλοτιμούμενον ἔτι καὶ μηδέπω παραχωροῦντα τῆς ἰσχύος οὐ τοὺς νοσοῦντας εὔλογόν ἐστι προκαλεῖσθαι τῶν καθ' αὐτὸν

9. ὀργιεῖσθε, ὀργιεῖσθαι M. ‖ ἡγήσεσθε, ἡγήσησθε B, ἡγήσησθαι M. ‖ 11. ὑμῖν, ὑμεῖν M. — 125, 2. λῦσαι, καταλῦσαι Reisk. ‖ 3. δὲ om. M. ‖ 4. εἰρήνην καὶ τὴν δουλείαν ἐᾶται παρ' αὐτοῖς, ὧν τὸ μὲν ἅπαντες εὔχονται τὴν εἰρήνην BM (nisi quod uterque ἐᾶτε pro ἐᾶται), εἰρήνην reliqui. lacunam alii aliter explere conati erant. ‖ 7. οὕτω, οὕτως M. ‖ 8. γίγνεται M, γίνεται reliq. ‖ 11. καὶ BM, om. reliq. ‖ 12. αὐτοῖς, αὐτοῖς M. — 126, 2. καὶ delebat Reisk. ‖ τοὺς, sic dedi, τούς γε Pflugk. p. 9, καίτοι reliqui, πάντας τοὺς Reiskius. totum locum sic scribit Seldenus: δὲ καθόλου καὶ ἀεὶ τούς. ‖ ἐφ' αὐτοῖς Reisk., ἐπ' αὐτοῖς reliq. ‖ 3. οὐ πρὸς, οὐ delebat Selden. ‖ 4. ἄλλως, ἄλλω vm. ‖ 7. τινά, εἴ τινα M. ‖ 8. στεφανωθέντα, ἐστεφανωθέντα M. ‖ 9. Λακεδαιμονίοις ἢ τοῖς Ἀθηναίοις BM, Ἀθηναίοις ἢ τοῖς Λακεδαιμονίοις reliq. ‖ βούλεσθε, βούλεσθαι M. — 127, 2. μηδέπω BM, μηδέποτε reliq.

ἐνδόξων οὐδὲ τοὺς τεθνεῶτας, ἀλλ' εἰ μὲν εἶέν τινες ἐῤῥωμέ-
νοι, πρὸς ἐκείνους ἀγωνίζεσθαι περὶ τῆς νίκης, εἰ δὲ μὴ, τοιοῦ-
τόν τι πρᾶξαι ζητεῖν, ὃ μηδενὸς αὐτὸν ἀσθενέστερον δείξει
τῶν πρότερον. ὁ μὲν οὖν ὑγιὴς οὗτός ἐστι περὶ τῶν τοιούτων
λόγος. εἰ δὲ ἄρα παρεῖναί τι δεῖ, μήτε πρὸς τοὺς τότε, οἳ
ἦσαν κράτιστοι, παραβάλλοντες ἐξετάζετε τὸ πρᾶγμα μήτε
πρὸς τοὺς νῦν, οἳ μηδενὸς τῶν φαυλοτάτων διαφέρουσιν,
ἀλλὰ πρὸς τοὺς μέσους αὐτῶν ἢ καὶ τοὺς ἔτι τούτων ἐλάττο-
128 νας. παρὰ τοίνυν τοῖς Ἀθηναίοις κατὰ Φίλιππον, μάλιστα
δ' ὅτε τῆς ἡγεμονίας παρακεχωρήκεσαν, τῆς δ' ἐλευθερίας
μόνης λοιπὸν ἀντείχοντο, Λεπτίνης τις εἰσήνεγκε νόμον, ὡς
χρῆν τὰς ἀτελείας ἀφελέσθαι τοὺς ἔχοντας παρὰ τοῦ δήμου
δίχα τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, καὶ μηκέτι το-
λοιπὸν ἐξεῖναι διδόναι μηδενὶ τὴν δωρεὰν ταύτην. τί οὖν;
ἔσθ' ὅπως παρεδέξαντο τὸν νόμον; οὐμενοῦν· ἀλλ' ἑάλω γρα-
129 φῆς. φέρε τοίνυν συμβάλετε τοῦτο τὸ ἔθος ἐκείνῳ τῷ νόμῳ,
κἂν μὲν ὑμῖν κατά τι φαίνηται, φυλάξατε αὐτὸ καὶ ποιήσατε
ἰσχυρότερον πρὸς τὸ λοιπόν· ὅπερ ἐξ ἀνάγκης γένοιτ' ἄν, εἰ
μὴ λυθήσεται νῦν· ἐὰν δὲ πανταχῇ σκοπούμενοι χεῖρον εὑρί-
σκητε, μιμήσασθε τοὺς κατ' ἐκεῖνον τὸν χρόνον Ἀθηναίους,
καὶ τὸ μᾶλλον ἄτοπον τοῦ τότε λυθέντος ὑπ' ἐκείνων καὶ
130 ὑμεῖς νῦν λύσατε. τὸ μὲν οὖν ψευδῆ τὴν πόλιν δεικνύναι καὶ
περὶ τὰς δωρεὰς ἄπιστον καὶ τὸ τοὺς εὐεργέτας ἀδικεῖν,
ἀφαιρουμένην αὐτῶν τὰς ἀμοιβὰς, καὶ πάντα τὰ τοιαῦτα
ἐπίσης κοινὰ ἀμφοτέροις πρόσεστιν· ἀλλ' ἐκεῖ μὲν οὐκ ἦν
μηδὲν ὠφελῆσθαι τοὺς τὴν ἀτέλειαν ἐσχηκότας· ἃ γὰρ ἐκτή-
σαντο ἐκ τῆς ἀφέσεως εἰς ἅπαντα αὐτοῖς ἔμεινε τὸν ἄλλον

5. ἀγωνίζεσθαι. ἀγωνίζεσθε B. ‖ 6. αὐτόν. αὐτῶν B. ‖ 8. οἳ BM. r ex Interpr., οἱ vm. ‖ 10. οἳ BM. r ex Interpr., οἱ vm. ‖ μηδενός. μηθενός M. — 128, 1. Φίλιππον, μάλιστα δ' ὅτι. Φίλιππον μάλιστα, ὅτε Reisk. ‖ 2. παρακεχωρήκεσαν BM, παρακεχώρηκασι reliq. ‖ δ'. δὲ M. ‖ 3. ἀντείχοντο. ἀντήχοντο vm. ‖ 5. Ἁρμοδίου. ἀρμουδίου vm. ‖ 7. γραφῆς. παρανόμων γραφῆς Reisk. — 129, 1. συμβάλετε. sic dedi. συμβάλλετε Reisk., σύμβαλε reliq. ‖ 2. ὑμῖν. ὅμοιον Geel. ‖ κατά τι. εἶναι ἄλλο τι Casaub., κρατεῖν τι Iacobs. ‖ φαίνηται. φαίνητε vm, φαίνηται προσεοικέναι Reisk., malim cum Seldeno φαίνηται ἄμεινον. ‖ 4. σκοπούμενοι M. Reisk., σκοπούμενον reliq. ‖ εὑρίσκητε Reisk., εὑρίσκηται reliq. ‖ 5. μιμήσασθε. μιμήσασθαι M. ‖ 6. τοῦ τότε BM. r, τοῦτό τε vm. — 130, 5. ὠφελῆσθαι Obs. p. 38, ὠφελῆσαι reliqui, ὀφλῆσαι Reisk. ‖ 6. ἅπαντα. ἅπαν M. ‖ τόν. ὡς καὶ τὸν M.

χρόνον, καὶ ἔμελλον εὐπορώτεροι δι' αὐτὴν ἔσεσθαι. τοῖς δέ
γε τῆς εἰκόνος ἀφαιρεθεῖσιν ἐκ τοῦ τετιμῆσθαι πρότερον οὐδ'
131 ὁτιοῦν περίεστι δίχα γε τῆς ὕβρεως καὶ τῆς ἀτιμίας. πρὸς
τούτῳ δὲ ὁ μὲν τιθεὶς τότε τὸν νόμον ἔστιν ὧν κατηγόρει
τῶν εἰληφότων τὴν ἀτέλειαν καὶ πονηροὺς ἀπέφαινε τοὺς
πλείους, οὐ μόνον ἀναξίους χάριτος· ὥστε τοῦτ' εἶναι τὸ δει-
νόν, ὅτι μὴ πᾶσιν ἐγκαλῶν πάντας ἀπεστέρει τῆς δωρεᾶς.
ἐνθάδε δὲ οὐδ' ἔνεστι τοῖς ἀφελομένοις εἰπεῖν τι κατ' ἐκεί-
νων· οὓς γὰρ μηδ' ἴσασι, πῶς αὐτοὺς αἰτιᾶσθαι δυνατόν;
132 ἔτι δὲ ὁ μὲν νόμος ἐξαιρέτους τινὰς ἐποίει τοὺς τὰ μέγιστα 637 R.
δοκοῦντας εὐεργετηκέναι τὴν πόλιν, τοὺς ἀφ' Ἁρμοδίου καὶ
Ἀριστογείτονος· ἐνθάδε δὲ οὐδέν ἐστιν ἐξαίρετον. τῷ γὰρ
ἀγράφως τὸ πρᾶγμα γίγνεσθαι καὶ μήτε κατὰ νόμον μήτε 351 M.
κατὰ ψήφισμα περὶ οὐδενὸς ὅλως ἀπείρηται, καὶ ἐπὶ παντὶ
συμβῆναι δυνατόν ἐστιν, ἐφ' ὅτῳ ποτὲ ἂν δόξῃ τῷ στρατηγῷ.
133 καὶ μὴν ὅ γε νόμος δεινὸν ἐδόκει ποιεῖν ἀφαιρούμενος τοῦ
δήμου τὴν ἐξουσίαν, ὥστε μηδὲ τὸ λοιπὸν ἐξεῖναι ψηφίσασθαι
τὴν δωρεὰν ταύτην. καὶ πόσῳ κρεῖττον τὴν ἀρχὴν κωλῦσαί
τι διδόναι τὸν δῆμον, εἰ μὴ συνέφερε τῇ πόλει, ἢ καταλιπόντα
τὸ χαρίζεσθαι, τὸ ἀφαιρεῖσθαι ταῦτα ἐφ' ἑνὶ ποιήσασθαι;
αἰσχροῦ γὰρ ὄντος, ὡς οὐδ' ἂν εἷς ἀντείποι, τοῦ ἀφαιρεῖσθαι
τοὺς λαβόντας τι, κατὰ μὲν τὸν νόμον τοῦτο ἅπαξ ἐγίγνετο,
134 κατὰ δὲ τὸ ἔθος ἀεὶ συμβαίνει. καὶ μὴν εἰ δοκεῖ δυσχερὲς τὸ
ἀφαιρεῖσθαί τινος ἐξουσίας τὴν πόλιν, καὶ ὑμεῖς ἀφαιρεῖσθε
τὴν ἐξουσίαν τοῦ φυλάττειν βέβαια τὰ δοθέντα τοῖς λαβοῦ-
σιν. ὅτῳ γὰρ ἂν ὑμεῖς δῶτε τὴν τιμήν, οὐκ ἔτ' ἔστ' ἐφ' ὑμῖν
τὸ ἐᾶν ἔχειν αὐτήν, ἀλλ' εἷς ἀνὴρ ἀεὶ τούτου κύριος, ὁ στρα-
τηγῶν. καίτοι χεῖρόν ἐστι τὸ ἔθει μὴ ἐφ' ὑμῖν εἶναι τοῦ
κατὰ νόμον κεκωλυμένου. οἱ μὲν γὰρ οὐκ ἀφῄρηνται τὴν 638 R.

7. καὶ om. M. ‖ 9. καὶ τῆς BM, τῆς om. reliq. — 131, 3. εἰληφότων τὴν ἀτέλειαν BM, τὴν ἀτέλειαν εἰληφότων reliq. ‖ 4. ἀναξίους M, ἀξίους B, οὐκ ἀξίους reliq. ‖ 5. τῆς δωρεᾶς. τὰς δωρεὰς BM (corr. vulg.). ‖ 6. ἐνθάδε. ἔνθα B. ‖ οὐδ' ἔνεστι. sic dedi, οὐδέν ἐστι reliq. ‖ 7. ἴσασι Iacobs., εἴσασί φασι M, ἴσασί φασι reliq., ἴσασιν ὡς αὐτοί φασι Reisk. — 132, 3. ἐνθάδε δέ. δὲ om. M. — 133, 3. καί. καίτοι Reisk. ‖ 4. ἢ καταλιπόντα Selden., ἢ om. reliq. ‖ 5. τὸ ἀφαιρεῖσθαι M. Selden., τοῦ ἀφαιρεῖσθαι reliq. ‖ 7. τοῦτο. τοῦτον m. ‖ ἐγίγνετο M, ἐγίνετο reliq. — 134, 2. τινος B (r). Casaub. r, τινας reliq. ‖ ἐξουσίας. ἐξουσίαν Casaub. ‖ ἀφαιρεῖσθε. ἀφαιρεῖσθαι BM. ‖ 3. τοῦ M. Casaub. r, τὸ B. vm. ‖ 5. αὐτήν. αὐτὸν BM (corr. vulg.). ‖ 6. καίτοι. καὶ τό M. ‖ εἶναι. aut ὂν aut infra κεκωλῦσθαι Reisk.

Digitized by Google

ἐξουσίαν τούτου τρόπον τινὰ, ὃ πράττειν ἑαυτοὺς νόμῳ κεκω-
135 λύκασιν, ἀλλ' ἀπέστησαν ἑκόντες διὰ τὸ συμφέρον. ἐπὶ δὲ
τοῦ ἔθους οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ὅτι αὐτοὺς, εἴπερ ἄρα,
ἀφῄρηνται τοῦθ' ὑπὲρ οὗ μήτε ἔκριναν μήτε ἐβουλεύσαντο.
καὶ μὴν ἐκεῖ γε παραμυθίαν τινὰ ἔσχον τὸ τοῦ πράγματος
ἴσον καὶ κοινὸν, ἁπάντων ὁμοίως ἀφαιρουμένων τὰς ἀτελείας·
παρ' ὑμῖν δὲ ὃς ἂν τύχῃ τῆς εἰκόνος ἀφῄρηται καὶ πολλάκις
ὁ βελτίων. ἔτι δὲ ἐκεῖ μὲν οὐχ ἵνα ἄλλος λάβῃ τὸν ἔχοντα
ἀφῃρεῖτο ὁ νόμος· παρ' ὑμῖν δὲ τούτου χάριν γίγνεται, ὃ τῷ
136 παντὶ λυπηρότερόν ἐστι τοῦ μόνον ἀποστερεῖσθαι. καὶ μὴν
ἐκεῖνό γε οὐδεὶς ἀγνοεῖ δήπουθεν, ὅσῳ δοκεῖ χαλεπώτερον τὸ
δι' ἄλλον τι πάσχειν τοῦ δι' αὑτόν. οὐκοῦν ἐκ μὲν τοῦ νόμου
συνέβαινεν, ἵνα μή τινες ἔχωσι τὰς ἀτελείας, περὶ ὧν ὡς
ἀναξίων ἔλεγεν, ἀποδοῦναι τοὺς λοιπούς· ἐκ δὲ τοῦ παρ' ὑμῖν 352 M
ἔθους ἵν' ἄλλοι λάβωσι τοὺς ἔχοντας ἀποστερεῖσθαι γίγνεται.
137 τῷ παντὶ δὲ τοῦτο τοῖς πάσχουσι βαρύτερον. εἰ τοίνυν ἐφ'
ὧν μάλιστα ἀναγκαῖόν ἐστιν, ἐπὶ τούτων βούλοιτό τις ἰδεῖν,
τίνας ἀδικεῖ τοῦτο τὸ ἔθος καὶ τίνας ἔμελλε λυπήσειν ἐκεῖνος
ὁ νόμος, ἀφελὼν τοὺς μὴ μόνον ἔχοντας ἀτέλειαν, ἀλλὰ καὶ
εἰκόνος τετυχηκότας, οὕτω σκοπείτω τοὺς λοιποὺς ἑκατέρων· 639 R
οὗτοι μὲν γὰρ τρόπον τινὰ οὐδὲ ἔπασχον οὐδέν· ὃ γὰρ εἰλή-
φεσαν ἐν προσθήκης μέρει, τοῦτο ἀπώλλυον τῆς μείζονος
δωρεᾶς αὐτοῖς τηρουμένης· ἐπὶ δὲ τῶν ἄλλων ἴσος ἂν γένοιτο
ὁ λόγος. ἀλλ' ἔστι μὲν δῆλον καὶ αὐτόθεν οἶμαι τὸ πρᾶγμα·
ὅσῳ γὰρ τὸ τῆς εἰκόνος μεῖζον ἢ τὸ τῆς ἀτελείας, τοσούτῳ
κρείττονες οἱ τούτου τυχόντες· ἔτι δ' ἂν οὕτως γένοιτό γε 640 R
138 ὁ λόγος φανερώτερος. ἡ μὲν γὰρ ἀτέλεια τοὺς λαβόντας

135, 1. ἐπὶ. ἐπεὶ M. ‖ 2. αὐτούς. αὑτοὺς M. ‖ εἴπερ ἄρα Pflugk. p. 35, περ ἄρα reliqui, γέρας Reisk. ‖ 7. ὁ βελτίων. sic dedi. idem coniecit Pflugkius. ὁ om. reliq. ‖ 9. λυπηρότερόν. λυπρότερόν M. — 136, 2. οὐδεὶς ἀγνοεῖ BM, οὐδ' ἀγνοεῖτε reliq., οὐκ ἀγνοεῖτε Pflugk. ‖ 3. αὑτόν. αὐτὸν M. ‖ 6. γίγνεται M, γίνεται reliq. — 137, 4. καὶ Reisk., καὶ τῆς (mrg. καὶ τοὺς) M, καὶ τοὺς reliq. ‖ 5. λοιπούς. λόγους Casaub. ‖ 6. εἰλήφεσαν BM, εἰλήφεισαν reliq. ‖ 7. τοῦτο. τοῦτο τὸ M. ‖ ἀπώλλυον. ἀπόλλυον M. ‖ 8. ἴσος. sic dedi. ἴσως reliq. ‖ 9. ὅσῳ — λόγος om. v. ‖ ἔστι. ἔστη M. ‖ 10. ἢ Casaub. r, καὶ reliq. ‖ 11. τυχόντες BM. τετυχηκότες reliq. ‖ 12. λόγος. λόγος ἀλλ' ἔστι μὲν δῆλον καὶ αὐτόθεν οἶμαι τὸ πρᾶγμα BM. mr. delenda v. ἀλλ' — πρᾶγμα vidit Reiskius. hunc locum sic constituit Pflugkius: ἐπὶ δὲ τῶν ἄλλων ἐστὶ μὲν δῆλον καὶ αὐτόθεν οἶμαι τὸ πρᾶγμα· ὅσῳ γὰρ τὸ τῆς εἰκόνος μεῖζον ἢ τὸ τῆς ἀτελείας, τοσούτῳ κρείττονες οἱ τούτου

εὐπορωτέρους ποιεῖ καὶ οὗτοι μάλιστα ἐπιθυμοῦσιν αὐτῆς,
οἵτινες ἂν ὦσι περὶ χρήματα ἐσπουδακότες· ἡ δὲ εἰκὼν τὸ
σεμνὸν μόνον ἔχει καὶ τὸ τῆς τιμῆς. ὅσῳ δὴ πάντες εἴποιμεν
ἂν κρείττους τοὺς προῖκα καὶ δόξης μᾶλλον ἕνεκεν αἱρουμέ-
νους εὖ τινας ποιεῖν τῶν ἐπ' ἀργυρίῳ καὶ διὰ κέρδος, τοσού-
τῳ φαίην ἂν ἔγωγε οὐ μόνον ἀμείνους ἀνθρώπους ἀδικεῖν
τοῦτο τὸ ἔθος, ἀλλὰ καὶ ὑπὸ βελτιόνων ὑμᾶς κωλύειν εὖ
139 πάσχειν ἤπερ ἐκείνους ὁ νόμος. ἀλλ' ἔγωγε ἀπορῶ, τί δήποτε
οὐχὶ καὶ νόμον τίθεσθε ἐπὶ τούτῳ, καθ' ὃν ἔσται τὸ λοιπόν,
εἴπερ ὑμῖν ἀρέσκει. νὴ Δί' αἰσχύνην γὰρ οὐ μικρὰν ἔχει
νόμος τοιοῦτος ἐν τῇ πόλει κείμενος. εἶτα ὃ γράφειν αἰσχρὸν
ἡγεῖσθε, τοῦτο ποιεῖν οὐκ αἰσχρόν ἐστιν; καὶ πόσῳ κρεῖττον
μὴ χρῆσθαί τισι τῶν φαύλως γεγραμμένων ἢ ποιεῖν; ἢ ποτέ-
ρους ἂν εἴποιτε βελτίους, τοὺς οὕτως ἔχοντας πρὸς τὰ ἄτοπα,
ὥστε ἀπέχεσθαι καὶ δεδομένων, ἢ τοὺς οὐ συγκεχωρημένα
140 πράττοντας; ἀλλ' ἔγωγε φαίην ἄν, ὁμολογουμένου τοῦ μηδα- 611 R.
μῶς δεῖν μηδὲν ἄδικον πράττειν μηδὲ ἀπρεπές, παρ' οἷς ἂν 333 M.
νόμῳ γίγνηται τὸ τοιοῦτον, ἥττονα ἂν ἔχειν κατηγορίαν ἢ
παρ' οἷς ἂν κατὰ ἔθος. πρῶτον μὲν γὰρ ὁ νόμος ῥητός ἐστι
καὶ οὐκ ἄν ποτε γένοιτο χείρων· οὐ γάρ ἐστιν οὔτε ἀφελεῖν
οὔτε προσθεῖναι τοῖς γεγραμμένοις· τὸ δέ γε ἔθος, ἂν ᾖ
φαῦλον, ἀνάγκη καὶ φαυλότερον ἀεὶ γίγνεσθαι τῷ μὴ κατει-
141 λῆφθαι μηδὲ ὡρίσθαι. λέγω δ' οἷον εὐθὺς τοῦτό φασι τὴν
ἀρχὴν λαβεῖν ἀπὸ τῶν συντετριμμένων καὶ οὐδὲ ἐφεστώτων
ἐπὶ ταῖς βάσεσι· τούτοις γὰρ ἀποχρῆσθαι τοὺς στρατηγοὺς
ἐπισκευάζοντας καὶ τρόπον τινὰ ἐξ ἀρχῆς ποιοῦντας ἑτέρους.
εἶθ', ὅπερ λοιπόν, τοὺς ὑγιεῖς μέν, οὐκ ἔχοντας δὲ ἐπιγραφάς,

τετυχηκότες. ἔτι δ' ἂν οὕτως ἴσως γένοιτο ὁ λόγος φανερώτερος. ‖ φανερώτερος. φανερώτερον BM. — 138, 2. εὐπορωτέρους. εὐπορωτέρον M. ‖ 4. εἴποιμεν ἂν κρείττους. εἴποιμ' ἂν κρεῖττον BM. ‖ 8. ὑπὸ. ὑπὲρ B. ‖ 9. ἐκείνους. ἐκεῖνος Casaub. — 139, 2. τίθεσθε. τίθεσθαι M. ‖ 3. μικρὰν. σμικρὰν B. ‖ ἔχει. ἂν ἔχοι Iacobs. Add. p. 16. ‖ 4. νόμος. ὁ νόμος M. ‖ τῇ. τινι M. ‖ 5. ἡγεῖσθε. ἡγεῖσθαι M. ‖ ἐστιν M, ἐστι reliq. ‖ 6. φαύλως. φαύλων M. ‖ ἢ ποιεῖν. ἢ μὴ γεγραμμένον ποιεῖν Casaub., ἢ φαῦλόν τι μὴ γεγραμμένον ποιεῖν Reiskius. sane huiusmodi quid deest. ‖ 7. εἴποιτε BM, εἴποις reliq. — 140, 3. γίγνηται sic dedi. γίνηται B, γείνηται M, γίνεται reliq. ‖ ἥττονα M, ἧττον' Reisk., ἧττον reliq. ‖ 5. καὶ οὐκ. καὶ om. m. — 141, 2. συντετριμμένων. συντετρειμμένων M. ‖ 3. ἐπὶ. ἔτι Reisk. ‖ ἀποχρῆσθαι. ἀποχρᾶσθαι BM. ‖ 5. εἶθ'. sic dedi. εἰς BM, ὡς reliqui. possit ὥσθ'.

ἐπιγράφεσθαι· καὶ τὸ λοιπὸν ἤδη καὶ τῶν ἐπιγεγραμμένων
τινὰς τῶν σφόδρα παλαιῶν· ἔστω γὰρ ὃ λέγουσιν ἀληθές·
εἶθ᾽ ὕστερον ἀνάγκη μηδεμίαν εἶναι διάκρισιν· καὶ γὰρ ἐπὶ
142 τῶν ἄλλων οὕτως ἔχει, δαπάνης, ἀκοσμίας, τρυφῆς. οὐδέ-
ποτε τῶν χειρόνων ἐθῶν οὐθὲν εὑρήσετε ἱστάμενον οὐδὲ δια-
μένον, ἕως ἂν παντάπασι κωλυθῇ· διὰ γὰρ τὸ δέχεσθαι πρόσ-
θεσιν ἀεὶ καὶ τὸ παρὰ μικρὸν ἀνεξέλεγκτον εἶναι καὶ μηδενὶ
φαίνεσθαι ῥᾳδίως, ὅσῳ τοῦτο ἐκείνου κάκιον, ἐπὶ πᾶν πρόει-
σιν. ὥσπερ οἶμαι καὶ τῶν ἑλκῶν τινα καὶ τῶν νοσημάτων, 641 R.
ὅσα ἐξάπαντος αὔξεσθαι φύσιν ἔχει. πρὸς τούτῳ δὲ κἀκεῖνό
ἐστιν· οἱ μὲν νόμῳ τι πράττοντες τῶν πονηρῶν οὐχ ὡς τοιοῦ-
τον αὐτὸ πράττουσιν, ἀλλ᾽ ἐξηπατημένοι· τοὺς δὲ ἔθει φαῦλα
ποιοῦντας ἅπαντες ἂν φαῖεν εἰδότας ἁμαρτάνειν, ἅ γε μηδ᾽
143 αὐτοῖς ἐπιτήδεια εἶναι γεγράφθαι δοκεῖ. μὴ τοίνυν εἰ πρό-
τερον ἤρξατο καὶ χρόνος πλέων γέγονε, διὰ τοῦτο ἔλαττον
ὑμῖν νομίζετε προσήκειν αὐτὸ ἀνελεῖν· οὐδὲν γὰρ ἥττονα αἰσχύ-
νην ὄφλουσιν οἱ φυλάττοντες τὰ τοιαῦτα τῶν παραδεξαμέ-
νων· ἀλλὰ τοὐναντίον μᾶλλον ὑπόκεινται τοῖς βουλομένοις
αἰτιᾶσθαι. τὸ μέν γε πρῶτον γιγνόμενον οὐδὲ λαθεῖν ἀδύ-
νατον τοὺς τότε, καὶ ταῦτα φυλαττομένων ἔτι τῶν ποιούν-
των· τὸ δὲ ἐκ πολλοῦ συμβαῖνον ἀνάγκη μηδένα ἀγνοεῖν, 334 M.
ἄλλως τε παντελῶς ἀνῃρημένης ὑμῶν τῆς προφάσεως ταύτης,
οἵ γε περὶ αὐτοῦ τούτου κάθησθε κρίνοντες. ὥσπερ οὖν εἰ
ἄρξασθαί τινος ἔδει τῶν καλῶν ὑμᾶς, οὐκ ἂν ὠκνεῖτε διὰ
τοῦτο, ὁμοίως εὐλόγως ἔχει, κἂν λῦσαί τι τῶν φαύλων δέῃ.

9. ἄλλων. ἄλλως BM (corr. vulg.). — 142, 2. οὐθὲν om. M. ‖ εὑρήσετε. εὑρήσεται M. ‖ διαμένον. διδόμενον M. ‖ 5. κάκιον. κάκεῖον M. ‖ ἐπὶ πᾶν. ἐπίπαν B. ‖ 7. τούτῳ BM. r, τοῦτο vm. ‖ 8. τῶν πονηρῶν. πονηρὸν BM. ‖ 10. ἅ γε. αἵ γε M. — 143, 2. πλέων. πλέον m, πλείων Reisk. ‖ γέγονε. ἐγγέγονε Reisk. ‖ 3. νομίζετε BM. Obs. p. 38, νομίζητε reliq. ‖ αὐτὸ ἀνελεῖν Pflugk., αὐτὸν ἀνελεῖν M, αὐτῶν ἀμελεῖν reliqui, unde Reiskius supra μᾶλλον pro ἔλαττον. ‖ ἥττονα BM, ἧττον reliq. ‖ 4. ὄφλουσιν. ὀφλοῦσιν M. ‖ παραδεξαμένων. παραδεδοκότων mrg. m. ‖ 5. μᾶλλον ὑποκεῖνται τοῖς βουλομένοις αἰτιᾶσθαι BM, μᾶλλον (om. cett.) reliq. ‖ 6. τὸ μέν γε BM, τὸ μὲν γὰρ Reisk., τὸ γὰρ Casaub., om. vm. ‖ γιγνόμενον M, γινόμενον reliq. ‖ 7. ταῦτα. ταῦτα οὐ Casaub. ‖ 8. πολλοῦ BM, πολλῶν reliq. ‖ 9. ἄλλως. ἄλλος M. ‖ τε. τε καὶ Pflugk. ‖ ὑμῶν. malim ὑμῖν cum Seldeno. ἐφ᾽ ὑμῖν Reisk., ὑφ᾽ ὑμῶν Pflugk. ‖ 10. κάθησθε BM. r, κάθισθε vm. ‖ εἰ ἄρξασθαί BM, εἰ καὶ ἄρξασθαί reliqui. malim εἰ κατάρξασθαι. ‖ 11. τινος. τινες r. ‖ ὠκνεῖτε B. Reisk., ὠκνεῖται M, ὀκνεῖτε reliq.

144 μὴ τοίνυν ὁ χρόνος ὠφελείτω τὸ ἔθος, εἴπερ ἐστὶ μοχθηρόν,
ὡς πάλαι νομίζω πεποιηκέναι φανερόν. οὐ γὰρ εἰ πολὺν χρόνον
ἔβλαψεν ὑμᾶς, διὰ τοῦτο οἶμαι προσήκειν αὐτὸ μηδέποτε παύ- 643 R.
σασθαι βλάπτον. οὐδὲ γὰρ ἄνδρα μοχθηρὸν ἐκ πολλοῦ λαβόν-
τες ἀφήσετε τοῦ χρόνου χάριν, οὗ διῆλθε πονηρὸς ὤν. οὐδέ
γε εἴ τις νόσον ἰάσασθαι δύναιτο ἐνοχλοῦσαν πάλαι, φείδοιτ'
145 ἂν ἐξ ἀρχῆς ὑγιαίνειν. οἶμαι δ' ὑμᾶς, εἴ τις θεῶν φανερὸν
ὑμῖν ποιήσειε τὸ μέλλον αὖθίς ποτε λυπήσειν τὴν πόλιν, πάν-
τως φυλάξεσθαι τοῦτο, ἐν ὑμῖν γε ὄν· εἶτα τοῦ μὲν ἑτέρους
βλάψοντος οὐκ ἀμελήσετε, ἐπειδὴ μετὰ ταῦτα ἔσται· τὸ δὲ ὑμᾶς
αὐτοὺς τὰ μέγιστα ἀδικοῦν ἐάσετε, εἰ πρότερον ἤρξατο; τουτὶ
μὲν οὖν παντελῶς εὔηθες, εἴ τις οἴεται μηδέποτε δεῖν κωλῦσαι
146 τὸ συνήθως μέν, ἀτόπως δὲ γιγνόμενον. ἀξιῶ δ' ὑμᾶς ἐκεῖνο
ἐνθυμηθῆναι μᾶλλον, ὅτι πολλῶν ὄντων κατὰ τὴν πόλιν, ἐφ'
οἷς ἅπασιν εὐλόγως σεμνύνεσθε, πρῶτον μὲν τῶν νόμων καὶ
τῆς εὐταξίας τῆς περὶ τὴν πολιτείαν, ἐφ' οἷς καὶ μάλιστα
φιλοτιμεῖσθε, ἔπειτα οἶμαι καὶ τῶν τοιούτων, ἱερῶν, θεά-
τρων, νεωρίων, τειχῶν, λιμένων, ὧν τὰ μὲν πλοῦτον ἐμφαίνει
καὶ μεγαλοψυχίαν καὶ τὸ μέγεθος τῆς πρότερον δυνάμεως,
τὰ δὲ καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν, οὐθενὸς ἧττον
147 ἥδεσθε ἐπὶ τῷ πλήθει τῶν ἀνδριάντων. εἰκότως. οὐ γὰρ
μόνον κόσμον φέρει τὸ τοιοῦτον, ὥσπερ ἄλλο τι τῶν ἀναθη-
μάτων, ἀλλὰ καὶ τὴν ἰσχὺν τῆς πόλεως οὐχ ἥκιστα ἐπιδεί-
κνυσι καὶ τὸ ἦθος. οὔτε γὰρ εὖ πάσχουσιν ὑπὸ πολλῶν οἱ 535 M.
τυχόντες, οὔτε θέλουσιν οὔτε ἴσως δύνανται πολλοὺς τιμᾶν. 644 R.
ἔτι δὲ κἀκεῖνό ἐστιν. οὐ γὰρ μόνον διὰ τὸ πλείστους εἶναι
παρ' ὑμῖν ἀνδριάντας τοῦτο συμβέβηκεν, ἀλλ' οἶμαι καὶ διὰ
τὸ Ῥωμαίους πολλάκις πανταχόθεν εἰληφότας κατασκευὴν
ἱερῶν καὶ βασιλείων μηδέποτε κινῆσαι τῶν παρ' ὑμῖν μηδέν·

144, 3. αὐτὸ M, αὐτῷ reliq. ‖ 4. βλάπτον BM. Reisk., βλάπτων reliq. ‖ 5. οὗ BM, ὃν reliq. ‖ διῆλθε. διέλαθε Lobeck. Paralip. I, p. 43. ‖ 6. φείδοιτ' BM. r, φείδει τ' vm. — 145, 2. ὑμῖν ποιήσειε BM, ποιήσειεν ὑμῖν reliq. ‖ 3. φυλάξεσθαι. φυλάξεσθε B. ‖ ἐν. τὸ ἐν r. ‖ 4. ἔσται Reisk., ἐστιν M, ἐστι reliq. ‖ 6. οἴεται. οἴετε M. ‖ δεῖν. δ' ἦν M. ‖ 7. γιγνόμενον M, γινόμενον reliq. — 146, 3. σεμνύνεσθε. σεμνύνεσθαι M. ‖ 5. φιλοτιμεῖσθε. φιλοτιμεῖσθαι M. ‖ 6. ὧν τὰ μὲν Selden. r, τὸ μὲν BM, τὴν μὲν v, τὰ μὲν m. ‖ 8. οὐθενὸς BM, οὐδενὸς reliq. ‖ 9. ἥδεσθε. ἥδεσθαι BM. — 147, 6. ἐστιν. ὁρᾶτε, ὁποῖόν ἐστιν (vel τοῦ παντὸς λόγου ἄξιόν ἐστιν) Reisk., ἴστε Iacobs. ‖ 9. μηδέν. μηδένα M.

Digitized by Google

148 ὅπου καὶ Νέρων τοσαύτην ἐπιθυμίαν καὶ σπουδὴν περὶ τοῦτο
ἔχων, ὥστε μηδὲ τῶν ἐξ Ὀλυμπίας ἀποσχέσθαι μηδὲ τῶν ἐκ
Δελφῶν, καίτοι πάντων μάλιστα τιμήσας ταῦτα τὰ ἱερά, ἔτι
δὲ τοὺς πλείστους τῶν ἐκ τῆς ἀκροπόλεως Ἀθήνηθεν μετε-
νεγκεῖν καὶ τῶν ἐκ Περγάμου πολλούς, αὐτῷ προσήκοντος
ἐκείνου τοῦ τεμένους· περὶ μὲν γὰρ τῶν παρ' ἄλλοις τί δεῖ
λέγειν; τοὺς παρὰ μόνοις ὑμῖν εἴασε, καὶ τοσαύτην ἐπεδείξατο
εὔνοιαν καὶ τιμὴν ἅμα πρὸς ὑμᾶς, ὥστε τὴν πόλιν ἅπασαν
149 ἱερωτέραν κρῖναι τῶν πρώτων ἱερῶν. ἴστε γὰρ Ἄκρατον
ἐκεῖνον, ὃς τὴν οἰκουμένην σχεδὸν ἅπασαν περιελθὼν τούτου 645 R
χάριν καὶ μηδὲ κώμην παρεὶς μηδεμίαν, ὡς κἀνθάδε ἧκε,
λυπουμένων δ' ὑμῶν, ὅπερ εἰκός, κατὰ θέαν ἔφη παρεῖναι·
μηδὲ γὰρ ἔχειν ἐξουσίαν μηδενὸς ἅψασθαι τῶν ἐνθάδε. τοι-
γαροῦν δίχα τοῦ κοινοῦ τῆς ὄψεως κόσμου καὶ δόξαν ὑμῖν
ἑτέραν περιποιεῖ τὸ τῶν εἰκόνων πλῆθος. τῆς γὰρ πρὸς τοὺς
ἡγουμένους φιλίας καὶ τῆς παρ' ἐκείνων ἐντροπῆς ἀπόδειξις
150 φαίνεται ταῦτα. εἶτα Ῥωμαῖοι μὲν καὶ Νέρων οὕτω τὰ παρ'
ὑμῖν ἐτήρησαν καὶ σεμνὰ ἔκριναν· ὑμεῖς δὲ οὐ φυλάξετε; καὶ
Νέρων μέν, ὁ τῶν βασιλέων σφοδρότατος καὶ πλεῖστον αὐτῷ
διδοὺς καὶ πρὸς ἅπασαν ἐξουσίαν πάντ' ἐλάττω νενομικώς,
οὐδενὸς ἀφείλετο τὴν εἰκόνα τῶν παρὰ μόνοις Ῥοδίοις τιμη-
θέντων· αὐτοὶ δὲ ὑμεῖς ἀφαιρεῖσθε; καὶ πόσῳ κρεῖττον ἦν
κἀνθάδε ταὐτὸν γεγονέναι; παρὰ μὲν γὰρ τοῖς ἄλλοις μένει
τὰ τῶν τιμηθέντων ὀνόματα καὶ τὰς ἐπιγραφὰς οὐδεὶς ἂν 356 M
ἀπαλείψειεν· ὑμεῖς δ' ὥσπερ κακόν τι πεπονθότες ὑπ' αὐτῶν
151 ἐκχαράττετε. καίτοι φαίη τις ἄν, εἰ καὶ παρὰ τῶν βασιλέων

148, 1. τοσαύτην Reisk., τοιαύτην reliq. ‖ 2. ἀποσχέσθαι. ἀποδέχεσθαι M. ‖ 3. ταῦτα τὰ r ex Interpr., ταῦτα πάντα τὰ BM, ταῦτα πάντα vm. ‖ 4. μετενεγκεῖν. μετενεγκὼν r. ‖ 5. προσήκοντος. προσήκοντας M.—149, 1. ἴστε. εἴστε BMA. ‖ Ἄκρατον ἐκεῖνον, ὃς Vales. p. 59, ἄκρα τῶν ἐκεῖ μόνος B, ἃ κρατῶν ἐκεῖ μόνος M, ἀκράτων ἐκεῖ μόνος A, ἃ Κράτων ἧκε, μόνον reliqui. Casaub. a vero hic aberravit. ‖ 3. παρεὶς. παρ' ἧς M. ‖ ὡς κἀνθάδε. ὡς malim omissum et supra ὡς τὴν. ‖ 4. δ' delet Geelius post ἧκε commate distinguens. ‖ 6. ὄψεως. πόλεως Geel. ‖ 7. ἑτέραν. παρ' ἑτέροις Reiskius frustra. ‖ 8. ἡγουμένους BM, ἡγεμόνας reliq. ‖ ἐκείνων M. Reisk., ἐκείνῳ reliq. ‖ 9. ταῦτα in M. marg. add. — 150, 3. πλεῖστον αὐτῷ διδοὺς καὶ πρὸς ἅπασαν ἐξουσίαν πάντα. πλείστην αὐτῷ διδοὺς καὶ πρὸς ἅπαντα ἐξουσίαν, πάντα Pflugkius. non accedo. ‖ 6. δὲ. δ' M. ‖ καὶ πόσῳ. καίτοι πόσῳ Geel. ‖ 7. κἀνθάδε BM. Reisk., κἀνθένδε reliq. ‖ 9. ἀπαλείψειεν. ἀπολίψειεν M. ‖ κακόν τι BM, τι κακὸν reliq. ‖ 10. ἐκχαράττετε. ἐκχαράττεται BM (at in rasura).—151, 1. εἰ.

ἀνῃροῦντο, μηδὲν οὕτως ἀδικεῖσθαι τοὺς ἄνδρας. οὐ γὰρ ὡς
δώσοντες ἑτέροις, ἀλλὰ κόσμου δεόμενοι μετέφερον, ὥστ' οὐ-
δεὶς αὐτῶν ἀφῄρει τὸ ὄνομα, οὐδ' αὖ χεῖρον ἀπήλλαττον ἀντὶ
Μεγάρων καὶ Ἐπιδαύρου καὶ τῆς Ἀνδρίων ἢ Μυκηναίων 646 R.
ἀγορᾶς ἐν τοῖς Ῥωμαίων ἱεροῖς ἀνακείμενοι. κἂν ταῦτ' ἀφῇ
τις, βέλτιον τό γε καθ' ὑμᾶς οὕτως αὐτῶν ἠφανίσθαι τὰς
τιμάς. οὐδὲν γὰρ ὑπῆρχεν ἁμάρτημα ὑμέτερον οὐδ' αὐτοὶ
τοὺς εὐεργέτας ἂν τοὺς ἑαυτῶν ἠδικεῖτε καὶ τοὺς ἥρωας·
152 ἀλλ', εἴπερ ἄρα, συνηδίκησθε αὐτοῖς. καὶ μὴν εἴ τις ὑμῶν
πύθοιτο, εἰ καὶ δόξει γελοιότερον, τί δήποτε οὔθ' ὑμεῖς οὔτ'
ἄλλος οὐθεὶς πηλίνους ποιεῖσθε τὰς εἰκόνας τῶν κριθέντων
ἀξίων εἶναι τῆς δωρεᾶς ταύτης, εὐχερέστερον δήπουθεν ὂν
καὶ μηδεμίαν ἢ παντελῶς μικρὰν δαπάνην ἔχον· φαίητ' ἂν
οἶμαι· οὐ μόνον διὰ τὸ μὴ ὑβρίζεσθαι, ἀλλὰ καὶ διὰ τὸ δια-
μένειν, εἰ δυνατὸν, εἰσαεὶ τὰς τιμὰς τῶν ἀγαθῶν ἀνδρῶν.
νῦν τοίνυν ἐπίστασθε τοὺς ἀνδριάντας ὑμῖν ἅπαντας κηρί-
νων ὄντας ἀσθενεστέρους. οὐ γὰρ εἴ τον ἥλιον φέρουσι,
τοῦτο δεῖ σκοπεῖν. ὑπὸ γὰρ τῆς κολακείας τῆς πρὸς ἑτέρους
διαφθείρονται κἂν τῷ δεῖνι δόξῃ καὶ τῷ δεῖνι δι' ἡνδήποτ'
153 αἰτίαν οὐκέτ' εἰσὶν οἱ πρότερον. πολὺ δὲ χείρων ἡ τοιαύτη 647 R.
διαφθορά. τότε μὲν γὰρ ἠλέγχετ' ἂν ἡ τῆς ὕλης ἀσθένεια,
νυνὶ δὲ ἡ κακία τῆς πόλεως φαίνεσθαι δοκεῖ. τοιγαροῦν
ὁμοίως δίδοτε τοὺς ἀνδριάντας, ὥσπερ οἱ τὰς κόρας ταύτας
ὠνούμενοι τοῖς παισίν. καὶ γὰρ ἐκεῖνοι διδόασιν οὕτως, ὥστε

εἰς M. ‖ παρά. μετὰ M (mrg. vulg.). ‖ 2. μηδέν. sic dedi. μηδὲ reliq. ‖ 4. αὐτῶν. sic dedi. ἂν αὐτῶν reliq. ‖ ἀφῄρει τὸ. malim ἀφῃρεῖτο τὸ. ‖ 5. Ἀνδρίων. ἀνδρείων BM. ‖ Μυκηναίων. malim Μυτιληναίων vel Μυκονίων. ‖ 6. κἂν ταῦτ' ἀφῇ τις. sic dedi. κἀνταῦθα φῇ τις M, καὶ ταῦτα φῇ τις reliqui, unde Pflugkius καὶ ταῦτα φαίη τις ἂν (et βελτίω). ‖ 7. τό γε. sic dedi. ἢ τό γε reliqui, „vestra caussa melius est". ‖ 8. ὑπῆρχεν. malim ὑπῆρχεν ἄν. ‖ 9. ἂν τοὺς Obs. p. 38. αὐτοὺς reliq., αὐτοὶ τοὺς Reisk. ‖ ἠδικεῖτε. ἠδικεῖται M. ‖ 10. ἀλλ'. ἀλλὰ M. ‖ συνηδίκησθε. συνηδικεῖσθαι M, συναδικεῖσθε Selden. — 152, 3. οὐθεὶς BM, οὐδεὶς reliq. ‖ ποιεῖσθε. ποιεῖσθαι M. ‖ 5. μικράν. σμικρὰν B. ‖ ἔχον. ἔχων B. ‖ 6. οὐ μόνον. sic dedi. om. M, μόνον om. reliq. ‖ μὴ om. M. ‖ ἀλλὰ καὶ διὰ τὸ om. M. ‖ 8. κηρίνων. κηρίων M. ‖ 11. κἂν τῷ δεῖνι δόξῃ καὶ τῷ δεῖνι M (at verbo κἂν superscr. καὶ), καὶ τῷ δεῖνι δόξῃ κἂν τῷ δεῖνι B, καὶ τῷ δεῖνι reliqui, unde participium aliquod deesse existimabat Casaub. ‖ ἡνδήποτ' BM, ἡνδήποτε reliq. ‖ αἰτίαν. ἐτίαν M. — 153, 1. δὲ Geel., δὴ reliq. ‖ 4. δίδοτε. δίδοται B. ‖ οἱ τὰς BM. r, ἡ τὰς vm. τὰ παρὰ τῶν κηροπλάθων (κοροπλάθων) λέγεται γύψινα πλαττόμενα ἀνδριαντάρια mrg. m. ‖ 5. ὥστε. ὥστε μηδὲν Reiskius. frustra.

λυπεῖσθαι μετ' ὀλίγον συντριβέντων. ἆρα ἀγνοεῖτε τὴν προσ-
οῦσαν αἰσχύνην τῷ πράγματι; καὶ πόσον γέλωτα ὄφλετε
154 δημοσίᾳ ψευδόμενοι, καὶ ταῦτα φανερῶς οὕτως; ἐν γοῦν τοῖς
ψηφίσμασι γράφετε· στῆσαι δὲ εἰκόνα τοῦ δεῖνος. πῶς, εἴποι
τις ἂν ὑμῖν, ἄνδρες Ῥόδιοι, στῆσαι γράφετε τὴν ἑστῶσαν,
ἐὰν οὕτω τύχῃ, πρὸ πεντακοσίων ἐτῶν; εἶτα τῶν μὲν γυναι- 337 M.
κῶν τὰς ὑποβαλλομένας παιδία πονηρὰς κρίνετε καὶ δεινόν τι
ποιεῖν ἡγεῖσθε καταψευδομένας· αὐτοὶ δὲ οὐκ αἰσχύνεσθε
τοῦτο ποιοῦντες ἐπὶ τῶν εἰκόνων, καὶ τοὺς ἀνδριάντας ὧν
οὔκ εἰσι τούτων εἶναι λέγοντες, καὶ ταῦτα οὐκ ὄντες ἀνήκοοι
155 τῶν κατὰ τῆς πόλεως σκωμμάτων; φασὶ γοῦν πολλοὶ τοὺς
Ῥοδίων ἀνδριάντας ὁμοίους εἶναι τοῖς ὑποκριταῖς. ὥσπερ
γὰρ ἐκείνων ἕκαστον ἄλλοτε ἄλλον εἰσιέναι, καὶ τοὺς ἀνδριάν-
τας ὑμῖν ἄλλοτε ἄλλα λαμβάνειν πρόσωπα καὶ μικροῦ δεῖν
ὑποκρινομένους ἑστάναι. τὸν γὰρ αὐτὸν νῦν μὲν εἶναι Ἕλ- 648 R.
ληνα, νῦν δὲ Ῥωμαῖον, πάλιν δ', ἂν οὕτω τύχῃ, Μακεδόνα
ἢ Πέρσην· καὶ ταῦτ' ἐπ' ἐνίων οὕτως, ὥστε τὸν ἰδόντα εὐθὺς
εἰδέναι. καὶ γὰρ ἐσθὴς καὶ ὑπόδεσις καὶ τοιαῦθ' ἕτερα τὸ
156 ψεῦδος ἐλέγχει. καὶ μυρία ἐῶ τῶν γιγνομένων, οἷον τὸ πολ-
λάκις ἀνδρὸς σφόδρα γέροντος εἰκόνι νέου τινὸς τὸ ὄνομα
ἐπιγράφειν· θαυμαστήν τινα οἶμαι δωρεὰν εὑρηκότων ὑμῶν,
εἰ μετά γε τῆς τιμῆς καὶ τὴν ἡλικίαν δίδοτε· καὶ πάλιν ἀθλη-
τοῦ τινος ἀνδριάντα ἑστάναι ὡς ὄντα ἀνθρώπου παντελῶς
ἀσθενοῦς καὶ μετρίου τὸ σῶμα. τὸ μὲν γὰρ ἱππεύοντα τὸν
δεῖνα ὁρᾶσθαι παρ' ὑμῖν ἢ πολεμίῳ συνεστῶτα ἢ στράτευμα
ἐκτάσσοντα, ἄνθρωπον οὐδὲ πώποτε τῆς γῆς ἁψάμενον τοῖς
αὑτοῦ ποσὶν καὶ ἀπὸ τῶν ὤμων καταβάντα τῶν φερόντων,
οὐθὲν ἴσως ἄτοπον· ἀλλ' ὁ δεῖνά γε ἕστηκε πυκτεύων παρ'
157 ὑμῖν. καὶ λέγω ταῦτα μὰ τὸν Δία οὐκ ἀπεχθάνεσθαι βου-

7. ὄφλετε. ὀφλεῖτε BM. — 154, 1. τοῖς ψηφίσμασι. τῆς ψηφίσμασιν M. ‖ 2. δὲ BM, δεῖν reliq. ‖ 4. ἐάν. εἰ M. ‖ τῶν μὲν BM, μὲν om. reliq. ‖ 5. ὑποβαλλομένας. ὑποβαλομένας B. ‖ κρίνετε. κρίνεται M. ‖ 6. ἡγεῖσθε. ἡγεῖσθαι M. ‖ αἰσχύνεσθε. αἰσχύνεσθαι M. — 155, 3. ἐκείνων BM. r, ἐκεῖνον vm. ‖ εἰσιέναι Reisk., εἰσιεῖναι reliq. ‖ 6. οὕτω. οὕτως M. ‖ 7. ἢ Πέρσην r ex Interpr., ἢ om. reliqui (sed M in rasura). ‖ 8. ὑπόδεσις. ὑπόθεσις BM. ‖ 9. ψεῦδος. ψεῦσμα (mrg. vulg.) M. mrg. m. — 156, 5. ἑστάναι. ἱστάναι Reiskius (aut supra ἐπιγεγράφθαι). ‖ 6. τὸ μέν. τὸν μὲν M. ‖ 10. πυκτεύων. aut intercidere quaedam aut obiter teligit rem praesentibus cognitam. Geelius.

λομενος ὑμῖν οὐδὲ διασύρων τὴν πόλιν, ἀλλ' ὅπως μηδὲν ἀνάξιον ἑαυτῆς μηδὲ ἀλλότριον τῆς ἄλλης εὐκοσμίας καὶ τῆς πολιτείας φαίνηται ποιοῦσα. καί μοι δοκεῖ τις ἂν εἰκότως προαχθῆναι διὰ τὴν πρός ἅπαντας εὔνοιαν τοὺς Ἕλληνας, οὐ μόνον διὰ τὴν πρὸς ὑμᾶς, εἴ τι ἄρα ἐνθά δεἔχοι μὴ καλῶς,
εἰπεῖν καὶ μηνῦσαι. πρότερον μὲν γὰρ ἐκ πολλῶν συνειστήκει 358 M.
τὸ κοινὸν ἀξίωμα καὶ πολλοὶ τὴν Ἑλλάδα ηὖξον· ὑμεῖς, Ἀθηναῖοι, Λακεδαιμόνιοι, Θηβαῖοι, χρόνον τινὰ Κορίνθιοι, τὸ
παλαιὸν Ἀργεῖοι. νυνὶ δὲ τὸ μὲν τῶν ἄλλων οὐθέν ἐστιν. 649 R.
158 οἱ μὲν γὰρ αὐτῶν ὅλως ἀνῄρηνται καὶ ἀπολώλασιν, οἱ δὲ ἀσχημονοῦσι πράττοντες, οἷα ἀκούετε, καὶ πάντα τρόπον τὴν παλαιὰν δόξαν ἀφανίζοντες, οἰόμενοι τρυφᾷν οἱ ἀνόητοι καὶ κέρδος ἀριθμοῦντες τὸ μηθένα κωλύειν αὐτοὺς ἁμαρτάνοντας. λοιποὶ δὲ ὑμεῖς ἐστε· καὶ γὰρ μόνοις ὑμῖν ὑπάρχει τὸ δοκεῖν ὄντως τινὰς γεγονέναι καὶ μὴ τελέως καταπεφρονῆσθαι. διὰ μὲν γὰρ τοὺς οὕτω χρωμένους ταῖς ἑαυτῶν πατρίσιν, ὡς ἀληθεύοντες ἔνιοι λέγουσιν, οὐθὲν ἐκώλυε πάλαι Φρυγῶν πάντας ἢ Θρᾳκῶν ἀτιμοτέρους γεγονέναι τοὺς Ἕλ-
159 ληνας. ὥσπερ οὖν οἰκίας ἠρημωμένης εὐδαίμονος καὶ μεγάλης, ὅταν εἷς ἔτι λοιπὸς ᾖ διάδοχος, ἐν ἐκείνῳ πάντα ἐστὶ, κἂν οὗτος ἁμαρτάνῃ τι καὶ ἀκούῃ κακῶς, τὴν ὅλην δόξαν ἀφανίζει τῆς οἰκίας καὶ πάντας καταισχύνει τοὺς πρότερον· οὕτω τὰ ὑμέτερα νῦν ἔχει πρὸς τὴν Ἑλλάδα. μὴ γὰρ οἴεσθε πρωτεύειν αὐτῆς, ἄνδρες Ῥόδιοι, μὴ οἴεσθε. τῶν γὰρ ζώντων ἔτι καὶ τῶν αἰσθανομένων τιμῆς ἢ ἀδοξίας ἐστὶ πρώτους εἶναι. τὰ δὲ ἐκείνων οἴχεται καὶ πάντα τρόπον αἰσχρῶς καὶ ἐλεεινῶς διέφθαρται· καὶ οὐδὲ ἐπινοῆσαι λοιπὸν ἔστι τὴν
ὑπεροχὴν καὶ τὴν λαμπρότητα τῶν παθῶν εἴς γε τοὺς ἄνδρας 650 R.
160 ὁρῶντα. ἀλλ' οἱ λίθοι μᾶλλον ἐμφαίνουσι τὴν σεμνότητα καὶ τὸ μέγεθος τῆς Ἑλλάδος καὶ τὰ ἐρείπια τῶν οἰκοδομημάτων· ἐπεὶ αὐτούς γε τοὺς ἐνοικοῦντας καὶ τοὺς πολιτευο-

157, 6. ἔχοι μὴ M. Reisk., ἔχοιμι reliq. ‖ 8. τὴν Ἑλλάδα ηὖξον BM. mrg. m, τῆς Ἑλλάδος ἦρξαν reliq. — 158, 1. ἀνῄρηνται. ἀνήρηται M. ‖ 2. ἀκούετε. ἀκούεται M. ‖ 5. λοιποὶ B (?). r, λοιπὸν reliq. — 159, 1. ἠρημωμένης. ἠρεμωμένης r. ‖ 2. λοιπός. λοιπὸν BM. ‖ 5. οὕτω. οὕτως M. ‖ οἴεσθε. οἴεσθαι M. ‖ 6. Ῥόδιοι. Ῥόδιοι τοὺς τεθνεῶτας Reiskius frustra. ‖ 8. αἰσχρῶς. αἰσχρὸν M. ‖ 10. παθῶν. πατέρων (vel πάλαι vel παλαιῶν) Reisk., πατρίδων Selden., πόλεων Pflugk., at nihil mutandum. ‖ εἴς γε. εἴς τε M.

μένους οὐκ ἂν εἴποι τις οὐδὲ Μυσῶν ἀπογόνους· ὥστε ἔμοιγε
δοκοῦσι τῶν οὕτως οἰκουμένων αἱ τελέως ἀνῃρημέναι πόλεις
κρεῖττον ἀπαλλάττειν. ὑγιὴς γὰρ ἡ τούτων μνήμη μένει, καὶ
τὸ ὄνομα δι' οὐθὲν ὑβρίζεται τῶν πρότερον καλῶν. ὥσπερ
οἶμαι καὶ τῶν τεθνεώτων τῷ παντὶ βέλτιον τὰ σώματα ἀνη- 359 M
161 ρῆσθαι καὶ μηδένα ὁρᾶν ἢ φαίνεσθαι σηπόμενα. καὶ ταῦτα
μὲν ἴσως πλείω τῶν εἰκότων ἐπῆλθέ μοι μνησθέντι τῆς ὅλης
καταστάσεως. ἐκεῖνο δ' ὑμῖν ἐβουλόμην ποιῆσαι φανερὸν,
ὅτι μόνοι καταλείπεσθε τῶν Ἑλλήνων, οἷς ἂν καὶ παραινέσαι
τις καὶ περὶ ὧν ἔστιν ἔτι λυπηθῆναι δοκούντων ἁμαρτάνειν.
εἰκότως ἂν οὖν πρόσχοιτε ἑαυτοῖς καὶ πάντα τὰ τοιαῦτα ἐξε-
τάζοιτε ἀκριβέστερον τῶν προγόνων. ἐκείνοις μὲν γὰρ ἐν
πολλοῖς ὑπῆρχεν ἑτέροις ἡ τῆς ἀρετῆς ἐπίδειξις, ἐν τῷ προε-
στάναι τῶν ἄλλων, ἐν τῷ βοηθεῖν τοῖς ἀδικουμένοις, ἐν τῷ
συμμάχους κτᾶσθαι, πόλεις οἰκίζειν, νικᾶν πολεμοῦντας· ὑμῖν
162 δὲ τοιοῦτον μὲν οὐθὲν πράττειν ἔνεστιν. καταλείπεται δ'
οἶμαι τὸ ἑαυτῶν προεστάναι καὶ τὴν πόλιν διοικεῖν καὶ τὸ
τιμῆσαί τινα καὶ κροταλίσαι μὴ τοῖς πολλοῖς ὁμοίως καὶ τὸ
βουλεύσασθαι καὶ τὸ δικάσαι καὶ τὸ τοῖς θεοῖς θῦσαι καὶ
τὸ ἄγειν ἑορτήν· ἐν οἷς ἅπασιν ἔστι βελτίους τῶν ἄλλων φαί-
νεσθαι. τοιγάρτοι καὶ τὰ τοιαῦτα ὑμῶν ἐπαίνου τυγχάνει
καὶ γιγνώσκεται παρὰ πᾶσιν οὐχ ὡς μικρὰ, τὸ βάδισμα, ἡ 651 R
κουρὰ, τὸ μηδένα σοβεῖν διὰ τῆς πόλεως, ἀναγκάζεσθαι δὲ
διὰ τὴν ὑμετέραν συνήθειαν καὶ τοὺς ἐπιδημοῦντας ξένους
καθεστῶτας πορεύεσθαι· καθάπερ οἶμαι καὶ τοὺς ἀγροίκους
ἰδεῖν ἔστιν, ὅταν εἰς παλαίστραν ἢ γυμνάσιον ἔλθωσιν, ἧττον
163 ἀῤῥύθμως κινουμένους· ἔτι πρὸς τούτοις τῆς ἐσθῆτος ὁ τρό-
πος, τὸ ἴσως ἄν τινι γελοῖον φανὲν, τῆς πορφύρας τὸ μέτρον·
τὰ φανερώτερα ἤδη, τὸ μεθ' ἡσυχίας θεωρεῖν, ὁ ποππυσμός·

160, 8. καὶ τῶν BM, τῶν om. reliq. — 161, 2. εἰκότων. εἰκόνων M. ‖ 4. καταλεί-πεσθε. καταλείπεσθαι M. ‖ 6. ἑαυτοῖς Casaub., αὐτοῖς reliq. ‖ ἐξετάζοιτε BM (corr. ἐξετάζοντι), ἐξετάζοντες reliqui, unde Reiskius ὅμοιοι εἴητε post ἀκριβέστερον addebat, Pflugkius vero ἄλλως τε ante καὶ πάντα. ‖ 7. ἀκριβέστερον. ἀκριβότερον mrg. M. ‖ 11. ἔνεστιν M, ἔνεστι reliq. — 162, 1. καταλείπεται. καταλίπετε M. ‖ 4. καὶ τὸ δικάσαι BM, om. reliq. ‖ 7. πᾶσιν. παισὶν M. ‖ μικρά. σμικρὰ B. ‖ 9. συνήθειαν. ἀσθένειαν mrg. m. ‖ 10. καθεστῶτας. malim καθεστώτως cum Reiskio. ‖ ἀγροίκους. ἀγρίκους M. ‖ 12. ἀῤῥύθμως Pflugk., ἀριθμῶς M, ἀῤῥύθμους reliq. — 163, 2. τὸ ἴσως Geel., τοῖς ὡς BM, ὡς reliq. ‖ φανέν. φανείη Pflugk. ‖ μέτρον. ἄμετρον Reisk., μέτριον Geelius, qui conf. III. § 78.

πάντα ταῦτα σεμνὴν τὴν πόλιν ποιεῖ, διὰ ταῦτα τῶν ἄλλων
διαφέρειν δοκεῖτε, ἐπὶ τούτοις ἅπασι θαυμάζεσθε, ἀγαπᾶ-
σθε· τῶν λιμένων, τῶν τειχῶν, τῶν νεωρίων μᾶλλον ὑμᾶς
κοσμεῖ τὸ ἐν τοῖς ἔθεσιν ἀρχαῖον καὶ Ἑλληνικὸν, τὸ παρ'
ὑμῖν μὲν ὅταν τις γένηται εὐθὺς αὐτὸν ἀποβάντα εἰδέναι,
κἂν τύχῃ βάρβαρος ὤν, ὅτι οὐ πάρεστιν εἴς τινα πόλιν τῆς
Συρίας ἢ τῆς Κιλικίας· παρ' ἄλλοις δὲ ἂν μή τις ἀκούσῃ τοῦ 360 M.
τόπου τὸ ὄνομα, φέρε εἰπεῖν ὅτι καλεῖται Λύκειον ἢ Ἀκαδη-
164 μία, μηθὲν διαφέρειν. τίνος οὖν χάριν ταῦτα πανόμενος ἤδη
λέγω καὶ τί δηλῶσαι βουλόμενος; ὅτι τοσούτῳ μᾶλλον ὑμᾶς
φιλοτιμεῖσθαι δεῖ καὶ μηθὲν παραπέμπειν τῶν γιγνομένων.
κἂν οὕτως ἔχητε ἐν ἅπασιν οἷς πράττετε, ἴσως οὐδὲν δόξετε
κακίους εἶναι τῶν προγόνων. τὸ γὰρ ἐν τοιαύτῃ καταστάσει
διαφυλάττειν ἑαυτοὺς καὶ μένειν ἐπὶ τοῦ τῆς ἀρετῆς σχήμα- 652 R.
165 τος θαυμαστὸν ἔμοιγε δοκεῖ· καθάπερ οἶμαι καὶ τῶν πλεόν-
των ἰδεῖν ἔστι χειμῶνος μὲν ἐπιπεσόντος ἢ σφοδροῦ τοῦ πνεύ-
ματος μηδὲ τοὺς ἀσελγεστάτους αὐτῶν αἰσχρόν τι ποιοῦντας,
ἀλλὰ πρὸς μόνῳ τῷ πλεῖν ὄντας, ἐν δὲ τῇ γαλήνῃ καὶ τῶν
ναυτῶν καὶ τῶν ἐπιβατῶν ἐπιπολάζουσαν τὴν ὕβριν, κἂν μὴ
ὦσιν ἀκόλαστοι· τὸν αὐτὸν οἶμαι τρόπον ὁ μὲν πόλεμος εἴωθε
καὶ τοὺς φαυλοτέρους εἴργειν καὶ κρατεῖν, ἐν τοσαύτῃ δὲ
εἰρήνῃ καὶ ῥᾳθυμίᾳ τῶν ἀρίστων ἀνδρῶν εἰς μηδεμίαν αἰσχύ-
νην μηδὲ ἀταξίαν ὑπενεχθῆναι.

4. πάντα ταῦτα BM, ταῦτα πάντα reliq. ‖ ταῦτα. ταῦτα πάντα BM. ‖ 5. θαυμάζεσθε. θαυμάζεσθαι BM ‖ ἀγαπᾶσθε. ἀγαπᾶσθαι B. ‖ 6. μᾶλλον. ἢ μᾶλλον BM. ‖ 9. ὅτι οὐ Casaub., ἢ ὅτι BM (sed ἢ obel. not.), ὅτι reliq. ‖ 10. Συρίας BM, Ἀσυρίας reliq. ‖ 11. ὅτι M. Obs. p. 38, ὅ τι reliq. ‖ Λύκειον. λύκιον M. ‖ 12. μηθὲν BM, μηδὲν reliq. — 164, 1. χάριν ταῦτα M, ταῦτα om. reliq. ‖ 3. δεῖ. δὴ M. ‖ μηθὲν BM, μηδὲν reliq. ‖ 4. οὐδέν. οὐθὲν M. — 165, 2. τοῦ. malim του. ‖ 3. μηδέ. μηδένα, μηδὲ Reiskius, frustra. ‖ 4. τῷ. τό M. ‖ γαλήνῃ. γαλίνῃ M. ‖ 6. ὁ μὲν πόλεμος Obs. p. 39, ἐν πολέμοις M, καὶ ἐν πολέμοις reliqui, unde ὁ κίνδυνος Casaubonus, τὸ δέος Reiskius excidisse opinabantur, Iacobsius scribit καὶ τὰ ἐν πολέμοις. ‖ 7. φαυλοτέρους. γαυροτέρους Geel. ‖ εἴργειν Obs. p. 39, ἐγείρειν reliq. ‖ κρατεῖν. κρατύνειν Reisk. ‖ 8. ἀνδρῶν. ἀνδρῶν ἐστὶν Geelius, non opus. ‖ 9. ἀταξίαν. ἀτοξίαν M.

Digitized by Google

ΛΟΓΟΣ λβ

ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΕΙΣ.

1 Ἆρά γε βούλοισθ' ἄν, ὦ ἄνδρες, σπουδάσαι χρόνον σμι- 653 R.
κρὸν καὶ προσέχειν, ἐπειδὴ παίζοντες ἀεὶ διατελεῖτε καὶ οὐ
προσέχοντες; καὶ παιδιᾶς μὲν καὶ ἡδονῆς καὶ γέλωτος ὡς
εἰπεῖν οὐδέποτε ἀπορεῖτε· καὶ γὰρ αὐτοὶ γελοῖοί ἐστε καὶ
ἡδεῖς καὶ διακόνους πολλοὺς τούτων ἔχετε, σπουδῆς δὲ ὑμῖν
2 τὴν πᾶσαν ἔνδειαν ὁρῶ οὖσαν. καίτοι τινὲς ἐπαινοῦσιν ὑμᾶς
ὡς σοφούς τε καὶ δεινούς, ὅτι τοσαῦται μυριάδες ἀνθρώπων
ἅμα καὶ τὰ δέοντα ἐννοεῖτε καὶ ταχὺ φθέγγεσθε ὅ τι ἂν ἐν- 361 M.
νοήσητε· ἐγὼ δὲ μᾶλλον ἂν ὑμᾶς ἐπῄνουν βραδὺ μὲν φθεγ-
γομένους, ἐγκρατῶς δὲ σιγῶντας, ὀρθῶς δὲ διανοουμένους, ὃ
καὶ νῦν ποιήσατε, ἵνα κτήσησθε πρὸς ἐκείνῳ τῷ ἐπαίνῳ και-
νὸν ἕτερον μείζω τε καὶ σεμνότερον· ὅτι τοσοῦτοι ὄντες λόγων
χρησίμων γενομένων ἅπαντες ἐσιωπήσατε, καὶ πρὸς τούτῳ
ἐδείξατε, ὅτι οὐ μόνον ἐστὲ ἱκανοὶ νοήσαντες εἰπεῖν, ἀλλὰ καὶ
ἀκούσαντες νοῆσαι. χοροῦ μὲν γὰρ ἔπαινος τὸ ἅμα εἰπεῖν,
μᾶλλον δὲ οὐδὲ τοῦτο· τί γάρ, ἂν κοινῇ πάντες ἀποτυγχά-
3 νωσι τοῦ μέλους; δήμου δὲ τὸ καλῶς ἀκοῦσαι. νῦν μὲν γὰρ
ἁμαρτάνετε τὸ Ἀθηναίων ποτὲ ἁμάρτημα. τοῦ γὰρ Ἀπόλ-
λωνος εἰπόντος, εἰ θέλουσιν ἄνδρας ἀγαθοὺς ἐν τῇ πόλει γε-
νέσθαι, τὸ κάλλιστον ἐμβάλλειν τοῖς ὠσὶ τῶν παίδων· οἱ δὲ 654 R.
τρήσαντες τὸ ἕτερον χρυσίον ἐνέβαλον, οὐ συνέντες τοῦ θεοῦ.
τοῦτο μὲν γὰρ κόραις μᾶλλον ἔπρεπε καὶ παισὶ Λυδῶν ἢ Φρυ-
γῶν· Ἑλλήνων δὲ παισί, καὶ ταῦτα θεοῦ προστάξαντος, οὐκ
ἄλλο ἥρμοζεν ἢ παιδεία καὶ λόγος, ὧν οἱ τυχόντες εἰκότως

Orat. XXXII. Collati sunt BM et A passim. — 1, 2. διατελεῖτε. διατελεῖται M. ‖ 3. ὡς BM. Pflugk., ὥστ' reliq. — 2, 3. καὶ τὰ δέοντα ἐννοεῖτε in M marg. addit. ‖ φθέγγεσθε. φθέγγεσθαι M. ‖ ἂν in M a corr. add. ‖ 7. μείζω τε καὶ M, μείζονα καὶ reliq. ‖ 8. πρὸς τούτῳ. παρὰ τοῦτο vel οὕτως Reisk. — 3, 4. ἐμβάλλειν M, ἐμβαλεῖν reliq. ‖ 5. τρήσαντες B. Casaub. r, τηρήσαντες (sed τη in rasura) M. vm. ‖ 7. οὐκ ἄλλο om. M (mrg. οὐκ ἄλλως). ‖ 8. ἥρμοζεν ἤ. ἥρμοζε M

4 ἄνδρες ἀγαθοὶ γίγνονται καὶ σωτῆρες τῶν πόλεων. ἐκεῖνοι μὲν οὖν κακῶς ἐχρήσαντο τοῖς ὠσὶ τῶν παίδων, ὑμεῖς δὲ τοῖς αὑτῶν κάκιον. δήμου γάρ ἐστιν ἀκοὴ τὸ θέατρον· εἰς τοῦτο δὲ καλὸν μὲν ἢ τίμιον οὐδὲν ὑμῖν ἢ σπανίως ποτὲ εἰσέρχεται· κρουμάτων δὲ ἀεὶ μεστόν ἐστι καὶ θορύβου καὶ βωμολοχίας καὶ σκωμμάτων οὐδὲν ἐοικότων χρυσῷ. διὰ τοῦτο οὖν ὀρθῶς ἔφην ἀπορεῖν ὑμᾶς σπουδῆς. οὔτε γὰρ αὐτοὶ σπουδαῖοί ἐστε οὔτε οἱ ὑμέτεροι συνήθεις καὶ πολλάκις εἰς ὑμᾶς εἰσιόντες·

μῖμοί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι
ἵππων τ' ὠκυπόδων ἐπιβήτορες, οἵ κε τάχιστα
ἤγειραν μέγα νεῖκος ἀπαιδεύτοισι θεαταῖς,
νηπιάχοις, ξυνὸν δὲ κακὸν πολίεσσι φέρουσιν. 362 M.

5 ταῦτα γὰρ ἀεὶ ὁρᾶτε καὶ περὶ τοιαῦτά ἐστε, ἀφ' ὧν νοῦν μὲν ἢ φρόνησιν ἢ δικαίαν διάθεσιν ἢ πρὸς θεοὺς εὐσέβειαν οὐκ ἔστι κτήσασθαι· ἔριν δὲ ἀμαθῆ καὶ φιλοτιμίαν ἄμετρον καὶ κενὴν λύπην καὶ χαρὰν ἀνόητον καὶ λοιδορίαν καὶ δαπάνην. λέγω δὲ ταῦτα οὐκ ἀποτρέπων οὐδὲ καταλύειν κελεύων τὰς τοιαύτας ψυχαγωγίας καὶ ἀπάτας τῆς πόλεως· 655 R. μαινοίμην γὰρ ἄν· ἀλλ' ἀξιῶν ὑμᾶς, ὥσπερ τούτοις ἑτοίμως καὶ συνεχῶς αὑτοὺς παρέχετε, οὕτω καὶ λόγου χρηστοῦ ποτε ἀκοῦσαι καὶ τὴν ἐπὶ τῷ συμφέροντι δέξασθαι παῤῥησίαν.
6 ἐπεὶ καὶ τοὺς Ἀθηναίους, ὧν μικρῷ πρότερον ἐμνήσθην, οὐ πάντως εὑρήσομεν ἁμαρτάνοντας· ἀλλὰ τοῦτό γε ἐκεῖνοι καὶ πάνυ καλῶς ἐποίουν, ὅτι τοῖς ποιηταῖς ἐπέτρεπον μὴ μόνον τοὺς κατ' ἄνδρα ἐλέγχειν, ἀλλὰ καὶ κοινῇ τὴν πόλιν, εἴ τι μὴ καλῶς ἔπραττον. ὥστε σὺν πολλοῖς ἑτέροις καὶ τοιαῦτα ἐν ταῖς κωμῳδίαις λέγεσθαι·

(corr. ἥρμοζε δὲ), ἥρμοζε δὲ B. v, unde Reiskius οὐκ, ἀλλ' ἥρμοζε μᾶλλον. ‖ 9. ἄνδρες. sic dedi. ὧν ἄνδρες reliq. ‖ γίγνονται. γίγνωνται B. — 4, 3. κάκιον. κάκειον M. ‖ 4. καλὸν μὲν ἢ BMA, μὲν om. reliq. ‖ 5. κρουμάτων. κρουσμάτων (corr. vulg.) M. ‖ 8. οὔτε οἱ. οἱ om. M. ‖ 9—12. consarcinata sunt ex Iliad. 24, 260. Od. 18, 262. Iliad. 16, 262. ‖ 9. μῖμοί τ'. μῖμοί τε M. ‖ χοροιτυπίῃσιν. χοροὶ τυπίῃσιν B. ‖ 10. κε. κα M. ‖ 11. μέγα νεῖκος BA. Casaub. (idem μέγαν οἶτον), μέγαν εἶκός M (sed in rasura), μέγαν εἶκός V, μέγαν οἶκον mr, μέγαν ἆχον Selden. ‖ ἀπαιδεύτοισι. ἀπεδεύτοισι M (sed ε in rasura). — 5, 1. ταῦτα BA, τοῦτο reliq. ‖ νοῦν. νῦν B. ‖ 5. ταῦτα. αὐτὰ M. ‖ 8. συνεχῶς BM. Reisk., συνετῶς reliq. ‖ οὕτω. οὕτως M. — 6, 2. πάντως B. Iacobs. Add. p. 212, πάντα Reisk., πάντας reliq. ‖ 4. εἴ τι. sic dedi. idem coniecit Pflughkius, ἐστὶ M, ἐς ὅ τι reliq.

δῆμος πυκνίτης, δύσκολον γερόντιον,
ὑπόκωφον,

καὶ

τί δ' ἔστ' Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον.

καὶ ταῦτα ἤκουον ἑορτάζοντες καὶ δημοκρατούμενοι, καὶ οὐ
μόνον τῶν σφετέρων πολιτῶν εἴ τινα ἤθελον πρὸς ὀργὴν ἀπο-
λέσαι τῶν ταῦτα λεγόντων κύριοι καθεστηκότες, ἀλλὰ καὶ 656 R.
τῶν ἄλλων Ἑλλήνων ἄρχοντες, καὶ ἐξὸν αὐτοῖς, εἰ ἐβούλοντο,
7 μηδὲν ἀηδὲς ἀκούειν. ὑμῖν δὲ οὔτε χορός ἐστι τοιοῦτος οὔτε
ποιητὴς οὔτε ἄλλος οὐδείς, ὃς ὑμῖν ὀνειδιεῖ μετ' εὐνοίας καὶ
φανερὰ ποιήσει τὰ τῆς πόλεως ἀῤῥωστήματα. τοιγαροῦν
ὅταν ποτὲ φαίνηται τὸ πρᾶγμα, προθύμως δέχεσθαι δεῖ καὶ
τότε νομίζειν ἑορτὴν ἄγειν, ἀλλὰ μὴ βαρύνεσθαι, κἂν ἄρα,
δυσωπεῖσθαι ἐξειπεῖν· πηνίκα παύσεται; καὶ πότε εἴσεισι
θαυματοποιὸς ἢ λῆρος ἢ τοιοῦτος ἕτερος; ἐκεῖνο μὲν γάρ, 363 M.
ὅπερ εἶπον, ἀεὶ ὑμῖν πάρεστι, καὶ οὐ δέος μήποτε ἐπιλίπῃ· 657 R.
τῶν δὲ τοιούτων λόγων, δι' οὓς ἄνθρωποι εὐδαιμονοῦσι καὶ
κρείττους καὶ σωφρονέστεροι γίγνονται καὶ βέλτιον οἰκεῖν
δύνανται τὰς πόλεις, οὐ πολλάκις ἀκηκόατε· οὐ βούλομαι
8 γὰρ εἰπεῖν, ἀνήκοοί ἐστε. καὶ τοῦτο ἴσως οὐ δι' ὑμᾶς· δη-
λώσετε δέ, ἂν ἀνάσχησθε τήμερον· ἀλλὰ μᾶλλον παρὰ τοὺς
καλουμένους φιλοσόφους. οἱ μὲν γὰρ αὐτῶν ὅλως εἰς πλῆθος
οὐκ ἴασιν οὐδὲ θέλουσι διακινδυνεύειν, ἀπεγνωκότες ἴσως τὸ
βελτίους ἂν ποιῆσαι τοὺς πολλούς· οἱ δ' ἐν τοῖς καλουμένοις
ἀκροατηρίοις φωνασκοῦσιν ἐνσπόνδους λαβόντες ἀκροατὰς
9 καὶ χειροήθεις ἑαυτοῖς. τῶν δὲ Κυνικῶν λεγομένων ἔστι μὲν
ἐν τῇ πόλει πλῆθος οὐκ ὀλίγον, καὶ καθάπερ ἄλλου τινὸς
πράγματος καὶ τούτου φορὰ γέγονεν· οὐθὲν μέντοι γε καὶ

7. πυκνίτης B, πυκνεῖ τῆς M, πυκνίτης reliqui. conf. Aristoph. Equit. 42. ‖ 10. Ἀθηναίοισι Geel., Ἀθηναῖος M, Ἀθηναῖος τὸ reliqui. est versus Eupolidis e Πόλεσιν Geelius. conf. Meinek. Fragm. Com. Gr. II, p. 517. ‖ ἀπώμοτον Suid. I, p. 303, Reisk., ἀνώμοτον reliq. ‖ 12. ἀπολέσαι r, ἀπολέσθαι reliq. — 7, 4. δεῖ BM, χρὴ reliq. ‖ 5. βαρύνεσθαι M. Casaub. r, βαρύνεσθε reliq. ‖ 6. δυσωπεῖσθαι Reisk., δυσωπῆσθε reliq. ‖ πηνίκα Casaub. r, ἡνίκα BM (sed ἡ in rasura). vm. ‖ 7. λῆρος ἢ. ἢ delet Reisk. ‖ ἐκεῖνο. ἐκεῖνα Reisk. ‖ 11. ἀκηκόατε. ἀκηκοότες M. — 8, 1. δηλώσετε. δηλώσεται B. ‖ 2. ἂν. ἣν (a corr. deletum) M. ‖ παρὰ BM (superscr. διὰ), διὰ reliq. ‖ 4. ἴασιν. ἐῶσιν v. ‖ οὐδὲ BM. Reisk., οἱ δὲ reliq. ‖ 6. φωνασκοῦσιν Geel., φωνὰς ἀσκοῦσιν reliq. — 9, 1. ἔστι M, ἐστὶ reliq. ‖ 2. καί. καὶ γὰρ Selden. ‖ 3. οὐθέν. hunc locum alii aliter tentarunt. Casaubonus sic cum consti-

ἀγεννὲς ἀνθρώπων οὐθὲν ὡς εἰπεῖν ἐπισταμένων, ἀλλὰ χρειῶν τροφῆς· οὗτοι δὲ ἔν τε τριόδοις καὶ στενωποῖς καὶ πυλῶσιν 658 R.
ἱερῶν ἀγείρουσι καὶ ἀπατῶσι παιδάρια καὶ ναύτας καὶ τοιοῦτον ὄχλον, σκώμματα καὶ πολλὴν σπερμολογίαν συνείροντες καὶ τὰς ἀγοραίους ταύτας ἀποκρίσεις. τοιγαροῦν ἀγαθὸν μὲν οὐδὲν ἐργάζονται, κακὸν δ' ὡς οἷόν τε τὸ μέγιστον, καταγελᾶν ἐθίζοντες τοὺς ἀνοήτους τῶν φιλοσόφων, ὥσπερ ἂν εἰ παῖδάς τις ἐθίζοι διδασκάλων καταφρονεῖν, καὶ δέον ἐκκό-
10 πτειν τὴν ἀγερωχίαν αὐτῶν, οἱ δ' ἔτι αὔξουσιν. τῶν δὲ εἰς ὑμᾶς προϊόντων ὡς πεπαιδευμένων οἱ μὲν ἐπιδεικτικοὺς λόγους καὶ τοὺς ἀμαθεῖς, οἱ δὲ ποιήματα συνθέντες ᾄδουσιν ὡς πάνυ φιλῳδῶν ὑμῶν κατεγνωκότες. αὐτοὶ δ' εἰ μέν εἰσι ποιηταὶ καὶ ῥήτορες, οὐδὲν ἴσως δεινόν· εἰ δ' ὡς φιλόσοφοι ταῦτα πράττουσι κέρδους ἕνεκεν καὶ δόξης τῆς ἑαυτῶν, οὐ τῆς ὑμετέρας ὠφελείας, τοῦτο δ' ἤδη δεινόν. ὅμοιον γάρ, ὥσπερ εἴ τις ἰατρὸς ἐπὶ κάμνοντας ἀνθρώπους εἰσιὼν τῆς μὲν σωτηρίας αὐτῶν καὶ τῆς θεραπείας ἀμελήσειε, στεφάνους δὲ καὶ ἑται- 364 M. 659
11 ρας καὶ μύρον αὐτοῖς εἰσφέροι. τινὲς δὲ ὀλίγοι παῤῥησίαν ἀγηόχασι πρὸς ὑμᾶς, καὶ ταύτην ἐνδεῶς οὐδ' ὡς ἐμπλῆσαι τὰς ἀκοὰς ὑμῶν οὐδ' ὥστε διατελέσαι λέγοντες· ἀλλὰ ἓν ἢ δύο ῥῆμα εἰπόντες καὶ λοιδορήσαντες μᾶλλον ἢ διδάξαντες ὑμᾶς κατὰ σπουδὴν ἀπίασιν, εὐλαβούμενοι μὴ μεταξὺ θορυβήσητε καὶ παραπέμψητε αὐτούς, ὥσπερ οἱ χειμῶνος ἀποτολμῶντες εἰς τὴν θάλατταν βραχύν τινα καὶ σύντομον πλοῦν. ἄνδρα δὲ λαβεῖν καθαρῶς καὶ ἀδόλως παῤῥησιαζόμενον καὶ μήτε δόξης χάριν μήτ' ἐπ' ἀργυρίῳ προσποιούμενον, ἀλλ' ἐπὶ

turbat: νωθρῶν μέντοι γε καὶ ἀγεννῶν, Seldenus sic: ἄθλιον μέντοι γε καὶ ἀγεννές, Reiskius et aliter et ita: οὐτιδανὸν μέντοι καὶ ἀγεννές, Iacobsius: οὐδένων μέντοιγε καὶ ἀγεννῶν. ‖ 4. ἀλλὰ χρείων M. Iacobs. Add. p. 367, ἀλλ' ἀχρείων (et τροφῇ) Obs. p. 39, ἀλλὰ χρειῶν reliqui. unde ἄλλο ἢ χρείαν Selden., χρῃζόντων (vel χρῇζον εἰ ἐπιστάμενον) Reiskius. locus nondum expeditus est. ‖ 6. ἀγείρουσι. ἐγείρουσι B. ‖ 11. παῖδα BM, παῖδας reliq. ‖ ἐθίζοι BMA. Iacobs. Add. p. 16, ἐθίζει reliq. ‖ 12. οἱ δ' M. Obs. p. 40, οὐδ' reliq. — 10, 3. καί. πρὸς Reisk., κατὰ Obs. p. 40, κηλοῦσι (et ἐπιδεικτικοῖς λόγοις) Iacobs. Add. p. 264, excidisse aliquot verba recte suspicari videtur Geelius. ‖ 4. αὐτοί. malim αὐτό. ‖ ᾄδουσιν MA. Valcken. ad Phoen. p. 465. r, ᾀδοῦσι B. vm. ‖ 6. ἕνεκεν. ἕνεκα B. ‖ 7. ὠφελείας. ὠφελίας M. ‖ τοῦτο δ' Reisk., τοῦτο M, καὶ τοῦτο γ' Iacobs., καὶ πάνυ τοῦτ' Pflugk., καὶ τοῦτο δ' reliq. ‖ 10. μύρον. μοῖρον M. — 11, 2. ἀγηόχασι. ἀγειόχασιν M. ‖ 3. ῥῆμα. ῥήματα Casaub., delet Geel., idem δεύτερον pro δύο proponit.

εὐνοίᾳ καὶ κηδεμονίᾳ τῶν ἄλλων, ἕτοιμον, εἰ δέοι, καὶ κατα-
γελᾶσθαι καὶ ἀταξίαν πλήθους ἐνεγκεῖν καὶ θόρυβον, οὐ
ῥᾴδιον, ἀλλὰ καὶ πάνυ εὐτυχοῦς πόλεως ἐν τοσαύτῃ σπάνει
γενναίων καὶ ἐλευθέρων ἀνδρῶν, ἀφθονίᾳ δὲ κολάκων καὶ
12 γοήτων καὶ σοφιστῶν. ἐγὼ μὲν γὰρ οὐκ ἀπ' ἐμαυτοῦ μοι
δοκῶ προελέσθαι τοῦτο, ἀλλ' ὑπὸ δαιμονίου τινὸς γνώμης.
ὧν γὰρ οἱ θεοὶ προνοοῦσιν, ἐκείνοις παρασκευάζουσι καὶ συμ-
βούλους ἀγαθοὺς αὐτομάτους καὶ λόγους ἐπιτηδείους καὶ
ξυμφέροντας εἰρῆσθαι. καὶ τοῦτο ἥκιστα ὑμᾶς ἀπιστεῖν
χρή, παρ' οἷς μάλιστα μὲν τιμᾶται τὸ δαιμόνιον, μάλιστα δὲ
αὐτὸ δείκνυσι τὴν αὑτοῦ δύναμιν καὶ μόνον οὐ καθ' ἑκάστην
ἡμέραν διά τε χρησμῶν καὶ δι' ὀνειράτων. μὴ οὖν οἴεσθε
κοιμωμένων μόνον ἐπιμελεῖσθαι τὸν θεὸν καὶ κατ' ἰδίαν ἑκά-
στῳ μηνύοντα τὸ συμφέρον, ἐγρηγορότων δὲ ἀμελεῖν καὶ
κοινῇ καὶ ἀθρόοις μηδὲν ἂν δεῖξαι τῶν χρησίμων. πολλάκις
γὰρ ἤδη καὶ ὕπαρ ὤνησε καὶ μεθ' ἡμέραν ἐναργῶς προεῖπεν.
13 ἴστε δήπου τὰς τοῦ Ἄπιδος φήμας ἐνθάδε ἐν Μέμφει πλησίον
ὑμῶν, ὅτι παῖδες ἀπαγγέλλουσι παίζοντες τὸ δοκοῦν τῷ θεῷ,
καὶ τοῦτο ἀψευδὲς πέφηνεν. ὁ δὲ ὑμέτερος θεὸς οἶμαι, τε-
λειότερος ὤν, δι' ἀνδρῶν ὑμᾶς καὶ μετὰ σπουδῆς βούλεται
ὠφελεῖν, οὐ δι' ὀλίγων ῥημάτων, ἀλλ' ἰσχυρᾷ καὶ πλήρει
κληδόνι καὶ λόγῳ σαφεῖ, διδάσκοντι περὶ τῶν ἀναγκαιοτά-
14 των, ἂν ὑπομένητε μετὰ γνώμης καὶ πειθοῦς. καὶ πρῶτόν
γε ἁπάντων, ἵνα ὅθεν περ ἐχρῆν ἐγγύθεν ἄρξωμαι, τοῦτο
πείσθητε βεβαίως, ὅτι τὰ συμβαίνοντα τοῖς ἀνθρώποις ἐπ'
ἀγαθῷ πάνθ' ὁμοίως ἐστὶ δαιμόνια, κἂν πλέων τις ἐμπείρου
τύχῃ κυβερνήτου, κἂν ἔθνος ἢ πόλις χρηστῶν ἡγεμόνων, κἂν
ἰατρὸς ἐν καιρῷ παραγένηται τῷ κάμνοντι, καὶ τοῦτον ἡγεῖ-
σθαι χρὴ βοηθὸν ἥκειν παρὰ θεοῦ, κἂν λόγων τις ἀκούσῃ
15 φρονίμων, ἐκεῖθεν ἐπιπεμφθῆναι. καθόλου γὰρ οὐδὲν εὔδαι-
μον οὐδ' ὠφέλιμον, ὃ μὴ κατὰ γνώμην καὶ δύναμιν τῶν θεῶν
ἀφικνεῖται πρὸς ἡμᾶς· ἀλλὰ πανταχῇ πάντων ἀγαθῶν αὐτοὶ
κρατοῦσι καὶ διανέμουσι δαψιλῶς τοῖς ἐθέλουσι δέχεσθαι·

12, 1. ἀπ'. ἐπ' M. ‖ μοι δοκῶ BM, μοι om. reliq. ‖ 2. προελέσθαι. προσελέσθαι mrg. m. ‖ 8. οἴεσθε. οἴεσθαι M. ‖ 9. καὶ delebat Reiskius. — 13, 2. ἀπαγγέλλουσι παίζοντες BM. Reisk., ἀπαγγέλλοντες παίζουσι reliq. ‖ 5. οὐ. οὐδὲ Reisk. — 14, 2. ἄρξωμαι. ἄρξομαι B. ‖ 4. πλέων. πλέον m. — 15, 3. ἡμᾶς r ex Interpr., ὑμᾶς BM. vm. ‖ ἀλλὰ πανταχῇ BM, καὶ ἁπανταχῇ reliq.

τὰ κακὰ δὲ ἀλλαχόθεν, ὡς ἐξ ἑτέρας τινὸς πηγῆς ἔρχεται τῶν πλησίον οὔσης παρ' ἡμῖν· ὥσπερ ἐπὶ τοῦδε τοῦ ὕδατος τὸ μὲν σῷζον καὶ τρέφον καὶ γόνιμον ὄντως ἄνωθέν ποθεν ἐκ δαιμονίου τινὸς πηγῆς κάτεισι, τοὺς ῥυπαροὺς δὲ ὀχετοὺς καὶ δυσώδεις αὐτοὶ ποιοῦμεν καὶ ἀφ' ἡμῶν οὗτοι ἵστανται. διὰ γὰρ ἀνθρώπων ἄνοιαν καὶ τρυφὴν καὶ φιλοτιμίαν δυσχερὴς ὁ βίος καὶ μεστὸς ἀπάτης, πονηρίας, λύπης, μυρίων ἄλλων
16 κακῶν. τούτων δὲ ἓν ἴαμα καὶ φάρμακον ἐποίησαν οἱ θεοὶ παιδείαν καὶ λόγον, ᾧ διὰ βίου μέν τις χρώμενος καὶ συνεχῶς ἦλθέ ποτε πρὸς τέλος ὑγιὲς καὶ εὔδαιμον· οἱ δὲ σπανίως καὶ διὰ χρόνου ποτὲ περιτυχόντες

ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
τεθνᾶσιν.

ὅμως δὲ ἤδη ποτὲ ἐξαισίων δεινῶν ἐπικειμένων αὐτοῖς ἀπετράπησαν. οἱ δὲ διὰ παντὸς ἄπειροι τοῦ φαρμάκου τούτου καὶ μηδέποτε σωφρονοῦντι λόγῳ τὰς ἀκοὰς ὑπέχοντες ὁλοκλήρως ἄθλιοι, μηδεμίαν σκέπην μηδὲ προβολὴν ἔχοντες ἀπὸ τῶν παθῶν,

ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενοι,

καθάπερ σκάφει σαθρῷ καὶ λελυμένῳ πάντων ἐν ἀγνώμονι
17 γνώμῃ καὶ πονηρίᾳ. συμβαίνει δὲ τοὺς κακίστους καὶ ἀτυχεστάτους ὡς πορρωτάτω φεύγειν ἀπὸ τοῦ λόγου, καὶ μὴ ἐθέ- 662 R. 366 M.
λειν ἀκούειν, μηδ' ἂν βιάζηταί τις· ὥσπερ οἶμαι καὶ τῶν ἑλκῶν τὰ δυσχερῆ λίαν οὐκ ἐᾷ προσάψασθαι, καὶ τοῦτο αὐτὸ σημεῖόν ἐστι τοῦ πάνυ πονήρως αὐτὰ ἔχειν. οἱ δὲ τοιοῦτοι παρ' ἑτέρους ἴασιν ἰατροὺς οὐχ ἑκόντες ἰσχυροτέρους. διττὴ γὰρ θεραπεία κακίας καὶ πρόνοια, καθάπερ τῶν ἄλλων νόσων· ἡ μὲν ἐοικυῖα διαίτῃ καὶ φαρμάκοις, ἡ δὲ καύσει καὶ τομῇ, προσήκουσα μᾶλλον ἄρχουσι καὶ νόμοις καὶ δικασταῖς,

5. τῶν BM, τῆς reliq. — 16, 5. αὖτε. αὖ vm. Vid. Odyss. 11, 303. ‖ 7. ἐξαισίων. ἐξισίων M, ἐξ αἰσίων m. ‖ 9. σωφρονοῦντι. σωφρονίζοντι Reisk. ‖ 12. ἀλλ'. Menandri e fabula Πλόκιον. conf. Meinek. Men. et Philem. reliq. p. 146. proxima quoque ex aliquo poëta depromta esse videntur. ‖ 14. πάντων ἐν. πάντας ἐν Selden., πάντας, ἐν Reisk., πλανῶνται ἐν Iacobsius. malim τῇ αὐτῶν (omisso ἐν) vel πλανώμενοι. — 17, 6. οὐχ ἑκόντες Selden., οὐκ ἔχοντες reliq., ἀνέχοντες Casaub. ‖ 7. κακίας καὶ πρόνοια Reisk., καὶ πρόνοια κακίας r, καὶ κακίας πρόνοια BM. vm. ‖ 8. ἐοικυῖα. ἐοικυίᾳ Selden.

οἳ τὸ περιττὸν δὴ καὶ ἀνίατον ἐξαιροῦσιν. βελτίους δέ εἰσιν
18 οἱ μὴ ῥᾳδίως αὐτὸ πράττοντες. τὴν δὲ ἑτέραν ἐπιμέλειαν
ἔργον εἶναί φημι τῶν δυναμένων διὰ πειθοῦς καὶ λόγου ψυχὰς
πραΰνειν καὶ μαλάττειν. οὗτοι δὲ σωτῆρές εἰσι καὶ φύλακες
τῶν οἵων τε σώζεσθαι, πρὶν ἐλθεῖν εἰς τέλος τὴν πονηρίαν
εἴργοντες καὶ κατέχοντες. δεῖ μὲν οὖν ἑκατέρων ταῖς πόλεσι,
πολὺ δὲ ἐπιεικεστέρων τῶν ἐν ταῖς ἐξουσίαις. κολάζειν μὲν
γὰρ προσήκει φειδόμενον, διδάσκειν δὲ μὴ φειδόμενον· καὶ
χρηστοῦ μέν ἐστιν ἡγεμόνος συγγνώμη, φιλοσόφου δὲ κακοῦ
μὴ πικρὸν εἶναι. τὸ μὲν γὰρ τῆς τιμωρίας σκληρὸν ἀπόλλυσι,
19 τὸ δὲ τοῦ λόγου πικρὸν σώζειν πέφυκεν. κινδυνεύει μέντοι
πολλή τις εἶναι σπάνις ὑμῖν τῶν το ὕστερον ἐπισταμένων. 461 R.
οὔτε γὰρ χρήματα αὐτοῖς οὔτε δύναμις περιγίγνεται διὰ τού-
του, ἀλλ' ἀπέχθεια μᾶλλον καὶ λοιδορία καὶ προπηλακισμός·
ὧν ἴσως οὐκ ἔδει φροντίζειν. τοιγαροῦν διὰ τὴν ἐκείνων ἀνα-
χώρησιν καὶ σιωπὴν ἐρίδων ὑμῖν φύεται πλῆθος καὶ δικῶν
καὶ βοὴ τραχεῖα καὶ γλῶτται βλαβεραὶ καὶ ἀκόλασται, κατ-
ήγοροι, συκοφαντήματα, γραφαί, ῥητόρων ὄχλος, καθάπερ
οἶμαι δι' ἔνδειαν ἰατρῶν ἢ δι' ἀπειρίαν πλείους οἱ θάπτοντες
20 γίγνονται. καὶ τούτων ἐν ἀρχῇ μὲν ᾐτιασάμην τοὺς μὴ παρ-
ιόντας εἰς τὸ πλῆθος μηδὲ τολμῶντας ὑμῖν διαλέγεσθαι, ἀλλὰ

σεμνοὺς μὲν εἶναι βουλομένους, ἀνωφελεῖς
δ' ὁρωμένους

καὶ ὁμοίους τοῖς ἀγεννέσι τῶν ἀθλητῶν, οἳ τὰς παλαίστρας 367 M.
ἐνοχλοῦσι καὶ τὰ γυμνάσια χειρονομοῦντες καὶ παλαίοντες,
εἰς δὲ τὸ στάδιον οὐκ ἐθέλουσιν ἰέναι τὸν ἥλιον καὶ τὰς πλη-

10. ἐξαιροῦσιν M, ἐξαιροῦσι reliq. — 18, 4. ἐλθεῖν εἰς τέλος BM, εἰς τέλος ἐλθεῖν reliq. ‖ 6. πολὺ δὲ. post haec v. quaedam deesse suspicatur Reiskius, qualia μᾶλλον τῶν σφοδρῶν καὶ πικρῶν τῶν διὰ λόγου νουθετούντων, ἢ τῶν. ‖ ἐπιεικεστέρων Casaub., ἐπιεικέστερον reliq. ‖ τῶν. τὸν M. ‖ μὲν γὰρ in M mrg. add. ‖ 9. μὴ πικρὸν εἶναι in M mrg. add. ‖ σκληρὸν Casaub. r, πλῆρες reliqui. possit ἀπηνές. ‖ 10. πέφυκεν M, πέφυκε reliq. — 19, 2. τὸ ὕστερον Reisk., τὸ om. reliqui, unde τὸ ἕτερον vel θάτερον Casaub., τὸ αὐστηρὸν Iacobs., τοιούτων (et ἐπιστατῶν) Pflugk. ‖ 3. περιγίγνεται. περιγίνεται B. ‖ 5. οὐκ ἔδει Reisk., οὐκέτι δεῖ reliq. ‖ 7. κατήγοροι. malim καὶ κακήγοροι vel κατηγόρων. locum ita constituit Reiskius: κατήγοροι συκοφάνται, μάταιαι γραφαί. ‖ 9. ἀπειρίαν. ἐμπειρίαν BM (superscr. vulg.). A. — 20, 1. παριόντας. παριόντας λέγω frustra Reisk. ‖ 3. σεμνοὺς — ὁρωμένους senarium agnovit Iacobs. ‖ 5. ὁμοίους. ὁμοίως M. vm. ‖ 6. χειρονομοῦντες. χειροτονοῦντες A. ‖ 7. τὸ στάδιον. τὸν στάδιον vm.

γὰς ὑφορώμενοι. τὸ μέντοι πρᾶγμα δυσχερὲς ὄντως καὶ δι'
ὑμᾶς. οὐ γὰρ ῥᾴδιον ἐνεγκεῖν τοσοῦδε πλήθους θόρυβον
οὐδὲ μυριάσιν ἀνθρώπων ἀπείροις ἐναντίον βλέψαι χωρὶς
ᾠδῆς καὶ κιθάρας. τοῦτο μὲν γὰρ ἀλεξιφάρμακόν ἐστι πρὸς 664 R.
τὸν δῆμον ὑμῶν, καθάπερ στέαρ φασὶν ἐνίων ζῴων ὠφελεῖν
21 πρός τι τῶν χαλεπῶν. ἐγὼ γοῦν εἰ ἦν ᾠδικός, οὐκ ἂν δεῦρο
εἰσῆλθον δίχα μέλους τινὸς ἢ ᾄσματος. νῦν δὲ τούτου μὲν
ἀπορῶ τοῦ φαρμάκου· θεὸς δ', ὅπερ ἔφην, θαῤῥῆσαί μοι
παρέσχεν,

ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκης
ῥηϊδίως, τοτὲ δ' αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.

εἰ οὖν τὰ τοῦ Ἑρμοῦ ἔπη κἀγὼ λέγοιμι πρὸς ὑμᾶς, ὡς ἐκεῖνος
ἐν Ὀδυσσείᾳ πεποίηται Καλυψοῖ ἀπολογούμενος ὑπὲρ τῆς
ἀγγελίας, ἣν ἀηδῆ οὖσαν ἐνόμιζε, τάχα ληρεῖν με φαίητε,
ῥητέα δ' ὅμως·

Ζεὺς ἐμέ γ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις.

22 ἐκεῖνος μὲν θεὸς ὢν καὶ πετόμενος δυσχεραίνει τὰ κύματα
καὶ τὸ πέλαγος καὶ τὴν μεταξὺ τῶν πόλεων καὶ τῶν ἀνθρώ-
πων ἐρημίαν· ἐγὼ δὲ ἄνθρωπος οὐδεὶς οὐδαμόθεν ἐν τριβω-
νίῳ φαύλῳ, μήτε ᾄδειν ἡδὺς μήτε μεῖζον ἑτέρου φθεγγόμενος,
οὐκ ἄρα ἔδεισα τὸν ὑμέτερον θροῦν οὐδὲ τὸν γέλωτα οὐδὲ
τὴν ὀργὴν οὐδὲ συριγμοὺς οὐδὲ τὰ σκώμματα, οἷς πάντας ἐκ-
πλήττετε καὶ πανταχοῦ πάντων ἀεὶ περίεστε, καὶ ἰδιωτῶν
καὶ βασιλέων; καὶ ταῦτα ἀκούων Ὁμήρου τε καὶ τῶν ἄλλων 366 M.
ποιητῶν ὑμνούντων ἀεὶ τὸν ὄχλον ὡς χαλεπόν τε καὶ ἀπειθῆ
καὶ πρὸς ὕβριν ἕτοιμον· τοῦ μὲν οὕτω λέγοντος·

23 κινήθη δ' ἀγορή, ὡς κύματα μακρὰ θαλάσσης
πόντου Ἰκαρίοιο, τὰ μέν τ' Εὖρός τε Νότος τε
ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων·

ἑτέρου δὲ πάλιν αὖ· 665 R.

9. ὄντως. οὕτως B. ‖ 10. ἀνθρώπων r, ἀνθρώποις BM. vm. — 21, 1. ἐγὼ γοῦν M, ἔγωγ' οὖν reliq. ‖ 5. Hom. Iliad. 16, 689. ‖ ἀφείλετο. ἀφείλατο M. ‖ 6. ῥηϊδίως. ῥαδίως M. ‖ 7. ἔπη. ἐπὶ M. ‖ ὡς. οἷς r ex Interpr. ‖ 8. Καλυψοῖ. τῇ Καλυψοῖ Pflugk. ‖ 9. ἐνόμιζε. ἐνόμιζε Pflugk. ‖ 11. Hom. Odyss. 5, 99. — 22, 1. πετόμενος. πετώμενος B. ‖ 6. ἐκπλήττετε. ἐκπλήττεται M. ‖ 7. ἰδιωτῶν M (superscr. ἰδιώτην). Reisk., ἰδιώτην reliq. ‖ 8 βασιλέων M (superscr. βασιλέα). Reisk., βασιλέα reliq. — 23, 1. Hom. Iliad. 2, 144.

δῆμος ἄστατον κακὸν,
καὶ θαλάσσῃ πάνθ' ὅμοιον ὑπ' ἀνέμου ῥιπίζεται.
κεἶ γαληνὸς ὢν τύχοι, πρὸς πνεῦμα βραχὺ κορύσσεται,
κἤν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

24 τάχ' οὖν καὶ ὑμεῖς ἐμὲ τῷ θορύβῳ καταπίοιτε καὶ τῇ ταραχῇ
βουλόμενον ὑμᾶς ὠφελεῖν. μείναντες δὲ καὶ ἀκούσαντες διὰ
τέλους πᾶσι θαυμαστοὶ δόξετε καὶ οὐ μόνον κρουμάτων ἔμ-
πειροι καὶ ὀρχημάτων, ἀλλὰ καὶ λόγων φρονίμων· ἵνα κἀμοὶ
πρὸς τοὺς αἰτιωμένους καὶ καταγιγνώσκοντας, ὅτι δεῦρο εἰσ-
ῆλθον, ᾖ δικαίως ἀπολογεῖσθαι· αἰτιάσονται γάρ, εὖ ἴστε,
καὶ φήσουσι δοξοκόπον εἶναι καὶ μαινόμενον, ὅστις ἐμαυτὸν
ὄχλῳ καὶ θορύβῳ παρέβαλον· ὅπως οὖν ἔχω λέγειν, ὅτι οὐ
πᾶν πλῆθος ἀσελγές ἐστιν οὐδὲ ἀνήκοον οὐδὲ ἀπὸ παντὸς δεῖ
25 τοὺς πεπαιδευμένους φεύγειν. σαφέστερον δ' ὑμῖν, εἰ βού-
λεσθε, διελεύσομαι περὶ δήμου φύσεως, τουτέστι περὶ ὑμῶν
αὐτῶν. καὶ γάρ ἕν τι τῶν χρησίμων ἐστὶ καὶ μᾶλλον ἂν
ὑμᾶς ὠφελήσειεν, ἢ περὶ οὐρανοῦ καὶ γῆς εἰ λέγοιμι. φημὶ
δὴ δῆμον ἐοικέναι μάλιστα ἀνδρὶ δυνάστῃ καὶ σφόδρα ἰσχυρῷ,
μεγάλην τινὰ ἐξουσίαν καὶ ῥώμην ἔχοντι, καὶ τοσούτῳ μείζονι 369 M.
δυνάστῃ καὶ ἄρχοντι πλεόνων, ὅσῳπερ ἂν αὐτὸς ᾖ πλείων ὁ
26 δῆμος καὶ πόλεως γενναιοτέρας. ἐκείνων μὲν οὖν εἰσι βασι- 666 R.
λεῖς, θεοὶ ἐπὶ σωτηρίᾳ κοινῇ γεγονότες, κηδεμόνες ὄντως καὶ
προστάται χρηστοὶ καὶ δίκαιοι· τῶν μὲν ἀγαθῶν ἑκούσιοι
ταμίαι, τῶν δὲ χαλεπῶν σπανίως μεταδιδόντες καὶ κατὰ
ἀνάγκην, κόσμῳ πόλεων ἡδόμενοι. οἱ δὲ τοὐναντίον σκληροὶ
καὶ ἄγριοι τύραννοι, χαλεποὶ μὲν ἀκοῦσαι, χαλεποὶ δὲ συμ-
βαλεῖν· τούτων ἡ μὲν ὀργὴ πρὸς πάντα ἕτοιμος, ὥσπερ θη-
ρίων ἀνημέρων, τὰ δὲ ὦτα ἐμπέφρακται, καὶ πάροδος οὐκ
ἔστιν εἰς αὐτὰ λόγοις ἐπιεικέσιν, ἀλλὰ κολακείᾳ καὶ ἀπάτῃ

5. conf. Meinek. fragm. com. gr. IV, p. 615. ‖ 7. κεἶ. sic dedi. καὶ reliq. ‖ ὢν τύχοι, πρὸς. sic dedi. ἐντ' χώρᾳ πᾶν B, ἐντείχω πᾶν M, ἔντ' ἠχῶν πᾶν v, ἐντ' ἠχῷ reliqui, unde ὢν ταχὺ πρὸς Reisk., ἂν ταχύ γ' ὢν Iacobs. Add. p. 315, ἣν τύχῃ πρὸς Kayser. Act. Monac. p. 104. totum locum sic tentat Morellus: καὶ γαληνῶς εἶτ' ἔχων, πᾶν. ‖ βραχὺ. ταχὺ Iacobs. l. l. ‖ 8. αἰτία. ἄμπωτις Kays. l. l., ἄντιος Geel. ‖ πολίτην. πολίτ' ἂν M. — 24, 1. τάχ' οὖν. malim τάχ' ἂν οὖν, idem Pflugk. ‖ 2. μείναντες. malim ὑπομείναντες. ‖ 3. κρουμάτων. κρουσμάτων M. — 25, 1. βούλεσθε. βούλεσθαι M. ‖ 5. δὴ δῆμον M (sed δὴ obel. not.), δὴ om. reliq. ‖ 7. πλείων. πλεῖον B. — 26, 1. βασιλεῖς. οἱ μὲν βασιλεῖς Reisk. ‖ 2. θεοί. θεῖοι οἱ Geel., ἔτεοι Unger. Ann. 1196. ‖ 9. κολακεία. κολακία M.

27 κρατεῖ παρ' αὐτοῖς. ὁμοίως δὲ καὶ δῆμος ὁ μέν τις εὐγνώμων
καὶ πρᾷος καὶ γαληνὸς ὄντως, οἷος γεύσασθαι παῤῥησίας καὶ
μὴ πάντα ἐθέλειν τρυφᾶν, ἐπιεικὴς, μεγαλόφρων, αἰδούμενος
τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ λόγους, τοῖς νουθετοῦσι καὶ
διδάσκουσι χάριν εἰδώς· ὃν ἐγὼ τίθημι τῆς θείας καὶ βασι-
λικῆς φύσεως, καὶ προσιέναι φημὶ καὶ διαλέγεσθαι τούτῳ
πρέπειν, καθάπερ ἵππον γενναῖον ἐξ ἡνίας εὐτελοῦς πρᾴως
28 ἄγοντα οὐδὲν δεόμενον ψαλίων. οἱ δὲ πλείους θρασεῖς καὶ
ὑπερήφανοι, δυσάρεστοι πρὸς ἅπαντα, ἀψίκοροι, τυράννοις
ὅμοιοι καὶ πολὺ χείρους· οἷα δὴ τῆς κακίας αὐτῶν οὔσης οὐ
μιᾶς οὐδὲ ἁπλῆς, ἀλλὰ συμπεφορημένης ἐκ μυρίων· ὥστε
πάνυ ποικίλον τε καὶ δεινὸν εἶναι θηρίον, οἷα ποιηταὶ καὶ
δημιουργοὶ πλάττουσι Κενταύρους τε καὶ Σφίγγας καὶ Χι-
μαίρας ἐκ παντοδαπῶν φύσεων εἰς μίαν μορφὴν εἰδώλου ξυν-
τιθέντες. τῷ δὲ τοιούτῳ τέρατι ξυμπλέκεσθαι καὶ ὁμόσε
ἰέναι μαινομένου τινὸς ἀληθῶς ἔργον, ἢ σφόδρα ἀνδρείου 667 R.
29 καὶ πτηνοῦ Περσέως ἢ Βελλεροφόντου. τὸν γοῦν τῶν Ἀλε-
ξανδρέων δῆμον τὸν ἄπειρον, ὥς φασι, τῆς ποίας μερίδος
θῶμεν; ἐγὼ μὲν γὰρ ὡς τῆς βελτίονος οὖσιν ὑμῖν παρέσχηκα
ἐμαυτόν. ἴσως δὲ καὶ ἄλλος προαιρήσεται τῶν ἐμοῦ κρειττό-
νων. καὶ μὴν οὐδὲν ἂν ἔχοιτε θέαμα κάλλιον καὶ παραδοξό- 370 M.
τερον αὐτῶν σωφρονούντων καὶ προσεχόντων. θεῖον γὰρ δὴ
καὶ σεμνὸν ἀληθῶς καὶ μεγαλοπρεπὲς δήμου πρόσωπον πρᾷον
καὶ καθεστηκὸς καὶ μήτε γέλωτι σφοδρῷ καὶ ἀκολάστῳ βρασ-
σόμενον μήτε θορύβῳ συνεχεῖ καὶ ἀτάκτῳ τεταραγμένον,
30 ἀλλ' ἀκοὴ μία τοσοῦδε πλήθους. ἴδετε δὲ αὐτοὺς ἐν τῷ παρ-
όντι καὶ ὅταν τὰ συνήθη θεωρῆτε, οἷοί ἐστε. ἐμοὶ γὰρ νῦν
μὲν ἀξιοθέατοι δοκεῖτε εἶναι καὶ ἰδιώταις καὶ βασιλεῦσι, καὶ
οὐδεὶς ἔστιν ὃς οὐκ ἂν εἰσελθὼν καταπλαγείη τε ὑμᾶς καὶ
τιμήσειεν· ὥστε, εἰ μηδὲν ἄλλο, τοῦτό γε ὑμῖν ὁ λόγος παρ-

27, 6. προσιέναι. προϊέναι M. ‖ 8. ψαλίων. ψελλίων M. — 28, 1. θρασεῖς Reisk., καὶ οἱ θρασεῖς reliq., καὶ θρασεῖς vel νὴ Δία θρασεῖς Iacobs., βίαιοι καὶ θρασεῖς Geel. ‖ 5. τε. τι Reisk. — 29, 1. γοῦν. malim οὖν. δ' οὖν Pflugk. ‖ τῶν. τὸν vm. ‖ 2. τῆς ποίας BM, τῆς om. reliq. ‖ 4. ἄλλος. ἄλλως B. ‖ 5. οὐδὲν ἂν ἔχοιτε. sic dedi. οὐδὲν ἔχοιτε B, οὐδὲν ἔχοι τι M, οὐδὲ ἔχετε reliq. ‖ 7. πρᾷον καὶ BM (sed καὶ obel. notat.). Iacobs. Add. p. 48, καὶ om. reliq. ‖ 9. ἀτάκτῳ. ἀτέχνῳ vel ἀκαθέκτῳ vel ἀκαταπαύστῳ Reisk. — 30, 1. ἐν. ἐν τε Pflugk. ‖ 3. βασιλεῦσι. βασιλεύουσι M. ‖ 4. καταπλαγείη. καταπλάττει ἢ M.

ἔσχηκεν οὐ σμικρὸν, μίαν ὥραν σωφρονῆσαι. καὶ γὰρ τοῖς
νοσοῦσι μεγάλη ῥοπὴ πρὸς σωτηρίαν, σμικρὸν ἡσυχάσασιν.
ἐν δὲ ταῖς ἄλλαις σπουδαῖς, ὅταν ὑμῖν ἐμπέσῃ τὸ τῆς ἀταξίας
πνεῦμα, ὥσπερ ἂν τραχὺς ἄνεμος κινήσῃ θάλατταν ἰλυώδη καὶ
ῥυπαρὰν, ἀτεχνῶς οἶμαι καθ' Ὅμηρον ὁρᾶται ἀφρός τε καὶ
ἄχνη καὶ φυκίων πλῆθος ἐκχεομένων· ὡσαύτως δὴ καὶ παρ'
31 ὑμῖν σκώμματα, πληγαὶ, γέλως. τίς ἂν οὖν τοὺς οὕτω δια-
κειμένους ἐπαινέσειεν; οὐ γὰρ διὰ τοῦτο καὶ τοῖς ἄρχουσιν 663 R.
εὐτελέστεροι φαίνεσθε; καὶ πρότερόν τινα εἰρηκέναι φασί·
τὸ δὲ Ἀλεξανδρέων πλῆθος τί ἂν εἴποι τις, οἷς μόνον δεῖ πα-
ραβάλλειν τὸν πολὺν ἄρτον· οὕτω γὰρ εἰρῆσθαι πολὺ βέλ-
τιον· καὶ θέαν ἵππων· ὡς τῶν γε ἄλλων οὐδενὸς αὐτοῖς
μέλει. οὐ γὰρ ὑμεῖς μὲν, ἂν τις ἀσχημονῇ τῶν μειζόνων ἐν
τῷ μέσῳ πάντων ὁρώντων, καταφρονήσετε αὐτοῦ καὶ νομιεῖτε
οὐδενὸς ἄξιον, κἂν μυριάκις ὑμῶν ἔχῃ τινὰ ἐξουσίαν· αὐτοὶ
δὲ δύνασθε σεμνοὶ δοκεῖν καὶ σπουδαῖοι τοιαῦτα πράττοντες.
32 οὐκ ἴστε, ὅτι ὥσπερ ἡγεμὼν καὶ βασιλεὺς ὅταν προέλθῃ, τότε
σαφέστατα ὁρᾶται καὶ δεῖ μηδὲν ἀγεννὲς μηδὲ αἰσχρὸν ποιεῖν·
παραπλησίως καὶ δῆμος, ὅταν εἰς ταὐτὸ προέλθῃ καὶ ἀθρόος
γένηται; χρὴ μὲν γὰρ οἶμαι καὶ τὸν ἄλλον χρόνον σωφρονεῖν 371 M.
ὑμᾶς· ἀλλ' ὅμως, ὅτι ἂν πράττῃ τις καθ' αὑτὸν, οὐ κοινόν
ἐστι τοῦτο οὐδὲ τῆς πόλεως· ἐν τῷ θεάτρῳ δὲ βλέπεται τὸ
δημόσιον ἦθος. ὑμεῖς δὲ μάλιστα ἐνταῦθα ἀφυλάκτως ἔχετε
καὶ προήσεσθε τὴν δόξαν τῆς πόλεως· ὥσπερ αἱ κακαὶ γυναῖ-
κες, δέον αὐτὰς, κἂν οἴκοι μὴ σωφρονῶσιν, ἔξω γε προϊέναι
κοσμίως, αἱ δὲ μάλιστα ἐν ταῖς ὁδοῖς πλεῖστα ἁμαρτάνουσιν.
33 τί οὖν; τάχα ἐρεῖ τις, τοῦτο μόνον ἁμαρτάνομεν, τὸ φαύλως
θεωρεῖν; καὶ περὶ τούτου μόνου λέγεις ἡμῖν, ἄλλο δ' οὐθέν;

8. σπουδαῖς BMA. Vales. p. 60. r, σπονδαῖς vm. ‖ 9. ἂν Obs. p. 41, οὖν reliq., ἂν εἰ Reisk. ‖ τραχὺς Progr. p. 29, ταχὺς reliq. ‖ κινήσῃ. κεινήσῃ M. ‖ θάλατταν M, θάλασσαν reliq. ‖ ἰλυώδη. εἰλυώδη M. ‖ 11. ὡσαύτως δὴ καὶ παρ' ὑμῖν. καὶ πὰρ ὑμῶν (mrg. ὡσαυτῶς δὴ παρ' ὑμῖν) M. — 31, 6. ὡς τῶν γε. καὶ τῶν (mrg. vulg.) M. ‖ 7. ἀσχημονῇ, ἀσχημονεῖ B. ‖ 8. καταφρονήσετε M a corr. (pr. man. καταφρονήσεμεν). Reisk., καταφρονεῖτε reliq. ‖ 9. ἔχῃ. ἔχει B. — 32, 1. προέλθῃ. προέλθοι M. ‖ 2. δεῖ. δὴ M. ‖ 3. καὶ δῆμος. καὶ om. M. ‖ ταὐτὸ Reisk., τοῦτο reliq. ‖ ἀθρόος M. Reisk., ἀθρόως reliq. ‖ 5. ὅ τι ἂν vel ὅ γ' ἂν Reisk., ὅταν reliq. ‖ 7. ἐνταῦθα. ἐνταῦτα v, ἐνθαῦτα m. ‖ 8. προήσεσθε. προείσεσθε (superscr. vulg.) M, προΐεσθε r. ‖ 10. ἁμαρτάνουσιν M, ἁμαρτάνουσι reliq. — 33, 2. τούτου in M a corr. add.

[δέδοικα ἅμα τὸ περὶ πάντων ἐπεξελθεῖν. καίτοι τάχα φήσει 669 R.
τις, ὡς πολλὰ λέγων οὐδὲν ὑμῖν συμβεβούλευκα οὐδὲ εἴρηκα
σαφῶς, ἐφ' ᾧ μάλιστα ἐπιτιμῶ· τοῦτο δὲ ἔργον εἶναι τοῦ
διδάσκοντος.] ἐγὼ δὲ καὶ νῦν μὲν ἡγοῦμαι πολλὰ καὶ χρήσιμα
εἰρηκέναι τοῖς προσέχουσι, καὶ περὶ θεοῦ καὶ περὶ δήμου φύ-
σεως καὶ περὶ τοῦ δεῖν ἀκούειν, κεἰ μὴ πείθεσθε, λόγων.
[τοῦτο γὰρ οἶμαι καὶ ἀναγκαιότατον ἦν, παρασκευάσαι πρῶ-
τον ὑμᾶς ὑπομένοντας ἀκούειν. ὥστ', εἰ μηδὲν ἄλλο παρ-
έσχηκεν ὑμῖν μέγα ὁ λόγος, τοῦτο γοῦν, ὅτι τοσοῦτον χρόνον
κάθησθε σωφρονοῦντες. καὶ γὰρ τοῖς νοσοῦσι μεγάλη ῥοπὴ
34 πρὸς σωτηρίαν, μικρὸν ἡσυχάσασιν.] καὶ μὴν περί γε τῶν
ἄλλων τὸ μὲν πάντα ἐπεξελθεῖν, καὶ ταῦτα ἐν ἡμέρᾳ μιᾷ,
καὶ τελέως ὑμᾶς ἀναγκάσαι καταγνῶναι τῆς κακίας καὶ τῶν
ἁμαρτημάτων οὐ δυνατόν·

οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν,
φωνὴ δ' ἄῤῥηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη·
εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι, Διὸς αἰγιόχοιο
θυγατέρες, μνησαίαθ', ὅση κακότης παρὰ πᾶσιν·

35 οὐχ ὑμῖν μόνοις. αὐτὸ δὲ τοῦτο, περὶ οὗ λέγειν ἠρξάμην,
ὁρᾶτε ἡλίκον ἐστίν. ὅπως μὲν γὰρ ἑστιᾶσθε καθ' ἑαυτοὺς ἢ
κοιμᾶσθε ἢ διοικεῖτε τὴν οἰκίαν, ἕκαστος οὐ πάνυ δῆλός
ἐστιν· ὅπως μέντοι θεωρεῖτε καὶ ποῖοί τινες ἐνθάδε ἐστὲ,
ἅπαντες Ἕλληνες καὶ βάρβαροι ἴσασιν. ἡ γὰρ πόλις ὑμῶν 372 M.
τῷ μεγέθει καὶ τῷ τόπῳ πλεῖστον ὅσον διαφέρει καὶ περιφα-

3. [δέδοικα — διδάσκοντος] delenda. conf. Progr. p. 29. totum locum sic constituit Pflugkius: ἄλλο δ' οὐδὲν σύνοιδας; ἀλλά τοι εἰ περὶ πάντων διεξέλθοιμι, τοῦτο τάχ' ἂν φήσειε τις. at conf. § 34. ‖ δέδοικα BM, ἢ δέδοικας Reisk., δέδοικας reliq. ‖ ἅμα τό. ἅμα Reisk., ἄρα τὸ Iacobs., possit τὸ ἅμα. ‖ ἐπεξελθεῖν BM, διεξελθεῖν reliqui. conf. § 34. ‖ 4. οὐδέν. οὐθὲν M. ‖ 8. κεἰ μὴ πείθεσθε, λόγων Progr. p. 29, καὶ μὴ πείθεσθαι λόγων reliqui, unde καὶ γλίχεσθαι λόγων Casaub., καὶ δὴ πείθεσθαι, λέγων Reiskius. parum probabilia Wyttenb. ad Plut. Moral. I, 30 a, κἂν μὴ πείθησθε, λέγοντος Geel., καὶ ἀνέχεσθαι λόγων Pflugk. ‖ 9. [τοῦτο γάρ — ἡσυχάσασιν] inducenda. conf. § 30. Reiskio quoque v. καὶ γάρ — ἡσυχάσασιν delenda videbantur. Geelius hic ea retinet, at § 30 damnat. ‖ 10. ὑπομένοντας. ὑπομαίνοντας M. ‖ ὥστ', εἰ. ὥστε M. ‖ 11. τοῦτο γοῦν in M mrg. add. ‖ 12. κάθησθε. κάθεσθε vm. ‖ 13. μικρόν. σμικρὸν B. — 34, 6. φωνὴ δ' ἄῤῥηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη BM, om. reliqui. vid. Hom. Il. 2, 490. ‖ 8. θυγατέρες. θυγατέρας M. ‖ ὅση κακότης. ὅσοι ὑπὸ Ἴλιον ὅση κακότης B, ὅσοι ὑπὸ Ἴλιον ὡς ἡ κακότης M. — 35, 1. δὲ τοῦτο. τοῦτο δὲ B. ‖ 2. ἑστιᾶσθε. ἑστιᾶσθαι M. ‖ 4. ἐστὲ. ἔσται M.

36 νῶς ἀποδέδεικται δευτέρα τῶν ὑπὸ τὸν ἥλιον. ἥ τε γὰρ Αἴ- 670 R.
γυπτος ὑμῶν, τηλικοῦτον ἔθνος, σῶμα τῆς πόλεώς ἐστι, μᾶλ-
λον δὲ προσθήκη, τοῦ τε ποταμοῦ τὸ ἴδιον τῆς φύσεως καὶ
παρὰ τοὺς ἄλλους ἅπαντας λόγου μεῖζον, τό τε θαυμαστὸν
αὐτοῦ καὶ τὸ ὠφέλιμον, τήν τε θάλατταν τὴν καθ' ἡμᾶς
ἅπασαν ἐκδέχεσθε κάλλει τε λιμένων καὶ μεγέθει στόλου
καὶ τῶν πανταχοῦ γιγνομένων ἀφθονίᾳ καὶ διαθέσει, καὶ
τὴν ἔξωθεν ὑπερκειμένην ἔχετε, τήν τε Ἐρυθρὰν καὶ τὴν
Ἰνδικήν, ἧς πρότερον τοὔνομα ἀκοῦσαι χαλεπὸν ἦν· ὥστε
τὰς ἐμπορίας οὐ νήσων οὐδὲ λιμένων οὐδὲ πορθμῶν τινων
καὶ ἰσθμῶν, ἀλλὰ σχεδὸν ἁπάσης τῆς οἰκουμένης γίγνεσθαι
παρ' ὑμῖν. κεῖται γὰρ ἐν συνδέσμῳ τινὶ τῆς ὅλης γῆς καὶ
τῶν πλεῖστον ἀπῳκισμένων ἐθνῶν, ὥσπερ ἀγορὰ μιᾶς πόλεως,
εἰς ταὐτὸ ξυνάγουσα πάντας καὶ δεικνύουσά τε ἀλλήλοις καὶ 671 R.
37 καθ' ὅσον οἷόν τε ὁμοφύλους ποιοῦσα. ἴσως οὖν χαίρετε
ἀκούοντες καὶ νομίζετε ἐπαινεῖσθαι ταῦτα ἐμοῦ λέγοντος,
ὥσπερ ὑπὸ τῶν ἄλλων τῶν ἀεὶ θωπευόντων ὑμᾶς. ἐγὼ δὲ
ἐπῄνεσα ὕδωρ καὶ γῆν καὶ λιμένας καὶ τόπους καὶ πάντα
μᾶλλον ἢ ὑμᾶς. ποῦ γὰρ εἶπον, ὡς ἐστε φρόνιμοι καὶ σώ-
φρονες καὶ δίκαιοι; οὐχὶ τἀναντία τούτων; ἔστι γὰρ ἀνθρώ-
πων ἔπαινος εὐταξία, πρᾳότης, ὁμόνοια, κόσμος πολιτείας, τὸ
προσέχειν τοῖς ὀρθῶς λέγουσι, τὸ μὴ πάντοτε ζητεῖν ἡδονάς.
ἀναγωγαὶ δὲ καὶ κατάρσεις καὶ πλήθους ὑπερβολὴ καὶ ὠνίων
καὶ νεῶν πανηγύρεως καὶ λιμένος καὶ ἀγορᾶς ἐστιν ἐγκώμιον,
38 οὐ πόλεως· οὐδέ γε ἂν ὕδωρ ἐπαινῇ τις ἀνθρώπων ἔπαινος
οὗτός ἐστιν, ἀλλὰ φρεάτων· οὐδ' ἂν περὶ εὐκρασίας λέγῃ
τις, τοὺς ἀνθρώπους εἶναί φησιν ἀγαθούς, ἀλλὰ τὴν

36, 2. ὑμῶν. aut delendum aut ὑμῖν scribendum. Reisk. ‖ 3. προσθήκη. προσθήκης M. ‖ τε Reisk. (idem τε παρ' ὑμῖν), τε γὰρ reliq. ‖ καὶ παρά. καὶ malim abesse. conf. Orat. IV, § 99. ‖ 5. καὶ τό. τὸ delet Pflugk. ‖ ἡμᾶς Selden., ὑμᾶς reliq. ‖ 6. ἐκδέχεσθε. ἐκδέχεσθαι M. vm. Casaubono hic quaedam deesse visa sunt. denique Geelius v. τήν τε θάλατταν — ἐκδέχεσθε postponit verbo διάθεσις (sic enim vulgatum erat). ‖ κάλλει M, κάλλη reliq. ‖ μεγέθει. sic dedi. μεγέθη reliqui, unde στόλων Geel. ‖ 7. ἀφθονίᾳ. sic dedi. ἀφθονία reliq. ‖ διαθέσει BM, διάθεσις reliq. ‖ 9. τοὔνομα M, τὸ ὄνομα reliq. ‖ 12. ὅλης om. B. ‖ 13. πλεῖστον M. Reisk., πλείστων reliq. ‖ 14. ξυνάγουσα. συνάγουσα M. ‖ δεικνύουσά τε M. Reisk., δεικνύουσά γε reliq. — 37, 9. κατάρσεις Cens. p. 361, ἀνακρίσεις reliq., ἀνακράσεις Casaub., ἀναῤῥύσεις Unger. Ann. p. 1196. — 38, 1. γε BM, γὰρ reliq. ‖ 2. λέγῃ. λέγει M.

χώραν, οὐδ' ἂν περὶ ἰχθύων, τὴν πόλιν ἐπαινεῖ· πόθεν; ἀλλὰ 672 R.
θάλατταν ἢ λίμνην ἢ ποταμόν. ὑμεῖς δέ, ἂν ἐγκωμιάζῃ τις
τὸν Νεῖλον, ἐπαίρεσθε, ὥσπερ αὐτοὶ ῥέοντες ἀπὸ Αἰθιοπίας. 373 M.
σχεδὸν δὲ καὶ τῶν ἄλλων οἱ πλείους ἐπὶ τοῖς τοιούτοις χαίρουσι
καὶ μακαρίους ἑαυτοὺς κρίνουσιν, ἂν οἰκῶσι καθ' Ὅμη-
ρον νῆσον δενδρήεσσαν ἢ βαθεῖαν ἢ τινα ἤπειρον εὔβοτον,
εὔμηλον ἢ πρὸς ὄρεσι σκιεροῖς ἢ πηγαῖς διαυγέσιν, ὧν οὐδὲν
39 ἴδιόν ἐστιν ἐκείνων· ἀρετῆς δὲ οὐδὲ ὄναρ αὐτοῖς μέλει. ἐγὼ
δὲ τούτων ἐμνήσθην οὔτε ὑμᾶς ἐπαίρων οὔτε τοῖς συνήθως
ὑμνοῦσιν αὐτὰ ῥήτορσιν ἢ ποιηταῖς παραβάλλων ἐμαυτόν.
δεινοὶ γὰρ ἐκεῖνοι καὶ μεγάλοι σοφισταὶ καὶ γόητες· τὰ δ' ἡμέ-
τερα φαῦλα καὶ πεζὰ ἐν τοῖς λόγοις, οὐ μέντοι περὶ φαύλων.
[τὰ μὲν γὰρ λεγόμενα αὐτὰ οὐ μεγάλα, περὶ μεγίστων δὲ ὡς
οἷόν τε.] καὶ νῦν εἶπον τὰ περὶ τῆς πόλεως δεῖξαι βουλόμενος
ὑμῖν, ὡς ὅ τι ἂν ἀσχημονῆτε οὐ κρύφα γίγνεται τοῦτο οὐδ'
40 ἐν ὀλίγοις, ἀλλ' ἐν ἅπασιν ἀνθρώποις. ὁρῶ γὰρ ἔγωγε οὐ
μόνον Ἕλληνας παρ' ὑμῖν οὐδ' Ἰταλοὺς οὐδὲ ἀπὸ τῶν πλη-
σίον, Συρίας, Λιβύης, Κιλικίας, οὐδὲ τοὺς ὑπὲρ ἐκείνους
Αἰθίοπας οὐδὲ Ἄραβας, ἀλλὰ καὶ Βακτρίους καὶ Σκύθας
καὶ Πέρσας καὶ Ἰνδῶν τινας, οἳ συνθεῶνται καὶ πάρεισιν
ἑκάστοτε ὑμῖν· ὥστε ὑμεῖς μὲν ἀκούετε ἑνός, ἂν οὕτω τύχῃ,
κιθαρῳδοῦ, καὶ τούτου συνήθους, ἀκούεσθε δὲ ὑπὸ μυρίων 673 R.
ἐθνῶν οὐκ ἐπισταμένων ὑμᾶς, καὶ ὁρᾶτε μὲν τρεῖς ἢ τέττα-
ρας ἡνιόχους, ὁρᾶσθε δὲ ὑπὸ τοσούτων μὲν Ἑλλήνων, τοσού-
41 των δὲ βαρβάρων. τί οὖν οἴεσθε τούτους ἐπὶ γῆς πέρατα
ἐλθόντας λέγειν; οὐχ ὡς πόλιν εἴδομεν τὰ μὲν ἄλλα θαυμα-
στὴν καὶ τῶν ἀνθρωπίνων θεαμάτων πάντων κρεῖττον θέαμα
κόσμῳ τε ἱερῶν καὶ πλήθει πολιτῶν καὶ τῶν ἐπιτηδείων πε-
ριουσίᾳ, πάντα ἀκριβῶς διεξιόντας ὡς ἂν δύνωνται τοῖς αὐ-
τῶν, ἃ καὶ μικρὸν ἔμπροσθεν εἶπον, τὰ τοῦ Νείλου καὶ τῆς

4. ἐπαινεῖ BM. Reisk., ἐπαινῇ reliq. ‖ 6. ἐπαίρεσθε. ἐπαίρεσθαι M. ‖ 9. βαθεῖαν. καθείαν M. ‖ εὔβοτον M, εὔβοτόν τε καὶ reliqui. conf. Od. 15, 406. — 39, 2. τοῖς. τῆς M. ‖ 6. [τὰ μὲν — οἷόν τε] suspecta. ‖ 7. οἷόν τε. οἴονται M. ‖ 8. κρύφα. κρίφα M. — 40, 2. οὐδ' Ἰταλούς. διὰ τέλους M (corr. vulg.) ‖ 3. Συρίας, Λιβύης, Κιλικίας. Συρίας, Κιλικίας, Λιβύης Geelius, malim Κιλικίας, Συρίας, Λιβύης. ‖ οὐδὲ τοὺς ὑπὲρ BM, οὐδ' ὑπερτάτους Casaub., οὐδ' ὑπὲρ τοὺς reliq. ‖ 4. Βακτρίους. βακτηρίους M. ‖ 6. οὕτω. οὕτως M. ‖ 7. καὶ τούτου Reisk., καὶ τοῦ reliq. ‖ 9. ὁρᾶσθε. ὁρᾶσθαι M. — 41, 2. εἴδομεν M. vm, ἴδομεν B, εἶδον Casaub. r. ‖ 4. περιουσίᾳ. περιουσίαι M. ‖ 6. τὰ τοῦ. παρὰ τοῦ m, unde περὶ τοῦ

χώρας καὶ τῆς θαλάττης· καὶ τὸ μέγιστον τὴν ἐπιφάνειαν
τοῦ θεοῦ· μαινομένην δὲ ὑπὸ ᾠδῆς καὶ δρόμων ἱππικῶν καὶ
μηδὲν ἄξιον πράττουσαν ἐν τούτοις ἑαυτῆς; οἱ γὰρ ἄνθρωποι
θύοντες μὲν εἰσι μέτριοι καὶ βαδίζοντες καθ' αὑτοὺς καὶ
τἆλλα πράττοντες· ὅταν δὲ εἰς τὸ θέατρον εἰσέλθωσιν ἢ τὸ
στάδιον, ὥσπερ φαρμάκων αὐτοῖς ἐκεῖ κατορωρυγμένων,
οὐδὲν οἴδασι τῶν προτέρων οὐδὲ αἰσχύνονται λέγειν ἢ ποιεῖν,
42 ὅ τι ἂν αὐτοῖς ἐπέλθῃ. τὸ δὲ πάντων χαλεπώτατον, ἐσπου-
δακότες περὶ τὴν θέαν οὐχ ὁρῶσι, καὶ ἀκούειν ἐθέλοντες
οὐκ ἀκούουσι, σαφῶς ἐξεστηκότες καὶ παρανοοῦντες, οὐκ
ἄνδρες μόνον, ἀλλὰ καὶ παῖδες καὶ γύναια. ἐπειδὰν δὲ παύ-
σηται τὸ δεινὸν καὶ διαλυθῶσι, τὸ μὲν ἀκμαιότερον ἔσβεσται
τῆς ταραχῆς· ἔτι δὲ ἔν τε συνόδοις καὶ στενωποῖς μένει καὶ
δι' ὅλης τῆς πόλεως ἐπὶ συχνὰς ἡμέρας· καθάπερ ἐμπρησμοῦ
μεγάλου λήξαντος ἰδεῖν ἔστι μέχρι πολλοῦ τήν τε λιγνὺν καὶ
43 μέρη τινὰ φλεγόμενα. καίτοι τάχα ἐρεῖ τις τῶν Περσῶν ἢ
τῶν Βακτρίων, ὡς αὐτοὶ μὲν ἴσασιν ἱππεύειν καὶ σχεδὸν ἄρι-
στοι δοκοῦσιν ἱππεῖς· τὸ γὰρ πρᾶγμα ὑπὲρ ἀρχῆς καὶ ἐλευ-
θερίας ἐπιτηδεύουσιν· ἀλλ' ὅμως οὐδὲν τοιοῦτον οὐδ' αὖ
ὅμοιον πεπόνθασιν· ὑμεῖς δὲ οὐδεπώποτε αὐτοὶ θιγόντες οὐδ'
ἐπιβάντες ἵππων οὐ δύνασθε κατέχειν αὑτούς, ἀλλ' ἐστὲ
ὅμοιοι χωλοῖς ὑπὲρ δρόμου ἐρίζουσιν. τοιγαροῦν δειλοὶ ὄντες
44 καὶ ἀστράτευτοι πολλὰς ἤδη νενικήκατε ἱππομαχίας. σκο-
πεῖτε δέ, μὴ περὶ ὑμῶν ἀληθέστερον οὗτοι λέγουσιν ἢ περὶ
τῶν Ἑλλήνων Ἀνάχαρσιν τὸν Σκύθην φασὶν εἰπεῖν· ἐδόκει
μὲν γὰρ εἶναι τῶν σοφῶν, ἧκε δὲ εἰς τὴν Ἑλλάδα θεασόμενος
οἶμαι τά τε ἔθη καὶ τοὺς ἀνθρώπους· ἔλεγεν οὖν, ὡς ἔστιν
ἐν ἑκάστῃ πόλει τῶν Ἑλλήνων ἀποδεδειγμένον χωρίον, ἐν ᾧ
μαίνονται καθ' ἡμέραν· τὸ γυμνάσιον λέγων· ἐπειδὰν γὰρ
ἐλθόντες ἀποδύσωνται, χρίονται φαρμάκῳ. τοῦτο δέ, ἔφη,
κινεῖν αὐτοῖς τὴν μανίαν. εὐθὺς γὰρ οἱ μὲν τρέχουσιν, οἱ δὲ

Selden., τὰ περὶ τοῦ Reisk. ‖ 9. ἐν τούτοις Selden., ἐν τοῖς reliq., ἐν τοῖς θεά-
τροις Reisk., μηδ' ἐντὸς Pflugk. ‖ ἑαυτῆς. ἑαυτοῖς B. corr. M (a pr. man. vulg.). ‖
10. αὐτοὺς BM, ἑαυτοὺς reliq. — 42, 5. ἔσβεσται. ἐσβέσθαι M. — 43, 3. ἱππεῖς.
ἱππῆς M. ‖ 6. αὐτούς. αὐτοὺς M. ‖ 7. ἐρίζουσιν M, ἐρίζουσι reliq. — 44, 2. μή. εἰ
μὴ Iacobs. ‖ λέγουσιν. λέγωσιν Reisk. ‖ 4. τῶν. τῶν ἐκεῖ Reisk. ‖ 5. ἔθη BM, ἤθη
reliq. ‖ 6. ἀποδεδειγμένον. ἀποδεδειγμένων M. ‖ 7. ἐπειδάν. ἐπειδὴ m. ‖ 8. χρίον-
ται. χρείονται (superscr. vulg.) M, χρίονται Reisk.

καταβάλλουσιν ἀλλήλους, οἱ δὲ τὼ χεῖρε ἀνατείναντες μά-
χονται πρὸς οὐδένα ἀνθρώπων, οἱ δὲ παίονται. ταῦτα δὲ 315 M.
ποιήσαντες, ἀποξυσάμενοι τὸ φάρμακον αὐτίκα σωφρονοῦσι, 673 R.
καὶ φιλικῶς αὐτοῖς ἤδη ἔχοντες βαδίζουσι κάτω ὁρῶντες,
45 αἰσχυνόμενοι τοῖς πεπραγμένοις. ἐκεῖνος μὲν παίζων καὶ κα-
ταγελῶν οὐ φαύλου πράγματος, ὡς ἐγὼ δοκῶ, ταῦτα ἔλεγεν.
περὶ δὲ ὑμῶν τί ἄν τις ἔχοι λέγειν; καὶ γὰρ ὑμεῖς ὅταν συν-
έλθητε, πυκτεύετε, βοᾶτε, ῥιπτεῖτε, ὀρχεῖσθε, ποίῳ χρισά-
μενοι φαρμάκῳ; δηλονότι τῷ τῆς ἀνοίας· ὡς οὐκ ἦν ὑμῖν
ἐπιεικῶς αὐτὰ ὁρᾶν. μὴ γὰρ τοῦτό με οἴεσθε λέγειν, ὡς οὐ χρὴ
καὶ τὰ τοιαῦτα γίγνεσθαι ἐν ταῖς πόλεσι· χρὴ γὰρ ἴσως καὶ
ἀναγκαῖόν ἐστι διὰ τὴν τῶν πολλῶν ἀσθένειαν καὶ σχολήν·
ἴσως δὲ καὶ τῶν βελτιόνων εἰσὶν οἱ δεόμενοι διατριβῆς τινος
καὶ παραμυθίας ἐν τῷ βίῳ· δεῖ δὲ μετὰ κόσμου καὶ σχήμα-
46 τος πρέποντος ἀνθρώποις ἐλευθέροις. οὐ γὰρ παρὰ τοῦτο
οὔτε τῶν ἵππων οὐδεὶς δραμεῖται βράδιον οὐδὲ χεῖρον ᾄσεταί
τις τῶν ᾀδόντων, ἂν εὐσχημονῆτε ὑμεῖς. νυνὶ δὲ τὸ μὲν τῶν
ἡνιόχων τινὰ ἐκπεσεῖν ἐκ τοῦ δίφρου δεινὸν ἡγεῖσθε καὶ
συμφορὰν πασῶν μεγίστην· αὐτοὶ δὲ ἐκπίπτοντες ἐκ τοῦ
κόσμου τοῦ προσήκοντος καὶ τῆς ἀξίας τῆς ἑαυτῶν οὐ φρον-
τίζετε. κἂν μὲν ὑμῖν ὁ κιθαρῳδὸς ἐκμελῶς ᾄδῃ καὶ παρὰ τὸν
τόνον, συνίετε· αὐτοὶ δὲ παντελῶς ἔξω τῆς ἁρμονίας τῆς 674 R.
κατὰ φύσιν γιγνόμενοι καὶ σφόδρα ἀμούσως ἔχοντες οὐδὲν
47 διαφέρεσθε. καίτοι πόσοι διὰ ταῦθ' ὑμῶν ἀπολώλασιν;
ἀδοξοῦσι μὲν γὰρ πάντες. αἱ δὲ Σειρῆνες ἄλλο τι ἐποίουν,
ὡς ὁ μῦθός φησιν, οὐκ ἀπώλλυον τοὺς σφόδρα ἡσθέντας
αὐταῖς; ἀλλ' ἐκεῖναι μὲν ἐν ἐρήμῳ ἦσαν πελάγει καὶ μακρὰν
ἀπῳκισμέναι καθ' αὑτὰς ἐπὶ σκοπέλου τινός, ὅπου μηδεὶς
ῥᾳδίως παρέβαλλε· κἀκεῖ δ' ὁ νοῦν ἔχων ἐσώθη καὶ μεθ'
ἡσυχίας ἤκουσεν. οὗτοι δὲ σχεδὸν ἐν μέσῳ τῆς οἰκουμένης ἐν
τῇ πολυανθρωποτάτῃ πασῶν πόλει τοιαῦτα ἐργάζονται, μὰ

13. αὐταῖς. αὐταῖς M. — 45, 4. ὀρχεῖσθε. ὀρχεῖσθαι M. ‖ χρισάμενοι Petr. Faber Agon. 2, 30, χρεισάμενοι M, χρησάμενοι reliq. ‖ 5. ἦν. ὂν Pflugk., Reiskius delebat ὡς interrogandi signo post v. ὁρᾶν posito. ‖ 6. τοῦτό με Reisk., με om reliq. ‖ 7. γίγνεσθαι. γίνεσθαι M. ‖ χρὴ γὰρ ἴσως καί. χρὴ γάρ· ἴσως καὶ Reisk., χρὴ γὰρ καὶ ἴσως Pflugk. ‖ 9. διατριβῆς τινος BM, τινὸς διατριβῆς reliq. — 46, 1. παρὰ BM (corr. περὶ). Casaub. r, περὶ vm. ‖ 2. δραμεῖται. δραμεῖτε M. ‖ 3. εὐσχημονῆτε. εὐσχημονεῖτε M. ‖ 6. φροντίζετε. φροντίζεται M. ‖ 9. οὐδέν. οὐ BM. — 47, 4. ἐκεῖναι. ἐκεῖνα M.

Δί' οὐ δι' αὐτῶν τινα ἡδονὴν ἢ δύναμιν, ἀλλὰ διὰ τὴν ὑμε-
τέραν ἀβελτερίαν. διὰ τί γὰρ ἔξω παραπλησίως ἀκούονται
τοῖς ἄλλοις καὶ πολλάκις ἀηδεῖς ἔδοξαν; μὴ τὰ ὦτα ἐπαλή-
48 λιπται τῶν ἐκεῖ; τί οὖν τοῦτο δείκνυσι; μὰ Δί' οὐ μουσικῆς
ἰσχὺν οὐδ' ὑπερβολὴν τέχνης, ἀλλ' ἀκροατῶν κουφότητα καὶ
πόλεως ἀσθένειαν. φασὶ γοῦν ἤδη τινὰς τῶν ἀπολωλότων
διὰ τὴν τοιαύτην πρόφασιν νεανιεύσασθαι, μὴ παραιτουμέ-
νους τὸν θάνατον, ἀλλὰ προσλιπαροῦντας, ὅπως ἀκούσωσιν
ἐπιπλέον. τοῦτο δ' ἐστὶ θαυμαστὸν ἐπ' ὀνείδει καὶ κατα-
γέλωτι τῆς πόλεως, εἰ παρὰ μὲν τοῖς ἄλλοις ἀριστεῖς καὶ τυ-
ραννοκτόνοι μνημονεύονται, σωτηρίας ἕνεκεν τῶν πατρίδων
ἐπιδιδόντες αὐτούς, παρὰ δὲ ὑμῖν ὑπὲρ χορδῆς τοῦτο πά-
49 σχουσι καὶ δι' ἡδονὴν μικράν, μᾶλλον δὲ δόξαν κενήν. οὐ
γὰρ ἡδόμενοι τοσοῦτον ὅσον οἰόμενοι καὶ βουλόμενοι προίεν-
ται σφᾶς αὑτούς. τοσαύτη δ' ἐστὶ δυστυχία τῶν ταλαιπώ-
ρων, ὥστε ἀνδρεῖον ἡγοῦνται τὸ πάντων ἀνανδρότατον καὶ
σεμνὸν τὸ αἴσχιστον. ἑλοίμην γὰρ ἂν ἔγωγε λῃστεύων ἀπο-
θανεῖν ἢ διὰ τοιαύτην αἰτίαν. τὸ μὲν γάρ ἐστιν ἀνδρὸς πο-
νηροῦ θάνατος, τὸ δὲ ἀνδραπόδου δυστυχοῦς· κἀκεῖνος μὲν
ἀδικηθεὶς ἴσως ἐπὶ τοῦτο ἦλθεν, ὑπὲρ τοὺς νόμους ἀμύνασθαι
προέμενος, καὶ τάχα τι καὶ γενναῖον ἐδύνατο πρᾶξαι, μὴ τοι-
ούτου τυχὼν δαίμονος· ὁδὶ δὲ κραυγῇ μόνον καὶ ἀνοίᾳ διὰ
δυστυχῆ φθόγγον καὶ κακὴν ἔγκλισιν καὶ τὰς ἐκμελεῖς καμ-
πὰς καὶ λήρους καὶ κνισμοὺς καὶ ὀλέθρους ἀκλεῶς ἀπολλύ-
μενος. ἔστι δὲ ὁ τοιοῦτος μυίας θάνατος. καὶ γὰρ ἐκείναις
ὅ τι ἂν γευσαμέναις γλυκὺ φανῇ, πρὸς αὐτῷ διαφθείρονται.

9. αὐτῶν. αὐτοῖν M. ‖ 10. ἀβελτερίαν. ἀβελτηρίαν (superscr. vulg.) M. ‖ 11. ἐπαλήλιπται. ἐπαλήλειπται M. vm. — 48, 4. τὴν aut delendum aut τινα scribendum Reisk. ‖ 8. σωτηρίας. καὶ σωτηρίας M. ‖ ἕνεκεν. ἕνεκα B. ‖ 9. αὐτούς. αὐτοῖς M. ‖ 10. μικράν. ομικρὰν B. — 49, 3. αὑτούς. sic dedi. αὐτούς reliq. ‖ 5. ἂν ἔγωγε. ἔγωγε ἂν B. ‖ 9. προέμενος. προθέμενος vel προελόμενος Casaub. ‖ πρᾶξαι Reisk., πράξας reliq. ‖ 10. ὁδί. ὁδεὶ M, ὁ δὲ m. ‖ ἀνοίᾳ. post hoc v. Reiskius φέγγυται excidisse opinabatur. ‖ διὰ δυστυχῆ Reisk., διὰ om. reliq., δυστυχεῖ διὰ Casaub. ‖ 11. ἔγκλισιν. ἔγκλησιν B. post hoc verb. in M spatium fere 12 literarum relictum est, quod aut ipse librarius aut corrector lineola explevit. ‖ 12. κνισμούς. κνυζηθμοὺς Reiskius. conf. § 62 et 66. totum locum sic constituit Geelius: καὶ τινας ἐκμελεῖς καμπὰς καὶ ἐκλύρους μινυρισμοὺς καὶ λήρους. ‖ ἀπολλύμενος. ἀπολλυμένους M. ‖ 14. γευσαμέναις. γευσάμεναι M. ‖ αὐτῷ M. Reisk., αὐτὸ reliq.

50 τί οὖν τοῦτο λαμπρόν, ὦ κακοδαίμονες; ὑπὲρ μὲν γὰρ δικαι-
οσύνης καὶ ἀρετῆς καὶ πατρῴων γερῶν καὶ νόμων καὶ χρηστοῦ
βασιλέως εἰ δέοι πονεῖν καὶ ἀποθνήσκειν ἀγαθῆς ἐστι καὶ
οὐ φιλοζώου ψυχῆς· ὑπὲρ δὲ τῆς ψαλτρίας ἀπάγχεσθαι, καθ-
άρματος ἀγεννοῦς καὶ ζῆν οὐκ ἀξίου, πόσης αἰσχύνης; καὶ
τούτους μὲν ἐάσωμεν. ἀλλ' ἐν αὐτῇ τῇ θέᾳ τὰ γιγνόμενα
οὐκ αἰσχρὰ καὶ μεστὰ πάσης ὕβρεως, τὸ ἀνατετάσθαι καὶ 371 M.
ἀποβλέπειν, μόνον οὐκ ἐπὶ τοῖς χείλεσι τὰς ψυχὰς ἔχοντας,
καθάπερ οἶμαι διὰ τῶν ὤτων τὴν εὐδαιμονίαν δεχομένους,
σωτῆρα καὶ θεὸν καλοῦντας ἄνθρωπον ἄθλιον; πόσον τινὰ
γέλωτα τοὺς θεοὺς ὑμῶν καταγελᾶν οἴεσθε, ὅταν πάλιν ἐκεί-
νους προσκυνοῦντες ταὐτὰ προσφέρησθε καὶ διὰ τῶν αὐτῶν
ἀναγκάζησθε τιμᾶν τὸ δαιμόνιον; ἀλλ' ἔστιν εὐγνώμων ὁ
θεός, ὡς θεός, οἶμαι, καὶ φέρει πρᾴως τὴν τῶν πολλῶν ἄνοιαν.
51 τοιγαροῦν ὡς παισὶν ὑμῖν παιδαγωγοὺς δέδωκε τοὺς φρονι-
μωτέρους τῆς πόλεως, μεθ' ὧν καὶ θεωρεῖτε καὶ τἆλλα ἄμει-
νον πράττετε. ἐπεὶ πῶς ἂν ἀπείχεσθε ἀλλήλων; καίτοι ποίους
τινὰς ἂν ὑμεῖς ἡγοῖσθε ἀνθρώπους, οἷς ἐλευθερία μὴ συμ-
φέρει; νὴ Δία τὸ γὰρ πρᾶγμά ἐστι φύσει τοιοῦτον. οὐ γὰρ 670 R.
καὶ ἐν ἄλλαις πόλεσιν ᾄδουσι καὶ νὴ Δία αὐλοῦσι καὶ τρέ-
χουσι, καὶ πάνθ', ὅσα γίγνεται καὶ παρ' ὑμῖν, καὶ παρ' ἑτέ-
ροις τισίν; ἀλλ' οὐδαμοῦ τοιοῦτος ἔρως ἐστὶ τοῦ πράγματος
52 οὐδὲ οἶστρος. ἴστε Ῥοδίους ἐγγὺς οὕτως ὑμῶν ζῶντας ἐν
ἐλευθερίᾳ καὶ μετὰ πάσης ἀδείας· ἀλλὰ παρ' ἐκείνοις οὐδὲ τὸ
δραμεῖν ἐν τῇ πόλει δοκεῖ μέτριον, ἀλλὰ καὶ τῶν ξένων ἐπι-
πλήττουσι τοῖς εἰκῇ βαδίζουσι. τοιγαροῦν εἰκότως εὐδοκι-
μοῦσι καὶ πάσης τιμῆς τυγχάνουσιν. αἰδούμενοι γὰρ αὐτοὺς
πρῶτον καὶ μηδὲν ἀνόητον ποιοῦντες εἰκότως οἶμαι παρά τε
τῶν ἄλλων καὶ τῶν ἡγουμένων αἰδοῦς τυγχάνουσιν. ἐπεὶ καὶ

50, 2. πατρῴων BMA, πρώτων reliq. ‖ γερῶν. γενῶν B. ‖ 5. πόσης αἰσχύνης in M mrg. add. ‖ 6. γιγνόμενα M, γενόμενα reliq. ‖ 7. οὐκ BMA, om. reliq. ‖ τὸ Reisk., om. reliq. ‖ ἀνατετάσθαι. ἀνατετάσαι (corr. vulg.) M. ‖ 9. ἔχοντας Reisk., ἔχοντες reliq. ‖ 10. καλοῦντας Reisk., καλοῦντες reliq. ‖ 12. ταὐτὰ B. Reisk., ταῦτα reliq. ‖ προσφέρησθε. sic dedi. προσφέρεσθαι M, προσφέρεσθε reliq. ‖ 14. ὡς θεός B. Reisk., ὡς ὁ θεός reliqui. (In M verba ὁ θεός ὡς mrg. adscr.) — 51, 3. ἀπείχεσθε. ἀπέχεσθε M. ‖ 4. ἡγοῖσθε M, ἡγεῖσθε reliq. ‖ συμφέρει. συμφέρῃ B. ‖ 7. γίγνεται M, γίνεται reliq. — 52, 5. αὐτούς. αὑτοὺς M. ‖ 6. πρῶτον. πρῶται BM. ‖ παρά τε Reisk., παρά γε reliq.

τῶν ἄλλων εὑρήσομεν τὰ πλεῖστα ταὐτὰ πράττοντας τοῖς
ἀνοήτοις τοὺς σώφρονας, οἷον ἐσθίοντας, βαδίζοντας, παί-
53 ζοντας, θεωροῦντας· ἡ γὰρ φύσις ἀναγκάζει πολλῶν ὁμοίων
δεῖσθαι· διαφέρουσι μέντοι περὶ ταῦτα πάντα· αὐτίκα ἑστιώ-
μενοι πρῶτον, οἱ μὲν οὔτε ἀμαθῶς οὔτε ἀπρεπῶς διάγουσιν,
ἀλλ' εὐσχημόνως ἅμα καὶ προσηνῶς, εὐωχίας, οὐ παροινίας,
ἄρχοντες, φιλοφρονούμενοι τοὺς συνόντας, οὐ θρασυνόμενοι
πρὸς αὐτούς· οἱ δὲ ἀπηνῶς καὶ ἀκολάστως, μετὰ βοῆς καὶ
ἀταξίας ὀργιζόμενοι καὶ γελῶντες, πλεονεκτοῦντες ἀλλήλους, 369 R
οὐ παρακαλοῦντες, τελευτῶντες ἀπίασι κακόν τι τοῖς συμπό-
ταις δόντες ἢ παρ' ἐκείνων λαβόντες· οἵαν ποτὲ γενέσθαι
54 φασὶ Κενταύρων συνουσίαν. καὶ τί δεῖ τἆλλα ἐπεξιέναι
καθ' ἕκαστον; ἀλλὰ τὸ βαδίζειν, ὃ κοινόν ἐστι καὶ ἁπλοῦν 662
δήπουθεν, τοῦ μὲν ἐμφαίνει τὴν ἡσυχίαν τοῦ τρόπου καὶ τὸ
προσέχειν ἑαυτῷ, τοῦ δὲ ταραχήν, ἀναίδειαν· σπουδῇ πρόσ-
εισι, φθέγγεται βαδίζων, ἢ πεσών τινα ἔωσε, μάχεται πρὸς
ἕτερον. ὁμοίως καὶ περὶ τὰς θέας οἱ μέν εἰσιν ἄπληστοι καὶ
λίχνοι καὶ περὶ πάντα ὁμοίως ἐπτοημένοι τὰ τυχόντα, οἱ δὲ
55 κοσμίως καὶ μετ' εἰρήνης μετέχουσιν. ἀλλ' οὐχ ὑμεῖς, ἀλλ'
ἐκπεπληγμένοι κάθησθε, ἀναπηδᾶτε τῶν ὀρχηστῶν μᾶλλον,
συντείνεσθε ὑπὸ τῶν ᾀσμάτων. τοὺς μὲν γὰρ ἄλλους ἀν-
θρώπους ἡ μέθη πρὸς ᾠδὴν τρέπει καὶ ὄρχησιν· παρ' ὑμῖν
δὲ τοὐναντίον ἐστίν. ἡ γὰρ ᾠδὴ μέθην ἐμποιεῖ καὶ παράνοιαν.
οἴνου μὲν οὖν τοιαύτη φύσις, τὸ μὴ δύνασθαι σωφρονεῖν,
ἀλλὰ πολλὰ δυσχερῆ πράττειν ἀναγκάζεσθαι τοὺς σκαιῶς
αὐτῷ καὶ ἀμέτρως χρωμένους· ὑπὸ δὲ ᾠδῆς σφαλλομένοις
καὶ πολὺ κάκιον ἔχοντας τῶν παροινούντων εὐθὺς ἀπὸ τῆς
ἀρχῆς, οὐχ ὥσπερ ἐν τῷ ποτῷ προϊόντας, οὐκ ἔστιν ἄλλους
56 ἰδεῖν. παρὰ μὲν γὰρ ἐνίοις τῶν βαρβάρων μέθην φασὶ γίγνε-
σθαι πρᾳεῖαν δι' ἀτμοῦ θυμιωμένων τινῶν· ἔπειτα χαίρουσι

53, 2. ταῦτα. ταῦτα τὰ Reisk. ‖ 3. ἀμαθῶς. ἀμαθῶς οὐδὲ B. ‖ 8. παρακαλοῦντες. παρακολοῦντες M. — 54, 2. ὃ BM (mrg. οὐ). Casaub., οὐ reliq., οὗ Reisk. ‖ 4. πρόσεισι. malim πρόεισι. ‖ 5. ἢ πεσών. malim περῶν vel ἐμπεσὼν vel ἐμποδών. ‖ ἔωσε M. Casaub. r, ἴσωσε BA. vm. ‖ 6. ἄπληστοι. ἄπλητοι M. — 55, 5. παράνοιαν. παροινίαν Reisk. ‖ 6. τὸ μὴ M. Obs. p. 41, τῷ μὴ reliq., μὴ aut ὥστε μὴ Reisk., ὡς μὴ Pflugk. ‖ 7. σκαιῶς. σκεστῶς M. ‖ 8. ἀμέτρως. μέτρως (corr. vulg.) M. ‖ σφαλλομένους. σφαλομένους B. ‖ 10. ἐν τῷ ποτῷ M, πότῳ reliq., πότου (et προϊόντος) Selden. — 56, 1. γίγνεσθαι M, γενέσθαι B, γίνεσθαι reliq. ‖ 2. δι' M, καὶ δι'

καὶ ἀνίστανται γελῶντες καὶ πάντα ποιοῦσιν, ὅσα ἄνθρωποι
πεπωκότες, οὐ μέντοι κακὸν οὐδὲν ἀλλήλους ἐργάζονται· τῶν 681 R.
δὲ Ἑλλήνων ὑμεῖς μόνοι δι' ὤτων καὶ φωνῆς αὐτὸ πάσχετε,
μᾶλλον δὲ ληρεῖτε ἐκείνων κάκιον καὶ παραφέρεσθε καὶ μᾶλ-
λον ἐοίκατε κραιπαλῶσιν. καίτοι τὰ τῶν Μουσῶν καὶ τὰ τοῦ
Ἀπόλλωνος ἤπια δῶρα καὶ προσηνῆ. τὸν μὲν γὰρ Παιῶνα
καὶ Ἀλεξίκακον προσαγορεύουσιν ὡς ἀποτρέποντα τῶν κακῶν
καὶ ὑγίειαν ἐμποιοῦντα ταῖς ψυχαῖς καὶ σώμασιν, οὐ νόσον
οὐδὲ μανίαν· τὰς δὲ παρθένους ὡς ἂν αἰδουμένας τε καὶ σώ-
57 φρονας. ἥ τε μουσικὴ θεραπείας ἕνεκα τῷ ἀνθρώπῳ εὑρῆ- 379 M.
σθαι δοκεῖ τῶν παθῶν καὶ μάλιστα δὴ μεταστρέφειν ψυχὰς
ἀπηνῶς καὶ ἀγρίως διακειμένας. διὰ τοῦτο καὶ τῶν φιλοσό-
φων ἔνιοι πρὸς λύραν αὑτοὺς ἡρμόσαντο ἕωθεν ἀποπαύοντες
τῆς διὰ τῶν ὀνειράτων ταραχῆς. καὶ θεοῖς μετὰ μέλους θύο-
μεν, ἵνα εὔτακτοι καὶ καθεστηκότες ὦμεν. ἕτερος δὲ αὖ τρό-
πος αὐλοῦ τε καὶ ᾠδῆς ἐν πένθεσιν ἰωμένων οἶμαι τὸ σκληρὸν
καὶ ἄτεγκτον τοῦ πάθους, θηλυτέραν δὲ τὴν λύπην ἐργαζο-
μένων δι' ᾠδῆς λανθανούσης μετὰ γόων, ὥσπερ οἱ ἰατροὶ τὰ
φλεγμαίνοντα τῶν ἑλκῶν ὑγραίνοντες καὶ μαλακοποιοῦντες
58 ἀνώδυνα ἔθηκαν. οὐχ ἧττον δὲ καὶ περὶ συνουσίας ἔδοξε
πρέπειν ἡ μουσικῆς δύναμις ἁρμονίαν καὶ τάξιν αὐτόματον
ταῖς ψυχαῖς ἐπεισάγουσα καὶ τὸ σφαλερὸν τῆς ἐν οἴνῳ τέρ-
ψεως παραμυθουμένη μετὰ ξυγγενοῦς δυνάμεως, ὥσπερ αὐτῷ 682 R.
συγκεραννύμενον ἐμμελὲς γίγνεται καὶ μέτριον. ταῦτα δὴ
πάντα ἀνέστραπται νῦν καὶ μεθέστηκεν εἰς τοὐναντίον. οὐ
γὰρ ἐκ Μουσῶν, ἀλλ' ἐκ Κορυβάντων τινῶν κατέχεσθε καὶ

reliq. ‖ θυμουμένων. θυομένων B. ‖ 3. ἄνθρωποι BM, ἂν οἱ reliq. ‖ 4. πεπωκότες. πεπτωκότες M. ‖ 5. μόνοι. μόνοι οἱ M. ‖ 6. κάκιον. κάκειον M. ‖ 7. κραιπαλῶσιν. κρεπαλῶσιν M. ‖ 10. ὑγίειαν M, ὑγείαν reliq. ‖ ἐμποιοῦντα. ἐμπνεοῦντα Spanhem. de U. et P. N. I, p. 215. ‖ ταῖς. ταῖς τε Geel. ‖ σώμασιν. τοῖς σώμασιν Reisk. — 57, 1. τῷ ἀνθρώπῳ sic dedi. τῶν ἀνθρώπων reliqui, τῶν ἀνθρωπίνων Seid. (deleto τῶν ante v. παθῶν), τοῖς ἀνθρώποις (et τῆς τῶν παθῶν) Reisk. ‖ εὑρῆσθαι. ἐρῆσθαι B. ‖ 6. ἵνα Iacobs. Add. p. 48, ἂν reliq., ὅπως ἂν Reisk., ὅσοι ἂν Selden. ‖ 9. δι' ᾠδῆς. ἐπῳδῆς Geel. ‖ ὥσπερ οἱ. οἱ om. M. — 58, 1. περὶ corr. M (prim. man. παρά). v, παρὰ reliq. ‖ 4. ὥσπερ αὐτῷ συγκεραννύμενον. ὡς ὕδωρ αὐτῷ συγκεραννύμενον Selden., ᾗπερ αὐτῷ συγκεραννυμένης Reisk., ὡς γὰρ αὐτῇ συγκεραννύμενον Iacobs., ᾗ πᾶν ἀεὶ τὸ συγκεραννύμενον Pflugk. p. 9, malim ᾗπερ αὐτὰ συγκεραννύμενον. ‖ 5. γίγνεται. γίγνηται BM. ‖ 6. νῦν. ὑμῖν Iacobs. ‖ 7. κατέχεσθε. κατέχεσθαι M.

πιστὰ ποιεῖτε τὰ τῶν ποιητῶν μυθολογήματα· ὥς ἐκεῖνοί γε παρεισάγουσι Βάκχας τινὰς μαινομένας ὑπὸ μέλους καὶ Σατύρους· οὐκοῦν ὑμῖν τὰ τῶν νεβρίδων τε καὶ θύρσων ἐνδεῖ καὶ τὸ λέοντας φέρειν ἐν ταῖς ἀγκάλαις· τὰ δὲ ἄλλα καὶ πάνυ
59 μοι δοκεῖτε ἐοικέναι Νύμφαις καὶ Σατύροις. ἱλαροί τε γὰρ ἀεὶ καὶ φιλογέλωτες καὶ φιλορχησταί· πλὴν οὐκ αὐτόματος ὑμῖν ἀναβλύει διψήσασιν ὁ οἶνος ἐκ πέτρας ποθέν τινος ἢ νάπης, οὐδὲ γάλα καὶ μέλι δύνασθε εὐχερῶς οὕτως ἔχειν ἄκροις δακτύλοις διαμῶντες χθόνα· ἀλλ' οὐδὲ τὸ ὕδωρ ὑμῖν ἀφικνεῖται δεῦρο αὐτόματον οὐδὲ τὴν μάζαν ἔχετε ἐν ἐξουσίᾳ δήπουθεν, ἀλλὰ καὶ ταύτην ἐκ τῆς τῶν κρειττόνων χειρὸς λαμβάνετε· ὥστε ἴσως καιρὸς ἦν ὑμᾶς παύσασθαι βακχειῶν καὶ προσέχειν μᾶλλον αὐτοῖς. νυνὶ δὲ ἂν μόνον ἀκούσητε χορδῆς, ὥσπερ σάλπιγγος ἀκηκοότες, οὐκέτι δύνασθε εἰρήνην [illegible]
60 ἄγειν. ἆρά γε μὴ Λακεδαιμονίους μιμεῖσθε; φασὶ γοῦν [illegible] αὐτοὺς τὸ ἀρχαῖον πρὸς αὐλὸν πολεμεῖν· ὑμεῖς δὲ πρὸς κιθάραν αὐτὸ δρᾶτε. ἢ βούλεσθε, ἐπειδὴ τοῖς βασιλεῦσι τοὺς δήμους κἀγὼ παρέβαλον, Νέρωνι φαίνεσθαι τὴν αὐτὴν ἔχοντες νόσον; ἀλλ' οὐδ' ἐκεῖνον ὤνησεν ἡ λίαν ἐμπειρία περὶ τοῦτο καὶ σπουδή. καὶ πόσῳ κρεῖττον μιμεῖσθαι τὸν νῦν ἄρχοντα παιδείᾳ καὶ λόγῳ προσέχοντα; οὐκ ἀποθήσεσθε τὴν αἰσχρὰν ταύτην καὶ ἄμετρον φιλοτιμίαν; οὐ φυλάξεσθε τοὺς ἄλλους σκώπτοντες, καὶ ταῦτα ἐν ἀνθρώποις, εἰ θεμιτὸν
61 εἰπεῖν, οὐδὲν μέγα οὐδὲ θαυμαστὸν ἔχουσιν; εἰ γὰρ Ἰσμηνίας ηὔλει παρ' ὑμῖν ἢ Τιμόθεος ᾖδεν ὁ παλαιὸς ἢ Ἀρίων, ὑφ' οὗ λέγουσιν ᾄδοντος ἐν τῷ πελάγει τοὺς δελφῖνας ἀφικέσθαι πρὸς τὴν ναῦν, καὶ μετὰ ταῦτα ἐκπεσόντα αὐτὸν κατὰ τύχην τινὰ ἀναλαβεῖν καὶ σῶσαι, πῶς ἂν διέκεισθε; τούτων μὲν γάρ ἐστιν οὐδεὶς Ἀμφίων οὐδὲ Ὀρφεύς· ὁ μὲν γὰρ υἱὸς ἦν

8. γε παρεισάγουσι Progr. p. 20, γε παρεισάγετε Reisk., τε γὰρ εἰσάγουσι reliqui. totum locum sic scribit Pflugkius: ἐκεῖνοί τε γὰρ — Σατύρους, καὶ ὑμῖν. — 59, 2. φιλογέλωτες. φιλογέλωτές ἐστε Reisk. ‖ 3. ἀναβλύει M, ἀναβλύειν BΛ, ἀναβλύζειν vm, ἀναβλύζει Casaub. r. ‖ ἢ νάπης. ἦν ἁπλῆς M (mrg. vulg.). ‖ 4. δύνασθε. δύνασθαι M. ‖ 5. διαμῶντες M. v, διασμῶντες reliq., διαμώμενοι Hemsterh. ad Hesych. p. 955. sumta haec ex Eurip. Bach. v. 709. Iacobs. ‖ οὐδὲ τὸ Geel., οὔτε τὸ reliq. ‖ ὕδωρ ὑμῖν BM, ὑμῖν om. reliq. ‖ 9. αὐτοῖς. αὐτοῖς M. ‖ ἂν μόνον BM, μόνον ἂν reliq. — 60, 1. ἆρα. ἄρα M. ‖ μιμεῖσθε. μιμεῖσθαι M. ‖ 4. φαίνεσθαι. φαίνεσθε M. vm. ‖ 5. λίαν. λείαν M. ‖ 7. ἄρχοντα. mrg. B. Οὐεσπασιανὸν λέγει. ‖ 9. σκώπτοντες. malim σκώπτοντας. — 61, 2. Ἀρίων. ἀρείων BM.

Μούσης, οἱ δὲ ἐκ τῆς Ἀμουσίας αὐτῆς γεγόνασι, διαθρύψαν-
τες καὶ κατάξαντες τὸ σεμνὸν τοῦ μέλους καὶ πάντα τρόπον
62 λωβησάμενοι τὴν ἀρχαίαν μουσικήν. τίς γὰρ αὐτῶν ᾠδὴν
τέλειον ἢ γενναῖον ῥυθμὸν οἷός τε εἰπεῖν; ἀλλὰ ᾄσματα γυ-
ναικῶν καὶ κρούματα ὀρχηστῶν καὶ παροινίας τερετισμάτων,
ὥσπερ κακοὶ καὶ περίεργοι μάγειροι, συντρίψαντες τοὺς νόμους
ἰδιώτας καὶ λίχνους ἀκροατὰς κινοῦσιν. τοιγαροῦν οὐκ ἀπὸ
κύκνων οὐδὲ ἀηδόνων ὁ ζῆλος αὐτῶν ὠνόμασται παρ' ὑμῖν 684 R.
αὐτοῖς, ἀλλ' ὡς ἔοικε κνυζηθμοῖς καὶ ὑλαγμοῖς εἰκάζετε·
καίτοι φιλοσόφους μὲν ᾔδειν οὕτως καλουμένους, κιθαρῳδοὶ
δὲ Κυνικοὶ παρὰ μόνοις ὑμῖν γεγόνασιν. ὁ μὲν οὖν Ἀμφίων
πρὸς τὸ μέλος, ὥς φασιν, ἤγειρε καὶ ἐπύργου τὴν πόλιν· οὗτοι
δὲ ἀνατρέπουσι καὶ καταλύουσιν. καὶ μὴν ὅ γε Ὀρφεὺς τὰ
θηρία ἥμερον καὶ μουσικὰ ἐποίει διὰ τῆς ᾠδῆς· οὗτοι δὲ ὑμᾶς
63 ἀνθρώπους ὄντας ἀγρίους πεποιήκασι καὶ ἀπαιδεύτους. ἔχω
δὲ καὶ ἄλλον εἰπεῖν λόγον ἀνθρώπου Φρυγὸς ἀκούσας, Αἰσώ- 381 M.
που συγγενοῦς δεῦρο ἐπιδημήσαντος, ὃν εἰς Ὀρφέα καὶ ὑμᾶς
ἔλεγεν. ἔστι δὲ τῶν ὑμετέρων σκωμμάτων ἀτοπώτερος καὶ
μακρότερος. σκοπεῖτε οὖν, εἰ βούλεσθε ἀκοῦσαι, καὶ μὴ
δυσχεράνητε. ἔφη τοίνυν ἐκεῖνος περί τε Θρᾴκην καὶ Μακε-
δονίαν τὸν Ὀρφέα μελῳδεῖν, καθάπερ εἴρηται, κἀκεῖ τὰ ζῷα
προσιέναι αὐτῷ, πολύ τι πλῆθος οἶμαι τῶν πάντων θηρίων.
πλεῖστα δὲ ἐν αὐτοῖς εἶναι τούς τε ὄρνιθας καὶ τὰ πρόβατα.
64 τοὺς μὲν γὰρ λέοντας καὶ τὰ τοιαῦτα διὰ τὴν ἀλκὴν καὶ τὴν
ἀγριότητα δυσπιστότερα εἶναι, καὶ τὰ μὲν οὐδ' ὅλως πελά-
ζειν, τὰ δ' εὐθὺς ἀποχωρεῖν οὐχ ἡδόμενα τῷ μέλει. τὰ δὲ
πτηνὰ καὶ τὰ πρόβατα μᾶλλόν τε προσιέναι καὶ μηκέτ' ἀπαλ-
λάττεσθαι· τὰ μὲν οἶμαι διὰ τὸ εὔηθες καὶ τὴν φιλανθρω-

7. αὐτῆς Pr. p. 29, αὐτοὶ reliq. ‖ διαθρύψαντες Reisk., διὸ τρίψαντες M, διατρίψαντες mrg. m, διαστρέψαντες Casaub., διαστρέψαντες δὲ Selden., διατρίψαντες reliqui. totum locum sic constituit Pflugkius: καὶ διατρίψαντες — μουσικὴν (τίς γὰρ — τερετισμάτων) ὥσπερ — κινοῦσι. ‖ 8. κατάξαντες. τάξαντες B, καταξήναντες (et supra διατρίψαντες) Iacobs. — 62, 3. κρούματα. κρούσματα M. ‖ 4. ὥσπερ. ὡς γὰρ Iacobs. Add. p. 210, δι' ὧν ὥσπερ Reisk. ‖ τούς. mallim εἰς τούς. ‖ νόμους. ψυχοὺς Selden. ‖ 7. ὡς. ὥστε M. ‖ κνυζηθμοῖς Casaub. r, κνυζηθμοῖς B. vm, σκυζηθμοῖς M. ‖ ὑλαγμοῖς BMA. r, ὑλεγμοῖς vm. ‖ εἰκάζετε. εἰκάζεται BM. ‖ 9. Ἀμφίων. ἀμφείων M. ‖ 11. καταλύουσιν M, καταλύουσι reliq. — 63, 5. μακρότερος. μικρότερος M. — 64, 2. δυσπιστότερα. δυσπειστότερα Reisk. ‖ πελάζειν. πελάζει B. ‖ 4. τε. τι Geel.

Digitized by Google

*πίαν, τῶν δὲ ὀρνίθων μουσικὸν δήπου τὸ γένος αὐτὸ καὶ
φιλῳδόν. ζῶντος μὲν οὖν Ὀρφέως συνέπεσθαι αὐτῷ πανταχόθεν
ἀκούοντα αὐτοῦ ὁμοῦ καὶ νεμόμενα· καὶ γὰρ ἐκεῖνον
ἔν τε τοῖς ὄρεσι καὶ περὶ τὰς νάπας τὰ πολλὰ διατρίβειν·
ἀποθανόντος δὲ ἐρημωθέντα ὀδύρεσθαι καὶ χαλεπῶς φέρειν·* 685 R.
*ὥστε τὴν μητέρα αὐτοῦ Καλλιόπην διὰ τὴν πρὸς τὸν υἱὸν
εὔνοιαν καὶ φιλίαν, αἰτησαμένην παρὰ Διός, τὰ σώματα
αὐτῶν μεταβαλεῖν εἰς ἀνθρώπων τύπον, τὰς μέντοι ψυχὰς*
65 *διαμένειν οἷαι πρότερον ἦσαν. χαλεπὸν οὖν ἤδη ἐστὶ τὸ λειπόμενον
τοῦ λόγου, καὶ δέδοικα ὑμᾶς σαφῶς αὐτὸ εἰπεῖν.
ἔλεγε γὰρ ἐξ ἐκείνων γένος τι φῦναι Μακεδόνων, καὶ τοῦτο
αὖθις ὕστερον μετὰ Ἀλεξάνδρου διαβὰν ἐνθάδε οἰκῆσαι. καὶ
διὰ τοῦτο δὴ τὸν τῶν Ἀλεξανδρέων δῆμον ἄγεσθαι μὲν ὑπὸ
ᾠδῆς ὡς οὐδένας ἄλλους, κἂν ἀκούσωσι κιθάρας ὁποιασοῦν,
ἐξεστάναι καὶ φρίττειν κατὰ μνήμην τὴν Ὀρφέως. εἶναι δὲ
τῷ τρόπῳ κοῦφον καὶ ἀνόητον ὡς ἐκ τοιούτου σπέρματος·
ἐπεὶ τούς γε ἄλλους Μακεδόνας ἀνδρείους καὶ πολεμικοὺς γε-*
66 *νέσθαι καὶ τὸ ἦθος βεβαίους. ἔλεγε δὲ καὶ περὶ τῶν κιθαρῳδῶν
τῶν παρ' ὑμῖν ἕτερον τοιοῦτόν τινα λόγον. τὰ γὰρ* 382 M.
*ζῷα ἐν τῇ συνουσίᾳ τῇ πρὸς τὸν Ὀρφέα τὰ μὲν ἄλλα ἥδεσθαι
μόνον καὶ ἐκπεπλῆχθαι, μιμεῖσθαι δὲ μηδὲν ἐπιχειρεῖν· τῶν
κυνῶν δὲ ἐνίους, οἷα δὴ γένος ἀναιδὲς καὶ περίεργον, ἐπιθέσθαι
τῇ μουσικῇ καὶ μελετᾶν τότ' εὐθὺς ἀπιόντας καθ'
αὑτούς, καὶ τὰ εἴδη μεταβαλόντας εἰς ἀνθρώπους διαφυλάττειν
τὴν ἐπιμέλειαν. εἶναι δὲ τοῦτο αὐτὸ τὸ γένος τῶν κιθαρῳδῶν·
διὸ μὴ δύνασθαι παντάπασιν ἐκβῆναι τὴν αὐτῶν
φύσιν, ἀλλὰ μικρὸν μέν τι διασώζειν τῆς Ὀρφέως διδασκα-*
67 *λίας, τὸ πολὺ δ' αὐτοῖς ἐμμένειν κύνειον τοῦ μέλους. ταῦτα* 686 R.
*μὲν ἐκεῖνος ἔπαιζεν ὁ Φρύξ. ἐγὼ δ' ὑμῖν βούλομαι Λακεδαιμονίων
ἔργον εἰπεῖν, ὡς ἐκεῖνοι προσηνέχθησαν ἀνδρὶ κιθα-*

7. *μὲν οὖν Ὀρφέως συνέπεσθαι* in M mrg. add. ‖ 9. *ἔν τε τοῖς ὄρεσι* BM, *ἐν τοῖς ὄρεσί τε* reliq. — 65, 1. *λειπόμενον. λοιπόμενον* B. ‖ 2. *ὑμᾶς. πρὸς ὑμᾶς* Reisk. ‖ 4. *αὖθις* Obs. p. 41, *εὐθὺς* reliq. ‖ *Ἀλεξάνδρου* M. Obs. p. 41, *Ἀλέξανδρον* reliq. ‖ 7. *τὴν* B, *τοῦ* reliq. ‖ 10. *ἦθος βεβαίους* BMA. Selden., *εἶδος βεβαίους* mrg. m., *εἶδος βαρβάρους* reliq. — 66, 2. *ἕτερον* Reisk., *ὕστερον* reliq. ‖ 7. *μεταβαλόντας* r, *μεταβαλόντα* B, *μεταβάλλοντα* M. vm. ‖ 9. *αὑτῶν* BM (corr. *αὐτοῦ*), *αὑτοῦ* reliq. ‖ 10. *διδασκαλίας. διδασκαλείας* M. ‖ 11. *τὸ πολὺ. πολὺ* (et infra *τὸ κύνειον*) Reisk. ‖ *κύνειον. κύνιον* BM. — 67, 2. *ἔπαιζεν. ἔπαιξεν* M.

ῥυθμῷ θαυμαζομένῳ τότε ἐν τοῖς Ἕλλησιν. ὅτι γὰρ λίαν ἡδὺς
ἐδόκει καὶ περιττός, μὰ Δί' οὐκ ἐτίμησαν αὐτόν, ἀλλ' ἀφεί-
λοντο τὴν κιθάραν καὶ τὰς χορδὰς ἐξέτεμον, ἀπιέναι προ-
ειπόντες ἐκ τῆς πόλεως. ἐκεῖνοι μὲν οὖν τὸ πρᾶγμα οὕτως
ὑφεωρῶντο καὶ ἐφύλαττον τὰ ὦτα, ὡς ἂν μὴ διαφθαρῶσιν
αἱ ἀκοαὶ μηδὲ τρυφερώτεραι γένωνται τοῦ δέοντος· ὑμεῖς δὲ
68 οὕτως ἀγεννῶς δεδούλωσθε ὑπὸ τῆς τοιαύτης ἡδονῆς. δι'
ὑμᾶς δὲ ἤδη μοι δοκεῖ τὸ πρᾶγμα καὶ τῶν ῥητόρων ἅπτεσθαι
καὶ φιλοσόφων ἐνίων· μᾶλλον δὲ τοὺς ῥήτορας οὐδὲ γνῶναι
ῥᾴδιον. ὡς γὰρ ὁρῶσι τὴν σπουδὴν ὑμῶν τὴν περὶ τοῦτο καὶ
τὴν ἐπιθυμίαν, πάντες δὴ ᾄδουσι καὶ ῥήτορες καὶ σοφισταί,
καὶ πάντα περαίνεται δι' ᾠδῆς· ὥστ', εἴ τις παρίοι δικαστή-
ριον, οὐκ ἂν γνοίη ῥᾳδίως, πότερον ἔνδον πίνουσιν ἢ δικά-
ζονται· κἂν σοφιστοῦ δὲ οἴκημα πλησίον ᾖ, οὐκ ἔσται γνῶναι
τὴν διατριβήν. δοκεῖ δέ μοι, καὶ ἐν τῷ γυμνασίῳ προϊόντες
ἤδη γυμνάσονται πρὸς μέλος καὶ τοὺς κάμνοντας ἰάσονται.
69 περὶ γὰρ τῆς τέχνης καὶ νῦν ἡμῖν διαλέγονται ᾄδοντες. κιν-
δυνεύει δ' ὁ βίος σχεδὸν ἅπας γεγονέναι κῶμος εἷς, οὐχ ἡδὺς
οὐδὲ πρᾶος, ἀλλ' ἄγριος καὶ χαλεπός, ἅμα ὀρχουμένων, τερε-
τιζόντων, μιαιφονούντων. οἱ δ' οὖν Λακεδαιμόνιοι πλεῖστον 383 M.
ὅσον ὑμῶν διέφερον, περὶ ταῦτα, ὡς ἔφην, εὐλαβῶς ἔχοντες.
οἱ μὲν γὰρ ἄρχειν ἦσαν ἱκανοί, καὶ τῶν μὲν Ἑλλήνων προ-
έστησαν πολλὰ ἔτη, τοὺς δὲ βαρβάρους ἐνίκων ἀεὶ πάντας·
ὑμεῖς δὲ οὐδὲ ἄρχεσθαι καλῶς ἐπίστασθε. τοιγαροῦν εἰ μὴ 681 R.
τῶν προεστηκότων ἐτύχετε, χαλεπῶς ἂν οἶμαι καὶ ἐσῴζεσθε.
70 τεκμήριον δὲ τὰ τελευταῖα συμβάντα περὶ ὑμᾶς. ὅτε γὰρ
καθ' αὑτοὺς ἦτε, οὐχ ὁ μὲν βασιλεὺς ὑμῶν περὶ αὔλησιν
ἠσχολεῖτο καὶ μόνῳ τούτῳ προσεῖχεν· ὑμεῖς δὲ πρὸς ἐκεῖνον
μὲν ἀπεχθῶς, πρὸς ἀλλήλους δὲ στασιαστικῶς διέκεισθε,
χωρὶς ἕκαστοι καὶ καθ' αὑτοὺς διαφθείροντες τὰ πράγματα,

4. λίαν. λείαν M. ‖ 5. περιττός. περιττὸν εἶναι M. ‖ ἀλλ' ἀφείλοντο. ἀλλὰ φίλαντο M. ‖ 6. ἀπιέναι προειπόντες Reisk., ἀπιέναι προσειπόντες reliq. — 68, 2. ἅπτεσθαι M. Obs. p. 41, ἐπεσθαι B, ἔπεσθαι reliq. ‖ 7. πίνουσιν. πείνουσιν M. ‖ 9. προϊόντες. προϊέντες A. m. ‖ 10. πρὸς Obs. p. 41, καὶ πρὸς reliq. ‖ ἰάσονται. ἰάσοντι M. ‖ 11. ἡμῖν BM, ὑμῖν reliq. — 69, 3. οὐδὲ Reisk., οὔτε reliq. ‖ 8. ἐπίστασθε. ἐπίστασθαι M. ‖ 9. ἐσῴζεσθε M. r, σῴζεσθε BA. vm. — 70, 1. γὰρ om. M. ‖ 3. προσεῖχεν. προσεῖχε τι (superscr. vulg.) M. ‖ ἐκεῖνον μὲν BMA, μὲν om. reliq. ‖ 5. αὑτοὺς BM, ἑαυτοὺς reliq.

Σειμαριστοὶ καὶ τοιαῦθ' ἕτερα ἑταιρειῶν ὀνόματα· ὥστε
φυγεῖν αὐτὸν ἠναγκάσατε καὶ μετὰ ταῦτα κατιέναι πολέμῳ
καὶ διὰ Ῥωμαίων; καὶ τέλος ἐκεῖνος μὲν αὐλῶν, ὑμεῖς δὲ
71 ὀρχούμενοι τὴν πόλιν ἀπωλέσατε. καὶ νῦν οὕτως ἐπιεικεῖς
ἔχοντες ἡγεμόνας εἰς ὑποψίαν αὐτοὺς καθ' ὑμῶν αὐτῶν ἠγά-
γετε, ὥστε ἐπιμελεστέρας χρῆναι φυλακῆς φήθησαν ἢ πρότε-
ρον· καὶ τοῦτο εἴργασθε δι' ἀγερωχίαν, οὐκ ἐπιβουλεύοντες.
ὑμεῖς γὰρ ἂν ἀποσταίητέ τινος; πολεμήσαιτε δ' ἂν ὑμεῖς μίαν
ἡμέραν; οὐκ ἐν τῇ γενομένῃ ταραχῇ μέχρι σκωμμάτων ἐθρα-
σύνοντο οἱ πολλοί, τινὲς δὲ ὀλίγοι βάλλοντες ὅ τι ἔτυχον ἅπαξ
ἢ δίς, ὥσπερ οἱ καταχέοντες τῶν παριόντων, κατέκειντο εὐθὺς
ᾄδοντες, οἱ δ' ἐπὶ τοὺς ὅρμους ᾖεσαν ὥσπερ ἐν ἑορτῇ πιού-
72 μενοι; καὶ μὴν ἐκεῖνο μέμνησθε τὸ γελοῖον, ὡς ὁ βέλτιστος
ὑμῖν Κόνων ἐχρήσατο προελθών, οὗ μάλιστα τὸ πλῆθος ὑμῶν
συνειστήκει, καὶ δείξας τινὰ τόπον βραχὺν προηγόρευεν, ὡς,
εἰ μὲν αὐτὸς ἐκεῖ προέλθοι, νενικηκὼς εἴη καὶ δέοι ὑμᾶς
ἀπαλλάττεσθαι καθ' αὐτοὺς καὶ παραχωρεῖν· εἰ δ' ὑμεῖς,
ἔφη, τέτταρα ἢ πέντε βήματα νικᾶτε, κἀγὼ βαδιοῦμαι· ταῦτα
δὲ ἔλεγε φειδόμενος ὑμῶν καὶ καταγελῶν καὶ καθάπερ παισὶ
προσπαίζων. ἐπεὶ τὸ στράτευμα ἐφειστήκει κἀκεῖνος οὐδένα
εἴα ἅπτεσθαι, γυμνοὺς ἅπαντας ὁρῶν καὶ ἑτοίμους ἀπόλλυ-
σθαι. τί οὖν; ἐβιάσαντο μετὰ ταῦτα οἱ προπετεῖς καὶ ἀκό-
λαστοι καὶ ἐπίτηδες ἀνατρέψαι καὶ συγχέαι πάντα ἐπιβου-
λεύσαντες, καὶ οὐ πρότερον ὑμᾶς ἀνῆκαν, ἕως ἐγεύσασθε
73 πολέμου καὶ τὸ δεινὸν ἄχρι πείρας προῆλθεν. τί δὴ καὶ τού-
των ἐπεμνήσθην; ὅπως εἰδῆτε τὰ φυόμενα ἐκ τῆς περὶ τὸν
βίον ταύτης ἀταξίας. οὐ γάρ ἐστι τοὺς οὕτως ἐπτοημένους
περὶ τὰ μικρὰ καὶ μηδενὸς ἄξια, φαύλως καὶ ἀκρατῶς ἔχον-

6. Σειμαριστοί. nomen Σιμάριστος exstat apud Athen. XI, p. 478. e. ‖ ἑταιρειῶν. ἑταιρίων M, ἑταιρειῶν m. ‖ ὀνόματα. excidisse aliquid, quale κεκλημένοι vel ὀνομαζόμενοι, suspicatur Reisk. ‖ ὥστε. ὡς M. — 71, 3. ἐπιμελεστέρας (vel ἀκριβεστέρας) Casaub., ἐπιεικεστέρας reliq. ‖ 4. εἴργασθε. εἰργάσθαι M. ‖ 5. πολεμήσαιτε. πολεμήσετε BM. vm. ‖ 6. τῇ. τῇ πρώην vel τῇ τότε Reisk. ‖ 8. οἱ. οἱ τὰς ἀμίδας Reisk. ‖ 9. τοὺς ὅρμους. τοὺς ὅρκους M, τοῖς ὁρμοῖς v. ‖ πιούμενοι Casaub. r, ποιούμενοι reliq. — 72, 4. δέοι Selden. r, δέον reliq. ‖ 6. βήματα. βήματα προέλθοιτε Selden. ‖ 8. ἐπεὶ Vales. p. 61, ἐπὶ reliq., ἔτι Reisk. ‖ ἐφειστήκει. ἐφιστήκει M. ‖ οὐδένα εἴα. οὐδὲν ἀεὶ M, οὐδένα οὐδενὸς εἴα Reisk. ‖ 11. ἀνατρέψαι Reisk., ἀναστρέψαι reliq. ‖ 12. ἐγεύσασθε. γεύσασθε M. ‖ 13. προῆλθεν M, προῆλθε reliq. — 73, 4. μικρά. σμικρὰ B.

Digitized by Google

ταις ἐν τούτοις ἃ πράττουσι καθ' ἡμέραν, τἆλλα σωφρονεῖν καὶ περὶ τῶν μειζόνων ὀρθῶς βουλεύεσθαι. ἡ γὰρ τῶν τρόπων κουφότης καὶ τὸ ἀλόγιστον οὐκ ἐᾷ μένειν ἐπὶ τοῖς ἐλάττοσιν, οὐδ' ἔχει μέτρον οὐδὲν ἡ ἄνοια τῶν ἁμαρτημάτων, ἀλλ' ἐπὶ πᾶν ὁμοίως πρόεισι καὶ παντὸς ἅπτεται μετὰ τῆς
74 ἴσης εὐχερείας. μὴ οὖν οἴεσθε περὶ μικρῶν εἶναι τὸν λόγον, ὅταν τις ὑμῖν διαλέγηται περὶ τῶν ἐν τοῖς θεάτροις θορύβων. οὐ γὰρ οὕτως ἡ πενία ταχὺ πέφυκε συμβαίνειν διὰ τὰς κατ' ὀλίγον ζημίας, ὡς ἡ κακία πρόεισιν ἐκ τῶν κατὰ μέρος τούτων ἁμαρτημάτων, καὶ τελευταῖον ἐπ' αὐτὸ τὸ πέρας καὶ τὸν ὄλεθρον αὐξηθεῖσα ἤγαγεν. καὶ ταῦτα μὲν δὴ τὰ περὶ 400 R.
τὸ θέατρον. ἀλλ' ὅταν εἰς τὸ στάδιον ἔλθητε, τίς ἂν εἰπεῖν δύναιτο τὰς ἐκεῖ κραυγὰς καὶ θόρυβον καὶ ἀγωνίαν καὶ σχημάτων μεταβολὰς καὶ χρωμάτων καὶ βλασφημίας, οἵας καὶ ὅσας ἀφίετε; εἰ γὰρ μὴ τοὺς ἵππους ἑωρᾶτε ἁμιλλωμένους, καὶ τούτους συνήθεις, αὐτοὶ δ' ὑπὸ μαστίγων ἠλαύνεσθε τῶν
75 ἐν ταῖς τραγῳδίαις, οὐκ ἂν οὕτω χαλεπῶς διέκεισθε. αὐτὸν γὰρ οἶμαι τὸν Ἰξίονα λῆρον ἀποφαίνετε, τὸν ἐν τῷ τροχῷ παρὰ τοῖς ποιηταῖς ἐνδεδεμένον καὶ κολαζόμενον διὰ τοιαύτην τινὰ ἀσέβειαν. φέρε οὖν, εἰ μεταξὺ θεῶν τις ὑμῖν ἐπιστὰς εἴποι διατεινάμενος·

> δαιμόνιοι μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
> βρωτὺν οὐδὲ ποτῆτα. 385 M.

τί σφόδρα οὕτω κυκᾶσθε; τίς ἡ σπουδή; τίς ὁ ἀγών; οὐ γὰρ Πέλοψ ἐστὶν ὁ διώκων, οὐδ' Οἰνόμαος οὐδὲ Μυρτίλος, ὁ μὲν δεύτερος ἀπὸ Διὸς γεγονώς, ὁ δὲ Ἑρμοῦ παῖς, οὐδὲ περὶ βασιλείας οὐδὲ γυναικὸς οὐδὲ θανάτου πρόκειται κρίσις· ἀλλ' 401 R.
ἔστιν ὁ ἀγὼν ἀνδραπόδων ὑπὲρ τοῦ τυχόντος ἀργυρίου νῦν
76 μὲν ἡττωμένων νῦν δὲ νικώντων ἀεὶ τῶν αὐτῶν. εἰ λέγοι ταῦτα, τί ἐρεῖτε; ἢ δῆλον ὅτι οὐδ' ἀκούσεσθε παρ' ἐκεῖνον τὸν καιρόν, οὐδὲ ἐὰν αὐτὸς ὑμῖν ὁ τοῦ Πέλοπος διαλέγηται πρόγονος; τίνα οὖν εὕρῃ τις ἐπικουρίαν ἢ τίνα ἐξιλάσασθαι

5. τἆλλα. τὰ ἄλλα M. ‖ 6. τρόπων. τόπων M. ‖ 9. τῆς ἴσης BM, τῆς om. reliq. — 74, 1. μικρῶν. σμικρῶν B. ‖ 4. πρόεισιν. πρόσεισιν BM. ‖ 6. ἤγαγεν M, ἤγαγε reliq. ‖ μὲν δὴ Obs. p. 42, μὲν ἤδη reliq. ‖ οὕτω. sic dedi. οὕτως reliq. — 75, 3. τοιαύτην BMA. Reisk., ταύτην reliq. ‖ 6. Odyss. 18, 405. ‖ μαίνεσθε. μαίνεσθαι M. ‖ κεύθετε. κεύθητε (corr. vulg.) M. ‖ 8. οὕτω. οὕτως M. ‖ 13. ἡττωμένων. ἡττημένων B. ‖ ἀεὶ τῶν αὐτῶν om. M. — 76, 2. ἀκούσεσθε. ἀκούσεσθαι M. ‖ 3. ἐάν. ἄν M.

δεῖ δαιμόνων; ἔστιν Ὀλυμπίασι κατὰ μέσον τὸν ἱππόδρομον
ταραξίππου Ποσειδῶνος βωμὸς, ἔνθα μάλιστα συνέβαινε τοὺς
ἵππους πτοεῖσθαι καὶ πλεῖστα διαφθείρεσθαι τῶν ἁρμάτων.
ἔδοξεν οὖν τοῖς Ἠλείοις ὡς δαιμονίου τινὸς ὄντος ἱδρύσασθαι
βωμόν. καὶ τὸ λοιπόν φασιν ἀπ' ἐκείνου γεγονέναι τὸν τύπον
77 ἀσφαλῆ. πολὺ δὴ μᾶλλον ἔγωγε ὑμῖν συμβουλεύω τὸν θεὸν
τοῦτον ἐξιλάσασθαι καὶ βωμὸν ἱδρύσασθαι τὸν αὐτὸν, μὰ
Δί' οὐχ ὑπὲρ τῶν ἵππων, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν, ὅπως μὴ
ταράττησθε μηδὲ ἐκπίπτητε τῆς τάξεως. μὴ γὰρ δαιμόνια
πάντ' ᾖ τὰ τοιαῦτα καὶ μείζονος δεόμενα ἀποτροπῆς. φασὶ
καὶ ἀρχαίαν βασιλίδα ἐν Κρήτῃ τῶν Ἡλιαδῶν ἐρασθῆναι
ταύρου καὶ συγγενομένην χαλεπόν τι καὶ μέγα τεκεῖν τέρας. [illegible] R
δέδοικα δὴ κἀγὼ τὸν ἱππικὸν τοῦτον ἔρωτα τῆς πόλεως, μή τι
78 δυσχερὲς ὑμῖν καὶ ξένον ἐνέγκῃ τῷ χρόνῳ. πάλιν δὲ ἑτέραν
παρθένον ποταμοῦ τινος ἐρασθεῖσαν ὁσημέραι φοιτᾶν ἐπὶ τὸ
ῥεῦμα, καὶ τόν τε ἀφρὸν ἐντίθεσθαι ταῖς ἀγκάλαις καὶ τὸ
ὕδωρ ὑποδέχεσθαι τοῖς κόλποις. Ἀθήνησι δὲ αὐτὸ τοῦτο τὸ
ζῷον ἀγαπηθῆναι τὸ καὶ παρ' ὑμῖν εὐδοκιμοῦν· καὶ νῦν ἔστιν
ἐν τῇ πόλει τόπος οὕτω καλούμενος, Ἵππου καὶ κόρης ἄβατον.
ὁ γὰρ πατὴρ συγκαθεῖρξε τὴν παῖδα τῷ ἵππῳ, καί φασιν
79 οὕτω διαφθαρῆναι τὴν κόρην. σκοπεῖτε δὲ, μὴ καὶ ὑμεῖς [illegible] M.
ὑπὸ τῆς τοιαύτης ἐπιθυμίας ἀπόλησθε. ποῖος γὰρ Ὅμηρος
ἢ τίς ἀνθρώπων δύναται τὰ συμβαίνοντα εἰπεῖν; οὐ γὰρ
οὕτως ἐκεῖνός φησι τὰ ἅρματα ταπεινὰ γίγνεσθαι μεταξὺ καὶ
σφόδρα ὑψηλὰ κατὰ τὸν δρόμον, ὡς τὰς ὑμετέρας ψυχὰς
ἰδεῖν ἔστι πασχούσας. φησὶ δ' οὕτως, ἵν' ὑμῖν καὶ χαρίσω-
μαί τι μικρόν·

> ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
> ἄλλοτε δ' ἀΐξασκε μετήορα, τοὶ δ' ἐλατῆρες

5. μέσον. νεμέων vm. ‖ 7. πλεῖστα. τὰ πλεῖστα Reisk. ‖ 8. Ἠλείοις. ἡλίοις M. ‖ ὄντος. χαλεπαίνοντος vel νεμεσῶντος vel ἐκεῖ ὄντος Reisk. ‖ 9. ἀπ' ἐκείνου BMA. Selden. r, ἐπ' ἐκείνου vm. — 77, 4. μηδὲ ἐκπίπτητε. μηδ' ἠπίπτηται M. ‖ 5. πάντ' ᾖ Pflugk. p. 9, ἀπαντᾷ Iacobs., πάντως ᾖ Geel., πάντῃ reliq. ‖ 6. καὶ om. M. ‖ 8. δή. sic dedi. δεῖ M, δὲ reliq. ‖ τοῦτον ἔρωτα M, τοῦτον om. reliq. — 78, 1. πάλιν — κόλποις suspecta fuerunt Seldeno et Geelio. ‖ 6. οὕτω καλούμενος BM, καλούμενος οὕτω reliq. ‖ 7. συγκαθεῖρξε. συγκαθεῖρξαι vm. — 79, 4. γίγνεσθαι. sic dedi. γίνεσθαι reliq. ‖ 6. ἰδεῖν ἔστι BM, ἔστιν ἰδεῖν reliq. ‖ καὶ χαρίσωμαί. κεχαρίσωμαι B. vm. ‖ 8. Iliad. 23, 368. ‖ 9. ἀΐξασκε BMA, ἀέξασκε reliq.

ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων, κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις.

80 ἐνταῦθα τοὺς μὲν ἡνιόχους πεποίηκεν ἀγωνιστὰς καὶ φιλοτιμουμένους, τοὺς δὲ θεατὰς καθ' ἡσυχίαν θεωροῦντας, ὥσπερ 693 R. καὶ προσῆκεν. μόνον δ' ἐπὶ τῷ τέλει φησὶν Αἴαντα τὸν Λοκρὸν ὁρᾷν ἀπρεπέστερον καὶ λοιδορεῖσθαι Ἰδομενεῖ περὶ τῶν ἵππων τῶν Εὐμήλου. οὗτος μέντοι ἐστὶν ὁ περὶ τὴν Ἀθηνᾶν αὖθις ἀσεβήσας ἁλισκομένης τῆς Τροίας, καὶ αὐτός τε διὰ τοῦτο κεραυνωθεὶς καὶ τοῦ χειμῶνος καὶ τῆς ναυαγίας τοῖς πᾶσιν αἴτιος γενόμενος. ὁ γὰρ ἐν τοιούτοις θρασὺς καὶ προπετὴς οὐδὲ τἆλλα εἶναι δύναται σώφρων, ὥσπερ καὶ εἶπον
81 ἤδη. τοῦτο μὲν οὖν τοιοῦτο παράδειγμα κακίας καὶ ἀνοίας ὅμοιος ἐκ τῶν τοιούτων ἄνθρωπος τοῖς παρ' ὑμῖν, πλὴν ὅτι μάχεσθαί γε οὐδεὶς ἱκανός ἐστιν οὐδὲ ἀριστεύειν οὐδὲ αἱρεῖν πόλεις, ὡς ἐκεῖνος. ὑμῶν δὲ οὐδεὶς ἐν τῇ θέᾳ καθέστηκεν. ἀλλὰ πολὺ μᾶλλον πέτεσθε τῶν ἵππων καὶ τῶν ἡνιόχων καὶ γελοίως ἐλαύνετε καὶ ἡνιοχεῖτε καὶ διώκετε καὶ ἡγεῖσθε καὶ πίπτετε. τοιγαροῦν οὐ κακῶς τις παρεποίησε τῶν σαπρῶν τούτων ποιητῶν·

82 ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ, 387 M.
ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δὲ θεαταὶ
θώκοις ἐν σφετέροις οὔθ' ἕστασαν οὐδὲ κάθηντο,
χλωροὶ ὑπαὶ δείους πεφοβημένοι, οἱ δ' ὑπὸ νίκης
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι

10. ἵστασαν. ἕστησαν M. ‖ δίφροισι. δίφροις M. — 80, 3. προσῆκεν M, προσῆκε reliq. ‖ 4. ὁρᾷν suspectum Geelio. malim ὁρᾶσθαι. ἀνορμᾷν Unger., ὁρμᾷν (omisso mox v. καὶ) Geel. ‖ Ἰδομενεῖ. ἰδομενῆ corr. M (pr. man. vulg.). ‖ 6. αὐτός τε Obs. p. 42, αὐτὸς δὲ reliq. — 81, 1. τοιοῦτο. malim τοσοῦτο. ‖ 2. ὅμοιος ἐκ τῶν τοιούτων ἄνθρωπος Progr. p. 29, ὁμοίως ἐκ τῶν τοιούτων ἀνθρώπων reliqui. unde Casaubonus: ὅμως δ' οὐ τῶν τοιούτων ἀνθρώπων τοῖς παρ' ὑμῖν, Seldenus: ὅμως οὐκ ἐκ τούτων ἀνθρώπων, οἷοι παρ' ὑμῖν, Pflugkius ita: τοιοῦτον τὸ παράδειγμα κακίας καὶ ἀνοίας, οὐ μὰ Δί' ὁμοίων τούτοις ἀνθρώπων cett. ‖ πλὴν ὅτι BM, πλὴν om. reliq. ‖ 4. ὑμῶν. ἡμῶν r. ‖ 6. γελοίως ἐλαύνετε καὶ ἡνιοχεῖτε καὶ διώκετε M, γελοῖοί ἐστε reliq. ‖ καὶ ἡγεῖσθε. κινεῖσθε vel κλονεῖσθε Reisk., σείεσθε Iacobs., ὑφοῦσθε Geel., καὶ λέγεσθε (deletis verbis καὶ πίπτετε) Pflugkius. ‖ 7. πίπτετε. πίπτεται M. ‖ σαπρῶν. σατραπῶν B. — 82, 2. ἀΐξασκε BA, ἀΐξας καὶ M, ἀέξασκε reliq. ‖ μετήορα· τοι. μετηορᾶται τοι M. ‖ 3. οὐδὲ κάθηντο BM, οἱ δ' ἐκάθηντο reliq. ‖ 4. ὑπαὶ δείους. ὑπεδίους M. ‖ οἱ δ' Reisk., οὐδ' reliq., ἠδ' Selden.

χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστοι.
ἡΰτε περ κλαγγὴ γεράνων πέλει ἠὲ κολοιῶν,
αἵ τ' ἐπεὶ οὖν ζῦθόν τ' ἔπιον καὶ ἀθέσφατον οἶνον,
κλαγγῇ ταί γε πέτονται ἀπὸ σταδίοιο κελεύθου. 694 R.
οἱ δ' ὥστε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν,
83 οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
ἵππον, ὃς ἀνθρώποισι φόνον φέρει ἠλιθίοισιν·
ὣς οἱ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ἔπιπτον.
ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς,
ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ,
πάντη δ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
πρόῤῥιζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς οἱ μὲν μάρναντο πυρὸς δέμας. οὐδέ κε φαίης
οὐδέποτ' ἥλιον σόον ἔμμεναι οὔτε σελήνην.
84 οἵηπερ φύλλων γενεὴ, τοίηδε καὶ ἀνδρῶν,
ἀνδρῶν κουφονόων, φιλαοιδοτάτων, ἀγερώχων. 358 M.
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐλάς.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
τί πτώσσεις; τί δ' ὀπιπτεύεις κατὰ ἅρμ' ἐν ἀγῶνι;
εἰ δ' ἄγε νῦν πείρησαι, ἵνα κναφθεὶς ἀποτίνῃς.
85 τὸν δ' αὖθ' Ἱπποκύων ἀπαμειβόμενος προσέειπε·
τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος·
οὐχ ὁράᾳς, οἷος κἀγὼ καλός τε μέγας τε,
ἀλλ' ἔπι τοι κἀμοὶ θάνατος καὶ μοῖρα κραταιή.
αἲ γάρ πως ὑμᾶς γε καὶ αὐτοὺς ἐνθάδε πάντας
ὁπλήεντας ἔθηκε θεὰ λευκώλενος Ἥρη,
ὡς μή μοι τρύζητε καθήμενοι ἄλλοθεν ἄλλος.
ὣς ἔφαθ'· οἱ δ' εὔχοντο Διὶ Κρονίωνι ἄνακτι.

6. μεγάλ'. καὶ μεγάλ' B. ‖ 8. αἵ τ' ἐπεὶ οὖν. αἵτε ποιοῦν M. ‖ ζῦθόν. ζοῖθον BM. ‖ 9. κλαγγῇ ταί γε. κλαγγηταί γε B, κλάγγη τε γε M. v. ‖ ἀπὸ. malim ἐπί. ‖ κελεύθου. malim κέλευθα. — 83, 2. φόνον. φόνου r. ‖ 6. εἰλυφόων. εἰληφόων M. ‖ θάμνοι. θάμνοις M. ‖ 7. πρόῤῥιζοι. προσρίζοι M. ‖ πίπτουσιν. πείπτουσιν M. ‖ 9. ἥλιον. ἥλοιον B. ‖ σόον BM, σῶον reliq. — 84, 3. αὐλάς Reisk., αὐγάς reliq. ‖ 4. εἴπεσκεν. ἔπεσκεν B. ‖ 7. κναφθεὶς Pr. p. 23, καμφθεὶς reliq. ‖ ἀποτίνῃς. ἀποτείνῃς BM. vm. — 85, 6. ἔπι. ἐπὶ M. ‖ 10. εὔχοντο. εὔχονται (superscr. vulg.)

86 ταῦτα μὲν ὑμῖν ἀπὸ πολλῶν καὶ φαύλων ὀλίγα, ὅπως μὴ μόνοι 695 R.
δοκῆτε εἶναι γελοῖοι. καὶ μὴν αἰσχρόν ἐστιν, ἄνδρες Ἀλεξαν-
δρεῖς, τοὺς πυνθανομένους περὶ τῆς πόλεως τὰ μὲν ἀλλ'
ἀκούειν θαυμαστὰ οἷα, περὶ δὲ ὑμῶν αὐτῶν μηδὲν σεμνὸν
λέγεσθαι μηδ' ἄξιον ζήλου, τοὐναντίον δὲ ὡς φαύλους τοὺς
ἀνθρώπους διαβεβλῆσθαι, μίμους καὶ γελωτοποιοὺς μᾶλλον,
οὐκ ἄνδρας ἐῤῥωμένους, ὡς τῶν κωμικῶν ἔφη τις ἐπὶ τοῖς 389 M.
τοιούτοις·

ἀκόλαστος ὄχλος ναυτική τ' ἀταξία.

87 ἔστι γὰρ ὅμοιον, ὥσπερ εἰ οἰκίαν μέν τις ἴδοι πάνυ καλήν,
τὸν δὲ δεσπότην αὐτὸν ἀνδράποδον μηδὲ θυρωρεῖν ἄξιον. τῷ
παντὶ γὰρ κρεῖττον ἐρημίαν καθορᾶν καὶ δεκαπέντε ἀνθρώ-
πους εὐπόρους ἢ πλῆθος ἀνήριθμον ἀνθρώπων ἀθλίων καὶ
μαινομένων, ὥσπερ τινὰ κόπρον βαθεῖαν ἐν ταυτῷ νενημένην
ἐκ παντοδαπῶν λυμάτων. οὐδὲ γὰρ πόλιν εἴποι τις ἂν ὀρθῶς
τὴν ἐκ τοιούτων οὐδέ γε χορὸν τοὺς ὁποίους δήποτε συνελ-
88 θόντας οὐδὲ στρατόπεδον πάντα ὄχλον. οὐδὲ γὰρ τὸ τοῦ
Ξέρξου στράτευμα λαμπρὸν ἦν πλὴν εἰ μή τι διορύττειν ἢ 696 R.
τοιοῦτον ἕτερον ἔργον πράττειν. οὐδὲ ἡ τῶν Τρώων πόλις
εὐδαίμων, ὅτι πονηρῶν καὶ ἀκολάστων ὑπῆρξε πολιτῶν. καί-
τοι μεγάλη τε καὶ ἔνδοξος ἦν· ἀλλ' ὅμως ὁ τῆς Ἰθάκης πο-
λίτης ἐπόρθησεν αὐτήν, ὁ τῆς μικρᾶς καὶ ἀδόξου, σφόδρα
οὖσαν εὐρύχωρον. φοβοῦμαι δή, μὴ καὶ ὑμεῖς ἀπόλησθε
ἐκείνοις παραπλησίως, εἰ καὶ ψυχρότερόν ἐστιν εἰπεῖν, ὅτι κἀ-
κείνην ὑπὸ ἵππου τινὸς φθαρῆναι λέγεται· πλὴν οἱ μὲν ἴσως
89 ὑφ' ἑνός, ὑμεῖς δὲ ὑπὸ πλειόνων ἑαλώκατε. μὴ γὰρ τοῦτο
μόνον ἡγεῖσθε ἅλωσιν εἶναι πόλεως, ἄν τινες τὸ τεῖχος κατα-
βαλόντες ἀποσφάττωσι τοὺς ἀνθρώπους καὶ τὰς γυναῖκας
ἀπάγωσιν καὶ τὰς οἰκίας κατακαίωσιν. αὕτη μὲν ἴσως τελευ-

M. ‖ Κρονίωνι. κρωνίωνι M. — 86, 1. μόνοι B. mrg. m. r, μόνον M, μόνῳ vm, μοι Selden. ‖ 2. δοκῆτε. δοκεῖτε M. ‖ 5. μηδ' ἄξιον. μηδ' ἀνάξιον BA. ‖ 6. μίμους. μείμους M. ‖ 9. ἀκόλαστος. Eurip. Hecub. 607. — 87, 1. ἴδοι BM. Iacobs., ἴδῃ reliq. ‖ 2. αὐτόν. αὐτῶν vm. ‖ 3. δεκαπέντε. malim δέκα ἢ πέντε. ‖ 4. εὐπόρους. malim εὔφρονας vel ἔμφρονας. ‖ 6. τις ἂν Pflugk., ἂν om. reliq. — 88, 2. πλὴν εἰ μή. vel πλὴν vel μὴ delebat Reisk. ‖ τι B. Selden., τις reliqui (at in M ς a corr. add. videtur), unde θέλει supplebat Casaub. ‖ διορύττειν ἢ τοιοῦτον v, διορύττειν ἢ διασκάπτειν ἢ τοιοῦτον reliqui. totum locum sic constituit Geelius: πλὴν εἰ νὴ Δί' ὄρος τι ἔδει διασκάπτειν. ‖ 6. αὐτήν. αὐτῆς M. ‖ 7. ἀπόλησθε. ἀπόλεσθε m. — 89, 4. τελευταία. ἡ τελευταία Reisk.

ταία καὶ πρὸς ὀλίγον γιγνομένη καὶ μᾶλλον ἐλεεῖσθαι τοὺς παθόντας ἢ καταγελᾶσθαι παρασκευάζουσα. παρ' οἷς δ' ἂν ᾖ πάντων ἀμέλεια τῶν καλῶν, ἑνὸς δὲ πράγματος ἀγεννοῦς ἔρως, καὶ πρὸς μόνον τοῦτο ἀποβλέπωσι καὶ περὶ τοῦτο διατρίβωσι πηδῶντες καὶ μαινόμενοι καὶ παίοντες ἀλλήλους καὶ ἀπόρρητα λέγοντες καὶ τοὺς θεοὺς· αὐτοὺς πολλάκις λοιδοροῦντες καὶ τὰ ὄντα ῥιπτοῦντες καὶ γυμνοὶ βαδίζοντες ἀπὸ τῆς θέας ἐνίοτε, τοῦτ' ἔστιν αἰσχρὰ πόλεως καὶ ἐπονείδιστος

90 ἅλωσις. καὶ γὰρ ἀνθρώπους ἑαλωκέναι φαμὲν οὐχ ὑπὸ λῃστῶν μόνον [ἢ ἑταίρων], ἀλλὰ καὶ ἑταίρας καὶ γαστρὸς καὶ ἄλλης τινὸς φαύλης ἐπιθυμίας. αἰχμάλωτος οὖν γενέσθαι καλῶς ἂν λέγοιτο καὶ ἀνὴρ καὶ πόλις, ἥτις ἂν τῶν κρειττόνων ἐπιτηδευμάτων ἀφεμένη καὶ μήτε ὁρῶσα μηδὲν μήτε ἀκούουσα τῶν φερόντων εἰς σωτηρίαν, ἀλλ' αἱρεθεῖσα ὑπὸ μέθης ἢ ᾠδῆς γυναικῶν ἢ ἁρμάτων ἄγηται καὶ φέρηται καὶ πᾶσα δι' ὅλης θορυβῆται περὶ τοῦτο καὶ ἐκφρονῇ· καὶ νὴ Δία ἑαλωκέναι λέγοιτ' ἂν καὶ κατὰ κράτος, ὃς οὕτως ἑάλωκεν, καὶ περιηγκωνίσθαι. οὐ γάρ, ἂν μὲν τὸ σῶμά τινος κρατῆται καὶ περιέχηται δεσμοῖς τισιν ἢ φρουροῖς, τὰ δυσχερῆ δεῖ ταῦτα νομίζειν αἰχμαλωσίαν καὶ δουλείαν καὶ ἀπαγωγήν, τῆς δὲ ψυχῆς ἠνδραποδισμένης καὶ ἀπολωλυίας εἰρωνεύεσθαι

91 καὶ ὑποτιμᾶσθαι. καίτοι δεινὰ μέν που καὶ ἐφ' ἑκάστων τὰ τοιαῦτα, τῷ παντὶ δὲ αἰσχίω δημοσίᾳ φαινόμενα. καὶ γὰρ αἱ λοιπαὶ νόσοι, μέχρι μὲν τῶν καθ' ἕνα εἰσίν, οὐ μεγάλης

8. *διατρίβωσι πηδῶντες* Selden., idem vel *διατρίβωσιν ἀεὶ πηδῶντες* Reisk., *διατρίβωσιν ἢ πηδῶντες* M, *διατρίβουσιν ἢ πηδῶντες* reliq. ‖ 11. *τὰ ὄντα. τὰ τυχόντα* Iacobs., *τὰ παρόντα* Geel. p. 326. ‖ *ῥιπτοῦντες. ῥιπτοῦντες* M. — 90, 2. [*ἢ ἑταίρων*] delet Reiskius. *ἢ ἑταιρῶν* B, *ἢ πειρατῶν* Iacobs. Add. p. 300. ‖ 6. *τῶν φερόντων* BM, *φερόντων* om. reliq. ‖ *ἀλλ' αἱρεθεῖσα. ἀναιρεθεῖσα* M. ‖ 7. *ἄγηται. αἴπηται* M. ‖ 8. *θορυβῆται* vr, *θορυβεῖται* BM. m. ‖ *ἐκφρονῇ* Obs. p. 42. *ἐκφρωνῇ* M, *ἐκφρονεῖ* BA, *ἐκφωνῇ* v, *ἔκφρων ᾖ* Reisk., *ἐκφωνεῖ* mr. ‖ 9. *ὃς οὕτως.* sic dedi. *ὡς οὐθ'* reliqui. conf. Obs. p. 42. *τοῦθ'* Selden., Reiskius vel verba *ὡς οὐθ' ἑαλωκέναι* delebat, vel *ὡς οὐδ' ἄλλη τις* scribebat. Geelius locum sic constituit: *λέγοιτ' ἂν κατ' ἄκρας, ὃς οὕτως ἑάλωκεν καὶ περιηγκώνισται.* ‖ *ἑάλωκεν.* sic dedi cum Geelio. *ἑαλωκέναι* reliq. ‖ 10. *κρατῆται. κρατῆσαι* B. ‖ 11. *περιέχηται. περιέχεται* m, *περὶ* v. ‖ *δεσμοῖς — αἰχμαλωσίαν καὶ* om. v. ‖ *τὰ* delebat Pflugkius falsa distinctione deceptus. ‖ 12. *ἀπαγωγὴν* Progr. p. 29, *ἀνάγκην* Iacobs., *ἁρπαγὴν* Geel., *ἀπάτην* reliqui. Reiskius locum sic scribit: *δουλείαν· ἀπάτην δὲ ψυχῆς* cett. — 91, 1. *ἑκάστων.* sic dedi. *ἑκάστῳ* reliqui (at in M ω in rasura est).

οὐδὲ φοβερᾶς προσηγορίας τυγχάνουσιν· ὅταν δὲ κοινὸν γέ- 698 R.
νηται τὸ πρᾶγμα, τότε λοιμὸς καλεῖται. καθόλου γὰρ πάντα
ἁμαρτήματα εἴποι τις ἂν πανταχοῦ, καὶ οἰνόφλυγες καὶ πόρ-
νοι καὶ γυναιμανεῖς ἐν πάσαις εἰσὶ ταῖς πόλεσιν· ἀλλ' οὐδὲν
τοῦτο χαλεπὸν οὐδὲ ὑπερβάλλον· ὅταν δὲ ἐπικρατῇ τὸ πάθος
καὶ βλέπηται κοινὸν, τότε ἐπίσημον καὶ μέγα καὶ δημοσίᾳ
92 γίγνεται. ποία γὰρ πόλις ἔστι τῶν μὴ σφόδρα ἐρήμων καὶ
μικρῶν, ἐν ᾗ μὴ καθ' ἡμέραν τις πυρέττει πάντως· ἀλλὰ
Καυνίους μόνον παρείληφε κἀκείνων ἐστὶ τὸ ὄνειδος, ὅτι πάν-
τες αὐτὸ πάσχουσιν, ὥσπερ καὶ ἀπὸ τῶν βελτιόνων τινὲς
ἐθαυμάσθησαν καὶ δόξαν ἔσχον. πόσους γὰρ οἴεσθε Ἀθη-
ναίων ἢ Μεγαρέων ἢ Κορινθίων τὰ σώματα ἀσκεῖν καὶ ζῆν
φιλοπόνως; πολλοὺς δηλονότι, καὶ ταῦθ' ὅτ' ἀναγκαῖον ἦν
93 αὐτοῖς ἄνδρας ἀγαθοὺς ὑπὲρ τῶν πατρίδων γίγνεσθαι. τί 391 M.
οὖν μόνον Λακεδαιμόνιοι τοῦτ' ἔσχον τὸ ὄνομα καὶ τῆς δόξης
ἀπολαύουσιν ἔτι καὶ νῦν; ὅτι κοινῇ ἐκτήσαντο τὴν φιλοτι-
μίαν. τοὺς δὲ Ἀθηναίους τὰ περὶ τοὺς λόγους μᾶλλον ἐπι-
τηδεύοντας καὶ ποίησιν καὶ χοροὺς ἐπὶ τούτοις αὖ τοῦτ'
ἐποίησε θαυμάζεσθαι διὰ τὴν αὐτὴν αἰτίαν. σκοπεῖτε δὲ,
μὴ ὑμεῖς οὐχ ὁμοίας μεταλάβητε δόξης τοῖς Ἀθηναίοις καὶ 699 R.
Λακεδαιμονίοις, ἀλλὰ μᾶλλον ἑτέροις τισίν· οὐ βούλομαι γὰρ
ὀνομάσαι. ὅπερ γὰρ ἤδη πολλάκις εἶπον, αἰσχίω τὰ αἰσχρὰ

6. εἴποι τις ἂν πανταχοῦ M (unde Geelius εὕροι τις ἂν πανταχοῦ), εἴποι τις ἄν. καὶ γὰρ πανταχοῦ reliqui, quibus servatis proximum πάντα in πάντη vel πανταχοῦ mutabat Selden., Reiskius sic locum constituebat: πανταχοῦ ἁμαρτήματα εὕροι τις ἂν (vel πάντα ἁμαρτημάτων μεστὰ εὕροι τις ἂν)· καὶ γὰρ πανταχοῦ καὶ cett., Iacobsius ita: καθόλου γὰρ πάντῃ ἁμαρτήματα εὕροι τις ἄν. καὶ γὰρ πανταχοῦ cett. ‖ 7. οὐδέν. sic dedi. οὐδὲ reliq. ‖ 9. καὶ βλέπηται κοινὸν, τότε ἐπίσημον καὶ μέγα καὶ δημοσίᾳ γίγνεται (sic M, γίνεται reliq.). Reiskius haec ita transponit: καὶ δημοσίᾳ γίγνηται καὶ βλέπηται κοινὸν, τότε ἐπίσημον καὶ μέγα (vel βλέπηται κοινὸν, τότε ἐπίσημον καὶ μέγα καὶ δημοσία νόσος γίγνεται), Geelius sic: καὶ δημοσίᾳ γίγνηται καὶ βλάπτῃ τὸ κοινὸν, τότε ἐπίσημον καὶ μέγα (idem verba καὶ δημοσίᾳ γίγνηται deleri posse existimat). — 92, 3. παρείληφε κἀκείνων ἐστὶ τὸ ὄνειδος. malim παρείληφε κοινὸν ἐπὶ τούτῳ (vel εἰς τοῦτο) ὄνειδος. ‖ 5. οἴεσθε. οἴεσθαι M. — 93, 2. μόνον. μόνοι Reisk. ‖ ἔσχον. ἔχον M. ‖ 3. ὅτι κοινῇ Casaub. r, ὅτι καὶ ὧν BM. vm. ‖ 4. τοὺς δὲ Ἀθηναίους. τοῖς δὲ Ἀθηναίοις M. ‖ ἐπιτηδεύοντας. ἐπιτηδεύοντα M, ἐπιτηδεύματα Geel. ‖ 5. ἐπὶ τούτοις BM, ἐπὶ τούτῳ Casaub. r, idem vel ἐν τοῦτο Selden., ἐπὶ τοῦτο vm. ‖ αὖ τοῦτ'. sic dedi. αὐτοὺς reliq. ‖ αἰτίαν. sic distinxi. vulgo post θαυμάζεσθαι interpungebatur. ‖ 7. ὑμεῖς BMA, ἡμεῖς reliq. ‖ ὁμοίας BM. Reisk., ὁμοίως reliq.

94 καὶ καταγέλαστα μᾶλλον, ὅταν ᾖ περὶ τὰς πόλεις. ὥσπερ ἐν ταῖς κωμῳδίαις καὶ διασκευαῖς Καρίωνα μὲν εἰσάγοντες μεθύοντα καὶ Δᾶον οὐ σφόδρα κινοῦσι γέλωτα· τὸν δὲ Ἡρακλέα τοιοῦτον ὁρῶσι γελοῖον δοκεῖ, παραφερόμενον, καὶ καθάπερ εἰώθασιν ἐν κροκωτῷ. παραπλησίως καὶ δῆμος οὕτω μέγας μινυρίζων διὰ βίου καὶ πάλιν ἡνιοχῶν χωρὶς ἵππων αἰσχρὸν γίγνεται καὶ καταγέλαστον. αὐτὸ γὰρ τοῦτο Εὐριπίδης τὸν Ἡρακλέα φησὶ παθεῖν μαινόμενον·

> ἐκ τοῦδε βαίνων ἅρματ' οὐκ ἔχων ἔχειν
> ἔφασκε, δίφρου δ' εἰσέβαινεν ἄντυγας,
> κἄθεινε κέντρον δῆθεν ὡς ἔχων χερί.

95 μὴ οὖν καὶ ὑμεῖς κατὰ ζῆλον τὸν ἐπ' Ἀλεξάνδρῳ. καὶ γὰρ 390 R.
αὐτὸς ἔλεγε Διὸς υἱὸς εἶναι. μᾶλλον δ' ἴσως οὐχ Ἡρακλεῖ προσέοικεν ὑμῶν ὁ δῆμος, ἀλλὰ Κενταύρῳ τινὶ ἢ Κύκλωπι πεπωκότι καὶ ἐρῶντι, τὸ μὲν σῶμα ἰσχυρῷ καὶ μεγάλῳ, τὴν δὲ διάνοιαν ἀμαθεῖ. πρὸς τοῦ Διὸς οὐχ ὁρᾶτε, ὅσην ὁ αὐτοκράτωρ ὑμῶν πεποίηται τῆς πόλεως ἐπιμέλειαν; οὐκοῦν χρὴ καὶ ὑμᾶς ἀντιφιλοτιμεῖσθαι καὶ τὴν πατρίδα κρείττω ποιεῖν· μὰ Δί' οὐ κρήναις οὐδὲ προπυλαίοις· εἰς ταῦτα μὲν γὰρ οὐ δύνασθε ὑμεῖς ἀναλίσκειν οὐδ' ἂν ὑπερβάλοισθέ ποτε οἶμαι τὴν ἐκείνου μεγαλοψυχίαν· ἀλλ' εὐταξίᾳ, κόσμῳ, τῷ δεικνύειν 392 M.
ὑμᾶς αὐτοὺς σώφρονας καὶ βεβαίους. οὕτω γὰρ ἂν οὔτ' ἐπὶ τοῖς γεγονόσι μετανοήσει καὶ πλείονα ὑμᾶς ἀγαθὰ ἐργάσεται. καὶ ἴσως ἂν αὐτῷ καὶ τῆς ἐνθάδε ἀφίξεως παράσχοιτε
96 πόθον. οὐ γὰρ οὕτω τὸ κάλλος τῶν οἰκοδομημάτων προσάγειν αὐτὸν δύναται· πάντα γὰρ κρείττω καὶ πολυτελέστερα ἔχει τῶν ὁποιδήποτε· ἀλλ' ὅταν ἀκούσῃ τοὺς ὑποδεξομένους

94, 1. ἐν. οὖν ἐν Geel. ‖ 5. κροκωτῷ. κροτῷ M. ‖ καὶ δῆμος. καὶ om. M. ‖ οὕτω Reisk., οὕτως reliq. ‖ 6. μέγας Selden., μέγα reliq. ‖ 9. ἐκ τοῦδε Eurip. Herc. f. 947. r, αὐτοῦ δὲ reliq. ‖ ἅρματ'. ἅρματα M. ‖ ἔχων. ἔχω m. ‖ 10. δ'. δὲ M. ‖ 11. κἄθεινε Eurip. l. l, κἔτεινε m, καὶ ἔτεινε reliq. — 95, 1. ὑμεῖς Casaub., ὑμᾶς reliqui. Reiskius quaedam excidisse suspicabatur. ‖ τὸν ἐπ' Ἀλεξάνδρῳ BMA, τὸν Ἀλεξάνδρου reliqui. locum sic scribit Geelius: κατὰ τὸν Ἀλεξάνδρου ζῆλον. ‖ 2. αὐτὸς. αὐτὸς αὐτὸν (et υἱὸν) Casaub. ‖ 4. πεπωκότι r ex Interpr., πεπτωκότι reliq. ‖ 8. εἰς ταῦτα Casaub. r, εἰς om. reliq. ‖ 9. δύνασθε. δύνασθαι M. ‖ ὑπερβάλοισθε M, ὑπερβάλλοισθε reliq. ‖ 11. ὑμᾶς αὐτοὺς BM, αὐτοὺς om. reliq. ‖ γὰρ ἄν. malim γὰρ οὖν. ‖ 12. μετανοήσει. μετανοήσειε Pflugk. — 96, 1. οὕτω M (sed ω in rasura), οὕτως reliq. ‖ προσάγειν. προσάγεσθαι Reisk., malim προάγειν. ‖ 2. γὰρ om. M.

αὐτὸν εὐνοίας καὶ πίστεως ἀξίους καὶ τῶν πεμπομένων ἕκα-
στος καὶ διοικούντων ὑμᾶς προτιμήσῃ. μὴ γὰρ οἴεσθε ὑμᾶς 701 R.
μὲν πυνθάνεσθαι περὶ τῶν καταπλεόντων, ὁποῖοί τινες τυγ-
χάνουσιν ὄντες καὶ τοιαύτην ἔχειν γνώμην εὐθὺς πρὸς αὐτούς,
οἵας ἂν μετάσχητε τῆς φήμης, ἐκείνους δὲ περὶ ὑμῶν μὴ πο-
λυπραγμονεῖν, ὁποῖος ὁ τῶν Ἀλεξανδρέων δῆμος. οὐκοῦν ἂν
ἀκούσωσιν, ὅτι φρόνιμος, ἀλλ' οὐχ οἷα τὰ νῦν λεγόμενα, ὡς
ἐπτοημένος, ὡς εὐχερής, τὰ μικρὰ θαυμάζων, ἥττων τοῦ τυ-
χόντος, πραγμάτων ἐραστής, ἡνιόχων καὶ κιθαρῳδῶν, οὐκ
97 ἄδηλον, ὅπως ἕξουσιν. Θεόφιλόν φασι, παρ' ὑμῖν γενόμενον
ἄνδρα σοφὸν, σιωπᾶν πρὸς ὑμᾶς καὶ μηδὲν ἐθέλειν δια-
λέγεσθαι. καίτοι τίνα γνώμην νομίζετε αὐτὸν ἔχειν; πό-
τερον ὡς σοφοὺς ὑμᾶς καὶ μὴ δεομένους θεραπείας; ἢ
μᾶλλον ὡς ἀνιάτων ἀπεγνωκέναι; παραπλήσιον γάρ, ὥσπερ
εἴ τις τῶν ἐμπόρων πολλὰ καὶ τίμια ἔχων καταπλεύσειεν
εἰς πόλιν, ἔπειθ' ὑπ' ἀνέμων τινῶν ἢ τύχης ἄλλης κρατού-
μενος καὶ διατρίβων ἐκεῖ χρόνον συχνὸν μήτε προθείη τῶν
ὠνίων μηδὲν μήτε δείξειε μηδέποτε· δῆλον γάρ, ὡς ἐσχά-
την τινὰ αὐτῶν πενίαν κατεγνωκὼς ἢ ἀπορίαν οὐκ ἂν θέ-
λοι μάτην ἐνοχλεῖσθαι, σαφῶς εἰδώς, ὅτι οὔτ' ἂν ὠνήσαιτο
98 τῶν ἀνθρώπων τούτων οὐθεὶς οὔτ' ἂν ἴσως προσέλθοι. καὶ 702 R.
Θεόφιλος τοίνυν πολλὰ ἔχων καὶ μεγάλα ἔνδον ὤνια παρ'
αὐτῷ ταῦτα συνειδὼς ὑμῖν τὴν ἐσχάτην ἀπορίαν, οὐ χρημά-
των, ἀλλὰ νοῦ καὶ συνέσεως. τοιγαροῦν τέθνηκε κατασιωπή- 393 M.
σας ὑμῶν τὴν πόλιν· [τουτέστι καταδικάσας αὐτήν·] καὶ
ὑμεῖς τοῦ δεῖνος μὲν πολλάκις ἀκηκόατε καὶ διαμέμνησθε τῶν
σκωμμάτων αὐτοῦ καὶ τῶν τοῦ δεῖνος ᾀσμάτων, Θεοφίλου δὲ

3. προτιμήσῃ. sic dedi. προτιμήσει reliq. ‖ 8. οἵας. sic dedi. οἷς M, ἧς reliq. ‖ μετάσχητε BM. Pflugk., μετάσχοιτε reliq. ‖ 9. ὁ om. M. ‖ 10. ὅτι φρόνιμος, ἀλλ' οὐχ οἷα. οὐχ ὅτι φρόνιμος, ἀλλ' οἷα Geel. ‖ 11. ἥττων τοῦ τυχόντος Reisk., ἢ τῶν τοῦ τυχόντος reliq. ‖ 12. πραγμάτων ἐραστής, ἡνιόχων. malim cum Geelio πράγματος, ἐραστὴς ἡνιόχων. ‖ καὶ om. B. — 97, 3. πότερον. πρότερον M. ‖ 6. ἔχων. ἐχόντων M. ‖ 8. προθείη. προσθείη m. ‖ 10. ἀπορίαν. ἀπειρίαν BM. ‖ 12. προσέλθοι Hemsterh. ad Luc. 1, 217. ed. Bip., προέλθοι reliq. — 98, 2. τοίνυν in M a corr. add. ‖ ὤνια. ὤνεια BM. ‖ 3. αὐτῷ. αὑτῷ M. ante hoc v. excidisse κατεῖχε opinatur Reisk., τηρεῖ αὐτὰ pro ταῦτα Selden. ‖ ἀπορίαν. ἀπειρίαν BA. ‖ 4. συνέσεως BM (mrg. συστάσεως), συστάσεως reliq. ‖ κατασιωπήσας. καταδιαιτήσας Pflugkius. frustra. ‖ 5. [τουτέστι καταδικάσας αὐτήν] delet Reiskius, servat Geelius. ‖ 7. σκωμμάτων αὐτοῦ καὶ τῶν τοῦ δεῖνος ᾀσμάτων BM, σκωμμάτων reliq.

Digitized by Google

οὐκ οἶδα εἴ ποτε ἠκούσατε· ὥσπερ ἔφη τις τοὺς ἐν τῇ Ἀττικῇ
κανθάρους τοῦ καθαρωτάτου μέλιτος ὄντος τοῦ μὲν μηδέποτε
99 γεύσασθαι, μηδ' ἂν ἐκχέηται, τῆς δὲ ἑτέρας τροφῆς. ἀλλ'
ἐστὲ ἱλαροὶ καὶ σκῶψαι πάντων δεινότατοι, οὐ δήμου τὸ ἐπι-
τήδευμα· πόθεν; οὐδὲ πόλεως, ἀλλὰ Θερσίτου τινός. αὐτὸν
γοῦν ἐκεῖνον εἴρηκεν Ὅμηρος ἐν τοῖς πᾶσιν Ἕλλησιν ἀφικέ-
σθαι γελωτοποιόν·

ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοίϊον Ἀργείοισιν
ἔμμεναι.

ἀλλ' οὐ τὸ γελοῖον ἀγαθόν ἐστιν οὐδὲ τίμιον, ἀλλὰ τὸ χαί-
ρειν· ἀπορίᾳ δὲ καὶ ἀγνοίᾳ χαρᾶς ἄνθρωποι διώκουσι γέλωτα.
τὴν γοῦν βοτάνην ἀκηκόατε τὴν σαρδόνιον καλουμένην, ἣ
100 γέλωτα μὲν ποιεῖ, χαλεπὸν δὲ τοῦτον καὶ ἐπ' ὀλέθρῳ. μὴ οὖν
σφόδρα οὕτω περιέχεσθε τούτου μηδὲ ἀμούσους καὶ φορτικὰς
καὶ ἀμαθεῖς ποιεῖτε τὰς Χάριτας, ἀλλὰ μᾶλλον Εὐριπίδην
μιμεῖσθε οὕτω λέγοντα·

μὴ παυσαίμην τὰς Χάριτας Μούσαις
ἀναμιγνύς, ἁδίσταν συζυγίαν·

ἵνα μὴ τὸ Μουσεῖον ὑμῖν ἄλλως εἶναι δοκῇ τόπος ἐν τῇ πόλει,
καθάπερ οἶμαι καὶ ἄλλοι τόποι μάτην προσαγορεύονται τὸ
101 πρᾶγμα μὴ ἔχοντες μετὰ τοῦ ὀνόματος. ἀλλὰ γὰρ δέδοικα,
μὴ κἀμοὶ συμβέβηκεν, ὅ φασιν Αἰγυπτίων τινὶ τῶν σφόδρα
ἀρχαίων μουσικῷ. ἐκείνῳ γὰρ τὸ δαιμόνιόν ποτε προειπεῖν
καθ' ὕπνον, ὡς εἰς ὄνου ὦτα ᾄσεται. καὶ δὴ τὸν μὲν ὄντα
χρόνον οὐ προσεῖχεν οὐδὲ ἐφρόντιζε τοῦ ὀνείρατος ὡς οὐδενὸς

10. ἐκχέηται. ἐκχέητε M. — 99, 2. οὐ δήμου τὸ ἐπιτήδευμα M. Reisk., ὃ οὐ δήμου τὸ ἐπιτήδευμα reliqui, unde Casaub. ὃ οὐ δήμου ἐπιτήδευμα. ‖ 4. γοῦν τοῦν B. ‖ 5. γελωτοποιόν. γελοτοποιὸν M. ‖ 6. ἀλλ' ὅ τι οἱ εἴσαιτο. ἄλλο τι οἴεσθαι τὸ M, ἀλλ' ὅ τι οἱ εἴσετο B. v, ἀλλ' ὅ τι οἰήσαιτο m, ἀλλ' delet Geelius. cf. Odyss. 2, 215. ‖ 8. ἀλλ' οὐ. ἀλλ' in M a corr. add. ‖ 9. ἀπορίᾳ. ἀτοπίᾳ Selden. ‖ χαρᾶς Pflugk., καὶ χαρᾷ reliq., τῆς χαρᾶς r. ‖ διώκουσι r, διοικοῦσι reliq. ‖ 10. σαρδόνιον. σαρδάνιαν (superscr. σαρδάνιον) M. — 100, 2. οὕτω. οὕτως M. ‖ 3. Εὐριπίδην. εὐρειπίδην M. hi versus paullo aliter scripti leguntur Herc. fur. 673. ‖ 4. μιμεῖσθε. μιμεῖσθαι M. ‖ 5. μὴ παυσαίμην. οὐ παύσομαι Eur. l. l. ‖ 6. ἀναμιγνύς. συγκαταμιγνὺς Eur. l. l. ‖ 7. Μουσεῖον. μούσιον M. ‖ δοκῇ BM. Selden. r, δοκεῖ vm. ‖ τόπος ἐν τῇ πόλει delebat Hemsterh. ‖ 8. τόποι μάτην BMA. Casaub. r, τὸ ποιμάτην vm. ‖ 9. μετὰ. τὸ M — 101, 1. ἀλλὰ γὰρ δέδοικα om. M. ‖ 3. μουσικῷ BM, μουσικῶν reliq. ‖ τὸ δαιμόνιόν ποτε B, τὸ δαιμόνιον τότε M, ποτε τὸ δαιμόνιον reliq. ‖ 4. μὲν ὄντα. sic dedi. μὲν ἄλλον Reisk., μέλλοντα reliq. ‖ 5. ἐφρόντιζε BM, ἐφρόντισε reliq.

ὄντος. ἐπεὶ δὲ ὁ τύραννος τῶν Σύρων ἧκεν εἰς Μέμφιν, ἐκπληττομένων αὐτὸν τῶν Αἰγυπτίων, ἐκάλεσεν. ἐπεδείκνυτο οὖν πάσῃ προθυμίᾳ καὶ τἀκριβεστέρᾳ τῆς τέχνης· ὁ δὲ· οὐ 391 M. γὰρ ἦν οἱ σύνεσις μουσικῆς· ἐκέλευε παύσασθαι αὐτὸν ἀτιμάσας. ὁ δὲ ἀναμνησθεὶς ἐκείνου τοῦ ὀνείρατος· τοῦτ' ἦν ἄρα, ἔφη, τὸ εἰς ὄνου ὦτα ᾄδειν. ὁ δὲ τύραννος ἀκούσας τῶν ἑρμηνέων οἷα ἔλεγεν ἔδει καὶ ἐμαστίγου τὸν ἄνδρα, καὶ τοῦτο πολέμου λέγουσιν αἴτιον γενέσθαι.

ΛΟΓΟΣ λγ

ΤΑΡΣΙΚΟΣ ΠΡΩΤΟΣ.

1 Ἐγὼ θαυμάζω, τί πότ' ἐστι τὸ ὑμέτερον; καὶ τί προσ- I R II. δοκῶντες ἢ βουλόμενοι τοὺς τοιούτους ἀνθρώπους διαλέγεσθαι ὑμῖν ζητεῖτε; πότερον εὐφώνους οἴεσθε εἶναι καὶ φθέγγεσθαι ἥδιον τῶν ἄλλων, ἔπειτα ὥσπερ ὀρνέων ποθεῖτε ἀκούειν μελῳδούντων ὑμῖν, ἢ δύναμιν ἄλλην ἔχειν ἔν τε ὀνόμασι δριμυτέρας τινὸς πειθοῦς καὶ τῷ ὄντι δεινῆς, ἣν καλεῖτε ῥητορικήν, ἔν τε ἀγοραῖς καὶ περὶ τὸ βῆμα δυναστεύουσαν; ἤ τινα ἔπαινον καθ' αὐτῶν ἀκούσεσθαι οἰόμενοι καὶ δημόσιον ὕμνον τῆς πόλεως, περί τε Περσέως καὶ Ἡρακλέους καὶ τοῦ Ἀπόλλωνος τῆς τριαίνης καὶ περὶ χρησμῶν τῶν γενομένων, καὶ ὡς

6. δὲ ὁ B, δύο M, δὲ reliq. ‖ 7. αὐτὸν M. mrg. mr, αὐτῶν B. vm. ‖ 8. τἀκριβεστέρᾳ. malim τἀκριβεστάτῃ. ‖ 9. οἱ σύνεσις M. r, ἡ σύνεσις B. vm. ‖ ἀτιμάσας. ἀτιμώσας M. ‖ 10. τοῦτ' ἦν ἄρα M, τουτὶ ἄρα ἦν r, τουτὶ ἄρα reliq. ‖ 11. ᾄδειν. ᾄδειν ἦν Reisk. ‖ 12. καὶ τοῦτο πολέμου Reisk., καὶ τοῦ πολέμου reliq., καὶ τοῦτο λιμοῦ Iacobsius.

Orat. XXXIII. Collati sunt BMU passim D. (cum ed. Morell.). A. — 1, 1. πότ'. ποτέ B. ‖ ὑμέτερον. ἡμέτερον A. ‖ 3. οἴεσθε. οἴεσθαι M. ‖ 6. ῥητορικήν. ῥιτορικὴν M. ‖ 7. ἔν τε ἀγοραῖς BMUDA, ἐν ἀγοραῖς τε reliq. ‖ βῆμα. κῆμα M. ‖ 8. καθ' αὐτῶν BMUDA, ὑπ' αὐτῶν reliq. ‖ 10. τῆς τριαίνης. τῆς τε τριαίνης Vales., καὶ τῆς τριαίνης Reisk., τῆς θεατρικῆς Selden., denique Casaubonus Ποσειδῶνος malebat pro Ἀπόλλωνος, idem Ἀπόλλωνος τῆς τ' Ἀθηνᾶς coniecit. at vera vul-

ἐστε Ἕλληνες καὶ Ἀργεῖοι καὶ ἔτι βελτίους, καὶ ἀρχηγοὺς 2 R II
2 ἔχετε ἥρωας καὶ ἡμιθέους, μᾶλλον δὲ Τιτᾶνας; ἔτι δέ, οἶμαι,
περί τε τῆς χώρας καὶ τῶν ὀρῶν τῶν κατ' αὐτὴν καὶ τοῦδε
τοῦ Κύδνου, ὡς δεξιώτατος ἁπάντων ποταμῶν καὶ κάλλιστος,
οἵ τε ἀπ' αὐτοῦ πίνοντες ἀφνειοὶ καὶ μακάριοι καθ' Ὅμηρον;
ταῦτα γάρ ἐστι μὲν ἀληθῆ καὶ συνεχῶς αὐτὰ ἀκούετε τῶν
τε ποιητῶν ἐν μέτροις καὶ ἄλλων ἀνδρῶν αὐτὸ τοῦτο ἔργον
πεποιημένων, ἐγκωμιάζειν, δεῖται δὲ μεγάλης τινὸς παρα-
3 σκευῆς καὶ δυνάμεως. τί οὖν ἡμᾶς ἐλπίζετε ἐρεῖν; ἢ τί μά-
λιστα ἀκοῦσαι σπεύδετε παρὰ ἀνδρῶν οὐκ εὐτραπέλων οὐδὲ
πρὸς χάριν ὁμιλεῖν εἰδότων οὐδὲ αἱμύλων οὐδὲ ὑπὸ τρυφῆς
ἰόντων ἐπὶ τοὺς λόγους; ὅτι μὲν γὰρ οὐ χρήματα ἐλπίζοντες
παρ' ἡμῶν οὐδὲ ἄλλο τι δῶρον, καὶ πάνυ ἐπίσταμαι. φέρε 333 M
4 οὖν ἔγωγε εἴπω τὴν ἐμαυτοῦ ὑπόνοιαν. δοκεῖτέ μοι πολλάκις
ἀκηκοέναι θείων ἀνθρώπων, οἳ πάντα εἰδέναι φασὶ καὶ περὶ
πάντων ἐρεῖν, ᾗ διατέτακται καὶ τίνα ἔχει φύσιν, περί τε ἀν-
θρώπων καὶ δαιμονίων καὶ περὶ θεῶν, ἔτι δὲ γῆς καὶ οὐρανοῦ
καὶ θαλάττης καὶ περὶ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων
ἄστρων καὶ περὶ τοῦ σύμπαντος κόσμου καὶ περὶ φθορᾶς καὶ
γενέσεως καὶ μυρίων ἄλλων. ἔπειτ', οἶμαι, προσελθόντες
ὑμῶν πυνθάνονται, τί βούλεσθε αὐτοὺς εἰπεῖν καὶ περὶ τίνος
κατὰ τὸν Πίνδαρον,

Ἰσμηνὸν ἢ χρυσηλάκατον Μελίαν ἢ Κάδμον·

ὅ τι δ' ἂν ἀξιώσητε ὑμεῖς, ἔνθεν ἑλὼν ἄθρουν καὶ πολὺν
ἀφήσει τὸν λόγον, ὥσπερ τι ῥεῦμα ἄφθονον ἐν αὑτῷ κατα-
5 κεκλειμένον. ἔπειθ' ὑμεῖς ἀκούοντες τὸ μὲν ἐξετάζειν καθ'
ἕκαστον ἢ ἀπιστεῖν ἀνδρὶ σοφῷ φαῦλον ἡγεῖσθε καὶ ἄκαιρον.
ἄλλως δὲ τῇ ῥώμῃ καὶ τῇ ταχυτῆτι τῶν λόγων ἐπαίρεσθε καὶ 3 R II

gata est. ‖ γενομένων. γινομένων A. ‖ 12. ἔχετε. εὔχετε B. ‖ Τιτᾶνας. τιτάνας A. — 2, 2. ὀρῶν. ὁρῶν M. ‖ 3. Κύδνου. αὔδνου A. ‖ ὡς BM. Selden., ὃς reliq. ‖ ἁπάντων. ἁπάντων τῶν Geel. ‖ 6. ἐν μέτροις M, ἐν om. reliq. — 3, 1. ἡμᾶς. ὑμᾶς U. ‖ 5. παρ'. παρὰ M. ‖ ἡμῶν. ὑμῶν BMU. ‖ ἄλλο τι. ἀλλ' ὅτι A. — 4, 3. ᾗ. ἡ B. ‖ 4. δαιμονίων. malim δαιμόνων. ‖ 6. περὶ φθορᾶς. περιφορᾶς M. ‖ 7. προσελθόντες. προελθόντες vel παρελθόντες Iacobs. Add. p. 209. ‖ 8. βούλεσθε. βούλεσθαι M. ‖ 10. χρυσηλάκατον. χρυσήλακτον M. ‖ 11. ὅ τι Iacobs. Add. l. l., ὅτι reliq. ‖ ἑλὼν Reisk., ἐλθὼν reliqui. conf. Hom. Od. 8, 500. ‖ ἄθρουν. ἀθροῦν B. ‖ 12. κατακεκλειμένον BUD, κατακεκλιμένον M, κατακεκλεισμένον reliq. — 5, 1. ἔπειθ' ὑμεῖς. ἐπιθυμεῖς M. ‖ 2. ἡγεῖσθε. ἡγεῖσθαι M. ‖ ἄκαιρον BM. Lobeck. Paralip. T. I, p. 43, ἄκοιρον D, ἄκυρον reliq. ‖ 3. ῥώμῃ. ῥύμῃ Iacobs. Add.

πάνυ χαίρετε ἀπνευστὶ ξυνείροντος τοσοῦτον ὄχλον ῥημάτων,
καὶ πεπόνθατε ὅμοιον τοῖς ὁρῶσι τοὺς ἵππους τοὺς ἀπὸ ῥυ-
τῆρος θέοντας, οὐδὲν ὠφελούμενοι· θαυμάζετε δὲ ὅμως καὶ
μακάριόν φατε κτῆμα. καίτοι τοῖς ἵπποις ἰδεῖν ἔστιν οὐ τοὺς
δεσπότας χρωμένους πολλάκις, ἀλλὰ φαῦλον ἀνδράποδον.
6 ἡ μὲν οὖν τοιάδε ἀκρόασις θεωρία τις οὖσα καὶ πομπὴ παρα-
πλήσιον ἔχει τι ταῖς ἐπιδείξεσι τῶν καλουμένων ἰατρῶν, οἳ
προκαθίζοντες ἐν τῷ μέσῳ ξυμβολὰς ἄρθρων καὶ ὀστέων
συνθέσεις καὶ παραθέσεις καὶ τοιαῦθ' ἕτερα ἐπεξίασι, πόρους
καὶ πνεύματα καὶ διηθήσεις. οἱ δὲ πολλοὶ κεχήνασι καὶ κεκή-
ληνται τῶν παιδίων μᾶλλον. ὁ δ' ἀληθὴς ἰατρὸς οὐκ ἔστι
τοιοῦτος οὐδὲ οὕτω διαλέγεται τοῖς ὄντως δεομένοις· πόθεν;
ἀλλὰ προσέταξε, τί δεῖ ποιεῖν, καὶ φαγεῖν βουλόμενον ἢ πιεῖν
7 ἐκώλυσε καὶ λαβὼν ἔτεμεν ἀφεστηκός τι τοῦ σώματος. ὥσπερ
οὖν εἰ συνελθόντες οἱ κάμνοντες εἶτ' ἐπὶ τὸν ἰατρὸν ἐπεκώμα- 396 M.
ζον καὶ κωθωνίζεσθαι ἠξίουν, οὐκ ἂν αὐτοῖς κατ' ἐλπίδα τὸ
πρᾶγμα ἀπήντησεν, ἀλλ' ἴσως ἠγανάκτουν πρὸς τὴν ὑποδοχήν·
τοῦτό μοι πεπονθέναι δοκοῦσιν οἱ πολλοὶ ξυνιόντες ἐπὶ τὸν
τοιοῦτον καὶ λέγειν κελεύοντες, ἄγευστοι δηλονότι τῶν τῆς
ἀληθείας ὄντες λόγων, ἔπειθ' ἡδύ τι καὶ προσηνὲς ἀκούσε- 4 R 11
σθαι προσδοκῶντες. φέρε δὴ πρὸς τῶν θεῶν, ἆρα ἀνέξεσθε,
εἰ μὴ πάνυ τις τῇ παῤῥησίᾳ χρῷτο μηδὲ ἐπὶ πάντα ἔρχοιτο
8 τὰ προσόντα ὑμῖν, ἀλλ' ἓν εἴποι τι μόνον ἢ δεύτερον; σκο-
πεῖτε δή, μὴ ταὐτὸ πάσχητε Ἠλεῦσιν ἐκείνοις, οἳ τραγῳδόν
τινα ἐπιδημήσαντα ἠνώχλουν ἐπιδείξασθαι κελεύοντες· ὁ δὲ
ἐᾷν αὐτοὺς ἠξίου καὶ τὴν ἡσυχίαν ἄγειν. ὅσῳ γὰρ ἄν, ἔφη,
κρεῖττον ἀγωνίσωμαι, τοσούτῳ φανήσεσθε ὑμεῖς ἀτυχέστεροι.
τὸν οὖν φιλόσοφον κρεῖττόν ἐστι τοῖς πολλοῖς σιωπῶντα ἐᾷν.

p. 209. ‖ ἐπαίρεσθε. ἐπαίρεσθαι M. ‖ 4. ἀπνευστὶ. ἀπνευστεὶ M. ‖ ξυνείροντος Casaub. r, ξυνείροντες reliq. ‖ 7. μακάριόν φατε. μακάριον φατὲ A. ‖ καίτοι τοῖς Reisk., καὶ τοῖς reliq. — 6, 2. οἳ BA, οἱ reliq. ‖ 4. συνθέσεις. σύνθεσις M. ‖ 5. διηθήσεις. διηθέσεις BD. ‖ κεκήληνται. κέκληνται M. ‖ 7. οὕτω B, οὕτως reliq. ‖ ὄντως. οὕτω B. ‖ 8. προσέταξε. προσέταξεν MUD. ‖ βουλόμενον. βουλομένων vel βουλομένους Reisk. ‖ πιεῖν. ποιεῖν A. m. ‖ 9. ἐκώλυσε. ἐκώλυσεν MUD. ‖ ἔτεμεν. ἔστεμεν M (mrg. vulg.). — 7, 2. ἐπεκώμαζον. ἀπεκώμαζον B. ‖ 5. τοῦτο. malim ταὐτό. ‖ πεπονθέναι δοκοῦσιν. δοκοῦσι πεπονθέναι A. ‖ 8. θεῶν. θείων M (mrg. vulg.). ‖ ἀνέξεσθε. ἀνέξεσθαι M. ‖ 9. εἰ. sic dedi. ἢν reliq. ‖ τις τῇ παῤῥησίᾳ BM, τῇ om. reliq. ‖ μηδὲ. μὴ δὲ (ut ubique) A. ‖ 10. ἓν εἴποι. ἐνίποι M. — 8, 2. πάσχητε. sic dedi. πάσχοιτε reliq. ‖ 5. φανήσεσθε. φανήσεσθαι M. ‖ 6. οὖν. γοῦν B. ‖ σιωπῶντα.

9 σκοπεῖτε δὲ τὸ πρᾶγμα οἷόν ἐστιν. Ἀθηναῖοι γὰρ εἰωθότες
ἀκούειν κακῶς καὶ νὴ Δία ἐπ' αὐτὸ τοῦτο συνιόντες ἐπ' αὐτῷ, ὡς
λοιδορηθησόμενοι, καὶ προτεθεικότες ἀγῶνα καὶ νίκην τοῖς ἄμει-
νον αὐτὸ πράττουσιν, οὐκ αὐτοὶ τοῦτο εὑρόντες, ἀλλὰ τοῦ θεοῦ
συμβουλεύσαντος, Ἀριστοφάνους μὲν ἤκουον καὶ Κρατίνου καὶ
Πλάτωνος καὶ τούτους οὐδὲν κακὸν ἐποίησαν· ἐπὶ δὲ Σωκρά-
τους, ὃς ἄνευ σκηνῆς καὶ ἰκρίων ἐποίει τὸ τοῦ θεοῦ πρόσταγμα,
10 οὐ κορδακίζων οὐδὲ τερετίζων, οὐχ ὑπέμειναν. ἐκεῖνοι μὲν γὰρ
ὑφορώμενοι καὶ δεδιότες τὸν δῆμον ὡς δεσπότην ἐθώπευον, ἠρέ-
μα δάκνοντες καὶ μετὰ γέλωτος· ὥσπερ αἱ τίτθαι τοῖς παιδίοις,
ὅταν δέῃ τι τῶν ἀηδεστέρων πιεῖν αὐτά, προσφέρουσι μέλιτι
χρίσασαι τὴν κύλικα. τοιγαροῦν ἔβλαπτον οὐχ ἧττον ἤπερ
ὠφέλουν, ἀγερωχίας καὶ σκωμμάτων καὶ βωμολοχίας ἀναπιμ-
πλάντες τὴν πόλιν. ὁ δὲ φιλόσοφος ἤλεγχε καὶ ἐνουθέτει. 356 R
11 καὶ μὴν ὅσῳ τὸ λοιδορεῖν καὶ τὴν ἀβελτερίαν τὴν ἑκάστου
καὶ τὴν πονηρίαν φανερὰν ποιεῖν κρεῖττόν ἐστι τοῦ χαρίζε- 397 M
σθαι διὰ τῶν λόγων καὶ τοῖς ἐγκωμίοις θρύπτειν τοὺς ἀκού-
οντας, οὐχ ἥκιστα ἐκεῖθεν εἴσεσθε. δύο γὰρ ποιητῶν γεγο-
νότων ἐξ ἅπαντος τοῦ αἰῶνος, οἷς οὐδένα τῶν ἄλλων ξυμβα-
λεῖν ἄξιον, Ὁμήρου τε καὶ Ἀρχιλόχου, τούτων Ὅμηρος μὲν
σχεδὸν πάντα ἐνεκωμίασε, καὶ θηρία καὶ φυτὰ καὶ ὕδωρ
καὶ γῆν καὶ ὅπλα καὶ ἵππους· καὶ οὐδὲν ἔσθ' ὅτου μνησθεὶς
χωρὶς ἐπαίνου τε καὶ τιμῆς, ὡς ἂν εἴποι τις, παρῆλθεν. ὃν
γοῦν μόνον ἐξ ἁπάντων ἐβλασφήμησε Θερσίτην, καὶ τοῦτον
12 λιγὺν εἶναί φησιν ἀγορητήν. Ἀρχίλοχος δὲ ἐπὶ τὴν ἐναντίαν
ἧκε, τὸ ψέγειν, ὁρῶν οἶμαι τούτου μᾶλλον δεομένους τοὺς
ἀνθρώπους καὶ πρῶτον αὑτὸν ψέγειν. τοιγαροῦν μόνος καὶ
μετὰ τὴν τελευτὴν καὶ πρὶν ἢ γενέσθαι τῆς μεγίστης ἔτυχε
μαρτυρίας παρὰ τοῦ δαιμονίου. τὸν μέν γε ἀποκτείναντα

σιωπᾶν A. — 9, 2. ἐπ'. ἀπ' D. ‖ ἐπ' αὐτῷ. εἰς τὸ θέατρον BM. Koehler., ἐν ταὐτῷ Obs. p. 43, εἰς ταὐτὸ Geel., Reiskius transponit post προτεθεικότες, delet Iacobs. ‖ 3. προτεθεικότες. προτεθικότες M. ‖ 5. Κρατίνου. κρατείνου M. ‖ 6. ἐπὶ δὲ Σωκράτους, ὅς. ἐπεὶ δὲ Σωκράτης M. non deterius vulgato. — 10, 4. ἀηδιστέρων BMUA. Reisk., ἀεδεστέρων D, ἀηδεστάτων reliq. ‖ πιεῖν. ποιεῖν M. ‖ αὐτὰ Geel., αὗται reliq. ‖ μέλιτι. μέλι τι m. ‖ 5. κύλικα. κοίλικα M. — 11, 1. ἀβελτερίαν B, ἀβελτηρίαν reliq. ‖ 2. χαρίζεσθαι. χωρίζεσθαι A. ‖ 4. εἴσεσθε. ἔσεσθε BM, οἴσεσθε A. ‖ 5. ξυμβαλεῖν. ξυμβάλλειν M. ‖ 9. ὃν Reisk., ἓν M, ἓν reliq. ‖ 10. γοῦν. οὖν B. — 12, 1. δὲ ἐπὶ BM, δ' ἐπὶ reliq. ‖ 2. ἧκε, τὸ Selden. r, ἥκετο reliq. ‖ τούτου. τοῦτο M. ‖ δεομένους. δεομένου BD. ‖ 3. ψέγειν. ψέγει BMD. possit ψέγοντα.

αὐτὸν ὁ Ἀπόλλων ἐξελαύνων ἐκ τοῦ νεὼ Μουσῶν αὐτὸν ἀν-
εῖπε θεράποντα ἀνῃρηκέναι. καὶ τὸ δεύτερον, ὡς ἀπελογεῖτο
ἐν πολέμῳ λέγων ἀποκτεῖναι, πάλιν Μουσῶν θεράποντα ἔφη
τὸν Ἀρχίλοχον. τῷ πατρὶ δὲ αὐτοῦ χρωμένῳ πρὸ τῆς γενέ-
13 σεως ἀθάνατόν οἱ παῖδα γενήσεσθαι προεῖπεν. ὥσθ' ὁ λοι-
δορεῖν ἱκανὸς καὶ καθάπτεσθαι καὶ φανερὰ τῷ λόγῳ ποιεῖν
τὰ ἁμαρτήματα δῆλον ὅτι κρείττων ἐστὶ καὶ προκέκριται τῶν
ἐπαινούντων. εἰ δ' ἄρα ὑμεῖς ἐπαινούμενοι μᾶλλον ἥδεσθε,
ἐπ' ἄλλους ὑμῖν ἰτέον. ὅταν οὖν πρῶτον αὐτόν τινα ἴδητε
κολακεύοντα ἐν ἅπασιν οἷς ποιεῖ καὶ χαριζόμενον ἐν τροφαῖς, 6 R II.
ἐν ἐσθῆσι, καὶ περιιόντα ἀκόλαστον, τοῦτον οἴεσθε κολακεύ-
σειν καὶ ὑμᾶς καὶ παρὰ τούτου προσδοκᾶτε λόγον ἡδύν, ὃν
14 ὑμεῖς ἔπαινον ὀνομάζετε, τρυφῶντα δὴ παρὰ τρυφῶντος. ὅταν
δὲ αὐχμηρόν τινα καὶ συνεσταλμένον ἴδητε καὶ μόνον βαδί-
ζοντα, πρῶτον αὐτὸν ἐξετάζοντα καὶ λοιδοροῦντα, μὴ ζητεῖτε
παρὰ τοῦ τοιούτου μηδεμίαν θωπείαν μηδὲ ἀπάτην μηδὲ τὸν
δεξιὸν ἐκεῖνον καὶ προσηνῆ λόγον, ὃς δὴ μάλιστα διατρίβει M
περὶ δήμους καὶ σατράπας καὶ τυράννους.

οὔτοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα.

οἵδε μὲν γὰρ ὥσπερ ἐπίκωμοί τινες ἥκουσιν εἰς τὸν βίον αὐλού-
μενοι καὶ ᾀδόμενοι καὶ μεθύοντες εἰς ἑορτήν τινα καὶ πανή-
15 γυριν ἀσώτων εἰσβεβληκέναι νομίζοντες. ἀλλ' ὅστις ἰδὼν ὅσα
δεινὰ καὶ δυσχερῆ καὶ ὅτι μεστὰ πάντα πολεμίων καὶ ἐχθρῶν,
ὅπου τρυφὴ καὶ ἀπάτη δυναστεύουσιν,

6. ἀνεῖπε. ἀνεῖλε Wyttenb. ad Plut. de S. N. V. p. 81. ‖ 7. ἀπελογεῖτο. ἀπολογεῖτο M. ‖ 8. ἔφη. ἔφει D. — 13, 1. ὥσθ' ὁ λοιδορεῖν BUA. Casaub. r, ὥσθ' ὁ λοιδωρεῖν M, ὥσθ' ὅλος λοιδορεῖν vm. ‖ 3. δῆλον ὅτι. δηλονότι A. ‖ κρείττων ἐστί. κρεῖττόν ἐστι BU, κρείττων ἐστι A. ‖ 5. ἐπ' ἄλλους. ἐπ' ἄλλοις UA. ‖ οὖν om. M. ‖ αὐτόν. αὐτὸν MA. ‖ 7. ἐσθῆσι. ἐσθήση M. ‖ 8. ἡδὺν. ἡδὴν vm. — 14, 2. αὐχμηρόν. ἀχμηράν M. ‖ ἴδητε. εἴδητε M. ‖ 3. αὐτὸν. αὐτὸν MA. ‖ ζητεῖτε. ζητεῖται M. ‖ 4. μηδὲ τὸν. μὴν δὲ τὸν A. ‖ 5. ἐκεῖνον. ἐκείνου A. ‖ 7. οὔτοι τοιοίδ' Od. 15, 330, οὔτοι τοιοῦτοι r, οὗτοι τοιοῦτοι BMUA. vm. ‖ 8. εὖ εἱμένοι Hom. l. l., εὖ εἱμένοι B, εὐήμενοι M, εὐειμένοι reliq. ‖ ἠδέ. τῆδε M, ἡ δὲ m. ‖ 10. οἵδε. οἱ δὲ m. ‖ ἥκουσιν εἰς τὸν βίον αὐλούμενοι καὶ ᾀδόμενοι καὶ μεθύοντες εἰς BM, om. reliqui. at deesse quaedam sensit Reiskius. — 15, 1. ἀλλ' ὅστις. sic dedi; neque enim alius dicitur quam qui § 14 significatus est. ἄλλος δέ τις reliq. ‖ ὅσα. μυρία (vel θαυμαστὰ) ὅσα Reisk. ‖ 2. καὶ δυσχερῆ. καὶ δυσχερῆ καὶ ὅτι δυσχερῆ m.

αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, οἰκῆϊ ἐοικώς,
ἀνδρῶν θρυπτομένων κατέδυ πόλιν εὐρυάγυιαν·

ἐπ' οὐδενὶ κακῷ τῶν πέλας, ὥσπερ Ὀδυσσεὺς ἐπὶ κακῷ τῶν μνηστήρων ἦκε τοιοῦτος, ἀλλὰ τοὐναντίον ζητῶν, ἄν ἄρα τι δύνηται λαθὼν ἀγαθὸν ἐργάσασθαι· τί δὴ κινεῖτε τὸν τοιοῦτον ἢ τί προκαλεῖσθε δύσκολόν τινα καὶ ἄγριον ὑμῖν φανούμενον δημηγόρον; οὐ γὰρ ὑμῶν παρεσκεύασται τὰ ὦτα δέξασθαι τραχεῖς τε καὶ στερεοὺς λόγους· ἀλλ' ὥσπερ ἀσθενεῖς ὁπλαὶ κτηνῶν τῶν ἐν μαλακοῖς τε καὶ λείοις τραφέντων χωρίοις, ὁμοίως ὦτα τρυφερὰ ἐν κολακείᾳ τραφέντα καὶ λό-
16 γοις ψευδέσι. τί οὖν προθυμεῖσθε ἀκούειν, ὧν οὐκ ἀνέξεσθε; ἀλλὰ μὴ τοιοῦτον πεπόνθατε, οἷον Αἴσωπος ἔφη τοὺς ὀφθαλμοὺς παθεῖν, ἐπειδὴ ἑαυτοὺς μὲν ἐνόμιζον πλείστου εἶναι ἀξίους, τὸ στόμα δὲ ἑώρων ἀπολαῦον τῶν τε ἄλλων καὶ δὴ τοῦ μέλιτος ἡδίστου ὄντος. οὐκοῦν ἠγανάκτουν τε καὶ ἐμέμφοντο τῷ ἀνθρώπῳ. ἐπεὶ δὲ αὐτοῖς ἐνῆκε τοῦ μέλιτος, οἱ δὲ ἐδάκνοντο, τότε καὶ ἐδάκρυον καὶ δριμὺ καὶ ἀηδὲς αὐτὸ ἡγοῦντο. μὴ οὖν καὶ ὑμεῖς ἐπιζητεῖτε γεύσασθαι τῶν ἐκ φιλοσοφίας λόγων, ὥσπερ ὀφθαλμοὶ μέλιτος· ἔπειτα οἶμαι καὶ δακνόμενοι δυσχερανεῖτε καὶ φήσετε ἴσως οὐδαμῶς φιλο-
17 σοφίαν εἶναι τὸ τοιοῦτο, ἀλλὰ λοιδορίαν καὶ βλάβην. ἡγεῖσθε μὲν γάρ, ὦ ἄνδρες, εὐδαίμονας ἑαυτοὺς καὶ μακαρίους, ἐπειδὴ πόλιν τε μεγάλην οἰκεῖτε καὶ χώραν ἀγαθὴν νέμεσθε καὶ πλεῖστα δὴ καὶ ἀφθονώτατα παρ' αὐτοῖς ὁρᾶτε τὰ ἐπιτήδεια, καὶ ποταμὸς ὑμῖν οὗτος διὰ μέσης διαῤῥεῖ τῆς πόλεως. πρὸς τούτοις δὲ μητρόπολις ἡ **Ταρσὸς** τῶν κατὰ **Κιλικίαν**. ὁ δὲ

4. μιν. ἡμῖν M, μοι D. ‖ 5. σπεῖρα κάκ' BMA, σπεῖρα καὶ U. vm, σπεῖρα δὲ r. conf. Od. 4, 244. ‖ ὤμοισι. ὅμοισι U. ‖ οἰκῆϊ BDU, οἰκῆ M, οἰκείῳ reliq. ‖ 8. ἄρα MA. Pflugk., ἆρα reliq. ‖ τι. τί A. ‖ 9. τί δή. τί δεῖ B, τί δ' εἰ U. ‖ 10. προκαλεῖσθε BM (corr. προσκαλεῖσθε). U, προσκαλεῖσθε reliq.. ‖ 14. κολακείᾳ. κολακίᾳ U. — 16, 1. ἀνέξεσθε. ἠνέξασθε B, ἀνέξασθε M. ‖ 2. μὴ Reisk., μὴν reliq. ‖ 3. ἑαυτοὺς Casaub. r, αὑτοὺς Selden., τούτους reliq. ‖ 4. τὸ στόμα BMUA, τὸ om. reliq. ‖ ἀπολαῦον. ἀπολύων UA. ‖ 6. ἐπεὶ δὲ BMUA. Selden. r, ἐπειδὴ vm. ‖ ἐνῆκε τοῦ r. ἐνήκετο τοῦ BM. m, ἐνίκετο τοῦ UA, ἐνείκετο τοῦ v, ἐνῆκέ τι τοῦ Geel. ‖ μέλιτος. μέλιττος B. ‖ 7. ἐδάκνοντο, τότε. ita distinxit Geelius. δάκνοντο τότε M, ἐδάκνοντό τε Seldenus commate deceptus, quod vulgo verbo τότε postponebatur. ‖ 9. ἔπειτα. ἐπεῖτοι Geel. ‖ 10. φήσετε. φήσεται M. — 17, 2. ἑαυτούς. ἑαυτοῖ M. ‖ 3. νέμεσθε. νέμεσθαι M.

Ἀρχίλοχος, ὅν φημι τῷ Ἀπόλλωνι ἀρέσαι, περὶ στρατηγοῦ λέγων οὕτω φησίν·

οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον·
ἀλλά μοι, φησίν, εἴη ῥαιβὸς, ἀσφαλῶς βεβηκὼς, κἀπὶ κνήμαισιν δασύς.

18 μὴ οὖν αὐτὸν οἴεσθε στρατηγὸν μὲν μὴ ἀγαπᾶν, οἷον εἴρηκε, μηδ' ἐν σώματος μεγέθει καὶ κόμῃ τίθεσθαι τὸ τοῦ στρατηγοῦ ὄφελος, πόλιν δ' ἂν ἐπαινέσαι ποτὲ εἰς ταῦτα ὁρῶντα, ποταμοὺς καὶ βαλανεῖα καὶ κρήνας καὶ στοὰς καὶ πλῆθος οἰκιῶν καὶ μέγεθος· κόμῃ γὰρ ἀτεχνῶς καὶ βοστρύχοις ταῦτα ἔοικεν· ἀλλ' ἔμοιγε δοκεῖ μᾶλλον ἐν τούτῳ προκρῖναι σμικράν 9 R II.
19 τε καὶ ὀλίγην σωφρόνως οἰκουμένην κἂν ἐπὶ πέτρας. ἀλλὰ Ἀρχίλοχος μὲν οὕτως εἶπεν, Ὅμηρος δὲ πῶς; οὐχ ὁ μὲν Ὀδυσσεὺς νησιώτης ἦν οὐδὲ τῶν συμμέτρων νήσων· πόθεν; οὐδὲ τῶν ἐγκάρπων· ἀλλ' ἣ μόνον ἐπαινέσαι θέλων αἰγίβοτον εἴρηκεν· ἀλλ' ὅμως φησὶ τῇ τούτου βουλῇ τε καὶ γνώμῃ καὶ τὴν Τροίαν αἱρεθῆναι, τηλικαύτην πόλιν καὶ τοσοῦτον ἄρχουσαν,

ὅσσον Λέσβος ἄνω, μακάρων ἕδος, ἐντὸς ἐέργει,
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων, 400 M.

20 ἣν πάντας φησὶ μυθεῖσθαι πολύχρυσον, πολύχαλκον. μή τι οὖν ὤνησεν αὐτοὺς ἢ τοῦ πλούτου τὸ μέγεθος ἢ τῶν ὑπηκόων

8. οὔτω. οὕτως U. ‖ 9. οὐδὲ. οὐ D. ‖ διαπεπλιγμένον Hemsterh., διαπεπλεγμένον BMUDA. Reisk., διαπεπληγμένον vm. conf. Schneidewin. Delect. p. 184. et Bergk. Poët. Lyr. p. 478. ‖ 10. ὑπεξυρημένον. ὑπεξηερρημένον U, ὑπεξηρημένον A, ὑπερξηρημένον D. ‖ 11. κἀπὶ κνήμαισιν Geel., καὶ ἐπὶ κνήμαισι BUDA, καὶ ἐπὶ κνήμισιν M, καὶ ἐπινοήμασι vr, καὶ ἐπὶ νοήμασι m, unde κἀπινώμασιν Bergkius. virorum doctorum coniecturas vide apud Schneidewin. l. l., Geel. p. 309. et Bergk. P. L. p. 478. mihi v. ἀσφαλῶς βεβηκὼς interpretis esse videntur, ut haec poëtae manus fuerit: ἀλλά μοι ῥοικός (sive ῥαιβός) τις εἴη κἀπὶ κνήμαισιν δασύς (vel καὶ περὶ κνήμας δασύς). Galeni scriptura ποσσὶ, καρδίας πλέως nixi ποσσὶ καὶ τριχὸς πλέως Geel., καὶ τριχώματος πλέως Kays. Act. Monac. 1840. Nro. 142. p. 101. — 18, 1. εἴρηκε. εἴρηκεν MU. ‖ 2. σώματος M, σώματι καὶ reliq. ‖ 4. ποταμοὺς M. Reisk., ἢ ποταμοὺς reliq., ἤδη ποταμοὺς Iacobs. ‖ 6. ἐν τούτῳ. ἂν τούτων Geel. ‖ 7. σωφρόνως. σωφρόνως δ' Reisk. ‖ κἂν. καὶ B. — 19, 3. συμμέτρων. ἐπισημοτέρων Selden. ‖ 4. ἀλλ' ἣ BMA. vm, ἄλλη U, ἀλλ' ἣν Casaub. r. ‖ 5. τε καὶ BMUA. Reisk., γε καὶ reliq. ‖ 6. τοσοῦτον BMU, τοσούτων reliqui, quod confirmare videtur Hom. Il. 24, 545. ‖ 7. ὅσσον Hom. l. l., ὅσον BMU, ὅσων A, ὅσσων reliq. ‖ 8. καθύπερθε. καθύπερθεν M a corr. (pr. man. vulg.). UD.

ἢ τῶν συμμάχων τὸ πλῆθος ἢ τῶν πεδίων ἢ τῆς Ἴδης τὸ κάλλος ἢ τοῦ Σιμόεντος ἢ τοῦ Ξάνθου τοῦ δινήεντος,

ὃν ἀθάνατος τέκετο Ζεύς.

καίτοι φησὶ καὶ πηγάς τινας πάνυ καλὰς ἐν τῷ προαστείῳ, τὴν μὲν ἀνειμένην καὶ σφόδρα προσηνοῦς ὕδατος, ὥστε καὶ καπνὸν ἀπ' αὐτῆς ἐγείρεσθαι, τὴν δ' ἐοικυῖαν τῇ ψυχρότητι κρυστάλλῳ τοῦ θέρους, ὥστε καὶ θέρους καὶ χειμῶνος μὴ
21 δυσχερῶς πλύνειν τὰς καλὰς Τρώων θυγατέρας. οὐ μόνον δὲ πλούτῳ καὶ χώρας ἀρετῇ καὶ πλήθει διέφερον, ἀλλὰ καὶ ἄνθρωποι κάλλιστοι παρ' αὐτοῖς ἐγίγνοντο, καὶ ἄνδρες καὶ γυναῖκες, καὶ ἵπποι τάχιστοι, καὶ θεοφιλεῖς ἐδόκουν εἶναι, καὶ τείχει καρτερωτάτῳ περιπεφραγμένοι ἦσαν. τὸ μέν γε τεῖχος αὐτοῖς Ποσειδῶνος ἔργον ἦν καὶ Ἀπόλλωνος. ὁ δὲ Ζεὺς τῶν ὑπὸ τὸν ἥλιον πόλεων ἐκείνην ἔφη μάλιστα ἀγαπῆσαι. τάχος δ' ἵππων, ὥστε ἐπ' ἄκρων θεῖν τῶν σταχύων. ἐπὶ κάλλει δὲ Γανυμήδην ὁ Ζεὺς ἐποιήσατο οἰνοχόον. Ἀλεξάνδρῳ δὲ ἐκ τῆς Ἑλλάδος ἐπηκολούθησεν ἡ ἀρίστη τῶν ἐκεῖθεν γυναικῶν. τὴν δὲ Κασσάνδραν Ὅμηρος οὔ φησι λείπεσθαι
22 τῆς Ἀφροδίτης τὸ εἶδος. ἀλλ' ὅμως, ἐπειδὴ τρυφὴ καὶ ὕβρις εἰσῆλθεν αὐτοὺς καὶ παιδείας καὶ σωφροσύνης οὐδὲν ᾤοντο δεῖσθαι, πολὺ πάντων ἀτυχέστατοι γεγόνασιν. οὐχ ἡ σύμπασα χθὼν ταῖς συμφοραῖς αὐτῶν διατεθρύληται; καὶ οὐδὲν ὤνησεν αὐτοὺς οὔτε τῶν ἵππων τὸ τάχος οὔτε ὁ Ζεὺς οὔτε ὁ Γανυμήδης, ἀλλ' ὑπ' ἀνδρὸς ἐξ οὕτω λυπρᾶς καὶ ἀδόξου πόλεως ἀπώλοντο, καὶ ἴσχυσεν ὁ τῆς Ἰθάκης πολίτης περιγενέσθαι τῶν ἐκ τοῦ Ἰλίου πάντων καὶ τὴν εὐρυάγυιαν ἅπασαν
23 πορθῆσαι καὶ ἀνελεῖν; οὐδὲ γὰρ οὐδ' οἱ θεοὶ φιλοῦσιν ἔτι τοὺς ἀσελγεῖς καὶ ἄφρονας καὶ ἀκολάστους καὶ πρὸς ὕβριν ἐγκλίνοντας καὶ ῥᾳθυμίαν καὶ τρυφήν. ὥστε μὴ τούτοις

20, 4. δινήεντος. δεινήεντος M. ‖ 5. ὄν. ὃν ὁ M. ‖ 6. φησί. φασὶ B. ‖ τινας. τινας εἶναι Geel. ‖ προαστείῳ. προαστίῳ B. ‖ 7. ἀνειμένην. ἀλεεινὴν Geel. ‖ 8. ἐγείρεσθαι. ἐγύρεσθαι D. ‖ δ' ἐοικυῖαν. δ' ἐοικῆαν A, δὲ οἰκυῖαν M. ‖ 9. κρυστάλλῳ. κρυστάλην A. — 21, 4. ἵπποι. ἵπποι δὲ Reisk. ‖ 5. καρτερωτάτῳ BMA, κρατερωτάτῳ reliq. ‖ περιπεφραγμένοι. περιφραγμένοι D. ‖ 8. δ'. δὲ M. ‖ 9. Γανυμήδην. γαννομήδην A. ‖ 11. Κασσάνδραν. Κασάνδραν BA. ‖ 12. Ἀφροδίτης. ἀφροδίτης (superscr. vulg.) M. — 22, 3. ἀτυχέστατοι Interpr. r, ἀτυχέστεροι reliq. ‖ οὐχ ἡ. οὐχ ὁ M. ‖ 4. χθών. τῶν M. ‖ διατεθρύληται BMUD, διατεθρύλληται reliq. ‖ 6. Γανυμήδης. γαννυμήδης A. ‖ λυπρᾶς. λυπρὰς D, λυπηρᾶς vm (at mrg. m vulg.). ‖ 9. ἀνελεῖν BM, ἑλεῖν reliq. — 23, 3. ἐγκλίνοντας. ἐκκλίνοντας M.

θαῤῥεῖτε μηδὲ ἀποδέχεσθε τὸν συνηδόμενον ὑμῖν καὶ θαυμά-
ζοντα λόγον μηδὲ τοὺς δεινοὺς ἐγκωμιάζειν. οὗτοι μὲν γὰρ
ἐξαπατῶσιν ὑμᾶς καὶ μάτην ἐπαίρουσιν, ὥσπερ νηπίους παῖ-
δας· ἀλλὰ μᾶλλον, ὃς ὑμῖν δείξει τι τῶν ἁμαρτημάτων καὶ
πρῶτον ἁπάντων, ἂν δύνηται, παρασκευάσει φρονεῖν ὑμᾶς, 11 R II.
ὅτι τούτων ἕνεκεν, ὧν εἶπον, οὐκ ἐστε εὐδαίμονες, οὐδ' ἂν ὁ
Νεῖλος ὑμῶν διέρχηται τὴν πόλιν τῆς Κασταλίας γενόμενος
διαυγέστερος, οὐδ' ἂν ὁ Πακτωλὸς ἐνθάδε φανεὶς μὴ κατὰ
ψῆγμα τὸ χρυσίον ὑμῖν φέρῃ, καθάπερ φασὶ Λυδοῖς πρότε-
ρον, ἀλλ' ἄθρουν ὥσπερ ἰλὺν, μηδ' ἂν Αἴγυπτον ἢ Βαβυ-
24 λῶνα τῇ πολυτελείᾳ τῶν οἰκοδομημάτων ὑπερβάλλησθε. εἰ γὰρ
ταῦτα δύναται ποιεῖν ἀνθρώπους μακαρίους, ποταμὸς ἢ κρᾶ-
σις ἀέρος ἢ τόπος γῆς ἢ καὶ θαλάττης ἢ λιμὴν ἢ ναὸς ἢ
τεῖχος, οὐκ ἔστιν εἰπεῖν, ὅσων λείπεσθε. Βυζαντίους ἐκείνους
ἀκούετε παρ' αὐτὸν οἰκοῦντας τὸν Πόντον μικρὸν ἔξω τοῦ
στόματος, αὐτομάτων ἰχθύων αὐτοῖς ἐπὶ τὴν γῆν ἐκπιπτόντων
ἐνίοτε· ἀλλ' ὅμως οὐδεὶς ἂν εἴποι διὰ τὸν ἰχθὺν εὐδαίμονας
Βυζαντίους, εἰ μὴ καὶ τοὺς λάρους, οὐδὲ Αἰγυπτίους διὰ τὸν
25 Νεῖλον οὐδὲ Βαβυλωνίους διὰ τὸ τεῖχος. οὐχ ὁ Πηνειὸς δι'
ἐρήμου ῥεῖ Θετταλίας; οὐχ ὁ Λάδων διὰ τῆς Ἀρκαδίας ἀνα-
στάτου γενομένης; οὐκ αὐτὸς ὁ Κύδνος ἄνω καθαρώτερος;
τί οὖν; διὰ τοῦτο βελτίους φήσετε ἐκείνους ἑαυτῶν; ἴσως 12 R II.
μὲν ἀληθεύετε, ἐὰν λέγητε· οὐ μὴν ἐρεῖτε. τοὺς γὰρ ἀπείρους
τρυφῆς καὶ πανουργίας, τούτους ἐγώ φημι πράττειν ἄμεινον.
τί δ' αὐτῆς τῆς Ἰταλίας; οὐ Σύβαρις μὲν ὅσῳ μάλιστα ἐτρύ-
φησε, τοσούτῳ θᾶττον ἀπώλετο; Κρότων δὲ καὶ Θούριοι
καὶ Μεταπόντιοι καὶ Τάρας, ἐπὶ τοσοῦτον ἀκμάσασαι καὶ
τηλικαύτην ποτὲ σχοῦσαι δύναμιν, ποίας πόλεως οὐκ εἰσι νῦν
26 ἐρημότεραι; πολὺ δ' ἂν ἔργον εἴη πάντας ἐπεξιέναι τοὺς διὰ 402 M
τρυφὴν ἀπολωλότας, Λυδοὺς πάλαι, Μήδους, Ἀσσυρίους

4. θαῤῥεῖτε. θαῤῥεῖται M. ‖ ἀποδέχεσθε. ἀποδέχεσθαι M. ‖ 8. φρονεῖν. σωφρονεῖν Geel. ‖ 13. ἀλλ' ἄθρουν. ἀλλὰ θροῦν U. ‖ ἰλύν. εἴλην M. — 24, 3. θαλάττης ἢ λιμὴν. sic dedi. θαλάττης ἢ λιμένος Reisk., θαλάττης λιμένος v, θαλάττης λιμένες reliq. ‖ 4. ὅσων BM. Pflugk., ὅσον reliq. ‖ λείπεσθε. λείπεσθαι M. ‖ Βυζαντίους. Βυσαντίων mrg. m. ‖ 7. ἰχθύν. ἰχθῦν U. — 25, 1. Πηνειός. πήνιος M. ‖ 2. ῥεῖ. malim ῥεῖ τῆς. ‖ 4. ἑαυτῶν MUDA, αὐτῶν B, αὑτῶν reliq. ‖ 5. ἐρεῖτε Reisk., εἴρηται reliq. ‖ 7. ἐτρύφησε. ἐτρύφησεν UM. ‖ 8. θᾶττον BM, μᾶλλον reliq. ‖ 9. Μεταπόντιοι M, Μεταποντῖνοι reliq. ‖ καὶ Τάρας. ἢ καὶ Τάρας M. ‖ 10. πόλεως. σπιλάδος Iacobs. — 26, 1. εἴη. ἂν εἴη A. ‖ 2. Ἀσσυρίους. ἀσυρίους A.

πρότερον, τὰ τελευταῖα Μακεδόνας· οἳ νεωστὶ μὲν τὰ ῥάκη περιημμένοι καὶ ποιμένες ἀκούοντες, τοῖς Θρᾳξὶ περὶ τῶν μελινῶν μαχόμενοι, τοὺς Ἕλληνας ἐκράτησαν, εἰς τὴν Ἀσίαν διέβησαν, ἄχρις Ἰνδῶν ἦρξαν. ἐπεὶ δὲ τὰ ἀγαθὰ τὰ Περσῶν
27 *ἔλαβον, τούτοις ἐπηκολούθησε καὶ τὰ κακά. τοιγαροῦν ἅμα σκῆπτρα καὶ ἁλουργίδες καὶ Μηδικὴ τράπεζα καὶ τὸ γένος αὐτῶν ἐξέλιπεν· ὥστε νῦν εἴ τις διέρχοιτο Πέλλαν οὐδὲ σημεῖον ὄψεται πόλεως οὐδὲν δίχα τοῦ πολὺν κέραμον εἶναι* 13 R II
συντετριμμένον ἐν τῷ τόπῳ. καίτοι μένει τὰ χωρία τῶν πόλεων, ὧν εἶπον, καὶ τῶν ἐθνῶν, οἷα καὶ πρότερον ἦν, καὶ τοὺς ποταμοὺς οὐδεὶς ἄλλοσε ἔτρεψεν, οὐδ᾽ εἴ τι τοιοῦτον ἦν ἕτερον· ἀλλ᾽ ὅμως ὧν ἂν πολυτέλεια καὶ τρυφὴ ἅψηται, τού-
28 *τοις οὐκ ἔστι πλείω χρόνον διαγενέσθαι. μὴ γὰρ οἴεσθε τοὺς κριοὺς μηδὲ τὰς ἑλεπόλεις καὶ τὰς ἄλλας μηχανὰς οὕτως ἀνατρέπειν, ὡς τρυφήν, εἴτε ἄνδρα βούλεταί τις πεπτωκότα ἰδεῖν εἴτε πόλιν. οὐ ποταμός ἐστιν οὐδὲ πεδίον οὐδὲ λιμὴν ὁ ποιῶν εὐδαίμονα πόλιν οὐδὲ χρημάτων πλῆθος οὐδὲ οἰκοδομημάτων οὐδὲ θησαυροὶ θεῶν, οἷς οὐδὲν προσέχει τὸ δαιμόνιον· οὐδ᾽ ἂν εἰς τὰς πόλεις τινὲς μεταφέρωσι τὰ ὄρη καὶ τὰς πέτρας ξὺν πολλῇ ταλαιπωρίᾳ καὶ πόνοις καὶ μυρίοις ἀναλώμασιν· ἀλλὰ σωφροσύνη καὶ νοῦς ἐστι τὰ σώζοντα· ταῦτα ποιεῖ τοὺς χρωμένους μακαρίους, ταῦτα τοῖς θεοῖς προσφιλεῖς, οὐχὶ λιβανωτὸς οὐδὲ σμύρνα· πόθεν; οὐδὲ ῥίζαι καὶ δάκρυα δέν-*
29 *δρων οὐδὲ Ἰνδῶν καὶ Ἀράβων φρύγανα. ὑμεῖς δέ, ἂν μὲν ἐκ τύχης ὁ ποταμὸς μεταβάλῃ καὶ ῥυῇ θολερώτερος, ἄχθεσθε καὶ πρὸς τοὺς πρῶτον ἐπιδημήσαντας αἰτίαν λέγετε· τὸν δὲ τρόπον τῆς πόλεως μεταβάλλοντα ὁρῶντες καὶ χείρω γιγνόμε-*

3. νεωστὶ. νεωστεὶ M, τέως Casaub. ‖ ῥάκη. νάκη Progr. p. 29. ‖ 4. περιημμένοι Pflugkius, de quo et Geelius cogitavit, περιηρτημένοι Reisk., περιεῤῥαμμένοι Vales. p. 56, περιῃρημένοι reliq. ‖ τοῖς Θρᾳξὶ περὶ τῶν μελινῶν (μελειτων B) μαχόμενοι BMUD, περὶ τῶν μελινῶν μαχόμενοι τοῖς Θρᾳξὶ reliq. ‖ 7. ἐπηκολούθησε. ἐπηκολούθησεν MU, ἐπικολούθησεν D. — 27, 2. ἁλουργίδες BMU, ἁλουργῖδες A. vmr. ‖ καὶ τὸ. καὶ αὐτὸ τὸ Geel. ‖ 5. συντετριμμένον. συντετριμένον A. ‖ 7. αλλοσε r, ἄλλος reliq., ἄλλῃ Morell. ‖ 8. ὅμως. ὅλως Geel. — 28, 1. μὴ γὰρ οἴεσθε om. M. ‖ 2. κριοὺς. κρείους M. ‖ μηδὲ. μὴ δὲ B (ut ubique): ‖ 3. πεπτωκότα. πεπτοκότα B. ‖ 11. οὐδὲ σμύρνα. οὐδ᾽ ἡ σμύρνα BM. ‖ οὐδὲ. οὐδὲ τὰ BM. ‖ 12. Ἀράβων. Ἀῤῥάβων A. — 29, 2. μεταβάλῃ BMUA, μεταβάλλῃ reliq. ‖ θολερώτερος. θολώτερος A. vm. ‖ ἄχθεσθε. ἄχθεσθαι M. ‖ 4. μεταβάλλοντα BMU, μεταβαλόντα reliq. ‖ γιγνόμενον BMUA, γενόμενον reliq.

νου καὶ τεταραγμένον ἀεὶ μᾶλλον οὐ φροντίζετε. ἀλλὰ ὕδωρ
μὲν οὐ μόνον πίνειν βούλεσθε καθαρὸν, ἀλλὰ καὶ ὁρᾶν· ἦθος
30 δὲ καθαρὸν καὶ μέτριον οὐ ζητεῖτε. καίτοι πολλάκις ἀκοῦσαί
τινων ἔστι· μὴ γὰρ ἡμεῖς μόνοι μεταβεβλήκαμεν, ἀλλὰ σχεδὸν 403 M. 11 R II.
ἅπαντες. ἔστι δὲ τοῦτο καθάπερ εἴ τις ἐν λοιμῷ διὰ τὸ πάν-
τας ἢ τοὺς πλείστους νοσεῖν μηδεμίαν ἐθέλοι ποιεῖσθαι πρό-
νοιαν, ὥστε αὐτὸς ὑγιαίνειν, ἢ νὴ Δία ἐν θαλάττῃ χειμαζό-
μενος, ἐπεὶ ἅπαντας ὁρᾷ τοὺς ἐν τῇ νηὶ κινδυνεύοντας, ἀμελοῖ
τῆς σωτηρίας. τί δαί; ἂν ὅλος καταδύηται στόλος, διὰ τοῦτο
31 ἧττόν ἐστιν ἄτοπον τὸ ξυμβαῖνον; τί οὖν ἁμαρτάνομεν ἡμεῖς;
τὰ μὲν ἄλλα ἐῶ. γελοῖον γὰρ, εἴ τις πρὸς τὸν ὅλως οὐκ ἐπι-
στάμενον κιθαρίζειν, ἔπειτα ὡς ἔτυχε κρούοντα, ἐπιχειροῖ
λέγειν ὅ τι ἥμαρτεν ἢ τίνα φθόγγον παρέβη. τοσοῦτον δὲ
μόνον εἰπεῖν ἄξιον, ὃ μηδεὶς ἂν ἀρνήσαιτο. φημὶ δὴ θαυ-
μαστόν τι πάθος ἐν τῇ πόλει ταύτῃ πεπονθέναι πολλοὺς, ὃ
παρ' ἄλλοις τισὶ πρότερον ἤκουον μᾶλλον ἢ παρ' ὑμῖν γιγνό-
32 μενον. τί δαὶ τοῦτ' ἔστιν; ἂν μὴ δύνωμαι δηλῶσαι σαφῶς,
ἀλλὰ ὑμεῖς γε πειρᾶσθε ὑπονοεῖν· καὶ μηδέν με νομίσητε τῶν
ἀποῤῥήτων λέγειν μηδ' ὃ κρύπτουσιν οἱ ποιοῦντες, εἰ καὶ
σφόδρα δόξει θαυμαστόν. μεταξὺ γοῦν ὀρθοὶ, βαδίζοντες, 15 R II.
λαλοῦντες οἱ πλείους καθεύδουσιν· εἰ δ' ἐγρηγορέναι τοῖς
πλείοσι δοκοῦσιν, οὐδὲν ἂν εἴη τοῦτο. καὶ γὰρ τοὺς λαγὼς
φήσει τις ἐγρηγορέναι τῶν ἀπείρων, ἐὰν ἴδῃ κοιμωμένους.
πόθεν οὖν ἐγνώσθη τοῦτο; ἐξ ἑτέρων τινῶν, ἃ σημεῖά ἐστι
33 τοῦ καθεύδειν· ἐπεὶ τά γε ὄμματα αὐτῶν ἀναπέπταται. τί
οὖν οὗτοι ποιοῦσι κοιμωμένων; πολλὰ μὲν δὴ τά γε ἄλλα·

5. φροντίζετε. φροντίζεται M. ‖ 6. πίνειν. πείνειν M. ‖ βούλεσθε. βούλεσθαι M. — 30, 1. καίτοι BMUA. Casaub. r, καί τι D. vm. ‖ 2. ἡμεῖς. ὑμεῖς A. ‖ ἀλλά. ἀλλ' οὐ Casaubonus ut interrogantis. ‖ 5. αὐτὸς BUA. Casaub. r, αὐτοὺς MD. vm. ‖ 6. ἐπεὶ ἅπαντας Reiskius (idem ἐπειδὴ πάντας), ἐπειδὰν πάντας Pflugk., ἔπειτα πάντας reliqui. Geelius servato v. ἔπειτα scribit ὁρῶν pro ὁρᾷ. ‖ ἀμελοῖ BUD. Pflugk., ἀμέλοι M, ἀμελοίη Reisk., ἀμελεῖ reliq. ‖ 7. δαί. δὲ M. — 31, 2. ἄλλα. ἄλλ' M. ‖ γάρ. πᾶν M, unde Geelius γὰρ πάνυ. ‖ 3. ἐπιχειροῖ BMUD, ἐπιχειρεῖ reliq. ‖ 4. ὅ τι. sic dedi. ὅτι reliq. ‖ ἢ τίνα Reisk., ἤ τινα reliq. ‖ φθόγγον. φθόγγων M. ‖ 7. τισί. τισὶν U. ‖ ὑμῖν. ὑμῖν ἑώρων Reisk. — 32, 1. τί δαὶ BUD, τί δὲ reliq. ‖ 4. δόξει. δόξῃ A. ‖ γοῦν. γ' οὖν B. ‖ ὀρθοί, βαδίζοντες. comma delebat Reiskius. ‖ 5. ἐγρηγορέναι. ἐγρηγογέναι m. ‖ 6. τοῦτο. τοῦτο θαυμαστὸν Reisk. ‖ 7. φήσει. φήσειε Reisk. ‖ κοιμωμένους. post hoc v. Geelius transponit v. ἐπεὶ τά γε ὄμματα αὐτῶν ἀναπέπταται. non accedo. ‖ 8. σημεῖά ἐστι. σημεῖα ἐστὶ A. — 33, 2. οὗτοι in M obelo notatum. ‖ κοιμωμένων. τῶν κοιμωμένων Reisk.

σχεδὸν γὰρ πάντα ὀνείρασιν ἔοικεν αὐτῶν τὰ ἔργα· καὶ γὰρ χαίρουσι μάτην καὶ λυποῦνται καὶ θρασύνονται καὶ δεδοίκασι μηδενὸς ὄντος καὶ σπουδάζουσι καὶ τῶν ἀδυνάτων ἐπιθυμοῦσι καὶ τὰ μὴ ὄντα νομίζουσιν εἶναι καὶ τῶν ὄντων οὐκ αἰσθάνονται. πλὴν ταῦτα μὲν ἴσως κοινὰ καὶ ἡμῶν ἐστιν. ἐκεῖνο δὲ οἶμαι φανερώτατον ὕπνου τεκμήριον ποιοῦσι, ῥέγχουσιν. οὐ γὰρ ἔχω μὰ τοὺς θεοὺς εἰπεῖν εὐπρεπέστερον. καίτοι καὶ τῶν κοιμωμένων ὀλίγοι μέν, οἳ τοῦτο πάσχουσι· τῶν δὲ ἄλλων τοῖς μεθύουσι ξυμβαίνει καὶ τοῖς ἐμπληθέσι
34 καὶ τοῖς μὴ καλῶς κατακειμένοις. ἐγὼ δέ φημι τοῦτο τὸ ἔργον αἰσχρὰν τὴν πόλιν ποιεῖν καὶ δημοσίᾳ καταισχύνειν καὶ τὴν μεγίστην ὕβριν εἰς τὴν πατρίδα ὑβρίζειν τοὺς μεθ' ἡμέραν τούτους κοιμωμένους, καὶ δικαίως ἂν αὐτοὺς ἐξορισθῆναι καὶ παρ' ὑμῶν καὶ πανταχόθεν. οὐδὲ γὰρ μέτριόν ἐστι τὸ γιγνόμενον οὐδὲ σπανίως συμβαῖνον, ἀλλ' ἀεὶ καὶ πανταχοῦ τῆς πόλεως, κἂν ἀπειλῇ τις κἂν παίζῃ κἂν καταγελᾷ. καὶ τὸ λοιπὸν ἤδη ξύνηθές ἐστι καὶ τοῖς πάνυ σμικροῖς παισί, καὶ τῶν τελείων ὅσοι δοκοῦσιν αἰδεῖσθαι προάγονται πολλάκις, ὥσπερ ἐπὶ δώρῳ τινί, χρῆσθαι, κἂν ἐπιστήσαντες διατραπῶ-
35 σιν, ἀνέπνευσαν γοῦν ὅμοιον. εἰ δή τις ὑπῆρχε τοιαύτη πόλις, ὥστε ἀεὶ θρηνούντων ἐν αὐτῇ ἀκούειν καὶ μηδένα δύνασθαι δίχα τῆς δυσφημίας ταύτης προελθεῖν μηδὲ ἐπ' ὀλίγον, πρὸς τοῦ Διὸς ἔστιν ὅστις ἂν ἡδέως ἐπεδήμησεν; καίτοι τὸ μὲν θρηνεῖν, ὡς ἂν εἴποι τις, ἀτυχίας ἐστὶ σημεῖον, τὸ δὲ τοιοῦτον ἀναισχυντίας, ἀσελγείας τῆς ἐσχάτης. οὐκοῦν εἰκὸς ἐν δυστυχέσι μᾶλλον ἀνθρώποις ἐθέλειν διατρίβειν ἢ ἀκολάστοις. ἐγὼ μὲν γὰρ οὐκ ἂν ἑλοίμην ἀκούειν οὐδὲ αὐλούντων διηνεκῶς· ἀλλ' εἴ τις ἔστι τοιοῦτος τόπος, ἐν ᾧ συνεχής ἐστιν

4. λυποῦνται. λοιποῦνται M. ‖ 5. ὄντος. malim cum Geelio δεινοῦ ὄντος aut περὶ ante μηδενὸς additum. ‖ 7. ἡμῶν BMUDA, ὑμῶν reliq., ἄλλων Casaub., καὶ οὐ μόνον ὑμῶν Selden. ‖ 9. ῥέγχουσιν. ῥέκχουσιν UD. ‖ 11. ἐμπληθέσι. ἐμπλησθεῖσι Pflugk. — 34, 1. φημι. φημὶ A. ‖ 2. δημοσίᾳ. δημόσια U. ‖ 3. εἰς τὴν. εἰς om. A. ‖ 6. συμβαῖνον BM, συμβαίνειν UDA, συμβαίνει reliq. ‖ 7. καὶ τὸ. καίτοι M. ‖ 10. ἐπὶ δώρῳ BA, ἐπιδώρῳ reliq., ἐπῳδῷ Selden., malim ἔπει ἀώρῳ. ‖ διατραπῶσιν. ἐπιτράπωσιν A. — 35, 3. δυσφημίας M, δυσθυμίας reliq. ‖ 4. ἔστιν. sic dedi. ἔστιν A, ἐστὶν reliq. ‖ ἐπεδήμησεν. ἐπιδημήσειε Geelius. ‖ 5. ὡς ἂν εἴποι τις. πᾶς ἂν εἴποι τις ὡς Reisk. ‖ 6. ἀναισχυντίας. ἀναισχυντείας A. ‖ 7. δυστυχέσι. δυστυχέσι A. ‖ ἐθέλειν. ἐθέλει BU.

ἦχος εἴτε αὐλῶν εἴτε ᾠδῆς εἴτε κιθάρας, οἷον δή φασι τὸν
τῶν Σειρήνων εἶναι σκόπελον ἀεὶ μελῳδούμενον, οὐκ ἂν δυ-
36 ναίμην ἐκεῖσε ἐλθὼν διάγειν. τὸν δέ γε ἄγριον τοῦτον καὶ
χαλεπὸν ἦχον τίς ἂν μέτριος ἄνθρωπος ὑπομείνειεν; ἀλλ᾽ ἐὰν
μέν τις οἴκημα παριὼν ἀκούσῃ τοῦ τοιούτου, δῆλον ὅτι φήσει
χαμαιτυπεῖον αὐτὸ εἶναι. τὴν δὲ πόλιν τί φήσουσιν, ἐν ᾗ
πανταχοῦ σχεδὸν εἷς ἐπικρατεῖ φθόγγος, καὶ οὔτε καιρὸν
οὔτε ἡμέραν οὔτε τόπον ἐξαίρετον οὐδένα ποιοῦνται, ἀλλ᾽ ἐν
στενωποῖς, ἐν οἰκίαις, ἐν ἀγοραῖς, περὶ τὸ θέατρον, ἐν τῷ
γυμνασίῳ δυναστεύει τὸ πρᾶγμα; καὶ αὐλοῦντος μὲν ἕωθεν
οὐδενὸς ἀκήκοα ἐγὼ μέχρι νῦν ἐν τῇ πόλει, τοῦτο δὲ τὸ θαυ-
37 μαστὸν μέλος εὐθὺς ἅμα τῇ ἡμέρᾳ κινεῖται. καίτοι με οὐ
λέληθεν, ὅτι ἴσως τινὲς ληρεῖν με νομίζουσι τὰ τοιαῦτα ἐξε- 405 M.
τάζοντα, καὶ μηδὲν εἶναι παρὰ τοῦτο, μόνον ἂν τὰ λάχανα
ἁμάξαις εἰσφέρητε καὶ πολλοὺς ἄρτους θεωρῆτε ἐν τῷ μέσῳ 18 R II.
καὶ τὸ τάριχος ᾖ καὶ τὰ κρέα. σκοπούντων δὲ ὅμως αὐτοὶ
τὸ πρᾶγμα οὕτως. εἴ τις αὐτῶν παραγένοιτο εἰς πόλιν, ἐν ᾗ
πάντες ὅ τι ἂν δεικνύωσι τῷ μέσῳ δακτύλῳ δεικνύουσι, κἂν
δεξιὰν ἐμβάλλῃ τις, οὕτως ἐνέβαλε, κἂν προτείνῃ τὴν χεῖρα,
ὅλως, κἂν ὁ δῆμος χειροτονῶσι κἂν οἱ δικασταὶ τὴν ψῆφον
φέρωσι· ποίαν τινὰ ἡγήσεται τὴν πόλιν ταύτην; ἐὰν δὲ ἀνα-
38 συράμενοι πάντες βαδίζωσιν, ὥσπερ ἐν λίμνῃ; ἆρα ἀγνοεῖτε,
ὅτι ταῦτ᾽ ἐστὶ τὰ καθ᾽ ὑμῶν ἀφορμὴν δεδωκότα βλασφημίας,
ὥστε δημοσίᾳ κατὰ τῆς πόλεως ἔχειν, ὅ τι λέγωσι, τοὺς ἀπε-
χθῶς ὑμῖν διακειμένους; ἀλλὰ πόθεν τὰς κερκίδας ὑμῖν ἐπι-
βοῶσιν; καίτοι οὔ φασι δεῖν διαφέρειν οὔθ᾽ ὑμῖν οὔτε τοῖς 19 R II.

10. οἷον δή. οἷον δὲ A. ‖ 11. σκόπελον. σκόπελλον UD. — 36, 2. ὑπομείνειεν BMA, ὑπομένειεν DU. mr, ὑπομένειν v. ‖ 3. δῆλον ὅτι B (ut semper). M, δηλονότι reliq. ‖ 5. φθόγγος. φθόγγος οὗτος Reisk. ‖ 6. ποιοῦνται. πιοῦνται M. ‖ 7. περὶ U (?) r, παρὰ BMDA. vm. ‖ 8. αὐλοῦντος. ἀλλοῦντος U, ἀλοῦντος D, ἁλόντος M ‖ 10. κινεῖται. κεινεῖται M. — 37, 1. με οὐ. με om. A. ‖ 2. τινὲς ληρεῖν BMDA. v, τινὲς om. reliq. ‖ 4. εἰσφέρητε BM, εἰσφέρηται Boisson. Anecdot. II, p. 226, φέρητε reliq. ‖ θεωρῆτε BM. Reisk., θεωρεῖτε reliq. ‖ 5. τάριχος ᾖ. τάρειχος ᾖ M, τάριχος ἄξιον ᾖ Reiskius cum magna veri specie. ‖ 8. ἐμβάλλῃ τις. ἐμβάλῃ τις BU, ἐμβάλῃ τίς A, ἐμβαλεῖν M. ‖ τις οὕτως ἐνέβαλε om. M. ‖ 9. ὅλως. οὕτως Reiskius. malim ὡσαύτως vel ὁμοίως (hoc Pflugkius quoque). ‖ 10. ἡγήσεται U. r, ἡγήσονται BMDA. vm. ‖ ἀνασυράμενοι BM (corr. ἀνασυρόμενοι), ἀνασυρόμενοι reliq. ‖ 11. βαδίζωσιν. βαδίζουσιν B. — 38, 4. κερκίδας. κερχνίδας (volebat κερχνῇδας) Reisk., Κερκῶπας (volebat Κέρκωπας) Selden. ‖ 5. καίτοι

ἄλλοις ὑπὲρ ὧν ἕτεροι λέγουσιν. ἀλλ᾽ ὑπὲρ ὧν αὐτοὶ ποιεῖτε.
φέρε ἂν καταλάβῃ τοιοῦτο πάθος δημοσίᾳ τινάς, ὥστε γυ-
ναικῶν λαβεῖν φωνὴν ἅπαντας καὶ μηδένα δύνασθαι μήτε
νέον μήτε πρεσβύτερον ἄνδρα μηδὲν εἰπεῖν· οὐ δόξει χαλεπὸν
εἶναι καὶ παντὸς οἶμαι λοιμοῦ βαρύτερον· οὐ γὰρ τὸ πυρέτ-
τειν αἰσχρὸν οὐδὲ τὸ ἀποθνήσκειν· ὥστε πέμποιεν ἂν εἰς θεοῦ
καὶ τὸ δαιμόνιον πολλὰ ἱλάσκοιντο; καίτοι τὸ μὲν γυναικῶν
ἀφιέναι φωνὴν ἀνθρώπων ἐστὶ φωνὴν ἀφιέναι, καὶ οὐδεὶς
39 *ἂν ἀκούων γυναικὸς δυσχεράνειεν. ὁ δὲ τοιοῦτος ἦχος τίνων*
ἐστίν; οὐχὶ τῶν ἀνδρογύνων; οὐχὶ τῶν τὰ αἰδοῖα ἀποκεκομ-
μένων; οὐδὲ τούτων ἀεὶ καὶ πρὸς ἅπαντας, ἀλλὰ ἴδιον αὐτῶν
ὥσπερ ξύμβολον. φέρε [εἰ κατεζωσμένοι πάντες ἐβαδίζετε ἢ
τυμπανίζοντες καὶ μηδὲν ὑμῖν ἐδόκει τοῦτ᾽ εἶναι χαλεπὸν] εἰ
συνέβαινεν ὑμᾶς ὑψηλήν τινα ἔχειν ἄκραν ἢ νὴ Δία ὄρος
ὑπερκείμενον, ὥσπερ ἕτεραι πόλεις, ὅπου τις ἀνελθὼν ἕκα-
στον μὲν σαφῶς ἀκούειν μὴ δύναιτο, τὸν δὲ ξύμπαντα θροῦν, 30 R II
ποῖος ἦχος ὑμῖν ἀνενεχθῆναι ἐδόκει; ἢ δῆλον ὅτι τοῦ πλείονος 466 M
40 *ὥσπερ ἐν ἁρμονίᾳ κρατοῦντος; εἰ δὲ ἐκ τῆς ἀκοῆς δέοι τεκμαί-*
ρεσθαι περὶ τῶν ἀνθρώπων, ὥσπερ Ὅμηρός φησι προσιόντα
τὸν Ὀδυσσέα τῇ αὐτοῦ οἰκίᾳ μὴ περιμεῖναι θεάσασθαι τοὺς
μνηστῆρας ἑστιωμένους, ἀλλ᾽ εὐθὺς εἰπεῖν πρὸς τὸν Εὔμαιον,
ὡς αὐτὸν ἡ κιθάρα περιήνεγκε,

γιγνώσκειν δή, ὅτι πολλοὶ ἐν αὐτῇ δαῖτα τίθενται·

καὶ πάλιν ἐκ τῆς νήσου τῶν Κυκλώπων ἀκούοντα τῶν τε

Reisk., *καὶ* reliq. ‖ *φασι. φατε* Geel. ‖ 6. *λέγουσιν. ἀλλ᾽* Selden., *λέγουσιν, ἀλλ᾽* reliq. ‖ 7. *τοιοῦτο* BMUD, *τοιοῦτον* reliq. ‖ 9. *ἄνδρα.* malim *ἀνδριστὶ* vel *κατ᾽ ἄνδρα. ἀνδρείως* (vel *ἄνδρα ἄλλως* vel *ἄνδρα εἰ μὴ οὕτως*) Reisk. ‖ 10. *οὐ γάρ. οὐ δὲ* A. ‖ 11. *οὐδὲ τό. τὸ* om. M. — 39, 4. *φέρε* M, *φέρε δ᾽* reliq. ‖ [*εἰ κατεζωσμένοι — χαλεπόν*] iure suspecta fuerunt Geelio. ‖ *εἰ* M, *ἢ* reliq. ‖ 6. *νὴ Δία ὄρος* Reisk., *νὴ Δία ἀέρος* BMU, *νὴ δία ἔρως* A, *νὴ Δί᾽ ἀέρος* D. vmr, *νὴ Δί᾽ ὄρος τι* Geel. ‖ 7. *ὑπερκείμενον* M. Reisk., *ὑπερκειμένην* reliq. ‖ *τις. τίς* A. ‖ 9. *ποῖος.* malim *ποῖος ἄν*, vel infra *ἂν ἀνενεχθῆναι* cum Reiskio. ‖ *ἀνενεχθῆναι. ἐνεχθῆναι* M. ‖ *ἤ. ἦ* B. ‖ *δῆλον ὅτι* BU, *δηλονότι* reliq. ‖ *τοῦ. ὁ τοῦ* Reisk. — 40, 2. *περὶ τῶν. τῶν* om. A. ‖ *προσιόντα* r, *προϊόντα* reliq. ‖ 5. *ἡ κιθάρα. ἡ ἰωὴ κιθάρας* Morellus (et mox *περιῆλθε*). ‖ *περιήνεγκε. περιήνεκε* B, *περιήχησε* Selden., *περιήπυκε* Reiskius. conf. Od. 17, 261 et 271, *περὶ δέ σφεας ἤλυθ᾽ ἰωὴ φόρμιγγος*, et *ἐν δέ τε φόρμιγξ ἠπύει.* ‖ 6. *γιγνώσκειν δὴ* BMUD, *δὴ* om. reliqui. *γιγνώσκω δ᾽ ὅτι πολλοὶ ἐν αὐτῇ δαῖτα τίθενται* Od. 17, 269. ‖ *πολλοί. πολλῇ* B.

προβάτων βληχωμένων καὶ αὐτῶν τῆς φωνῆς ὡς ἂν οἶμαι νε-
41 μόντων, νοεῖν, ὅτι ποιμένων τινῶν ἐστιν ἡ χώρα. φέρε καὶ
ὑμᾶς εἴ τις ἐκ τοῦ φερομένου ἤχου πόῤῥωθεν εἰκάζοι, οἵους
ἂν ἀνθρώπους ὑπολάβοι εἶναι καὶ τί πράττειν; οὐ γὰρ ἱκανοί
ἐστε οὔτε βουκολεῖν οὔτε ποιμαίνειν· καὶ πότερον ὑμᾶς Ἀρ-
γείων ἀποίκους, ὡς λέγετε, φήσει τις ἢ μᾶλλον ἐκείνων Ἀρα-
δίων; καὶ πότερον Ἕλληνας ἢ Φοινίκων τοὺς ἀσελγεστάτους;
ἐγὼ μὲν γὰρ ἡγοῦμαι μᾶλλον προσήκειν ἀνδρὶ σώφρονι ἐν
τοιαύτῃ πόλει κηρὸν ἐπαλεῖψαι τοῖς ὠσὶν ἢ εἰ τὰς Σειρῆνας 21 R II.
παραπλέων ἔτυχεν. ὅπου μὲν γὰρ ὑπῆρχε θανάτου κίνδυνος,
ὅπου δὲ ἀσελγείας, ὕβρεως, τῆς ἐσχάτης διαφθορᾶς. καὶ
42 πρόσεστιν οὐδεμία τέρψις οὐδ' ἱστορία δήπου. πρότερον μὲν
οὖν ἡ παραίνεσις τῶν ἀμεινόνων ἐκράτει, νῦν δ', ὡς ἔοικε,
τῶν χειρόνων. θαυμάσαι δ' ἄν τις τὴν αἰτίαν τοῦ ζηλοῦν
αὐτὸ τοὺς πλείους ἐνθάδε καὶ συνηθέστερον ἀεὶ γίγνεσθαι
προβαῖνον· ὥσπερ Ἰωνική τις ἐκράτησεν ἁρμονία καὶ Δώριος
καὶ Φρύγιος ἄλλη καὶ Λύδιος· οὕτω νῦν ἡ τῶν Ἀραδίων
κρατεῖ μουσική, καὶ τὰ Φοινίκων ὑμῖν κρούματα ἀρέσκει, καὶ
τὸν ῥυθμὸν τοῦτον ἐξαιρέτως ἠγαπήκατε, ὥσπερ ἕτεροι τὸν
43 σπονδεῖον. ἢ καὶ γένος τι πέφηνεν ἀνθρώπων ταῖς ῥισὶν
εὔμουσον, ὥσπερ τοὺς κύκνους φασὶ τοῖς πτεροῖς; ἔπειτα τῶν
λιγυφώνων τρόπον ὀρνέων τέρπουσιν ἀλλήλους ἔν τε ταῖς
ὁδοῖς καὶ παρὰ τὰ ξυμπόσια μηδὲν δεόμενοι λύρας μηδὲ
αὐλῶν. ἀρχαῖα δὴ ταῦτα καὶ σκληρᾶς ἔτι καὶ ἀγροίκου τινὸς
μουσικῆς ὄργανα. νῦν δὲ τρόπος ἄλλος ἀνθεῖ βαρβίτων 407 M.
κρείττων καὶ προσηνέστερος. οὐκοῦν μετὰ χρόνον καὶ χοροὺς
ὑπὸ τῷ μέλει τούτῳ στησόμεθα παίδων καὶ παρθένων ἐπι-
44 μελῶς ἐκδιδάξαντες. ἀλλ' ὅτι μὲν ἄχθεσθε ἀκούοντες, σα-
φῶς οἶδα, καὶ προεῖπον, ὅτι τοὺς λόγους ἀποδέξεσθε οὐχ 22 R II.

8. *βληχωμένων. βληχομένων* M. ‖ *αὐτῶν. αὐλῶν* Pflugkius. frustra. conf. Od. 9, 167. — 41, 2. *οἵους ἂν* Reisk., *ἂν* om. reliqui, Iacobs. Add. p. 34. *ἀνθρώπους* delet. ‖ 3. *ἱκανοί ἐστε. ἱκανούς γε* Iacobs. ‖ 4. *ποιμαίνειν. ποιμένειν* A. ‖ 5. *λέγετε. λέγεται* M. ‖ 8. *ἐπαλεῖψαι* Reisk., *ὑπαλίψαι* M, *ἀλεῖψαι* reliq. ‖ *Σειρῆνας. Σειρή-νας* MU. — 42, 2. *ἐκράτει. κράτει* M. ‖ 4. *ἐνθάδε* Reiskius (idem *ἐνθαδί*), *ἔνθα δὴ* reliq. ‖ 5. *ὥσπερ. ὥσπερ γὰρ* Reisk., *ὡς γὰρ* Iacobs. ‖ *Δώριος. δάριος* A. ‖ 6. *οὕτω. οὕτως* MUA. ‖ 7. *κρούματα. κρούμματα* A. ‖ 8. *τὸν σπ. των σπ.* U. — 43, 1. *ἢ καὶ. ἦ καὶ* B, *ἡ καὶ* M. ‖ 2. *τοῖς* in M a corr. add. ‖ 4. *μηδὲν. μηδὲ* mr. ‖ *μηδὲ. μηδὲν* r typographi errore, *μηδὲν μηδὲ* Iacobs. ‖ 5. *δή. δὲ* Reisk. ‖ 6. *ἀνθεῖ. αὔθει* m. ‖ *βαρβίτων. βαρβιτῶν* BM. ‖ 8. *στησόμεθα. στησώμεθα* BUA. — 44, 2. *ἀποδέ-*

ἡδέως. ὑμεῖς δ' ἴσως με περὶ ἄστρων καὶ γῆς ἐδοκεῖτε δια-
λέξεσθαι. καί τινες μὲν ὑμῶν ὀργίζονται καί φασί με ὑβρί-
ζειν τὴν πόλιν, τοὺς δὲ αὐτὰ ποιοῦντας οὐκ αἰτιῶνται. τινὲς
δὲ ἴσως καταγελῶσιν, εἰ περὶ μηδενὸς κρείττονος εὗρον εἰπεῖν·
ἐγὼ δὲ ὁρῶ καὶ τοὺς ἰατροὺς ἔσθ' ὅτε ἁπτομένους ὧν οὐκ
ἂν ἤθελον, οὐχὶ τῶν καλλίστων τοῦ σώματος, καὶ πολλοὺς
οἶδα τῶν θεραπευομένων ἀγανακτοῦντας, ὅταν ἅπτηται τοῦ
πεπονθότος. ὁ δὲ πολλάκις ἀμύττει τοῦτο καὶ τέμνει βοῶν-
τος. οὔκουν ἀνήσω περὶ τούτου λέγων, πρὶν ἂν σφόδρα
δηχθῆτε. καίτοι πάνυ ἀσθενοῦς φαρμάκου τυγχάνετε τοῦ
45 λόγου τούτου καὶ πολὺ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν. ἄγε δὴ
πρὸς τοῦ Ἡρακλέους καὶ τοῦ Περσέως καὶ τοῦ Ἀπόλλωνος
καὶ τῆς Ἀθηνᾶς καὶ τῶν ἄλλων θεῶν, οὓς τιμᾶτε, ἀποκρί-
νασθέ μοι προθύμως, εἴ τις ὑμῶν ἐβούλετο γυναῖκα τοιαύτην
ἔχειν, λέγω δὲ, ὥσπερ κιθαρίστρια καλεῖται γυνὴ καὶ νὴ Δία
αὐλητρὶς ἢ ποιήτρια καὶ τἄλλα ὁμοίως ἀπὸ τῶν ἄλλων ἐπι-
τηδευμάτων, οὕτως ἣν ἄν τις συνήθως ὀνομάσειεν ἀπὸ τούτου
τοῦ ἔργου. καὶ μὴ δυσχεραίνετε μηδὲ ἄχθεσθε· τοὺς γὰρ
λόγους τούτους αὐτὸ παρέχει τὸ πρᾶγμα τῷ βουλομένῳ περὶ
αὐτοῦ λέγειν, οὐκ ἐγώ ποθεν ἀνευρίσκω. γυναικὶ μὲν δὴ 33 R II
τοιαύτῃ ξυνοικεῖν οὐδεὶς ἂν ἐθελήσειεν ὑμῶν οὐδὲ ἐπὶ πεντα-
κοσίοις ταλάντοις οἶμαι, θυγατέρα δὲ σχεῖν ἕλοιτο ἄν; ἀλλὰ
νὴ Δία μητέρα πῶς; οὐ χαλεπὸν τοιαύτην ἔχειν καὶ γηρο-
βοσκεῖν· σεμνὸν γὰρ δηλονότι καὶ πρεσβυτέροις πρέπον μᾶλ-
46 λον. εἶεν. οὐκοῦν ἐπὶ μὲν γυναικὸς ἢ θυγατρὸς οὐδ' ἀκού-
οντες ἀνέχεσθε, πόλιν δὲ τοιαύτην καὶ πατρίδα οἰκεῖν οὐ
δεινὸν ὑμῖν δοκεῖ; καὶ ταῦθ', ὃ τῷ παντὶ χαλεπώτερον, οὐ 465 M.
τοιαύτην οὖσαν ἐξ ἀρχῆς, ἀλλ' ἣν αὐτοὶ ποιεῖτε. καίτοι μη-
τρόπολις ὑμῶν ἐστιν ἡ πόλις, ὥστε καὶ τὴν σεμνότητα καὶ τὸ
ἀξίωμα ἔχει τὸ τῆς μητροπόλεως· ἀλλ' ὅμως οὔτε τοῦ ὀνόμα-
47 τος οὔτε τῆς ἀρχαιότητος οὔτε τῆς δόξης φείδεσθε. τί ἂν
οἴεσθε, εἰ καθάπερ εἰκός ἐστι καί φασι τοὺς οἰκιστὰς ἥρωας

ξεσθε. ἀποδέξασθε B, ἀποδέξεσθαι M. ‖ 3. δ' ἴσως. δι' ἴσως vm. ‖ διαλέξεσθαι. διαλέξασθαι M. ‖ 5. αὐτά. ταῦτα M. ‖ 13. καὶ πολύ. καὶ om. M. — 45, 5. λέγω δὲ Interpr. r, λόγω δὲ reliq. ‖ καλεῖται. καλεῖτε M. ‖ 6. τἄλλα M, τὰ ἄλλα reliq. ‖ 7. ἂν om. M. ‖ 13. μητέρα πῶς; Geel., μητέρα; πῶς reliq. — 46, 2. ἀνέχεσθε. ἀνέσχεσθε B. ‖ 3. ταῦθ' ὃ τῷ r ex Interpr., ταῦτα οὕτω B, ταῦθ' οὐ τῷ U, ταῦθ' οὕτω M, ταῦθ' οὕτω A, ταῦθ' οὐ τῷ reliq. ‖ 6. ἀξίωμα. δεξίωμα M.

ἢ θεοὺς πολλάκις ἐπιστρέφεσθαι τὰς αὐτῶν πόλεις τοῖς ἄλλοις
ὄντας ἀφανεῖς ἔν τε θυσίαις καί τισιν ἑορταῖς δημοτελέσιν,
ἐπειθ' ὁ ἀρχηγὸς ὑμῶν Ἡρακλῆς παραγένοιτο, ἤτοι πυρᾶς
οὔσης, ἣν πάνυ καλὴν αὐτῷ ποιεῖτε, σφόδρα γε ἂν αὐτὸν 24 R II.
ἡσθῆναι τοιαύτης ἀκούσαντα φωνῆς; οὐκ ἂν εἰς Θρᾴκην
ἀπελθεῖν μᾶλλον ἢ Λιβύην καὶ τοῖς Βουσίριδος ἢ τοῖς Διο-
μήδους ἀπογόνοις θύουσι παρεῖναι; τί δαί; ὁ Περσεὺς οὐκ
ἂν ὄντως ὑπερπτῆναι δοκεῖ τὴν πόλιν; καὶ τί δεῖ μεμνῆσθαι
48 θεῶν; ἀλλ' Ἀθηνόδωρος ὁ πρώην γενόμενος, ὃν ᾔδεῖτο ὁ
Σεβαστός, ἆρα οἴεσθε, εἴπερ ἔγνω τοιαύτην οὖσαν τὴν πόλιν,
προὔκρινεν ἂν τῆς μετ' ἐκείνου διατριβῆς τὴν ἐνθάδε; πρό-
τερον μὲν οὖν ἐπ' εὐταξίᾳ καὶ σωφροσύνῃ διαβόητος ἦν ὑμῶν
ἡ πόλις καὶ τοιούτους ἀνέφερεν ἄνδρας· νῦν δὲ ἐγὼ δέδοικα,
μὴ τὴν ἐναντίαν λάβῃ τάξιν, ὥστε μετὰ τῶνδε καὶ τῶνδε ὀνο-
μάζεσθαι. καίτοι πολλὰ τῶν νῦν ἔτι μενόντων ὁπωσδήποτε
ἐμφαίνει τὸ σῶφρον καὶ τὸ αὐστηρὸν τῆς τότε ἀγωγῆς, ὧν
ἐστι τὸ περὶ τὴν ἐσθῆτα τῶν γυναικῶν, τὸ τοῦτον τὸν τρόπον
κατεστάλθαι καὶ βαδίζειν, ὥστε μηδὲ ἓν αὐτῶν μέρος ἰδεῖν,
μήτε τοῦ προσώπου μήτε τοῦ λοιποῦ σώματος, μηδὲ αὐτὰς
49 ὁρᾶν ἔξω τῆς ὁδοῦ μηδέν. καίτοι τί δύνανται τοιοῦτον ἰδεῖν,
οἷον ἀκούουσιν; τοιγαροῦν ἀπὸ τῶν ὤτων ἀρξάμεναι τῆς
διαφθορᾶς ἀπολώλασιν αἱ πλείους. ἡ γὰρ ἀσέλγεια καὶ δι'
ὤτων καὶ δι' ὀφθαλμῶν πανταχόθεν εἰσδύεται. ὥστε τὰ μὲν
πρόσωπα κεκαλυμμέναι βαδίζουσι, τῇ ψυχῇ δὲ ἀκαλύπτῳ καὶ 25 R II.
σφόδρα ἀναπεπταμένῃ. τοιγαροῦν ὀξύτερον βλέπουσιν ἐνὶ
50 τῶν ὀφθαλμῶν, ὥσπερ οἱ γεωμέτραι. καὶ τουτὶ μὲν ἔκδηλόν
ἐστι τὸ τῶν ῥινῶν. ἀνάγκη δὲ καὶ τὰ ἄλλα ἀκολουθεῖν τῷ 409 M.
τοιούτῳ ῥυθμῷ. μὴ γὰρ οἴεσθε, ὥσπερ ἑτέρων πολλάκις εἰς

47, 5. ἤτοι πυρᾶς. ἤτοι πύρας M, αὐτὸ πυρᾶς U, ἤτοι πυρὰς v, ἤτοι delet Reisk., at credibilius est excidisse quaedam ante σφόδρα. ‖ 6. αὐτῷ. αὐτὸ U. ‖ σφόδρα γε. σφόδρά γε A. ‖ 7. οὐκ. καὶ οὐκ Reisk. ‖ 8. Λιβύην. Λυβίην A. ‖ 9. θύουσι Reisk., θύσουσι reliq. ‖ τί δαὶ BUDA, τί δὲ reliq. ‖ 10. μεμνῆσθαι. μεμνεῖσθαι D. — 48, 3. προὔκρινεν. προκρῖναι Reisk. ‖ 5. ἀνέφερεν BM. Iacobs. Add. p. 15, idem nunc αὖ ἔφερεν, ἂν ἔφερεν reliq., ἔφερεν Reisk. ‖ 7. μενόντων. μένοντα r. ‖ 9. τὴν. τῇ M. ‖ τοῦτον τὸν. τὸν om. DA. ‖ 12. ὁδοῦ. αἰδοῦς Kays. in Notis Crit. ad Philostr. p. 11. — 49, 2. ἀκούουσιν. ἀκούουσι A. ‖ 5. κεκαλυμμέναι Reisk., κεκαλυμμένα reliq. ‖ 6. ἀναπεπταμένῃ. ἀνεπταμένη BMDA. — 50, 2. ῥινῶν. ῥεινῶν M. ‖ 3. ὥσπερ ἑτέρων M, ὡς παρ' ἑτέροις Reisk., ὥσπερ ἑτέρωθι Casaub., ὥσπερ ἑτέρῳ reliq.

τινα μέρη κατασκήπτει, χεῖρας ἢ πόδας ἢ πρόσωπον, οὕτω
καὶ παρ' ὑμῖν ἐπιχώριόν τι νόσημα ταῖς ῥισὶν ἐμπεπτωκέναι,
μηδ' ὥσπερ Λημνίων ταῖς γυναιξὶ τὴν Ἀφροδίτην ὀργισθεῖσαν
λέγουσι διαφθεῖραι τὰς μασχάλας, κἀνθάδε νομίζετε τῶν
πλειόνων διεφθάρθαι τὰς ῥῖνας ὑπὸ δαιμονίου χόλου, κἄπειτα
τοιαύτην φωνὴν ἀφιέναι· πόθεν; ἀλλ' ἔστι σημεῖον τῆς
ἐσχάτης ὕβρεως καὶ ἀπονοίας καὶ τοῦ καταφρονεῖν τῶν καλῶν
51 ἁπάντων καὶ μηδὲν αἰσχρὸν ἡγεῖσθαι. φημὶ δὴ διαλέγεσθαι
τούτοις ὁμοίως καὶ βαδίζειν καὶ βλέπειν. εἰ δὲ μηδὲν ἔκδηλον
οὕτω ποιεῖν διὰ τῶν ὀμμάτων δύνανται, ὥστε ἐπιστρέφειν
ἅπαντας, ἢ μηδέπω τὴν τέχνην ἐπὶ τοσοῦτο προαγηόχασιν,
οὐδὲν ἐπιεικέστερον τἄλλα ἔχουσιν. εἶτ' ἄχθεσθε τοῖς Αἰγεῦσι
καὶ τοῖς Ἀδανεῦσιν, ὅταν ὑμᾶς λοιδορῶσι, τοὺς δὲ ἐκείνοις
μαρτυροῦντας ὡς ἀληθῆ λέγουσι τῶν ὑμετέρων πολιτῶν οὐκ
52 ἐξελαύνετε τῆς πόλεως; οὐκ ἴστε, ὅτι τὸ μὲν ποιεῖν τι τῶν
ἀποῤῥήτων καὶ τῶν παρὰ φύσιν ὑποψίαν ἐπὶ τῶν πλείστων R II
μόνον ἔχει καὶ οὐδεὶς ἑώρακεν οὐδὲν τῶν πολλῶν, ἀλλ' ἐν τῷ
σκότει που καὶ κρύφα λανθάνοντες ἀσεβοῦσιν οἱ κακοδαίμο-
νες· τὰ δὲ τοιαῦτα ξύμβολα τῆς ἀκρασίας μηνύει τὸ ἦθος
καὶ τὴν διάθεσιν, ἡ φωνή, τὸ βλέμμα, τὸ σχῆμα, ἤδη καὶ
ταῦτα τὰ δοκοῦντα σμικρὰ καὶ ἐν μηδενὶ λόγῳ, κουρά, περί-
πατος, τὸ τὰ ὄμματα ἀναστρέφειν, τὸ ἐγκλίνειν τὸν τράχη-
λον, τὸ ταῖς χερσὶν ὑπτίαις διαλέγεσθαι. μὴ γὰρ οἴεσθε
αὐλήματα μὲν καὶ κρούματα καὶ μέλη τὰ μὲν ἐμφαίνειν τὸ
ἀνδρεῖον, τὰ δὲ τὸ θῆλυ, κινήσεις δὲ καὶ πράξεις μὴ διαφέ-
53 ρειν μηδ' εἶναι μηδένα ἐν τούτοις ἔλεγχον. ἀλλ' ἐγὼ βούλομαί
τινα λόγον ὑμῖν εἰπεῖν, ὃν ἴσως καὶ ἄλλοτε ἀκηκόατε. τῶν
γὰρ ἐνθάδε δεινῶν τινα λέγουσιν εἴς τινα πόλιν τῶν αὐτὸ

5. νόσημα. νόημα M. ‖ ῥισίν. ῥεισὶν M. ‖ 6. ὀργισθεῖσαν. ὀρχισθεῖσαν M. ‖ 8. ῥῖνας B, ῥείνας M, ῥίνας reliq. ‖ 9. ἀλλ' ἔστι BMA, ἀλλ' ἐστὶ reliq. — 51, 1. δή. δὴ αὐτὰς Reisk. ‖ 2. τούτοις. ταύτας Koehler. ‖ 3. οὕτω. οὕτο U. ‖ 4. μηδέπω. μὴ δέπω B. ‖ τοσοῦτο. τοσούτο A (superscr. τοσούτω). ‖ προαγηόχασιν M. Selden. r, προσαγειόχασιν U, προσαγιόχασι B, προσαγηόχασιν DA. vm. ‖ 6. λοιδορῶσι. λοιδωρῶσι M. ‖ ἐκείνοις. ἐκείνους A. — 52, 1. τὸ μὲν BM, τὸ om. reliq. ‖ τι τῶν. τί τῶν BM. ‖ 2. ἐπὶ τῶν πλείστων M, ὑπὸ τῶν πλείστων B, τῶν πλείστων reliq. ‖ 3. ἑώρακεν. ἑώρακεν A, ἑόρακεν M. ‖ 6. ἤδη καί. εἴδη καὶ (sed καὶ a corr.) M. ‖ 7. ταῦτα τὰ Reisk., τὰ om. reliq. ‖ 8. τὸ om. D. ‖ 11. κινήσεις. κινήσει M. ‖ 12. μηδένα. μηδέναι M. — 53, 3. εἴς τινα πόλιν. ἐστὶν ἄπολιν M, ἔς τινα πόλιν BU. si non plura turbata sunt, verbum certe excidit, quod vidit Reiskius.

Digitized by Google

τοῦτο ἔργον πεποιημένων, ὥστε εὐθὺς εἰδέναι τὸν τρόπον
ἑκάστου καὶ διηγεῖσθαι τὰ προσόντα, καὶ μηδενὸς ὅλως ἀπο- 410 M
τυγχάνειν· ἀλλ' ὥσπερ ἡμεῖς τὰ ζῷα γιγνώσκομεν ὁρῶντες, ὅτι
τοῦτο μέν ἐστι πρόβατον, εἰ τύχοι, τοῦτο δὲ κύων, τοῦτο δὲ
ἵππος ἢ βοῦς· οὕτως ἐκεῖνος τοὺς ἀνθρώπους ἠπίστατο ὁρῶν καὶ
λέγειν ἠδύνατο, ὅτι οὗτος μὲν ἀνδρεῖος, οὗτος δὲ δειλός, οὗτος δὲ
54 ἀλαζών, οὗτος δὲ ὑβριστὴς ἢ κίναιδος ἢ μοιχός. ὡς οὖν θαυ-
μαστὸς ἦν ἐπιδεικνύμενος καὶ οὐδαμῇ διημάρτανε, προσάγου- 27 R II.
σιν αὐτῷ σκληρόν τινα τὸ σῶμα καὶ σύνοφρυν ἄνθρωπον,
αὐχμῶντα καὶ φαύλως διακείμενον καὶ ἐν ταῖς χερσὶ τύλους
ἔχοντα, φαιόν τι καὶ τραχὺ περιβεβλημένον ἱμάτιον, δασὺν
ἕως τῶν σφυρῶν καὶ φαύλως κεκαρμένον· καὶ τοῦτον ἠξίουν
εἰπεῖν, ὅστις ἦν. ὁ δὲ ὡς πολὺν χρόνον ἑώρα, τελευταῖον
ὀκνῶν μοι δοκεῖ τὸ παριστάμενον λέγειν οὐκ ἔφη ξυνιέναι,
καὶ βαδίζειν αὐτὸν ἐκέλευσεν. ἤδη δὲ ἀποχωρῶν πτάρνυται·
55 κἀκεῖνος εὐθὺς ἀνεβόησεν, ὡς εἴη κίναιδος. εἶτα ἐπὶ ἀνθρώ-
που μὲν ὁ πταρμὸς ἐξήλεγξε τὸν τρόπον καὶ πρὸς τὰ ἄλλα
πάντα ἴσχυσε τὸ μὴ λαθεῖν· πόλιν δὲ οὐκ ἂν ἕν τι τούτων
διαβάλοι καὶ δόξης ἀναπλήσειε πονηρᾶς, καὶ ταῦθ' ὅπου μὴ
δεῖται δεινοῦ τοῦ συνήσοντος, τίνος ἐστὶ σημεῖον; ἀλλ' ἔγωγε
πυθοίμην ἡδέως τῶν ἐμπείρων, τίνι τοῦτο ἔοικεν ἢ τί βούλε-
ται δηλοῦν; οὔτε γὰρ κλωσμὸς οὔτε ποππυσμὸς οὔτε συριγμός
ἐστιν. ἢ τίνος ἐστὶν οἰκεῖον ἔργου καὶ πότε μάλιστα γιγνό-
μενον; οὔτε γὰρ νέμουσιν οὕτως οὔτε ἀροῦσιν οὔτε κυνηγε-
56 τοῦσιν, ἀλλ' οὐδὲ ναυτῶν ἐστιν ἡ φωνή. πότερον οὖν ἀσπα-
ζομένων ἀλλήλους ἢ καλούντων ἢ φιλοφρονουμένων; ἀλλ'
ὥσπερ ὑμέναιος ἴδιόν τι μέλος ἐστὶν ἀρχαῖον ἐπὶ τῶν γαμούν-
των, οὕτω καινὸς οὗτος εὕρηται ῥυθμὸς ἄλλης τινὸς ἑορτῆς.
ἀλλ' ἀπελεύσεσθε ἀγανακτοῦντες καὶ λεληρηκέναι με φάσκον- 28 R II.

4. ὥστε εὐθύς. τὸ ἐξ εἴδους Geel. ‖ 6. ἡμεῖς. ὑμεῖς A. ‖ ζῷα. ζῶια U. ‖ γιγνώσκομεν. γινώσκομεν A. ‖ 10. κίναιδος. κίνεδος M. — 54, 5. ἱμάτιον. prima litera in M in rasura. ‖ 7. τελευταῖον. τελεύτιον M. ‖ 9. πτάρνυται. πταρνοῦται M, πτάρνηται A. m. ‖ 10. κίναιδος. κίνεδος M. — 55, 1. ἐπί. ἐπ' M. ‖ 4. ὅπου μή. οὔπω Pflugk. ‖ 5. ἐστὶ BM (corr. ἐστὶ τὸ). UA, ἐστὶ τὸ reliq. ‖ 6. ἔοικεν. ἔθηκεν M. ‖ 7. κλωσμός. κλυσμός D. ‖ ποππυσμός. πομπυσμὸς M. ‖ 8. ἢ τίνος. ἢ τίνος B. ‖ ἔργου. ἔργον BA. ‖ 9. ἀροῦσιν. ἀρνοῦσιν B. ‖ 10. οὐδὲ ναυτῶν Selden. r, οὐδὲν αὐτῶν M, οὐδὲ αὐτῶν reliqui, unde οὐδενὸς αὐτῶν Casaub. — 56, 4. οὕτω B, οὕτως reliq. ‖ καινὸς οὗτος. κενὸς οὕτως A. ‖ 5. ἀπελεύσεσθε. ἀπελεύσεσθαι M.

Digitized by Google

τες, εἰ τοσούτους λόγους μάτην διεθέμην καὶ πρὸς οὐδὲν τῶν
χρησίμων. μηδεμίαν γὰρ ἐκ τούτου βλάβην ἀπαντᾶν μηδὲ
57 χεῖρον οἰκεῖσθαι τὴν πόλιν. παρὰ δὲ τοῖς Ἕλλησι πρότερον 411 M
δεινὸν ἐδόκει τὸ μετακινεῖν τὴν μουσικήν, καὶ κατεβόων πάν-
τες τῶν ῥυθμὸν εἰσαγόντων ἕτερον καὶ τὰ μέλη ποικιλώτερα
ποιούντων, ὡς διαφθειρομένης ἐν τοῖς θεάτροις τῆς Ἑλλάδος.
οὕτω σφόδρα τὰ ὦτα ἐφύλαττον, καὶ τηλικαύτην ἡγοῦντο
δύναμιν τὴν ἀκοὴν ἔχειν, ὥστε θηλύνειν τὴν διάνοιαν καὶ
ἀδικεῖσθαι τὰ τῆς σωφροσύνης, εἰ παρὰ μικρὸν ἐνδιῴη τὰ
τῆς ἁρμονίας. τοιγαροῦν φασι Λακεδαιμονίους, ἐπειδὴ Τι-
μόθεος ἧκε παρ' αὐτοὺς λαμπρὸς ὢν ἤδη καὶ δυναστεύων
ἐν τῇ μουσικῇ, τήν τε κιθάραν αὐτὸν ἀφελέσθαι καὶ τῶν
χορδῶν τὰς περιττὰς ἐκτεμεῖν. καὶ ὑμεῖς, ἄνδρες Ταρσεῖς,
μιμήσασθε τοὺς Λακεδαιμονίους, ἐκτέμετε τὸν περιττὸν
58 φθόγγον. ὁ παλαιὸς μῦθός φησι τὴν Κίρκην μεταβάλλειν
τοῖς φαρμάκοις, ὥστε σῦς καὶ λύκους ἐξ ἀνθρώπων γίγνε-
σθαι· καὶ ταῦτα ἀπιστοῦμεν Ὁμήρου λέγοντος·

> οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
> καὶ δέμας.

ἀλλ' ἐκείνοις μὲν τὸν νοῦν μένειν φησὶν ἔμπεδον, τούτων δὲ ὁ
59 νοῦς πρῶτος ἀπόλωλε καὶ διέφθαρται. καὶ μὴν οὐχ οὕτω 39 R II
δεινόν ἐστιν, εἰ ἄνθρωποι μεταξὺ προβάτων φωνὴν λάβοιεν
οὐδ' εἰ βοῶν, οὐδ' ἂν χρεμετίζωσιν οὐδ' ἂν ὑλακτῶσιν, ὥσπερ
τὴν Ἑκάβην οἱ ποιηταὶ λέγουσιν ἐπὶ πᾶσι τοῖς δεινοῖς τελευ-
ταῖον ποιῆσαι τὰς Ἐρινύας

> — χαροπὰν κύνα·
> χάλκεον δέ οἱ γνάθων ἐκ πολιᾶν φθεγγομένας

7. μηδεμίαν. μὴ δὲ μίαν B. ‖ μηδὲ Selden. r, μηδὲν reliq. ‖ 8. τήν. καὶ τὴν M. — 57, 4. ἐν τοῖς θεάτροις τῆς Ἑλλάδος BMUD, τῆς Ἑλλάδος ἐν τοῖς θεάτροις reliq. ‖ 5. τὰ ὦτα (ὦτα A) ἐφύλαττον. ἐφύλαττον τὰ ὦτα B. ‖ 6. θηλύνειν. θηλύνην A. ‖ 7. τὰ τῆς ἁ. BM, τὸ τῆς ἁ. reliq ‖ 12. μιμήσασθε. μιμήσασθαι M. — 58, 1. μεταβάλλειν BMA, μεταβαλεῖν reliq. ‖ 2. γίγνεσθαι. γενέσθαι M. ‖ 4. ἔχον. ἔχων A. ‖ 6. ἐκείνοις r, ἐκεῖνος reliq. — 59, 2. μεταξύ. participium deesse iniuria statuit Reiskius. ‖ 3. βοῶν Reisk., βοῶσιν reliq. ‖ 4. τελευταῖον BM, τελευταίαν reliq. ‖ 5. Ἐρινύας BM, Ἐριννύας reliq. ‖ 6. hoc fragmentum Alcmani tribuit Welcker. in Museo Rhenan. I, p. 430. ‖ χαροπάν. χαρόπαν BUA. ‖ 7. δέ οἱ. δέοι B, οἱ delet Reiskius (vel φθεγγομένᾳ desiderat). an δὲ εὖ et infra ἐπ' (i. e. ἔπεισιν) ἀκουέμεν? ‖ γνάθων Geel., γναθμῶν reliq. ‖ πολιᾶν. πολιὰν M.

ὑπακουέμεν Ἴδα Τένεδός τε περιῤῥύτα
Θρηίκιοί τε φιλήνεμοι πέτραι.

60 οὐχ οὕτω φημὶ τοῦτ' εἶναι τὸ τέρας δεινὸν οὐδ' ἀποτρόπαιον, ὡς ὅταν ἀνήρ τις ὢν καὶ τὸν χαρακτῆρα ἔχων τὸν αὐτὸν καὶ τὴν φωνὴν τὴν ἑαυτοῦ καὶ τὰ σημεῖα τῆς φύσεως μὴ δυνάμενος ἀνελεῖν, μηδ' ἂν ἅπαντα ποιῆται περιστέλλων, καθάπερ φώρια κλέπτης, ὑπ' Ἐρινύων τινῶν τυπτόμενος καὶ δια- 30 R II στρεφόμενος καὶ πάντα τρόπον διακλώμενος

πάντα βούληται ποιεῖν, καὶ μηδὲν ὡς πέφυκε· 412 M.

κἄπειτα Πρωτέως τινὸς δίκην ἀλλάττων καὶ μετατιθεὶς αὐτὸν ἐξεύρῃ φωνὴν ἀφιέναι μήτε ἀνδρὸς μήτε γυναικὸς μήτε ἄλλου τινὸς ζώου [μιαρὰν καὶ ἀνδρόγυνον] μιμούμενος μηδὲ χαμαιτύπην αὐτὸ τοῦτο χαμαιτυποῦσαν, ἀλλὰ τοῦ αἰσχίστου ἔργου καὶ τῆς ἀσελγεστάτης πράξεως ὥσπερ ἂν φθεγγόμενος· καὶ ταῦτα μεθ' ἡμέραν ἐκφανοῦς ὄντος ἡλίου, πολλῶν παρόντων.

61 οὐχ οὕτω δεινὸν ἦν τὸ τὰς βύρσας τῶν βοῶν ἕρπειν οὐδὲ τὸ μυκᾶσθαι τὰ κρέα. ποῖος οὖν Ὅμηρος ἢ τίς Ἀρχίλοχος ἰσχύει τὰ κακὰ ταῦτα ἐξᾆσαι; δοκεῖ γάρ ἔμοιγε νὴ τὸν Ἡρακλέα γενναίου τινὸς καὶ τραγικοῦ δεῖσθαι ποιητοῦ τὸ τούτων τῶν

8. ὑπακουέμεν BMD. v, ὑπακούεμεν UA, ὑπακούομεν mr, ὑπάκουε μὲν Geel., ὑπάκουε νίμη (et Ἰδαῖα) Iacobs. ‖ Ἴδα BUD, ἰδία A, Ἰδίους reliqui (at M in rasura), Ἰδαῖοι Casaub. ‖ Τένεδός τε. τε δος τε M in rasura (mrg. vulg.). ‖ περιῤῥύτα. sic dedi. περίῤῥυτος vel περιῤῥύτη Casaub., περιῤῥυτά reliq. ‖ 9. Θρηίκιοι. Θρήκιοί M. ‖ φιλήνεμοι πέτραι Iacobs., φιλάνεμοι πέτραι Hermann. ad Euripid. Hecub 1234, φιλάνεμοί γε πέτραι Geel., φιλίην ἔμοιγε BMUA. v, φίλαι ἔμοιγε mr. conf. Obs. p. 43, ubi φιλήνεμοί γε πέτραι conieceram. — 60, 2. τὸν αὐτόν. τὸν αὐτὸν U, τὸν αὐτοῦ Interpr. r. ‖ 4. ποιῆται. ποιῆτε M, ποιῇ Reisk. ‖ 5. φώρια. φώρεια BU. ‖ Ἐρινύων B, Ἐριννύων reliq. ‖ καὶ διαστρεφόμενος BMU, διαστρεφόμενος Casaub., καὶ νὴ Δία στρεφόμενος Reisk., μὴ διαστρεφόμενος reliq. ‖ 7. βούληται Reisk., βούλεταν reliqui. ἐναντία βούλεται Casaubonus. distinxi versum. ‖ 8. ἀλλάττων. ἐλάττων A. ‖ αὐτόν. αὐτὸν MA. ‖ 9. ἄλλου. ἄλλος M. ‖ 10. [μιαρὰν καὶ ἀνδρόγυνον] delenda. μιαρὰν καὶ ἀνδρόγυνον BMA. Reisk., μικρὰν καὶ ἀνδρόγυνον reliqui. ‖ χαμαιτύπην M. Casaub., χαμαιτυπεῖν reliqui. mihi μηδὲ χαμαιτύπην ante v. μιμούμενος transponenda videntur. Iacobsius locum sic constituit Add. p. 22: ζώου μιαροῦ, μήτε ἀνδρόγυνον μιμούμενος μήτε χαμαιτύπην. ‖ 11. τοῦ αἰσχίστου Iacobs. l. l., τοῦ κακίστου Reisk., τοὐλαχίστου reliq. ‖ 12. ἀσελγεστάτης Reisk., ἀσελγοῦς reliq. ‖ ὥσπερ ἄν. ὥσπερ ὄνομα probabiliter Reisk., ὥσπερ πέρας Iacobs. l. l. ‖ φθεγγόμενος. φθεγγομένην Reisk. ‖ 13. ἐκφανοῦς ὄντος Geel., ἐκφαίνους ἰόντος M, ἐκφανοῦσιν ὄντος BUDA, ἐκφωνοῦσιν ὄντος reliq. — 61, 4. τὸ τούτων τῶν r, τὸ τῶν reliq.

*ἀνθρώπων, ὅστις δυνήσεται κατασχεῖν καὶ ἀνακόψαι τοσαύ-
την φοράν· ὡς ἤδη μανίᾳ τὸ γιγνόμενον ἔοικεν αἰσχρᾷ καὶ* 31 R II
62 *ἀπρεπεῖ. καὶ τοῦτο τὸ νόσημα τῆς ἀπρεπείας καὶ ἀναισχυν-
τίας κύκλῳ περιιὸν ὑμᾶς ἐπὶ πάντα ἄγει τὸ λοιπὸν καὶ ἔργα
καὶ φωνὰς καὶ σχήματα, καὶ παντὸς ἅπτεται καὶ καθικνεῖται
μέρους, ποδῶν, χειρῶν, ὀμμάτων, γλώττης. οὔκουν ἡμῶν
ὄφελος οὐδὲν οὐδὲ τῆς ἀνειμένης ταύτης καὶ ἀσθενοῦς παρα-
μυθίας, ἀλλὰ μᾶλλον Στέντορός τινος χρεία φθεγγομένου
χάλκεον ἢ σιδήρεον, ὃς ἐμοῦ βοήσεται μεῖζον καὶ σαφέστερον.*
63 *ὁρᾶτε γάρ, οἳ πρόεισιν. γενείων τὸ πρῶτον εὑρέθη κουρά,
καὶ τοῦτο ἐδόκει μέτριον, τὸ μὴ σφόδρα καθεικέναι, μηδ' ἐπὶ
πλέον, ἀλλὰ πρᾴως ἐπανορθοῦν τὴν φύσιν. οὐκοῦν ὁ τοιοῦ-
τος ἐδόκει πολλοῖς ἐπιδέξιος. εἶτα ἐξύρων μέχρι τῶν παρειῶν·
οὐδὲ τοῦτό πω δεινόν· ἀλλ' ὅμως ὁ κωμικὸς καὶ τοῦτον ἐκέ-
λευσε κατακαίειν*

— ἐπὶ φαλήτων συκίνων ἑκκαίδεκα.

*πλὴν εἶχον εὐειδῆ τὰ πρόσωπα καὶ παιδικὰ παρ' ἡλικίαν τῆς
λάχνης ταύτης ἀπηλλαγμένα, εἶτα· τοῦτο λοιπὸν ἔτι· τὰ
σκέλη καὶ τὸ στέρνον, ἵνα καὶ τἆλλα ὅμοιοι παισὶν ὦμεν.
εἶτα μέχρι τῶν βραχιόνων, εἶτα ἐπὶ τὰ αἰδοῖα μεταβάν, ᾖ καὶ
τὸ ἡβᾶν δοκεῖ περιττόν, σκώπτεται δὴ καὶ καταγελᾶται παρὰ* 32 R II
τοῖς σοφοῖς καὶ νέοις ἡ τῆς φύσεως τέχνη, καθάπερ ἀρχαία 413 M
τις οὖσα καὶ σφόδρα εὐήθης, ἀχρεῖα καὶ περιττὰ προσθεῖσα
64 *τῷ σώματι. τί γὰρ ὑμῖν ὀνύχων ἔδει; τί δὲ τριχῶν; ἀλλ'
οὐδὲ χειρῶν ἴσως οὐδὲ ποδῶν. αἰδοῖα μόνον ὑμᾶς ἔδει ποιῆ-*

5. *ὅστις.* *ὥς τις* **B.** ‖ **6.** *φοράν.* *φθοράν* **Geel.** — **62, 2.** *περιιόν.* *περιϊὼν* **vm.** ‖ **7.** *ἐμοῦ βοήσεται* **Iacobs. Add. p. 110,** *ἐμβοήσεται* **reliq.** — **63, 1.** *πρόεισιν.* *πρόεισι* **B.** ‖ *τὸ πρῶτον εὑρέθη.* *εὑρέθη τὸ πρῶτον* **B.** ‖ **2.** *καθεικέναι.* *καθηκέναι* **BUA,** *καθικέναι* **M.** ‖ **4.** *ἐξύρων.* *ξυρὸν* **BUA.** ‖ **5.** *τοῦτό πω.* **sic dedi.** *τω τοπω* **M** (*τοῦτο πως* **mrg.**), *τοῦτο πῶς* **BUA,** *τοῦτό πως* **reliq.** ‖ *κωμικός.* *κομικὸς* **D.** ‖ **7.** *φαλήτων συκίνων.* *φαλήτω τῶν συκίνων* **M.** ‖ *ἑκκαίδεκα.* *ἐκκαίδεκα* **A.** ‖ **8.** *τῆς.* **sic dedi.** *καὶ τῆς* **reliq.** ‖ **9.** *λάχνης* **Casaub.,** *ἄχνης* **reliq.** ‖ *ἀπηλλαγμένα* **BM. Iacobs. Add. p. 110,** *ἀπηλλαγμέναν* **U,** *ἀπηλαγμένων* **A,** *ἀπηλλαγμένων* **reliq.** ‖ *λοιπὸν ἔτι* **Iacobs. Add. l. l.,** *λοιπὸν γάρ, ἐπὶ* **Reisk.,** *λοιπὸν ἐπὶ* **reliq.** ‖ **10.** *ὅμοιοι.* **sic dedi.** *ὅμοια* **reliq.** ‖ **11.** *μεταβάν, ᾖ.* **postremae literae in M in rasura,** *μετέβη* **Reisk.,** *μετέβησαν* **Geelius. non accedo.** ‖ **12.** *δή.* **malim** *ἤδη.* ‖ **13.** *καὶ νέοις.* *Καινεῦσι* **Casaubonus egregie.** *καινοῖς* **Hemsterh. ad mrg. exempli sui.** ‖ **14.** *ἀχρεῖα καὶ περιττὰ* **Reisk.,** *καὶ ἀχρεῖα* (*ἀχρεία* **B**) *περιττὰ* **reliq.** ‖ *προσθεῖσα.* *προσθείσασα* **D.** — **64, 1.** *ὑμῖν.* *ἡμῖν* **BD.** ‖ *τί δὲ* **M. Reisk.,** *τί δαὶ* **reliq.**

σαι καὶ γαστέρας καὶ τροφὴν παραθεῖναι καὶ τἆλλα, ὧν ἔστιν ἀπολαύειν. τοιγαροῦν αὐτοὶ περικόπτομεν ἑαυτούς, καὶ τὰ μὲν γένεια καὶ τὴν ἥβην ἀφαιροῦμεν, ἃ τῶν ἀνδρῶν ἴδιά ἐστιν· εἰ δὲ ἦν δυνατὸν παρὰ τῶν γυναικῶν προσλαβεῖν ἕτερα, δηλονότι παντελῶς τότ' ἂν ἦμεν εὐδαίμονες, οὐ, καθάπερ νῦν, ἐνδεεῖς ὄντες, ἀλλ' ὁλόκληροί τινες καὶ κατὰ φύσιν ἀνδρόγυνοι.

ΛΟΓΟΣ λδ
ΤΑΡΣΙΚΟΣ ΔΕΥΤΕΡΟΣ.

1 Οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες Ταρσεῖς, ὅτι νομίζεται καὶ
παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις τοὺς πολίτας παριέναι καὶ
συμβουλεύειν, οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς γνωρίμους καὶ
τους πλουσίους, ἔτι δὲ τοὺς καλῶς λελειτουργηκότας. οὐ γαρ
εὔλογον ἴσως τῆς μὲν οὐσίας τῆς τῶν πλουσίων μετέχειν ὑμᾶς
τὸ μέρος, τῆς δὲ διανοίας μὴ ἀπολαύειν, ὁποία ποτ' ἂν ᾖ.
καίτοι κιθαρῳδῶν γε ὁπόταν ἀκούειν ἐθελήσητε ἢ αὐλητῶν 33 R II.
ἢ ἀθλητὰς θεωρεῖν, οὐ καλεῖτε τοὺς πλουσίους οὐδὲ τους
πολίτας, ἀλλὰ τοὺς ἐπισταμένους καὶ δυναμένους· οὐχ ὑμεῖς
2 μόνον, ἀλλὰ πάντες οἱ τοιοῦτοι. οὐ μὴν οὐδὲ ἐκεῖνο λανθάνει
με, ὅτι τοὺς ἐν τούτῳ τῷ σχήματι σύνηθές μέν ἐστι τοῖς
πολλοῖς Κυνικους καλεῖν· οὐ μόνον δὲ οὐδὲν οἴονται διαφέρειν
αὐτῶν οὐδ' ἱκανους εἶναι περὶ πραγμάτων, ἀλλὰ τὴν ἀρχὴν
οὐδὲ σωφρονεῖν ἡγοῦνται, μαινομένους δέ τινας ἀνθρώπους

3. παραθεῖναι. παραθῆναι U. ‖ 6. ἰδιά ἐστιν A, ἴδια ἐστὶν reliq. ‖ 8. ἐνδεεῖς. ἐνδεὴς U. ‖ ἀλλ'. ἀλλὰ B.

Orat. XXXIV. Collati sunt BM et D (cum edit. Morell.). — 1, 6. ποτ' ἂν ᾖ. ποτε ἦν M. ‖ 7. ἢ αὐλητῶν om. D. ‖ 9. ἀλλά. ἀλλὰ καὶ Reisk. — 2, 1. λανθάνει με Geel., λανθάνειν BM, λανθάνει reliq. ‖ 4. αὐτῶν. αὑτῶν M. ‖ πραγμάτων. deesse videtur συμβουλεύειν, Reiskius supplebat διαλέγεσθαι. ‖ 5. σωφρονεῖν. φρονεῖν Pflugk.

καὶ ταλαιπώρους εἶναι. σκώπτειν δὲ καὶ καταγελᾶν ἔνιοι
τούτων ἑτοίμως ἔχουσι καὶ πολλάκις μηδὲ σιγῶσιν ἐπιτρέπειν,
3 οὐχ ὅπως λεγόντων ἀνέχεσθαι. ἔτι δέ φασιν ὑμᾶς ἐν τῷ III M
παρόντι καὶ λίαν παρωξῦνθαι πρὸς τοὺς φιλοσόφους καὶ
καταρᾶσθαί γε, οὐ πᾶσιν, ἀλλὰ οἷς αὐτῶν· πάνυ μὲν εὐλα-
βῶς καὶ μετρίως τοῦτο ποιοῦντας, ὅτι μὴ κοινῇ κατὰ πάντων
ἐβλασφημεῖτε, εἴ τι οἱ ἐνθάδε ἡμάρτανον, ἐκεῖνο δὲ ἴσως
ἀγνοοῦντας, ὅτι, εἴπερ κατηρᾶσθε, οὐ τοῖς φιλοσόφοις. οὐ
γάρ ἐστιν οὐδεὶς φιλόσοφος τῶν ἀδίκων καὶ πονηρῶν, οὐδ'
ἂν τῶν ἀνδριάντων περιίῃ γυμνότερος. οἱ δὲ δὴ τὴν πατρίδα R II
βλάπτοντες καὶ συνιστάμενοι κατὰ τῶν πολιτῶν πόῤῥω που
4 δοκοῦσιν εἶναί μοι τούτου τοῦ ὀνόματος. ὅ τι ποτ' οὖν ἐλπί-
σας καὶ τί βουληθεὶς παρελήλυθα τοιοῦτος ὢν ἐν καιρῷ τοι-
ούτῳ; μανίας γὰρ τοῦτο ἀληθινῆς. ὅτι μηδενὸς αὐτὸς δέομαι
παρ' ὑμῶν, ἀλλὰ τῆς ὑμετέρας ὠφελείας ἕνεκα ἐσπούδακα.
ἐὰν οὖν μὴ ἀνάσχησθέ μου, δηλονότι ὑμᾶς αὐτούς, οὐκ ἐμέ,
ζημιώσετε. καίτοι προσήκει γε ὑμῖν, εἴ με ἡγεῖσθε καὶ τῷ
ὄντι μαίνεσθαι, δι' αὐτὸ τοῦτο ἀκοῦσαι. μὴ γὰρ οἴεσθε
ἀετοὺς μὲν καὶ ἱέρακας προσημαίνειν ἀνθρώποις τὸ δέον,
καὶ τὴν παρὰ τῶν τοιούτων συμβουλὴν πιστὴν εἶναι διὰ τὸ
αὐτόματον καὶ τὸ θεῖον, ἄνδρα δὲ ἀφιγμένον οὕτως καὶ
μηδαμόθεν ὑμῖν προσήκοντα μὴ κατὰ τὸ δαιμόνιον ἥκειν
5 ἐροῦντα καὶ συμβουλεύσοντα. καίτοι τὰ μὲν τῶν οἰωνῶν
εἰκάζειν δεῖ, τῶν δὲ ὑπ' ἐμοῦ λεγομένων ἔστιν ἀκούσασι συν-
ιέναι καὶ σκέψασθαι, ἐὰν ἄρα σαφῶς ᾖ τι χρήσιμον. βού-

6. δὲ καί. δὲ in M a corr. add. ‖ 7. τούτων ἑτοίμως ἔχουσι BM, τούτων ἕτοιμοι ἔχουσι D, τούτων ἔχουσι reliqui, unde τοῦτ' ἔθος ἔχουσι Selden., τούτων ἐθέλουσι (vel εἰώθασι) Reisk. — 3, 2. λίαν. λείαν M. ‖ 3. ἀλλὰ οἷς αὐτῶν. ἀλλὰ τοῖς αὐτῶν r, ἀλλ' ἔστιν οἷς αὐτῶν Casaub., ἀλλ' ἐνίοις αὐτῶν Geel. ‖ 4. κατὰ Reisk., μετὰ reliq. ‖ 5. εἴ τι BM, ὅτε reliq. ‖ 6. ἀγνοοῦντας Reisk., ἀγνοοῦντες reliq. ‖ κατηρᾶσθε. κατηρᾶσθαι M. ‖ οὐ τοῖς. οὐ om. M. ‖ 7. οὐδ' ἂν M, οὐδὲ reliq. ‖ 8. περιίῃ. sic dedi. περ ᾖ M, ἄνπερ ᾖ reliq. — 4, 1. ὅ τι. τί Pflugk. ‖ ποτ' οὖν. sic dedi. ποτ' ἂν οὖν Reisk., ποτ' ἄρα Iacobs., ποτ' ἂν reliq. ‖ 6. καίτοι Reisk., καίτοι οὐ reliq. ‖ εἴ Iacobs. Add. p. 11, ἐάν Selden., ἕνα reliqui. audacius hunc locum sic constituit Reiskius: εἰ καὶ τούτων ἕνα με ἡγεῖσθε. ‖ ἡγεῖσθε Selden. r, ἡγεῖσθαι reliq. ‖ καὶ delet Iacobs. l. l. ‖ 8. ἱέρακας. ἱερὰ (mrg. vulg.) M. ‖ 9. παρὰ τῶν τοιούτων Iacobs. Add. p. 238, παρ' αὐτῶν Reisk., παρ' αὐτῶν τούτων reliq. ‖ συμβουλήν. συμβολὴν B. ‖ 11. κατὰ τό. κατὰ BD, κατά τι Pflugk. ‖ 12. συμβουλεύσοντα. συμβουλεύοντα M. — 5, 2. ἔστιν. malim ἔστι σαφῶς. ‖ 3. ἐάν. ἂν M.

λομαι δὲ, ἐπεὶ τῶν τοιούτων ἐμνήσθην, ἐν Φρυγίᾳ τι συμβὰν
εἰπεῖν, ἵν' εὐθὺς ἐνθένδε μου καταγελᾶν ἔχητε. ἀνὴρ Φρὺξ
ἐπὶ κτήνους ἐβάδιζεν· ὡς δ' ἐθεάσατό τινα κορώνην, οἰωνι-
σάμενος· οἱ γὰρ Φρύγες τὰ τοιαῦτα δεινοί· λίθῳ βάλλει καί
πως τυγχάνει αὐτῆς. πάνυ οὖν ἥσθη, καὶ νομίσας εἰς ἐκείνην 35 R II.
τετράφθαι τὸ χαλεπὸν ἀναιρεῖται καὶ ἀναβὰς ἤλαυνεν. ἡ δὲ 415 M.
μικρὸν διαλιποῦσα ἀνέσφηλε, τὸ δὲ κτῆνος πτοηθὲν ἀποβάλ-
λει τὸν ἄνδρα, καὶ ὃς πεσὼν κατάγνυσι τὸ σκέλος. ἐκεῖνος
μὲν οὖν οὕτως ἀπήλλαξεν ἀχάριστος γενόμενος περὶ τὸ σύμ-
6 βολον. ἐγὼ δὲ πολύ μοι δοκῶ τῆς κορώνης ἀσφαλέστερον
βεβουλεῦσθαι καὶ πρὸς εὐγνωμονεστέρους ἄνδρας ἥκειν τοῦ
Φρυγός. ἐὰν γὰρ ὑμῖν δοκῶ φλυαρεῖν, οὐ δήπου λίθοις βα-
λεῖτέ με, ἀλλὰ θορυβήσετε. φέρε οὖν, ἐπεὶ σιωπᾶτε καὶ
ὑπομένετε, πρῶτον μὲν ἐκεῖνο, εἰ μὴ σαφῶς ἴστε, ἐπιδείξω,
ὅτι δεῖσθε γνώμης ἐν τῷ παρόντι, καὶ τοιαῦτα ὑμῶν τὰ πρά-
γματά ἐστιν, ὥστε βουλῆς ἄξια εἶναι καὶ πολλῆς προνοίας·
ἔπειθ', ὅτι μηδεὶς ὑμῖν δύναται ῥᾳδίως τούτων τὸ δέον παραι-
νέσαι, οἱ μὲν ἀγνοίᾳ τοῦ συμφέροντος, οἱ δέ τινες καὶ δειλίᾳ
τῇ πρὸς ὑμᾶς ἢ τῇ πρὸς ἑτέρους καὶ τὸ αὑτῶν ἴσως μᾶλλον
7 ἔνιοι σκοποῦντες· ἔπειτα, ἣν αὐτὸς ἔχω γνώμην περὶ τούτων,
καὶ τί πράξασιν ὑμῖν ἐπὶ τοῦ παρόντος καὶ πῶς καθόλου
προϊσταμένοις τῆς πόλεως εἰς ἅπαντα καὶ τὸν αὖθις οἴομαι 36 R II.
συνοίσειν χρόνον. ὑμῖν γὰρ, ἄνδρες Ταρσεῖς, συμβέβηκε μὲν
πρώτοις εἶναι τοῦ ἔθνους οὐ μόνον τῷ μεγίστην ὑπάρχειν τὴν
πόλιν τῶν ἐν τῇ Κιλικίᾳ καὶ μητρόπολιν ἐξ ἀρχῆς, ἀλλ' ὅτι
καὶ τὸν δεύτερον Καίσαρα ὑπὲρ πάντας ἔσχετε οἰκείως ὑμῖν
διακείμενον. τὸ γὰρ δι' ἐκεῖνον ἀτύχημα τῇ πόλει συμβὰν
εἰκότως αὐτὸν εὔνουν ὑμῖν ἐποίει καὶ σπουδάζειν, ὅπως μεί-
ζονες ὑμῖν φανήσονται τῶν δι' αὐτὸν συμφορῶν αἱ παρ' αὐτοῦ
8 χάριτες. τοιγαροῦν ἅ τις ἂν φίλοις ὄντως καὶ συμμάχοις καὶ
τηλικαύτην προθυμίαν ἐπιδειξαμένοις κἀκεῖνος ὑμῖν παρέσχε,
χώραν, νόμους, τιμήν, ἐξουσίαν τοῦ ποταμοῦ, τῆς θαλάττης

ἄρα σαφῶς. σαφῶς malim abesse. ‖ 4. ἐπεὶ. ἐπὶ D. ‖ 5. ἔχητε. sic dedi. ἔχοιτε reliq. ‖ 9. ἀναιρεῖται. ἀναιρεῖ τε BA. — 6, 4. ἐπεὶ. ἐπὶ (corr. vulg.) M. ‖ 8. ὑμῖν. ὑμῶν ὑμῖν (et mox περὶ τούτων) Reisk. ‖ 10. ὑμᾶς. ἡμᾶς BMD. — 7, 2. πράξασιν. sic dedi. πράξασιν ἂν Reisk., πράξας ἂν reliq. (at M in rasura). ‖ 3. προϊσταμένοις Reisk., προϊστάμενος reliq. ‖ 5. πρώτοις. πρώτους BD. ‖ 7. ἔσχετε. ἔχετε M. ‖ 10. φανήσονται M, φανήσωνται reliq.

Digitized by Google

τῆς καθ' αὑτούς· ὅθεν ταχὺ μείζων ἐγένετο ἡ πόλις καὶ διὰ
τὸ μὴ πολύν τινα χρόνον διελθεῖν τὸν ἀπὸ τῆς ἁλώσεως, κα-
θάπερ οἱ μεγάλῃ μὲν νόσῳ χρησάμενοι, ταχὺ δ' ἀνασφήλαν-
τες, ἐπειδὰν τύχωσιν ἱκανῆς τῆς μετὰ ταῦτα ἐπιμελείας, πολ- 416 M.
9 λάκις μᾶλλον εὐέκτησαν. καὶ μὴν τά γε ἐφεξῆς οὐχ ὡς οἴεταί 37 R II
τις ὤνησε τὴν πόλιν τὸ γενέσθαι τινὰς τῶν ἡγεμόνων βιαίους
καὶ τούτοις ἐπεξελθεῖν ὑμᾶς. πρὸς μέν γε τὸ φανῆναί τινας
ὄντας καὶ μὴ μόνον ἑαυτοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις βοηθῆσαι,
καὶ νὴ Δία ὥστε τοὺς αὖθις ὀκνηρότερον ἐξαμαρτάνειν, συν-
ήνεγκε τὸ δίκην ἐκείνους ὑποσχεῖν· ἄλλως δὲ τὴν πόλιν ἐπί-
φθονον ἐποίησε καὶ δυσχερεστέρους ὑμᾶς δοκεῖν φύσει καὶ
ῥᾳδίως αἰτιᾶσθαι. τὸ γὰρ πολλάκις ἐγκαλεῖν ἤδη ποτὲ ἔδοξε
τοῦ συκοφαντεῖν σημεῖον, ἄλλως τε ὁπόταν περὶ ἡγεμόνων ὁ
λόγος ᾖ πρὸς ἡγεμόνας. οὐ γὰρ τῷ πλέον τι πάσχειν, ἀλλὰ
τῷ μὴ ἐθέλειν ἄρχεσθαι τὴν ἀπέχθειαν ὑπονοοῦσι γίγνεσθαι.
10 πάλιν τοίνυν ἕτερον πρᾶγμα συμβὰν ὑπὲρ ὑμῶν τρόπον τινὰ
ὅμοιον τούτῳ γέγονεν. οἱ γὰρ Αἰγαῖοι φιλοτιμίαν ἀνόητον 38 R II
ἐπανελόμενοι πρὸς ὑμᾶς, τὸ περὶ τὰς ἀπογραφὰς ἐξαμαρτά-
νοντες, αὐτοὶ μὲν ἔπταισαν· ἔτι δὲ μᾶλλον τὸν καθ' ὑμῶν
φθόνον καὶ τοιαύτην τινὰ ἡσυχῇ διαβολὴν εἰργάσαντο πρὸς
11 τὴν πόλιν ὡς ἐπαχθῆ καὶ βαρεῖαν ταῖς ἄλλαις. καὶ ταῦτα
μὲν ἐκ τοῦ πρότερον χρόνου. τὰ δὲ νῦν οἵ γε Μαλλῶται δια-
φέρονται πρὸς ὑμᾶς, αὐτοὶ μὲν ἅπαντα ἀδικοῦντες καὶ θρα-
συνόμενοι, τῷ δὲ ἀσθενεῖς εἶναι καὶ πολὺ ἥττους ἀεὶ μᾶλλον

8, 4. καθ' αὑτούς Reisk., καθ' αὑτὴν reliq. ‖ ταχὺ. ταχὺν M. ‖ μείζων M. Casaub. r, μεῖζον BD. vm. ‖ καὶ διὰ τὸ aliquid deesse sine caussa opinabatur Casaubonus. ‖ 7. ἐπειδὰν τύχωσιν Reisk. (idem ἐὰν ἐπιτύχωσιν), ἐπεὶ τύχωσιν Casaub., ἐπιτύχωσιν reliq. ‖ 8. μᾶλλον M (mrg. μὲν). D. Obs. p. 43, μέγ' Iacobs., μὲν reliqui. Reiskius aut hoc delendum esse aut aliquid excidisse suspicabatur. — 9, 1. οὐχ ὡς Obs. p. 43, ὡς οὐκ reliqui, Reiskius post τις v. οὐδὲ supplebat. ‖ 2. ἡγεμόνων BM (mrg. ἡγουμένων). D, ἡγουμένων reliq. ‖ 4. ὄντας. ὄντας ὑμᾶς Reisk. ‖ ἑαυτοῖς. ἑαυτῆς M. ‖ 5. ὥστε τούς. εἰς τὸ Pflugk. ‖ ὀκνηρότερον BM (mrg. ὀκνηροτέρους). D. Pflugk., ὀκνηροτέρους reliqui, unde ὀκνηροτέρους γεγονέναι Reisk. ‖ 8. ῥᾳδίως. ῥᾳδίους Reisk. ‖ ἤδη ποτὲ M. Casaub. r, ἢ δήποτε reliq. ‖ 11. τῷ. τῶν D. — 10, 1. ὑπέρ. ὑφ' vel καθ' vel παρ' Reisk. ‖ 2. γέγονεν. γεγονός (corr. vulg.) M. ‖ 4. ἔπταισαν pr. man. M ut videtur (corr. ἔπαισαν). r. ἔπαισαν reliq. ‖ τὸν καθ'. τὸν malim abesse. ‖ 6. ὡς. ὥστ' (et ἄλλαις φαίνεσθαι vel φανῆναι) Reisk. — 11, 2. γε Reisk, τε reliq. ‖ Μαλλῶται M, Μαλῶται reliq. ‖ 4. ἥττους ἀεί. ἀεὶ delendum videtur, e proximis huc translatum.

τὴν τῶν ἀδικουμένων τάξιν ἀεὶ λαμβάνοντες. οὐ γὰρ ἃ ποι-
οῦσιν ἔνιοι σκοποῦσιν, ἀλλὰ τίνες ὄντες, οὐδὲ τοὺς ἀδικοῦν-
τας ἢ βιαζομένους ἐθέλουσιν ἐξετάζειν πολλάκις, ἀλλ' οὓς
εἰκὸς βιάζεσθαι τῷ δύνασθαι πλέον. εἰ γοῦν ὑφ' ὑμῶν
ἐπράχθη τι τοιοῦτον, οἷον ὑπ' ἐκείνων νῦν γέγονε, πορθεῖν
ἂν ἐδοκεῖτε τὰς πόλεις καὶ ἀποστάσεως ἄρχειν καὶ πολέμου,
12 καὶ στρατοπέδου δεῖν ἐφ' ὑμᾶς. οὐκοῦν δεινὰ πάσχομεν, ἐρεῖ
τις, εἰ τούτοις μὲν ἐξέσται ποιεῖν, ὅ τι ἂν ἐθέλωσι, καὶ τοῦτο
ἀπολαύσουσι τῆς ἐρημίας τῆς ἑαυτῶν, ἡμεῖς δὲ κινδυνεύσομεν,
ἐὰν μόνον κινηθῶμεν. ἔστω δεινὸν καὶ ἄδικον. ἀλλ' οὐκ, εἴ
τι μὴ δίκαιον πέφυκε γίγνεσθαι, δεῖ πρὸς τοῦτο φιλονεικοῦν- 417M. 39RII.
τας αὑτοὺς περιβάλλειν ἀτόπῳ τινί, μᾶλλον δὲ προορᾶν καὶ
φυλάττεσθαι. τὸ γὰρ συμβαῖνον ὅμοιόν ἐστι τῷ περὶ τοὺς
13 ἀθλητάς, ὅταν ἐλάττων πρὸς πολὺ μείζω μάχηται. τῷ μὲν
οὐδὲν ἔξεστι παρὰ τὸν νόμον, ἀλλὰ κἂν ἄκων ἁμάρτῃ τι,
μαστιγοῦται· τὸν δὲ οὐδεὶς ὁρᾷ πάνθ' ἃ δύναται ποιοῦντα.
τοιγαροῦν κἀκεῖ σωφρονοῦντος ἀνδρός ἐστι καὶ ταῖς ἀλη-
θείαις κρείττονος τῇ δυνάμει περιεῖναι, τὰς δὲ πλεονεξίας
ταύτας ἐᾶν, καὶ ὑμεῖς ἂν ἔχητε νοῦν, τοῖς δικαίοις περι-
έσεσθε καὶ τῷ μεγέθει τῆς πόλεως τῶν φθονούντων· πρὸς
ὀργὴν δὲ οὐδὲν οὐδὲ ἀγανακτοῦντες δράσετε. καὶ περὶ μὲν
14 τούτων αὖθις, ὥσπερ οἶμαι καὶ προεθέμην. νῦν δὲ καὶ τὰ
λοιπὰ ἐπέξειμι διὰ πλείονος σκέψεως, ἧς φημι δεῖσθαι τὸν
ἐνεστῶτα καιρόν. ἡ μέν γε τῶν Μαλλωτῶν ἀπέχθεια καὶ
στάσις ἧττον ὀφείλει λυπεῖν ὑμᾶς. τὸ δὲ Σολεῖς τούτους καὶ
Ἀδανεῖς καί τινας ἴσως ἄλλους ὁμοίως ἔχειν καὶ μηδὲν ἐπι-
εικέστερον, ἀλλὰ καὶ βαρύνεσθαι καὶ βλασφημεῖν καὶ μᾶλλον
ἑτέρων ὑπακούειν ἐθέλειν, ὑποψίαν ποιεῖ τοῦ μηδὲ τοὺς Αἰ-

8. τῷ. τὸ D. ‖ 9. τοιοῦτον. τοιοῦτο M. ‖ 10. ἐδοκεῖτε BMD. Obs. p. 43, δοκῆτε reliq. ‖ ἄρχειν Casaub. r, ἀρχὴν reliq. — 12, 1. πάσχομεν. ἐπάσχομεν M. ‖ 3. ἀπολαύσουσι Reisk., ἀπολαύουσι reliq. ‖ 4. εἴ τι. ἔστι M. ‖ 5. μή. μοι D. ‖ γίγνεσθαι M, γίνεσθαι reliq. ‖ φιλονεικοῦντας. φιλονικοῦντας M. ‖ 6. περιβάλλειν. περιβάλλων (superscr. vulg.) M, περιβάλλει D. m. ‖ 8. ἐλάττων. ἐλάττω M. ‖ μείζω. μεῖζον BM. — 13, 1. μὲν M, μὲν γὰρ reliq. ‖ 3. δέ. δ' M. ‖ οὐδείς. οὐθεὶς M. ‖ 4. σωφρονοῦντος. σοφρονοῦντος M. ‖ 6. ταύτας ἐᾶν. καὶ ὑμεῖς ἂν ἔχητε Reisk., ταύτας, ἐὰν ὑμεῖς ἔχητε reliq., ταύτας ἐᾶν· ἐὰν δ' ὑμεῖς ἔχητε Iacobs. — 14, 1. καὶ τά. καὶ τὰ ὅ m. ‖ 2. ἧς om. M. ‖ 3. Μαλλωτῶν M (corr. μαλωτῶν), Μαλωτῶν reliq. ‖ 4. στάσις. στάσεις M. ‖ 5. ἄλλους. ἄλους M. ‖ ἔχειν. ἔχει M. ‖ 7. ὑπακούειν cum genitivo constructum iniuria offendit Reiskium.

Digitized by Google

γαίους τάχα μηδὲ τοὺς Μαλλώτας παντάπασιν ἀδίκως ἄχθε-
σθαι, μηδὲ τοὺς μὲν φθόνῳ, τοὺς δὲ πλεονεκτεῖν βουλομένους
ἠλλοτριῶσθαι πρὸς ὑμᾶς· ἀλλ' ἴσως εἶναί τι τοιοῦτο περὶ
τὴν πόλιν καὶ ὑβρίζειν πως καὶ ἐνοχλεῖν τοὺς ἐλάττονας.
15 ταῦτα γάρ ἐστι μὲν οὐκ ἀληθῆ, ταὐτὰ δ' ἂν ὑμᾶς ὡς ἀληθῆ
βλάψειεν. φέρε δὴ καὶ τὰ πρὸς τὸν στρατηγὸν ὑμῖν ὡς ἔχει
λογίσασθε. πρότερον μὲν ὑποψία μόνον ὑπῆρχεν ὡς οὐχ
ἡδέως ὑμῶν διακειμένων, ἀλλ' ὅμως ἐκεῖνός τε ἐπολιτεύετο
πρὸς ὑμᾶς καὶ ὑμεῖς πρὸς ἐκεῖνον καὶ φανερὸν οὐδὲν ἦν· ἄρτι
δὲ ὑμεῖς τε τῷ δοκεῖν ἐλαττοῦσθαι παροξυνθέντες εἴπατέ τι
κἀκεῖνος προήχθη καὶ γράψαι πρὸς ὀργὴν καὶ ποιῆσαι τοῦθ',
16 ὅπερ μὴ πρότερον. νὴ Δία ἀλλά γε τὰ τῆς πόλεως αὐτῆς καὶ
τὰ πρὸς ἀλλήλους ὑμῖν ὡς δεῖ πρόεισιν, οὐχ ὡς πρώην χωρὶς
ἦν ὁ δῆμος καὶ χωρὶς ἡ βουλὴ καὶ νῦν ἔτι καθ' αὑτοὺς οἱ
γέροντες, ἰδίᾳ τὸ συμφέρον ἑκάστων δηλονότι σκοπούντων·
ὥσπερ εἰ καταπλεόντων ἰδίᾳ μὲν οἱ ναῦται τὸ συμφέρον αὐ-
τοῖς ζητοῖεν, ἰδίᾳ δὲ ὁ κυβερνήτης, ἰδίᾳ δὲ ὁ ναύκληρος. καὶ
γὰρ εἰ πολλάκις ταῦτα λέγεται, ἀλλ' οὖν προσήκει μὴ διὰ
τοῦτο παραπέμπειν. οὐ γὰρ τὸ πρώτως ῥηθὲν οὐδ' ὃ μὴ πρό-
τερόν τις ἤκουσε δεῖ προθύμως ἀποδέχεσθαι, τὸ δὲ οἰκεῖον
17 τῷ πράγματι καὶ τὸ χρείαν τινὰ ἔχον. νὴ Δία ἀλλὰ νῦν
ὡμολογήκαμεν καὶ κοινῇ βουλευόμεθα. καὶ τίς ἂν ἀσφαλῆ
καὶ βέβαιον ἡγήσαιτο τὴν τοιαύτην ὁμόνοιαν, τὴν ὑπ' ὀργῆς
μὲν γενομένην, τριῶν δὲ οὖσαν ἢ τεττάρων ἡμερῶν; οὐδὲ γὰρ

8. *Μαλλώτας* M (corr. *μαλῶτας*), *Μαλώτας* reliq. ‖ 10. *ἠλλοτριῶσθαι* BM (*ἢ ἀλλοτριῶσθαι* corr.). r, *ἢ ἀλλοτριῶσθαι* reliq. ‖ *τι* Casaub. r, *τὸ* reliq. ‖ *τοιοῦτο* M, *τοιοῦτον* reliq. ‖ 11. *καὶ ὑβρίζειν πως*. *ἀδικεῖν καὶ ὑβρίζειν πάντας* Reisk., *ὡς ὑβρίζειν πως* Iacobs. — 15, 1. *ταὐτὰ δ' ἄν*. sic dedi. *τάχα δ'* Reisk., *ταῦτα δ'* reliq. ‖ 2. *τὰ πρὸς* Reisk., *τὰ* om. reliq. ‖ 3. *ὑποψία*. *ὑποψίᾳ* m. ‖ 6. *δὲ*. *δὲ εἰ* B ‖ *ὑμεῖς τε* M. r, *ὑμεῖς γε* reliq. ‖ *τῷ* BM. Casaub. r, *τὸ* reliq. ‖ 7. *προήχθη*. *προήχθη η* BM (corr. vulg.). — 16, 1. *νὴ Δία ἀλλά γε τὰ τῆς πόλεως αὐτῆς*. sic dedi. *ἀλλ' ἄγε νὴ Δία διὰ τῆς πόλεως ὑμῖν αὐτῆς* B, *νὴ δία ἀλλά γε νὴ δία τῆς πόλεως αὐτῆς* M, *νὴ Δία ἀλλά γε, νὴ Δία, διὰ τῆς πόλεως ὑμῖν αὐτῆς* D. vm, unde *νὴ Δία ἀλλά γε τὰ τῆς πόλεως ὑμῖν αὐτῆς* Casaub., *ἀλλ' ἄγε νὴ Δία τά τε πόλεως αὐτῆς* r, *νὴ Δία ἀλλά γε νῦν ἤδη καὶ τά τε πόλεως ὑμῖν αὖθις* Iacobs., *ἀλλὰ νὴ Δία τὰ τῆς πόλεως ὑμῖν αὐτῆς* Pflugk. ‖ 2. *ὡς δεῖ*. *πῶς* Casaub. ‖ *πρόεισιν*. *πρόεισιν* M. ‖ 4. *ἰδίᾳ* Vales. p. 65. r, *διὰ* reliq. ‖ *ἑκάστων* Reisk., *ἑκάστῳ* reliq. ‖ 5. *εἰ*. *ἂν εἰ* Reisk. ‖ *καταπλεόντων*. *καὶ τὰ πλεόντων* M, *κοινῇ πλεόντων* vel *ἅμα πλεόντων* Obs. p. 43. ‖ 7. *ἀλλ' οὖν* om. M. ‖ *οὖν προσήκει μή*. *οὐ προσήκει* Reisk. — 17, 2. *βουλευόμεθα*. *βουλεύμεθα* D. ‖ 4. *οὖσαν*. *οὐσῶν* (mrg. vulg.) M.

γιαίνειν ἀσφαλῶς εἴποι τις τὸν πρὸ μικροῦ πυρέττοντα. μὴ
τοίνυν μηδὲ ὑμεῖς αὐτοὺς ὁμονοεῖν λέγετε, πρὶν ἂν ὑμῖν μά-
λιστα μὲν πολλαπλάσιος διέλθῃ χρόνος· εἰ δ' οὖν, τοσοῦτος,
ὅσον δὴ διαφέρεσθε· μηδ', εἰ ταὐτό ποτ' ἐφθέγξασθε καὶ 42 R II.
τὴν αὐτὴν ἔχετε ὁρμήν, καὶ δὴ νομίζετε ἐξῃρῆσθαι τὸ νόσημα
18 τῆς πόλεως. καὶ γὰρ ἐν τοῖς ἀναρμόστοις ὀργάνοις ἐνίοτε οἱ
φθόγγοι συνεφώνησαν πρὸς ὀλίγον, εἶτα εὐθὺς ἀπᾴδουσιν.
ὥσπερ οὖν τὸ μὲν τρῶσαί τι καὶ διελεῖν ταχὺ γίγνεται καὶ
πάνυ ῥᾳδίως, τὸ δὲ συμφῦσαι καὶ συναγαγεῖν χρόνου δεῖται
καὶ προσοχῆς· οὕτω καὶ ἐπὶ τῶν πόλεων ἔχει· τὸ μὲν διενε-
χθῆναι καὶ στασιάσαι πρόχειρον καὶ διὰ μικρὰ συμβαίνει
πολλάκις, τὸ δὲ καταστῆναι καὶ τὴν προσήκουσαν λαβεῖν
διάθεσιν καὶ πίστιν μὰ Δί' οὐκ ἔστιν εἰπόντας οὐδὲ δόξαντας
19 μετανοεῖν εὐθὺς ἔχειν. ἴσως μὲν γὰρ οὐ παρὰ μόνοις ὑμῖν,
ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασι μεγάλης τινὸς τοῦτο δεῖται
θεραπείας, μᾶλλον δὲ εὐχῆς. οὐ γάρ ἐστιν ἄλλως ἢ τῶν κι-
νούντων κακῶν καὶ ταρασσόντων ἀπολυθέντας, φθόνου,
πλεονεξίας, φιλονεικίας, τοῦ ζητεῖν ἕκαστον αὔξειν ἑαυτὸν 419 M.
καὶ τὴν πατρίδα καὶ τὸ κοινῇ συμφέρον ἐάσαντας συμπνεῦ-
σαί ποτε ἰσχυρῶς καὶ ταὐτὰ προελέσθαι. ὡς παρ' οἷς ἂν
ἰσχύῃ ταῦτα καὶ τοιαῦθ' ἕτερα, τούτους ἀνάγκη τὸν ἀεὶ
χρόνον ἐπισφαλεῖς εἶναι καὶ διὰ μικρὰ συμπίπτειν καὶ θορυ-
βεῖσθαι, καθάπερ ἐν θαλάττῃ πνευμάτων ἐναντίων ἰσχυόν- 43 R II.
20 των. ἐπεί τοι μηδὲ τὴν βουλὴν αὐτὴν ἡγεῖσθ' ὁμονοεῖν μηδ'

5. ὑγιαίνειν. malim ὑγιαίνειν ἄν. ‖ 6. αὐτούς. αὐτοὺς M. ‖ 7. εἰ δ' οὖν. εἰ δὲ μὴ ἀλλ' οὖν Pflugkius, quo minime opus est. ‖ τοσοῦτος Casaub., τοσοῦτον reliq. ‖ 8. ὅσον δὴ διαφέρεσθε. sic dedi. ὅσον δὴ (vel ἤδη vel νῦν) διεφέρεσθε Reiskius et Pflugkius, ὅσον μὴ διαφέρεσθαι reliqui. possit ὅσον νὴ Δία διαφέρεσθε. ‖ εἰ ταὐτό ποτ' ἐφθέγξασθε Pflugkius, qui primus loci rationem perspexit et recte eum distinxit. ταὐτό ποτ' ἐφθέγξασθε Reisk., ἐπ' αὐτό ποτε φθέγξασθαι reliqui. Casaubonus locum sic scribit: τοσοῦτος, ἐν ὅσῳ μὴ διαφέρεσθαι μηδὲν ἔτι, ἀλλὰ τὸ αὐτὸ φθέγξεσθε καὶ τὴν αὐτὴν ἕξετε ὁρμήν. Seldenus hic prorsus aliena protulit. ‖ καὶ τήν. καὶ delebat Reisk. ‖ 9. ἔχετε. ἴσχετε Pflugk. — 18, 2. ἀπᾴδουσιν. ἀπῴδουσιν B. corr. M (prim. man. vulgat.). D. ‖ 3. διελεῖν. διελθεῖν BMD. ‖ γίγνεται. sic dedi. γίνεται reliq. ‖ 6. μικρὰ B. Casaub. r, μικρᾶς reliq. — 19, 1. οὐ παρὰ μόνοις Casaub. r, συμπραττομένοις B, συνταραττομένοις reliq. ‖ 4. φθόνου Reisk., φόνου reliq. ‖ 5. τοῦ ζητεῖν BMD. r, τῷ ζητεῖν vm. ‖ 7. ποτε. ποτ' M. ‖ ταὐτὰ B. Selden. r, ταῦτα reliq. ‖ 9. μικρά. σμικρὰ B ‖ 10. ἐναντίων Reisk., ἐναντίως reliq. — 20, 1. ἡγεῖσθ' BM. Obs. p. 44, ἡγεῖθ' reliq., ἀνάγκη ἡγεῖσθαι Reisk.

ὑμᾶς τὸν δῆμον. εἰ γοῦν τις ἐπεξίοι πάντας, δοκεῖ μοι μηδ'
ἂν δύο ἄνδρας ἔχειν ἐν τῇ πόλει τὸ αὐτὸ φρονοῦντας, ἀλλ'
ὥσπερ ἔνια τῶν ἀνιάτων καὶ χαλεπῶν νοσημάτων, ἃ δι' ὅλων
εἴωθεν ἔρχεσθαι τῶν σωμάτων καὶ οὐδέν ἐστι μέρος εἰς ὃ μὴ
κάτεισιν· οὕτως ἡ τραχύτης αὕτη καὶ τὸ μικροῦ δεῖν ἅπαντας
21 ἀλλήλων ἀπεστράφθαι διαπεφοίτηκε τῆς πόλεως. ἵνα γὰρ
τὴν βουλὴν ἀφῶ καὶ τὸν δῆμόν τε καὶ τοὺς νέους καὶ τοὺς
γέροντας, ἐστὶ πλῆθος οὐκ ὀλίγον ὥσπερ ἔξωθεν τῆς πολι-
τείας· τούτους δὲ εἰώθασιν ἔνιοι Λιμουργοὺς καλεῖν, καὶ
ποτὲ μὲν βαρύνονται καί φασιν ὄχλον εἶναι περισσὸν καὶ
τοῦ θορύβου καὶ τῆς ἀταξίας αἴτιον, ποτὲ δὲ μέρος ἡγοῦνται
τῆς πόλεως καὶ πολλοῦ ἀξιοῦσιν. οὓς εἰ μὲν οἴεσθε βλάπτειν
ὑμᾶς καὶ στάσεως ἄρχειν καὶ ταραχῆς, ὅλως ἐχρῆν ἀπελάσαι
καὶ μὴ παραδέχεσθαι ταῖς ἐκκλησίαις· εἰ δὲ τρόπον τινὰ πο-
λίτας εἶναι τῷ μὴ μόνον οἰκεῖν, ἀλλὰ καὶ γεγονέναι τοὺς 48 R
πλείους ἐνθάδε καὶ μηδεμίαν ἄλλην ἐπίστασθαι πόλιν, οὐδὲ
22 ἀτιμάζειν δήπου προσήκει οὐδὲ ἀποῤῥηγνύειν αὐτῶν. νυνὶ δὲ
ἐξ ἀνάγκης ἀφεστᾶσι τὴν γνώμην τοῦ κοινοῦ συμφέροντος
ὀνειδιζόμενοι καὶ δοκοῦντες ἀλλότριοι. τούτου δὲ οὐθέν ἐστι
βλαβερώτερον ταῖς πόλεσιν οὐδὲ ὃ μᾶλλον στάσιν ἐγείρει καὶ
διαφοράν, ὥσπερ ἐπὶ τῶν σωμάτων ὁ προσγενόμενος ὄγκος,
ἂν μὲν οἰκεῖος ᾖ τῷ λοιπῷ σώματι καὶ συμφυής, εὐεξίαν ποιεῖ
καὶ μέγεθος, εἰ δὲ μή, νόσου καὶ διαφθορᾶς αἴτιος γίγνεται. 429 M.
23 τί οὖν σὺ κελεύεις ἡμᾶς; τοὺς ἅπαντας ἀναγράψαι πολίτας;
ναί φημι, καὶ τῶν αὐτῶν ἀξιοῦν, ἀλλὰ μὴ ὀνειδίζειν μηδὲ
ἀποῤῥίπτειν, ἀλλὰ μέρος αὐτῶν, ὥσπερ εἰσί, νομίζειν. οὐ μὲν
γάρ, ἄν τις καταβάλῃ πεντακοσίας δραχμάς, δύναται φιλεῖν

3. ἔχειν. εὑρεῖν Reisk. ‖ 5. οὐδὲν M, οὐθὲν reliq. ‖ 6. μικροῦ BM. Reisk., μικρὸν reliq. ‖ 7. διαπεφοίτηκε. διαπέφυκε M. — 21, 2. δῆμόν τε καὶ τούς. δῆμόν τε τοὺς BM, malim δῆμον, τούς τε. ‖ 4. Λιμουργούς. λινουργοὺς BM, λιμνουργοὺς Wesseling. Obs. I, 14. p. 46. ‖ 6. ποτὲ δέ. πᾶν δὲ M. malim πάλιν δέ. ‖ 7. πολλοῦ ἀξιοῦσιν Reisk., πάλιν ἀξιοῦσιν reliq. ‖ 9. πολίτας r ex Interpr., πολιτίας M, πολιτείας reliq. ‖ 10. τῷ μὴ r ex Interpr., τὸ μὴ reliqui. possit διὰ τὸ μή. ‖ 12. προσήκει Casaub., προσῆκεν Reisk., προσήκειν reliq. ‖ αὐτῶν. αὑτῶν M. — 22, 2. ἀφεστᾶσι τὴν γνώμην. aut ἀφιστᾶσι τὴν γνώμην aut ἀφεστᾶσι τῇ γνώμῃ Reisk. ‖ κοινοῦ. κοινῇ Reisk. ‖ 5. διαφοράν. sic dedi. διαφθορὰν reliq. ‖ 6. καί. κἂν M. ‖ εὐεξίαν. εὐξεῖαν M. ‖ 7. γίγνεται. sic dedi. γίνεται reliq. — 23, 2. ναί φημι om. M. ‖ ἀξιοῦν Casaub. r, αἰτίους reliq. ‖ ἀλλὰ μὴ Reisk., ἀλλὰ μηδὲ reliq. ‖ 3. ἀποῤῥίπτειν. ἀπορίπτειν M. ‖ αὐτῶν. sic dedi. αὑτῶν reliq. ‖ 4. δραχμάς.

ὑμᾶς καὶ τῆς πόλεως εὐθὺς ἄξιος γεγονέναι· εἰ δέ τις ἢ πένης
ὢν ἢ πολιτογραφοῦντός τινος οὐ μετείληφε τοῦ ὀνόματος, οὐ
μόνον αὐτὸς παρ' ὑμῖν γεγονὼς, ἀλλὰ καὶ τοῦ πατρὸς αὐτοῦ
καὶ τῶν προγόνων, οὐχ οἷός ἐστιν ἀγαπᾶν τὴν πόλιν οὐδ'
ἡγεῖσθαι πατρίδα. καὶ δεινὸν μέν· εἴ τις ἐργάζεται, χείρων
ἐστὶν ἑτέρου καὶ δεῖ τοῦτο προφέρειν αὐτῷ καὶ λοιδορεῖσθαι· 45 R II.
βαφεὺς δὲ ἢ σκυτοτόμος ἢ τέκτων ἐὰν ᾖ, οὐδὲν προσήκει ταῦτα
24 ὀνειδίζειν. καθόλου δὲ οὐ τοῦτο μάλιστα τῶν ἐν τῇ πόλει
βουλόμενος εἰπεῖν οὐδὲ οἷόν ἐστι δεῖξαι προῆλθον ἴσως, ἀλλ'
ἐκεῖνο σαφὲς ὑμῖν ποιήσων, ὅπως διάκεισθε πρὸς ἀλλήλους,
καὶ νὴ Δία εἰ πιστεύειν ὑμᾶς ἄξιον τῇ παρούσῃ καταστάσει
καὶ κατ' ἀλήθειαν οἴεσθαι νῦν συμπεπνευκέναι. οἰκίαν γὰρ
ἔγωγε καὶ ναῦν καὶ τἆλλα οὕτως ἀξιῶ δοκιμάζειν, οὐ τὸ παρὸν σκοποῦντας, εἰ σκέπει νῦν καὶ μὴ δέχεται τὴν θάλατταν,
ἀλλὰ καθόλου πῶς παρεσκεύασται καὶ πέπηγεν, εἰ μηδέν
25 ἐστι διεστηκὸς μηδὲ σαθρόν. καὶ μὴν ὅ γε ἔφην τὸ πρότερον
αὐξῆσαι τὴν πόλιν, τοῦτο οὐχ ὁρῶ νῦν ὑμῖν ὑπάρχον, τὸ
ἐξαίρετον εὐεργεσίαν καὶ χάριν καταθέσθαι τῷ κρατοῦντι,
δηλονότι τῷ μὴ δεηθῆναι μηδενὸς αὐτὸν τοιούτου· πλὴν ὅτι 46 R II.
γε μηδὲν τῶν ἄλλων ἔχετε πλεῖον πρὸς αὐτόν· ὥστε, ὧν παρ'

δραγμάς M. ‖ 5. ὑμᾶς. ἡμᾶς D. ‖ τις ἤ. τις B, τις εἴη M. ‖ 6. ὢν. malim ἐστίν. ‖ μετείληφε. μετειληφὼς Selden. ‖ 7. γεγονὼς BM. Reisk., γέγονεν reliqui. Seldenus in proximis corrigebat ὁ πατὴρ αὐτοῦ καὶ οἱ πρόγονοι. ‖ 9. καὶ δεινὸν μέν cett. haec ita tentat Pflugkius: καὶ δεινὸν μὲν, εἴ τις ἐργάζεσθαι χείρων ἐστὶν ἑτέρου καὶ δεῖ τοῦτο προφέρειν αὐτῷ καὶ λοιδορεῖσθαι· βαφεὺς δὲ — ἢ τέκτων δεινὸν (vel αἰσχρὸν) οὐδὲν, οὐδὲ προσήκει αὐτὰ ὀνειδίζειν (vel τέκτων οὔ, οὐδὲ). nimirum fugit virum egregium ἐργάζεσθαι hic esse i. q. ἐργάτην εἶναι. ‖ 11. ἐὰν ᾖ Casaub., ᾖ om. reliq. ‖ οὐδὲν. οὐδένι M. ‖ προσήκει M. Casaub., προσήκῃ reliq. ‖ ταῦτα Casaub., αὐτὰ reliq. — 24, 1. οὐ Casaub. r, om. reliq. ‖ 3. ποιήσων Reisk. (idem ποιεῖν), ποιῶν reliq. ‖ διάκεισθε. διάκεισθαι BM. ‖ 4. νὴ Δία εἰ πιστεύειν Obs. p. 44, εἰ om. reliqui. unde μὴ λίαν πιστεύειν Pflugkius, qui εἶναι ad ἄξιον cogitatione supplet. idem tamen ἀξιῶν commendat. Reiskius νὴ Δία ὅτι et deinde οὐκ ἄξιον. ‖ 5. οἴεσθαι Casaub. r, οἴεσθε reliq. ‖ νῦν Casaub., οὖν reliq. ‖ 6. τὸ παρὸν Casaub. r, τόπον reliq. ‖ 7. σκέπει BM. Casaub. r, σκέπῃ v, σκέπης m. ‖ νῦν καὶ BM. Casaub., νῦν κἂν reliq., κἂν νῦν (et δέχεσθαι) Pflugk. ‖ δέχεται BM. Casaub. r, δέχεσθαι reliq. ‖ 8. εἰ μηδέν M. Reisk., ἢ μηδέν reliq. — 25, 2. ὁρῶ. ὁρῶν M. ‖ 4. τῷ M. Casaub. r, τὸ reliq. ‖ 5. γε μηδὲν. sic dedi. γε εἰ μηδὲν reliq. ‖ πρὸς αὐτόν BMD, πρὸς om. reliqui. nimirum in alienum locum aberravit. haec ita emendabat Seldenus: πλεῖον δι' αὐτοῦ, ὅμως δὲ ὧν, Reiskius: πλεῖον· ἀλλ' ὅμως γε ὧν.

ἐκείνου τότε δι' εὔνοιαν καὶ φιλίαν ἐτύχετε, ταῦτα ὀφείλετε
φυλάττειν τὸν λοιπὸν χρόνον δι' εὐταξίαν καὶ τὸ μηδεμίαν
26 αἰτίαν διδόναι καθ' αὑτῶν. καὶ μηδείς με νομίσῃ ταῦτα
λέγειν ἁπλῶς ἁπάντων ἀνέχεσθαι παραινοῦντα ὑμῖν καὶ πάντα 421 M
πάσχειν· ἀλλ' ὅπως ἔμπειροι τῶν καθ' αὑτοὺς ὄντες καὶ νῦν
ἄμεινον βουλεύησθε καὶ τὸ λοιπὸν οὕτως ἀπαιτῆτε τὸν παρι-
όντα, μὴ ῥᾳδίως ὑμῖν μηδ' ὡς ἂν ἐπέλθῃ μηδὲν εἰσηγεῖσθαι,
πάντα δὲ εἰδότα καὶ περὶ πάντων ἐσκεμμένον. καὶ γὰρ ἰατρὸν, 47 R II
ὅστις ἐξήτακεν ἀκριβῶς τὰ τοῦ κάμνοντος, ὡς μηδὲν αὐτὸν
27 λανθάνειν, τοῦτον εἰκὸς ἄριστα θεραπεύειν. ὅτι μὲν οὖν
δεῖται τὰ παρόντα προσοχῆς καὶ βελτίονος συμβούλου, οὐ τῶν
ἀπὸ τῆς τύχης καὶ δι' ἀργύριον ἢ διὰ γένος παριόντων, ἐν-
θένδε ὁρᾶτέ πως. ὅταν γὰρ μήτε αὐτοὶ βεβαίως ὁμονοῆτε
μηδ' αἱ πλείους τῶν πέριξ πόλεων οἰκείως ὑμῖν ἔχωσιν, ἀλλ'
οἱ μὲν φθονῶσιν ἐκ πολλοῦ ἀντιφιλοτιμούμενοι πρὸς ὑμᾶς, οἱ
δὲ ἀπεχθάνωνται διὰ τὸ ὑπὲρ τῆς χώρας ἀμφισβητεῖν, οἱ δὲ
οὐκ οἶδα ὅπως γε ἐνοχλεῖσθαι λέγωσιν, ὁ δὲ στρατηγὸς οἴη-
ται μὲν τὰ βελτίω φρονεῖν περὶ αὐτοῦ ὑμᾶς, ἠναγκασμένοι
δὲ ἦτε προσκροῦσαι καὶ πρότερον ἀλλήλοις, ἔτι δὲ ἐπίφθονοι
τῷ τε μεγέθει τῆς πόλεως νομίζησθε καὶ τῷ πολλὰ τῶν ὄντων 48 R II

6. ἐκείνου Reisk., ἐκείνῳ reliq. ‖ δι' εὔνοιαν BMD. v, πρὸς δι' εὔνοιαν reliqui, πρὸς εὔνοιαν Selden. ‖ 7. εὐταξίαν. εὐταξίας Reiskius, oblitus, si ita scriberetur, etiam τοῦ μηδεμίαν in proximis legendum esse vel τῷ μηδεμίαν. — 26, 1. μηδείς. μηδὲν M. ‖ νομίσῃ BMD. Pflugk., νομίζῃ reliq. ‖ 2. ἀνέχεσθαι. ἀνέχεσθε M. ‖ 3. αὑτούς. ἑαυτοὺς B. ‖ 4. βουλεύησθε Casaub., βουλεύεσθε reliq. ‖ ἀπαιτῆτε Casaub., ἀπαιτεῖται M, ἀπαιτεῖτε reliq. ‖ παριόντα BM. Reisk., παρόντα reliq. ‖ 5. μὴ ῥᾳδίως. sic dedi. μηδὲ ῥᾳδίως reliq., μηδὲν ῥᾳδίως Casaub. ‖ ὡς ἂν M, ὅς ἂν BD. v, ὃ reliq. ‖ μηδὲν εἰσηγεῖσθαι M, μηδὲν εἰδότι εἰσηγεῖσθαι Casaub., μηδὲν εἰδὼς εἰσηγείσθω reliqui. aliter Reiskius locum constituit, qui a vero aberravit, quod Casaubonus tantum non reppererat. ‖ 7. ὡς. καὶ M. ‖ 8. λανθάνειν. λανθάνει M. — 27, 2. οὐ τῶν. οὐ om. M. ‖ 3. ἐνθένδε. ἔνθα δὲ M. ‖ 5. μηδ' αἱ. μηδὲ M, possit μήθ' αἱ. ‖ πέριξ πόλεων. περιπόλεων (corr. vulg.) M. ‖ 7. ἀπεχθάνωνται. ἀπεχθάνονται M. ‖ 8. οἶδα BM, οἶδ' reliq. ‖ οἴηται M. Reisk., οἴεται reliq. ‖ 9. μέν. μὴ Pflugk. ‖ περί. πρὸς Reisk. ‖ αὐτοῦ Casaub., αὐτοὺς reliq. ‖ 10. ἦτε Reisk., ἐστὲ reliq. ‖ ἐπίφθονοι. ἐπίφθονον M. v. ‖ 11. νομίζησθε. νομίζεσθε r. ‖ καὶ τῷ. τῷ in M a corr. additum. locum ita constituebat Reiskius: ἔτι δὲ ἐπίφθονον ᾖ, τὸ τῷ μεγέθει τῆς πόλεως νομίζεσθαι καὶ τὰ πολλὰ cett. ‖ πολλά. malim πλείω. ‖ ὄντων. ἀπολωλότων Casaub., πρὶν vel τότε ὄντων Reisk., ἀλλοτρίων Pflugkius (idem servato v. ὄντων ἀποβαλεῖν tentat, defendit vero δυνήσεσθαι).

ἀπολαβεῖν δυνήσασθε· πῶς οὐχὶ διὰ ταῦτα ἐπιμελοῦς καὶ
28 περιεσκεμμένης γνώμης δεῖσθε; τί οὖν; οὐχ ἱκανοὶ ταῦτα οἱ
πολῖται συνιδεῖν καὶ παραινέσαι; πόθεν; εἰ γὰρ ἦσαν ἱκανοὶ
τὸ δέον εὑρίσκειν ἐν ταῖς πόλεσιν οἱ προεστῶτες καὶ πολιτευ-
όμενοι, πάντες ἂν ἀεὶ καλῶς ἀπήλλαττον καὶ ἀπαθεῖς ἦσαν
κακῶν, εἰ μή τις αὐτόματος ἄλλως ἐπέλθοι τισὶ συμφορά.
ἀλλ' οἶμαι καὶ πάλαι καὶ νῦν πλείονα εὕροι τις ἂν συμβεβη-
κότα δεινὰ ταῖς πόλεσι δι' ἄγνοιαν τοῦ συμφέροντος καὶ τὰ
τῶν προεστώτων ἁμαρτήματα τῶν ἐκ τοῦ δαιμονίου καὶ παρὰ
29 τῆς τύχης. οἱ μὲν γὰρ οὐδὲν δυνάμενοι τῶν δεόντων ἰδεῖν
οὐδ' ἐπιμεληθέντες αὐτῶν πρότερον, μηδὲ κώμην ὄντες ἱκανοὶ
διοικῆσαι κατὰ τρόπον, ἄλλως δὲ ὑπὸ χρημάτων ἢ γένους 422 M.
συνιστάμενοι, προσέρχονται τῷ πολιτεύεσθαι· τινὲς δὲ ταύ-
την ἐπιμέλειαν εἶναι νομίζοντες, ἂν ῥήματα συμφορῶσι καὶ
ταῦτα τῶν πολλῶν ὁπωσδὴ θᾶττον συνείρωσι μηδενὸς τἆλλα
ἀμείνους ὄντες. τὸ δὲ μέγιστον, διὰ μὲν τὸ βέλτιστον καὶ
τῆς πατρίδος αὐτῆς ἕνεκεν οὔ· λοιπὸν δὲ διὰ δόξας καὶ τιμὰς
καὶ τὸ δύνασθαι πλέον ἑτέρου καὶ στεφάνους καὶ προεδρίας
καὶ πορφύρας διώκοντες, πρὸς ταῦτα ἀποβλέποντες καὶ τού-
των ἐξηρτημένοι τοιαῦτα πράττουσι καὶ λέγουσιν, ἐξ ὧν αὐτοὶ
30 τινὲς εἶναι δόξωσιν. τοιγαροῦν ἐστεφανωμένους πολλοὺς ἰδεῖν
ἔστι καθ' ἑκάστην πόλιν καὶ θύοντας ἐν κοινῷ καὶ προϊόντας
ἐν πορφύρᾳ· γενναῖον δὲ καὶ φρόνιμον ἄνδρα καὶ κηδεμόνα
ὄντως τῆς ἑαυτοῦ πατρίδος καὶ φρονοῦντα καὶ λέγοντα ἀληθῆ 49 R II.
καὶ δι' ὃν ἄμεινον οἰκεῖται καὶ μετέσχηκεν ἀγαθοῦ τινος η
πειθομένη πόλις σπάνιον εὑρεῖν. καὶ τοῦτο ἀναγκαῖον συμ-
31 βαίνειν τρόπον τινά. ὅταν γὰρ οἴωνται τοὺς μέλλοντας ἢ
τοὺς λελειτουργηκότας ἑαυτοῖς δεῖν συμβουλεύειν κἂν ᾖ τις
γυμνασίαρχος ἢ δημιουργός τις, καὶ τῷ τοιούτῳ μόνῳ λέγειν

12. δυνήσασθαι Casaub., δυνήσεσθαι reliq. ‖ 13. δεῖσθε. δεῖσθαι M. — 28, 5. ἄλλως. ἄλλος D. ‖ 8. τῶν ἐκ BD, χείρω τῶν ἐκ reliq. — 29, 4. ταύτην. τὴν ἀρίστην Casaub. ‖ 5. ῥήματα BM, χρήματα reliq. ‖ 6. τῶν πολλῶν Reiskius post μηδενὸς transponebat, τῶν πολιτῶν Casaubonus. sustuli interpunctionem post v. πολλῶν. ‖ ὁπωσδὴ Geel., ὅπως δὴ reliqui. infelicius haec tentavit Seldenus. ‖ 8. οὐ in M a corr. addit. — 30, 4. ἀληθῆ. τἀληθῆ Reisk. ‖ 5. οἰκεῖται. οἰκεῖσθαι M. ‖ ἡ πειθομένη. malim πειθομένη ἡ. ‖ 6. συμβαίνειν τρόπον τινά M, συμβαίνει τρόπον τινὰ BD, τρόπον τινὰ συμβαίνειν Reisk., τρόπον τινὰ συμβαίνει reliq. — 31, 1. οἴωνται. οἴονται M. ‖ μέλλοντας ἢ τοὺς λελειτουργηκότας. τοὺς λελειτουργηκότας ἢ τοὺς μέλλοντας Reisk. ‖ 3. καὶ τῷ. καὶ om. M.

ἐπιτρέπωσιν ἢ νὴ Δία τοῖς καλουμένοις ῥήτορσιν· ὅμοιόν ἐστιν,
ὥσπερ ἂν εἰ τοὺς κήρυκας ἐκάλουν μόνους ἢ τοὺς κιθαρῳ-
δοὺς ἢ τοὺς τραπεζίτας. τοιγαροῦν ἄνθρωποι παρίασι καὶ
ἀνόητοι καὶ δοξοκόποι, καὶ πρὸς τὸν ἀπὸ τοῦ πλήθους θό-
ρυβον κεχηνότες οὐδὲν ἀπὸ γνώμης ἀσφαλοῦς οὐδὲ συνέντες
λέγουσιν, ἀλλ' ὥσπερ ἐν σκότει βαδίζοντες κατὰ τὸν κρότον
32 ἀεὶ καὶ τὴν βοὴν φέρονται. καίτοι κυβερνήταις, εἴ τις λέγοι
αὐτοῖς, ὥστε ζητεῖν ἐξ ἅπαντος ἀρέσκειν τοῖς ἐπιβάταις, καὶ
κροτουμένοις ὑπ' αὐτῶν, ὅπως ἂν ἐκεῖνοι θέλωσιν, οὕτως
κυβερνᾶν, οὐ μεγάλου τινὸς αὐτοῖς δεήσει χειμῶνος, ὥστε
ἀνατρέψαι. πολλάκις γοῦν ἄγροικος ἄνθρωπος ναυτιῶν ἢ
γύναιον, ἐὰν ἴδῃ πέτρας, γῆν ἑωρακέναι δοκεῖ καὶ λιμένα καὶ 123 M.
33 δεῖται προσσχεῖν. ἐγὼ δὲ τὸν σύμβουλον τὸν ἀγαθὸν καὶ τὸν 50 R II
ἄξιον προεστάναι πόλεώς φημι δεῖν πρὸς ἅπαντα μὲν ἁπλῶς
παρεσκευάσθαι τὰ δοκοῦντα δυσχερῆ, μάλιστα δὲ πρὸς τὰς
λοιδορίας καὶ τὴν τοῦ πλήθους ὀργήν, καὶ ταῖς ἄκραις ὅμοιον
εἶναι ταῖς ποιούσαις τοὺς λιμένας, αἵτινες ἅπασαν ἐκδέχονται
τὴν βίαν τῆς θαλάττης, τὸ δὲ ἐντὸς ἀκίνητον καὶ γαληνὸν
φυλάττουσι· κἀκεῖνον δὲ ἐκκεῖσθαι τῷ δήμῳ, κἂν ὀργισθῆ-
ναί ποτε θέλῃ κἂν κακῶς εἰπεῖν κἂν ὁτιοῦν ποιῆσαι, πάσχειν
δὲ μηδὲν ὑπὸ τῶν τοιούτων θορύβων, μήτε, ἂν ἐπαινῆται,
διὰ τοῦτο ἐπαίρεσθαι, μήτε ἂν ὑβρίζεσθαι δοκῇ, ταπεινοῦ-
34 σθαι. τὸ μέντοι γε παρ' ὑμῖν γιγνόμενον οὐ τοιοῦτόν ἐστι,
καὶ οὐδεὶς, ὡς ἐγὼ πυνθάνομαι, τῶν πολιτευομένων τοῦτο ἔχει
προκείμενον οὐδ' ἐστὶν ἔτι τῶν κοινῶν· ἀλλ' οἱ μὲν ὅλως

6. τοὺς τραπεζίτας. τοὺς om. M. ‖ τοιγαροῦν. τοιγαροῦν ἃ B. ‖ παρίασι Casaub., χαίρουσι reliq., χαῦνοι Reisk., εὐχερεῖς Pflugk., προχωροῦσι Iacobs. ‖ 7. πρὸς om. B. ‖ 8. οὐδὲ συνέντες. sic dedi. οὐδὲ συνθέντες M, συνέντες Casaub., συνθέντες reliq. — 32, 1. καίτοι κυβερνήταις, εἴ τις λέγοι αὐτοῖς. καὶ τοῖς κυβερνήταις εἴ τις λέγοι αὐτὸς M. malim καίτοι κυβερνήτης εἴ τις τοιοῦτος (vel εἴ τις ἔχοι οὕτως). Reiskius v. αὐτοῖς ὥστε delebat. Iacobsius locum sic constituit: καίτοι κυβερνῆται, εἴ τις λέγοι αὐτοῖς, ὡς χρὴ ζητεῖν. denique Geelius ὥστε in ὡς δεῖ mutabat. at non quaeritur, quid facere iubeantur, sed quid faciant. ‖ 3. κροτουμένοις. malim κροτούμενος. ‖ 6. λιμένα Reisk., λιμένας reliq. — 33, 5. ταῖς ποιούσαις. ταῖς om. M. ‖ 7. κἀκεῖνον δὲ. δὲ in M a corr. add. ‖ 10. δοκῇ BM. Reisk., δοκεῖ reliq. — 34, 1. γιγνόμενον. γινοσκόμενον M. ‖ οὐ r ex Interpr., om. reliq. ‖ 2. καὶ οὐδεὶς ὡς. sic dedi. οὐδ' εἷς, ὡς Reisk., οὐδ' ἴσως reliqui. Casaubonus locum sic constituit: ἐστιν οὐδὲν, ὡς ἐγὼ πυνθάνομαι τῶν πολιτευομένων, τοῦτο ἔχων προκείμενον ἀεὶ, εἰδέναι τι τῶν κοινῶν. ‖ ἔχει Reisk., ἔχειν reliq. ‖ 3. οὐδ'. οὐδὲ M. ‖

ἀφεστᾶσιν, οἱ δ' ἐκ παρέργου προσίασιν ἁπτόμενοι μόνον τοῦ
πράγματος, ὥσπερ οἱ σπονδῆς θιγγάνοντες, οὐκ ἀσφαλὲς
εἶναι λέγοντες ἀναθεῖναι αὑτοὺς πολιτείᾳ. καίτοι ναυκληρεῖν
μὲν ἢ δανείζειν ἢ γεωργεῖν οὐδεὶς ἂν ἱκανῶς δύναιτο πάρεργον
αὐτὸ ποιούμενος, πολιτεύεσθαι δὲ ἐπιχειροῦσιν ἐκ περιουσίας 51 R II.
35 καὶ πάντα ἔμπροσθεν τούτου τιθέντες. ἔνιοι δ', ἂν εἰς ἀρχήν
τινα καταστῶσιν, ἐν ἐκείνῃ μόνον ζητοῦσιν ἅψασθαί τινος
πράξεως, ὅπως ἀπέλθωσιν ἐνδοξότεροι, τοῦτο μόνον σκοποῦν-
τες. τοιγαροῦν πρὸς ἓξ μῆνάς εἰσιν ὑμῖν ἀνδρεῖοι, πολλάκις
οὐδὲ ἐπὶ τῷ συμφέροντι τῆς πόλεως. ὥστε νῦν μέν ἐστιν
οὗτος ὁ λέγων, κἀκείνῳ ἔτι εὐθὺς ἄλλος, εἶθ' ἕτερος· τὸν δὲ
πρὸ τριάκοντα ἡμερῶν λαμπρὸν καὶ μόνον φάσκοντα κήδε-
36 σθαι τῆς πόλεως οὐδ' ἰδεῖν ἔστι προσιόντα τῇ ἐκκλησίᾳ, κα-
θάπερ οἶμαι τῶν πομπευόντων αὐτὸς ἕκαστος ὀφθῆναι ἐπι-
θυμῶν κατὰ τοῦτ' ἐσπούδακεν, ἕως ἂν παρέλθῃ, μικρὸν δὲ
ἀποστὰς ἔλυσε τὸ σχῆμα καὶ τῶν ἄλλων εἷς ἐστι καὶ ὁπωσ- 424 M.
δήποτε ἄπεισιν. ἐχρῆν μέντοι τὸν μὲν πρυτανεύοντα τῆς ἀρχῆς
τοὺς ἓξ μῆνας ἡγεῖσθαι μέτρον· τοῦτο γὰρ ὁ νόμος κελεύει·
τὸν μέντοι γε πολιτευόμενον τῆς εὐνοίας τῆς πρὸς ὑμᾶς καὶ
τῆς ὑπὲρ τῶν κοινῶν ἐπιμελείας καὶ σπουδῆς μὴ μὰ Δία και-
ρόν τινα ἐξαίρετον ἔχειν, καὶ ταῦτα βραχὺν οὕτως, ἀλλ' εἰς
37 αὐτὸ τοῦτο ἀποδύεσθαι καὶ ἀεὶ παραμένειν. νῦν δὲ ὥσπερ
οἱ τοῖς ἀπογείοις, μᾶλλον δὲ τοῖς ἀπὸ τῶν γνόφων πνεύμασι
πλέοντες, οὕτως φέρεσθε, ἄνδρες Ταρσεῖς, οὔτε τῆς τοιαύτης
πολιτείας οὔτ' ἐκείνου τοῦ πλοῦ βέβαιον οὐδ' ἀσφαλὲς ἔχον- 52 R II.
τος οὐδέν. διαρκέσαι μὲν γὰρ ἄχρι παντὸς οὐχ οἷαί τέ εἰσιν
αἱ τοιαῦται προσβολαί, πολλάκις δὲ κατέδυσαν ἀκαίρως προσ-

ἔτι τῶν. ἐπὶ τῶν m. ‖ 4. ἀφεστᾶσιν BM. mrg. m. r, ἐφεστᾶσιν vm. ‖ μόνον Casaub. r, μόνου reliq. ‖ 5. σπονδῆς. σποδιᾶς Iacobs. ‖ 6. αὑτούς. sic dedi. αὐτοὺς reliq. ‖ καίτοι. καὶ τὸ M. — 35, 2. μόνον BM, μόνῃ reliq. ‖ 6. ὁ λέγων, κἀκείνῳ ἔτι. ὁ λέγων, ἢ ἐκεῖνος ἔτι (vel ὁ λέγων κἀκεῖνος ἔτι) Casaub., ὁ λέγων κἀκείνῳ ἔπι Reisk., malim ὁ διέπων τὰ κοινά, εἶτ'. ὁ λέγων κἀκείνῳ ἔτει Pflugk. ‖ ἄλλος. ἄλλως m. ‖ τὸν δὲ Casaub. r, καὶ BMD. v, om. m. — 36, 3. κατὰ τοῦτ' Obs. p. 44, καὶ τοῦτ' reliq. ‖ 5. μέντοι τὸν μέν. sic dedi. μέντοι τὸν BD. Casaub., μὲν τὸν M, μέντοι καὶ τὸν reliq., μὲν τοίνυν τὸν Reisk. ‖ 9. ἐξαίρετον. ἐξέρετον M. ‖ 10. ἀποδύεσθαι. ἀπολύεσθαι M. ‖ ἀεί. δεῖ M. — 37, 2. οἱ. οὐ (superscr. vulg.) M. ‖ 3. φέρεσθε. φέρεσθαι M. ‖ 4. ἔχοντος BD. Casaub. r, ἔχοντες reliq. ‖ 5. παντὸς Casaub., παντὸς ἢ διαστήματος reliqui. ἢ διαστήματος in r uncis inclusum. ‖ 6. ἀκαίρως r ex Interpr., ἀκεραίως reliq.

πεσοῦσαι. ἔδει δὲ πόλιν οὕτω μεγάλην καὶ λαμπρὰν ἔχειν
τοὺς ἀληθῶς προνοοῦντας. ταύτῃ δὲ ἴσως ὑπὸ τῶν ἐφημέρων
τούτων καὶ πρὸς ὀλίγον δημαγωγῶν οὐδὲν ἔστιν ἀγαθὸν πα-
38 θεῖν. περὶ μὲν οὖν τούτων καὶ μυρίων ἄλλων πολλὰ ἂν ἔχοι
τις λέγειν. ἐπεὶ δὲ καὶ αὐτὸς ἀφ' ἧς ἐπεδήμησα ἡμέρας ὑμῖν
γέγονα δημαγωγός, καὶ ταῦτα ἐπιτιμῶν τοῖς τοιούτοις, ὅμως
εἰπεῖν ἅπερ ὑπεσχόμην, ἃ γιγνώσκω περὶ τῶν παρόντων. καὶ
πρῶτον μὲν τὰ πρὸς τὸν στρατηγόν. ἔσται δέ μοι περὶ πάν-
των ὁ λόγος. φημὶ δὴ τοίνυν τοὺς ἐν τοιαύτῃ καταστάσει
τυγχάνοντας, ὁποῖα δὴ τὰ νῦν ἐστι παρὰ πᾶσιν, οὕτω προσ-
ήκειν φρονεῖν, ὡς μήτε πάντα ἀνεξομένους καὶ παρέξοντας
αὐτοὺς ἁπλῶς χρῆσθαι τοῖς ἐπὶ τῆς ἐξουσίας, ὅπως ἂν αὐτοὶ
θέλωσι, κἂν εἰς ὁτιοῦν προΐωσιν ὕβρεως καὶ πλεονεξίας, μήτε 53 R II.
ὡς ὅλως μηδὲν οἴσοντας διακεῖσθαι, μηδὲ προσδοκᾶν, ὅτι
39 Μίνως τις ὑμῶν ἀφίξεται νῦν ἢ Περσεὺς ἐπιμελησόμενος. τὸ
μὲν γὰρ ἐφ' ἅπαν ἀποστῆναι τοῦ βοηθεῖν αὐτοῖς ἀνδραπόδων
ἐστί, καὶ δυσχερές, εἰ μηδεὶς ὄκνος μηδὲ ὑποψία καταλειφθή-
σεται τοῖς ἀγνωμονοῦσιν. τὸ δὲ πλῆθος ἀπεχθάνεσθαι καὶ 135 M
πάντα ἐξετάζειν οὐχ ὑπὲρ ὑμῶν ἐστιν. ἐὰν γὰρ ἀλόγως ἐνίοτε
ἐγκαλεῖν δόξητε καί τις ὑμῶν περιγένηται· διὰ πολλὰς δ' ἂν
αἰτίας τοῦτο συμβαίη· δέδοικα, μὴ τελέως ἀποβάλητε τὴν
παῤῥησίαν. ὁρᾶτε δὲ τοὺς περὶ τὴν Ἰωνίαν, ὅτι μηδενὸς
αὐτοὺς κατηγορεῖν ἐψηφίσαντο. δεῖ δὴ τοὺς νοῦν ἔχοντας
ἅπαντα ταῦτα προορᾶσθαι, καὶ μὴ καθάπερ τοὺς ἀπείρους

7. οὕτω. οὕτως M. ‖ 8. προνοοῦντας. προνοοῦντας αὐτῆς Reisk. ‖ ταύτῃ. sic dedi. conf. Obs. p. 45, αὕτη M, αὐτῇ reliq. ‖ ὑπὸ τῶν. ὑπόπτων M. ‖ 9. ὀλίγον. ὀλίγων BM. ‖ παθεῖν. μαθεῖν (superscr. vulg.) M. — 38, 2. ἀφ' ἧς om. M. ‖ 3. ὅμως εἰπεῖν ἅπερ. ὅμως εἰπεῖν ἃ B. malim εἴποιμ' ἂν ὥσπερ. locum sic scribit Casaubonus: βούλομαι ὅμως εἰπεῖν, ὥσπερ ὑπεσχόμην, Seldenus delebat ἃ ante v. γιγνώσκω, Reiskius: καίτοι τοιαῦτα ἐπιτιμῶν τοῖς τοιούτοις ἀπηχθανόμην, ὅμως εἰπεῖν βούλομαι, ἅπερ ὑπ. ‖ 7. ὁποῖα δή. ὁποιαδὴ M, possit ὁποία δή. ‖ προσήκειν M. Reisk., προσήκει reliq. ‖ 8. ἀνεξομένους. ἀναξομένους M. ‖ 9. αὐτούς. sic dedi. αὐτοὺς reliq. ‖ ἂν αὐτοί. sic dedi. ἂν om. reliq. ‖ 10. μήτε ὡς. τίως M. ‖ 12. Μίνως. μὴν ὡς M. ‖ ὑμῶν. ὑμῖν Reisk. — 39, 2. ἀποστῆναι Geel., ἄπιστον εἶναι reliq., οὐ κύριον εἶναι vel ἄπυστον εἶναι Casaub., ἀέλπιστον εἶναι Selden. ‖ αὐτοῖς. αὐτοῖς M. ‖ 3. καταλειφθήσεται. καταληφθήσεται M. ‖ 4. πλῆθος. malim ἐπιτηδές. πρὸς πλῆθος Reisk., πλείοσι vel πολλοῖς Casaub., ἀπλήστως Geel. ‖ 6. δόξητε Reisk., δόξετε BMD, δόξατε reliq., δόξαιτε Casaub. ‖ 7. ἀποβάλητε BM, ἀποβάλλητε reliq.

ἐν τῷ μάχεσθαι ῥᾳδίως ἀφέντας τὸ παρὸν αὐτοῖς ἀνόπλους
εἶναι τὸ λοιπὸν καὶ μηδὲν ἔχειν ποιῆσαι, μηδ' ἂν ἀποσφάττῃ
40 τις. ἐκεῖνο μέντοι καθόλου λέγω, τὴν τοιαύτην ἀνάτασιν
μηδαμῶς συμφέρειν, καθ' ἣν οὐδὲν ποιῆσαι διεγνωκότες εἰς 54 R II.
ὑποψίαν ἔρχεσθε τοῖς ἡγεμόσιν· ἀλλ' ὃν μὲν ἂν κρίνητε ἐξαι-
ρήσεσθαι καὶ δοκῇ τοιαῦτα ἀδικεῖν, ὥστε παραπέμψαι μὴ
συμφέρειν, τοῦτον ὡς ἐξελέγξοντες παρασκευάζεσθε, καὶ τὴν
γνώμην εὐθὺς ἔχετε ὡς πρὸς ἐχθρὸν καὶ ἐπιβουλεύοντα ὑμῖν.
περὶ οὗ δ' ἂν ἄλλως προνοῆτε μηδὲν ἢ μὴ μεγάλα ἁμαρτάνειν
ἢ δι' ἣν δήποτε αἰτίαν μὴ νομίζητε ἐπιτήδειον εἶναι, τοῦτον
41 μηδὲ ἐρεθίζετε μηδὲ εἰς ὀργὴν κατὰ τῆς πόλεως ἄγετε· ὥσπερ
οἶμαι τὰ βάρη ταῦτ', ἂν μὲν σφόδρα πιέζῃ καὶ ἀνέχεσθαι μὴ
δυνώμεθα, ζητοῦμεν ὡς τάχιστα ἀποῤῥῖψαι, μετρίως δὲ
ἐνοχλούμενοι καὶ ὁρῶντες ἀνάγκην οὖσαν φέρειν ἢ τοῦτο ἢ μεῖ-
ζον ἕτερον σκοποῦμεν, ὡς κουφότατα ἐπέσται. ταῦτά ἐστι
σωφρονούσης πόλεως. οὕτω καὶ ἀγαπήσουσιν ὑμᾶς οἱ πλεί-
ους καὶ φοβήσεταί τις ἀδικεῖν, καὶ μὴ πλῆθος ἄδικον μηδὲ
ἀλόγιστον ὄχλον ὑμᾶς νομίσουσιν ὁρμῇ τινι καὶ φορᾷ χρώμε- 55 R II.
42 νον. τουτὶ μὲν γάρ, ὃ ποιεῖ νῦν ὁ πρύτανις, καὶ παντελῶς
ἀνόητον ἦν ἄν, εἰ διεγνώκειτε κατηγορεῖν· μηδέπω μέντοι
καιρὸς ᾖ φανερῶς οὕτω διαφέρεσθαι καὶ προλέγειν. ἀλλ'
ἐπειδή τις τῶν ὑμετέρων πολιτῶν ἐν καιροῖς ἀναγκαίοις τῇ

11. αὐτοῖς. αὐτοῖς ὅπλον Reisk., αὐτοὺς Geel. — 40, 1. ἀνάτασιν Vales. p. 64, ἀνάστασιν reliq. ‖ 3. ἔρχεσθε. ἔρχεσθαι BM. ‖ ἐξαιρήσεσθαι D. Reisk., ἐξαιρήσασθαι B, ἐξερίσασθαι (corr. ἐξερίσεσθαι) M, ἐξαιρήσεσθε reliqui, ἐξετάσετε Selden. ‖ 4. καὶ BM (corr. κἂν). D, κἂν reliq. ‖ δοκῇ. δοκεῖ BMD. ‖ παραπέμψαι Reisk. (idem παραπέμπειν), παραπέμψειν reliq. ‖ 5. ἐξελέγξοντες. ἐξελέγξοντας M. ‖ 7. περὶ οὗ δ' ἂν ἄλλως (possit ἁπλῶς) προνοῆτε Obs. p. 45, περὶ οὐδέν. ἀλλ' ὡς προνοῆτε M, περὶ οὐδέν. ἀλλ' ὡς προνοεῖτε reliqui, unde Casaubonus: περὶ οὐδέν. ἀλλ' ὅνπερ νοεῖτε, Seldenus: περὶ οὗ δ' ἂν ἄλλως φρονοίητε, Reiskius: περὶ οὗ δέ γ' ἂν (subaudi κρίνητε) ὡς προνοεῖται. ‖ ἁμαρτάνειν. malim ἂν ἁμαρτάνειν. ‖ 8. ἢ δι' ἣν Reisk., ἢ om. reliq. ‖ δήποτε. δήποτε δ' Casaub. ‖ νομίζητε Reisk., νομίζειν reliq. ‖ 9. μηδὲ. μὴ Casaubonus. frustra. — 41, 4. ἢ τοῦτο ἢ μεῖζον M, ἢ τοῦτο ἢ τούτου μεῖζον Casaub., ἢ εἰ τούτου μεῖζον reliq., ἢ τοῦτο, ἢ εἴ τι τούτου μεῖζον Reisk., ἢ τι τούτου μεῖζον Selden., ἢ ἔχειν τούτου μεῖζον Pflugk. ‖ 5. ἕτερον MD. var. l. v. r, ἑτέρου reliq. ‖ σκοποῦμεν. πονεῖν Geelius. ‖ ἐπίσται Selden., θέσθαι Progr. p. 30, ἕπεσθαι reliq. ‖ 6. οὕτω. sic dedi. οὕτως reliq. ‖ 8. νομίσουσιν r ex Interpr., νομίζωσιν reliq. ‖ χρώμενον. χρόμενοι D. — 42, 2. εἰ. εἰ καὶ BMD, εἰ μηδέποτε Reisk., malim εἰ εἰκῆ. ‖ 3. ᾖ. ἦν Selden., οὕτω. sic dedi. οὕτως reliq. ‖ 4. ἐπειδή M, ἐπεὶ reliq. ‖ ἀναγκαίοις M, ἀνάγκης reliq.

πόλει παρέσχεν αὐτὸν καὶ λαμπρὸς ἔδοξε δύο ˈδὴ ἡγεμόνων 126 M
κατηγορήσας ἐφεξῆς, οἱ πολλοὶ νομίζουσι τοιούτου τινὸς ἔργου
δεῖν αὐτοῖς. τοῦτο δὲ ὅμοιόν ἐστιν, ὥσπερ εἴ τις ἰατρὸν ἰδὼν
εἴς τι τῶν ὠφελίμων φάρμακον ἐκ μέρους τι μιγνύντα καὶ
θανάσιμον, μηδὲν ἄλλο εἰδὼς, μήτε ὅπως συνετέθη μήτε
ὁπόσον δεῖ λαβεῖν, μιμεῖσθαι βούλοιτο. τὸ μὲν οὖν αὐτο-
σχεδιάζειν τὰ μέγιστα καὶ προεστάναι πόλεως ἡγεῖσθαι παν- 56 R II
τὸς εἶναι τοῦ ἐλπίσαντος οὐ πολὺ τῶν τοιούτων ἀφέστηκεν.
43 ἐγὼ δ' ὑπὲρ τῶν πρὸς τοὺς Μαλλώτας καὶ τὰς ἄλλας πόλεις
εἰπὼν ἔτι παύσομαι. καὶ γὰρ ἱκανῶς ἀνέχεσθαι δοκεῖτέ μοι.
πρὸς μὲν οὖν τούτους· λέγω δὲ Μαλλώτας· εἴ τι πεποιήκασιν
ἀγνωμόνως, ὥσπερ πεποιήκασι, τὴν ὀργὴν καταβαλόντες καὶ
τὴν τιμωρίαν, ἣν ἐνομίζετε ὀφείλεσθαι ὑμῖν, αὐτοῖς χαρισά-
μενοι περὶ τοῦ πράγματος διακρίθητε [καὶ τὸ περὶ τῆς χώ-
ρας], τὸ φέρειν τὰ τοιαῦτα καὶ μὴ φιλονεικεῖν, τοῦθ' ὥσπερ
ἐστὶν ἡγησάμενοι μέγα καὶ τῷ παντὶ κρειττόνων ἀνδρῶν,
44 ἄλλως τε πρὸς τοσούτῳ καταδεεστέρους. οὐ γάρ ἐστι κίνδυ-
νος, μὴ Μαλλωτῶν ἐσομένων ἀσθενέστεροι δόξετε. μηδὲ τοὺς
παροξυνοῦντας ὑμᾶς, ἀλλὰ μάλιστα μὲν αὐτοὶ δικασταὶ γενό- 57 R II

5. αὐτόν. αὐτὸν M. ‖ λαμπρὸς Casaub. r, λαμπρὸν reliqui, quo servato ἔδειξε Selden. ‖ δή. sic dedi. δ' BM, τῶν Casaub. r, δι' reliq. ‖ 6. οἱ πολλοὶ B. Casaub. r, ὃ πολλοὶ reliq. ‖ 8. φάρμακον. φαρμάκων Reisk. ‖ 9. μηδὲν. μηδὲ m. ‖ μήτε. sic dedi. μηδὲ reliq. ‖ μήτε ὁπόσον δεῖ. sic dedi. conf. Obs. p. 46. μηδὲν ὁπόσον r, μηδὲ ὁπόσον reliq. ‖ 10. τὸ μὲν οὖν αὐτοσχεδιάζειν. sic dedi. μὲν αὐτοσχεδιάζειν BM. v, καὶ αὐτοσχεδιάζειν reliqui. Seldenus, qui recte post βούλοιτο plenius distinguit: καὶ ταὐτὸ δὲ (vel ταὐτοῦ δὲ) αὐτοσχεδιάζειν. ‖ 11. μέγιστα. post hoc v. deesse aliquid, quale ὁμοίως ἄτοπον suspicabatur Reiskius. at vitium in sequentibus erat. ‖ ἡγεῖσθαι. ἡγεῖσθε Casaubonus, ut interrogantis. ‖ 12. οὐ M. Obs. p. 46, ὃ reliqui. totum locum sic constituit Geelius: βούλοιτο. καὶ μὴν αὐτοσχεδιάζειν τὰ μέγιστα καὶ προεστάναι πόλεως ἡγεῖσθαι — οὐ πολὺ cett. — 43, 1. Μαλλώτας M, Μαλώτας reliq. ‖ 3. Μαλλώτας M, Μαλώτας reliq. ‖ 4. ἀγνωμόνως. ἀγνώμονας m. ‖ καταβαλόντες. καταβάλλοντες D. ‖ 6. διακρίθητε. διακριθήσεται M. var. l. v. ‖ [καὶ τὸ περὶ τῆς χώρας] Seldeno videntur interpretis, at multa tentat praeterea. Reiskius καὶ τὸ in τοῦ mutabat. ‖ 7. μὴ r, om. reliq. ‖ 8. κρειττόνων. κρεῖττον τῶν M. ‖ 9. ἄλλως τε Casaub., ὥς γε ἄλλως B, ὥστε ἄλλως reliq. — 44, 2. Μαλλωτῶν M, Μαλωτῶν reliq. ‖ ἐσομένων. malim ἡττώμενοι (Obs. p. 56. ἡσσώμενοι, in quod Seldenus quoque inciderat). περιεσομένων Reiskius (oportebat saltem περιγενομένων), vel νέμεσθαι τὸ χωρίον ἐωμένων. ‖ μηδὲ τούς. μὴ διὰ τοὺς Selden. ‖ 3. ὑμᾶς. supplet Casaubonus ἀκούετε, Reiskius ἐᾶτε δικάζειν. ‖ μέν. nihil respondere vidit Geelius.

*μενοι καὶ τὸ πρᾶγμα ἐπιμελῶς ἐξετάσαντες ἄνευ πάσης ἀπε-
χθείας καὶ τῆς πρὸς αὐτοὺς χάριτος κατάθεσθε, μὴ μόνον
ἀποστάντες τῆς ἔριδος καὶ τοῦ ζητεῖν ἐξ ἅπαντος πλέον ἔχειν,
ἀλλὰ συγχωροῦντές τε καὶ παριέντες αὐτοῖς ὅ τι ἂν ᾖ μέτριον.
ὥσπερ γὰρ καὶ τῶν ἰδιωτῶν ἐπαινεῖτε τοὺς εὐγνώμονας καὶ
βλαβῆναί τινα μᾶλλον αἱρουμένους ἢ διαφέρεσθαι πρός τινας·
οὕτω καὶ κοινῇ συμβαίνει τὰς τοιαύτας πόλεις εὐδοκιμεῖν.
45 αἱ μὲν οὖν θῖνες καὶ τὸ πρὸς τῇ λίμνῃ χωρίον οὐδενὸς ἄξια·
τίς γάρ ἐστιν ἡ τούτων πρόσοδος ἢ λυσιτέλεια; τὸ μέντοι
χρηστοὺς φαίνεσθαι καὶ μεγαλόφρονας οὐκ ἔστιν εἰπεῖν ὅσου
νομίζεται δικαίως ἄξια. τὸ μὲν γὰρ ἁμιλλᾶσθαι πρὸς ἅπαν-
τας ἀνθρώπους ὑπὲρ δικαιοσύνης καὶ ἀρετῆς καὶ φιλίας καὶ* 427 M.
*ὁμονοίας ἄρχειν καὶ τούτοις περιεῖναι τῶν ἄλλων καὶ κρατεῖν
ἡ καλλίστη πασῶν νίκη καὶ ἀσφαλεστάτη. τὸ δ' ἐξ ἅπαντος
τρόπου ζητεῖν μαχομένους ὑπερέχειν ἀλεκτρυόνων ἐστὶ μᾶλλον
46 γενναίων ἤπερ ἀνδρῶν. εἰ μὲν οὖν παρὰ τὰς θῖνας ἔμελλε
Μαλλὸς μείζων ἔσεσθαι τῆς Ταρσοῦ καὶ παρὰ τὴν ἐπὶ |τῆς* 58 R II.
*ψάμμου νομήν, τάχα ἔδει σπουδάζειν ὑμᾶς ἐπὶ τοσοῦτον·
νυνὶ δὲ αἰσχύνη καὶ γέλως ἐστὶν, ὑπὲρ ὧν διαφέρεσθε. τί
οὖν οὐκ ἐκεῖνοι κατεφρόνησαν; ὅτι οὔκ εἰσι βελτίους ὑμῶν.
ὑμεῖς δέ γε βούλεσθε πρὸς τοῦ Διός. ἀλλ' ἔγωγε ἠξίουν ἔτι
τιμῆσαι λόγῳ πέμψαντας αὐτούς. τοῦτο γὰρ ἦν ὑπερεχόντων
καὶ φρονούντων. τὸ δὲ μᾶλλον τοῦ δέοντος κεκινῆσθαι καὶ
καταφεύγειν ἐπὶ τὴν ἐξουσίαν εὐθὺς καὶ νομίζειν ὑβρίζεσθαι
47 μικροπολιτῶν μᾶλλον ἀνθρώπων ἐστίν. ὁμοίως δὲ καὶ πρὸς
τὰς ἄλλας πόλεις ὑμᾶς ἀξιῶ προσφέρεσθαι πρᾴως καὶ κηδε-
μονικῶς καὶ φιλοτίμως καὶ μὴ ἀπεχθῶς. οὕτως γὰρ ἑκόντες*

5. *αὐτοὺς* r, *αὐτοῖς* reliq. ‖ *κατάθεσθε. καταθέσθαι* M. ‖ 9. *τινα* Casaub. r, *τινας* reliq. ‖ 10. *συμβαίνει* B. Reisk., *συμβαίνειν* reliq. — 45, 1. *καὶ τὸ. τὸ* om. M. ‖ 2. *τίς* B. Casaub. r, *τί* reliq. ‖ *ἢ λυσιτέλεια* ut scholium deleri vult Reiskius. ‖ 3. *ὅσου* r, *ὡς οὐ* reliq. ‖ 4. *νομίζεται. νομίζετε* M. ‖ *ἁμιλλᾶσθαι. ἁμιλλᾶσθε* B. — 46, 1. *θῖνας. θεῖνας* M. ‖ *ἔμελλε Μαλλὸς* Casaub. r, *ἔμελλε Μάλως* B, *ἔμελλεν ἄλλως* reliq. ‖ 2. *μείζων* BM. Casaub. r, *μεῖζον* vm. ‖ 3. *ψάμμου. ψάλμου* M. ‖ *τάχα ἔδει* Selden. r, *τάχα δεῖ* reliq. ‖ 4. *νυνὶ* BM, *νῦν* reliq. ‖ *διαφέρεσθε. διαφέρεσθαι* M. ‖ 6. *δέ γε* BM, *γε* om. reliq. ‖ *βούλεσθε. βουλεύεσθε* Seldenus, ut iubentis. ‖ *ἠξίουν. ἠξίουν ἂν* Selden. ‖ *ἔτι τιμῆσαι* Reisk., *ἐπιτιμῆσαι* reliq. ‖ 8. *καὶ καταφεύγειν. καὶ* om. M. ‖ 10. *μᾶλλον ἀνθρώπων* BM, *ἀνθρώπων μᾶλλον* reliq. — 47, 2. *προσφέρεσθαι. προφέρεσθαι* B. ‖ *κηδεμονικῶς. κηδαιμονικῶς* M.

ἀκολουθήσουσιν ὑμῖν ἅπαντες θαυμάζοντες καὶ ἀγαπῶντες, ὃ μεῖζόν ἐστι τοῦ εἶναι παρ' ὑμῖν καὶ δικάζεσθαι Μαλλόν. ταῦτα μὲν γὰρ οὐδ' ἡντινοῦν ἔχει ὠφέλειαν, ἐπελθεῖν ἐπὶ θυσίαν δεῦρο 59 R II ἢ τοὺς Ἀδανεῖς ἢ τοὺς Αἰγαίους, ἀλλὰ τῦφον καὶ ἀπάτην καὶ
48 φιλοτιμίαν ἄλλως ἀνόητον. ἡ δὲ εὔνοια καὶ τὸ φαίνεσθαι διαφέροντας ἀρετῇ καὶ φιλανθρωπίᾳ, ταῦτά ἐστιν ὄντως ἀγαθὰ, ταῦτά ἐστιν ἄξια ζήλου καὶ σπουδῆς. ἃ καὶ σκοπεῖτε· ὡς τά γε νῦν γέλως ἐστίν. καὶ εἴτε Αἰγαῖοι πρὸς ὑμᾶς εἴτε Ἀπαμεῖς πρὸς Ἀντιοχεῖς εἴτε ἐπὶ τῶν ποῤῥωτέρω Σμυρναῖοι πρὸς Ἐφεσίους ἐρίζουσι, περὶ ὄνου σκιᾶς, φασὶ, διαφέρονται. τὸ γὰρ προ-
49 εστάναι τε καὶ κρατεῖν ἄλλων ἐστίν. ἀλλὰ καὶ πρότερον ἦν ποτε Ἀθηναίοις πρὸς Λακεδαιμονίους ζηλοτυπία, καὶ τό γε πρῶτον ἡγοῦντο οἱ Λάκωνες, εἶτα συνέβη πρὸς τοὺς Ἀθηναίους μᾶλλον ἀποκλῖναι τοὺς Ἕλληνας μετὰ τὰ Μηδικά. τί οὖν ὁ Σπαρτιάτης; καὶ τὸν νησιώτην καὶ τὸν Ἴωνα καὶ τὸν 423 M Ἑλλησπόντιον ἀφεὶς αὐτὸν ἐσωφρόνιζε καὶ τὰ τῆς Σπάρτης ἑώρα, σαφῶς εἰδὼς, ὅτι καὶ τῶν νόμων καὶ τῆς εὐταξίας οὐδὲν δεῖ περὶ πλείονος ποιεῖσθαι. τοιγαροῦν μάλιστα εὐδαι-
50 μόνησαν ἐκεῖνον τὸν χρόνον. τοῖς δὲ Ἀθηναίοις συνέβη μέχρι μὲν οἰκείως πρὸς αὐτοὺς αἱ πόλεις εἶχον καὶ κατ' εὔνοιαν ἡγοῦντο· μετὰ ταῦτα δὲ, ὡς ἐγκλήματα καὶ φθόνος αὐτοῖς συνελέγη καὶ μὴ βουλομένων ἄρχειν ἠξίουν, πολλὰ καὶ δυσχερῆ 60 R II παθεῖν· καὶ πρῶτον μὲν ἁπάντων ἀπολέσαι τὸν ἔπαινον καὶ τὴν εὐφημίαν, ἔπειτα καὶ τὴν ἰσχὺν καὶ τὰ χρήματα, καὶ τελευταῖον ὑπὸ τοῖς ἐχθροῖς γενέσθαι. καὶ τοὺς Λακεδαιμονίους ὁμοίως, ἐπειδὴ κἀκεῖνοι πάλιν εἴχοντο τῆς ἀρχῆς

4. ἀκολουθήσουσιν BM, ἀκολουθήσωσιν reliq. ‖ ἅπαντες BMD, ἅπαντες καὶ reliq. ‖ 5. παρ' ὑμῖν. ante hoc v. fortasse excidit τὰ πράγματα. conf. Cens. p. 363. ‖ Μαλλόν Casaub. r, μᾶλλον reliq., ἄλλους Valesius. locum ita constituit Valcken. ad Phalarid. Lennep. p. 13: τοῦ θύειν παρ' ὑμῖν καὶ δικάζεσθαι· μᾶλλον δὲ ταῦτα μὲν οὐδ' cett. ‖ 6. ἐπελθεῖν. ἐπεὶ ἐλθεῖν M, ἀπελθεῖν Reisk. ‖ ἐπὶ θυσίαν. ἐπιουσίαν M. — 48, 2. ὄντως. ὄντος M. ‖ 3. ἄξια BM (corr. ἄξια ὄντως), ἄξια ὄντως reliq. ‖ ἃ καὶ in M a corr. add. ‖ τά γε. γε om. M. ‖ 5. εἴτε ἐπὶ τῶν. εἴτ' ἔτι τῶν Reiskius. malim εἴτε τῶν ἔτι. — 49, 2. τό γε Casaub. r, τό τε reliq. ‖ 6. Ἑλλησπόντιον M, Ἑλλήσποντον reliq. ‖ αὐτόν. αὐτὸν M. ‖ 8. εὐδαιμόνησαν. εὐδαιμονῆσαι M (corr. εὐδαιμόνισαν). — 50, 2. εἶχον. sic dedi. ἔσχον reliq. ‖ καὶ κατ' Selden., καὶ om. reliq. ‖ 3. ἡγοῦντο. post hoc verbum εὐδοκιμεῖν supplet Selden., εὐθηνεῖν Reisk. ‖ 4. συνελέγη. συνελέγει D. ‖ 7. τοὺς Λακεδαιμονίους. τοῖς Λακεδαιμονίοις Reisk. ‖ 8. εἴχοντο Reisk., εἶχον τὰ reliq.

ἀποστάντες τῆς πρότερον αὐτοῖς γνώμης, ἐν τοῖς αὐτοῖς γε-
51 νέσθαι. καίτοι τὰ μὲν ἐκείνων εἶχεν ἀληθῆ δύναμιν καὶ με-
γάλας ὠφελείας, εἰ δεῖ τὰς πλεονεξίας οὕτως καλεῖν· τὰ δὲ
τῶν νῦν ἀμφισβητήματα καὶ τὰ αἴτια τῆς ἀπεχθείας κἂν
αἰσχυνθῆναί μοι δοκεῖ τις ἂν ἰδών. ἔστι γὰρ ὁμοδούλων
πρὸς ἀλλήλους ἐριζόντων περὶ δόξης καὶ πρωτείων. τί οὖν;
οὐδὲν ἀγαθὸν ἔστιν ἐν τῷ χρόνῳ τούτῳ, περὶ οὗ χρὴ σπου-
δάζειν; ἔστι τὰ μέγιστα καὶ μόνα σπουδῆς ἄξια καὶ τότε ὄντα
καὶ νῦν καὶ ἀεὶ ἐσόμενα· ὧν οὐκ ἔχει δήπουθέν τις ἐξουσίαν
οὔτ' ἄλλῳ παρασχεῖν οὔτε ἀφελέσθαι δύναται τὸν κτησάμε-
νον, ἀλλ' ἀεί ἐστιν ἐπ' αὐτῷ, κἂν ἰδιώτης ᾖ κἂν πολίτης·
52 ὑπὲρ ὧν ἴσως μακρότερον λέγειν πρὸς ὑμᾶς. καίτοι με οὐ 61 R II.
λέληθεν, ὅτι τοὺς φιλοσόφους πολλοὶ νομίζουσιν ἐκλύειν
ἅπαντα καὶ ἀνιέναι τὰς ὑπὲρ τῶν πραγμάτων σπουδάς, καὶ
διὰ τοῦτο βλάπτειν μᾶλλον· ὥσπερ εἴ τις τὸν μουσικὸν βού-
λοιτο ἁρμοζόμενον, ἔπειτ' ἀνιέντα τῶν φθόγγων τινὰς καὶ
πάλιν ἑτέρους ἐντείνοντα σκώψειε τὸν αὐτόν. ἔχει δὴ καὶ τὰ
53 τῶν πόλεων πράγματα οὕτως. αἱ μὲν γὰρ πονηραὶ καὶ ἀνω- 429 M.
φελεῖς σπουδαὶ καὶ φιλοτιμίαι μᾶλλόν εἰσι τοῦ προσήκοντος
ἐντεταμέναι καὶ τρόπον τινὰ δι' αὐτοὺς ἀποῤῥήγνυνται πάν-
τες· αἱ δὲ ὑπὲρ τῶν καλλίστων ὅλως ἐκλύονται. θεάσασθε
δ' εὐθέως, εἰ βούλεσθε, τὴν τῆς φιλαργυρίας ἐπίτασιν, τὴν
τῆς ἀκρασίας. ἀλλ' ἔοικα γὰρ πόῤῥω προάγειν, καὶ καθάπερ
οἱ ἐν ταῖς γαλήναις μακρότερον νηχόμενοι τὸ μέλλον οὐ
προορᾶν.

9. αὐτοῖς suspectum. — 51, 1. εἶχεν BM. Reisk., εἶχον reliq. ‖ 2. ὠφελείας. ὠφελίας M. ‖ 4. δοκεῖ M, δοκῇ reliq. ‖ 5. ἐριζόντων. ἐρεθιζόντων B. ‖ 7. ἔστι om. M. ‖ 8. τις a corr. add. in M. ‖ 9. οὔτ'. sic dedi. οὐδ' reliq. ‖ οὔτε. sic dedi. οὐδὲ reliq. ‖ κτησάμενον Obs. p. 46, χρησάμενον reliq. ‖ 10. ἀλλ' ἀεί. καὶ M. ‖ κἂν. καὶ M. ‖ πολίτης. εἱλώτης Geel., malim οἰκέτης. ‖ 11. μακρότερον. μακρότερον ἢ Reisk. — 52, 4. βούλοιτο. βούλοιτο λύραν (vel κιθάραν) Reisk., malim βουλόμενον. ‖ 5. ἁρμοζόμενον. ἁρμοζόμενον ἰδεῖν Reiskius. malim ἁρμόζειν. ‖ ἔπειτ'. ἐπεὶ m. ‖ ἀνιέντα. ἀνιέντα ὁρῶν Reisk. ‖ 6. πάλιν. γὰρ M. ‖ ἐντείνοντα σκώψειε r, ἐντείνοντας ὄψει BMD, ἐντείνοντα ὄψει vm, ἐντείνοντα σκώψει Selden. ‖ τὸν αὐτόν. malim post πάλιν transponi. totum locum sic constituit Iacobsius: ὥσπερ εἴ τις ὄργανον μουσικὸν βούλοιτο ἁρμοζόμενον, ἔπειτ' ἀνιέντα ἰδὼν τῶν φθόγγων — σκώψειε τὸν αὐτόν. denique Geelius: τις μουσικὸν ἄνδρα ἰδεῖν βούλοιτο τὴν λύραν ἁρμοζόμενον cett. — 53, 3. ἐντεταμέναι. ἐντεταμμέναι B. ‖ ἀποῤῥήγνυνται. ἀποῤῥήγνυται M. ‖ 4. θεάσασθε. θεάσασθαι M. ‖ 6. ἔοικα BM. Casaub. r, ἔοικε vm. ‖ 7. γαλήναις. γαλῆναις D.

ΛΟΓΟΣ λε

ΕΝ ΚΕΛΑΙΝΑΙΣ ΤΗΣ ΦΡΥΓΙΑΣ.

1 *Οὐκ ἐπιδειξόμενος ὑμῖν, ὦ ἄνδρες, παρῆλθον οὐδὲ ἀργυ-* 65 R II
ρίου παρ' ὑμῶν δεόμενος οὐδ' ἔπαινον προσδεχόμενος. ἐπί-
σταμαι γὰρ οὔτε αὐτὸς ἱκανῶς παρεσκευασμένος, ὥστε ὑμῖν
ἀρέσαι λέγων, οὔτε ὑμᾶς οὕτως ἔχοντας, ὥστε προσδεῖσθαι
τῶν ἐμῶν λόγων. πλεῖστον δὲ τὸ μεταξὺ τῆς ὑμετέρας βου-
λήσεως καὶ τῆς ἐμῆς δυνάμεως. ἐγὼ μὲν γὰρ ἁπλῶς πέφυκα
καὶ φαύλως διαλέγεσθαι καὶ οὐδενὸς ἄμεινον τῶν τυχόντων·
ὑμεῖς δὲ θαυμαστῶς καὶ περιττῶς ἐπιθυμεῖτε ἀκούειν καὶ
2 *μόνων ἀνέχεσθε τῶν πάνυ δεινῶν. οὐ δὴ τούτου χάριν προ-*
ῆλθον, ἵνα με θαυμάσητε· οὐ γάρ ἐστιν ὅπως ἂν ἐγὼ θαυ-
μασθείην ὑφ' ὑμῶν, οὐδὲ ἂν ἀληθέστερα λέγω τῶν Σιβύλλης
ἢ Βάκιδος· ἀλλὰ ἵνα μηδεὶς ὑποβλέπῃ με μηδὲ πυνθάνηται
παρ' ἑτέρων, ὅστις εἰμὶ καὶ ὁπόθεν ἔλθοιμι. νῦν γὰρ ἴσως
ὑπονοοῦσιν εἶναί με τῶν σοφῶν ἀνθρώπων καὶ πάντα εἰδότων
γελοίῳ καὶ ἀτόπῳ τεκμηρίῳ χρώμενοι, τῷ κομᾷν. εἰ γὰρ
τοῦτο αἴτιον ὑπῆρχεν ἀρετῆς καὶ σωφροσύνης, οὐδεμιᾶς ἂν
ἐδεῖτο μεγάλης οὐδὲ χαλεπῆς δυνάμεως τὰ τῶν ἀνθρώπων.
3 *ἀλλ' ἐγὼ δέδοικα, μὴ οὐδὲν ᾖ τοῖς ἀνοήτοις ὄφελος τοῦ κο-*
μᾷν, [ὥσπερ οὐκ ἔστιν] οὐδ' ἂν τὴν καρδίαν αὐτὴν γένωνται 430 M.
δασεῖς, καθάπερ Ἀριστομένη τὸν Μεσσήνιόν φασιν, ὃς
πλεῖστα Λακεδαιμονίοις πράγματα παρέσχε καὶ πολλάκις
ἁλοὺς ἀπέδρα παρ' αὐτῶν, τοῦτον, ἐπειδήποτε ἀπέθανεν, 66 R II
οὕτως ἔχοντα εὑρεθῆναι. φημὶ τοίνυν οὐδὲν ὄφελος εἶναι
τοῖς γυμνῆσι τούτοις [οὐδ' ἂν πελτασταὶ γένωνται] πρός γε

Orat. XXXV. Collati sunt BM. — 1, 2. οὐδ'. οὐδὲ M. ‖ 3. οὔτε BM, οὐδὲ reliq. ‖ 5. ὑμετέρας M. r ex Interpr., ἡμετέρας vm. ‖ 9. μόνων M. Reisk., μόνον reliq. ‖ ἀνέχεσθε. ἀνέχεσθαι B. — 2, 1. οὐ δὴ Seldenus (hoc enim voluit, non οὐ δεῖ), οὐδὲ reliq. ‖ 4. ὑποβλέπῃ BM (corr. ἀποβλέπῃ), ἀποβλέπῃ reliq. — 3, 2. [ὥσπερ οὐκ ἔστιν] glossema. ‖ 3. Ἀριστομένη BM, Ἀριστομένην reliq. ‖ 5. τοῦτον BM. Reisk., τοῦτο reliq. ‖ 7. [οὐδ' ἂν πελτασταὶ γένωνται] suspecta.

τὸ δίκαιον καὶ σωφροσύνην ἀληθῆ καὶ φρόνησιν, οὐδ' ἂν ἔτι
μᾶλλον ἀποδύσωνται καὶ γυμνοὶ περιτρέχωσι τοῦ χειμῶνος
ἢ τὴν Μήδων καὶ Ἀράβων στολὴν λάβωσιν, ὥσπερ οὐδὲ αὐ-
λεῖν ἱκανοὶ ἔσονται τὰ τῶν αὐλητῶν ἐνδεδυκότες. οὐδὲ γὰρ
τοὺς ὄνους ἵππους γενέσθαι δυνατὸν, οὐδ' ἂν ἔτι πλέον τὰς
ῥῖνας ἀνατμηθῶσιν οὐδ' ἂν τὰς γνάθους τρήσαντες αὐτῶν
ψάλιον ἐμβάλωσιν οὐδὲ ἂν ἀφέλῃ τις τὰ ἀγάλματα· ἀλλὰ
ὀγκήσονται πρὸ τῶν τειχῶν πάνυ μέγα καὶ τἄλλα ποιήσουσι
4 τὰ πρέποντα αὐτοῖς. ὥστε μηδεὶς ἕνεκα τοῦ σχήματος νομι-
σάτω διαφέρειν με μηδενὸς μηδὲ τούτῳ πεποιθότα λέγειν,
ἀλλὰ τοὐναντίον ὁρᾶν, ἂν μὲν ἡσυχίαν ἄγω καθάπαξ καὶ
διαλέγωμαι μηδενὶ, πολλῷ μᾶλλον ὑπονοεῖν τοὺς ἀνθρώπους
ὡς ἂν οἶμαι σεμνυνόμενον ὡς σπουδαῖον κρύπτοντα· πολλοὶ
γὰρ δὴ δι' αὐτὸ τοῦτο ἐθαυμάσθησαν, τὸ σιγᾶν. ἐὰν δὲ ἐν
τῷ μέσῳ καταστὰς μηδενὸς ἄμεινον λέγων φαίνωμαι τῶν κα-
πήλων καὶ τῶν ὀρεοκόμων, οὐκ ἐνοχλήσειν σαφῶς αὐτοὺς
5 ἑωρακότας, ὁποῖός εἰμι. σχεδὸν δὲ τοῦτο καὶ ἐπ' ἄλλων ἰδεῖν 61 R II.
ἔστι γιγνόμενον. οἷον ἐπειδάν τινες ὑπονοήσωσιν ἔχειν τινὰ
τοῦτο αὐτὸ, ὃ τυγχάνουσι ζητοῦντες, προσίασι καὶ ανερευ-
νῶσιν· ἐὰν οὖν περιστέλλῃ καὶ μὴ ἐθέλῃ δεικνύειν, ἔτι μᾶλλον
ὑπονοοῦσιν· ἐὰν δὲ παραχρῆμα ἀποκαλύψῃ καὶ γένηται φανε-
ρὸς οὐκ ἔχων οὐδὲν, ἀπίασι διημαρτηκέναι νομίσαντες. πολὺ
δὴ κρεῖττον τοῖς οὐ δεομένοις δόξης ἀποκαλύπτεσθαι πρὸς
τοὺς πολλοὺς καὶ φανερὸν τῷ λόγῳ ποιεῖν αὑτὸν τοῖς δυνα-
μένοις ξυνεῖναι τὸν ἄνθρωπον ὁποῖός ἐστιν. οἶμαι γὰρ αὐτοὺς
καταφρονήσειν σαφῶς. ὡς ἔγωγε νῦν πέποιθα οὐ ξυνήσειν
ἀλλήλων ἡμᾶς, οὔτε ἐμὲ τῶν ἀκουόντων οὔτε ἐκείνους τοῦ 431 M.

9. ἀποδύσωνται. ἀποδύσονται m. ‖ 10. ἤ. ἢ εἰ Reisk. ‖ Ἀράβων M, Ἀῤῥάβων reliq. ‖ 11. ἱκανοὶ ἔσονται BM, ἔσονται ἱκανοὶ reliq. ‖ ἐνδεδυκότες M, ἐνδύντες reliq. ‖ 12. ἔτι. ἐπὶ Obs. p. 46. ‖ 14. ψάλιον Vales. p. 60, ψέλιον BM, ψελλίον r, ψελλίων vm. ‖ ἄν. ἐὰν M. ‖ ἀγάλματα. σάγματα Casaub. — 4, 3. ὁρᾶν. ἅπαν Pflugk. ‖ 4. ὑπονοεῖν. ὑπονοήσειν Reisk. ‖ 5. ὡς ἂν Reisk., ὧν ἂν reliq. ‖ ὡς. malim ἢ ὥς τι vel cum Geelio καί τι, nisi v. ὡς σπουδαῖον κρύπτοντα glossema sunt. conf. § 6. ‖ 6. σιγᾶν. σειγᾶν m. ‖ 7. ἄμεινον. ἀμείνων Reisk. ‖ λέγων φαίνωμαι BM, φαίνωμαι λέγων Reisk., φαίνομαι λέγων reliq. ‖ 8. ὀρεοκόμων BM, ὀρεωκόμων reliq. — 5, 2. τινὰ Reisk., τινὰς reliq. ‖ 4. περιστέλλῃ Reisk., περιστείλῃ reliq. ‖ 8. αὑτόν. αὐτὸν M. ‖ 9. τὸν ἄνθρωπον. τῶν ἀνθρώπων Iacobs. ‖ 10. σαφῶς. ὡς ἔγωγε νῦν πέποιθα οὐ. sic dedi. σαφῶς, ὡς ἔγωγε νῦν πέπονθα, καὶ οὐ reliq. ‖ 11. ἀλλήλων BM. r, ἀλλήλους vm.

λέγοντος. τούτου δὲ αἴτιον ἔγωγε θείην ἂν ἐμαυτὸν μᾶλλον
6 ἢ ὑμᾶς. μία μὲν οὖν αὕτη πρόφασις τοῦ προελθεῖν. ἑτέρα
δὲ τὸ φοβεῖσθαι, μὴ διαφθαρῶ αὐτὸς διὰ τὴν ὑμετέραν ὑπο-
ψίαν καὶ τῷ ὄντι νομίσω προσεῖναι σπουδαῖόν τι ἐμαυτῷ.
μεγάλης γὰρ διανοίας καὶ δυνάμεως ἔοικε δεῖν, ὅταν θαυμά-
σωσιν ἕνα πολλοὶ καὶ διαφέρειν ἡγῶνται τῶν ἄλλων, εἰ μέλλει
σωφρονεῖν οὗτος ὁ ἀνὴρ καὶ μηδὲν ἀνόητον πάσχειν μηδὲ
ἐπαίρεσθαι τοῖς τῶν πολλῶν λόγοις, ὥσπερ πτεροῖς· καθάπερ
τὸν Ἀχιλλέα πεποίηκεν Ὅμηρος διὰ τὴν ἀλαζονείαν ὑπὸ τῶν
ὅπλων ἐπαιρόμενον καὶ φερόμενον·

τῷ δ' αὖτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν.

7 ἡλίκη δέ ἐστιν ἡ τῶν πολλῶν δύναμις τοῦ πείθειν, ὅ τι ἂν
αὐτοὶ θέλωσιν, οὐχ ἥκιστα ἀπὸ τῶν παίδων μάθοι τις ἄν, 6 R II
ὅταν ἀνθρώπῳ σωφρονοῦντι παιδάρια ἀκολουθῇ φάσκοντα
μαίνεσθαι. τὸ μὲν γὰρ πρῶτον ἄπεισιν ἀγανακτῶν καθ'
αὑτόν, ἔπειτα προσκρούων ἀεὶ καὶ λοιδορούμενος ἑκάστῳ καὶ
διώκων αὐτὸ τοῦτο ἔπαθεν, ἐξέστη τελευτῶν, καὶ τὴν φήμην
ὑπέλαβε θεὸν εἶναι, οὐ μόνον τὴν τῶν ἀνδρῶν, ἀλλὰ καὶ τὴν
8 τῶν παίδων. δοκεῖ δέ μοι καὶ τὸ τῶν σοφιστῶν γένος ἐν-
τεῦθεν αὔξεσθαί ποθεν. ἐπειδὰν πολλοὶ νεανίσκοι σχολὴν
ἄγοντες ἕνα θαυμάζωσι πηδῶντες, καθάπερ αἱ Βάκχαι περὶ
τὸν Διόνυσον, πᾶσα ἀνάγκη τοῦτον τὸν ἄνθρωπον οὐ πολλῷ
τινι χρόνῳ πολλοῖς τῶν ἄλλων δόξαι τι λέγειν. σχεδὸν γὰρ
ὥσπερ οἱ γονεῖς διαλέγεσθαι τὰ παιδία διδάσκουσιν, ἐπὶ
παντὶ χαίροντες ὅ τι ἂν εἴπωσιν· οὐκοῦν ἐκ τούτων θαῤῥεῖ
καὶ μᾶλλον πρόσεισι καὶ σαφέστερον ἀεὶ διαλέγεται καὶ τέλος
ἐξέμαθε τὴν φωνὴν τῶν ξυνόντων, ἐάν τε Ἕλληνες ὦσιν ἐάν
τε βάρβαροι· καὶ τοὺς σοφιστὰς ἀνάγκη τὴν διάνοιαν τῶν
ἀκροατῶν ἀναλαβεῖν τοιαῦτα καὶ λέγοντας καὶ διανοουμένους,
ὁποῖοί ποτ' ἂν οὗτοι τυγχάνωσιν ὄντες. εἰσὶ δὲ οἱ πλείους [illegible] M
9 ἐπιεικῶς ἠλίθιοι καὶ δυστυχεῖς. οὗτος μὲν οὖν ἴσως οὐ μέγας

12. δὲ BM. Reisk., γε reliq. — 6, 1. αὕτη. αὐτὴ m. ‖ 5. μέλλει. μέλλον (superscr. vulg.) M. ‖ 7. τοῖς τῶν Geel., τοῖς reliq. ‖ 8. ἀλαζονείαν. ἀλαζονίαν M. ‖ 10. γίνετ'. γείνετ' M. — 7, 1. ἡλίκη. ἡ δίκη M. ‖ 2. ἥκιστα. ἵκιστα M. ‖ μάθοι BM, μάθῃ reliq. — 8, 2. ἐπειδὰν BM. Iacobs., ἐπειδὴ reliq. ‖ 5. πολλοῖς τῶν ἄλλων. malim πολλοῖς τε τῶν ἄλλων καὶ ἑαυτῷ. ‖ 7. ὅ τι ἄν. ὅταν M. ‖ τούτων. τούτου B. ‖ 8. πρόσεισι. πρόεισι Reisk. ‖ 12. ποτ' ἂν BM, ποτ' ἐὰν reliq. — 9, 1. μὲν οὖν M, οὖν om. reliq.

κίνδυνος, εἴ τις αὐτῷ καὶ ἑτέροις δοκεῖ δεινὸς εἶναι καὶ περι-
άξει πλῆθος ἀνθρώπων ἀνοήτων, ὥσπερ τὸν Ὀρφέα φασὶ
τὰς δρῦς καὶ τὰς πέτρας καὶ τοὺς λίθους· τὸ δ' αὐτὸν ἀνόη-
τον ὄντα καὶ δειλὸν καὶ ἀκόλαστον καὶ μηδὲν διαφέροντα
τῶν βοσκημάτων ἀρετῆς τι νομίσαι προσήκειν αὐτῷ καὶ καλο-
καγαθίας, τοῦτο δὴ παντελῶς δεινὸν καὶ τῆς χαλεπωτάτης
πασῶν ἀνοίας καὶ μανίας. ἀλλ' ὅταν φήμη καταλαμβάνῃ 66 R II.
τινὰ καὶ τοιοῦτος ἄρξηται λόγος ὑποτύφεσθαι, δεῖ περιῤῥη-
ξάμενον ἐκπηδᾷν γυμνὸν εἰς τὰς ὁδούς, ἐπιδεικνύντα πᾶσιν,
10 ὅτι μηδενός ἐστι βελτίων· ἐὰν δὲ ἐπακολουθῇ τις φάσκων
εἶναι μαθητής, ἀπελαύνειν παίοντα καὶ βάλλοντα ταῖς βώλοις
καὶ τοῖς λίθοις ὡς ἀνόητον ἢ πονηρόν. λέγω δὲ οὐ πρὸς
ἅπαντας· εἰσὶ γάρ οἱ καλῶς καὶ συμφερόντως τὸ πρᾶγμα
πράττοντες, οἷς ἔδει σπένδειν καὶ θυμιᾷν· ἀλλ' οὓς σοφοὺς
ὑμῖν ἀποδεικνύουσι, τρεῖς ἢ τέτταρας κομήτας, καθάπερ
τοὺς ἱερέας τῶν παρ' ὑμῖν· τοὺς μακαρίους λέγω, τοὺς ἁπάν-
των ἄρχοντας τῶν ἱερέων, τοὺς ἐπωνύμους τῶν δύο ἠπείρων
τῆς ἑσπέρας ὅλης. ταῦτα γάρ ἐστι τὰ ποιοῦντα καὶ τούτους
εὐδαίμονας, στέφανος καὶ πορφύρα καὶ παιδάρια κομῶντα
11 λιβανωτὸν φέροντα. ταῦτα μὲν οὖν ὅπως ποτὲ ἔχει, λελέχθω. 67 R II.
τὸ δὲ κομᾷν οὐ χρὴ πάντως ὑπολαμβάνειν ὡς ἀρετῆς σημεῖον.
πολλοὶ γὰρ ἤδη διὰ θεόν τινα κομῶσιν ἄνθρωποι· καὶ γεωρ-
γοὶ κομῆται, μηδὲ τοὔνομα ἀκούσαντές ποτε τὸ φιλοσοφίας,
καὶ νὴ Δία οἱ πλείους τῶν βαρβάρων, οἱ μὲν σκέπης ἕνεκεν,
οἱ δὲ καὶ πρέπειν αὐτοῖς νομίζοντες. τούτων οὐκ ἔστιν ἐπί-
12 φθονος οὐδεὶς οὐδὲ καταγέλαστος. ἴσως γὰρ ὀρθῶς αὐτὸ
πράττουσιν· ἐπεὶ καὶ τοὺς λαγὼς ὁρᾶτε τοὺς πάνυ ἀσθενεῖς
ὑπὸ τῆς δασύτητος σωζομένους, καὶ τῶν ὀρνέων τοῖς ἀσθε-
νεστάτοις ἐξαρκεῖ τὰ πτερὰ εἴργειν τὸν ἄνεμον καὶ τὸ ὕδωρ,

2. αὐτῷ καὶ ἑτέροις Casaub. r, αὐτῶ καὶ ἕτερος BM, αὐτὸ καὶ ἕτερος vm. ‖ 4. τὸ δ' Pflugk., τὸν M, τὸν δ' reliq. ‖ 6. νομίσαι r, νομίσας reliq. ‖ 8. φήμη BM. Reisk., φήμην reliq. ‖ 9. τοιοῦτος. τοιούτοις (et λόγοις) Casaub. ‖ περιῤῥηξάμενον. περιρηξάμενον M. — 10, 2. μαθητής. μαθητὴν M. ‖ ταῖς BM. Iacobs. Add. p. 301, τοῖς reliq. ‖ 5. ἀλλ' οὓς Casaub. r, ἄλλους reliq. ‖ 6. τρεῖς ἢ τέτταρας κομήτας B. Casaub. r, τρεῖς ἢ τέτταρας κοσμήτας M, τρεῖς ἦτε γὰρ ἀσκομήτας vm. ‖ 7. τοὺς ἱερέας τῶν παρ' ὑμῖν. aut τοὺς ἱερέας τοὺς παρ' ὑμῖν aut τοὺς ἱερέας τῶν παρ' ὑμῖν θεῶν Reisk. ‖ 9. ποιοῦντα. τοιαῦτα B. ‖ 10. καὶ πορφύρα in M a corr. add. — 11, 1. ὅπως ποτέ. ὁ πώποτε m. ‖ ἔχει M, ἔχῃ reliq. ‖ 3. καὶ γεωργοί. sic dedi. καὶ om. reliq. ‖ 6. τούτων. τούτων δ' Reisk.

διότι ἐξ αὐτῶν πέφυκεν. ἡμεῖς δὲ τὴν μὲν κόμην ἀφαιροῦμεν, 433 M
ὥσπερ οἱ νομεῖς τῶν ἵππων, ἃς ἂν ἐθέλωσι παραβαλεῖν τοῖς
ὄνοις, καὶ τὰ γένεια ἀποκείρομεν, τὰς δὲ κεφαλὰς σκέπομεν
σισύρας καὶ πίλους καὶ τοιαῦθ' ἕτερα ξυῤῥάπτοντες. καίτοι
ποῖος ἂν γένοιτο πῖλος Ἀρκαδικὸς ἢ Λακωνικὸς μᾶλλον ἁρ-
μόττων τῆς αὐτοῦ κόμης ἑκάστῳ; καὶ τί δεῖ, φησὶ, τοσού- 638 R II
των ὄντων σκεπασμάτων; οὐδὲν τοῖς γε πλουσίοις· ἐκείνοις
13 μὲν οὐδὲ χειρῶν οὐδὲ ποδῶν. — ἐγὼ δὲ ὁρῶ καὶ ταύτην τὴν
πόλιν οὐδεμιᾶς ἐνδεεστέραν τῶν πρώτων καὶ ξυνήδομαι καὶ
ἀγαπῶ. τῆς γὰρ ἠπείρου τὸ καρτερώτατον νέμεσθε καὶ πιό-
τατον, πεδίων δὲ καὶ ὀρῶν μεταξὺ καλλίστων ἵδρυσθε, καὶ
πηγὰς ἀφθονωτάτας ἔχετε καὶ χώραν εὐκαρποτάτην ξύμπαντα
μυρία φέρουσαν,

πυρούς τε ζειάς τ' ἠδ' εὐρυφυὲς κρῖ λευκόν,

καὶ πολλὰς μὲν ἀγέλας, πολλὰς δὲ ποίμνας ποιμαίνετε καὶ
βουκολεῖτε. τῶν τε ποταμῶν οἱ μέγιστοι καὶ πολυωφελέστα-
τοι τὴν ἀρχὴν ἐνθένδε ἔχουσιν, ὅ τε Μαρσύας οὗτος διὰ
μέσης τῆς πόλεως ὑμῶν ῥέων ὅ τε Ὄρβας ὅ τε Μαίανδρος
πολὺ πάντων τῶν ποταμῶν θειότατος καὶ σοφώτατος, ὃς
ἑλίττων μυρίας καμπὰς σχεδόν τι τὴν ἀρίστην τῆς Ἀσίας
14 ἔπεισιν. τῆς τε Φρυγίας προκάθησθε καὶ Λυδίας, ἔτι δὲ
Καρίας. ἄλλα τε ἔθνη περιοικεῖ πολυανδρότατα, Καππάδο-

12, 7. σκέπομεν σισύρας καὶ πίλους καὶ τοιαῦθ' ἕτερα ξυῤῥάπτοντες. sic dedi. conf. Obs. p. 47 (σκέπομεν antea Iacobs. Add. p. 298). πλέκομεν σισύρας καὶ πείλους, τοὺς δὲ ἀλεκτρυόνας ὅρμωμεν (corr. ὁρῶμεν) οὐδενὸς τοιούτου προσδεομένους ὧν ἄνθρωποι (οὐδενὸς — ἄνθρωποι marg. add.) σισύρας καὶ πείλους καὶ τοιαῦθ' ἕτερα ξυῤῥάπτοντες M, πλέκομεν σισύρας καὶ πίλους. τοὺς δὲ ἀλεκτρυόνας ὁρῶμεν οὐδενὸς τοιούτου προσδεομένους, ὧν ἄνθρωποι, σισύρας καὶ πίλους καὶ τοιαῦθ' ἕτερα ξυῤῥάπτοντες B. vmr, unde Casaubonus ταῖς δὲ κεφαλαῖς πλέκομεν σισύρας καὶ πίλους, Reiskius vero τὰς δὲ κεφαλὰς ἐμπλέκομεν deletis v. σισύρας καὶ πίλους. ‖ 8. καίτοι ποῖος B. Obs. p. 47, καὶ ποῖος reliq. ‖ 9. πῖλος. πεῖλος M. ‖ μᾶλλον. ἢ μᾶλλον M. ‖ 10. δεῖ. δεῖ κόμης Reisk. ‖ 11. τοῖς γε BM, γε om. reliq. ‖ 12. ποδῶν. post hoc verbum quaedam excidisse vidit Reisk. — 13, 3. πιότατον. πειότατον M. ‖ 4. πεδίων δὲ Reisk., πεδίων τε reliq. ‖ ὀρῶν. ὁρῶν M. ‖ 5. ἀφθονωτάτας. ἀφθονωτάτους B. corr. M. ‖ 7. τε ζειάς M (corr. τε καὶ ζειάς). Iacobs. Add. p. 76, τε καὶ ζειάς reliqui. conf. Od. 4, 604. ‖ τ' ἠδ' Hom. l. l., τε εἰδ' M, τε ἠδ' reliq. ‖ 8. ποιμαίνετε. ποιμένετε M. ‖ 11. Ὄρβας. νόρβας M (mrg. vulg.). var. l. v. ‖ 12. πάντων τῶν. τῶν om. B, in M a corr. add. ‖ ὃς Casaub. r, ὃς om. reliq. — 14, 2. περιοικεῖ. οἰκεῖ (mrg. vulg.) M. ‖ Καππάδοκές. Καππαδόκαι B.

κές τε καὶ Πάμφυλοι καὶ Πισίδαι, καὶ τούτοις ἅπασιν ἀγο-
ρὰν ὑμεῖς καὶ ξύνοδον παρέχεσθε τὴν αὐτῶν πόλιν· καὶ 69 R II.
τοῦτο μὲν πολλὰς τῶν ἀνωνύμων πόλεων, τοῦτο δὲ πολλὰς
εὐδαίμονας κώμας ὑπηκόους ἔχετε. σημεῖον δὲ μέγιστον τῆς
δυνάμεως ὑμῶν τὸ πλῆθος τῶν φόρων· ὥσπερ οἶμαι τῶν
ὑποζυγίων κράτιστα δοκεῖ τὰ πλεῖον ἕλκοντα, οὕτω καὶ τῶν
πόλεων εἰκὸς ἀρίστας εἶναι τὰς πλεῖστον ἀργύριον ὑποτελού-
15 σας. πρὸς δὲ τούτοις αἱ δίκαι παρ' ἔτος ἄγονται παρ' ὑμῖν
καὶ ξυνάγεται πλῆθος ἀνθρώπων ἄπειρον δικαζομένων, δικα- 431 M.
ζόντων, ῥητόρων, ἡγεμόνων, ὑπηρετῶν, οἰκετῶν, μαστροπῶν,
ὀρεοκόμων, καπήλων ἑταιρῶν τε καὶ βαναύσων· ὥστε τά τε
ὤνια τοὺς ἔχοντας πλείστης ἀποδίδοσθαι τιμῆς καὶ μηδὲν ἀρ-
γὸν εἶναι τῆς πόλεως, μήτε τὰ ζεύγη μήτε τὰς οἰκίας μήτε
16 τὰς γυναῖκας. τοῦτο δὲ οὐ σμικρόν ἐστι πρὸς εὐδαιμονίαν.
ὅπου γὰρ ἂν πλεῖστος ὄχλος ἀνθρώπων ξυνίῃ, πλεῖστον ἀρ-
γύριον ἐξ ἀνάγκης ἐκεῖ γίγνεται, καὶ τὸν τόπον εἰκὸς εὐθη-
νεῖν· ὥσπερ οἶμαί φασι τὴν χώραν, οὗ ἂν πρόβατα πλεῖστα
αὐλισθῇ, κρατίστην γίγνεσθαι τοῖς γεωργοῖς διὰ τὴν κόπρον,
καὶ πολλοὶ δέονται τῶν ποιμένων παρ' αὐτοῖς αὐλίζειν τὰ
17 πρόβατα. τοιγαροῦν μέγιστον νομίζεται πρὸς ἰσχὺν πόλεως
τὸ τῶν δικῶν, καὶ πάντες ἐσπουδάκασιν ὑπὲρ οὐδενὸς οὕτω·
μέτεστι δὲ αὐτοῦ ταῖς πρώταις πόλεσιν ἐν μέρει παρ' ἔτος·
φασὶ δὲ νῦν ἔσεσθαι διὰ πλείονος χρόνου. τοὺς γὰρ ἀνθρώ-
πους οὐχ ὑπομένειν ξυνεχῶς ἐλαύνεσθαι πανταχοῦ. καὶ μὴν 70 R II.
τῶν ἱερῶν τῆς Ἀσίας μέτεστιν ὑμῖν, τῆς τε δαπάνης τοσοῦτον,
ὅσον ἐκείναις ταῖς πόλεσιν, ἐν αἷς ἐστι τὰ ἱερά. οὔκουν
ἔγωγε ταύτης εὐποτμοτέραν ἐπίσταμαι πόλιν οὐδὲ ἀνθρώπους
18 ἄμεινον ζῶντας χωρὶς Ἰνδῶν. ἐκεῖ γάρ, ὥς φασι, ποταμοὶ
ῥέουσιν οὐχ ὥσπερ παρ' ὑμῖν ὕδατος, ἀλλ' ὁ μὲν γάλακτος,
ὁ δὲ οἴνου διαυγοῦς, ἄλλος δὲ μέλιτος, ἄλλος δὲ ἐλαίου. ῥέουσι
δ' ἐγγύθεν ἐκ λόφων, ὥσπερ ἐκ μαστῶν τῆς γῆς. πάντα δὲ

3. Πισίδαι. πησίδαι M. || 4. αὐτῶν. αὑτῶν M. || 8. πλεῖον. πλέον M. || 9. ὑποτελούσας BM. Pflugk., ἐπιτελούσας reliq. — 15, 1. παρ' ἔτος BM. v, κατ' ἔτος mr. || 2. ξυνάγεται M, ξυνάγονται reliq. || 4. ὀρεοκόμων BM, ὀρεωκόμων reliq. || ἑταιρῶν Iacobs. Add. p. 299, ἑταίρων reliqui. an fuit ἑτέρων (τε βαναύσων)? || τά τε. ἅτε M. — 16, 4. φασι. φησὶ B. || 5. γίγνεσθαι M, γίνεσθαι reliq. — 17, 1. νομίζεται M, νομίζει B, νομίζω reliq. || 4. πλείονος. μείονος Reisk. || 8. εὐποτμοτέραν. εὐποτμωτέραν M. || πόλιν. τὴν πόλιν m.

ταῦτα τῶν παρ' ἡμῖν ἄπειρον διαφέρει πρός τε ἡδονὴν καὶ δύναμιν. τὰ μὲν γὰρ ἐνθάδε γλίσχρως καὶ μόλις ἀπὸ ζώων τινῶν καὶ φυτῶν [καρποὺς ξύλων βρίζοντες καὶ τροφὴν ζώων βδάλλοντες καὶ βλίττοντες], τὰ δὲ ἐκεῖ τῷ παντὶ καθαρώτερα χωρὶς οἶμαι βίας καὶ πανουργίας. οἱ δὲ ποταμοὶ ῥέουσιν ἕνα μῆνα τῷ βασιλεῖ καὶ φόρος οὗτός ἐστιν αὐτῷ,
19 *τὸν δὲ λοιπὸν χρόνον τοῖς δημόταις. ξυνίασιν οὖν καθ' ἑκάστην ἡμέραν μετὰ παίδων καὶ γυναικῶν εἴς τε τὰς πηγὰς καὶ* 435 M *πρὸς τὰ ῥεύματα τῶν ποταμῶν παίζοντες καὶ γελῶντες, ὡς ἂν ἐπ' εὐωχίαν. φύεται δὲ παρὰ ταῖς ὄχθαις ὅ τε λωτὸς ἰσχυρὸς καὶ σχεδὸν ἁπάντων σιτίων ἥδιστος, οὐχ ὥσπερ ὁ* 11 R II *παρ' ἡμῖν τετράποσι τροφή, καὶ πολλὰ σήσαμα καὶ σέλινα, ὡς ἂν εἰκάσειέ τις ἐκ τῆς ὁμοιότητος· τὴν δὲ ἀρετὴν οὐκ ἄξιον ξυμβάλλειν. [γίγνεται δὲ αὐτόθι ἕτερον σπέρμα τῶν πυρῶν καὶ τῶν κριθῶν ἀμείνων τροφὴ καὶ μᾶλλον ξυμφέρουσα. φύεται δὲ ἐν κάλυξι μεγάλαις, οἷον ῥόδων, εὐοσμοτέραις δὲ καὶ μείζοσιν. ταύτας τὰς ῥίζας καὶ τὸν καρπὸν*
20 *ἐσθίουσιν οὐδὲν πονήσαντες.] εἰσὶ δὲ ὀχετοὶ πολλοὶ ῥέοντες ἐκ τῶν ναμάτων, οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, ξυμμιγνύντες ἀλλήλοις, τῶν ἀνθρώπων πεποιηκότων, ὅπως ἂν αὐτοῖς δοκῇ. μετοχετεύουσι δὲ ῥᾳδίως, ὥσπερ ἡμεῖς τὸ ἐν τοῖς κήποις ὕδωρ. ἔστι δὲ καὶ λουτρὰ πλησίον αὐτοῖς ὕδατος, τὸ μὲν θερμὸν λευκότερον ἀργύρου, τὸ δὲ ὑπὸ τοῦ βάθους καὶ τῆς ψυχρότητος κυανοῦν. ἐνταῦθα νήχονται γυναῖκες ἅμα καὶ παῖδες, καλοὶ πάντες. ἔπειτα οἶμαι κατακλινέντες ἐν τοῖς*
21 *λειμῶσιν ᾄδουσι καὶ μινυρίζουσιν. εἰσὶ δὲ λειμῶνες αὐτόθι πάγκαλοι καὶ φύσις ἀνθῶν τε καὶ δένδρων παρεχόντων τὴν*

18, 5. *ἡμῖν* B. corr. M (prim. man. *ὑμῖν*), *ὑμῖν* reliq. ‖ *ἄπειρον. ἀπείρων* M. ‖ 7. [*καρποὺς ξύλων βρίζοντες καὶ τροφὴν ζώων βδάλλοντες* (*βάλλοντες* M.) *καὶ βλίττοντες*] delenda videntur. Reiskius ad haec fulcienda ante *καρποὺς* v. *ἔχομεν* addebat. In B e regione verbi *βρίζοντες* haec margini adscripta sunt: *ἐσθοντες, πιέζοντες· λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ κνοῦντες.* — 19, 1. *ξυνίασιν. ξύνεισιν* BM. ‖ 3. *πρὸς τά. πρὸς* om. M. ‖ 6. *πολλὰ σήσαμα. πολλὰς ἧς ἅμα* M. ‖ *σέλινα. γέλεια* M (mrg. vulg.). ‖ 8. *ξυμβάλλειν* M, *συμβάλλειν* reliq. ‖ [*γίγνεται—πονήσαντες*] suspecta. ‖ *δὲ αὐτόθι* BM (sed *δὲ* obel. notat.), *δὲ* om. reliq. ‖ 10. *μεγάλαις. μεγάλοις* B. corr. M. ‖ *ῥόδων* M, *ῥόδον* reliq. ‖ *εὐοσμοτέραις. εὐοσμοτέρα* Reisk. ‖ 11. *μείζοσιν. μείζουσι* v, *μυζῶσι* Reisk. ‖ *ταύτας.* malim *τούτου. ταύτης* Reisk. ‖ *ῥίζας. ῥίξας* M. — 20, 2. *οἱ δέ. δὲ* om. M. ‖ 4. *ἡμεῖς* BM, *ὑμεῖς* reliq. — 21, 2. *φύσις* M. Wyttenb. ad Phaedon. p. 233, *φύσιν* reliq., *φύσιν παρέχοντες* Reisk.

μὲν σκιὰν ἄνωθεν ἐξ ὕψους, τὸν δὲ καρπὸν ἐν ἐφικτῷ τοῖς
βουλομένοις λαβεῖν νευόντων τῶν κλάδων. οἵ τε ὄρνιθες
κατᾴδουσιν, οἱ μὲν ἐν τοῖς ὄρεσιν ἐγκαθήμενοι, πολύ τι πλῆ-
θος, οἱ δὲ ἄνωθεν ἀπὸ ἀκρεμόνων, εὐφωνότεροι τῶν παρ'
ἡμῖν ὀργάνων. πνεῦμά τε ἀεὶ μέτριον διαῤῥεῖ, καὶ τῶν ἀέρων
ἡ κρᾶσις ὁμοία διὰ παντὸς, μάλιστα δὲ ἔοικεν ἀρχομένῳ θέρει.
πρὸς δὲ τούτοις ὅ τε οὐρανὸς ἐκεῖ καθαρώτερος καὶ τὰ ἄστρα 12 R II.
πλείω καὶ λαμπρότερα. ζῶσι δὲ πλεῖον τετρακοσίων ἐτῶν
πάντα τὸν χρόνον τοῦτον ὡραῖοι καὶ νέοι, καὶ οὔτε γῆρας
22 ἔστι παρ' ἐκείνοις οὔτε νόσος οὔτε πενία. τούτων δὲ τοιού-
των ὄντων καὶ τοσούτων ὑπαρχόντων ἀγαθῶν, ὅμως εἰσὶν
ἄνθρωποι καλούμενοι Βραχμᾶνες, οἳ χαίρειν ἐάσαντες τούς
τε ποταμοὺς ἐκείνους καὶ τοὺς παρ' αὐτοῖς ἐῤῥιμμένους ἐκ- 436 M.
τραπέντες ἰδίᾳ τι ξυλλογίζονται καὶ φροντίζουσι, πόνους τε
θαυμαστοὺς ἀναλαβόμενοι τοῖς σώμασιν οὐδενὸς ἀναγκάζον-
τος καὶ καρτερήσεις δεινὰς ὑπομένοντες. φασὶ δὲ ἐξαίρετον
αὐτοῖς εἶναι μίαν πηγὴν, τὴν τῆς ἀληθείας, πολὺ πασῶν ἀρί-
στην καὶ θειοτάτην, ἧς οὐδέποτε τοὺς γευσαμένους ἐμπίμ-
πλασθαι. τὰ μὲν οὖν ἐκεῖθεν λόγος ἐστὶν ἀψευδής. ἤδη
γάρ τινες τῶν ἀφικνουμένων ἔφασαν· ἀφικνοῦνται δὲ οὐ
πολλοί τινες ἐμπορίας ἕνεκεν. οὗτοι δὲ ἐπιμίγνυνται τοῖς
23 πρὸς θαλάττῃ. τοῦτο δὲ ἄτιμόν ἐστιν Ἰνδῶν τὸ γένος, οἵ τε
ἄλλοι ψέγουσιν αὐτούς. τούτους ἀνάγκη ὁμολογεῖν ὑμῶν 13 R II.
εὐδαιμονεστέρους, τῶν δὲ ἄλλων ὑμᾶς, πλὴν ἑνὸς ἀνθρώπων
ἔτι γένους, τῶν πολυχρυσοτάτων. τὸ δὲ χρυσίον λαμβάνουσι
παρὰ μυρμήκων. οὗτοι δέ εἰσιν ἀλωπέκων μείζονες, τἄλλα δὲ
ὅμοιοι τοῖς παρ' ἡμῖν. ὀρύττουσι δὲ κατὰ γῆς, ὥσπερ οἱ
λοιποὶ μύρμηκες. ὁ δὲ χοῦς αὐτοῖς ἐστι χρυσίον καθαρώτα-

3. ἐν ἐφικτῷ. ἐνεφικτῶν M. ‖ 5. μὲν ἐν. μὲν om. M. ‖ 6. ἀπὸ. ἀπὸ τῶν Reisk. ‖ 7. ἡμῖν B, ὑμῖν reliq. ‖ 9. ὅ τε r, ὅτε ὁ M, ὅτι vm. ‖ 10. πλεῖον. sic dedi. οὐ πλεῖον BM, οὐ πλείω reliqui, οὐ μείω Reisk., πολλοὶ πλείω Casaub., οὔ τι μείω Iacobs. — 22, 4. ἐῤῥιμμένους. ἐῤῥειμμένους M. ‖ 7. καρτερήσεις. κατεργίσεις v. mrg. m. ‖ φασὶ δὲ BM, φασὶ καὶ reliqui. malim φασὶ δὲ καί. ‖ 9. τοὺς γευσαμένους ἐμπίμπλασθαι Reiskius (idem παύσασθαι αὐτοὺς ἐμπιμπλαμένους), γεύσασθαι τοὺς ἐμπιμπλαμένους reliq., unde Casaubonus γεύσασθαι τοὺς οἰήσεως ἐμπιπλαμένους, Iacobsius γεύσασθαι τοὺς ἐκεῖ πιπλαμένους. ‖ 12. τινες. τινὶ M. ‖ ἐμπορίας. ἐμπορείας M. — 23, 1. οἵ τε. οὔτε (mrg. vulg.) M, οἱ δὲ Geel. ‖ 2. ψέγουσιν. φεύγουσιν Lobeck. Paralipom. p. 43. ‖ τούτους om. m, τούτους οὖν r. ‖ 6. ἡμῖν BM, ὑμῖν reliq.

του πάντων χρυσίων καὶ στιλπνότατον. εἰσὶν οὖν πλησίον
ἐφεξῆς ὥσπερ κολωνοὶ τοῦ ψήγματος, καὶ τὸ πεδίον ἅπαν
ἀστράπτει. χαλεπὸν οὖν ἰδεῖν ἐστι πρὸς τὸν ἥλιον, καὶ πολ-
24 λοὶ τῶν ἐπιχειρούντων ἰδεῖν τὰς ὄψεις διεφθάρησαν. οἱ δὲ
προσοικοῦντες ἄνθρωποι τὴν μεταξὺ χώραν διελθόντες,
ἔρημον οὖσαν οὐ πολλήν, ἐφ' ἁρμάτων, ὑποζεύξαντες ἵππους
ταχίστους, ἀφικνοῦνται τῆς μεσημβρίας, ἡνίκα δεδύκασι
κατὰ γῆς· ἔπειτα φεύγουσι τὸν χοῦν ἁρπάσαντες. οἱ δὲ
αἰσθανόμενοι διώκουσι καὶ μάχονται καταλαβόντες, ἕως ἂν
ἀποθάνωσιν ἢ ἀποκτείνωσιν· ἀλκιμώτατοι γάρ εἰσι θηρίων
ἁπάντων. ὥστε οὗτοί γε ἐπίστανται τὸ χρυσίον ὁπόσου ἐστὶν
25 ἄξιον, καὶ οὐδὲ προΐενται πρότερον ἢ ἀποθανεῖν. φέρε δή,
τίνας ἄλλους τῶν καθ' ἡμᾶς εὐδαίμονας ἀκούομεν; Βυζαν-
τίους, χώραν τε ἀρίστην νεμομένους καὶ θάλατταν εὐκαρπο-
τάτην. τῆς δὲ γῆς ἠμελήκασι διὰ τὴν ἀρετὴν τῆς θαλάττης. 11 R II
ἡ μὲν γὰρ διὰ μακροῦ φέρει τὸν καρπὸν αὐτοῖς καὶ δεῖ λα-
βεῖν ἐργασαμένους· ἡ δὲ αὐτόθεν μηδὲν πονήσασιν.

9. πεδίον ἅπαν ἀστράπτει. παιδίον ἀναστράπτει M. ‖ 11. ἐπιχειρούντων ἰδεῖν. malim ἐπιχειρούντων ἤδη. — 24, 2. προσοικοῦντες BM. r ex Interpr., προσηκοῦντες vm. ‖ 6. ἕως ἂν M, ἂν om. reliq. ‖ 8. οὗτοί. αὐτοί M. — 25, 2. ἀκούομεν. ἀκούωμεν B. ‖ in fine haud pauca desunt. Reiskius.

ΛΟΓΟΣ λϛ

ΒΟΡΥΣΘΕΝΗΤΙΚΟΣ ΟΝ ΑΝΕΓΝΩ ΕΝ ΤΗΙ ΠΑΤΡΙΔΙ.

1 Ἐτύγχανον μὲν ἐπιδημῶν ἐν Βορυσθένει τὸ θέρος, ὁπότε 431 M.
εἰσέπλευσα [μετὰ τὴν φυγήν] βουλόμενος ἐλθεῖν, ἐὰν δύνω-
μαι, διὰ Σκυθῶν εἰς Γέτας, ὅπως θεάσωμαι τἀκεῖ πράγματα
ὁποῖά ἐστι. καὶ δὴ καὶ περιεπάτουν περὶ πλήθουσαν ἀγορὰν
παρὰ τὸν Ὕπανιν. ἡ γὰρ πόλις τὸ μὲν ὄνομα εἴληφεν ἀπὸ
τοῦ Βορυσθένους διὰ τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ ποταμοῦ,
κεῖται δὲ πρὸς τῷ Ὑπάνιδι ἥ τε νῦν καὶ ἡ πρότερον οὕτως
ᾠκεῖτο, οὐ πολὺ ἄνωθεν τῆς Ἱππολάου καλουμένης ἄκρας ἐν
2 τῷ καταντικρύ. τοῦτο δέ ἐστι τῆς χώρας ὀξὺ καὶ στερεόν,
ὥσπερ ἔμβολον, περὶ ὃ συμπίπτουσιν οἱ ποταμοί. τὸ δὲ ἐν- 75 R II.
τεῦθεν ἤδη λιμνάζουσι μέχρι θαλάττης ἐπὶ σταδίους σχεδόν
τι διακοσίους· καὶ τὸ εὖρος οὐχ ἧττον ταύτῃ τῶν ποταμῶν.
ἔστι δὲ αὐτοῦ τὸ μὲν πλέον τέναγος καὶ γαλήνη ταῖς εὐδίαις,
ὥσπερ ἐν λίμνῃ, γίγνεται σταθερά. ἐν δὲ τοῖς δεξιοῖς φαίνε-
ται ποταμός, καὶ τεκμαίρονται οἱ εἰσπλέοντες ἀπὸ τοῦ ῥεύ-
ματος τὸ βάθος. ὅθεν περ καὶ ἐξίησι, διὰ τὴν ἰσχὺν τοῦ
ῥοῦ· εἰ δὲ μή, ῥᾳδίως ἂν ἐνεφράττετο τοῦ νότου πολλοῦ
3 κατὰ στόμα εἰσπνέοντος. τὸ δὲ λοιπὸν ἠιών ἐστιν ἑλώδης
καὶ δασεῖα καλάμῳ καὶ δένδροις. φαίνεται δὲ τῶν δένδρων
πολλὰ καὶ ἐν μέσῃ τῇ λίμνῃ, ὡς ἱστοῖς προσεοικέναι, καὶ ἤδη
τινὲς τῶν ἀπειροτέρων διήμαρτον ὡς ἐπὶ πλοῖα ἐπέχοντες.

Orat. XXXVI. Collati sunt BM. — 1, 1. *Βορυσθένει.* *Βωρυσθένει* BM. ‖ *ὁπότε* Geel., *ᾧ τότε* Reisk., *ὡς τότε* reliq. ‖ 2. [*μετὰ τὴν φυγήν*] e titulo perperam huc translata videntur. ‖ 4. *δὴ καί.* *καὶ* om. B. ‖ 5. *Ὕπανιν.* *Ὕοπανιν* B. ‖ 6. *Βορυσθένους.* *βωρυσθένους* M. ‖ 7. *Ὑπάνιδι.* *ὑπάνειδι* M. ‖ *ἥ τε.* *ἥ γε* Reisk., at delenda erat maior interpunctio ante *ἥ.* ‖ *οὕτως.* *ὡσαύτως* vel *ὁμοίως* Reisk. — 2, 6. *γίγνεται* M, *γίνεται* reliq. ‖ *σταθερά.* *σταθερᾷ* r ex Interpr. ‖ 9. *ἂν ἐνεφράττετο* Reisk., *ἐνεφράττετο* M, *ἀνεφράττετο* reliq. — 3, 1. *ἑλώδης* Obs. p. 69, *ὑλώδης* reliq.

ταύτῃ δὲ καὶ τῶν ἁλῶν ἐστι τὸ πλῆθος, ὅθεν οἱ πλείους
τῶν βαρβάρων λαμβάνουσιν ὠνούμενοι τοὺς ἅλας καὶ τῶν
Ἑλλήνων καὶ Σκυθῶν οἱ Χεῤῥόνησον οἰκοῦντες τὴν Ταυρι-
κήν. ἐκδιδόασι δὲ οἱ ποταμοὶ εἰς θάλασσαν παρὰ φρούριον
Ἀλέκτορος, ὃ λέγεται τῆς γυναικὸς εἶναι τοῦ Σαυροματῶν
4 βασιλέως. ἡ δὲ πόλις ἡ τῶν Βορυσθενιτῶν τὸ μέγεθός ἐστιν
οὐ πρὸς τὴν παλαιὰν δόξαν διὰ τὰς συνεχεῖς ἁλώσεις καὶ 434 M.
τοὺς πολέμους. ἅτε γὰρ ἐν μέσοις οἰκοῦσα τοῖς βαρβάροις
τοσοῦτον ἤδη χρόνον, καὶ τούτοις σχεδόν τι τοῖς πολεμικω-
τάτοις, ἀεὶ μὲν πολεμεῖται, πολλάκις δὲ καὶ ἑάλωκε· τὴν δὲ
τελευταίαν καὶ μεγίστην ἅλωσιν οὐ πρὸ πλειόνων ἢ πεντή-
κοντα καὶ ἑκατὸν ἐτῶν. εἷλον δὲ καὶ ταύτην Γέται καὶ τὰς
ἄλλας τὰς ἐν τοῖς ἀριστεροῖς τοῦ Πόντου πόλεις μέχρι Ἀπολ- 76 R II
5 λωνίας. ὅθεν δὴ καὶ σφόδρα ταπεινὰ τὰ πράγματα κατέστη
τῶν ταύτῃ Ἑλλήνων, τῶν μὲν οὐκέτι συνοικισθεισῶν πόλεων,
τῶν δὲ φαύλως καὶ τῶν πλείστων βαρβάρων εἰς αὐτὰς συῤ-
ῥυέντων· πολλαὶ γὰρ δή τινες ἁλώσεις κατὰ πολλὰ μέρη γε-
γόνασι τῆς Ἑλλάδος, ἅτε ἐν πολλοῖς τόποις διεσπαρμένης.
ἁλόντες δὲ τότε οἱ Βορυσθενῖται πάλιν συνῴκησαν ἐθελόν-
των ἐμοὶ δοκεῖν τῶν Σκυθῶν διὰ τὸ δεῖσθαι τῆς ἐμπορίας
καὶ τοῦ κατάπλου τῶν Ἑλλήνων· ἐπαύσαντο γὰρ εἰσπλέοντες
ἀναστάτου τῆς πόλεως γενομένης, ἅτε οὐκ ἔχοντες ὁμοφώνους
τοὺς ὑποδεχομένους οὐδὲ αὐτῶν Σκυθῶν ἀξιούντων οὐδὲ
ἐπισταμένων ἐμπόριον αὐτῶν κατασκευάσασθαι τὸν Ἑλλη-
6 νικὸν τρόπον. σημεῖον δὲ τῆς ἀναστάσεως ἥ τε φαυλότης
τῶν οἰκοδομημάτων καὶ τὸ συνεστάλθαι τὴν πόλιν ἐς βραχύ.
μέρει γάρ τινι προσῳκοδόμηται τοῦ παλαιοῦ περιβόλου, καθ'
ὃ πύργοι τινὲς οὐ πολλοὶ διαμένουσι οὐ πρὸς τὸ μέγεθος οὐδὲ
πρὸς τὴν ἰσχὺν τῆς πόλεως. τὸ δὲ μεταξὺ συμπέφρακται κατ'
ἐκεῖνο ταῖς οἰκίαις οὐκ ἐχούσαις ὁποῖα διαλείπει. τειχίον δὲ 77 R II

5. ἁλῶν. ἄλλων B. ‖ 7. Χεῤῥόνησον. χεῤῥόννησον M. ‖ 8. ἐκδιδόασι. sic dedi. ἐκδίδοσιν M, ἐκδιδοῦσι reliq. — 4, 1. ἡ τῶν BM, ἡ om. reliq. ‖ Βορυσθενιτῶν. Βωρυσθενιτῶν BM. ‖ 5. πολεμεῖται. πολεμεῖτε M. ‖ τὴν δὲ Reisk., δὲ om. reliq. — 5, 2. μὲν οὐκέτι B. Reisk., μὲν οὖν οὐκ ἔστι M, μὲν οὖν οὐκέτι reliq. ‖ 3. συῤῥυέντων. sic dedi. συνρυέντων M, συῤῥεόντων reliq. ‖ 4. κατά. καὶ κατὰ Reisk. ‖ 6. δὲ τότε. τότε om. B, δὲ om. m. ‖ Βορυσθενῖται. βορυσθενεῖται M. ‖ 11. ἐμπόριον M, ἐμπορεῖον reliq. ‖ τὸν Ἑλληνικὸν τρόπον. τῶν Ἑλληνικῶν τρόπων B. — 6, 5. τῆς. τῆς τότε Reiskius, frustra. ‖ 6. οἰκίαις. οἰκείαις M. ‖ οὐκ ἐχούσαις ὁποῖα. οὐκ ἐπι-

περιβέβληται πάνυ ταπεινὸν καὶ ἀσθενές. τῶν δὲ πύργων εἰσί τινες πολὺ ἀφεστῶτες τοῦ νῦν οἰκουμένου, ὥστε μηδ' εἰκάσαι, ὅτι μιᾶς ἦσαν πόλεως. ταῦτά τε δὴ οὖν σημεῖα ἐναργῆ τῆς ἁλώσεως καὶ τὸ μηδὲν τῶν ἀγαλμάτων διαμένειν ὑγιὲς τῶν ἐν τοῖς ἱεροῖς, ἀλλὰ ξύμπαντα λελωβημένα εἶναι,
7 ὥσπερ τὰ ἐπὶ τῶν μνημάτων. ὅπερ οὖν ἔφην, ἔτυχον περιπατῶν πρὸ τῆς πόλεως, καί τινες ἐξῄεσαν ἔνδοθεν τῶν Βορυσθενιτῶν πρὸς ἐμέ, ὥσπερ εἰώθεσαν· ἔπειτα Καλλίστρατος 439 M.
ἐφ' ἵππου τὸ μὲν πρῶτον παρίππευσεν ἡμᾶς ἔξωθεν προσελαύνων, παρελθὼν δὲ ὀλίγον κατέβη, καὶ τὸν ἵππον τῷ ἀκολούθῳ παραδοὺς αὐτὸς πάνυ κοσμίως προσῆλθεν ὑπὸ τὸ ἱμάτιον τὴν χεῖρα ὑποστείλας. παρέζωστο δὲ μάχαιραν μεγάλην τῶν ἱππικῶν καὶ ἀναξυρίδας εἶχε καὶ τὴν ἄλλην στολὴν Σκυθικήν, ἄνωθεν δὲ τῶν ὤμων ἱμάτιον μικρὸν μέλαν, λεπτόν, ὥσπερ εἰώθασιν οἱ Βορυσθενῖται. χρῶνται δὲ καὶ τῇ ἄλλῃ ἐσθῆτι μελαίνῃ ὡς τὸ πολὺ ἀπὸ γένους τινὸς Σκυθῶν τῶν Μελαγχλαίνων, ὡς ἐμοὶ δοκοῦσι, κατὰ τοῦτο ὀνομα-
8 σθέντων ὑπὸ τῶν Ἑλλήνων. ἦν δὲ ὡς ὀκτωκαίδεκα ἐτῶν ὁ Καλλίστρατος, πάνυ καλὸς καὶ μέγας, πολὺ ἔχων Ἰωνικὸν τοῦ εἴδους. ἐλέγετο δὲ καὶ τὰ πρὸς τὸν πόλεμον ἀνδρεῖος εἶναι, καὶ πολλοὺς Σαυροματῶν τοὺς μὲν ἀνῃρηκέναι, τοὺς δὲ αἰχμαλώτους εἰληφέναι. ἐσπουδάκει δὲ καὶ περὶ λόγους καὶ φιλοσοφίαν, ὥστε καὶ ἐκπλεῦσαι σὺν ἐμοὶ ἐπεθύμει. διὰ πάντα δὴ ταῦτα εὐδοκίμει παρὰ τοῖς πολίταις, οὐχ ἥκιστα δὲ ἀπὸ τοῦ κάλλους, καὶ εἶχε πολλοὺς ἐραστάς. πάνυ γὰρ δὴ 78 R II.
τοῦτο ἐμμεμένηκεν αὐτοῖς ἀπὸ τῆς μητροπόλεως, τὸ περὶ τοὺς ἔρωτας τοὺς τῶν ἀρρένων· ὥστε κινδυνεύουσιν ἀναπείθειν καὶ τῶν βαρβάρων ἐνίους, οὐκ ἐπ' ἀγαθῷ σχεδόν, ἀλλ' ὡς ἂν ἐκεῖνοι τὸ τοιοῦτον ἀποδέξαιντο, βαρβαρικῶς καὶ οὐκ
9 ἄνευ ὕβρεως. εἰδὼς οὖν αὐτὸν φιλόμηρον ὄντα περὶ τούτου

χούσαις ὅπου διαλείπει Reisk., συνεχούσαις ὅπου τι διαλείπει Casaub., malim ἐπεχούσαις ὁπόσα vel στεγούσαις ὁπόσα. Geelio haec verba suspecta sunt. ‖ 7. περιβέβληται. παραβέβληται BM. ‖ 9. οὖν. νῦν Reisk. — 7, 2. Βορυσθενετῶν. βορυσθενειτῶν M. ‖ 10. Βορυσθενῖται. βορυσθενεῖται M. ‖ 11. ἐσθῆτι. αἰσθῆτι M. ‖ 12. Μελαγχλαίνων. μελαγχμίνων M. — 8, 7. πάντα δὴ ταῦτα M (mrg. ταῦτα δὴ ταῦτα), ταῦτα δὴ πάνυ Reisk., ταῦτα δὴ πάντα Iacobs., ταῦτα δὴ ταῦτα reliq. ‖ εὐδοκίμει. εὐδοκείμει M. ‖ 10. τοὺς τῶν BM, τοὺς om. reliq. ‖ 12. ἀποδέξαιντο B. Reisk., ἀποδείξαιντο reliq.

Digitized by Google

εὐθὺς ἐπυνθανόμην. σχεδὸν δὲ καὶ πάντες οἱ Βορυσθενῖται
περὶ τὸν ποιητὴν ἐσπουδάκασιν ἴσως διὰ τὸ πολεμικοὶ εἶναι
ἔτι νῦν, εἰ μὴ ἄρα καὶ τὴν πρὸς τὸν Ἀχιλλέα εὔνοιαν. τοῦτον
μὲν γὰρ ὑπερφυῶς τιμῶσι, καὶ νεὼν τὸν μὲν ἐν τῇ νήσῳ τῇ
Ἀχιλλέως καλουμένῃ ἵδρυνται, τὸν δὲ ἐν τῇ πόλει, ὥστε οὐδὲ
ἀκούειν ὑπὲρ οὐδενὸς ἄλλου θέλουσιν ἢ Ὁμήρου. καὶ τἆλλα
οὐκέτι σαφῶς ἑλληνίζοντες διὰ τὸ ἐν μέσοις οἰκεῖν τοῖς βαρ-
βάροις, ὅμως τήν γε Ἰλιάδα ὀλίγου πάντες ἴσασιν ἀπὸ στό- 410 M
10 ματος. εἶπον οὖν προσπαίζων πρὸς αὐτόν· πότερόν σοι δοκεῖ,
ὦ Καλλίστρατε, ἀμείνων ποιητὴς Ὅμηρος ἢ Φωκυλίδης; καὶ
ὃς γελάσας ἔφη· ἀλλ' οὐδὲ ἐπίσταμαι ἔγωγε τοῦ ἑτέρου ποιη-
τοῦ τὸ ὄνομα, οἶμαι δὲ μηδὲ τούτων μηδένα. οὐδὲ γὰρ ἡγού-
μεθα ἡμεῖς ἄλλον τινὰ ποιητὴν ἢ Ὅμηρον. τοῦτον δὲ σχεδόν
τι οὐδὲ ἄλλος οὐδεὶς ἀγνοεῖ. μόνου γὰρ Ὁμήρου μνημονεύ-
ουσιν οἱ ποιηταὶ αὐτῶν ἐν τοῖς ποιήμασιν, ἃ καὶ ἄλλως μὲν
εἰώθασι λέγειν, ἀεὶ δὲ ὁπόταν μέλλουσι μάχεσθαι παρακελεύ- 79 R II.
ωνται τοῖς αὐτῶν [ὥσπερ τὰ Τυρταίου ἐν Λακεδαίμονι ἐλέ-
γετο]. εἰσὶ δὲ πάντες οὗτοι τυφλοὶ καὶ οὐχ ἡγοῦνται δυνατὸν
11 εἶναι ἄλλως τινὰ ποιητὴν γενέσθαι. τοῦτο μέν, ἔφην, ἀπο-
λελαύκασιν [οἱ ποιηταὶ αὐτῶν] ἀπὸ Ὁμήρου, ὥσπερ ἀπὸ
ὀφθαλμίας. τὸν δὲ Φωκυλίδην ὑμεῖς μὲν οὐκ ἐπίστασθε, ὡς
λέγεις. πάνυ δὲ τῶν ἐνδόξων γέγονε ποιητῶν. ὥσπερ οὖν
ἐπειδάν τις τῶν ἐμπόρων καταπλεύσῃ πρὸς ὑμᾶς οὐ πρότερον
γεγονώς, οὐκ εὐθὺς ἠτιμάσατε αὐτόν, ἀλλὰ πρότερον γευ-

9, 2. Βορυσθενῖται. βωρυσθενεῖται M. ‖ 5. νεὼν. sic dedi. νεῶν reliq. ‖ 6. ἵδρυνται BM. Casaub. r, ἵδρυται vm. ‖ 9. τήν γε. τήν τε M. — 10, 6. ἄλλος. ἄλλων M, malim τῶν πέλας, βάρβαρος Cens. p. 364, ἀλαὸς Unger. Ann. 1144. conf. Hom. Od. 8, 195. (idem infra scribit αὐτῶν ἐν τοῖς ποιήμασι et deinde οἱ ποιηταὶ ὄντως (pro οἱ ποιηταὶ αὐτῶν). existimat autem ipsorum Borysthenitarum poëtas dici. quod fieri nequit propter verba οὐδὲ γὰρ ἡγούμεθα ἡμεῖς ἄλλον τινὰ ποιητὴν ἢ Ὅμηρον. si verum est ἀλαὸς, infra οἱ ποιηταὶ τῶν Σαυροματῶν scribendum esse videtur et deinde § 11 v. 2. ποιηταὶ αὐτῶν omittenda. ‖ μόνου Casaub. r, μόνοι reliq. ‖ 7. ποιήμασιν M, ποιήμασι reliq. ‖ ἃ καὶ Cens. p. 364, ἃ om. reliq. ‖ 8. λέγειν, ἀεὶ δὲ ὁπόταν. λέγειν ἀεί, ὁπόταν δὲ Reisk. ‖ μέλλουσι Cens. l. l., μέλλωσι reliq. ‖ παρακελεύωνται Cens. l. l., παρακελεύονται reliq. ‖ 9. αὐτῶν Cens. l. l., ἑαυτῶν v, αὐτῶν reliq. ‖ [ὥσπερ—ἐλέγετο] inducenda, ut aliena a persona loquentis. ὥσπερ τοῖς Τυρταίου ἐν Λακεδαίμονι ἐλεγείοις Reisk. ‖ 11. ἄλλως BM, ἄλλον reliqui. — 11, 2. [οἱ ποιηταὶ αὐτῶν] delet Iacobsius. Reiskius αὐτῶν vel delebat vel in λημῶντες vel τυφλώττοντες mutabat. ‖ 3. ἐπίστασθε. ἐπίστασθαι M. ‖ 5. τῶν ἐμπόρων καταπλεύσῃ BM, καταπλεύσῃ τῶν ἐμπόρων reliq. ‖ 6. γεγονώς.

σάμενοι τοῦ οἴνου, κἂν ἄλλο τι φορτίον ἄγῃ, δεῖγμα λαβόντες, ἐὰν μὲν ἀρέσῃ ὑμᾶς, ὠνεῖσθε, εἰ δὲ μή, ἐᾶτε· οὕτως, ἔφην, καὶ τῆς τοῦ Φωκυλίδου ποιήσεως ἔξεστί σοι λαβεῖν
12 δεῖγμα ἐν βραχεῖ. καὶ γάρ ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἑξῆς διέξεισι μάχην ἐν πλείοσιν ἢ πεντακισχιλίοις ἔπεσιν· ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει. ὥστε καὶ προστίθησι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος, οὐχ ὥσπερ Ὅμη-
13 ρος οὐδαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὐτόν. ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει·

καὶ τόδε Φωκυλίδου· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον 80 R II.
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης· 441 M.

ἀλλ' οὐ πρὸς ὅλην Ἰλιάδα καὶ Ὀδυσσείαν ταῦτα τὰ ἔπη ἐστὶ τοῖς μὴ παρέργως ἀκροωμένοις; ἢ μᾶλλον ὑμῖν ἀκούειν συνέφερε περὶ τῶν τοῦ Ἀχιλλέως πηδήσεών τε καὶ ὀρούσεων καὶ τῆς φωνῆς, ὅτι μόνον φθεγξάμενος ἔτρεπε τοὺς Τρῶας; ταῦτα μᾶλλον ὠφελεῖ ὑμᾶς ἐκμανθάνοντας ἢ ἐκεῖνο, ὅτι ἡ σμικρὰ πόλις ἐν τραχεῖ σκοπέλῳ κειμένη κρείττων ἐστὶ καὶ εὐτυχεστέρα κατὰ κόσμον οἰκοῦσα ἢ μεγάλη ἐν λείῳ καὶ πλατεῖ πεδίῳ, ἐάνπερ ἀκόσμως καὶ ἀνόμως ὑπὸ ἀνθρώπων ἀφρό-
14 νων οἰκῆται; καὶ ὃς οὐ μάλα ἡδέως ἀποδεξάμενος· ὦ ξένε, εἶπεν, ὅτι ἡμεῖς σε ἀγαπῶμεν καὶ σφόδρα αἰδούμεθα· ὡς ἄλλως γε οὐδεὶς ἂν ἠνέσχετο Βορυσθενιτῶν εἰς Ὅμηρον καὶ Ἀχιλλέα τοιαῦτα εἰπόντος. ὁ μὲν γὰρ θεὸς ἡμῶν ἐστιν, ὡς ὁρᾷς, ὁ δὲ καὶ σχεδόν τι μετὰ τοὺς θεοὺς τιμᾶται.

malim παραγεγονώς. ‖ 9. σοι BM, τοι reliq. ‖ 10. ἐν βραχεῖ BM. m, ἐν βραχὺ v. ἒν βραχὺ r, possit ἔμβραχυ. — 12, 2. εἰρόντων. usitatius est συνειρόντων. ‖ 5. αὐτοῦ. sic dedi. αὑτοῦ reliq. ‖ 6. ἅτε. ἄν τε M (mrg. vulg.). ‖ 7. αὐτόν. αὑτόν M. — 13, 4. Φωκυλίδου. Φωκυλίδεω Schneidev. Delect. I, p. 37. ‖ 5. σμικρή. μικρὴ BM. ‖ κρέσσων MA. v, κρείσσων reliq. ‖ 7. ἀκούειν om. m. ‖ 10. ὑμᾶς. ἡμᾶς BM. ‖ ἡ σμικρά. ἡ delet Reisk. ‖ 11. πόλις. πόλεις M. ‖ τραχεῖ M, βραχεῖ reliq. ‖ 12. πλατεῖ. πλάττει M. — 14, 1. ἀποδεξάμενος. post hoc v. ἀνεχόμεθά σου vel ἴσθι deesse suspicabatur Reiskius, Iacobsius locum sic constituit: ἀπεδεξάμεθα, ὦ ξένε (vel ἀποδεξάμενος. ταῦτα μὲν ἀπεδεξάμεθα, ὦ ξένε) et in proximis: ἄλλου γε. nihil mutaverim. ‖ 2. ὡς ἄλλως γε. sic dedi. ὡς ἄλλος γε (at ὡς obel. notat.) M, ἄλλως γε Casaub., ἄλλου γε Reisk., ἄλλος γε reliq. ‖ 3. Βορυσθενιτῶν. βορυσθενειτῶν M.

κἀγὼ πραῧναι βουλόμενος αὐτὸν, ἅμα δὲ ἐπί τι χρήσιμον
ἀγαγεῖν· παραιτοῦμαί σε, εἶπον, καθ' Ὅμηρον, συγγνώμην
ἔχειν μοι, εἴ τι κακὸν νῦν εἴρηται. αὖθις γάρ ποτε ἐπαινε-
σόμεθα Ἀχιλλέα τε καὶ Ὅμηρον, ὅσα δοκεῖ ἡμῖν ὀρθῶς λέγειν.
15 τὸ δὲ παρὸν σκεπτέον ἂν εἴη τὸ τοῦ Φωκυλίδου· ὡς ἐμοὶ
δοκεῖ σφόδρα καλῶς λέγειν ὑπὲρ τῆς πόλεως. σκόπει, ἔφη, 51 R II.
ἐπεὶ καὶ τούσδε ὁρᾷς πάντας ἐπιθυμοῦντας ἀκοῦσαί σου καὶ
διὰ τοῦτο συνεῤῥυηκότας δεῦρο πρὸς τὸν ποταμὸν, καίτοι οὐ
σφόδρα ἀθορύβως ἔχοντας. οἶσθα γὰρ δήπου, ὅτι χθὲς οἱ
Σκύθαι προσελάσαντες μεσημβρίας τοὺς μέν τινας ἀπέκτει-
ναν τῶν σκοπῶν οὐ προσέχοντας, τοὺς δὲ ἐζωγρήκασιν ἴσως·
οὐ γάρ πω ἐπιστάμεθα διὰ τὸ μακροτέραν αὐτοῖς γενέσθαι
16 τὴν φυγὴν, ἅτε οὐ πρὸς τὴν πόλιν φεύγουσιν. ἦν δὲ τῷ ὄντι
ταῦτα οὕτως, καὶ αἵ τε πύλαι συγκέκλειντο καὶ τὸ σημεῖον
ἦρτο ἐπὶ τοῦ τείχους τὸ πολεμικόν. ἀλλ' ὅμως οὕτως ἦσαν
φιλήκοοι καὶ τῷ τρόπῳ Ἕλληνες, ὥστε μικροῦ δεῖν ἅπαντες 439 M
παρῆσαν ἐν τοῖς ὅπλοις βουλόμενοι ἀκούειν. κἀγὼ ἀγάμενος
αὐτῶν τὴν προθυμίαν· βούλεσθε, ἔφην, καθιζώμεθα ἰόντες
ποι τῆς πόλεως; τυχὸν γὰρ νῦν οὐ πάντες ὁμοίως ἀκούουσι
ἐν τῷ βαδίζειν, ἀλλ' οἱ ὄπισθεν πράγματα ἔχουσι καὶ παρέ-
χουσι τοῖς πρὸ αὐτῶν σπεύδοντες ἐγγυτέρω προσελθεῖν.
17 ὡς δὲ τοῦτο εἶπον, εὐθὺς ὥρμησαν ἅπαντες εἰς τὸ τοῦ Διὸς
ἱερὸν, οὗπερ εἰώθασι βουλεύεσθαι. καὶ οἱ μὲν πρεσβύτατοι καὶ
οἱ γνωριμώτατοι καὶ οἱ ἐν ταῖς ἀρχαῖς κύκλῳ καθίζοντο ἐπὶ
βάθρων, τὸ δὲ λοιπὸν πλῆθος ἐφεστήκεσαν. ἦν γὰρ εὐρυχωρία
πολλὴ πρὸ τοῦ νεώ. πάνυ οὖν ἄν τις ἥσθη τῇ ὄψει φιλόσοφος
ἀνὴρ, ὅτι ἅπαντες ἦσαν τὸν ἀρχαῖον τρόπον, ὥς φησιν Ὅμη-
ρος τοὺς Ἕλληνας, κομῶντες καὶ τὰ γένεια ἀφεικότες· εἷς δὲ
ἐν αὐτοῖς μόνος ἐξυρημένος, καὶ τοῦτον ἐλοιδόρουν τε καὶ
ἐμίσουν ἅπαντες. ἐλέγετο δὲ οὐκ ἄλλως τοῦτο ἐπιτηδεύειν, 52 R II.
ἀλλὰ κολακεύων Ῥωμαίους καὶ τὴν πρὸς αὐτοὺς φιλίαν ἐπι-

7. παραιτοῦμαί BM. mrg. m, παρακαλῶ reliq. — 15, 1. σκεπτέον. σκεπταῖον M. ‖ 3. τούσδε. τοὺς δὲ vm. ‖ 7. σκοπῶν. σκοπτῶν M. — 16, 3. ἦρτο. ἤρετο M. ‖ 4. φιλήκοοι. φιλίκοοι M. ‖ τῷ om. B. ‖ 6. καθιζώμεθα BM. Reisk., καθιζόμεθα reliq. ‖ 9. σπεύδοντες M, σπουδάζοντες reliq. — 17, 6. πάνυ οὖν ἄν. πάνυ οὖν M, malim πάνυ ἂν οὖν. ‖ 6. ἦσαν. ἤγων (mrg. vulg.) M. ‖ 8. ἀφεικότες M. r, καθεικότες vel καθειμένοι Casaub., ἀφηκότες B. vm. ‖ 10. οὐκ ἄλλως. οὐ καλῶς M.

δεικνύμενος· ὥστε εἶδεν ἄν τις ἐπ' ἐκείνου τὸ αἰσχρὸν τοῦ
18 πράγματος καὶ οὐδαμῇ πρέπον ἀνδράσιν. ἐπεὶ δὲ ἡσυχία ἐγέ-
νετο, εἶπον, ὅτι δοκοῦσί μοι ὀρθῶς ποιεῖν, πόλιν οἰκοῦντες
ἀρχαίαν καὶ Ἑλληνίδα, βουλόμενοι ἀκοῦσαι περὶ πόλεως. καὶ
πρῶτόν γε, ἔφην, ὅ τι ἐστὶν αὐτὸ τοῦτο, ὑπὲρ οὗ ὁ λόγος,
γνῶναι σαφῶς· οὕτω γὰρ ἂν εἴητε ἅμα ἡσθημένοι καὶ ὁποῖόν
τί ἐστιν. οἱ γὰρ πολλοὶ, ἔφην, ἄνθρωποι τὸ ὄνομα αὐτὸ
ἴσασι καὶ φθέγγονται τοῦ πράγματος ἑκάστου, τὸ δὲ πρᾶγμ'
19 ἀγνοοῦσιν. οἱ δὲ πεπαιδευμένοι τοῦτο φροντίζουσιν, ὅπως
καὶ τὴν δύναμιν εἴσονται ἑκάστου οὗ λέγουσιν· οἷον τὸ τοῦ
ἀνθρώπου ὄνομα πάντες οὕτω λέγουσιν οἱ ἑλληνίζοντες, ἐὰν
δὲ πύθῃ τινὸς αὐτῶν, ὅ τι ἐστὶ τοῦτο, λέγω δὲ, ὁποῖόν τι
καὶ καθ' ὃ μηδενὶ τῶν ἄλλων ταὐτὸν, οὐκ ἂν ἔχοι εἰπεῖν,
ἀλλ' ἢ δεῖξαι μόνον αὐτὸν ἢ ἄλλον, ὥσπερ οἱ βάρβαροι. ὁ δὲ
ἔμπειρος τῷ πυνθανομένῳ, τί ἐστιν ἄνθρωπος, ἀποκρίνεται,
ὅτι ζῷον λογικὸν θνητόν. τὸ γὰρ τοῦτο εἶναι μόνῳ ἀνθρώπῳ 443 M.
20 συμβέβηκε καὶ οὐδενὶ ἄλλῳ. οὕτως οὖν καὶ τὴν πόλιν φασὶν
εἶναι πλῆθος ἀνθρώπων ἐν ταὐτῷ κατοικούντων ὑπὸ νόμου
διοικούμενον. ἤδη οὖν δῆλον, ὅτι τῆς προσηγορίας ταύτης
οὐδεμιᾷ προσήκει τῶν καλουμένων πόλεων τῶν ἀφρόνων καὶ
ἀνόμων. οὐκοῦν οὐδὲ περὶ Νίνου εἴη ἂν ὁ ποιητὴς ὡς περὶ
πόλεως εἰρηκὼς ἀφραινούσης γε αὐτῆς. ὥσπερ γὰρ οὐδὲ ἄν- 83 R II.
θρωπος ἐκεῖνός ἐστιν, ᾧ μὴ πρόσεστι τὸ λογικὸν, οὕτως οὐδὲ
πόλις, ᾗ μὴ συμβέβηκε νομίμῳ εἶναι. νόμιμος δὲ οὐκ ἂν εἴη
21 ποτὲ ἄφρων καὶ ἄκοσμος οὖσα. ἴσως οὖν ζητήσαι ἄν τις, εἰ,
ἐπειδὰν οἱ ἄρχοντες καὶ προεστῶτες ὦσι φρόνιμοι καὶ σοφοὶ,
τὸ δὲ λοιπὸν πλῆθος διοικῆται κατὰ τὴν τούτων γνώμην νο-
μίμως καὶ σωφρόνως, τὴν τοιαύτην χρὴ καλεῖν σώφρονα καὶ
νόμιμον καὶ τῷ ὄντι πόλιν ἀπὸ τῶν διοικούντων; ὥσπερ χορὸν
ἴσως φαίημεν ἂν μουσικὸν τοῦ κορυφαίου μουσικοῦ ὄντος,
τῶν δὲ ἄλλων ἐκείνῳ συνεπομένων καὶ μηδὲν παρὰ μέλος
22 φθεγγομένων ἢ σμικρὰ καὶ ἀδήλως. ἀγαθὴν μὲν γὰρ ἐξ
ἁπάντων ἀγαθῶν πόλιν οὔτε τις γενομένην πρότερον οἶδε

18, 2. πόλιν M, οἱ πόλιν reliq. ‖ 4. ὅ τι. ὅτι vm. ‖ οὗ ὁ BM. Reisk., οὗ reliq. ‖ 5. ἡσθημένοι. ᾐσθημένοι m. — 19, 2. εἴσονται. εἴσωνται B. ‖ 3. οὕτω. οὗτοι B. ‖ 4. τι. τε Reisk. ‖ 6. αὐτόν. αὐτὸν M. ‖ 8. τοῦτο. τοιούτῳ Pflugk. — 20, 5. οὐκοῦν. οὔκουν M. ‖ 6. ἀφραινούσης. sic dedi. ἀφρενούσης M, ἀφρονούσης reliq. ‖ 8. ᾗ. ἡ M. — 21, 1. εἰ ἐπειδὰν M, ἐπειδὰν B, ἐπειδὴ reliq. ‖ 3. διοικῆται r, διοικεῖται reliq.

θνητὴν οὔτε ποτὲ ὡς ἐσομένην ὕστερον ἄξιον διανοηθῆναι·
πλὴν εἰ μὴ θεῶν μακάρων κατ' οὐρανὸν, οὐδαμῶς ἀκίνητον
οὐδὲ ἀργὴν, ἀλλὰ σφοδρὰν οὖσαν καὶ πορευομένην, τῶν μὲν
ἡγουμένων τε καὶ πρώτων θεῶν χωρὶς ἔριδος καὶ ἥττης· οὔτε
γὰρ ἐρίζειν θεοὺς οὔτε ἡττᾶσθαι θέμις οὔτε ὑπ' ἀλλήλων
ἅτε φίλων οὔτε ὑπὸ ἄλλων κρειττόνων, ἀλλὰ πράττειν ἀκω-
λύτως τὰ σφέτερα ἔργα μετὰ πάσης φιλίας ἀεὶ πάντων κοινῆς·
τῶν μὲν φανερωτάτων πορευομένων ἑκάστου καθ' ἑαυτὸν,
οὐ πλανωμένων ἄλλως ἀνόητον πλάνην, ἀλλὰ χορείαν εὐδαί-
μονα χορευόντων μετά τε νοῦ καὶ φρονήσεως τῆς ἄκρας, τοῦ
δὲ λοιποῦ πλήθους ὑπὸ τῆς κοινῆς φορᾶς ἀγομένου μιᾷ γνώμῃ
23 καὶ ὁρμῇ τοῦ ξύμπαντος οὐρανοῦ. μίαν γὰρ δὴ ταύτην κα-
θαρῶς εὐδαίμονα πολιτείαν, εἴτε καὶ πόλιν, χρὴ καλεῖν τὴν
θεῶν πρὸς ἀλλήλους κοινωνίαν, ἐάν τε καὶ ξύμπαν τὸ λογι- M. II. 90
κὸν περιλάβῃ τις, ἀνθρώπων σὺν θεοῖς ἀριθμουμένων, ὡς
παῖδες σὺν ἀνδράσι λέγονται μετέχειν πόλεως, φύσει πολῖται
ὄντες, οὐ τῷ φρονεῖν τε καὶ πράττειν τὰ τῶν πολιτῶν οὐδὲ
τῷ κοινωνεῖν τοῦ νόμου, ἀξύνετοι ὄντες αὐτοῦ. ἐκ δὲ τῶν
ἄλλων πανταχοῦ πασῶν σχεδὸν ἁπλῶς ἡμαρτημένων τε καὶ
φαύλων πρὸς τὴν ἄκραν εὐθύτητα τοῦ θείου καὶ μακαρίου
νόμου καὶ τῆς ὀρθῆς διοικήσεως ὅμως δὲ πρὸς τὸ παρὸν εὐ-
πορήσωμεν παράδειγμα τὸ τῆς ἐπιεικέστερον ἐχούσης πρὸς
τὴν παντελῶς διεφθαρμένην, ὡς ἐν πᾶσι νοσοῦσι τόν γ' ἐλα-
φρότατα διάγοντα τῷ κάκιστα διακειμένῳ παραβάλλοντες.
24 ἐγὼ μὲν οὖν πρός τι τοιοῦτον ὥρμων τῷ λόγῳ. μεταξὺ δὲ
τῶν παρόντων εἷς ἐφθέγξατο εἰς τὸ μέσον, ὅσπερ ἦν πρεσ- 93 R. II
βύτατος αὐτῶν καὶ μέγιστον ἀξίωμα ἔχων. εἶπε δὲ πάνυ
εὐλαβούμενος· μηδαμῶς, ὦ ξένε, ἄγροικον μηδὲ βαρβαρικὸν
ἡγήσῃ τὸ τοιοῦτον, ὅτι μεταξὺ λέγοντί σοι ἐμποδὼν ἐγενόμην.
παρ' ὑμῖν μὲν γὰρ οὐκ ἔθος ἐστὶ τὸ τοιοῦτο διὰ τὸ πολλὴν

22, 5. σφοδρὰν. σφόδρα M. — 23, 3. ἐάν τε. ἐὰν δὲ r, ἐάν γε Casaub. ‖ ξύμπαν τὸ Casaub. r, ξύμπαντα relliq. ‖ 4. περιλάβῃ BM. var. l. v. r, περιβάλῃ vm, παραβάλῃ Casaub., cui quaedam deesse visa sunt. ‖ 5. πολῖται. πολεῖται M. ‖ 6. οὐ τῷ φρονεῖν τε. sic dedi. idem coniectura assecutus est Pflugkius. οὔτω φρονεῖτε M, οὐ τῷ σωφρονεῖν τε reliq. ‖ 10. ὅμως. ὁμοίως (mrg. vulg.) M. ‖ εὐπορήσωμεν. εὐπορήσομεν Reisk. ‖ 11. παράδειγμα τὸ. sic dedi. παραδειγμάτων reliq. ‖ 12. τόν γ'. sic dedi. τὸν Reisk., τὸν δ' reliq. — 24, 2. ὅσπερ. ὥσπερ BM. ‖ 5. τοιοῦτο M, τοιοῦτον reliq.

ἀφθονίαν εἶναι τῶν ἐκ φιλοσοφίας λόγων καὶ περὶ παντὸς
ὅτου ἂν ἐπιθυμῇ τις ἐξεῖναι παρὰ πολλῶν ἀκοῦσαι· παρ'
ἡμῖν δὲ ὥσπερ τέρας τι τοῦτο πέφηνε τὸ σὲ ἡμῖν ἀφικέσθαι.
25 τὸ δὲ λοιπὸν σχεδόν τι δεῦρο ἀφικνοῦνται ὀνόματι Ἕλληνες,
τῇ δὲ ἀληθείᾳ βαρβαρώτεροι ἡμῶν, ἔμποροι καὶ ἀγοραῖοι
ῥάκη φαῦλα καὶ οἶνον πονηρὸν εἰσκομίζοντες καὶ τά γε παρ'
ἡμῶν οὐδὲν βελτίω τούτων ἐξαγόμενοι· σὲ δὲ αὐτὸς ἡμῖν ὁ
Ἀχιλλεὺς ἔοικε δεῦρο ἀπὸ τῆς νήσου διαπέμψαι, καί σε πάνυ
μὲν ἡδέως ὁρῶμεν, πάνυ δὲ ἡδέως ἀκούομεν, ὅ τι ἂν λέγῃς.
οὐ μέντοι πολύν τινα χρόνον ἡγούμεθα ἔσεσθαι τοῦτον οὐδὲ
βουλόμεθα, ἀλλά σε εὖ πράξαντα οἴκαδε κατελθεῖν τὴν τα-
26 χίστην. νῦν οὖν ἐπεὶ ἥψω τῷ λόγῳ τῆς θείας διοικήσεως,
αὐτός τε ἀνεπτέρωμαι δαιμονίως καὶ τούσδε ὁρῶ πάντας ὀρ-
γῶντας πρὸς ἐκεῖνον τὸν λόγον· καὶ γὰρ ἡμῖν ἔδοξας μεγα- 445 M.
λοπρεπῶς καὶ τοῦ πράγματος οὐκ ἀναξίως ὅσα εἶπες εἰρηκέναι, 86 R II.
ὡς ἂν μάλιστα ἡμεῖς βουλοίμεθα ἀκοῦσαι. τῆς μὲν γὰρ ἀκρι-
βεστέρας ταύτης φιλοσοφίας ἄπειροί ἐσμεν, Ὁμήρου δέ, ὡς
οἶσθα, ἐρασταὶ καί τινες οὐ πολλοὶ Πλάτωνος· ὧν δὴ κἀμὲ
ὁρᾷς ὄντα, ἀεί ποτε ἐντυγχάνοντα τοῖς ἐκείνου, ὅπως ἂν δύ-
νωμαι· καίτοι ἴσως ἄτοπον βαρβαρίζοντα τῶν πολιτῶν μά-
λιστα τῷ ἑλληνικωτάτῳ καὶ σοφωτάτῳ χαίρειν καὶ ξυνεῖναι,
καθάπερ εἴ τις μικροῦ τυφλὸς τὸ μὲν ἄλλο φῶς ἀποστρέ-
27 φοιτο, πρὸς αὐτὸν δὲ τὸν ἥλιον ἀναβλέποι. ἔχει μὲν δὴ τὰ
ἡμέτερα οὕτως. σὺ δὲ εἰ θέλεις πᾶσιν ἡμῖν χαρίσασθαι, τὸν
μὲν ὑπὲρ τῆς θνητῆς πόλεως ἀναβαλοῦ λόγον, ἐὰν ἄρα σχολὴν
ἡμῖν οἱ γείτονες παράσχωσιν εἰσαύριον καὶ μὴ δέῃ προσγυ-
μνάζεσθαι αὐτοῖς, ὥσπερ ἔθος ἡμῖν τὸ πολύ· περὶ δὲ τῆς
θείας, εἴτε πόλεως εἴτε διακοσμήσεως φίλον σοι καλεῖν, εἰπέ,
ὅπῃ τε καὶ ὅπως ἔχει, ὡς δύνασαι ἐγγύτατα τείνων τῆς τοῦ
Πλάτωνος ἐλευθερίας περὶ τὴν φράσιν, οἷον δὴ καὶ ἄρτι
ποιεῖν ἡμῖν ἔδοξας. εἰ γὰρ μηδενὸς ἄλλου, τῆς γε φωνῆς

7. τῶν ἐκ Obs. p. 47, ἐκ om. reliqui. conf. Or. XXVII, 7 et XXXIII, 16. — 25, 3. ῥάκη. ῥάβη M. ‖ 4. ἡμῶν BM. var. l. v, ἡμῖν reliq. ‖ 6. λέγῃς. sic dedi. λέγῃ τις BM, λέγοι τις vm, λέγοις r. — 26, 1. ἐπεὶ ἥψω. ἐπιήψω M. ‖ τῷ λόγῳ BM. Reisk., τῶν λόγων reliq. ‖ 5. ὡς. καὶ ὡς B. ‖ τῆς μὲν γὰρ BM, γὰρ om. reliqui, unde καὶ τῆς μὲν vel τῆς μὲν οὖν Reisk. ‖ 8. ὄντα M. Casaub. r, ὅταν B. vm, ὦ τὰν Reisk. ‖ 10. ξυνεῖναι M. var. l. v. r, ξυνιέναι B. vm. — 27, 3. ἀναβαλοῦ. ἀναλαβοῦ mr. ‖ 4. μὴ δέῃ. μηδὲν M. ‖ 7. ἔχει M. Reisk., ἔχῃ reliq. ‖ δύνασαι. δύνασε M. ‖ τείνων. τίνων M. ‖ 9. ἄλλου M. Pflugk., ἀλλ' οὖν reliqui. possit ἄλλου, ἀλλ' οὖν.

ξυνίεμεν ὑπὸ συνηθείας, ὅτι οὐ σμικρὸν οὐδὲ πόῤῥω τοῦ
28 Ὁμήρου φθέγγεται. κἀγὼ σφόδρα γε ἥσθην τῇ ἁπλότητι τοῦ
πρεσβύτου καὶ γελάσας εἶπον· ὦ φίλε Ἱεροσῶν, εἴ με ἐκέλευες 81 R II
χθὲς εἰσβεβληκότων ὑμῖν τῶν πολεμίων λαβόντα ὅπλα, ὥσπερ
τὸν Ἀχιλλέα, μάχεσθαι, τὸ μὲν ἕτερον ἐπείσθην ἄν, πειρώ-
μενος ἀμύνεσθαι ὑπὲρ ἀνδρῶν φίλων, τὸ δὲ ἕτερον οὐκ ἂν
οἶμαι ἐδυνάμην, καίτοι σφόδρα βουλόμενος, ὁμοίως τῷ Ἀχιλ-
λεῖ ἀγωνίζεσθαι. καὶ νῦν ὧν κελεύεις ποιήσω τὸ ἕτερον,
προθυμήσομαι εἰπεῖν τὸν λόγον, ὡς ἂν ἐγὼ δύνωμαι κατ'
ἐμαυτόν·

ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,

οὔτε Πλάτωνι οὔτε Ὁμήρῳ. οὐ γάρ τοι οὐδὲ τῷ Εὐρύτῳ
φησὶ συνενεγκεῖν ὁ ποιητὴς, ὅτι ἤριζε πρὸς τοὺς κρείττονας.
29 οὐ μέντοι σπουδῆς γε, ἔφην, οὐδὲν ἀπολείψομεν. ταῦτα δὲ
εἰπὼν πρὸς ἐκεῖνον οὐδὲν ἧττον ὑπεκινούμην καὶ ἀνεφερόμην 445 M.
τρόπον τινὰ ἀναμνησθεὶς Πλατωνός τε καὶ Ὁμήρου. τὸ μὲν
δὴ τῆς πόλεως οὕτως, ἔφην, δεῖ ἀκούειν, ὡς οὐκ ἄντικρυς
τῶν εἰρημένων τὸν κόσμον ἀποφαινομένων πόλιν. ἐναντίον 82 R II
γὰρ ἂν ὑπῆρχε τούτῳ τῷ λόγῳ τὸ περὶ τῆς πόλεως, ἣν ὥσπερ
οὖν εἶπον, σύστημα ἀνθρώπων ὡρίσαντο· ἅμα τε οὐκ ἦν ἴσως
πρέπον οὐδὲ πιθανὸν κυρίως εἰπόντας εἶναι τὸν κόσμον ζῶον

28, 1. *σφόδρα γε* BM, *γε* om. reliq. ‖ 2. *φίλε Ἱεροσῶν* Boeckh., *φίλε ῥοσῶν* M (sed inter haec verb. rasura est), *φίλε Ῥόσων* reliqui. *Ῥόδων* non *Ῥόσων* usitatum nomen est. *Ἱεροσῶν* saepius reperitur in titulis Borysthenitarum. ‖ *με* Selden. r, *μὲν* reliq. — 29, 2. *ὑπεκινούμην* Reisk., *ὑπ' ἐκείνουν* M, *ὑπ' ἐκείνου* reliq., *ἀνεπτερούμην ἐκείνου* Casaub. ‖ 4. *δεῖ* Reisk., *δὴ* M, *δεῖν* reliq. ‖ *ὡς οὐκ* M, *καὶ οὐκ* reliq. ‖ *ἄντικρυς τῶν εἰρημένων* (possit *ἡμετέρων*) *τὸν κόσμον ἀποφαινομένων πόλιν.* sic dedi. *ἄντικρυς τῶν ἡμερῶν τὸν κόσμον ἀποφαινομένων πόλιν* M, *ἄντικρυς τῶν ἥμερον ζῶον τὸν κόσμον ἀποφαινομένων ἢ πόλιν* reliqui. in nostra scriptura *οἱ εἰρημένοι* (conf. § 20) sunt Stoici. *mansuetum* animal nemo mundum dixit, neque potuit dicere, sed *ζῶον νοερὸν*, *ratione praeditum*, Stoici mundum esse docebant. de quo statim dicturus est; hic autem non opus erat utramque definitionem simul commemorari, quoniam notum illud erat Stoicorum placitum. Reiskius ita hunc locum tentavit: aut deest aliquid, inquit, post *ἄντικρυς*, quale *ἀποδέχεσθαι*, aut Casauboni coniectura probanda est, qui sic scribit: *καὶ οὐ τῶν ἄντικρυς ἥμερον ζῶον ἀποφαινομένων ἢ πόλιν.* postremo suspicatur *ἀντικρύς τινος* significare *alicuius menti congruenter.* ‖ 6. *γὰρ ἄν.* sic dedi. *ἂν* om. reliq. ‖ *τούτῳ. τοῦτο* Selden. r. ‖ *τὸ περὶ* Reisk., *τῷ περὶ* reliq. ‖ *ἣν ὥσπερ οὖν.* sic dedi. *ὥσπερ οὖν* BM, *ἣν οὕσπερ νῦν* Reisk., *ὅπερ οὖν* reliqui. totum locum sic constituit Seldenus: *τοῦτο τῷ λόγῳ, ὅνπερ οὖν εἶπον — ὁρίσαντι.* ‖ 7. *ἅμα τε* M. Obs. p. 48, *ἅμα τε γὰρ* reliq. ‖ 8. *εἶναι*

30 ἔπειτα φάσκειν, ὥς ἐστι πόλις. τὸ γὰρ αὐτὸ πόλιν τε καὶ
ζῶον οὐκ ἂν οἶμαι ῥᾳδίως ὑπομένοι τις ὑπολαβεῖν· ἀλλὰ τὴν
νῦν διακόσμησιν, ὁπηνίκα διῄρηται καὶ μεμέρισται τὸ πᾶν εἰς
πολλάς τινας μορφὰς φυτῶν τε καὶ ζώων θνητῶν καὶ ἀθα-
νάτων, ἔτι δὲ ἀέρος καὶ γῆς καὶ ὕδατος καὶ πυρὸς, νοῦ δὲ
ἧττον πεφυκὸς ἐν ἅπασι τούτοις καὶ μιᾷ ψυχῇ καὶ δυνάμει
διεπόμενον, ἀμηγέπη πόλει προσεικάζουσι διὰ τὸ πλῆθος τῶν
ἐν αὐτῇ γιγνομένων τε καὶ ἀπογιγνομένων, ἔτι δὲ τὴν τάξιν
31 καὶ τὴν εὐκοσμίαν τῆς διοικήσεως. ὁ δὲ λόγος οὗτος ἔμβραχυ
ἐσπούδακε ξυναρμόσαι τῷ θείῳ τὸ ἀνθρώπειον γένος καὶ ἑνὶ
λόγῳ περιλαβεῖν πᾶν τὸ λογικὸν, κοινωνίας ἀρχὴν καὶ δικαι- 89 R II.
οσύνης μόνην ταύτην ἰσχυρὰν καὶ ἄλυτον εὑρίσκων. πόλις
μὲν γὰρ δὴ κατὰ τοῦτο ἂν εἴη λεγομένη μὰ Δί' οὐ φαύλων
οὐδὲ μικρῶν τυχοῦσα ἡγεμόνων οὐδὲ ὑπὸ τυράννων τε καὶ
δήμων καὶ δεκαρχιῶν δὴ καὶ ὀλιγαρχιῶν καί τινων ἄλλων
τοιούτων ἀῤῥωστημάτων διαφορουμένη καὶ στασιάζουσα τὸν
ἅπαντα χρόνον, ἀλλὰ τῇ σωφρονεστάτῃ καὶ ἀρίστῃ βασιλείᾳ
κεκοσμημένη, τῷ ὄντι βασιλευομένη κατὰ νόμον μετὰ πάσης
32 φιλίας καὶ ὁμονοίας· ὅπερ δὴ ὁ σοφώτατος καὶ ὁ πρεσβύτα-
τος ἄρχων καὶ νομοθέτης ἅπασι προστάττει θνητοῖς καὶ
ἀθανάτοις, ὁ τοῦ ξύμπαντος ἡγεμὼν οὐρανοῦ καὶ τῆς ὅλης
δεσπότης οὐσίας, αὐτὸς οὕτως ἐξηγούμενος καὶ παράδειγμα
παρέχων τὴν αὐτοῦ διοίκησιν τῆς εὐδαίμονος καὶ μακαρίας 417 M.
καταστάσεως· ὃν οἱ θεῖοι ποιηταὶ μαθόντες ἐκ Μουσῶν
ὑμνοῦσιν ἅμα καὶ ὀνομάζουσι πατέρα θεῶν καὶ ἀνθρώπων.

τὸν BM, εἶναι om. reliq. — 30, 3. διακόσμησιν. διακοσμήσειν M. ‖ 4. τινας μορφάς. μορφάς τινας M. ‖ 5. νοῦ δὲ ἧττον. sic dedi. vid. Acta Societ. Graec. I, p. 353. ἐν οὐδὶν, ἧττον M, ἐν οὐδενὶ ἧττον reliqui. Geelius hunc locum sic constituit: ἐν οὐδενὶ ἧττον πεφυκὸς ἐν ἅπασι δὲ ὁμοίως καὶ μιᾷ ψυχῇ καὶ δυνάμει διεπόμενον. Pflugkius: ἐν οὐδενὶ ἧττον πεφυκὸς, ἀλλ' ἐν ἅπασιν ὁμοίως καὶ — διεπόμενον. ‖ 6. πεφυκὸς BM. Reiskius, qui fatetur se totum hunc locum non intelligere, πεφυκὼς reliq. ‖ 7. διεπόμενον Obs. p. 48, διεπομένων reliq. ‖ ἀμηγέπη Obs. p. 49, ἃ μήτε τῇ reliqui, unde Pflugkius οἶμαι τῇ. ‖ προσεικάζουσι. προσεικάζομεν Geelius. quod desiderabat vir praestantissimus in nostra quoque loci emendatione inest. referuntur enim haec ad v. τῶν εἰρημένων. — 31, 1. ἔμβραχυ. ἐν βραχὺ M. ‖ 2. θείῳ Geel., θεῷ reliq. ‖ 3. ἀρχὴν καί. ἀρχὴ (om. καὶ) M. ‖ δικαιοσύνης r ex Interpr., δικαιοσύνην reliq. ‖ 4. εὑρίσκων BM. Casaub. r, εὕρισκον vm. ‖ πόλις. μόλις B. ‖ 6. μικρῶν. σμικρῶν B. ‖ 7. δεκαρχιῶν. δεκαδαρχιῶν M. ‖ 9. ἀλλά. ἅμα (mrg. vulg.) M. ‖ 10. βασιλευομένη. καὶ βασιλευομένη B. — 32, 1. ὅπερ. ὅνπερ r, malim ὥσπερ. ‖ 5. τὴν αὐτοῦ διοίκησιν. sic dedi. τῆς αὐτοῦ διοικήσεως reliq.

33 κινδυνεύει γὰρ οὖν δὴ τὸ ποιητικὸν γένος οὐ πάνυ ἄστοχον
εἶναι τῶν ἱερῶν λόγων οὐδὲ ἄπο στόχου φθέγγεσθαι τὰ
τοιαῦτα πολλάκις, οὐ μέντοι οὐδὲ μεμνῆσθαι καθαρῶς κατὰ
θεσμὸν καὶ νόμον τῶν μυουμένων οὐδὲ εἰδέναι τοῦ ξύμπαντος 90 R II.
περὶ τῆς ἀληθείας σαφὲς οὐδὲν ὡς ἔπος εἰπεῖν· ἀτεχνῶς δὲ
ἔοικεν ὅμοιον εἶναι τοῖς ἔξω περὶ θύρας ὑπηρέταις τῶν τελε-
τῶν, πρόθυρα κοσμοῦσι καὶ βωμοὺς τοὺς ἐν τῷ φανερῷ καὶ
τὰ ἄλλα τὰ τοιαῦτα παρασκευάζουσιν, οὐδέ ποτ᾽ ἔνδον παρι-
οῦσιν. ὅθεν δὴ καὶ θεράποντας Μουσῶν αὐτοὺς ὀνομάζου-
34 σιν, οὐ μύστας οὐδὲ ἄλλο σεμνὸν ὄνομα. οὐκοῦν, ὡς ἔφην,
τοὺς πλησίον ἀναστρεφομένους τελετῆς τινος πρὸς ταῖς εἰσό-
δοις εἰκὸς τό γε τοσοῦτον τῶν ἔνδοθεν αἰσθάνεσθαί τινος,
ἤτοι ῥήματος ἐκβοηθέντος ἑνὸς μυστικοῦ ἢ πυρὸς ὑπερφανέν-
τος, καὶ τοῖς ποιηταῖς ἐνίοτε, λέγω δὲ τοῖς πάνυ ἀρχαίοις,
φωνή τις ἐκ Μουσῶν ἀφίκετο βραχεῖα καί πού τις ἐπίπνοια
θείας φύσεώς τε καὶ ἀληθείας καθάπερ αὐγὴ πυρὸς ἐξ ἀφα-
νοῦς λάμψαντος· ἃ ἔπασχον ἐκ Μουσῶν καὶ κατείχοντο Ὅμη-
35 ρός τε καὶ Ἡσίοδος. οἱ δὲ μετ᾽ ἐκείνους ὕστερον ἐπὶ σκηνὰς
καὶ θέατρα τὴν αὐτῶν σοφίαν ἀγαγόντες ἀμύητοι ἀμυήτοις
πολλάκις ἐξέφερον ἀτελῆ παραδείγματα ὀργίων· θαυμαζόμε- 91 R II.
νοι δὲ ὑπὸ τῶν πολλῶν ἐπεχείρουν αὐτοὶ τελεῖν τὸν ὄχλον,
τῷ ὄντι βακχείων τινὰς σκηνὰς ἀκαλύπτους πηξάμενοι ἔν
τισι τραγικαῖς τριόδοις. οὗτοι δ᾽ οὖν πάντες οἱ ποιηταὶ κατὰ
ταὐτὰ τὸν πρῶτον καὶ μέγιστον θεὸν πατέρα καλοῦσι συλ-
36 λήβδην ἅπαντος τοῦ λογικοῦ γένους καὶ δὴ καὶ βασιλέα. οἷς
πειθόμενοι οἱ ἄνθρωποι Διὸς βασιλέως ἱδρύονται βωμούς,

33, 1. κινδυνεύει γὰρ οὖν δὴ B, κινδυνεύειν γὰρ οὖν δεῖ M, κινδυνεύει γὰρ δὴ reliq. ‖ 2. οὐδὲ—πολλάκις delebat Pflugk. ‖ ἄπο στόχου. sic dedi. ἄπο στοχοῦ B, ἀποστοχῶν (mrg. vulg.) M, ἀπὸ στοχασμοῦ reliq. ‖ φθέγγεσθαι. φθέγγεται B. ‖ 3. οὐ μέντοι. sic dedi. οὐ τοίνυν reliq. de v. μέντοι cogitaverat Reiskius quoque, qui locum sic constituit: τοιαῦτα· πολλάκις μέντοι οὐδὲ μεμνῆσθαι ‖ μεμνῆσθαι M. Obs. p. 49, μεμνῆσθαι reliq. ‖ 8. οὐδέ ποτ᾽. sic dedi. οὐ δὲ πώποτε Iacobs., οὐδέποτε δὲ Reisk., οὐδέποτε reliq. ‖ 9. αὐτούς. αὐτοὺς M. — 34, 1. ὡς, ἔφην. malim ἔφην, ὡς vel in proximis τούς τε πλησίον. delet ἔφην Reisk. ‖ 3. τῶν ἔνδοθεν. sic dedi. τῶν om. reliq. ‖ τινος. τινας vm. ‖ 7. θείας. θεῖα M. ‖ αὐγή. αὐτὴ M. ‖ 8. καὶ κατείχοντο. ὑφ᾽ ὧν καὶ κατείχοντο Reisk. — 35, 2. αὐτῶν. αὐτῶν M. ‖ 3. ὀργίων. ὀργείων M. ‖ 5. βακχείων. βακχίων M. ‖ ἀκαλύπτους BM. mrg. m. r, ἀμαλόπτους vm. ex aliquo poëta haec depromta esse apparet, numeri autem agnoscuntur dactylici. ‖ 7. ταὐτὰ Selden. r, ταῦτα reliq.

καὶ δὴ καὶ πατέρα αὐτὸν οὐκ ὀκνοῦσι προσαγορεύειν τινὲς ἐν
ταῖς εὐχαῖς, ὡς τοιαύτης τινὸς ἀρχῆς καὶ συστάσεως οὔσης
τοῦ παντός. ὥστε ταύτῃ γε οὐδὲ οἶκον δοκοῦσί μοι ὀκνῆσαι
ἂν ἀποφήνασθαι τοῦ Διὸς τὸν ἅπαντα κόσμον, εἴπερ ἐστὶ 448 M.
πατὴρ τῶν ἐν αὐτῷ, καὶ νὴ Δία πόλιν, ὥσπερ ἡμεῖς προσει-
37 κάζομεν, κατὰ τὴν μείζονα ἀρχήν. βασιλεία γὰρ πόλει μᾶλ-
λον ἢ οἴκῳ πρεπόντως ἂν λέγοιτο. οὐ γὰρ δὴ βασιλέα εἰπόντες
τὸν ἐπὶ τῶν ὅλων οὐκ ἂν βασιλεύεσθαι τὸ ὅλον ὁμολογοῖεν,
οὐδὲ βασιλεύεσθαι φήσαντες οὐκ ἂν πολιτεύεσθαι φαῖεν οὐδὲ
εἶναι πολιτείαν βασιλικὴν τοῦ παντός. πολιτείαν δ' αὖ συγ-
χωροῦντες πόλιν οὐκ ἂν ἀποτρέποιντο ὁμολογεῖν ἤ τι τούτῳ
38 παραπλήσιον τὸ πολιτευόμενον. ὅδε μὲν οὖν ὁ τῶν φιλοσό- 92 R II.
φων λόγος, ἀγαθὴν καὶ φιλάνθρωπον ἀποδεικνὺς κοινωνίαν
δαιμόνων καὶ ἀνθρώπων, μεταδιδοὺς νόμου καὶ πολιτείας οὐ
τοῖς τυχοῦσι τῶν ζώων, ἀλλ' ὅσοις μέτεστι λόγου καὶ φρο-
νήσεως, πολὺ κρείττω καὶ δικαιοτέραν τῆς Λακωνικῆς νομο-
θεσίας εἰσηγούμενος, καθ' ἣν οὐδὲ ὑπάρχει τοῖς Εἵλωσι γε-
νέσθαι Σπαρτιάταις· ὅθεν δὴ διατελοῦσιν ἐπιβουλεύοντες τῇ
39 Σπάρτῃ. ἕτερος δὲ μῦθος ἐν ἀποῤῥήτοις τελεταῖς ὑπὸ Μά-
γων ἀνδρῶν ᾄδεται θαυμαζόμενος, οἳ τὸν θεὸν τοῦτον ὑμνοῦ-
σιν ὡς τέλειόν τε καὶ πρῶτον ἡνίοχον τοῦ τελειοτάτου ἅρμα-
τος. τὸ γὰρ Ἡλίου ἅρμα νεώτερόν φασιν εἶναι πρὸς ἐκεῖνο
κρινόμενον, φανερὸν δὲ τοῖς πολλοῖς ἅτε προδήλου γιγνομένης
τῆς φορᾶς. ὅθεν κοινῆς φήμης τυγχάνειν, ὡς ἔοικεν, ἀπὸ
πρώτων σχεδόν τι τῶν ποιητῶν ἀνατολὰς [καὶ δύσεις] ἑκά-
στοτε λεγόντων κατὰ ταὐτὰ πάντων ἐξηγουμένων ζευγνυμέ-
νους τε τοὺς ἵππους καὶ τὸν Ἥλιον αὐτὸν ἐπιβαίνοντα τοῦ
40 δίφρου. τὸ δὲ ἰσχυρὸν καὶ τέλειον ἅρμα τὸ Διὸς οὐδεὶς ἄρα
ὕμνησεν ἀξίως τῶν τῇδε, οὔτε Ὅμηρος οὔτε Ἡσίοδος, ἀλλὰ

36, 7. τῶν Iacobs., πάντων τῶν Reisk., αὐτῶν reliq. — 37, 1. βασιλεία BM, βασιλία vm, βασιλεὺς r. ‖ 2. λέγοιτο. γέλοιτο M. ‖ 4. οὐδὲ β. BM. var. l. v. r, οἱ δὲ β. vm. ‖ 6. ἤ τι τούτῳ M. Selden., εἴ τι τοῦτο reliqui. Reiskius locum sic tentat: ὁμολογεῖν εἶναι τὸ παραπλησίως πόλει πολιτευόμενον. — 38, 2. ἀποδεικνὺς. ἀποδείκνυσι Reisk. ‖ 5. νομοθεσίας. νομοθεσίαν Reisk. ‖ 7. ἐπιβουλεύοντες. ἐπιβουλεύοντος corr. M. — 39, 3. τελειοτάτου. τελιοτάτου M. ‖ 6. κοινῆς φήμης r ex Interpr., κοιναῖς φήμαις reliq. ‖ ὡς ἔοικεν. ὥστε ἕνεκεν M. ‖ ἀπὸ πρώτων. sic dedi. ὑπὸ πρώτων reliq. ‖ 7. [καὶ δύσεις] suspecta; nam tantum ad solis ortum referuntur sequentia. ‖ 8. κατὰ M, καὶ κατὰ reliq. ‖ ταὐτὰ Reisk., ταῦτα reliq. ‖ πάντων. πάντα Reisk. ‖ 9. τε τούς. τοὺς om. M. — 40, 1. τέλειον. τέλιον M. ‖ τό

Ζωροάστρης καὶ Μάγων παῖδες ᾄδουσι παρ' ἐκείνου μαθόν-
τες· ὃν Πέρσαι λέγουσιν ἔρωτι σοφίας καὶ δικαιοσύνης ἀπο- 93 R II
χωρήσαντα τῶν ἄλλων καθ' αὑτὸν ἐν ὄρει τινὶ ζῆν, ἔπειτα
ἀφθῆναι τὸ ὄρος πυρὸς ἄνωθεν πολλοῦ κατασκήψαντος συν-
εχῶς τε καίεσθαι. τὸν οὖν βασιλέα σὺν τοῖς ἐλλογιμωτάτοις
Περσῶν ἀφικνεῖσθαι πλησίον βουλόμενον εὔξασθαι τῷ θεῷ· 449 M
καὶ τὸν ἄνδρα ἐξελθεῖν ἐκ τοῦ πυρὸς ἀπαθῆ, φανέντα δὲ αὐ-
τοῖς ἵλεω θαῤῥεῖν κελεῦσαι καὶ θῦσαι θυσίας τινάς, ὡς
41 ἥκοντος εἰς τὸν τόπον τοῦ θεοῦ. συγγίγνεσθαί τε μετὰ
ταῦτα οὐχ ἅπασιν, ἀλλὰ τοῖς ἄριστα πρὸς ἀλήθειαν πεφυ-
κόσι καὶ τοῦ θεοῦ ξυνιέναι δυναμένοις, οὓς Πέρσαι Μάγους
ἐκάλεσαν, ἐπισταμένους θεραπεύειν τὸ δαιμόνιον· οὐχ ὡς
Ἕλληνες ἀγνοίᾳ τοῦ ὀνόματος οὕτως ὀνομάζουσιν ἀνθρώπους
γόητας. ἐκεῖνοι δὲ τά τε ἄλλα δρῶσι κατὰ λόγους ἱεροὺς καὶ
δὴ τῷ Διὶ τρέφουσιν ἅρμα Νισαίων ἵππων· οἱ δέ εἰσι κάλ-
λιστοι καὶ μέγιστοι τῶν κατὰ τὴν Ἀσίαν· τῷ δέ γε Ἡλίῳ ἕνα
42 ἵππον. ἐξηγοῦνται δὲ τὸν μῦθον οὐχ ὥσπερ οἱ παρ' ἡμῖν
προφῆται τῶν Μουσῶν ἕκαστα φράζουσι μετὰ πολλῆς πει-
θοῦς, ἀλλὰ μάλα αὐθαδῶς. εἶναι γὰρ δὴ τοῦ ξύμπαντος
μίαν ἀγωγήν τε καὶ ἡνιόχησιν ὑπὸ τῆς ἄκρας ἐμπειρίας τε
καὶ ῥώμης γιγνομένην ἀεί, καὶ ταύτην ἄπαυστον ἐν ἀπαύ-
στοις αἰῶνος περιόδοις. τοὺς δὲ Ἡλίου καὶ Σελήνης δρόμους, 94 R II
καθάπερ εἶπον, μερῶν εἶναι κινήσεις, ὅθεν ἐπ' αὐτῶν ὁρᾶσθαι
σαφέστερον. τῆς δὲ τοῦ ξύμπαντος κινήσεως καὶ φορᾶς μὴ
ξυνιέναι τοὺς πολλούς, ἀλλ' ἀγνοεῖν τὸ μέγεθος τοῦδε τοῦ
43 ἀγῶνος. τὸ δὴ μετὰ τοῦτο αἰσχύνομαι φράζειν τῶν ἵππων
πέρι καὶ τῆς ἡνιοχήσεως, ὅπως ἐξηγούμενοι λέγουσιν, οὐ πάνυ
τε φροντίζοντες ὅμοιον σφίσι γίγνεσθαι πανταχῇ τὸ τῆς εἰκό-
νος· ἴσως γὰρ ἂν φαινοίμην ἄτοπος παρὰ Ἑλληνικά τε καὶ

Διὸς M, τοῦ Διὸς reliq. ‖ 3. ἐκείνου. ἐκείνων BM. ‖ 6. ἀφθῆναι mrg. m, ἀφθῆναι BM, ἀφῆναι r, ἀφῆναι v, ἀφεῖναι m. ‖ 7. καίεσθαι. κάεσθαι M. ‖ 10. ἱλίῳ M. var. l. v., ἵλεων reliq. — 41, 1. συγγίγνεσθαί M, συγγίνεσθαι B, συγγενέσθαι reliq. ‖ 3. δυναμένοις. δυναμένους M. ‖ 5. ἀνθρώπους M, αὐτοὺς reliq., τοὺς Reisk. ‖ 7. Νισαίων B. r, νησαίων reliq. ‖ 8. μέγιστοι BM. var. l. v. r, μεγάλοι vm. ‖ 9. ἵππον. ἵππων (superscr. vulg.) M. — 42, 1. τὸν μῦθον BM. mrg. m. r, τῷ μύθῳ vm. ‖ 2. προφῆται om. B. ‖ 5. ἄπαυστον. ἀπ' αὐτὸν M. ‖ 7. εἶπον M, ἵππων reliq. ‖ κινήσεις. κίνησις M. ‖ ἐπ' αὐτῶν r, ὑπ' αὐτῶν reliq. ‖ 9. ξυνιέναι Reisk., ξυνεῖναι reliq. — 43, 1. τὸ δή. τὸ δὲ Reisk., τὸ δὲ δὴ Iacobs. ‖ 3. γίγνεσθαι BM, γενέσθαι reliq. ‖ 4. ἄτοπος BM. Reisk., ἀτόπως reliq.

χαρίεντα ᾄσματα βαρβαρικὸν ᾆσμα παίζων· ὅμως δὲ τολμη-
τέον. φασὶ τῶν ἵππων τὸν πρῶτον ἄνωθεν ἀπείρῳ διαφέρειν
κάλλει τε καὶ μεγέθει καὶ ταχυτῆτι ἅτε ἔξωθεν περιτρέχοντα
τὸ μήκιστον τοῦ δρόμου, αὐτοῦ Ζηνὸς ἱερόν· πτηνὸν δὲ εἶναι,
τὴν δὲ χρόαν λαμπρὸν, αὐγῆς τῆς καθαρωτάτης· τὸν δὲ
Ἥλιον ἐν αὐτῷ καὶ τὴν Σελήνην σημεῖα προφανῆ ὁρᾶσθαι,
ὥσπερ οἶμαι καὶ τῶνδε τῶν ἵππων ἐστὶ σημεῖα, τὰ μὲν μηνο-
44 ειδῆ, τὰ δὲ ἀλλοῖα. ταῦτα δὲ ὑφ' ἡμῶν ὁρᾶσθαι συνεστραμ- 450 M.
μένα, καθάπερ ἐν αὐγῇ λαμπρᾷ φλογὸς σπινθῆρας ἰσχυροὺς
διαθέοντας. ἰδίαν δὲ κίνησιν ἔχειν καθ' αὑτά· καὶ τἆλλα
ἄστρα δι' ἐκείνου φαινόμενα καὶ ξύμπαντα ἐκείνου πεφυκότα
μέρη τὰ μὲν περιφέρεσθαι σὺν αὐτῷ μίαν ταύτην ἔχοντα
κίνησιν, τὰ δὲ ἄλλους θεῖν δρόμους. τυγχάνειν δὲ παρὰ τοῖς
ἀνθρώποις ταῦτα μὲν ἰδίου ἕκαστον ὀνόματος· τὰ δὲ ἄλλα 95 R II.
κατὰ πλῆθος ἀθρόα, διανενεμημένα εἴς τινα σχήματα καὶ
45 μορφάς. ὁ μὲν δὴ λαμπρότατος ἵππος καὶ ποικιλώτατος αὐτῷ
τε Διὶ προσφιλέστατος, ὧδέ πως ὑμνούμενος ὑπ' αὐτῶν, θυ-
σίας τε καὶ τιμὰς ἅτε πρῶτος εἰκότως πρώτας ἔλαχεν. δεύτε-
ρος δὲ μετ' ἐκεῖνον ἁπτόμενος αὐτοῦ καὶ πλησιώτατος Ἥρας
ἐπώνυμος, εὐήνιος καὶ μαλακὸς, πολὺ δὲ ἥττων κατά τε ῥώμην
καὶ τάχος. χροιὰν δὲ τῇ μὲν αὑτοῦ φύσει μέλας, φαιδρύνε-
ται δὲ ἀεὶ τὸ καταλαμπόμενον Ἡλίῳ· τὸ δὲ σκιασθὲν ἐν τῇ
46 περιφορᾷ τὴν αὑτοῦ μεταλαμβάνει τῆς χρόας ἰδέαν. τρίτος
Ποσειδῶνος ἱερὸς, τοῦ δευτέρου βραδύτερος. τούτου δὲ μυ-
θολογοῦσιν εἴδωλον οἱ ποιηταὶ γενέσθαι παρ' ἀνθρώποις,
ἐμοὶ δοκεῖν, ὅντινα ὀνομάζουσι Πήγασον· καί φασιν ἀνεῖναι
κρήνην ἐν Κορίνθῳ χαράξαντα τῇ ὁπλῇ. ὁ δὲ δὴ τέταρτος
εἰκάσαι πάντων ἀτοπώτατος, στερεός τε καὶ ἀκίνητος, οὐχ
ὅπως πτερωτὸς, ἐπώνυμος Ἑστίας. ὅμως δὲ οὐκ ἀποτρέπον-

5. βαρβαρικὸν. βαρβαρικῶν B. ‖ παίζων. παίδων BM (sed ante hoc verb. et in medio rasura est; fuisse videtur ἐπαύδων), malim ἐπᾴδων. ‖ 6. τῶν. τὸν B. ‖ τὸν πρῶτον BM. r, τὸ πρῶτον vm. ‖ 7. κάλλει. κάλλη M. ‖ τε καὶ μεγέθει BM, καὶ μεγέθει om. reliq. ‖ ἅτε Obs. p. 49, τά τε reliq. ‖ 9. αὐγῆς BM. Casaub. r, αὐτῆς vm. — 44, 1. ἡμῶν. ὑμῶν B. ‖ 2. ἐν αὐγῇ λαμπρᾷ Reisk., αὐγὴ λαμπρὰ BM, αὐγῇ λαμπρᾷ reliq. ‖ 3. ἔχειν M. Obs. p. 69, ἔχει reliq. ‖ τἆλλα M, τὰ ἄλλα reliq. ‖ 5. τὰ μὲν Obs. p. 69, καὶ τὰ μὲν reliqui (sed in M καὶ a corr. add.). ‖ 8. διανενεμημένα M, νενεμημένα reliq. — 45, 2. ὧδέ. ὁ δὲ M. ‖ 6. χροιὰν. sic dedi. χροιᾷ Reisk., χροιὰ reliq. ‖ 8. αὐτοῦ. αὑτοῦ M.

ται τῆς εἰκόνος, ἀλλὰ ἐνεζεῦχθαί φασι καὶ τοῦτον τῷ ἅρματι,
47 μένειν δὲ κατὰ χώραν χαλινὸν ἀδάμαντος ἐνδακόντα. συν-
ερείδειν δὲ πανταχόθεν αὐτῷ τοῖς μέρεσι, καὶ τὼ δύο τὼ
πλησίον ὁμοίως πρὸς αὐτὸν ἐγκλίνειν, ἀτεχνῶς ἐπιπίπτοντε
καὶ ὠθουμένω· τὸν δὲ ἐξωτάτω πρῶτον ἀεὶ περὶ τὸν ἑστῶτα
ὡς νύσσαν φέρεσθαι. τὸ μὲν οὖν πολὺ μετ' εἰρήνης καὶ φι-
λίας διατελοῦσιν ἀβλαβεῖς ὑπ' ἀλλήλων. ἤδη δέ ποτε ἐν 90 R II
μήκει χρόνου καὶ πολλαῖς περιόδοις ἰσχυρὸν ἆσθμα τοῦ πρώ-
του προσπεσὸν ἄνωθεν, οἷα δὴ θυμοειδοῦς, ἐθέρμηνε τοὺς
ἄλλους· σφοδρότερόν γε μὴν τὸν τελευταῖον· τήν τε δὴ χαίτην 61 M
περιέφλεξεν αὐτοῦ, ᾗ μάλιστα ἠγάλλετο, καὶ τὸν ἅπαντα
48 κόσμον. τοῦτο δὲ τὸ πάθος ἅπαξ Ἕλληνας μνημονεύοντάς
φασι Φαέθοντι προσάπτειν, οὐ δυναμένους μέμφεσθαι τὴν
Διὸς ἡνιόχησιν τούς τε Ἡλίου δρόμους οὐκ ἐθέλοντας ψέγειν.
διό φασιν νεώτερον ἡνίοχον, Ἡλίου παῖδα θνητὸν, ἐπιθυμή-
σαντα χαλεπῆς καὶ ἀξυμφόρου πᾶσι τοῖς θνητοῖς παιδιᾶς,
αἰτησάμενον παρὰ τοῦ πατρὸς ἐπιστῆναι τῷ δίφρῳ, φερόμε-
νόν τε ἀτάκτως πάντα καταφλέξαι ζῷα καὶ φυτὰ, καὶ τέλος
49 αὐτὸν διαφθαρῆναι πληγέντα ὑπὸ κρείττονος πυρός. πάλιν
δὲ ὅταν διὰ πλειόνων ἐτῶν ὁ Νυμφῶν καὶ Ποσειδῶνος ἱερὸς
πῶλος ἐπαναστῇ παρὰ τὸ σύνηθες ἀγωνιάσας καὶ ταραχθεὶς
ἱδρῶτι πολλῷ κατακλύσῃ τὸν αὐτὸν τοῦτον ἅτε ὁμόζυγα, πει-
ρᾶται δὴ τῆς ἐναντίας τῇ πρότερον φθορᾷ, ὕδατι πολλῷ χει-
μαζόμενος. καὶ τοιοῦτον ἕνα χειμῶνα διηγεῖσθαι τοὺς Ἕλλη-
νας ὑπὸ νεότητός τε καὶ μνήμης ἀσθενοῦς, καὶ [λέγουσι]
Δευκαλίωνα βασιλεύοντα τότε σιρίσιν ἀρκέσαι πρὸ τῆς παν-
50 τελοῦς φθορᾶς. ταῦτα δὲ σπανίως ξυμβαίνοντα δοκεῖν μὲν
ἀνθρώποις διὰ τὸν αὐτῶν ὄλεθρον γίγνεσθαι μὴ κατὰ λόγον
μηδὲ μετέχειν τῆς τοῦ παντὸς τάξεως, λανθάνειν δὲ αὐτοὺς 91 R II

46, 9. χαλινὸν. χαλεινὸν M. — 47, 2. αὐτῷ. sic dedi. αὐτῷ reliq. ‖ τὼ B. r, τω M, τῷ vm. ‖ 3. ἐπιπίπτοντε B. r, ἐπιπίπτονται (corr. ἐπιπίπτοντι) M, ἐπιπίπτοντι vm. ‖ 4. τὸν M. r, τῶν B. vm. ‖ 6. ἀβλαβεῖς BM. mrg. m, εὐλαβεῖς reliqui, unde Reiskius ὑπὲρ pro ὑπ'. ‖ 8. προσπεσὸν BM. r, προσπεσὼν vm. ‖ 9. γε μὴν BM. Reisk., τε μὴν vm. ‖ τήν τε. sic dedi. τὴν δὲ reliq. — 49, 4. κατακλύσῃ Geel., κατέκλυσε reliq. ‖ 5. φθορᾷ. φορᾷ B, φορὰ M. ‖ 6. τοιοῦτον Obs. p. 49, τοῦτον reliqui, unde καὶ μόνον pro χειμῶνα Seldenus. ‖ 7. [λέγουσι] aut delebat Reiskius aut in λέγειν mutabat. ‖ 8. πρὸ. πρὸς m, unde πρὸς φυγὴν τῆς Casaub. — 50, 1. δοκεῖν Geel., δοκεῖ reliq. ‖ 2. αὐτῶν. sic dedi. αὐτῶν reliq.

ὀρθῶς γιγνόμενα καὶ κατὰ γνώμην τοῦ σώζοντος καὶ κυβερ-
νῶντος τὸ πᾶν. εἶναι γὰρ ὅμοιον, ὥσπερ ὅταν ἅρματος ἡνίο-
χος τῶν ἵππων τινὰ κολάζῃ χαλινῷ σπάσας ἢ κέντρῳ ἁψά-
μενος· ὁ δ' ἐσκίρτησε καὶ ἐταράχθη παραχρῆμα εἰς δέον
καθιστάμενος. μίαν μὲν οὖν ταύτην ἡνιόχησιν ἰσχυρὰν, οὐχ
51 ὅλου φθειρομένου τοῦ παντός. πάλιν δὲ ἑτέραν τῆς τῶν τετ-
τάρων κινήσεως καὶ μεταβολῆς, ἐν ἀλλήλοις μεταβαλλομένων
καὶ διαλλαττόντων τὰ εἴδη, μέχρις ἂν εἰς μίαν ἅπαντα συν-
έλθῃ φύσιν ἡττηθέντα τοῦ κρείττονος. ὅμως δὲ καὶ ταύτην
τὴν κίνησιν ἡνιοχήσει προσεικάζειν τολμῶσιν ἐλάσει τε ἅρμα-
τος ἀτοπωτέρας δεόμενοι τῆς εἰκόνος· οἷον εἴ τις θαυματο-
ποιὸς ἐκ κηροῦ πλάσας ἵππους, ἔπειτα ἀφαιρῶν καὶ περιξύων
ἀφ' ἑκάστου, προστιθεὶς ἄλλοτε ἄλλῳ, τέλος δὲ ἅπαντας εἰς 452 M.
ἕνα τῶν τεττάρων ἀναλώσας, μίαν μορφὴν ἐξ ἁπάσης τῆς
52 ὕλης ἐργάσοιτο. εἶναί γε μὴν τὸ τοιοῦτο μὴ καθάπερ ἀψύ-
χων πλασμάτων ἔξωθεν τοῦ δημιουργοῦ πραγματευομένου καὶ
μεθιστάντος τὴν ὕλην, αὐτῶν δὲ ἐκείνων γίγνεσθαι τὸ πά-
θος, ὥσπερ ἐν ἀγῶνι μεγάλῳ τε καὶ ἀληθινῷ περὶ νίκης ἐρι-
ζόντων· γίγνεσθαι δὲ τὴν νίκην καὶ τὸν στέφανον ἐξ ἀνάγκης
τοῦ πρώτου καὶ κρατίστου τάχει τε καὶ ἀλκῇ καὶ τῇ ξυμπάσῃ
ἀρετῇ, ὃν εἴπομεν ἐν ἀρχῇ τῶν λόγων ἐξαίρετον εἶναι Διός.
53 τοῦτον γὰρ ἅτε πάντων ἀλκιμώτατον καὶ φύσει διάπυρον
ταχὺ ἀναλώσαντα τοὺς ἄλλους, καθάπερ οἶμαι τῷ ὄντι κηρί-
νους, ἐν οὐ πολλῷ τινι χρόνῳ, δοκοῦντι δὲ ἡμῖν ἀπείρῳ πρὸς
τὸν ἡμέτερον αὐτῶν λογισμὸν, καὶ τὴν οὐσίαν πάντων πᾶσαν
εἰς αὑτὸν ἀναλαβόντα πολὺ κρείττω καὶ λαμπρότερον ὀφθῆ- 98 R II.
ναι τοῦ πρότερον, ὑπ' οὐδενὸς ἄλλου θνητῶν οὐδε ἀθανάτων,
ἀλλ' αὐτὸν ὑφ' αὑτοῦ, νικηφόρον γενόμενον τοῦ μεγίστου
ἀγῶνος. στάντα δὲ ὑψηλὸν καὶ γαῦρον, χαρέντα τῇ νίκῃ,
τόπον τε ὡς πλεῖστον καταλαβεῖν καὶ μείζονος |χώρας δεη-
54 θῆναι τότε ὑπὸ ῥώμης καὶ μένους. κατὰ τοῦτο δὴ γενόμενοι

4. γιγνόμενα. γιγνώμενα M. ‖ καὶ κατά. καὶ in M a corr. add. ‖ 7. καὶ om. M. ‖ 8. οὖν. οὖν λέγουσι Reiskius. fortasse λέγουσι hinc aberravit ad § 49, 7. — 51, 2. καὶ μεταβολῆς. μεταβολὴν Reisk. ‖ ἀλλήλοις. ἄλλοις B. ‖ 3. τὰ εἴδη. ἀειδῆ M. ‖ μέχρις. μέχρι M. ‖ 6. θαυματοποιός. θαυμαστοποιὸς B. ‖ 10. ἐργάσοιτο. malim ἐργάσαιτο. — 52, 4. περὶ M, καὶ περὶ reliq. — 53, 3. ἡμῖν ἀπείρῳ BM, ἀπείρῳ ἡμῖν reliq. ‖ 5. αὑτόν. sic dedi. αὐτὸν reliq. ‖ ὀφθῆναι. φθῆναι M.

τοῦ λόγου δυσωποῦνται τὴν αὐτὴν ἐπονομάζειν τοῦ ζώου
φύσιν. εἶναι γὰρ αὐτὸν ἤδη τηνικάδε ἁπλῶς τὴν τοῦ ἡνιόχου
καὶ δεσπότου ψυχὴν, μᾶλλον δὲ αὐτὸ τὸ φρονοῦν καὶ τὸ
ἡγούμενον αὐτῆς. οὕτως δὴ λέγομεν καὶ ἡμεῖς τιμῶντες καὶ
σεβόμενοι τὸν μέγιστον θεὸν ἔργοις τε ἀγαθοῖς καὶ ῥήμασιν
55 εὐφήμοις. λειφθεὶς γὰρ δὴ μόνος ὁ νοῦς καὶ τόπον ἀμήχανον
ἐμπλήσας αὐτοῦ γε, ἅτε γε πίθος πανταχῇ κεχυμένος, οὐδε-
νὸς ἐν αὐτῷ πυκνοῦ λειφθέντος, ἀλλὰ πάσης ἐπικρατούσης
μανότητος, ὅτε κάλλιστος γίγνεται τὴν καθαρωτάτην λαβὼν
αὐγῆς ἀκηράτου φύσιν, εὐθὺς ἐπόθησε τὸν ἐξ ἀρχῆς βίον.
ἔρωτα δὴ λαβὼν τῆς ἡνιοχήσεως ἐκείνης καὶ ἀρχῆς καὶ ὁμο-
νοίας τόν τε τῶν τριῶν φύσεων καὶ ἡλίου καὶ σελήνης καὶ
τῶν ἄλλων ἄστρων ἁπάντων τε ἁπλῶς ζώων καὶ φυτῶν, ὥρ- 433 M.
μησεν ἐπὶ τὸ γεννᾷν καὶ διανέμειν ἕκαστα καὶ δημιουργεῖν
τὸν ὄντα νῦν κόσμον, ἐξ ἀρχῆς πολὺ κρείττω καὶ λαμπρότε-
56 ρον ἅτε νεώτερον. ἀστράψας δὲ ὅλον οὐκ ἄτακτον οὐδὲ ῥυ-
παρὰν ἀστραπὴν, οἵα ἂν χειμέριος ἐλαυνομένων βιαιότερον
πολλάκις τῶν νεφῶν διῇξεν, ἀλλὰ καθαρὰν καὶ ἀμιγῆ παντὸς
σκοτεινοῦ, μετέβαλε ῥᾳδίως ἅμα τῇ νοήσει. μνησθεὶς δὲ
Ἀφροδίτης καὶ γενέσεως ἐπράϋνε καὶ ἀνῆκεν αὐτὸν, καὶ πολὺ
τοῦ φωτὸς ἀποσβέσας εἰς ἀέρα πυρώδη τρέπεται πυρὸς ἠπίου·
μιχθεὶς δὲ τότε Ἥρᾳ καὶ μεταλαβὼν τοῦ τελειοτάτου λέχους 99 R II.
ἀναπαυσάμενος ἀφίησι τὴν πᾶσαν αὖ τοῦ παντὸς γονήν.
τοῦτον ὑμνοῦσι παῖδες σοφῶν ἐν ἀῤῥήτοις τελεταῖς Ἥρας καὶ
57 Διὸς εὐδαίμονα γάμον. ὑγρὰν δὲ ποιήσας τὴν ὅλην οὐσίαν,
ἓν σπέρμα τοῦ παντὸς, αὐτὸς ἐν τούτῳ διαθέων, καθάπερ ἐν

54, 2. αὐτήν. αὐτῶν M. ‖ 6. θεόν. θεῶν M. — 55, 1. γὰρ δὴ M, γὰρ reliq. ‖ 2. αὐτοῦ γε, ἅτε γε πίθος. αὐτοῦ γ' ἐπειθ' ὡς B, αὐτοῦ γε πίθοις M. obscura et corrupta indicavit Casaubonus, haud iniuria. si πίθος verum est, cavillandi caussa haec adscripta esse videntur. ‖ 4. μανότητος. μανιότητος M. ‖ κάλλιστος BM, κάλλιστον reliq. ‖ 5. αὐγῆς Obs. p. 69, αὐτὸς reliqui. possit etiam φωτός. ‖ 6. δὴ λαβών. δηλαδὴ λαβὼν B. ‖ 7. τόν τε. sic dedi. τήν τε reliq., τῆς τε Geel. — 56, 1. ὅλον. μόνον Reisk., possit πλήν. ‖ ῥυπαράν. λυπρὰν Geel., possit λυγαίαν. ‖ 2. οἵα ἂν χειμέριος Obs. p. 50, οἵαν χειμερίος BM, οἵαν χειμερίοις reliqui, οἵα ἐν χειμερίοις Casaub., οἷαι αἱ χειμέριαι (et διῇξαν) Reisk. ‖ 7. μιχθεὶς BM, καὶ μιχθεὶς reliq. ‖ 8. αὖ τοῦ παντὸς M, τοῦ παντὸς Reisk., αὐτοῦ παντὸς reliq. ‖ 9. σοφῶν BM. Casaub. r, σοφῶς vm. — 57, 2. ἓν σπέρμα. ἐνεὶς (vel ἐνθεὶς) σπέρμα Reiskius. malim ἐνεὶς τὸ σπέρμα. ‖ καθάπερ — ἀπὸ τρόπου. haec Reiskius parenthesi includenda existimat, et προσεοικὸς in proximis scribit.

***γονῇ πνεῦμα τὸ πλάττον καὶ δημιουργοῦν· τότε δὴ μάλιστα
προσεοικὼς τῇ τῶν ἄλλων συστάσει ζώων, καθόσον ἐκ ψυχῆς***
καὶ σώματος συνεστάναι λέγοιτ' ἂν οὐκ ἄπο τρόπου· τὰ
λοιπὰ ἤδη ῥᾳδίως πλάττει καὶ τυποῖ, λείαν καὶ μαλακὴν αὐτῷ
58 περιχέας τὴν οὐσίαν καὶ πᾶσαν εἴκουσαν εὐπετῶς. ἐργασά-
μενος δὲ καὶ τελεώσας ἀπέδειξεν ἐξ ἀρχῆς τὸν ὄντα κόσμον
εὐειδῆ καὶ καλὸν ἀμηχάνως, πολὺ δὴ λαμπρότερον ἢ οἷος
ὁρᾶται νῦν. πάντα γάρ που καὶ τἆλλα ἔργα τῶν δημιουργῶν
ἀπὸ τῆς τέχνης καὶ τῶν χειρῶν παραχρῆμα τοῦ ποιήσαντος
κρείττω καὶ στιλπνότερα. καὶ τῶν φυτῶν τὰ νεώτερα εὐθα-
λέστερα τῶν παλαιῶν ὅσα τε βλαστοῖς ἐοικότα. καὶ μὴν τά
γε ζῷα εὐχάριτα καὶ προσηνῆ ἰδεῖν μετὰ τὴν γένεσιν, οὐ μό-
νον τὰ κάλλιστα αὐτῶν, πῶλοί τε καὶ μόσχοι καὶ σκύλακες, 100 R II.
59 ἀλλὰ καὶ θηρίων σκύμνοι τῶν ἀγριωτάτων. ἡ μὲν γὰρ ἀν-
θρώπου φύσις νηπία τε καὶ ὑδαρής, ὁμοία Δήμητρος ἀτελεῖ
χλόῃ, προελθοῦσα δὲ εἰς τὸ μέτρον ὥρας καὶ νεότητος παντὸς
ἀτεχνῶς φυτοῦ κρεῖττον καὶ ἐπιφανέστερον βλάστημα. ὁ δὴ 454 M.
ξύμπας οὐρανός τε καὶ κόσμος, ὅτε πρῶτον συνετελέσθη κοσ-
μηθεὶς ὑπὸ τῆς σοφωτάτης τε καὶ ἀρίστης τέχνης, ἄρτι τῶν
τοῦ δημιουργοῦ χειρῶν ἀπηλλαγμένος, λαμπρὸς καὶ διαυγὴς
καὶ πᾶσι τοῖς μέρεσι παμφαίνων, νήπιος μὲν οὐδένα χρόνον
ἐγένετο οὐδὲ ἀσθενὴς κατὰ τὴν ἀνθρωπίνην τε καὶ θνητὴν
τῆς φύσεως ἀσθένειαν, νέος δὲ καὶ ἀκμάζων εὐθὺς ἀπὸ τῆς
60 ἀρχῆς. ὅτε δὴ καὶ ὁ δημιουργὸς αὐτοῦ καὶ πατὴρ ἰδὼν ἥσθη
μὲν οὐδαμῶς· ταπεινὸν γὰρ ἐν ταπεινοῖς τοῦτο πάθος· ἐχάρη
δὲ καὶ ἐτέρφθη διαφερόντως

ἥμενος Οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς

τοὺς ἅπαντας ἤδη γεγονότας καὶ παρόντας. τὴν δὲ τότε
μορφὴν τοῦ κόσμου· λέγω δὲ τήν τε ὥραν καὶ τὸ κάλλος
ἀεὶ καλοῦ ὄντος ἀμηχάνως· οὐδεὶς δύναιτ' ἂν ἀνθρώ-

idem fatetur se hunc locum non intelligere. ‖ 5. ἄπο τρόπου B, ἀπὸ τρόπου M. Casaub. r, ἀπότροπον reliq. ‖ 6. ἤδη BM. Reisk., εἴδη reliq. ‖ αὐτῷ. sic dedi. αὐτῷ reliq. — 58, 2. ἀπέδειξεν M, ἐπέδειξεν reliq. ‖ τὸν. τὸν νῦν Geel. ‖ 3. δή. δὲ r, δὲ δὴ Iacobs. ‖ 4. ὁρᾶται. ὁρᾶτε M. ‖ 5. ἀπό. sic dedi. καινὰ ἀπὸ Reisk., τὰ ἀπὸ Geel., καὶ τὰ ἀπὸ reliq. ‖ 7. ὅσα r, ὅλα reliq. ‖ 8. εὐχάριτα M, εὐχάριστα reliq. ‖ ἰδεῖν. δεῖν M. ‖ 10. σκύμνοι BM. Casaub. r, σκύμνος reliq. — 59, 8. νήπιος B. Casaub. r, ῥήπιος M. v, ἤπιος m. — 60, 1. δὴ καὶ ὁ om. M, quod ferri potest, si ὅ τε scribitur.

Digitized by Google

πων διανοηθῆναι καὶ εἰπεῖν ἀξίως, οὔτε τῶν νῦν οὔτε τῶν
πρότερον, εἰ μὴ Μοῦσαί τε καὶ Ἀπόλλων ἐν θείῳ ῥυθμῷ
61 τῆς εἰλικρινοῦς τε καὶ ἄκρας ἁρμονίας. ὅθεν δὴ καὶ ἡμεῖς
ἐάσομεν τὰ νῦν, ὅσον ἡμῖν δυνατὸν ἐπᾶραι τὸν λόγον οὐκ
ὀκνήσαντες. εἰ δὲ ἀτεχνῶς ὑψηλόν τε καὶ ἐξίτηλον ἀπέβη τὸ
τοῦ λόγου σχῆμα· ὥσπερ οἱ δεινοὶ περὶ τοὺς ὄρνιθάς φασι 101 R II
τὸν σφόδρα ἄνω χωρήσαντα καὶ τοῖς νέφεσιν ἐγκρύψαντα
αὑτὸν ἀτελῆ τὴν μαντείαν ποιεῖν· οὐκ ἐμὲ ἄξιον αἰτιᾶσθαι,
τὴν δὲ Βορυσθενιτῶν ἀξίωσιν, ὡς τότε ἐκεῖνοι λέγειν προσ-
έταξαν.

ΛΟΓΟΣ λζ

ΚΟΡΙΝΘΙΑΚΟΣ.

1 Ὅτε τὸ πρῶτον ἐπεδήμησα τῇ πόλει τῇ ὑμετέρᾳ, ἀφ' οὗ
δέκα ἔτη σχεδόν, καὶ τῶν λόγων μετέδωκα, τῷ δήμῳ καὶ 455 M.
τοῖς τέλεσι τοῖς ὑμετέροις ἔδοξα ἐπιτήδειος εἶναι, ἐτιμώμην
οὕτω σφόδρα, ὡς οὐδὲ Ἀρίων ὁ Μηθυμναῖος. Ἀρίονος μέν
γε τύπον οὐκ ἐποιήσασθε. ὅταν δὲ ὑμᾶς λέγω, τοὺς προγό-
νους λέγω τοὺς ὑμετέρους καὶ Περίανδρον τὸν Κυψέλου, τὸν
σοφὸν, ἐφ' οὗ Ἀρίων ἐγένετο, ὃς καὶ διθύραμβον πρῶτος
ἀνθρώπων ἐποίησε καὶ ὠνόμασε καὶ ἐδίδαξεν ἐν Κορίνθῳ.
2 θεοφιλὴς μὲν γὰρ οὕτως ἦν, ὥστε ἀναπλέων ἐνταῦθα μετὰ

10. πρότερον M, προτέρων reliq. ‖ θείῳ. θύω M. — 61, 2. ἐάσομεν. ἐάσωμεν (?) B. ‖ 3. εἰ δὲ BM. Casaub. r, εἴτε vm. ‖ ἐξίτηλον. ἐξήτηλον M. ‖ 4. σχῆμα. ὄχημα Geel. ‖ 5. ἄνω χωρήσαντα M, ἀναχωρήσαντα reliq. ‖ 6. αὑτὸν. αὐτὸν M. ‖ 7. Βορυσθενιτῶν. βωρυσθένει τῶν (pr. man. βωρυσθενειτῶν) M. ‖ ἐκεῖνοι λέγειν M, λέγειν ἐκεῖνοι reliq.

Orat. XXXVII. Collati sunt BM. — 1, 1. πρῶτον. πρότερον M. ‖ ἀφ' οὗ δέκα. ἀφ' ἕνδεκα ἔτη m. ‖ 3. ὑμετέροις. ἡμετέροις B. ‖ ἔδοξα. malim δόξας. conf. Cens. p. 365. ‖ ἐτιμώμην Geel., ἔτι δὲ ὑμῖν reliq. ‖ 4. Ἀρίων. ἀρείων BM. ‖ ὁ Μηθυμναῖος. ΜιθυμναῖοςB. ‖ Ἀρίονος. sic dedi. Ἀρίωνος reliq. ‖ 5. γε BM. r, τε vm. ‖ τύπον. τύπων M. ‖ 7. Ἀρίων. ἀρείων B. ‖ ὃς in M a corr. add., quod potest omitti.

χρημάτων μεγάλων, ὧν ἔτυχεν εἰργασμένος περὶ Τάραντα 102 R II.
καὶ τοὺς ἐκεῖσε Ἕλληνας, μέλλων εἰς τὴν θάλατταν ὑπὸ τῶν
πορθμέων ἐκπεσεῖν δι᾽ αὐτά που ταῦτα τὰ χρήματα, παρη-
τήσατο αὐτοὺς πρὸ τῆς ἐκβολῆς ᾆσαι, ὥσπερ φασὶ τοὺς
κύκνους μέλλοντας ἀποθνήσκειν καὶ προορωμένους τὸν θά-
3 *νατον ἐμβιβάζειν τὴν ψυχὴν οἷον εἰς ὄχημα τὸ μέλος. ὁ μὲν*
δὴ ᾖδε· καὶ γὰρ ἦν νηνεμία καὶ σιγὴ κατὰ θάλατταν· καὶ
τὸ μέλος ᾔσθοντο δελφῖνες, αἰσθανόμενοι δὲ περὶ ναῦν ἦσαν.
παυσαμένου δὲ τοῦ Ἀρίονος καὶ τῶν πορθμέων οὐδὲν μαλα-
κὸν ἐνδιδόντων ὁ μὲν ἔῤῥιψεν εἰς τὸν πόντον, δελφὶς δ᾽ ὑπελ-
θὼν ἐξεκόμισε τὸν ᾠδὸν ἐπὶ Ταίναρον ὡς εἶχε σὺν τῇ σκευῇ.
Ἀρίων μὲν οὖν τοῦτον τὸν τρόπον σωθεὶς καὶ φθάσας τοὺς
πορθμέας ἐν Κορίνθῳ ἦν, αὐτὰ δὴ ταῦτα διηγούμενος τῷ
4 *Περιάνδρῳ. ἐπικαταγομένων δὲ τῶν πορθμέων καὶ τοῦ πρά-*
γματος ἀχθέντος εἰς ἔλεγχον οἱ μὲν ἀπέθνησκον, Ἀρίων δὲ
οὐ γὰρ Περίανδρος, ἀλλ᾽ Ἀρίων· ποιησάμενος μίμημα χαλ-
κοῦν οὐ μέγα ἀνέθηκεν ἐπὶ Ταινάρου, αὐτὸν ἐπὶ τοῦ εὐεργέ-
του καθήμενον. ἐγένετο δὲ ὑπὸ τὸν αὐτὸν τοῦτον χρόνον
καὶ Σόλων μὲν ἐν Κορίνθῳ, φεύγων τὴν Πεισιστράτου τυραν-
5 *νίδα, οὐ φεύγων δὲ τὴν Περιάνδρου. οὐ γὰρ ἦν ὅμοιον. ὁ*
μὲν καταλύσας τὴν δημοκρατίαν ἐτυράννευε τῶν Ἀθηναίων,
Περίανδρος δὲ παρὰ τοῦ πατρὸς διαδεξάμενος τὴν βασιλείαν,
ὃν οἱ μὲν Ἕλληνες τύραννον ἐκάλουν, οἱ δὲ θεοὶ βασιλέα. ἦ
γὰρ οὐχ οὕτως ὁ χρησμὸς ἔχει;

ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον εἰσαφικάνει 103 R II. 456 M.
Κύψελος Ἠετίδης, βασιλεὺς κλειτοῖο Κορίνθου,
αὐτὸς καὶ παῖδες.

6 *ὧν εἷς αὐτὸς ὁ Περίανδρος ὁ τῷ πατρὶ ἐκδεξάμενος. οὕτω*

3. *θάλατταν. θάλασσαν* M. ‖ 4. *παρητήσατο. παραιτήσατο* M. ‖ 7. *τὴν ψυχὴν* M. Reisk., *τῇ ψυχῇ* reliq. ‖ *οἷον εἰς. οἷον εἰ* B. — 3, 2. *νηνεμία. μνηνεμία* m. ‖ *σιγή. σειγή* M. ‖ 3. *τὸ μέλος. τὸ μέρος* M. ‖ 4. *Ἀρίονος.* sic dedi. *Ἀρίωνος* reliq. ‖ *πορθμέων. πορθμείων* M. ‖ *μαλακὸν* M. Iacobs. Add. p. 329, sed retractatum in Indice s. v. *ἐνδιδόναι*, *μᾶλλον* reliq. ‖ 7. *Ἀρίων. ἀρείων* M. ‖ 8. *δή. δὲ* M. — 4, 3. *ἀλλ᾽ Ἀρίων. ἀλλ᾽ ἀρείων* M. ‖ *χαλκοῦν* BM, *χαλκοῦ* reliq. ‖ 4. *αὐτόν.* sic dedi. *καὶ αὐτὸν* M, *καὶ αὐτὸν* reliqui, unde Reiskius post v. *Ταινάρου* supplebat *τὸν δελφῖνα.* ‖ 6. *μὲν* delet Reiskius. at huic respondere *ἧκε δὲ καὶ* § 7. vidit Iacobs. ‖ *Πεισιστράτου. πισιστράτου* M. ‖ 7. *οὐ φεύγων δὲ τὴν Περιάνδρου* om. M. — 5, 4. *ἦ γάρ.* sic dedi. *ἢ γὰρ* reliq. ‖ 6. *εἰσαφικάνει. ἐσκαταβαίνει* Herodt. V, 29. ‖ 7. *Ἠετίδης. μετίδη* M. ‖ *κλειτοῖο. κλειτοῖς* B. ‖ 9. *αὐτὸς* M, *οὗτος* reliq. ‖ *τῷ πατρὶ* BM, *τὸν πατέρα* reliq. ‖

δὴ Περίανδρος ὑπὸ μὲν τοῦ θεοῦ βασιλεύς, ὑπὸ δὲ τῶν Ἑλ-
λήνων ἀνηγορεύθη σοφός, οὗ μεῖζον ὄνομα οὐδεὶς πώποτε
βασιλεὺς ἢ τύραννος ἐκτήσατο· ἀλλ' οὐδ' Ἀντίοχος ὁ θεὸς
ἐπικληθεὶς οὐδὲ Μιθριδάτης ὁ Διόνυσος. ηὔξατο δ' ἂν καὶ
Πιττακὸς Μυτιληναῖος ἅμα ἄμφω κεκλῆσθαι, καὶ τύραννος
καὶ σοφός· νυνὶ δὲ περιεχόμενος τοῦ δευτέρου ὀνόματος ἀπε-
σκευάσατο τὴν τυραννίδα. Περίανδρος σοφὸς μὲν ἦν μετ'
ὀλίγων, τύραννος δὲ μετὰ πολλῶν· ἀμφότερα δὲ καὶ τύραννος
7 καὶ σοφὸς μόνος. παρὰ τοῦτον ὁ Σόλων ἐλθὼν καὶ τυχὼν
τῶν κοινῶν· κοινὰ γὰρ τὰ φίλων· ἀλλ' ὅμως ἀνδριάντος οὐκ
ἔτυχεν· οὐ δήπου καταφρονῶν ἀνδριάντος, ἀλλὰ καὶ τὸ ἐν
Σαλαμῖνι χαλκοῦς ἑστάναι μέγα ποιούμενος· πόθεν γε δὴ
οὐχὶ ἐν Κορίνθῳ, ἐν τῷ περιπάτῳ τῆς Ἑλλάδος; ἧκε δὲ καὶ
Ἡρόδοτος ὁ λογοποιὸς ὡς ὑμᾶς λόγους φέρων Ἑλληνικοὺς
ἄλλους τε καὶ Κορινθίους οὐδέπω ψευδεῖς, ἀνθ' ὧν ἠξίου
παρὰ τῆς πόλεως μισθὸν ἄρνυσθαι. διαμαρτὼν δὲ καὶ τού-
του· οὐ γὰρ ἠξίουν οἱ ὑμέτεροι πρόγονοι δόξαν ἀγοράζειν·
μετεσκεύασεν ἐκεῖνα, ἃ πάντες ἐπιστάμεθα, τὰ περὶ τὴν Σα- 104 R II
8 λαμῖνα καὶ τὸν Ἀδείμαντον. ἡμᾶς δὲ δὶς ἐπιδημήσαντας οὕ-
τως ἀσμένως ἐπείδετε, ὥστε μάλιστα μὲν ἐπειρᾶσθε κατέχειν,
ὁρῶντες δὲ ἀδύνατον ὄν, ἀλλά γε τὴν εἰκὼ τοῦ σώματος
ἐποιήσασθε καὶ ταύτην φέροντες ἀνεθήκατε εἰς τὰ βιβλία,
ὡς προεδρίαν, οὗ μάλιστ' ἂν ᾤεσθε τοὺς νέους προκαλέσα-
σθαι τῶν αὐτῶν ἡμῖν ἐπιτηδευμάτων ἔχεσθαι. οὐ γὰρ ὡς 105 R II
ἕνα τῶν πολλῶν καὶ κατ' ἐνιαυτὸν καταιρόντων εἰς Κεγχρέας,

ἐκδεξάμενος. ἐκλεξάμενος M. — 6, 5. οὐδὲ. sic dedi. οὔτε reliq. ‖ δ' ἂν BM, δὲ reliq. ‖ 6. Μυτιληναῖος M, ὁ Μιτυληναῖος Reisk., Μιτυληναῖος reliq. ‖ 8. Περίανδρος. καὶ Περίανδρος BM (sed καὶ a corr.), Περίανδρος δὲ Reiskius (vel οὕτω δὴ Περίανδρος). ‖ 9. ὀλίγων. ὀλίγον B. — 7, 1. ἐλθὼν BM, ἀνελθὼν reliq. ‖ 2. τὰ BM, τὰ τῶν reliq. ‖ 3. καὶ τὸ. καίτοι BM. m. ‖ 8. καὶ τούτου. καὶ delet Reisk. — 8, 1. δίς. δὴ Casaub., δεῦρο Iacobs. Add. p. 77. ‖ 2. ἐπείδετε Reisk., ἐπειδή γε reliqui, unde post v. ἀσμένως Casaubonus supplebat ὑπεδέξασθε, Seldenus ἐπεδέξασθε. totum locum sic scribit Pflugkius: ἀσμένως ὑπεδέξασθε, ὥστε μάλιστα μὲν — ἀλλ' οὖν τὴν cett. ‖ ὥστε μάλιστα μὲν Progr. p. 14, ὡς ἂν μάλιστά με reliqui, unde οὕτω μάλιστα ἂν Reisk., ὥστε μάλιστά με Iacobs. ‖ ἐπειρᾶσθε. ἐπειρᾶσθαι M. ‖ 3. ἀλλά γε τὴν Selden., ἀλλὰ καὶ τὴν reliqui, unde ἀλλὰ κἂν τὴν Casaub., ἅμα καὶ τὴν Reisk., ἀλλὰ καλήν γε Iacobs. Add. p. 77 (nunc ἀλλὰ γοῦν τήν). ‖ 5. ὡς vm, εἰς BM, ὡς ἐς Casaub. (idem ὡς δόντες). r, ὡς πρόεδρον Selden. ‖ προκαλέσασθαι. προκαλέσεσθαι Casaub. ‖ 6. ἡμῖν BM. Casaub. r, ὑμῖν vm. ‖ 7. Κεγχρέας. Κεγχρείας B.

ἔμπορον ἢ θεωρὸν ἢ πρεσβευτὴν ἢ διερχόμενον, ἀλλ' ὡς μόλις διὰ μακρῶν χρόνων ἀγαπητὸν ἐπιφαινόμενον, οὕτως ἐτιμήσατε.

9 τιμὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται. 457 M.

ὥστε ἐμὲ ἐν ἀπόρῳ καθεστάναι καὶ πρὸς ἐμαυτὸν καὶ νὴ Δία ἤδη πρὸς ἕτερον, πότερ' ὡς ἀληθῶς οὐκ ἔβλεπον οὐδὲ ὕπαρ, ἀλλὰ ὄναρ ἦν τὰ γιγνόμενα, ἢ τὰ μὲν ἦν ταῦτα ταῖς πάσαις ἀκριβείαις, σπουδή τε τοῦ πλήθους καὶ κρίσις τῆς βουλῆς, ὁ δ' ἀνδριὰς τῶν Δαιδάλου ποιημάτων ἔτυχεν ὢν καὶ λαθὼν
10 ἡμᾶς ἀπέδρα. ἀλλ' ἀφ' οὗ Δαίδαλος ἐτελεύτησεν, οὐδεὶς εἰς ταύτην τὴν ἡμέραν ἐξίκετο τῆς τέχνης μέχρι τοῦ καὶ δρασμὸν ἐμποιεῖν τῷ χαλκῷ· ἀλλὰ διαβεβηκότας μὲν εὖ καὶ καλῶς ποιοῦσι, τοὺς δὲ καὶ ἐφ' ἵππων ὀχουμένους· μένουσι μέντοι οὗτοι πάντες κατὰ σχῆμα καὶ κατὰ χώραν, κἂν μή τις αὐτοὺς μετακινήσῃ, τό γε ἐπ' αὐτοῖς εἶναι χαλκὸς ἄδραστος, 106 R II.
ἂν καὶ πτερὰ ἔχῃ, ὥσπερ καὶ ὁ τοῦ Πυθαγόρου Περσεύς.
11 ἵνα δὲ καὶ τῆς ἀρχαίας τέχνης ᾖ τῆς Δαιδαλείου, τί μαθὼν ἂν ὑμῶν ἀπηλλάγη τῆς πόλεως, ὑπὲρ ἧς τοὺς δύο θεούς φασιν ἐρίσαι, Ποσειδῶνα καὶ τὸν Ἥλιον, τὸν μὲν τοῦ πυρὸς κύριον, τὸν δὲ τοῦ ὕδατος; ἐρίσαντε δὲ καὶ τὴν δίαιταν ἐπιτρέψαντε τρίτῳ θεῷ πρεσβυτέρῳ, οὗ

πλεῖσται μὲν κεφαλαί, πλεῖσται δέ τε χεῖρες,

τοῦ Βριάρεω, τούτῳ τὴν δίαιταν ἐπιτρέψαντες ἀμφότεροι τήνδε τὴν πόλιν τε καὶ τὴν χώραν ἔχουσιν, οὔ τί που μικρὸν
12 οὐδ' ἀμυδρὸν σημεῖον τῆς πρὸς τὰς ἄλλας ὑπεροχῆς. αἱ μὲν γὰρ ἄλλαι λήξεις τε καὶ κτήσεις τῶν θεῶν κατὰ μόνας εἰσίν· Ἄργος μὲν Ἥρας, Ἀθηνᾶς δὲ Ἀθῆναι, καὶ αὐτῶν γε τούτων

8. ἀλλ' ὡς Casaub., ἄλλως reliqui. malim cum Reiskio ἄλλως, ἀλλ' ὡς. ‖ 9. ἐπιφαινόμενον. ἐπιφερόμενον (superscr. vulg.) M. — 9, 1. ὄνειρος. ὄνιρος M. ‖ 4. γιγνόμενα. γενόμενα M. ‖ ταῦτα M. Reisk., ταὐτὰ reliq. ‖ 5. τε τοῦ Reisk., τέ τις reliq. ‖ 7. ἡμᾶς BM, ὑμᾶς reliq. — 10, 2. ἐξίκετο. ἐξέκετο M. ‖ μέχρι τοῦ. μέχρι οὗ M. ‖ 4. μέντοι οὗτοι Selden. r, μὲν οὗτοι B, μὲν τοιοῦτοι reliq. ‖ 5. καὶ κατά. κατὰ om. BM. ‖ 6. μετακινήσῃ. μετακινήσει M. ‖ εἶναι Selden., εἴη reliqui, εἴη ἂν Reisk. — 11, 1. ᾖ. ἦν B, ἦν M. ‖ Δαιδαλείου. δαιδαλίου M. ‖ μαθὼν M (superscr. παθὼν), παθὼν reliq. ‖ 2. ἀπηλλάγη Casaub. r, ἀπηλλάττη M, ἀπηλλάγην B. vm. ‖ 3. Ποσειδῶνα. ποσιδῶνα M. ‖ καὶ τὸν. τὸν malim abesse. ‖ 4. ἐπιτρέψαντε. ἐπίτρεψαν τὲ M. ‖ 6. δέ τε M, δὲ reliq. ‖ 7. τοῦ Βριάρεω. τοῦ βριάρεων v, om. B, καλοῦσιν οἶμαι βριάρεων Reisk. ‖ 8. τε καί. τε om. M. — 12, 3. τούτων τῶν. τῶν om. m.

γὰρ εἶναι καὶ τοῦ σώματος ἀπηλλάχθαι. χαιρέτω δ' ὁ Δαίδαλος καὶ τὰ Δαιδάλου μιμηλὰ τεχνήματα· ἄδην Προμηθέως, ἄδην πηλοῦ. καίτοι καὶ τὸ σῶμα τῶν γενναίων φασὶν ἀλλότριον εἶναι,

ἐπειὴ μάλα πολλὰ μεταξὺ
σώματός τε καὶ ψυχῆς.

ὃς μὲν γὰρ οὐκ ἔστιν οὐδὲ φροντίζει τοῦ σώματος κάμνοντος. ἐμαίνετο Καμβύσης, Ἄμασιν, τὸν Αἰγυπτίων βασιλέα, τὸν νεκρὸν αὐτοῦ, κεντῶν τε καὶ μαστιγῶν. Αἰγύπτιοι μὲν γὰρ λέγουσιν Ἄμασιν ἐκ πλέονος ὑφορώμενον τὴν Καμβύσου χαλεπότητα τὸν μὲν αὐτοῦ νεκρὸν 135 R II *ἀποκρύψαι, ἄλλον δ' ἀντ' αὐτοῦ ὑποβαλεῖν, καὶ τοῦτον εἶναι*
45 *τὸν Καμβύσῃ περιπεσόντα. ἀλλ' ὦ Αἰγύπτιοί τε καὶ Καμβύσῃ, εἴτε ἄλλος τις ἦν ὁ ταῦτα παθὼν εἴτε αὐτὸς Ἄμασις* 467 M *ἦν, τύπος ἦν ἄναιμος, ἄσαρκος, ἄψυχος. τοῦτον, εἴ σοι φίλον, ἕλκε καὶ σπάραττε καὶ κέντρου, Ἄμασιν δὲ οὐ κατείληφας. ἕτερος δέ τις ζῶν, ἐμπνέων, αἰσθανόμενος· πτίσσε, πτίσσ', ἔφη, τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ πτίσσεις. οὗτος γὰρ ἁνὴρ ἐμπεσὼν μὲν εἰς ὅλμον, τυπτόμενος δὲ τοῖς ὑπέροις, αὐτὸς οὐκ ἔφη πτίσσεσθαι, ἀλλὰ τῶν αὐτοῦ ὅπερ ἔτυχε περικείμενος· ὥσπερ φασὶ Περσῶν τοὺς ὁμοτίμους λαμβάνειν πληγάς, ἀντὶ τοῦ σώματος τὸν κάνδυν.*
46 *Πέρσαι μὲν οὖν ἐπὶ τοσοῦτο δυσφοροῦσιν, Ἕλλην δ' ἀνὴρ παρεῖχε τύπτειν τὸ σῶμα ὡς κάνδυν· ἡμεῖς δ' οὐ παρέχωμεν*

44, 2. *εἶναι* defendit Geelius ut dictum Agesilai, *εἴη* Reiskius. possit *ἦν*. ‖ 3. *μιμηλά*. *μειμηλὰ* M. ‖ *Προμηθέως* BM, *Προμηθέος* reliq. ‖ 4. *ἄδην πηλοῦ* immerito suspecta Reiskio. ‖ *φασὶν* M. Reisk., *τίς φησιν* Morell., *φησὶν* reliq. ‖ 6. *ἐπειὴ*. *ἐπεὶ ἢ* B. ‖ 7. *ὃς μὲν* Geelius, *ὁ μὲν* reliqui, at in M *ὁ* in litura est. *ἡ μὲν* Selden., *ὁ μὲν γὰρ νοῦς* Reiskius. possit *ὁμόθεν*. ‖ *ἔστιν*. *ᾔσθετ'* Selden., *αἰσθάνεται* Reisk. ‖ 8. *Ἄμασιν*. *ὡς Ἄμασιν* Seldenus non sine veri specie. ‖ 9. *βασιλέα*. post hoc v. Reiskius addit *οἰόμενος ὑβρίζειν* (vel *αἰκίζεσθαι*). ‖ 11. *αὐτοῦ νεκρὸν*. sic dedi. *αὐτοῦ νεκρὸν* BM, *νεκρὸν αὐτοῦ* reliq. ‖ 12. *ὑποβαλεῖν* BM. Selden. r, *ὑπολαβεῖν* vm. — 45, 1. *Καμβύσῃ* BM, *Καμβύσης* reliq. ‖ 4. *κέντρου*. *κέντει* Reisk., *κέντου* Wessel. ad Herodt. III, 16. ‖ 5. *πτίσσε*. *πτῆσσε* B. ‖ 6. *πτίσσ'*. *πτίς* M, *πτῆσσε* B. ‖ *γὰρ* om. M. ‖ 7. *ἁνήρ*. sic dedi. *ἀνὴρ* reliq. ‖ 8. *πτίσσεσθαι*. *πτήσσεσθαι* B. ‖ *τῶν αὐτοῦ* M (nisi quod *αὐτοῦ*). Obs. p. 51, *τὸν αὐτοῦ* reliq., *τὸ αὐτοῦ* Iacobs. Add. p. 154, *τὸν αὐτοῦ θύλακον* Reisk., *τὸν ἀσκὸν* (et *ὅνπερ*) Hemsterh. ‖ 10. *τὸν κάνδυν*. *εἰς τὸν κάνδυν* Reisk. — 46, 1. *τοσοῦτο*. *τοσούτῳ* BM. ‖ 2. *κάνδυν* Reisk., *κάνδυν ὡς ἱμάτιον* reliq. ‖ *δ' οὐ*. *δ' οὖν* Reisk. ‖ *παρέχωμεν*. sic dedi. *παρέχομεν* reliq.

Ἀργὼ τὸ σκάφος εἰμὶ, θεῷ δ' ἀνέθηκεν Ἰάσων,
Ἴσθμια καὶ Νεμέοις στεψάμενον πίτυσιν.

ὅπου δὲ θεοὶ ἀγωνοθετοῦσιν, ἡμίθεοι δὲ νικῶσι καὶ νικῶν-
ται, ἀναπαύεται δὲ Ἀργὼ, τίνα τούτου τόπον καλλίω ἐξευ-
ρεῖν ἐδύνατο αὐτὸς ὁ Δαίδαλος πτεροῖς πετόμενος, οὐχ ὅτι γε
16 δὴ τὸ Δαιδάλου ποίημα; ἀλλ' οὔτε ἀπέδρα οὔτε ἐπεχείρησεν
οὔθ' ὅλως ἐμέλλησε· καταλείπεται τοίνυν αὐτοὺς τοὺς Κοριν- 108 R II.
θίους ἐκβαλεῖν αὐτὸν μήτε κρίσεως προτεθείσης μήθ' ὅλως
αἰτίαν ἔχοντας ἐπενεγκεῖν. καὶ τοῦτο ἐπείσθη τις κατὰ Κο-
ρινθίων, ὧν οἱ πρόγονοι διὰ πάντων Ἑλλήνων μάλιστα δὴ 459 M.
δικαιοσύνην ἐπήσκησαν; ἢ γὰρ οὐχ οὗτοί εἰσιν οἱ τὰς τυραν-
νίδας ἐν ταῖς πόλεσι καταλύοντες καὶ τὰς δημοκρατίας καθι-
στάντες καὶ τὰς Ἀθήνας ἀπὸ τῶν τυράννων ἐλευθερώσαν-
τες, πρότερον μὲν ἀπὸ Ἱππίου, ὕστερον δὲ ἀπὸ Κλεομένους·
17 καὶ μετὰ ταῦτα ὡς αὐτοὶ Ἀθηναῖοι πρᾶγμα ποιεῖν ἐπεχείρουν
Ἱππίου καὶ Ἰσαγόρου καὶ τυραννίδα τῆς Ἑλλάδος καθίστα-
σθαι, πρῶτοι μὲν αἰσθόμενοι, μάλιστα δὲ ἀλγήσαντες, ἡγε-
μόνες τοῖς ἄλλοις τῆς ἐλευθερίας καταστάντες; καὶ ταύτην
τὴν διάνοιαν οὐ μόνον ἐπὶ τῶν Ἀθηναίων, ἀλλὰ καὶ ἐπὶ τῶν
Λακεδαιμονίων διαφυλάξαντες, καὶ Λακεδαιμονίοις ὑπὲρ τῶν
κοινῶν δικαίων τῆς Ἑλλάδος μετὰ τῆς Θηβαίων καὶ Ἠλείων
πόλεως ἀντέβησαν· ᾧ καὶ διέδειξαν οὐ φιλολάκωνες ὄντες,
ἀλλ' ἁπλῶς φιλέλληνες καὶ φιλοδίκαιοι καὶ φιλελεύθεροι καὶ 109 R II.
18 μισοπόνηροι καὶ μισοτύραννοι. μισοβάρβαροι μὲν γὰρ οὕτως
ἦσαν, ὥστε εἰς Θερμοπύλας τετρακοσίους σφῶν αὐτῶν ἀπέ-
στειλαν, ὅτεπερ καὶ Λακεδαιμόνιοι τετρακοσίους. ἐν Σαλα-
μῖνι δὲ ἠρίστευσαν καὶ τῆς νίκης αἴτιοι κατέστησαν. Ἡρο-
δότῳ γὰρ οὐ προσέχω, ἀλλὰ τῷ τάφῳ καὶ τῷ Σιμωνίδῃ, ὃς

5. δ' ἀνέθηκεν. δ' ἐμὲ θῆκεν (mrg. vulg.) M. ‖ 6. πίτυσιν. ἐπητύσιν M. — 16, 2. ἐμέλλησε M. r, ἐμέλησε B. vm. ‖ καταλείπεται. καταλίπεται M. ‖ 3. ἐκβαλεῖν. ἐμβαλεῖν M. ‖ μήθ' BM. r, μηδ' vm. ‖ 4. ἔχοντας. ἔχοντος BM. ‖ καὶ τοῦτο. καίτοι τοῦτο Selden. ‖ ἐπείσθη τις. ἐπείσθει τις M, ἐπείσθη τις ἂν Selden. ‖ κατά. τῶν Casaub. ‖ 5. διὰ πάντων. δὴ ἁπάντων (vel ἰδίᾳ πάντων) Casaub., διὰ παντὸς Selden. ‖ 6. ἢ γὰρ Progr. p. 17, ἡ γὰρ M, ἦ γὰρ reliq. — 17, 1. αὐτοὶ Ἀθηναῖοι BM, Ἀθηναῖοι om. reliq. ‖ 2. Ἰσαγόρου. εἰσαγόρου M. ‖ 4. ταύτην τήν. τὴν om. M. ‖ 6. Λακεδαιμονίοις BM. r ex Interpr., Λακεδαιμονίους vm. ‖ 8. φιλολάκωνες ὄντες Selden. r, φιλοκάλως ἔχοντες reliq. — 18, 1. γὰρ om. M. ‖ 3. ὅτεπερ καὶ B. Casaub. r, ὅτε παρὰ καὶ M, ὅτε παρὰ περ καὶ vm, ὅτε καὶ et ὅτε παράπαν mrg. m.

ἐπέγραψεν ἐπὶ τοῖς νεκροῖς τῶν Κορινθίων τεθαμμένοις ἐν Σαλαμῖνι·

ὦ ξεῖν', εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς.
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδ' ἱδρυσάμεθα.

19 *ἔστι δὲ καὶ ἕτερον ἐπίγραμμα Σιμωνίδῃ εἰς αὐτὸν τὸν στρατηγὸν ἐξαίρετον·*

οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

ἠλευθέρωσαν δὲ καὶ τὴν Σικελίαν ἀπὸ τῶν βαρβάρων καὶ [110 R II, 450 M]
τὰς Συρακούσας δὲ ἀπὸ τῶν τυράννων. ἦν δ' ἰδεῖν Διονύ-
σιον ἐν Κορίνθῳ, θέαμα κάλλιστον, οὐδενὸς κύριον· ἀλλ'
ὅμως οὐδὲ τοῦτον οὐδεὶς ἠδίκει οὐδὲ ἐξέβαλλεν οὐδὲ ἐξή-
20 *λαυνε τῶν ἐκ Σικελίας. τὸ δ' ἀνάθημα τῆς πόλεως τίς*
ἀνέτρεψεν; εἰ μὲν οὖν στρόβιλος ἢ πρηστὴρ ἢ σκηπτὸς ἐμπε-
σὼν, σείων καὶ κεραυνὸν ἰθύνων. εἰ δ' ἔστι τις κρίσις
ἀνδριάντος, οἵαν φασὶν ἐν Συρακούσαις γενέσθαι· ὃν δὲ
τρόπον, οὐκ ὀκνήσω ἐπεμβαλόμενος διηγήσασθαι· Συρακου-
σίους, τοὺς ἀποίκους τοὺς ὑμετέρους, ἐν πολλοῖς πολέμοις 111 R II
πρὸς Καρχηδονίους καὶ τοὺς ἄλλους βαρβάρους τοὺς τὴν

6. *τεθαμμένοις* BM. Obs. p. 50, *τεθναμένοις* reliq. ‖ 8. *ὦ ξεῖν'* Brunck., *ὦ ξεῖνε* M ut videtur (*ὦ ξένε* corr.), *ὦ ξένε* reliqui. conf. Schneidewini mei Simon. p. 153 et Delect. p. 408, qui *ὦ ξένε* servat. ‖ 9. *δ' ἄμμ'* Valcken., *δὲ μετ'* reliqui. conf. Plut. Morall. II, 870 b. ‖ *ἔχει. ἔχε* (superscr. *ἔχει*) M. ‖ 10. *νῆας* B. r, *ναῦς* reliqui, unde Casaub. in proximis *ἀνελόντες* vel *καθελόντες*, *ἐλάσαντες* Selden. ‖ 11. *Ἑλλάδ' ἱδρυσάμεθα. ἑλλάδι δρυσάμεθα* v, *Ἑλλάδ' ἐρυσάμεθα* Reisk., *Ἑλλάδα ῥυόμεθα* Plut. l. l. — 19, 3. *βουλὰς* BM. m, *διαβολὰς* v, *διὰ βουλᾶς* r, *διὰ βωλὰς* Reiskius. Plut. de Herodt. Malign. p. 870 d. *ὃν διὰ πᾶσα*, quod probavit Schneidew. l. l. ‖ 6. *Συρακούσας. Συρακούσσας* BM. ‖ *ἀπὸ τῶν. τῶν* om. M. ‖ 7. *ἐν* M, *μὲν ἐν* reliq. ‖ 8. *τοῦτον* BM. Casaub., *τούτου* v, *τούτων* mr, unde Iacobsius pro *οὐδεὶς* substituit *οὐδεὶς εἰκῶ*. ‖ *ἐξέβαλλεν* BM. Obs. p. 18, *ἐξέβαλεν* reliq. ‖ *οὐδὲ ἐξήλαυνε. οὐδ' ἐξήλαυνε* M, Reiskius delet ut interpretamentum v. *ἐξέβαλλεν*, *οὐδὲ ἐξήτει αὖ* Selden., *οὐδὲ* (om. *ἐξήλαυνε*) Progr. p. 18. ‖ 9. *τῶν. τοὺς ἀνδριάντας* Reisk., *τὸν* Geelius reliquis servatis. possit *πλὴν*, si cum Reiskio v. *οὐδὲ ἐξήλαυνε* deleamus. — 20, 2. *στρόβιλος. στρόφιλος* M. ‖ 3. *σείων καὶ κεραυνὸν ἰθύνων. σείων καὶ κεραυνὸν εἰθύνων* M, *σείων καὶ κεραυνῶν*, *ἀνεύθυνον* vel *θεῖον καὶ πέραν εὐθυνῶν* Progr. p. 19, *θεῖον καὶ κεραυνὸν ἰθύνων* Reisk., *σεισμῶν καὶ κεραυνῶν εὐθύνῃ* Iacobs. ‖ 4. *Συρακούσαις. συρακούσσαις* M. ‖ 5. *ἐπεμβαλόμενος* M, *ἐπεμβαλλόμενος* reliq. ‖ 6. *πολλοῖς πολέμοις. πολέμοις πολλοῖς* B.

Σικελίαν καὶ τὴν Ἰταλίαν κατοικοῦντας ὁ χαλκὸς ἐπιλελοίπει
21 καὶ τὸ νόμισμα· ἐψηφίσαντο οὖν τοὺς τῶν τυράννων ἀν-
δριάντας· οἱ δὲ πολλοὶ ἦσαν παρ' αὐτοῖς χαλκοῦ πεποιημένοι·
συγκόψαι κρίσιν γε ἐν αὐτοῖς ποιήσαντες, ὅστις ἄξιος αὐτῶν
καταχωνευθῆναι καὶ ὅστις οὔ· καὶ περιγίγνεται τῇ δίκῃ, ἵνα
καὶ τοῦτο ἀκούσητε, Γέλων ὁ Δεινομένους, οἱ δ' ἄλλοι πάντες
κατεκόπησαν πλὴν ἄρα Διονυσίου τοῦ πρεσβυτέρου τῶν τὸ
22 σχῆμα τοῦ Διονύσου περικειμένων. εἰ δὲ γένοιτο καὶ παρ'
ὑμῖν ψήφισμά τι τοιοῦτον, ἀνδριάντων εὐθύνας εἶναι, μᾶλ-
λον δ' εἰ θέλετε καθάπερ ἐψηφισμένοι τοῦτο καὶ τοῦ ἀγῶνος
ἐνεστηκότος, δότε μοι, δότε τοὺς λόγους ὑπὲρ αὐτοῦ πρὸς 112 R II.
ὑμᾶς οἷον ἐν δικαστηρίῳ ποιήσασθαι. ἄνδρες δικασταί,
ἅπαντά φασι δεῖν προσδοκᾶν ἐν τῷ μακρῷ χρόνῳ· οὗτος δ'
ἐν τῷ βραχεῖ κινδυνεύει τεθῆναι μὲν ὡς ἄριστος Ἑλλήνων,
23 ἐκπεσεῖν δ' ὡς πονηρότατος. ὅτι μὲν οὖν καλῶς καὶ δικαίως
καὶ συμφερόντως τῇ πόλει τῇ ὑμετέρᾳ καὶ πᾶσι τοῖς Ἕλλησιν
ἐστάθη, πολλὰ ἔχων εἰπεῖν ἓν ὑμῖν βούλομαι διηγήσασθαι
γενόμενον ἐν ταῖς αὐταῖς Συρακούσαις. καὶ γὰρ οἰκεῖον τὸ
παράδειγμα καὶ δίκαιον ἴσως ἐστὶν, ὥσπερ ἐκεῖνοι τιμῶσι τὴν
μητρόπολιν, οὕτω καὶ ὑμᾶς τὰ τῆς ἀποικίας τῆς ὑμετέρας
24 ἔργα, ἃ καλῶς ἔχει, μιμεῖσθαι. ἐκεῖνοι τοίνυν κατὰ τοὺς 461 M.
ἀρχαίους ἐκείνους χρόνους Λευκανόν τινα ἄνθρωπον, ὅτι
πρεσβείαν τινὰ εἰς τὸν δῆμον ἀπήγγειλε Δωριστὶ, ἡσθέντες
αὐτοῦ τῇ φωνῇ τά τε ἄλλα ὑπὲρ ὧν ἧκεν οὐκ ἄπρακτον
ἀπεπέμψαντο καὶ ταλάντῳ ἐδωρήσαντο καὶ τὴν εἰκόνα τοῦ
σώματος ἐστήσαντο, παρὰ τῶν ἀστυγειτόνων καὶ τῶν ἐκείνῃ 113 R II.
Δωριέων, τῶν τε ἄλλων καὶ τῶν τὴν Ἰταλίαν κατοικούντων,
ὡς εὖ τὸν ἄνδρα καὶ φιλοκάλως ἀμειψάμενοι ὑπὲρ τοῦ γένους
τοῦ Δωρικοῦ, οὗ τὴν φωνὴν ἐπησκήκει ἄχρι τοῦ καὶ λέγειν

21, 1. ἐψηφίσαντο. ἐψηφίσαιτο m. ‖ 3. γε. γε μὴν Reisk. ‖ αὑτοῖς Reisk., αὐτοῖς reliq. ‖ 4. περιγίγνεται. περιγίνεται M. ‖ 6. Διονυσίου. Διονύσου r. ‖ 7. Διονύσου Casaub. r, Διονυσίου reliq. — 22, 1. εἰ δὲ. εἴθε Casaub. ‖ 2. ὑμῖν. ἡμῖν BM. ‖ 3. ἐψηφισμένοι Progr. p. 19, ἐψηφισμένον reliq. ‖ τοῦτο καὶ τοῦ. sic dedi. καὶ τοῦτο καὶ BM. v, καὶ τοῦτον καὶ mr. ‖ 6. ἅπαντα BM. Casaub. r, ἅπαντας vm, ἅπαντας ἅπαντα Reisk. — 23, 3. ἐστάθη. sic dedi. ἐστάθην reliq. ‖ 4. Συρακούσαις. συρακούσσαις BM. ‖ 7. ἃ καλῶς Reisk. (idem ὅσα γε καλῶς), ἃ om. reliq. — 24, 6. ἐστήσαντο. post hoc v. ἐπαίνου τυχόντες supplet Casaubonus, nec dubitari potest excidisse aliquid huiusmodi. ἐπαίνου τυχόντες διὰ τοῦτο Reisk., παρασχόντων pro παρὰ τῶν Selden. ‖ καὶ τῶν ἐκείνῃ. καὶ om. B.

25 *δυνατὸς εἶναι. εἰ δέ τις οὐ Λευκανὸς ὤν, ἀλλὰ Ῥωμαῖος,*
οὐδὲ τοῦ πλήθους, ἀλλὰ τῶν ἱπποτρόφων, οὐδὲ τὴν φωνὴν
μόνον, ἀλλὰ καὶ τὴν γνώμην καὶ τὴν δίαιταν καὶ τὸ σχῆμα
τῶν Ἑλλήνων ἐζηλωκώς, καὶ ταῦθ' οὕτως ἐγκρατῶς καὶ περι-
φανῶς, ὡς οὔτε τῶν πρὸ αὐτοῦ Ῥωμαίων οὔτε τῶν καθ' αὑ-
τὸν Ἑλλήνων· εἰρήσεται γάρ· οὐδὲ εἷς· τῶν μὲν γὰρ Ἑλλήνων
τοὺς ἀρίστους ἔπεισε πρὸς τὰ τῶν Ῥωμαίων πράγματα ἀπο-
κλίνειν, τὸν δὲ προστάτην πρὸς τὰ τῶν Ἑλλήνων· καὶ τού-
των ἕνεκα καὶ τὴν οὐσίαν καὶ τὸ πολιτικὸν ἀξίωμα καὶ πάνθ'
ἁπλῶς προϊέμενος, ἵν' αὐτῷ περιῇ ἓν ἀντὶ πάντων Ἕλληνι δο- 111 R II
κεῖν τε καὶ εἶναι· εἶτα τοῦτον οὐκ ἐχρῆν παρ' ὑμῖν ἑστάναι
26 *χαλκοῦν; καὶ κατὰ πόλιν γε· παρ' ὑμῖν μέν, ὅτι Ῥωμαῖος ὢν*
ἀφηλληνίσθη, ὥσπερ ἡ πατρὶς ἡ ὑμετέρα, παρὰ Ἀθηναίοις
δέ, ὅτι ἀττικίζει τῇ φωνῇ, παρὰ Λακεδαιμονίοις δέ, ὅτι φιλο-
γυμναστεῖ, παρὰ πᾶσι δέ, ὅτι φιλοσοφεῖ· καὶ πολλοὺς μὲν
ἤδη τῶν Ἑλλήνων ἐπῆρε συμφιλοσοφῆσαι αὐτῷ, οὐκ ὀλίγους
27 *δὲ καὶ τῶν βαρβάρων ἐπεσπάσατο. ἐπ' αὐτὸ γὰρ τοῦτο καὶ*
ἐδόκει ὑπὸ τῶν θεῶν οἷον ἐξεπίτηδες κατεσκευάσθαι· Ἕλλησι
μέν, ἵνα ἔχωσιν οἱ ἐπιχώριοι τῆς Ἑλλάδος παράδειγμα, ὡς
οὐδὲν τὸ παιδευθῆναι τοῦ φῦναι πρὸς τὸ δοκεῖν διαφέρει,
Ῥωμαίοις δέ, ἵνα μηδ' οἱ τὸ ἴδιον ἀξίωμα περιβεβλημένοι τὸ
παιδεύεσθαι πρὸς τὸ ἀξίωμα παρορῶσι, Κελτοῖς δέ, ἵνα μηδὲ 462 M
τῶν βαρβάρων μηδεὶς ἀπογιγνώσκῃ τῆς Ἑλληνικῆς παιδείας
βλέπων εἰς τοῦτον. ἐστάθην μὲν οὖν διὰ τοιαύτας τινὰς
προφάσεις, ἵνα μὴ πλείους λέγων δοκῶ προάγειν ἐμαυτὸν εἰς
28 *ἀπέχθειαν. ἔστι δ' οὐχ ὅμοιον ὑπὲρ ἀναστάσεως εἰκόνος*
βουλεύεσθαι καὶ καθαιρέσεως. διὰ τί; ὅτι ἕκαστος τούτων 115 R II
τῶν παρ' ὑμῖν ἀνακειμένων, εἴτε χείρων ἐστίν, ἤδη τὰ τῆς

25, 5. *ὡς οὔτε.* *ὡς* om. M. ‖ 7. *ἔπεισε.* *ἐστὶν ἰδεῖν ἐκεῖσε* BM. mrg. m. ‖ *ἀποκλίνειν* r, *ἀποκλείνοντας* M, *ἀποκλίνοντας* reliq. ‖ 8. *προστάτην.* *ἀποστάτην* et alia quaedam tentabat Selden. ‖ 10. *προϊέμενος* Reisk., *προϊέμενον* reliq. ‖ *ἓν ἀντὶ πάντων* Vales. p. 37, *ἐναντίον πάντων* reliq. — 26, 5. *συμφιλοσοφῆσαι* Geel., *συμφιλοσοφεῖν* Reisk., *συμφιλοσοφήσειν* reliq. — 27, 1. *ἐπ' αὐτὸ* Selden. (idem *ἐπὶ τοῦτο*), *ἐπέπειστο* Reisk., *ἐπέπαυτο* reliq. ‖ *γὰρ τοῦτο* BM, *τοῦτο* om. reliq. ‖ 2. *Ἕλλησι.* *Ἕλληνι* B. ‖ 3. *ἔχωσιν.* *ἔχουσιν* M. ‖ *ὡς* om. M. ‖ 4. *τὸ δοκεῖν.* malim *τὸ Ἕλληνα δοκεῖν*, *εὐδοκιμεῖν* Seldenus (idem locum sic constituit: *πρός τι δοκεῖ διαφέρειν*). ‖ *διαφέρει* M. r, *διαφέρειν* B. vm. ‖ 7. *Ἑλληνικῆς.* *ἑλλήνων* corr. M. ‖ 8. *τοῦτον* BM, *τοῦτο* reliq. ‖ 9. *προάγειν* Progr. p. 10, *προσάγειν* reliq. — 28, 3. *εἴτε.* malim *εἰ καὶ* cum Casaub. ‖ *χείρων.* *χείρων εἴτε βελτίων* r, *εἴτε κρείτ-*

Digitized by Google

ὁσίας περίκειται, καὶ χρὴ τὴν πόλιν αὐτοῦ προεστάναι ὡς
ἀναθήματος. πολλὰ ἄν τις ἔχοι εἰπεῖν ὑπὲρ τοῦ μὴ δεῖν
Γοργίαν τὸν σοφιστὴν ἐν Δελφοῖς ἑστάναι, καὶ ταῦτα μετέω-
ρον καὶ χρυσοῦν. Γοργίαν λέγω; ὅπου γε καὶ Φρύνην τὴν
29 Θεσπιακὴν ἔστιν ἰδεῖν, ἐπὶ κίονος κἀκείνην ὡς Γοργίαν. ἀλλὰ
τὸ μὲν εὐθὺς ἐνστῆναι νόμιμον ἴσως καὶ πολιτικόν, τὸ δ' 116 R II.
ὕστερον ἐλθόντας τῆς ἀναθέσεως ἀναλύειν πειρᾶσθαι τὰ
δεδογμένα, Ἄπολλον, βαρύ, καὶ οὐδεὶς ἂν ἠνέσχετο τῶν Ἀμ-
φικτυόνων. καὶ γὰρ εἰ μὴ δέον ἐστάθησαν, τὸ σταθῆναι
προλαβόντες δέον ἑστήκασιν, ἐξ οὗ προειλήφασιν. ὥσπερ γὰρ
τῶν ἀρχόντων τῶν εἰς ἐνιαυτὸν αἱρουμένων, κἂν ἀνάξιος ᾖ
τις ἀρχῆς, τὸν γοῦν ἐνιαυτὸν ἐκεῖνον εἰς ὃν ᾑρέθη ἄρχων
διατελεῖ, οὕτω δὲ καὶ τοῖς ἀνδριᾶσι κύριον εἶναι δεῖ τὸν χρό-
νον, ἐφ' ὃν ἐστάθησαν· ἔστι δὲ οὗτος πᾶς ὁ λοιπὸς χρόνος.
30 ἢ τί διοίσετε τῶν τοὺς πηλίνους πλαττόντων; τί δὲ καλὸν
ἕξετε λέγειν πρὸς τοὺς ἀπαιτοῦντας ὑμᾶς τὸν λόγον τοῦ τὰς
μὲν τιμὰς εἶναι παρ' ὑμῖν θνητάς, τὰς δὲ ἀτιμίας ἀθανά-
τους; εἰ τοίνυν οὐδὲ αἰσχρὸν τοῦτό ἐστι, καίπερ ὂν δεινὸν·
ὡς κομιδῇ τετυφωμένης πολιτείας ἀνδριάντες ἐπέτειοι, ὥσπερ
οἱ καρποί. οὓς γὰρ οὐχ ἵν' εὐθὺς ἐκλείπωσιν, ἀλλ' ὅπως
πλεῖστον χρόνον παραμείνωσι, χαλκοῦς ἵστατε, τούτους ἀπο-
31 φαίνετε καὶ τῶν κηρίνων μαλακωτέρους. ἢ νὴ Δί' ὅτι ὀφθῆ-
ναι πονηροὺς ὕστερον συνέβη; εἰ μὲν ὕστερον γεγόνασιν, οὐκ 463 M.
ἀφίησι τὴν πόλιν τῆς αἰτίας· οὐ γὰρ τῶν μελλόντων, ἀλλὰ

των εἴτε χείρων Casaub. ‖ 4. ὁσίας Selden. r, οὐσίας reliqui, unde ἀσυλίας vel ἀξίας Casaub. ‖ 6. Γοργίαν. γοργείαν M. ‖ ἑστάναι. προεστάναι m. ‖ 7. λέγω. τι λέγω BM (sed τι a corr. add.). ‖ 8. Θεσπιακὴν BM, Θεσπιακὴν reliq. ‖ ἐπὶ κίονος Iacobs. Add. p. 318, ἐπ' εἰκόνος reliqui, unde ἐπιεικῶς Reisk. ‖ κἀκείνην B. M (corr. κἀκείνω). mrg. m, κἀκείνῳ reliq. — 29, 1. ἀλλὰ τό. τὸ om. m. ‖ 2. εὐθὺς ἐνστῆναι M. var. l. v. mrg. m, εὐθὺς ἔνεστι B, ἐστιν εὐθὺς reliqui, unde Casaubonus: ἀλλὰ τοῦτο μὲν ἐστιν εὐθὺς καί. Reiskius: ἀλλὰ τὸ μὲν εὐθὺς οὐ στῆναι νόμιμον vel ἀλλὰ τὸ μὲν εὐθύνας δόντα στῆναι νόμιμον. Iacobsius: ἀλλὰ τὸ μὲν ἔνεστιν εὐθύς. ‖ 2. νόμιμον M, καὶ νόμιμον reliq. ‖ 7. ἀνάξιος. ἄξιος (mrg. vulg.) M. ‖ ᾖ τις Reisk., ἢ τῆς reliq. ‖ 8. ᾑρέθη. ᾑρέσθη B. ‖ 10. ὃν B. Selden. r, ὧν reliq. ‖ ἔστι. ἔστη B. ‖ οὗτος BM. Selden. r, οὕτως vm. ‖ 11. πηλίνους. πηλείνους M. — 30, 1. δέ. δαὶ B. ‖ 4. οὐδέ. malim οὐδέν. ‖ καίπερ ὂν δεινὸν· ὡς. καίπερ ὂν δεινὸν· πῶς οὐ Reisk.; idem post αἰσχρὸν addebat οὐδὲ δεινόν. malim sic distingui: καίπερ ὄν· δεινόν, ὡς (vel δῆλον, ὡς). ‖ 5. ἐπέτειοι r, ἐπέτιοι BM. v, ἐπετείοι m. ‖ 7. ἵστατε M, ἱστᾶτε reliq. ‖ 8. καὶ τῶν BM, καὶ om. reliq. — 31, 1. ὅτι in M mrg. add. ‖ 3. ἀφίησι. ἀφίησι τοῦτο Reisk.

τῶν παρῳχηκότων ὑμεῖς δίδοτε τὰς τιμάς· εἰ δὲ πρότερον ὢν 117 R II
τοιοῦτος ὕστερον κατωπτεύθη, ποτέρως ἂν οἴεσθε μᾶλλον
παρὰ τοῖς Ἕλλησιν εὐδοκιμήσειν καὶ ποτέρως ἂν τοὺς εὖ βου-
λησομένους ὑμᾶς ποιεῖν προκαλέσασθαι, τὴν κρίσιν ἀνάδα-
στον ποιήσαντες, ἢ τοῖς ἅπαξ δεδογμένοις ἐμμείναντες; ἐγὼ
μὲν οὕτως ἡγοῦμαι. τὸ μὲν γὰρ ἠτυχηκότων, τὸ δὲ βεβαίων
32 ἐστὶν ἀνθρώπων. οὔπω λέγω τὸ μέγιστον, ὅτι οὐδ' ἐκ δια-
βολῆς, ἀλλ' ἐκ καταδίκης, μηδ' ἐκ τῆς τυχούσης αἰτίας, ἀλλ'
ἐκ τῆς μεγίστης, δεῖ τὴν τηλικαύτην, ἂν ἄρα δέῃ, τιμὴν ἀνα-
τραπῆναι. διαβολῆς μὲν γὰρ ἕνεκα καὶ Σωκράτης εἴη τῶν
νέων διαφθορεὺς καὶ πάντων τῶν ἐν ἀνθρώποις νομιζομένων
ἀνατροπεὺς ἀπὸ τῶν θεῶν ἀρχόμενος. τίνας γὰρ οὗτοι οὐ δια-
βεβλήκασιν οἱ πάντα διαβάλλοντες; οὐ Σωκράτην; οὐ Πυθα-
γόραν; οὐ Πλάτωνα; οὐκ αὐτὸν τὸν Δία καὶ τὸν Ποσειδῶ
33 καὶ τὸν Ἀπόλλω καὶ τοὺς ἄλλους θεούς; ἅπτονται δὲ καὶ
τῶν θηλειῶν θεῶν, ὧν εἰκὸς ἦν ἔτι μᾶλλον ἢ τῶν ἀῤῥένων
ἐντρέπεσθαι. νῦν ἀκούετε γάρ, ἃ λέγουσι τὴν Δήμητρα καὶ
τὴν Ἀφροδίτην καὶ τὴν Ἕω, ἀπέχονται δ' οὐδὲ τῆς Ἀθηνᾶς 118 R II
οὐδὲ τῆς Ἀρτέμιδος· ἀλλὰ τὴν μὲν ἀπογυμνοῦσι τῷ Ἀκταίωνι,
τὴν δὲ καὶ συνάγουσι τῷ Ἡφαίστῳ καὶ ποιοῦσι τὴν παρθέ-
νον μικροῦ μητέρα. ταῦτ' οὖν ἐπιστάμενοι θαυμάζετε, εἰ
καὶ κατὰ τούτου τις ψόγος διεδόθη, ὃν ἐκφυγεῖν μὲν οὐδενὶ
τῶν πάντων ὑπῆρξε τῶν ἐν δόξῃ βεβιωκότων, τὴν δὲ ἀφορ-
μὴν ἔλαβεν ἐκ τῆς περὶ τοὺς λόγους εἴτ' ἐπαφροδισίαν αὐτὴν
εἴθ' ὅ τι δήποτε χρὴ καλεῖν τοῦτο, ὃ καὶ ὑμεῖς σὺν γυναιξὶ
34 καὶ τέκνοις ἀπεδέξασθε; οὐ σκέψεσθε; οὐκ ἀναμνησθήσεσθε
πρὸς ἑαυτούς, εἴ τι τοιοῦτον αὐτῷ παρ' ὑμῖν πέπρακται; καί-

4. δίδοτε BM, δ.δοτε reliq. ‖ 5. κατωπτεύθη. κακὸς ὤφθη Selden. ‖ 6. εὐδοκιμή-σειν. εὐδοκιμῆσαι Progr. p. 20. ‖ τοὺς ὡς Casaub. ‖ βουλησομένους. Progr. p. 20, βουλευομένους reliqui, unde βουλομένους Selden. ‖ 7. ἀνάδαστον. ἂν δ' αὐτὸν M, ἀνάδοστον m. ‖ 9. ἠτυχηκότων B. corr. M. mrg. m. r, εὐτυχηκότων reliq. — 32, 3. ἂν ἄρα δέῃ. sic dedi. ἂν ἄρα δεῖ M, ἀνάδαστον reliqui, quod delebat Reisk. ‖ 5. διαφθορεὺς BM. r, διαφθορεῖς m, διαφθορὲς var. l. v, διαφθορὰς v. ‖ 7. διαβάλλοντες M. Progr. p. 20, διαβαλόντες reliq. ‖ 8. τὸν Ποσειδῶ. τὸν om. B. — 33, 3. νῦν. νὴ Δί' Progr. p. 20. possit καὶ νῦν. ‖ 4. Ἕω BM. v, Ἑῶ rm. ‖ 6. τὴν δὲ Selden. r, om. reliq. ‖ 7. ταῦτ' οὖν. τοῦτον (mrg. vulg.) M. ‖ θαυμάζετε. θαυμάζεται M. ‖ 8. τούτου Reisk., τοῦτον var. l. v, τοῦτο reliq. ‖ διεδόθη BM. Reisk., δεδόθη v, ἐδόθη m. ‖ 11. τοῦτο, ὃ M. Obs. p. 51, τοῦτο reliq. ‖ 12. ἀπε-δέξασθε. ἀπεδέξασθαι M. — 34, 1. οὐ σκέψεσθε om. M.

τοι πόλιν οἰκεῖτε τῶν οὐσῶν τε καὶ γεγενημένων ἐπαφροδιτο- 119 R II.
τάτην, ἀλλ' ὅμως οὐδὲν ἠκούσατε, θαῤῥῶν δ' ἂν εἴποιμι, ὅτι
μηδὲ ἄλλος τις Ἑλλήνων. εἶτα τὸν ἐπὶ τῆς Ἑλλάδος ἐν πλείονι 464 M.
ἀδείᾳ καὶ συγγνώμῃ κοσμίως βεβιωκότα, τοῦτον ἐπὶ τῆς
Ῥώμης παρ' αὐτὸν τὸν ἄρχοντα καὶ τοὺς νόμους ἡγεῖσθε
μεταβεβλῆσθαι; ἀλλὰ τοῦτό γε παραπλήσιόν ἐστιν, ὥσπερ ἂν
εἴ τις τὸν ἀθλητὴν φαίη καθ' αὑτὸν μὲν εὐτακτεῖν, ἐν δὲ
35 τῷ σταδίῳ καὶ παρὰ τὸν ἀγωνοθέτην πλημμελεῖν. παῤῥη-
σίαν δὲ ἄγω διπλῆν, ἑνὸς μὲν τοῦ συνειδότος, ἑτέρου δὲ τοῦ
ἀγωνοθέτου, πεπιστευκότος μὲν πᾶσαν τιμωρίαν παρὰ τοῦ
ἡμαρτηκότος λαβεῖν, ἀκούσαντος δὲ μηνῦσαι, ὅπερ ἐκεῖνος
ἐποίησεν. ὑμεῖς δ' ἐπακολουθήσαντες ἀνθρώποις· οὐδὲν δὲ
αὐτοὺς ἐρῶ ὡς ἀμυνόμενος· πλὴν ὅτι δικαιότερον ἦν ἐκεί-
36 νους ὑμῖν ἀκολουθεῖν ἢ ὑμᾶς ἐκείνοις. ὑμεῖς γάρ ἐστε 120 R II.
νῦν τὸ δὴ λεγόμενον πρῷρα καὶ πρύμνα τῆς Ἑλλάδος, ὄλβιοι
μὲν καὶ ἀφνειοὶ καὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ἐκ παλαιῶν
χρόνων ὑπὸ τῶν ποιητῶν καὶ τῶν θεῶν ὀνομαζόμενοι, ὅτε
καὶ τῶν ἄλλων τισὶν ὑπῆρχε καὶ πλουτεῖν καὶ δύνασθαι· νῦν
δ', ἀφ' οὗ προλέλοιπεν ὁ πλοῦτος Ὀρχομενόν τε καὶ Δελφούς,
37 ἐλέῳ μὲν ὑμῶν δύνανται διαφέρειν, ζήλῳ δὲ οὐδὲ εἷς. καὶ
ταῦτα μὲν ὑπὲρ τῆς πόλεως, ἣν οὐ δεῖ παρὰ τοῖς Ἕλλησιν
αἰσχύνην ὀφλεῖν, ὅταν τὸν ὑφ' ὑμῶν ἐκπεπτωκότα πάντες
ἄσμενοι καταδέχωνται οὐ μόνον, ἀλλὰ καὶ καλῶσι καὶ δια-
πρεσβεύωνται καὶ τιμαῖς ταῖς τε ἄλλαις γεραίρωσι καὶ δὴ καὶ
τῇ τῶν εἰκόνων ἀναθέσει. ὑπὲρ δ' ἐμαυτοῦ καὶ τῆς εἰκόνος νῦν
ἐρῶ λόγον, ὃν εἶπεν Ἀναξαγόρας υἱὸν ἀποβεβληκώς· ᾔδειν θνη-
τὸν γεγεννηκώς. ἀλλ' οὐκ ᾔδειν, ὅτι τοιούτως. τῶν γὰρ ἀνδριάν-
των ἕκαστος ἀνατίθεται μὲν ὡς αἰώνιος ἐσόμενος, φθείρεται
δὲ ἄλλος κατ' ἄλλην εἱμαρμένην, κοινοτάτην μὲν καὶ δικαιο-

8. μεταβεβλῆσθαι. μεταβέβλησθε M. ‖ 9. καθ' αὑτὸν. sic dedi. κατ' αὐτὸν reliq. ‖ 10. παρὰ τὸν BM. var. l. v. r, περὶ τὸν reliq. — 35, 3. ἀγωνοθέτου. post hoc v. οὗπερ ἦν supplet Reiskius, recte opinor. ‖ 4. μηνῦσαι, ὅπερ. μηνῦσαι, οὐχ ὅπερ Progr. p. 10, mallim nunc μὴ μῦσαι, ὅπερ. ‖ 5. ὑμεῖς δ'. ὑμεῖς δ' ἐκβεβλήκατε τοῦτον Reisk. ‖ 7. ὑμῖν om. M. — 36, 4. ὅτε BM. Selden., ὅτι reliqui, unde Reiskius quaedam excidisse suspicatus est. — 37, 3. ὀφλεῖν M, ὄφλειν reliq. ‖ τὸν B. mrg. m. r, τὴν reliqui (at M in rasura). ‖ 4. διαπρεσβεύωνται. διαπρεσβεύονται M. ‖ 6. δ'. δὲ M. ‖ 8. ὅτι. post hoc v. quaedam excidisse suspicatur Reisk. ‖ τοιούτως. τῶν γάρ. sic dedi. τοιούτων τῶν M, τοιοῦτον. τῶν γὰρ Iacobs. Add. p. 238, τούτων τῶν reliq.

38 τάτην καὶ πᾶσι πράγμασι προκειμένην, τὴν τοῦ χρόνου· ὁ δὲ ποιητὴς ἄλλως ἐκόμπαζεν ὁ τοῦτο τὸ ἐπίγραμμα ποιήσας, ὅ φασιν ἐπὶ τῷ Μίδα σήματι γεγράφθαι·

χαλκῆ παρθένος εἰμὶ, Μίδα δ' ἐπὶ σήματι κεῖμαι. (121 R.)
ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

39 ἀλλ', ὦ παρθένε αὐτάγγελε, τοῦ μὲν ποιητοῦ ἀκούομεν, σὲ δὲ ζητοῦντες οὐχ εὕρομεν οὐδὲ τὸ σῆμα τὸ Μίδου. ὕδατα δὲ ἐκεῖνα καὶ δένδρεα ἔτι μὲν νάει τε καὶ θάλλει, χρόνῳ δὲ καὶ ταῦτα μετὰ τῶν ἄλλων ἔοικεν ἐπιλείψειν, ὡς Μίδας, ὡς παρθένος.

ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος
καὶ κυνὶ Λήθαργος καὶ θεράποντι Βάβης.

τίς οὖν οἶδεν Ἑλλήνων οὐχ ὅτι τὸν ἵππον, ἀλλ' αὐτὸν τὸν Ἱππαίμονα; δοκῶ μὲν οὐδὲ Μαγνήτων, ὅθεν ἦν Ἱππαίμων. οὗτος μὲν οὖν φροῦδος ἐξ ἀνθρώπων αὐτῷ Βάβητι καὶ Πο-
40 δάργῳ. ἕτεροι δὲ ἑστᾶσι καὶ γιγνώσκονται, τὴν δὲ ἐπιγραφὴν ἔχουσιν ἑτέρων, καὶ τὸ γιγνόμενόν ἐστιν οἷον ἐν τοῖς μέλεσιν ἀντίσπαστον· τὸ μὲν ἐπίγραμμα ῥωμαΐζει, ὁ δ' ἀνδριὰς ἑλλη- (12 R II) νίζει· καὶ τρόπον τινὰ ἀντιδιδάσκουσιν οἱ ποιηταὶ τρόπον μὲν Ἑλλήνων, τύχας δὲ Ῥωμαίων. ἐθεασάμην καὶ τὸν Ἀλκιβιάδην τὸν καλὸν, τὸν Κλεινίου· οὐκ οἶδ' ὅπου, πλὴν ἐθεασάμην ἐν καλῷ τῆς Ἑλλάδος· ἐπιγραφὴν ἔχοντα Χαλκοπώγωνος, ἕτερον δὲ περικεκομμένον τὼ χεῖρε, ὃς ἐλέγετο τῆς Πολυκλέους τέχνης εἶναι· ὅραμα δεινὸν, ὦ Γῆ καὶ Ἥλιε, Ἀλκιβιάδης πεπηρω-
41 μένος. οἶδα δ' ἐγὼ καὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα δουλεύσαντας ἐν Πέρσαις, καὶ Δημητρίου τοῦ Φαληρέως πεντακοσίους ἀνδριάντας καὶ χιλίους ὑπὸ Ἀθηναίων μιᾷ καὶ τῇ

38, 5. νάῃ Obs. p. 51, ῥέῃ reliqui. conf. Iacobs. Comm. ad Anthol. I, 193. || καὶ ἧς (mrg. vulg.) M. — 39, 1. αὐτάγγελε. αὐτάγγε mrg. M. || 2. τὸ Μίδου. sic dedi. τὸ μήδου M, τοῦ Μίδου reliq. || 3. δένδρεα M, δένδρα reliq. || μὲν BM, μὲν γὰρ reliqui, unde μὲν παρὰ Φρυξὶ Reisk. || νάει om. v, ῥέει Reisk. || 6. ὄνομ' ἦν BM (mrg. ὄνομα ὧ). var. l. v. r, ὄνομα τῷ reliq. || 8. οὖν. οὖν οὐκ BM. || 9. Ἱππαίμονα. Ἱππάμονα et statim Ἱππάμων Casaubonus e Polluce. || δοκῶ μὲν Reisk., δοκοῦμεν reliq. || Μαγνήτων. Μαγνήτων οὐδεὶς Reisk. — 40, 2. ἑτέρων. ἕτεροι r. commendatum a Valesio p. 67. || 3. ὁ δ' ἀνδριὰς ἑλληνίζει Vales. r, om. reliq. || 4. οἱ ποιηταί. ὥσπερ οἱ ποιηταὶ Vales. p. 67. || 5. τύχας. τάχας (superscr. vulg.) M. || καὶ τόν. καὶ in M a corr. add. || 6. πλὴν Geel. p. 96, πλησίον reliq. — 41, 3. μιᾷ.

αὐτῇ ἡμέρᾳ πάντας καθῃρημένους· ἐτόλμησαν δὲ καὶ Φιλίπ-
που τοῦ βασιλέως ἀμίδας κατασκεδάσαι. Ἀθηναῖοι μὲν οὖν
τῆς εἰκόνος οὖρον κατέχεον, ἐκεῖνος δὲ τῆς πόλεως αἷμα καὶ 466 M.
τέφραν καὶ κονίαν. καὶ γὰρ ἦν νεμεσητὸν τὸν αὐτὸν ἄνδρα
42 *νῦν μὲν ἐν θεοῖς λέγειν, νῦν δ' οὐδ' ἐν ἀνθρώποις. εἶτα ἐγὼ* 123 R II
ταῦτα ἐπιστάμενος, ὅτι οἱ ἄνθρωποι οὐδὲ τῶν θεῶν φείδον-
ται, ἀνδριάντος ὑμῖν φροντίσαι δοκῶ; καὶ τοὺς μὲν ἄλλους
σιγήσειν μοι δοκῶ, ἀλλὰ τὸν Ἴσθμιον, τὸν ἀγωνοθέτην τὸν
ὑμέτερον, Μόμμιος ἐκ βάθρων ἀνασπάσας ἀνέθηκε τῷ Διί,
φεῦ τῆς ἀμαθίας, τὸν ἀδελφὸν ὡς ἀνάθημα, ἄνθρωπος
ἀπαίδευτος καὶ μηδενὸς τῶν καλῶν πεπειραμένος. ὅς Φίλιπ-
πον μὲν τὸν Ἀμύντου, ὃν ἐκ Θεσπιῶν ἔλαβεν, ἐπέγραψε δὲ
καὶ τοὺς ἐκ Φενεοῦ νεανίσκους τὸν μὲν Νέστορα τὸν δὲ 124 R II.
Πρίαμον. ὁ δὲ δῆμος ὁ τῶν Ῥωμαίων, τοῦτ' ἐκεῖνο, τοὺς ἐξ
43 *ἐκείνου ὁρᾶν ᾤοντο, ὁρῶν Ἀρκάδας ἐκ Φενεοῦ. ταῦτα μὲν*
οὖν ἔξεστι καὶ γελᾶν. σπουδῇ δέ μοι ἐπελήλυθεν Ἀγησίλαον,
τὸν βασιλέα τῶν Λακεδαιμονίων, τῆς γνώμης μακαρίσαι,
ὅστις οὔποτε ἠξίωσεν οὔτε πλαστὰν οὔτε μιμηλὰν τοῦ σώμα-
τος ποιήσασθαι· οὐχ ὅτι χωλὸς ἦν, ὥς φασι, καὶ μικρός· τί
γὰρ ἐκώλυε μέγαν εἶναι τὸν ἀνδριάντα; τί γὰρ ἀρτίπουν,
ὥσπερ τὸν Εὐφράνορος Ἥφαιστον; ἀλλὰ τοῦτ' ἐκεῖνος εἶδεν
ἀκριβῶς, ὅτι μὴ δεῖ τὰς ἀνθρωπίνας τύχας ἐκτείνειν μηδὲ 125 R II.
44 *κινδυνεύειν περὶ τῷ σώματι κατὰ λίθον καὶ χαλκόν. εἴθε*

μία καὶ χιλίους ὑπὸ Ἀθηναίων μία M. ‖ 5. *κατασκιδάσαι* BM. Pierson. ad Moer. p. 216, *κατασκευάσαι* reliqui, *καταχεῦσαι* Selden. ‖ 7. *κονίαν. χωνείαν* M. — 42, 3. *ὑμῖν. ὑμᾶς* Reisk. ‖ 4. *μοι δοκῶ* BM. Abresch. ad Thom. Mag. p. 168, *μοι δοκεῖ* reliq. ‖ 6. *τὸν ἀδελφὸν ὡς ἀνάθημα. τὸν ἀδελφὸν τῷ ἀδελφῷ* (om. *ὡς ἀνάθημα*) Pflugk. p. 28. corruptissima haec esse iudicavit Casaubonus. ‖ 7. *καλῶν* r, *κακῶν* reliq. ‖ ὅς *Φίλιππον μὲν* BM. Progr. p. 22, ὅς om. reliqui, unde *Φίλιππον μέντοι* Geel. ‖ 8. *Θεσπιῶν* M, *Θεσπιέων* reliq. ‖ *ἐπέγραψε δὲ καὶ* B, *ἐπέγραψεν δὲ καὶ* M, unde Geelius non sine veri specie *ἐπέγραψε Δία καί*, Reiskius *Ἀχιλλέα ἐπέγραψε καί*. ‖ 9. *Φενεοῦ. φαινέου* (corr. *φενέου*) M. ‖ 10. *τοὺς. αὐτοὺς* vel *τούτους* Reisk. ‖ *ἐξ ἐκείνου. ἐξ Ἰλίου* Obs. p. 51, *ἐξώρους ἐκείνους* Iacobs. Add. p. 270. totum locum sic scribit Seldenus: *Ῥωμαίων οὔτ' ἐκείνους οὔτ' ἐξ ἐκείνου.* Geelius pro v. *τοῦτ' ἐκεῖνο τοὺς ἐξ* scribit *τούτους ἐκείνους.* ‖ 11. *ᾤοντο. ᾤετο* Reisk. — 43, 2. *σπουδῇ* B. Progr. p. 22, *σπουδὴ* reliq. ‖ 4. *ἠξίωσεν. ἠξήωσεν* M. ‖ *πλαστὰν* Progr. p. 22, *πλαστὴν* Reiskius, qui multa praeterea tentat, *πλαστὸν* reliqui. conf. Plutarch. Moral. p. 191 d. ‖ *μιμηλὰν* Plutarch. l. l, *μιμήλαν* reliq. ‖ 5. *μικρός. σμικρὸς* B. ‖ 6. *ἀρτίπουν* BM. Casaub. r, *ἀντίπουν* reliq. ‖ 7. *εἶδεν. ἴδεν* M.

γὰρ εἶναι καὶ τοῦ σώματος ἀπηλλάχθαι. χαιρέτω δ' ὁ Δαί-
δαλος καὶ τὰ Δαιδάλου μιμηλὰ τεχνήματα· ἄδην Προμηθέως,
ἄδην πηλοῦ. καίτοι καὶ τὸ σῶμα τῶν γενναίων φασὶν ἀλλό-
τριον εἶναι,

ἐπειὴ μάλα πολλὰ μεταξὺ

σώματός τε καὶ ψυχῆς. ὃς μὲν γὰρ οὐκ ἔστιν οὐδὲ φροντίζει
τοῦ σώματος κάμνοντος. ἐμαίνετο Καμβύσης, Ἄμασιν, τὸν
Αἰγυπτίων βασιλέα, τὸν νεκρὸν αὐτοῦ, κεντῶν τε καὶ μαστι-
γῶν. Αἰγύπτιοι μὲν γὰρ λέγουσιν Ἄμασιν ἐκ πλέονος ὑφο-
ρώμενον τὴν Καμβύσου χαλεπότητα τὸν μὲν αὐτοῦ νεκρὸν
ἀποκρύψαι, ἄλλον δ' ἀντ' αὐτοῦ ὑποβαλεῖν, καὶ τοῦτον εἶναι
45 τὸν Καμβύση περιπεσόντα. ἀλλ' ὦ Αἰγύπτιοί τε καὶ Καμ-
βύση, εἴτε ἄλλος τις ἦν ὁ ταῦτα παθὼν εἴτε αὐτὸς Ἄμασις
ἦν, τύπος ἦν ἄναιμος, ἄσαρκος, ἄψυχος. τοῦτον, εἴ σοι
φίλον, ἕλκε καὶ σπάραττε καὶ κέντρου, Ἄμασιν δὲ οὐ κατεί-
ληφας. ἕτερος δέ τις ζῶν, ἐμπνέων, αἰσθανόμενος· πτίσσε,
πτίσσ', ἔφη, τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ
πτίσσεις. οὗτος γὰρ ἁνὴρ ἐμπεσὼν μὲν εἰς ὅλμον, τυπτόμε-
νος δὲ τοῖς ὑπέροις, αὐτὸς οὐκ ἔφη πτίσσεσθαι, ἀλλὰ τῶν
αὐτοῦ ὅπερ ἔτυχε περικείμενος· ὥσπερ φασὶ Περσῶν τοὺς
ὁμοτίμους λαμβάνειν πληγάς, ἀντὶ τοῦ σώματος τὸν κάνδυν.
46 Πέρσαι μὲν οὖν ἐπὶ τοσοῦτο δυσφοροῦσιν, Ἕλλην δ' ἀνὴρ
παρεῖχε τύπτειν τὸ σῶμα ὡς κάνδυν· ἡμεῖς δ' οὐ παρέχωμεν

44, 2. *εἶναι* **defendit Geelius ut dictum Agesilai,** *εἴη* **Reiskius. possit** *ἦν*. ‖ **3.** *μιμηλά. μειμηλά* **M.** ‖ *Προμηθέως* **BM,** *Προμηθέος* **reliq.** ‖ **4.** *ἄδην πηλοῦ* **immerito suspecta Reiskio.** ‖ *φασὶν* **M. Reisk.,** *τίς φησιν* **Morell.,** *φησὶν* **reliq.** ‖ **6.** *ἐπειή. ἐπεὶ ἦ* **B.** ‖ **7.** *ὃς μὲν* **Geelius,** *ὁ μὲν* **reliqui, at in M** *ὁ* **in litura est.** *ἡ μὲν* **Selden.,** *ὁ μὲν γὰρ νοῦς* **Reiskius. possit** *ὁμόθεν*. ‖ *ἔστιν. ᾔσθετ'* **Selden.,** *αἰσθάνεται* **Reisk.** ‖ **8.** *Ἄμασιν. ὡς Ἄμασιν* **Seldenus non sine veri specie.** ‖ **9.** *βασιλέα.* **post hoc v. Reiskius addit** *οἰόμενος ὑβρίζειν* **(vel** *αἰκίζεσθαι***).** ‖ **11.** *αὐτοῦ νεκρόν.* **sic dedi.** *αὐτοῦ νεκρὸν* **BM,** *νεκρὸν αὐτοῦ* **reliq.** ‖ **12.** *ὑποβαλεῖν* **BM. Selden. r,** *ὑπολαβεῖν* **vm. — 45, 1.** *Καμβύση* **BM,** *Καμβύσης* **reliq.** ‖ **4.** *κέντρου. κέντει* **Reisk.,** *κέντου* **Wessel. ad Herodt. III, 16.** ‖ **5.** *πτίσσε. πτῆσσε* **B.** ‖ **6.** *πτίσσ'. πτὶς* **M,** *πτῆσσε* **B.** ‖ *γὰρ* **om. M.** ‖ **7.** *ἁνήρ.* **sic dedi.** *ἀνὴρ* **reliq.** ‖ **8.** *πτίσσεσθαι. πτήσσεσθαι* **B.** ‖ *τῶν αὐτοῦ* **M (nisi quod** *αὐτοῦ***). Obs. p. 51,** *τὸν αὐτοῦ* **reliq.,** *τὸ αὐτοῦ* **Iacobs. Add. p. 154,** *τὸν αὐτοῦ θύλακον* **Reisk.,** *τὸν ἀσκὸν* **(et** *ὅνπερ***) Hemsterh.** ‖ **10.** *τὸν κάνδυν. εἰς τὸν κάνδυν* **Reisk. — 46, 1.** *τοσοῦτο. τοσούτῳ* **BM.** ‖ **2.** *κάνδυν* **Reisk.,** *κάνδυν ὡς ἱμάτιον* **reliq.** ‖ *δ' οὐ. δ' οὖν* **Reisk.** ‖ *παρέχωμεν.* **sic dedi.** *παρέχομεν* **reliq.**

τὸν ἀνδριάντα χωνεύειν, κἂν αἰσθάνηται; νῦν δ' ὁ μὲν κρείσ- 127 R II.
σων αἰσθήσεως, ἐγὼ δὲ κατὰ τὴν Εὐριπίδου Λαοδάμειαν

οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.

βούλομαι οὖν αὐτὸν ὡς αἰσθανόμενον παραμυθήσασθαι. ὦ λόγων ἐμῶν σιγηλὸν εἴδωλον, οὐ φαίνῃ; οὐδὲ γὰρ ὁ πρὸ σοῦ Ἀριστέης. ὧδε γὰρ ἔσχε κἀκείνῳ, ὅς ἐμοὶ εἰκάσθη, ἀναστῆναι μὲν αὐτὸν ὑπὸ τῶν Προκοννησίων, ἀφανισθῆναι δὲ ὑπὸ τῶν ἐχθρῶν, λόγον δ' ὑπὸ τῶν αὐτῶν τούτων διαδοθῆναι, ὡς οὔτε ζῶν οὔτε τεθνεὼς φαίνοιτο Ἀριστέης. ἀλλὰ καὶ τότε καὶ νῦν καὶ πρὸς ἅπαντα τὸν χρόνον ἔζη Ἀριστέης.

47 μνάσασθαί τινά φαμι καὶ ὕστερον ἀμμέων. 128 R II.

πάνυ γὰρ καλῶς εἶπεν ἡ Σαπφώ. καὶ πολὺ κάλλιον Ἡσίοδος·

φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

ἐγώ σε ἀναστήσω παρὰ τῇ θεῷ, ὅθεν οὐδείς σε μὴ καθέλῃ, οὐ σεισμὸς, οὐκ ἄνεμος, οὐ νιφετὸς, οὐκ ὄμβρος, οὐ φθόνος, οὐκ ἐχθρός. ἀλλὰ καὶ νῦν σε καταλαμβάνω ἑστηκότα. λάθα μὲν γὰρ ἤδη τινὰς καὶ ἑτέρους ἔσφηλε καὶ ἐψεύσατο· γνώμη δ' ἀνδρῶν ἀγαθῶν οὐδένα, ᾗ κατ' ἄνδρα μοι ὀρθὸς ἕστηκας.

3. *χωνεύειν* BM. Selden., *καταχωνεύειν* Reisk., *χορεύειν* reliqui, unde *χορδεύειν* Vales. p. 67. ‖ *κἂν* BM (mrg. vulg.). Selden., *ἂν* reliq. ‖ 4. *κατὰ τὴν* Vales. l. l. r, *καὶ τὴν* reliq. ‖ *Εὐριπίδου. εὐριπίδου* (corr. vulg.) M. conf. Protesilai Frag. VII. Dind. ‖ 6. *παραμυθήσασθαι. παρμυθήσασθαι* vm. ‖ 7. *σιγηλὸν. σιίγηλον* (corr. vulg.) M. ‖ *οὐ φαίνῃ* in M mrg. add. ‖ 8. *ὅς ἐμοὶ εἰκάσθη. ὡς ἐμοὶ εἰκάσθη* M, *ὡς καὶ σοί, ὅς ἐμοὶ εἰκάσθης* Reisk., malim *ὡς εἰκάσαι.* ‖ 10. *τῶν ἐχθρῶν, λόγον δ' ὑπὸ* om. M. ‖ 11. *Ἀριστέης* M, *Ἀριστίας* reliq. ‖ 12. *ἔζη. ἔξη* M, *ζῇ* Reisk. ‖ *Ἀριστέης* M (corr. *Ἀριστίας*), *Ἀριστέας* reliq. — 47, 1. *μνάσασθαί. μνάσεσθαι* Casaub., *μνασεῖσθαι* Reisk. ‖ *φαμι* B. M (a correctore. fuisse videtur *φάμη*). Casaub. r, *φάμη* m, *φημὶ* v. ‖ *καὶ ὕστερον* Volger., *καὶ ἕτερον* reliqui. conf. Schneidewin. Delect. p. 320. Frag. 81; Bergk. Poët. Lyr. p. 608. ‖ *ἀμμέων. ἀμμίω* M. ‖ 3. *φήμη. φημὶ* M. ‖ 4. *φημίξωσι* B. Hesiod. Op. 761. *φημιζῶσι* (mrg. *φημίξουσι*) M, *φημίζουσι* reliq. ‖ *αὐτή. αὕτη* M. ‖ 7. *ἐχθρός.* malim *ἔχθος.* ‖ *λάθα. λάθρα* M. ‖ 9. *ᾗ* Casaub., om. M., *ἣ* reliq. ‖ *κατ' ἄνδρα. καὶ ἀνδριάς* Casaub., *σὺ δή* Reiskius, vel *κατ' ἄνδρα* vel *καὶ κατ' ἄνδρα* Seldenus.

ΛΟΓΟΣ λη

ΠΡΟΣ ΝΙΚΟΜΗΔΕΙΣ ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ ΤΗΣ ΠΡΟΣ ΝΙΚΑΕΙΣ.

1 Ὅταν ἐκλογίσωμαι τὰς αἰτίας, ἄνδρες Νικομηδεῖς, δι' (129 R || 166)
ἃς ἐποιήσασθέ με πολίτην· οὐ γὰρ πλοῦτον ὄντα ὁρῶ μοι
μέγαν, ὥστε νομίζειν, ὅτι διὰ χρήματα ἐσπουδάσθην ὑφ'
ὑμῶν· οὔτε πρὸς τὸ θεραπεύειν τοὺς ὄχλους ἐπιτηδείως ἔχοντι
ἐμαυτῷ σύνοιδα· οὔκουν οὐδὲ εἰς τοῦτό μου χρῄζειν δοκεῖτε,
τὸ ταῖς ὁρμαῖς ὑμῶν ἁπάσαις ὑπηρετεῖν ἑτοίμως ἐμέ· ἀλλὰ
μὴν οὐδὲ συμποτικός εἰμί τις οὐδὲ κοινὸς ἐν ταῖς τοιαύταις
συνουσίαις, ὥστε ἀπό γε τούτου παρέχειν τοῖς πλήθεσιν ἡδο-
νήν· εἰ δὲ μὴ διαμαρτάνω μήτε τῆς ὑμετέρας περὶ ἐμαυτοῦ
προαιρέσεως, ὅσα τε ὑμῖν δύναμαι χρήσιμος εἶναι, ταῦτα
ἐπίσταμαι· τὸ λοιπόν ἐστιν, δι' ὃ πολίτης ἐγὼ γεγένημαι παρ'
ὑμῖν, οὐδὲν ἄλλο ἢ τὸ συμβουλεύειν ἐμέ τι περὶ τῶν κοινῇ
συμφερόντων ἴσως μᾶλλον ἑτέρων καὶ βούλεσθαι καὶ δύνα-
2 σθαι. τοῦτο δὲ εἰ μὲν οὐκ ἔστι τοιοῦτον, ὑμεῖς τε τῆς περὶ
ἐμὲ σπουδῆς διημάρτετε, ἐγώ τε ἔοικα μάτην ὑπακούσας ὑμῖν
ἐπ' ἐλπίδι τοῦ γενήσεσθαι τῇ πόλει χρήσιμος, οὐ ποιουμένων 130 R ||
μου χρείαν ὑμῶν, εἰς ἣν μόνον ἐπιτήδειός εἰμι. εἰ δὲ πάσαις
μὲν ταῖς πόλεσι, μᾶλλον δὲ ταῖς μεγάλαις, δεῖ μὲν καὶ τῶν
πλουσίων, ἵνα καὶ χορηγῶσι καὶ φιλοτιμῶνται ταυτὶ τὰ νενο-
μισμένα δαπανήματα, δεῖ δὲ καὶ κολάκων ἀνδρῶν, ἵνα δημα-
γωγοῦσιν αὐτοῖς ἥδωνται, δεῖ δὲ καὶ συμβούλων, ἵνα σώζων-

Orat. XXXVIII. Collati sunt BM et Cod. Ottobonianus (Z) usque ad § 11. — 1, 2. οὐ. malim οὔτε. ‖ 9. ἐμαυτοῦ BM, αὐτοῦ reliq. ‖ 10. ὅσα τε M, ὅσα γε ZB, καὶ ὅσα γε reliq. ‖ δύναμαι. δύναται Z. ‖ ταῦτα M. Selden., ταῦθ' ἃ reliqui. Reiskius locum sic constituit: εἶναι ἐνταῦθα, ἐπίσταμαι τὸ λοιπὸν ἔτι, δι' ὅ. ‖ 11. ἐπίσταμαι. ἐπίσθαμαι Z. ‖ 12. ὑμῖν (vel ὑμῖν ἄξιον σπουδῆς) Selden., ὑμῖν σπουδῆς reliq. ‖ ἢ τό. ἢ τῶν B. — 2, 1. ὑμεῖς τε. ὑμεῖς γε M. ‖ 4. μου χρείαν BM. Reisk., μου om. reliq. ‖ ἥν. τὴν M. ‖ 6. νενομισμένα. νεομισμένα Z. ‖ 7. δημαγωγοῦσιν. δημαγοῦσι Z.

ται ταῖς πολιτείαις· κἀγὼ, καθ' ὅσον μοι δυνατὸν, οὐκ
ὀκνήσω περὶ τῶν μεγίστων συμβουλεύων ὠφελεῖν τὴν πόλιν.
3 ἔστι μὲν οὖν καὶ ἄλλα τινὰ παρ' ὑμῖν ἐπανορθώσεως ἄξια,
καὶ κατὰ μέρος αὐτῶν ποιήσομαι τὴν θεραπείαν, ἂν τἀληθῆ
λέγων πιστευθῶ περὶ τῶν μειζόνων. τί δὲ παθὼν ἢ τί βου-
λόμενος οὐχ ὑπὲρ τῶν μικροτέρων συμβουλεύω πρότερον, οὐδὲ 469 M.
ἐν ἐκείνοις ἀποπειρῶμαι τοῦ δήμου τῆς εὐπειθείας, ἀλλ' εὐθὺς
ἀξιῶ κινδυνεύειν περὶ τοῦ μεγίστου συμβουλεύων πράγματος;
ὅτι πολλῷ μοι δοκεῖ ῥᾷον εἶναι πεῖσαι περὶ τῶν μεγίστων ἢ
τῶν μικροτέρων καὶ φαύλων. τῶν μὲν γὰρ ἔξεστι καὶ κατα-
φρονῆσαι καὶ τῆς ἀπ' αὐτῶν γιγνομένης βλάβης, ὁ δὲ, χωρὶς 131 R II.
ὧν ἀμήχανόν ἐστιν αὐτῷ σώζεσθαι, περὶ τούτων οὐκ ἐθελή-
σας πεισθῆναι δῆλός ἐστιν ὑπὲρ τῶν μικροτέρων οὐδὲ ἀκου-
4 σόμενος. ὅτι μὲν οὖν, ἐὰν ὑπομείνητε τὴν συμβουλίαν, πει-
σθήσεσθέ μοι περὶ ὧν συμβουλεύων πάρειμι, καὶ δὴ σφόδρα
θαῤῥῶ. τί δαί; δύσκολον τοῦτ' ἔστι, τὸ μήτε φορτικὴν
ὑμᾶς ἡγήσασθαι τὴν ἀκρόασιν τὴν περὶ τοῦ πράγματος μήτε
περιττὴν μήτε ἄκαιρον. ἵνα οὖν μοι μὴ ταῦτα προαπαντήσῃ
παρ' ὑμῶν· τί δὲ συμβουλεύεις σὺ περὶ ὧν ἡμεῖς τὴν ἀρχὴν
οὐδὲ βουλευόμεθα; τί δὲ σεαυτῷ λόγου μεταδίδως, οὗ σοὶ
μὴ μετέδομεν ἡμεῖς; διὰ τί δὲ τοσούτων πεπολιτευμένων παρ'
ἡμῖν ἀνδρῶν ἐπιχωρίων, εἰσποιητῶν, ῥητόρων, φιλοσόφων,
γερόντων, νέων, οὐδέποτε οὐδεὶς ἐτόλμησεν ἡμῖν συμβουλεῦ-
5 σαι ταύτην τὴν συμβουλίαν; αἴτημα θέλω ποιήσασθαι τοῦτο
αὐτὸ παρ' ὑμῶν, ἄνδρες Νικομηδεῖς, καὶ χαρίσασθέ μοι καὶ
ὑπομείνατε, ἀκοῦσαι λόγου περιττοῦ καὶ ἀκαίρου καὶ μὴ πεί-
σοντος ὑμᾶς. καὶ οὐδὲ μεγάλην εἶναι νομίζω τὴν δωρεάν.
εἴτε γὰρ πεισθήσεσθε, ἄξιόν ἐστιν ἀκοῦσαι τοῦ τὰ λυσιτελῆ

9. ταῖς. ταῖς τούτων Reisk. ‖ ὅσον. ὃ Z. — 3, 1. ἐπανορθώσεως. ἐπανορθῶσαι ὡς M. ‖ 3. δέ. δαὶ B. ‖ 4. μικροτέρων. σμικροτέρων B. ‖ 7. δοκεῖ. δοκῆ M. ‖ 8. μικροτέρων. σμικροτέρων B. ‖ 9. καὶ τῆς. sic dedi. καὶ om. reliqui. καὶ ἀνέχεσθαι τῆς Reisk. ‖ γιγνομένης. γινομένης M. ‖ 11. οὐδὲ Reiskius transponebat ante ὑπέρ. — 4, 1. πεισθήσεσθέ. πεισθήσεσθαι B. ‖ 2. συμβουλεύων. συμβουλεύω B, συμβουλεύσων Pflugk. ‖ 3. δαί. δὲ M. Reisk. (idem γὰρ) interrogandi signo post ἄκαιρον posito. ‖ 5. ἵνα M, ἵν' reliq. ‖ μοι μή. μή μοι Reisk. ‖ 6. τί δὲ M, τί δαὶ Z. m, διὰ τί δὲ reliq. ‖ σύ. σὺμ Z. ‖ 7. δέ. δαὶ Z. ‖ 8. ἡμεῖς. ἡμῖν mrg. M. ‖ πεπολιτευμένων παρ' ἡμῖν ZBM. var. l. v, ἡμῖν πεπολιτευμένων reliq. ‖ 9. εἰσποιητῶν Geelius, εἰς ποιητῶν M, ποιητῶν reliq. — 5, 5. τοῦ τὰ BMZ. Reisk., ταῦτα var. l. v, τοῦτο reliq.

λέγοντος· εἴτε ἐφ' ὑμῖν ἀπόκειται τὸ πεισθῆναι, τί τοῦτο δύ-
σκολόν ἐστιν, ἀνδρὶ φίλῳ λόγου μεταδοῦναι βουλομένῳ μάτην
εἰπεῖν; καὶ τί δή τοῦτό ἐστιν, ὑπὲρ οὗ μέλλω μὲν συμβου-
λεύειν, ὀνομάσαι δὲ αὐτὸ ὀκνῶ; τὸ μὲν ὄνομα οὐκ ἀηδές, ὦ 122 R II
ἄνδρες Νικομηδεῖς, οὔτε ἐν ταῖς οἰκίαις οὔτε ἐν ταῖς συγγε-
νείαις οὔτε ἐν ταῖς φιλίαις οὔτε ἐν ταῖς πόλεσιν οὔτε ἐν τοῖς
6 ἔθνεσιν. ὑπὲρ γὰρ ὁμονοίας ἐρῶν ἔρχομαι, καλοῦ μὲν ὀνό-
ματος, καλοῦ δὲ πράγματος. ἂν δ' εὐθὺς προσθῶ περὶ τῆς 70 M
πρὸς τίνας ὁμονοίας, τοῦτο δέδοικα, μὴ τὴν μὲν ὁμόνοιαν
αὐτὴν ἐφ' ἑαυτῆς καλὴν εἶναι πιστεύσητε, τὸ δὲ πρὸς τούτους
ὁμονοεῖν τοὺς ἀνθρώπους, οἷς ὁμονοεῖν φημι δεῖν ὑμᾶς, ἀδύ-
νατον εἶναι νομίσητε. τοῦτο γάρ ἐστιν, ὃ μέχρι νῦν εἰς τὴν
ἔχθραν καθίστησιν ὑμᾶς τὴν πρὸς ἀλλήλους καὶ οὐκ ἐᾷ γενέ-
σθαι τὴν φιλίαν, τὸ πεπεῖσθαι δίχα λόγου μὴ δυνατὴν εἶναι
ταῖς πόλεσι τὴν ὁμόνοιαν. μὴ θορυβήσητε δὲ ἀρχομένῳ πά-
7 λιν, ἀλλ' ὑπομείνατε. φημὶ δεῖν ὑμᾶς, ἄνδρες Νικομηδεῖς,
ὁμονοῆσαι πρὸς Νικαεῖς· ἀκούσατε δὲ καὶ μὴ χαλεπήνητε
μηδέπω, πρὶν ἂν εἴπω τὰς αἰτίας. οὐδὲ γὰρ ὁ νοσῶν πρὸς
τὸν ἰατρὸν ὀργίζεται διατάττοντα τὴν θεραπείαν, ἀλλ' ἀκούει
μὲν ἀηδῶς αὐτοῦ λέγοντος, ὅτι αὐτὸν καὶ τμηθῆναι δεῖ καὶ
καυθῆναι, πείθεται δὲ ὅμως· περὶ γὰρ σωτηρίας ὁ κίνδυνός
ἐστι. καίτοι τί τοῦτο εἶπον; τὸ γὰρ ἐμὸν φάρμακον, ὃ προσ-
φέρω ταῖς πόλεσιν, ἥδιστόν ἐστι φάρμακον καὶ χωρὶς οὗ ζῆν
8 οὐδεὶς ἂν ἐθελήσειεν εὖ φρονῶν. βούλομαι δὲ διελεῖν τὸν
λόγον καὶ τὸ πρῶτον ὑπὲρ αὐτῆς εἰπεῖν τῆς ὁμονοίας τῆς 123 R II
καθόλου, ποδαπόν τέ ἐστι καὶ τίνων αἴτιον, εἶτα ἐξ ἐναντίας
τὴν στάσιν καὶ τὴν ἔχθραν διακρῖναι πρὸς τὴν φιλίαν. ἔσται
γὰρ ἀκόλουθον τὸ τῆς ὁμονοίας ἀποδειχθείσης ὠφελίμου

6. ἐφ'. ὑφ' B. hunc locum sic tentat Seldenus: εἴτε μὴ· ἐφ' ὑμῖν γάρ που (vel πως) κεῖται τὸ. Geelius ita: εἴθ' ὑμῖν ἀποκεῖται τὸ μὴ πεισθῆναι. at euphemismo usus est Dio. || 9. δὲ om. Z. || 10. οὔτε ἐν ταῖς οἰκίαις — συγγενείαις om. Z. — 6, 3. πρὸς τίνας. πρός τινας m. || 4. ἐφ' ἑαυτῆς Reisk., ἀφ' ἑαυτῆς reliq. || εἶναι πιστεύσητε BM, πιστεύσητε om. reliq. || 5. τοὺς ἀνθρώπους, οἷς ὁμονοεῖν om. M. || ὁμονοεῖν B, ὁμοφρονεῖν reliq. || 8. τὴν. τινὶ M. || τὸ. τῷ B. || 9. μὴ BM. Casaub., καὶ μὴ reliq. || ἀρχομένῳ M. Selden., ἀρχομένων B, ἐρχομένῳ reliqui, unde λέγειν vel εἰπεῖν ἐρχομένῳ Reiskius. — 7, 1. Νικομηδεῖς. νικομιδεῖς M. || 2. ἀκούσατε δέ. τἀκούσατε M. || χαλεπήνητε. χαλεπαίνητε m. || 3. οὐδέ. οὐ Z. || 8. οὗ B, οὐ M, οὗ οὐδὲ Reisk., οὗ οὐ reliq. — 8, 3. ποδαπόν. ποταπόν Z. Pflugk. || εἶτα. εἴτε M. || 4. διακρῖναι Reisk., διακρίνας reliq. || 5. γάρ. δὲ Reisk. || τὸ. τῷ Reiskius frustra.

τοῖς ἀνθρώποις ἅπασιν ἀποδεῖξαι ταύτην τὴν ὁμόνοιαν τῶν πόλεων τούτων καὶ ἀναγκαιοτάτην οὖσαν ὑμῖν καὶ λυσιτελεστάτην. οὐκ ἀποστήσομαι δὲ εἰπεῖν, οὐδ' ὅπως ἂν μεῖναι γενομένη δύναιτο· καὶ γὰρ τοῦτο ὁρῶ πολλοῖς ἐνοχλοῦν.
9 εὔχομαι δὲ τοῖς θεοῖς πᾶσι καὶ τοῖς ὑμετέροις καὶ τοῖς ἐκείνων, εἰ ταῦτα εὐνοίᾳ τῇ πρὸς μόνους ὑμᾶς ἐγὼ νῦν λέγω καὶ μηδεμίαν οἰκείαν θηρώμενος δόξαν ἢ λυσιτέλειαν ἐκ τῆς καταλλαγῆς τῆς ὑμετέρας καὶ πρὸ πάντων εἰ μέλλει λυσιτελήσειν τῇ πόλει, δοῦναι μὲν ἐμοὶ τοὺς ἀξίους τοῦ πράγματος εἰπεῖν λόγους, παρασχεῖν δὲ ὑμᾶς ἐμοὶ πεισθῆναι τὰ συμφέροντα 134 R II.
10 βουλομένους. ὁμόνοιαν τοίνυν πάντες μὲν ἐπήνεσαν ἀεὶ καὶ 411 M.
λέγοντες καὶ γράφοντες, καὶ μεστὰ τῶν ἐγκωμίων αὐτῆς ἐστι καὶ τὰ ποιήματα καὶ τὰ τῶν φιλοσόφων συγγράμματα, καὶ ὅσοι τὰς ἱστορίας ἐξέδοσαν ἐπὶ παραδείγματι αὐτῶν τῶν ἔργων ἀπέδειξαν αὐτὴν μεγίστην οὖσαν τῶν ἀνθρωπείων ἀγαθῶν. καὶ πολλοὶ τολμήσαντες ἤδη τῶν σοφιστῶν παραδόξους εἰπεῖν λόγους μόνον τοῦτον οὐκ ἀπενοήθησαν ἐξενεγκεῖν, ὡς οὐ καλὸν ἡ ὁμόνοια καὶ σωτήριόν ἐστιν. τοῖς τε νῦν βουλομένοις αὐτὴν ἐγκωμιάζειν καὶ τοῖς ἀεὶ τοῦτο ποιεῖν ἄφθονος ἡ τῶν λόγων ὕλη, καὶ ἀεὶ καὶ πλείω καὶ κρείττω
11 περὶ αὐτῆς ἐξέσται λέγειν. εἴτε γὰρ ὑπὲρ γενέσεως αὐτῆς πολυπραγμονεῖν ἐθέλοι τις, ἀνάγκη τὴν ἀρχὴν αὐτῆς ἐπανάγειν ἐπὶ τὰ μέγιστα τῶν θείων πραγμάτων. ἡ γὰρ αὐτὴ καὶ φιλία ἐστὶ καὶ καταλλαγὴ καὶ συγγένεια καὶ ταῦτα πάντα περιείληφεν. καὶ τὰ στοιχεῖα δὲ τί ἄλλο ἢ ὁμόνοια συνδεῖ;

8. δὲ εἰπεῖν BM, εἰπεῖν om. reliqui, unde ἀποσιγήσομαι Casaubonus. Geelius, qui norat libri M scripturam: δὲ πρὶν εἰπεῖν. || οὐδ' ὅπως ἂν μεῖναι Obs. p. 51, οὐδ' εἴ πως ἂν μὴ μεῖναι Selden., οὐδ' εἴ πως ἂν οὐ μεῖναι r, οὐδ' εἴ πως ἂν μεῖναι reliqui. πῶς ἂν μεῖναι Geelius. conf. § 49. || 9. δύναιτο. δύναται (at postremis literis superscr. ο) Z. — 9, 3. οἰκείαν. οἰκίαν M. || 4. μέλλει λυσιτελήσειν. sic dedi. μελλήσει λυσιτελεῖν reliqui. μέλλει λυσιτελεῖν Reisk. || 5. τῇ. τῇ ὑμετέρᾳ vel τῇδε τῇ Reisk. — 10, 1. μὲν in M a corr. add. || 2. μεστὰ M. Casaub. r, μετὰ BZ. vm. || ἐγκωμίων. ἐγκομίων M. || 5. ἀνθρωπείων. ἀνθρωπίων M. || 7. ἀπενοήθησαν. ἐπενοήθησαν var. l. v. || ἐξενεγκεῖν. ἐξενεμεῖν Z. || 8. οὐ καλόν. οὐκ ἄλλον M. || 9. ἐγκωμιάζειν. ἐγκομιάζειν M. || 10. ἀεί. ἀεὶ βουλησομένοις Reisk. — 11, 2. αὐτῆς Reisk., αὐτὴν reliq. || 3. αὐτή. αὔτη M. || 4. ταῦτα πάντα. πάντα ταῦτα M. || 5. ὁμόνοια συνδεῖ Cens. p. 366, ἢ ὁμονοίας εἶναι v, ἢ ἡ ὁμόνοια εἶναι var. l. v, ἢ ὁμόνοιαν εἶναι reliqui. possit ὁμόνοια ἑνοῖ. ἢ ἡ ὁμόνοια σώζει (et καὶ ἁπλῶς δι' οὗ) Reisk., ὁμόνοιαν οἴεσθαι εἶναι Casaub., ἢ ὁμόνοια συνάγει vel

καὶ δι' οὗ σώζεται πάντα τὰ μέγιστα, τοῦτό ἐστι, καὶ δι' οὗ
πάντα ἀπόλλυται, τοὐναντίον. εἰ μὲν οὖν μὴ θνητὸν ἦμεν
οἱ ἄνθρωποι γένος μηδ' ἔδει πολλὰ εἶναι τὰ φθείροντα ἡμᾶς,
οὐκ ἂν ἦν οὐδ' ἐν τοῖς ἀνθρωπίνοις ἡ στάσις, ὥσπερ οὐδὲ ἐν
τοῖς θείοις ἔνεστιν. ᾧ δὲ μόνῳ τῆς εὐδαιμονίας ἀπολειπό-
μεθα τῆς θείας καὶ τῆς ἀφθάρτου διαμονῆς ἐκείνων, τοῦτό
ἐστιν, ὅτι μὴ πάντες ὁμονοίας αἰσθανόμεθα, ἀλλ' εἰσὶν οἱ
καὶ τὴν ἐναντίαν αὐτῇ φιλοῦντες, τὴν στάσιν, ἧς μέρη καὶ
ὑπουργήματα πόλεμοι καὶ μάχαι, καὶ ταῦτα ἐν τοῖς δήμοις
ἀναστρέφεται καὶ τοῖς ἔθνεσιν, ὥσπερ ἐν τοῖς σώμασιν αἱ
12 νόσοι. καὶ γὰρ τὴν ὑγείαν ἐπιστάμενοι μέγιστον οὖσαν τῶν
ἀνθρωπίνων ἀγαθῶν ὅμως αὐτῇ πολλάκις αὐτοὶ καθ' αὑτῶν
ἐπιβουλεύομεν, οἱ μὲν ἡδοναῖς πεισθέντες, οἱ δὲ πόνους φεύ-
γοντες ὑγιεινοὺς καὶ διαίτας σώφρονας. εἰ δὲ μὴ τοῦτο τοῖς
μεγίστοις τῶν κακῶν ὑπῆρχε βοήθημα, ἡ παραυτίκα ἡδονή,
δύναμιν ἂν οὐδ' ὅλως εἶχε βλάπτειν· νῦν δὲ αὐτοῖς ἔδωκεν ἡ
φύσις, ὥστε ἐξαπατᾶν δύνασθαι καὶ τέρπειν τοὺς ἀδικουμέ-
13 νους. καὶ ἐπί γε ᾧ τις ἂν καὶ μάλιστα φθονήσειεν αὐτοῖς,
ἐκεῖνό ἐστιν, ὅτι πάντα τὰ κακὰ λυπεῖ τοὺς ἀνθρώπους
ὁποῖά ἐστιν ἐπισταμένους. εἰ μὲν οὖν τις ἐρωτήσειε ἕνα
ἄνδρα ἢ πολλοὺς ὁμοῦ περὶ τῶν ὀνομάτων αὐτῶν, ἐν ποίῳ δὴ
μέρει τὰ τοιαῦτα κατατάττεται, πόλεμοι καὶ στάσεις καὶ
νόσοι καὶ τὰ τούτοις ὁμότροπα· οὐδὲν ἂν μελλήσας ἀποκρί-
ναιτο οὐδείς, ὅτι ταῦτα ἐν τοῖς κακοῖς τάττεται· καὶ οὕτως,
14 ὡς ἔχει, καὶ νενόμισται καὶ καλεῖται κακά. τὰ δ' ἐναντία
τούτοις, εἰρήνη καὶ ὁμόνοια καὶ ὑγεία, καὶ ταῦτα οὐδεὶς ἂν
ἀντείποι μὴ οὐχὶ ἀγαθὰ καὶ εἶναι καὶ λέγεσθαι. φανερᾶς

συνάπτει Iacobs., ἡ ὁμόνοια εἶναι δοκεῖ, δι' οὗ σώζεται πάντα Geel. ‖ 7. ἦμεν. ἦ μὲν vm. ‖ 8. μηδ' ἔδει ZB. Casaub. r, μηδὲ δεῖ M, μηδ' ἤδη reliq. ‖ εἶναι. ἦν var. l. v. ‖ 9. οὐδ' ZB. Casaub. r, οὐδὲ M, οὐδὲν vm. ‖ ἀνθρωπίνοις BM, ἀνθρώποις reliq. ‖ 10. θείοις. sic dedi. θεοῖς reliq. ‖ ἀπολειπόμεθα. ἀπολειπώμεθα B, ἀπολιπώμεθα M. ‖ 13. ἧς. εἰς M. ‖ 15. ἔθνεσιν. ἔνεστιν M. — 12, 4. διαίτας. διὰ τὰς M. ‖ 6. δύναμιν om. M. ‖ οὐδ'. οὐδὲ M. — 13, 1. τις ἂν καὶ μάλιστα B, τις ἂν μάλιστα M, καὶ μάλιστά τις ἂν reliq. ‖ φθονήσειεν BM. r, φθονήσοιεν vm. ‖ 2. κακὰ M. Reisk., καλὰ reliq. ‖ 4. δὴ μέρει B, μέρει δεῖ M, μέρει δὴ reliq. ‖ 6. ὁμότροπα. ὁμοιότροπα Reisk. ‖ ἀποκρίναιτο Geel., ἀπεκρίνατο reliq. ‖ 7. οὐδεὶς delet Geel. ‖ τάττεται BM, τέτακται reliq. ‖ οὕτως, ὡς Reisk., ὡς om. reliq. — 14, 2. ταῦτα. τὰ τοιαῦτα Reisk. ‖ ἂν ἀντείποι Reisk., ἂν om. reliq. ‖ 3. καὶ εἶναι. καὶ om. M.

δὲ οὕτως οὔσης τῆς μάχης τῶν κακῶν καὶ τῶν ἀγαθῶν, ὅμως
εἰσί τινες, μᾶλλον δὲ πολλοί, οἵτινες τῶν κακῶν τοῖς ὁμολο-
γουμένοις χαίρομεν. καὶ περὶ δὲ τῆς νεὼς πάντες οἱ πλέοντες
ἐπιστάμενοι διότι μία αὕτη ἐστὶ σωτηρία, τὸ τοὺς ναύτας
ὁμονοεῖν, καὶ τῷ κυβερνήτῃ πείθεσθαι, γενομένης δὲ στάσεως
ἐν αὐτῇ καὶ ἀπειθείας, διότι καὶ τὰ δεξιὰ πολλάκις τῶν
πνευμάτων εἰς ἐναντίον τῇ νηὶ περιίσταται καὶ τῶν λιμένων
ἀποτυγχάνουσιν ἐγγὺς ὄντων, ὅμως στασιάζουσιν ἔστιν ὅτε
ὑπὸ ἀφροσύνης οἱ ναῦται, καὶ τοῦτο ἀπόλλυσιν αὐτοὺς ἐπι-
15 σταμένους τοῦ ὀλέθρου τὴν αἰτίαν. καὶ τῶν οἴκων δὲ τῆς
σωτηρίας οὔσης ἔν τε τῇ τῶν δεσποτῶν ὁμοφροσύνῃ καὶ ἐν
τῇ τῶν οἰκετῶν πειθαρχίᾳ, πολλοὺς ὅμως οἴκους ἀπώλεσεν
ἥ τε δεσποτικὴ στάσις καὶ ἡ κακοδουλία. τῷ μὲν γὰρ ἅρματι
ποία καταλείπεται σωτηρία τῶν ἵππων συνθεῖν μὴ θελόντων;
ἐπειδὰν γὰρ ἄρξωνται διαστάντες ἀφέλκειν ἄλλος ἀλλαχοῦ,
πᾶσα ἀνάγκη κινδυνεύειν τὸν ἡνίοχον. ὁ δὲ γάμος ὁ ἀγαθὸς
τί ἄλλο ἐστὶν ἢ ὁμόνοια ἀνδρὸς πρὸς γυναῖκα; καὶ ὁ κακὸς
γάμος τί ἄλλο ἐστὶν ἢ ἡ τούτων διχόνοια; καὶ τέκνων δὲ τίς 137 R II.
ὠφέλεια γονεῦσιν, ὅταν ὑπὸ ἀφροσύνης ἄρξηται στασιάζειν
πρὸς αὐτούς; ἡ δὲ ἀδελφότης τί ἄλλο ἐστὶν ἢ ἀδελφῶν ὁμό-
16 νοια; ἡ δὲ φιλία τί ἄλλο ἢ φίλων ὁμόνοια; καὶ ταῦτα πάντα
οὐ μόνον ἀγαθά ἐστι καὶ καλά, ἀλλὰ καὶ ἥδιστα, τὰ δὲ 473 M.
ἐναντία τούτοις οὐ κακὰ μόνον, ἀλλὰ καὶ ἀηδῆ· καὶ ὅμως
αὐτὰ πολλάκις ἀντὶ τῶν ἡδίστων ἀγαθῶν προαιρούμεθα.
τοὺς μὲν οὖν πολέμους ἤδη τινὲς ἀντὶ τῆς εἰρήνης ἐπανείλοντο
μεγάλων ὄντων τῶν διαφόρων· οὐχ ὡς τὸ μάχεσθαι κρεῖττον
ὂν ἢ ἥδιον καὶ δικαιότερον τοῦ τὴν εἰρήνην ἄγειν· ἀλλ' οἱ
μὲν ὑπὲρ βασιλείας, οἱ δὲ ὑπὲρ ἐλευθερίας, οἱ δὲ γῆν κτώμε-
νοι μὴ ἔχοντες, οἱ δὲ θάλατταν περιποιούμενοι. καὶ τηλικού-
των ὅμως τῶν ἄθλων κειμένων ἐν τῷ μέσῳ πολλοὶ κατέθεντο
τὸν πόλεμον ὡς οὐκ ἂν ὄντα οὐδὲ ἀντὶ τῶν μεγίστων αἱρε-

6. χαίρομεν. χαίρουσιν Geel. ‖ 7. αὕτη. αὐτῇ Geel. ‖ 8. πείθεσθαι. πείσεσθαι M. ‖ 9. ἀπειθείας. ἀπειθίας M. — 15, 6. ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ ἄρξωνται. ἄρξονται M. ‖ ἀλλαχοῦ. malim ἀλλαχῇ. ‖ 7. γάμος ὁ om. M. ‖ 10. ὠφέλεια. ὠφελία M. ‖ 12. φιλία M, φιλαδελφία reliq., φιλοφιλία Reisk. ‖ ἄλλο. ἄλλο ἐστὶν B. — 16, 5. ἐπανείλοντο. ἐπανείλαντο M. ‖ 6. διαφόρων r, διαφορῶν reliq. ‖ 7. ὂν M. var. l. v. r, ἦν B. vm. ‖ 11. ὡς οὐκ ἂν ὄντα. sic dedi. ὡς οὐ κακὸν ὄντα M (sed οὐ obel. notat.), ὡς οὐ κακὸν ὄντα B, ὡς κακὸν ὄντα reliq. ‖ αἱρεθῆναι

17 θῆναι σφίσιν ἄξιον. τὸ δὲ καὶ χωρὶς ὑποθέσεως πολεμεῖν
καὶ μάχεσθαι τί ἄλλο ἢ μανία παντελής ἐστι καὶ διὰ ταύτην
κακῶν ἐπιθυμία; τὰ μὲν οὖν θηρία διὰ τοῦτο μάλιστα οἱ
ἄνθρωποι μισοῦμεν, ὅτι πόλεμος ἡμῖν ἀδιάλλακτος πρὸς ταῦτά
ἐστιν ἀεί· πολλοὶ δὲ καί τινες ἡμῶν καὶ τοῖς ἀνθρώποις ὡς
θηρίοις χρώμενοι χαίρουσι τῇ πρὸς τὸ ὁμόφυλον γιγνομένῃ 138 R II.
μάχῃ. καὶ οὐδὲ τῶν σημείων αἰσθανόμεθα τῶν θείων, ὅσα
18 διδάσκοντες ἡμᾶς ὁμονοεῖν αὐτοῖς ἐπεφήμισαν. καὶ γὰρ κή-
ρυκές τινες ἐκ τῶν θεῶν εἶναι λέγονται, καὶ διὰ τοῦτο καὶ
παρ' ἡμῖν εἰρήνη μὲν ἐπικηρύσσεται, πόλεμοι δὲ ὡς ἐπὶ τὸ
πλεῖστον ἀκήρυκτοι γίγνονται, καὶ γυμνοὶ πρεσβεύουσιν εἰς
ὡπλισμένους ὑπὲρ εἰρήνης καὶ ἀδικῆσαι οὐκ ἔξεστιν αὐτῶν
οὐδένα, ὡς τῶν θεῶν ἅπαντας τοὺς ὑπὲρ φιλίας ἀγγέλους·
καὶ ὅταν συνερχομένων εἰς μάχην στρατῶν ἢ διοσημία φανῇ
αἰφνίδιος ἢ τῆς γῆς γένηται σεισμὸς, ἀποστρέφονται εὐθὺς
οἱ ἄνθρωποι καὶ ἀποχωροῦσιν ἀπ' ἀλλήλων, ὡς τῶν θεῶν
19 οὐ βουλομένων αὐτοὺς μάχεσθαι. πολέμου δὲ σημεῖον οὐδὲν
θεῖόν ἐστιν ὑπειλημμένον. καὶ ὅσα δὲ δὴ ἥδιστά τε τοῖς ἀν-
θρώποις καὶ εὐδαιμονίας σύμβολα, ταῦτα πάντα ποιοῦμεν,
ἐπειδὰν εἰρήνη γένηται, καὶ στεφανούμεθα καὶ θύομεν καὶ
ἑορτάζομεν· τὰ δὲ ἐναντία πάντα ἐν τοῖς πολέμοις, ὥσπερ ἐν 474 M.
τοῖς πένθεσι, καὶ συγκλειόμεθα ἔσω πυλῶν καὶ δεδοίκαμεν
πάντα καὶ ἀπελπίζομεν ἑαυτοὺς, καὶ αἱ γυναῖκες τότε ὑπὲρ
τῶν ἀνδρῶν κλαίουσι καὶ οἱ παῖδες ὑπὲρ τῶν πατέρων ὡς
20 ἐπὶ τοῖς μεγίστοις κακοῖς. ἐπειδὰν μὲν οὖν λοιμὸς ἢ σεισμὸς 139 R II.
γένηται, τοῖς θεοῖς ἐγκαλοῦμεν, ὡς κακῶν παρέχουσιν τοῖς
ἀνθρώποις αἰτίας, καὶ οὔ φαμεν αὐτοὺς εἶναι δικαίους οὐδὲ
φιλανθρώπους, οὐδὲ ἂν τὰ μάλιστα ἡμῖν ἡμαρτηκόσιν ἐπιτι-
μῶσι σὺν τῇ δίκῃ· τοσοῦτον μῖσός ἐστι πρὸς τὰ αὐτόματα
τῶν κακῶν. πόλεμον δὲ, ὅστις οὐχ ἧττον ἀπόλλυσιν ἢ σεισμὸς,
αὐτοὶ προαιρούμεθα καὶ τοῖς αἰτίοις τούτων ἀνθρώποις οὐκ

σφίσιν Obs. p. 52, αἱρεθῆναί τισιν reliq. ‖ 12. ἄξιον. ἀνάξιον B. — 17, 8. αὐτοῖς. αὐτοῖς M. — 18, 6. ἅπαντας BM (mrg. vulg.), ὄντας reliq., possit ὄντας ἅπαντας. ‖ 8. αἰφνίδιος. αἰφνήδιος M. ‖ 10. βουλομένων. βουλομένους B. — 19, 2. ὑπειλημμένον. ὑπειλιμμένον M. ‖ 3. ταῦτα πάντα BM, πάντα om. reliq. ‖ 6. συγκλειόμεθα. συγκειόμεθα M, συγλειόμεθα vm. ‖ 7. καὶ ἀπελπ. BM, ἀλλὰ καὶ ἀπελπ. reliq. — 20, 1. ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ 5. τῇ delet Reisk. ‖ 6. οὐχ om. B. ‖ σεισμὸς. σεισμὸς ἢ λιμὸς Reisk.

ἐγκαλοῦμεν οὐδὲν, ὥσπερ ὑπὲρ ἐκείνων τοῖς θεοῖς, ἀλλὰ τού-
τους εἶναι καὶ φιλοδήμους δοκοῦμεν καὶ λεγόντων ἥδιστα
ἀκούομεν αὐτῶν καὶ συμβουλεύουσι πειθόμεθα καὶ πάσας
αὐτοῖς παρέχομεν ἀντὶ τῶν κακῶν οὐκ ἀμοιβάς· ἀμοιβαὶ γὰρ
ἐξ ἴσων ἂν ἐγίγνοντο πρὸς αὐτοὺς κακῶν· ἀλλὰ χάριτας καὶ
τιμὰς καὶ ἐπαίνους· ὥστε σφόδρα ἂν εἶεν ἀνόητοι τῶν ἐπὶ
21 τοῖς κακοῖς ἔτι χάριν εἰδότων φειδόμενοι. τὸ μὲν οὖν πρῶ-
τον, ἄνδρες Νικομηδεῖς, τὰς αἰτίας τῆς στάσεως ἴδωμεν. εἰ
μὲν γὰρ τηλικαῦτά ἐστιν, ὥστ' ἄξιον εἶναι πολεμεῖν πόλεμον
οὐ σύντομον, οἷος ἂν τοῖς ὅπλοις ἐγίγνετο καὶ παρηγορίαν
εἶχε τὸ τάχος τῆς διακρίσεως, ἀλλὰ μακρὸν καὶ ἄπαυστον,
ὥστε αὐτὸν ὑπολείπεσθαι καὶ τοῖς παισὶ καὶ τοῖς ἐγγόνοις 140 R II.
καὶ μηδέποτε σχεῖν ἐλπίδα καταλλαγῆς· ἀγωνιζώμεθα καὶ
στασιάζωμεν καὶ πράγματα παρέχωμεν ἀλλήλοις, ὅσα ἔνεστι
παρέχειν, ἀχθόμενοι διότι μὴ καὶ πλείω δυνάμεθα. εἰ δὲ μά-
λιστα μὲν οὐδέν ἐστι τὸ ἆθλον τούτου τοῦ κακοῦ, τὰ δὲ δο-
κοῦντα εἶναι καὶ μικρά ἐστι καὶ φαῦλα καὶ οὐδ' ἰδιώτας ὑπὲρ
αὐτῶν στασιάζειν ἄξιόν ἐστιν, οὐχ ὅπως πόλεις τηλικαύτας·
μὴ πάσχωμεν ὅμοιόν τι τοῖς ἄφροσι τῶν παίδων, οἵτινες
αἰδούμενοι μὴ δοκῶσι μάτην ὀργίζεσθαι τοῖς πατράσιν ἢ ταῖς
22 μητράσιν οὐ βούλονται καταλλάττεσθαι ῥᾳδίως. ὑπὲρ μὲν
οὖν γῆς ἢ θαλάττης οὐδὲ μαχόμεθα, ἀλλὰ θαλάττης μὲν
οὐδ' ἀντιποιοῦνται πρὸς ὑμᾶς οἱ Νικαεῖς, ἀλλ' ἡδέως, ὥστε 475 M.
μηδεμίαν παρέχειν μάχην, διακέκρινται. καὶ μὴν οὐδὲ ὑπὲρ
προσόδων ἀγωνιζόμεθα, ἀλλὰ ἑκάστοις ἀπόχρη τὰ οἰκεῖα·
καὶ ταῦτα δὲ τυγχάνει διωρισμένα καὶ μήν γε καὶ τἆλλα
πάντα, ὥσπερ ἐν εἰρήνῃ καὶ φιλίᾳ. καὶ καρπῶν εἰσιν ἀντι-
δόσεις καὶ γάμων ἐπιμιξίαι καὶ ἀπ' αὐτῶν καὶ συγγένειαι
πολλαί τινες ἤδη γεγενημέναι· καὶ προξενίας δὲ ἔχομεν καὶ

10. πειθόμεθα BM (corr. καὶ πειθόμεθα). Reisk., καὶ πειθόμεθα reliq. ‖ 12. ἴσων. ἴσως M. ‖ κακῶν. κακαὶ κακῶν Reisk. — 21, 3. τηλικαῦτά ἐστιν. τηλικαῦταί εἰσιν Reisk. ‖ ὥστ' BM, ὡς reliq. ‖ 4. οὐ B, οὐδὲ reliq. ‖ οἷος. οἷς B. ‖ ἂν. sic dedi. ἂν ἐν Reisk., ἐν reliq. ‖ καί. καὶ γὰρ Reisk. ‖ 6. ἐγγόνοις. sic dedi. ἐκγόνοις reliq. ‖ 7. σχεῖν M, ἔχειν reliq. ‖ 9. μὴ καὶ Obs. p. 52, καὶ μὴ reliq. ‖ 13. μή. ἦν M. — 22, 2. γῆς ἢ θαλάττης M, γῆς καὶ θαλάττης B, ἢ θαλάττης om. reliqui, unde sic Reiskius: γῆς οὐδὲ μαχόμεθα. ἀλλὰ θαλάττης; ἀλλὰ θαλάττης μὲν cett. ‖ 3. Νικαεῖς. νικεεῖς M. ‖ 4. διακέκρινται. διακέκριται M. ‖ 5. προσόδων. προσώδων M. ‖ τὰ οἰκεῖα B. r ex Interpr., τὰ οἰκεία M, τὰ οἰκία vm.

φιλίας ἰδιωτικάς· θεούς τε τοὺς αὐτοὺς νομίζετε καὶ τὰς
ἑορτὰς πλείστας ὁμοίως ἄγετε. καὶ μὴν οὐδὲ ὑπὲρ τῶν ἐθῶν
οὐκ ἔστιν οὐδεμία ὑμῖν μάχη. τούτων δὲ ἁπάντων οὐκ ἔχθρας
παρεχόντων αἰτίαν, ἀλλὰ τοὐναντίον φιλίας καὶ ὁμονοίας,
23 μαχόμεθα. κἂν τις ὑμᾶς ἐπιστὰς ἔρηται· τί δὲ ὑμᾶς οἱ Νι-
καεῖς ἀδικοῦσιν; οὐδὲν εἰπεῖν ἕξετε. κἂν ἐκείνων πύθηται
πάλιν· τί δὲ οἱ Νικομηδεῖς ἀδικοῦσιν ὑμᾶς; οὐδὲ αὐτοὶ λέ-
γειν ἕξουσιν οὐδὲ ἕν. ἀλλὰ ἆθλόν ἐστιν ἐν τῷ μέσῳ κείμενον,
ὑπὲρ οὗ διαφέρεσθε. καὶ τί τοῦτό ἐστιν; ἃ μέν γε καὶ ὀνο-
μάσαι ἄξιον καὶ ὁμολογῆσαι καὶ περὶ ὧν ἂν συγγνώμη τις
τοῖς ἀγωνιζομένοις, τούτων οὐδέν ἐστι, τὰ δὲ ὄντα οὐδὲ εἰπεῖν
οὐδὲ ὁμολογῆσαι καλῶς ἔχει· τοιαῦτά ἐστιν, οὕτω σμικρά,
οὕτω τὰ τυχόντα, ἐφ᾽ οἷς οἱ μὲν ἀνόητοι φιλοτιμηθεῖεν ἂν
24 ἴσως, εὖ δὲ φρονῶν ἂν οὐδείς. οἱ γὰρ παρακαλοῦντες ὑμᾶς
ἐπὶ τὴν στάσιν· δι᾽ ἃς δὲ αἰτίας, οὐκ ἐμὸν ἴσως ἐξελέγχειν·
ἀλλ᾽ οἵ γε χαίροντες αὐτῇ τοῦτο μόνον λαλοῦσιν· ὑπὲρ πρω-
τείων ἀγωνιζόμεθα. τούτους οὖν αὐτοὺς ἐρήσομαι πάλιν
ἐγώ· τίνων πρωτείων; καὶ πότερον ἔργῳ καὶ πράγματι δοθη-
σομένων ἢ περὶ ὀνόματος αὐτὸ μόνον ἐστὶν ὑμῖν ἡ μάχη;
καὶ πρότερον γάρ δήποτε ἀκούω τὸ αὐτὸ τοῦτο γενέσθαι
στάσεως Ἑλληνικῆς αἴτιον, καὶ πολεμῆσαι περὶ τῶν πρωτείων
25 τοὺς Ἀθηναίους καὶ τοὺς Λακεδαιμονίους. καὶ διότι μὲν
οὐδὲ ἐκείνοις ἐλυσιτέλησεν ἡ στάσις καὶ ὁ πόλεμος, ἀλλὰ πρὸς
ἀλλήλους ἀγωνιζόμενοι περὶ τῶν πρωτείων ἀπώλεσαν αὐτοὺς
ἀμφότεροι, καὶ ὑμεῖς ἅπαντες ἐκεῖνα ἴστε καὶ ἴσως κἀγὼ
μικρὸν ὕστερον ὑπὲρ αὐτῶν ἐρῶ. τί δαί; τοῦτο ὡς ὅμοιον
ἐκείνῳ προβαλλόμενοι λέγουσιν; Ἀθηναῖοι περὶ τοῦ φόρους
λαμβάνειν παρὰ τῶν νησιωτῶν ἐπολέμουν, καὶ περὶ τοῦ δικα-

10. τὰς ἑορτὰς πλείστας. ἑορτὰς τὰς πλείστας vel καὶ τὰς πλείστας ἑορτὰς Reisk., τὰς ἑορτὰς τὰς πλείστας Pflugk. ‖ 11. ἐθῶν. ἐθνῶν BM. — 23, 1. ἔρηται. εἴρητε M. ‖ τί δὲ M, τί δαὶ reliq. ‖ 2. πύθηται. πύθητε B. ‖ 3. δὲ M, δαὶ reliq. ‖ Νικομηδεῖς. νικομιδεῖς M. ‖ 4. κείμενον. κειμένων m. ‖ 5. διαφέρεσθε. διαφέρεσθαι M. ‖ 6. συγγνώμη τις. συγγνώμη τις ᾖ vel συγγνοίη τις Reisk. ‖ 7. οὐδέν ἐστι, τὰ δὲ ὄντα Selden., οὐδ᾽ ἐστὶ τὰ δέοντα reliq. ‖ εἰπεῖν. εἰπεῖν ἔστιν Selden., εἰπεῖν τολμῴη τις Reisk. ‖ 8. καλῶς Obs. p. 52, ὡς καλῶς reliq. ‖ οὕτω σμικρὰ B. r, οὕτως μικρὰ reliq. ‖ 9. οὕτω τά. οὕτως τὰ M. — 24, 4. οὖν BM, μὲν οὖν reliq. ‖ 6. αὐτό. αὐτοῦ var. l. v. r. ‖ ἐστὶν ὑμῖν. ἡμῖν ἐστιν M, ἐστὶν B. — 25, 3. αὐτούς. αὐτὰ BM. ‖ 4. ἴστε BM. r ex Interpr., ἔστε vm. ‖ 5. ὑπὲρ om. m. ‖ δαί. δὲ M. ‖ 6. τοῦ φόρους. τοὺς φόρους m. ‖ 7. τοῦ δικάζειν BM. var. l. v. r, τὸ δικάζειν vm.

ζειν οἴκοι τὰς ἁπάντων δίκας κατὰ ἀλλήλων ἠγωνίζοντο, καὶ καθόλου περὶ βασιλείας ὁ πόλεμος ἦν ταῖς πόλεσιν ἐκείναις.
26 ἡμεῖς δὲ ἂν ἀπολάβωμεν τὸ πρωτεῖον ἀμαχεὶ παραδόντων αὐτὸ τῶν Νικαέων, πότερα ληψόμεθα τοὺς φόρους, οὓς νῦν ἐκεῖνοι λαμβάνουσιν; ἢ τὰς πόλεις τὰς συντελούσας εἰς τὸ παρ' ἐκείνοις δικαστήριον ἐνταυθοῖ καλέσομεν; ἢ πέμψομεν αὐτοῖς ἁρμοστάς; ἢ δεκάτας τὰς παρὰ τῶν Βιθυνῶν ἐκείνοις ἔλαττον παρέξομεν; ἢ τί ἔσται; καὶ τί ἡμῖν γενήσεται πλέον; ἐγὼ γὰρ ὑπὲρ ἁπάντων νομίζω τοὺς ἀνθρώπους τῶν πραττομένων οὐχὶ μάτην οὐδὲ εἰκῇ σπουδάζειν, ἀλλ' ἀεὶ γίγνεσθαι τὸν
27 ἀγῶνα ἀντί τινος. ὁ μὲν γὰρ πολεμῶν ἢ περὶ ἐλευθερίας ἀγωνίζεται καταδουλουμένων αὐτὸν ἄλλων ἢ περὶ ἀρχῆς αὐτὸς ἑτέρους καταδουλούμενος. ὁ δὲ πλέων τὴν θάλατταν οὐκ ἄλην εἰκῇ διατίθεται· κινδυνεύει γὰρ ἤτοι γε ὁδοῦ χάριν ἢ 143 R II.
ἐμπορίας. ἵνα δὲ μὴ πάντα φέρω τὰ παραδείγματα, ἁπλῶς καὶ πράττομεν ἅπαντα οἱ ἄνθρωποι τέλους ἕνεκεν ἀγαθοῦ καὶ φεύγομεν τὰς ἐναντίας πράξεις τέλους ἕνεκεν κακοῦ. τὸ δὲ χωρὶς αἰτίας σπουδάζειν ἢ πονεῖν, τοῦτ' ἔστιν, ὃ τοῖς
28 ἀνοήτοις προσήκει μόνοις. εἰ μὲν οὖν τις σπουδὴν ἔχοι καλεῖσθαι βασιλεὺς ἰδιώτης ὢν καὶ τοῦτο ἄριστα ἐπιστάμενος αὐτὸς ὑπὲρ αὐτοῦ, τοὐναντίον οὗτος ἢ δοκεῖ γέλωτα ὀφλήσει χρώμενος ὀνόματι ψευδεῖ δίχα πράγματος. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως ἁπάντων, κἂν αὐλητής τις ἐθέλῃ δοκεῖν αὐλεῖν οὐκ ἐπιστάμενος, κἂν μουσικὸς οὐδὲν ὑπὲρ μουσικῆς εἰδώς, κἂν κιθαριστὴς οὐδὲ ἅψασθαι τῆς λύρας ἐπιστημόνως δυνάμενος. τοὺς μὲν οὖν τοιούτους οὐδὲν κωλύσει καὶ μαινομένους 144 R II.
δοκεῖν. ἡμεῖς δὲ οἰόμεθα, ἐὰν ἐπιγραφῶμέν που πρῶτοι, τὸ

8. κατὰ ἀλλήλων. ἑλλήνων (om. κατὰ) M. — 26, 2. Νικαέων BM, Νικαίων reliq. ‖ 5. δεκάτας τάς. sic dedi. δεμάτας v (at var. l. δεκάτας), δεκάτας (om. τὰς) reliqui. Reiskius locum sic scribit: δεκάτας ἃς παρὰ τῶν Βιθυνῶν ἔπραττον, πράξομεν. ‖ 6. τί ἔσται. τί ἡμῖν ἔσται Reisk. (vel in proximis ἡμῖν transponit post γενήσεται). — 27, 1. γὰρ in M a corr. add. ‖ 4. ἄλην εἰκῇ Geel., ἄλλη νίκη M, ἄλλην νίκη v, ἄλλην νήκην var. l. v, ἄλλην νίκην reliqui. Seldenus locum sic tentat: οὐκ ἄλλως (vel μάτην) νικᾷν διατείνεται vel οὐχ ἁπλῆν νίκην προτίθεται, Reiskius: οὐκ ἄλλως διαθεῖ vel οὐκ ἄλλως τὴν σπουδὴν διατίθεται vel οὐκ ἄλην κενὴν διατίθεται, Iacobsius propius a vero: οὐκ ἄλην εἰκαίαν διατίθεται. ‖ 7. κακοῦ. καλοῦ Reisk. — 28, 1. τις BM. Selden. r, τὴν vm. ‖ ἔχοι. ἔλοι M. ‖ 3. αὐτοῦ. αὑτοῦ M. ‖ οὗτος transponit Reiskius post δοκεῖ. ‖ ἤ. ᾗ ἤ B, ἤει M, possit ἤ ᾗ. ‖ 5. ἐθέλῃ BM, ἐθέλει reliq.

29 πρωτεῖον ἕξειν. ποῖον, ἄνδρες Νικομηδεῖς, πρωτεῖον; καὶ γὰρ
δεύτερον ὑμᾶς ἐρήσομαι καὶ τρίτον· οὗ τί τὸ ὄφελός ἐστιν;
οὗ τί τὸ ἔργον; ἀφ᾽ οὗ πότερον πλουσιώτεροι γενησόμεθα;
ἢ μείζονες; ἢ δυνατώτεροι; τὸ κενοδοξεῖν ἀνόητον μὲν εἶναι 477 M
καὶ ἐπὶ τῶν ἰδιωτῶν νενόμισται, καὶ μάλιστα τούτων κατα-
γελῶμεν καὶ διαπτύομεν αὐτοὺς καὶ τελευτῶντες ἐλεοῦμεν
τοὺς οὐκ ἐπισταμένους, τίνι διαφέρει δόξα ψευδὴς ἀληθοῦς·
καὶ τῶν πεπαιδευμένων οὐδεὶς οὕτως ἔχει πρὸς αὐτήν, ὡς ἐπι-
θυμεῖν ἀνονήτου πράγματος. ταῖς δὲ πόλεσι φῇ τις κοινῇ
προσήκειν, ὅσα μηδὲ τῶν ἰδιωτῶν τοῖς γενναίοις καὶ πεπαι-
30 δευμένοις; καθόλου δ᾽ εἴ τις ὑμᾶς ἔροιτο, ἄνδρες Νικομηδεῖς,
τί βούλεσθε, πότερον εἶναι πρῶτοι ταῖς ἀληθείαις ἢ καλεῖ-
σθαι μὴ ὄντες, ὁμολογήσαιτε ἂν δήπουθεν εἶναι πρῶτοι μᾶλ-
λον ἐθέλειν ἢ καλεῖσθαι μάτην. οὐ γὰρ τὰ ὀνόματα δύναμιν
ἔχει τὴν τῶν πραγμάτων, ὅσα δὲ ταῖς ἀληθείαις ἐστὶ τοιαῦτα,
31 οὕτω καὶ ἐξ ἀνάγκης ὀνομάζεται. πειρᾶσθε τοίνυν πρωτεύειν
τῶν πόλεων τὸ μὲν πρῶτον ἐκ τῆς ἐπιμελείας τῆς περὶ αὐτάς·
τοῦτο μὲν γάρ, καθὸ μητρόπολίς ἐστε, ἐξαίρετόν ἐστιν ἔργον
ὑμέτερον· εἶτα τῷ παρέχειν αὐτοὺς δικαίους ἅπασι καὶ με-
τρίους καὶ μὴ πλεονεκτεῖν ἐν μηδενὶ μηδὲ βιάζεσθαι. ταῦτα
γὰρ ἐξ ἀνάγκης ἀπεχθείας κινεῖ καὶ διαφοράς, φύσει μὲν τῶν 115 R II
ἐλαττόνων πρὸς τοὺς μείζονας ὑπόπτως διακειμένων, ὡς ἐξ
ἅπαντος πλεονεκτεῖσθαι μελλόντων, ὅταν δὲ καὶ ἔργῳ τοῦτο
32 γίγνηται, δικαιότερον τῆς ἀπεχθείας παροξυνομένης. ἔξεστι
δὲ ὑμῖν εὐεργετεῖν τὰς πόλεις καὶ πλέον καὶ μεῖζον ἢ ἐκείνοις.
τὸ μὲν πρῶτον καὶ μάλιστα διὰ τὴν θάλατταν, ἐξ ἧς ἀπάν-

29, 6. διαπτύομεν αὐτούς. διαπτύομεν αὐτοῖς B, διαπτεύομεν αὐτοῖς M. ‖ 9. ἀνονήτου Casaub., ἀνοήτου reliq. ‖ φῇ. φήσει Pflugk. p. 24. ‖ 10. μηδέ. μὴ δὲ vm. — 30, 1. δ᾽ εἴ. δεῖ εἰ M. ‖ 2. βούλεσθε. βούλεσθαι M. ‖ 3. ὁμολογήσαιτε. sic dedi. idem visum est Pflugkio, ὁμολογήσετε reliq. — 31, 1. πειρᾶσθε. πειρᾶσθαι M. ‖ 3. μὲν γάρ. sic dedi. γὰρ Reisk. ex Interpr., μὲν reliq. ‖ ἐστε Reisk. (vel ἡ πόλις ἐστίν), ἐστιν reliq. ‖ 4. αὐτούς. αὑτοὺς M. ‖ 9. γίγνηται. sic dedi. γίνηται BM. γίγνεται reliq. — 32, 3. τὸ μέν. sic dedi. μὲν om. reliq. ‖ ἐξ ἧς ἀπάντων μὲν καὶ τῶν νῦν κομιζομένων. scribo ἐξ ἧς ἅπαντα μὲν καὶ τὸ νῦν κομίζονται τῶν καὶ τῶν χαριζομένων. videtur autem corruptela hanc originem habuisse, ut oculus librarii a v. κομίζονται ad χαριζομένων aberraret. vitiosa haec esse monuit Casaubonus. Seldenus locum sic constituit: ἐξ ἧς ἀποτρέφονται μὲν καὶ τὸ νῦν χαριζομένων ὑμῶν vel ἐξ ἧς ἀπόνανται μὲν καὶ τὸ νῦν κομιζομένων ὑμῶν. Reiskius ita: διὰ τῆς θαλάττης, ἐξ ἧς ἀπάντων ἀπολαύομεν καὶ τῶν παρ᾽ ἡμῖν

των μὲν καὶ τῶν νῦν κομιζομένων· δεῖ δὲ δημοσίᾳ χαρίζεσθαι
τὴν πόλιν, οὐκ ἰδίᾳ τινάς· τὰ δὲ καὶ διακλέπτοντες αὐτοί, 146 R II.
τὰ δ' αἰτούμενοι παρέκαστα· καὶ ἀντιλέγετε μὲν οὐδέποτε
τοῖς αἰτήσασιν ὑμεῖς, αὐτὸ δὲ ὅμως φορτικόν ἐστι τὸ τὴν τῆς
αἰτήσεως ἀνάγκην ἔχειν. εἰ δὲ καὶ τούτων ἁπάντων μετα-
λαμβάνειν ἐπιτρέψετε τοῖς δήμοις τοῖς καθ' ἑκάστην ἡμέραν
αἰτουμένοις τὸ πρὸς τὴν χρείαν ἐπεῖγον, πῶς οὐκ εἰκός ἐστι
μείζους ὑμᾶς ἔσεσθαι παρ' αὐτοῖς εὐεργετοῦντας αὐτούς; καὶ
ἅμα καὶ μεγάλην ποιήσετε τὴν ὁμόνοιαν διὰ πάντων ἐλευσο-
33 μένην. πειρᾶσθε δὲ καὶ τοῖς ἡγεμόσιν αἰδῶ παρέχειν ἀεὶ 478 M.
τοῦτο φανερὸν καθιστάντες, ὅτι μὴ ἀπόχρη ὑμῖν καλῶς διοι-
κεῖσθαι μόνοις, ἀλλὰ παντὸς ἐπιμελεῖσθε τοῦ τῶν Βιθυ-
νῶν γένους, καὶ οὐδὲν ἧττον δυσχεραίνετε τοῖς εἰς τοὺς ἄλλους
ἀδικήμασιν ἢ τοῖς εἰς αὐτούς, καὶ ἄν τινες καταφύγωσιν ἐφ'
ὑμᾶς δεόμενοι βοηθείας, προθύμως ἐπαρκεῖτε καὶ ὁμοίως.
ταῦτα τὸ πρωτεῖον ὑμῖν παραδώσει τὸ ἀληθινόν, οὐχ ἡ περὶ
34 τῶν ὀνομάτων πρὸς Νικαεῖς μάχη. βουλοίμην δ' ἂν καὶ
ἐκείνους τὰ αὐτὰ ποιεῖν, καὶ ποιήσουσιν, ἐὰν καταλλαγῆτε,
καὶ μείζων ἡ δύναμις ὑμῶν γενήσεται συντεθεῖσα. καὶ γὰρ
τῶν πόλεων ὁμοῦ γενόμενοι πασῶν ἄρξετε καὶ τοῖς ἡγεμόσι
γενήσεται πλείων διατροπὴ πρὸς ὑμᾶς καὶ φόβος, ἐὰν ἀδικεῖν
θέλωσιν. τὸ δὲ νῦν ἔχον αἱ μὲν ἄλλαι πόλεις ὑπὸ τῆς ὑμετέ-
ρας στάσεώς εἰσιν ἐπηρμέναι· χρείαν γὰρ αὐτῶν δοκεῖτε ἔχειν
καὶ ταῖς ἀληθείαις ἔχετε διὰ τὸν πρὸς ἀλλήλους ἀγῶνα, καὶ 147 R II.
πάσχετε οἷόν τι πάσχουσιν ἐπειδὰν δύο ἐπιφανεῖς ὁμοίως

γιγνομένων καὶ τῶν ἀλλαχόθεν εἰσκομιζομένων. δεῖ δὲ δημοσίᾳ χαρίζεσθαι αὐτοῖς τὴν διαγωγήν, οὐκ ἰδίᾳ τινάς. ἀεὶ γὰρ πράγματα παρέχουσι, τὰ μὲν βίᾳ διὰ τῆς ὑμετέρας ἀγόμενοι, τὰ δὲ καὶ διακλέπτοντες, quae ne potuerunt quidem a Dione scribi. Geelius: ἐξ ἧς ἁπάντων τῶν ἀναγκαίων συγκομιζομένων δεῖ δημοσίᾳ χαρίζεσθαι, quae cum sequentibus conciliari nequeunt. denique Pflugkius: ἐξ ἧς ἁπάντων μὲν καὶ τῶν νῦν κομιζομένων μετέχουσι τὰ μὲν χάριτι· δεῖ δὲ cett. ‖ 8. ἀνάγκην. ἀναγωγὴν (mrg. vulg.) M. ‖ καί. malim κοινῇ vel εἰσαεί. ‖ 9. ἐπιτρέψετε. sic dedi. ἐπιτρέψητε reliq. ‖ τοῖς. τῆς M. ‖ 10. ἐστι. ἐστιν ἔστι M. ‖ 12. ποιήσετε. ποιήσεται M. — 33, 3. ἀλλά. ἀλλὰ καὶ r ex Interpr. ‖ ἐπιμελεῖσθε r, ἐπιμελεῖσθαι reliq. ‖ 4. δυσχεραίνετε. δυσχερίνετε M. ‖ 5. αὐτούς. αὐτοὺς M. ‖ καὶ ἂν r ex Interpr., καὶ om. reliq. ‖ 6. δεόμενοι βοηθείας BM, βοηθείας δεόμενοι reliq. ‖ 7. τὸ πρωτεῖον — περὶ τῶν om. M. — 34, 2. καταλλαγῆτε. sic dedi. καταλλαγείητε reliq. ‖ 3. συντεθεῖσα. συντιθεῖσα M. ‖ 6. ὑπὸ M. Reisk., ὑπὲρ reliq. ‖ 9. ἐπειδὰν BM, ἐπειδὴ reliq.

ἄνδρες διαπολιτεύωνται πρὸς ἀλλήλους· ἐξ ἀνάγκης ἅπαντας
θεραπεύουσι καὶ τοὺς πλεῖστον ὅσον ἀποδέοντας αὐτῶν.
35 ὥστε ἐν ᾧ περὶ τοῦ πρωτείου μάχεσθε ὑμεῖς, κινδυνεύει τὸ
πρωτεῖον παρ' ἐκείνοις εἶναι τοῖς θεραπευομένοις ὑφ' ὑμῶν.
οὐδὲ γὰρ ἔνεστιν οὐκ ἔχειν τοῦτο δοκεῖν τινας, ὃ παρ' αὐτῶν
ἐκείνων ὑμεῖς λαμβάνειν ἀξιοῦτε. καὶ τὰς πόλεις οὖν πᾶσα
ἀνάγκη γενήσεται τὴν τάξιν τὴν ἑαυτῶν ἀπολαβεῖν καί, ὥσπερ
εἰκός ἐστι καὶ δίκαιον, ἐκείνας ὑμῶν χρήζειν, οὐχ ὑμᾶς ἐκεί-
νων. καὶ οὐχὶ παρὰ τοῦτο ἀξιώσω τυραννικῶς ὑμᾶς αὐτοῖς
προσφέρεσθαι, πρᾴως δὲ καὶ μετρίως, ὥσπερ ὑφηγησάμην
μικρὸν ἔμπροσθεν, ἵνα μὴ φορτικὸν γένηται τὸ πρωτεῖον
36 ὑμῶν, ἀλλὰ καὶ πρωτεῖον ᾖ καὶ φιλῆται. τὰ δὲ τῶν ἡγεμό-
νων νῦν μὲν ὅπως ἔχει, τί δεῖ πρὸς ἐπισταμένους λέγειν; ἢ
γὰρ οὐκ ἐπαισθάνεσθε τῆς τυραννίδος, ἣν ἡ στάσις ἡ ὑμε-
τέρα δίδωσι τοῖς ἄρχουσιν ὑμῶν; εὐθέως γὰρ ὁ βουλόμενος
ἀδικῆσαι τὸ ἔθνος εἰδὼς ἥκει, ὅ τι δεῖ ποιήσαντα αὐτὸν μὴ
δοῦναι δίκην. ἢ γὰρ τῇ Νικαέων ἑταιρείᾳ προστίθεται καὶ 179 M.
τὸ μέρος τὸ ἐκείνων ἔχει βοηθοῦν ἢ τοὺς Νικομηδεῖς ἑλόμε-
νος ὑφ' ὑμῶν σώζεται. καὶ φιλεῖ μὲν οὐδετέρους, δοκεῖ δὲ
τοὺς ἑτέρους φιλεῖν· ἀδικεῖ δὲ πάντας. ἀδικῶν δὲ σώζεται
37 διὰ τοὺς μόνους οἰομένους ὑπ' αὐτοῦ φιλεῖσθαι. κατεγνώ-
κασι δὲ ὑμῶν ἄνοιαν δημοσίᾳ καὶ χρῶνται καθάπερ τοῖς παι- 198 R II.
δίοις ὑμῖν, οἷς πολλάκις ἀντὶ τῶν μεγίστων προτείνεται τὰ
μικρότατα, κἀκεῖνα διὰ τὴν ἄγνοιαν τῶν ὡς ἀληθῶς μεγά-
λων καὶ διὰ τὴν πρὸς τὰ ἐλάχιστα ἡδονὴν χαίρει τῷ μηδενί·
καὶ ὑμῖν οὕτως ἀντὶ δικαιοσύνης, ἀντὶ τοῦ μὴ συλᾶσθαι τὰς
πόλεις μηδὲ ἀφαιρεῖσθαι τοὺς ἀνθρώπους τῶν ἰδίων, ἀντὶ
τοῦ μὴ ὑβρίζειν αὐτοὺς εἰς ὑμᾶς, ἀντὶ τοῦ μὴ παροινεῖν προ-
τείνουσιν ὀνόματα, καὶ εἰ εἶπον ὑμᾶς πρώτους ἢ ἔγραψαν,
εἶτά εἰσιν ἀκίνδυνοι τὸ λοιπὸν ὑμῖν ὡς ἐσχάτοις χρώμενοι.
38 τὰ γὰρ τοιαῦτα, ἐφ' οἷς μέγα φρονεῖτε, παρὰ πᾶσι μὲν τοῖς

10. διαπολιτεύωνται. διαπολιτεύονται M. ‖ ἐξ. οὗτοι γὰρ ἐξ Reisk. — 35, 1. μάχεσθε BM. var. l. v. r, μάχεσθαι vm. ‖ 2. πρωτεῖον. πρωτίον M. ‖ 3. τοῦτο. τούτου M. ‖ 10. φιλῆται. φιλεῖτε M. — 36, 2. ἢ γάρ. sic dedi. ἡ γὰρ M, ᾗ γὰρ reliq. ‖ 3. ἐπαισθάνεσθε. ἐπαισθάνεσθαι M. ‖ 4. ὁ βουλόμενος BM. Reisk., ὁ om. reliq. ‖ 5. ὅ τι. τι M. ‖ 6. προστίθεται. προτίθεται B. ‖ 7. ἐκείνων. ἐκεῖνον B. ‖ 10. φιλεῖσθαι. φιδεῖσθαι (corr. vulg.) M. — 37, 4. μικρότατα. σμικρότατα B. ‖ κἀκεῖνα. καὶ ὡς κἀκεῖνα Reisk. ‖ 5. τὰ om. M. ‖ 9. καὶ εἰ B. mrg. m. r, καὶ ἡ M, καὶ ᾗ vm.

ορθῶς ἐννοουμένοις διαπτύεται, μάλιστα δὲ παρὰ τοῖς Ῥω-
μαίοις γέλωτα κινεῖ καὶ καλεῖται τὸ ἔτι ὑβριστικώτερον Ἑλλη-
νικὰ ἁμαρτήματα. καὶ γάρ ἐστιν ἁμαρτήματα, ἄνδρες Νι-
κομηδεῖς, ἀληθῶς, ἀλλ' οὐχ Ἑλληνικά, εἰ μὴ κατ' αὐτὸ τοῦτο
Ἑλληνικὰ φήσει τις αὐτὰ εἶναι, καθόσον ἐκεῖνοι δόξης ἀντε-
ποιήσαντό ποτε καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι. τὰ δὲ
ἐκείνων εἶπον ἤδη που καὶ πρότερον, ὅτι μὴ κενόδοξα ἦν,
ἀλλ' ὑπὲρ ἀρχῆς ἀληθοῦς ἀγών· εἰ μή τι νῦν δοκεῖτε αὐτοὺς
ὑπὲρ τῆς προπομπείας καλῶς ἀγωνίζεσθαι, καθάπερ ἐν μυ-
39 στηρίῳ τινὶ παίζοντας ὑπὲρ ἀλλοτρίου πράγματος. ἂν δὲ τὸ
μὲν τῆς μητροπόλεως ὑμῖν ὄνομα ἐξαίρετον ᾖ, τὸ δὲ τῶν πρω-
τείων κοινὸν ᾖ, τί κατὰ τοῦτο ἐλαττοῦσθε; ἐγὼ μὲν γὰρ
τολμήσαιμι ἂν εἰπεῖν, ὅτι κἂν πάντων ἐκστῆτε τῶν ὀνομάτων, 149 R II.
οὐδενὸς ἐξίστασθε πράγματος. ἢ τί δοκεῖτε παρὰ τοῦτο; τὴν
θάλατταν ἀναχωρήσειν ἀφ' ὑμῶν ἢ τὴν γῆν ὑμῖν ἔσεσθαι
μικροτέραν ἢ τὰς προσόδους ἐλάττονας; ἤδη ποτὲ θέας μετε-
λάβετε; μᾶλλον δὲ μονονουχὶ καθ' ἑκάστην ἡμέραν θεᾶσθε
καὶ τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους, ὅσοι δοκοῦσι μὲν ἡδονῆς 490 M.
ἕνεκεν καὶ τέρψεως εἰς τὰς σκηνὰς παριέναι, τοὺς δὲ αἰσθα-
νομένους τῶν γιγνομένων ὠφελοῦσιν· ἆρ' οὖν ἐκεῖ τις ὑμῖν
40 ἀληθῶς εἶναι δοκεῖ βασιλεὺς ἢ τύραννος ἢ θεός; καίτοι
ταῦτα πάντα καλοῦνται, καὶ Μενέλαοι καὶ Ἀγαμέμνονες, καὶ
οὐκ ὀνόματα μόνον ἔχουσι θεῶν καὶ ἡρώων, ἀλλὰ καὶ πρόσ-
ωπα καὶ στολάς, καὶ κελεύουσι πολλά, ὡς ἐκεῖνοι· τοῦ δὲ
ποιήματος συντελεσθέντος ἀπίασι τὸ μηδὲν ὄντες. ὀνομάζε-
σθαί τις θέλει πρῶτος· ἔστω. πρωτεύει τις· κἂν ἄλλος ὀνο-
μάζηται, πρῶτός ἐστιν. οὐ γὰρ τὰ ὀνόματα πίστεις τῶν
41 πραγμάτων εἰσί, τὰ δὲ πράγματα καὶ τῶν ὀνομάτων. ἔτι
τοίνυν κἀκεῖνο λογίσασθε, τὸ ἐκ τῆς ὁμονοίας γενησόμενον.

38, 3. καλεῖται. καλεῖτε M. ‖ 5. ἀληθῶς. ὡς ἀληθῶς Reisk. ‖ κατ' αὐτὸ r, καθ' αὐτὰ reliq. ‖ 6. καθόσον ἐκεῖνοι. καθ' ἃ ἐν ἐκείνοις Geel. ‖ 9. δοκεῖτε — πράγματος. haec sic constituit Geelius: δοκεῖτε αὐτοὶ παίζοντες ὑπ' ἀλλοτρίου προστάγματος. at videntur haec ad Athenienses Lacedaemoniosque Dionis aequales referri. — 39, 2. πρωτείων. πρώτων M. ‖ 3. ἐλαττοῦσθε. ἐλαττοῦσθαι M. ‖ 4. ἐκστῆτε. ἐξίστασθαι mrg. M. ‖ 7. μικροτέραν. σμικροτέραν B. ‖ μετελάβετε. μεταλάβετε M. ‖ 10. σκηνάς. κηνάς M. ‖ 11. γιγνομένων. γινομένων M. ‖ ἆρ' M, ἆρα reliq. — 40, 3. θεῶν καὶ ἡρώων M, καὶ ἡρώων om. reliq. ‖ 5. ποιήματος. δράματος vel θεάματος Geel. ‖ 6. κἂν. καὶ M. ‖ ὀνομάζηται. sic dedi. ὀνομάζεται reliq. ‖ 7. πίστεις M, πίστις reliq. ‖ 8. εἰσὶ M, ἐστὶ reliq.

Digitized by Google

νῦν μὲν ἕκαστοι τοὺς ἑαυτῶν ἄνδρας ἔχετε· ἂν δὲ καταλλα-
γῆτε, τοὺς ἀλλήλων ἕξετε, καὶ τὰς φιλοτιμίας· δεῖ γὰρ καὶ
τούτων πόλει· διπλασίας τίθετε καὶ τὰς ὑπηρεσίας. λέγειν
τις δεινός ἐστι παρ' ὑμῖν· κἀκείνους ὠφελήσει. πλούσιός τις
παρ' ἐκείνοις ἐστί· χορηγήσει καὶ παρ' ὑμῖν. καθόλου δὲ
οὐδεὶς οὔτε ἄξιος ὢν τοῦ πρωτεύειν ἐν πόλει διὰ τοῦτο οὐκ 150 R II
εὐδοκιμήσει παρ' ὑμῖν τῷ πρὸς ἐκείνους λέγειν ἢ παρ'
ἐκείνοις τῷ πρὸς ὑμᾶς· οὔτε ἂν φαῦλός τις ὢν καὶ τοῦ
δοῦναι δίκην ἄξιος εὑρεθῇ, διαδράσεται τὴν τιμωρίαν ἀπαλ-
42 λαγεὶς ἐντεῦθεν ἐκεῖ κἀκεῖθεν ἐνθάδε. τὸ δὲ νῦν ἔχον
ὥσπερ ὑφορμεῖτε ἀλλήλαις αἱ πόλεις καὶ ἔστι τοῖς ἀδικήσασι
τὴν ἑτέραν πρὸς τὴν ἑτέραν καταφυγή. τῆς δὲ ὁμονοίας γε-
νομένης ἀνάγκη καλοὺς εἶναι καὶ δικαίους ἄνδρας ἢ ἐκ τῆς
Βιθυνίας ἀπαλλάττεσθαι. μέγα φρονεῖτε τῇ τοῦ πλήθους
ὑπερβολῇ· πλείους ἔσεσθε. γῆν ἱκανὴν δοκεῖτε ἔχειν· πλείω
τῆς ἱκανῆς ἕξετε. καθόλου πάντα μιχθέντα, καὶ καρποὶ καὶ
χρήματα καὶ ἀνδρῶν ἀξίαι καὶ δυνάμεις, διπλάσια τὰ παρ'
43 ἀμφοτέροις γίγνεται. καὶ οὗ δὲ πάντα ἕνεκεν οἱ ἄνθρωποι
πράττουσιν, ἡ ἡδονή, κρείττων λόγου. τὸ γὰρ τὰ μὲν ὀδυ- 151 R 181 M
νῶντα ὑμᾶς ἐξαιρεθῆναι, καὶ φθόνον καὶ φιλονεικίαν καὶ
τὴν ἐκ τούτων γιγνομένην στάσιν καὶ τὸ ἐπιβουλεύειν ἀλλή-
λοις ὑμᾶς καὶ τὸ τοῖς κακοῖς ἐφήδεσθαι τοῖς τῶν πλησίον
καὶ τὸ ἐπὶ τοῖς ἀγαθοῖς ἄχθεσθαι, τὰ δὲ ἐναντία ἀντὶ τού-
των εἰσελθεῖν εἰς τὰς πόλεις, κοινωνίαν ἀγαθῶν, ὁμοφροσύ-
νην, ἐπὶ τοῖς αὐτοῖς ἀμφοτέρων χαρὰν, οὐχὶ ταῦτα πάντα
44 ἑορτῇ ἔοικε δημοσίᾳ; λογίσασθε δὲ οὕτως. εἴ τις ὑμῖν, ἄν-

41, 5. τίθετε M, τίθεσθε Cens. p. 366, τίθεσθαι reliqui. unde θήσεσθε Geelius. idem locum sic quoque constituit: δεῖ γὰρ ἐκ τούτων πολλαπλασίας τίθεσθαι καὶ τὰς ὑπηρεσίας. ‖ 8. οὔτε ἄξιος. sic dedi. οὔτε ἂν ἄξιος vm, quod probat Geelius, οὔτε ἀνάξιος BM. Casaub. r. ‖ οὐκ εὐδοκιμήσει Obs. p. 52, οὐκ om. reliqui. ἀδοκιμήσει Selden. ‖ 9. τῷ M, quod probat Geelius, τὸ μὴ Reisk., τῷ μὴ reliq. ‖ 10. ἐκείνοις τῷ Geel., τῷ om. M, ἐκείνοις τῷ μὴ reliq. ‖ 11. εὑρεθῇ. εὑρεθεὶς Seldenus. idem placet Geelio. ‖ διαδράσεται. sic dedi. διαδρᾶσαι M, διαδράσῃ reliqui. διαδράσει Selden. ‖ 12. ἐκεῖ BM, ἐκεῖσε reliq. — 42, 2. ὑφορμεῖτε. malim ἐφορμεῖτε. ‖ 3. ἑτέραν. ἑταίραν M. ‖ ἑτέραν. ἑταίραν M. ‖ καταφυγή M, καταφυγεῖν reliq. ‖ 6. γῆν Casaub. r, τὴν reliq. ‖ 7. ἕξετε. ἕξεται M. — 43, 1. οὗ δέ. οὐδὲ B, οὗ δὴ Selden., malim οὗ γε. ‖ 2. γὰρ τὰ μέν. πάντα μὲν τὰ M. ‖ 4. γιγνομένην. γινομένην M. ‖ 5. τῶν om. B. ‖ 7. ὁμοφροσύνην. ὁμοφροσύνης M. ‖ 8. ἐπὶ τοῖς αὐτοῖς. sic dedi. ἐπ' αὐτοῖς reliq. ‖ ταῦτα πάντα. πάντα ταῦτα M.

δρες Νικομηδεῖς, θεῶν αἵρεσιν ἔδωκεν, εἰ βούλεσθε μὴ μόνον
τὴν αὐτῶν πόλιν ἔχειν, ἀλλὰ καὶ τὴν Νικαέων, οὐκ ἂν πα-
ράδοξον μὲν ὑπὸ τοῦ μεγέθους ἐφάνη ἀγαθὸν ὑμῖν; εὔξασθε
δ' ἂν πάσας εὐχάς, ὥστε αὐτοῦ τυχεῖν; ἀλλὰ τοῦτο τὸ πα-
ράδοξον δοκοῦν ἔξεστιν ἤδη γενέσθαι καὶ τὴν Νίκαιαν ὑμε-
45 τέραν εἶναι καὶ τὰ παρ' ὑμῖν ἐκείνων. ἢ τῶν μὲν ἀδελφῶν
θαυμάζομεν τοὺς εἰς ἅπαντα κοινὸν οἰκοῦντας τὸν οἶκον καὶ
μὴ νενεμημένους τὰ πατρῷα ὑπὸ μικρολογίας· ὅ τε πλοῦτος
αὐτῶν ἔτι μᾶλλον θαυμάζεται καὶ μείζων δοκεῖ κατ' αὐτὸ τοῦτο,
τὸ μὴ νενεμῆσθαι μηδὲ ἑκάστῳ τὸ ἥμισυ γεγονέναι τῶν πάν-
των, ἀλλὰ τὸ ὅλον ἀμφοτέρων δοκεῖν, ἔτι δὲ καὶ ὡς ἀγαθοὺς
πάντες ἐκείνους ὁρῶσι καὶ ὡς δικαίους καὶ ὡς τῷ ὄντι ἀδελ-
φούς· ἐν δὲ ταῖς πόλεσι γενομένη αὕτη ἡ ἀδελφότης οὐχὶ καὶ 152 R II.
46 μεῖζον ἀγαθὸν ἔσται καὶ κάλλιον καὶ πλουσιώτερον; ἄξιον
δὲ αὐτὴν γενέσθαι καὶ διὰ τοὺς προγόνους κοινοὺς ὄντας
ἀμφοτέραις ταῖς πόλεσι καὶ διὰ τοὺς θεούς, ὧν καὶ παρ'
ἐκείνοις καὶ παρ' ὑμῖν ὅμοιαί εἰσι τιμαί. τοῦτο γάρ ἐστιν,
ἐφ' ᾧ καὶ μάλιστα ὀδυνηθείη τις ἄν, ὅτι πάντα κοινὰ ἔχον-
τες, καὶ προγόνους καὶ θεοὺς καὶ ἔθη καὶ ἑορτάς, οἱ δὲ
πολλοὶ καὶ συγγενείας ἰδιωτικὰς καὶ φιλίας, ὥσπερ Ἕλληνες
πρὸς βαρβάρους μαχόμεθα ἢ τὸ ἔτι τούτου τῷ γιγνομένῳ
47 ὑφ' ὑμῶν ὁμοιότερον, ὥσπερ ἄνθρωποι πρὸς θηρία. οὐκ
ὄψεσθε εἰς ἀλλήλους; οὐκ ἀκούσεσθε ἀλλήλων; οὐκ ἀντι-
δεξιώσονται τὴν ἀρχὴν ποιησαμένων ὑμῶν ἀλλήλας αἱ πόλεις; 482 M.

44, 3. αὐτῶν. αὐτὸν M. ‖ παράδοξον BM. Reisk., παράδοξαν reliq. ‖ 4. ὑπὸ τοῦ. τοῦ om. M. ‖ εὔξασθε. εὔξασθαι M. ‖ 5. τοῦτο τὸ Reisk., τὸ om. reliq. — 45, 2. ἅπαντα. sic dedi. ἅπαντας τὸν B, ἅπαν τὸν reliq. ‖ τὸν οἶκον. sic dedi. τὸν om. reliq. ‖ 3. πατρῷα BM. mrg. m. r, πρῶτα vm. ‖ μικρολογίας. σμικρολογίας B. ‖ 4. μείζων δοκεῖ κατ' αὐτὸ τοῦτο Reisk., μείζων καὶ κατὰ τοῦτο reliqui, unde ἅτε μείζων κατ' αὐτὸ τοῦτο Iacobs., μείζων ὢν κατ' αὐτὸ τοῦτο Pflugkius. vulgatam in eandem sententiam interpretatur Seldenus. ‖ 5. τὸ μή. τῷ μὴ M. ‖ νενεμῆσθαι. νενέμησθε M. ‖ 7. ὁρῶσι. ἐρῶσι Reisk. ‖ 9. κάλλιον Pflugk. p. 8, καλὸν reliqui, unde Reiskius sequens καὶ delebat. — 46, 8. ἢ τὸ ἔτι τούτου τῷ γιγνομένῳ Pflugk. p. 8, ἤ τι ἔτι τούτων γιγνομένων reliqui, unde ἢ εἴ τι τούτῳ τῷ γιγνομένῳ (et ὁμοιότερον ᾖ) Reiskius, ἢ ὅ τι τοιούτων γιγνομένων Iacobs. Add. p. 101, ἢ ὅ τι τούτων τῶν γιγνομένων Geelius. possit ἢ τὸ ἔτι τούτων τῶν γιγνομένων. ‖ 9. ὥσπερ M. Iacobs. Add. l. 1, ᾗ ὥσπερ B, ἢ ὥσπερ reliq. — 47, 2. ἀκούσεσθε. ἀκούσεσθαι M. ‖ ἀντιδεξιώσονται. ἀντιδεξιώσωνται B, ἂν δὴ δεξιώσονται M. ‖ 3. ἀλλήλας BM. r, ἀλλήλαις vm.

οὐχὶ πάντα τὰ παρὰ ἀμφοτέροις ἀγαθὰ κτήσεσθε καταλλα-
γέντες; οὐ χρήσεσθε αὐτοῖς θέλοντες; ὄφελον ἐξῆν καὶ τὸν
Ἐφεσίων δῆμον ποιήσασθαι ἀδελφὸν ὑμῶν. ὄφελον καὶ τὰ
48 Σμυρναίων [οἰκοδομήματα] κοινὰ ὑμῖν ἐγένετο. ταῦτα δὲ
πάντα τηλικαῦτα ὄντα ἀγαθὰ ἑνὸς ἕνεκα ὀνόματος ἀπόλλυτε,
ποίαν ὠφέλειαν, ποίαν ἡδονήν; ἀλλ' ὅτι μὲν καὶ λυσιτελήσει
ταῖς πόλεσιν ἡ καταλλαγὴ γενομένη καὶ μέχρι νῦν ὑμῖν οὐκ
ἐλυσιτέλησεν ἡ στάσις οὖσα, καὶ τὰ ἀγαθὰ τὰ ἐκ τῆς ὁμο-
νοίας γενησόμενα καὶ τὰ κακὰ τὰ διὰ τὴν ἔχθραν ὑπάρχοντα,
49 προείρηταί μοι μετρίως. λοιπὸν δὲ εἰπεῖν, ὅτι καὶ μενεῖ
ταῦτα διαλλαγέντων ὑμῶν. ἤδη γάρ τινές εἰσιν οἱ καὶ τοῦτο 13[illegible] R
δεδοικότες, ὧν ἀποδέχομαι τοῦ φόβου τὴν αἰτίαν, εἴ γε λέ-
γουσιν αὐτὸ ταῖς ἀληθείαις ἐπιθυμοῦντες τῆς ὁμονοίας καὶ
φοβούμενοι, μὴ λυθῇ, καὶ οὐ τοὐναντίον αὐτοῦ χάριν τοῦ
μηδὲ ὅλως αὐτὴν γενέσθαι τοῦτο προβάλλονται. τὸ μὲν οὖν
μέγιστον ὑμῖν καὶ τὸ πιστότατον τοῦ μένειν τὴν ὁμόνοιαν
ἐνέχυρον ἔστω τὸ συμφέρειν αὐτήν. ἃ γὰρ καὶ λόγῳ παρα-
δειχθέντα, διότι συνοίσει, μόνον ἤδη πείθειν ὑμᾶς ἔοικε, πῶς
οὐ χρὴ τὴν ἀπὸ τῶν ἔργων ἕξειν αὐτὰ πειθὼ βεβαιοτέραν;
50 ἔτι δὲ εὔθυμός εἰμι καὶ διὰ τὸ τῆς συνηθείας ὑμᾶς δυσαπαλ-
λάκτως ἔχειν. εἰ γὰρ ἡ στάσις τοσούτῳ χρόνῳ διὰ τὴν συνή-
θειαν μόνον ἐμμεμένηκεν ὑμῖν, τηλικοῦτον οὖσα κακόν, πῶς
οὐχὶ καὶ τὰς διαλλαγὰς εἰκός ἐστιν ἡδίους τε οὔσας καὶ δι- 13[illegible] R
καιοτέρας ποιήσειν καὶ τὴν συνήθειαν πλείονα; καὶ φυλάτ-
τεσθαι δὲ μικρὰ δεήσει καὶ πρὸ ἁπάντων τοὺς ἄνδρας τοὺς
ἀδόξους, ἄν ποτε διαβάλλωσιν ὑμᾶς ἀλλήλοις. μὴ γὰρ ἀκού-
σητε αὐτῶν ἴδιόν τι θηρωμένων, εἰ βουλήσονται πάλιν αὐτοῖς
γενέσθαι τινὰ χώραν. καὶ μικρῶν δὲ ἕνεκεν μὴ παροξύνεσθε.

4. κτήσεσθε. κτήσασθαι M. ‖ 5. χρήσεσθε. χρήσεσθαι M. ‖ ὄφελον. ὤφελον B. ‖ τόν. τῶν BM. ‖ 6. ὄφελον. ὤφελον B. ‖ 7. [οἰκοδομήματα] videtur interpretis. — 48, 2. ἀπόλλυτε Selden. r, ἀπόλλυται reliqui, unde infra δι' ὠφέλειαν Casaubonus. ‖ 3. ὠφέλειαν. ὠφελίαν M. ‖ ποίαν. τίνα M. ‖ λυσιτελήσει. λυσιτελὴς εἴη M. ‖ 6. τὰ διά. τὰ om. M. — 49, 1. μενεῖ. μένει M. ‖ 2. οἱ καί. οἶκοι M. ‖ 3. αἰτίαν BM. mrg. m, ἀξίαν reliq. ‖ 4. αὐτό. sic dedi. αὐτοὶ reliq. ‖ 8. τό. τοῦ M. ‖ παραδειχθέντα M. Casaub., παραδεχθέντα reliq. ‖ 9. συνοίσει B. Casaub. r, σύνοισι M, συνοίσειν vm. ‖ μόνον. γενόμενα Casaubonus cum antecedentibus copulatum. — 50, 2. εἰ. ἡ M. ‖ 3. ἐμμεμένηκεν. ἐμμένηκεν M. ‖ 4. ἡδίους. ἡδείους M. ‖ 6. δὲ Reisk., δὴ reliq. ‖ 8. θηρωμένων. θηρομένων M. ‖ εἰ M, οἱ reliq. ‖ αὐτοῖς. αὐτοῖς BM. ‖ 9. χώραν. sic dedi. χάριν Casaub., χαρὰν reliq. ‖ ἕνεκεν. ἕνεκα B. ‖ παρο-

51 καὶ τοὺς θεοὺς δὲ εἰκός ἐστιν μᾶλλον πάντων ἐπιμελήσεσθαι
τοῦ συμμεῖναι τὴν ὁμόνοιαν. οἶμαι γὰρ καὶ αὐτὴν ταύτην 483 M.
τὴν ἀρχὴν παρ' ἐκείνων γενέσθαι καὶ οὐκ ἂν ἄλλως ἐπελθεῖν
μοι τολμῆσαι περὶ τηλικούτου πράγματος ἐν ὑμῖν λέγειν, ὑπὲρ
οὗ μηδεὶς πρότερον εἶπε μήτε νέος μήτε πρεσβύτερος. ἔστι
δὲ καὶ ἄξιον αὐτοῖς εὔξασθαι πάλιν. οὐκοῦν ἐν ἀρχῇ μὲν
εὐξάμην αὐτοῖς, ἵνα μοι πειθομένους παράσχωσιν ὑμᾶς· ἐπεὶ
δὲ τοῦτο ἤδη ἐοίκατε ποιεῖν, λοιπόν ἐστιν εὔξασθαι περὶ τοῦ
φυλάττειν αὐτοὺς εἰς ἀεὶ τὰ καλῶς δόξαντα ὑμῖν.

ΛΟΓΟΣ λθ

ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ ΕΝ ΝΙΚΑΙΑι ΠΕΠΑΥΜΕΝΗΣ ΤΗΣ ΣΤΑΣΕΩΣ.

1 Ἐγὼ χαίρω τιμώμενος ὑφ' ὑμῶν, ὥσπερ εἰκός ἐστι χαί- 155 R II.
ρειν τὸν ἄνδρα τὸν σώφρονα τιμώμενον ὑπὸ πόλεως ἀγαθῆς
καὶ λόγου ἀξίας, ὥσπερ ἡ ὑμετέρα πόλις, κατά τε ἰσχὺν καὶ
μέγεθος οὐδεμιᾶς ἡττωμένη τῶν ὁποίποτε ἐνδόξων γένους τε
γενναιότητι καὶ πλήθους συνοικήσει, τῶν φανερωτάτων γε-
νῶν οὐκ ἀλλαχόθεν ἄλλων συνελθόντων φαύλων καὶ ὀλίγων,
ἀλλὰ Ἑλλήνων τε τῶν πρώτων καὶ Μακεδόνων· τὸ δὲ μέγι-
2 στον ἥρωάς τε καὶ θεοὺς οἰκιστὰς λαβοῦσα. πρέπει δὲ τοῖς
ὑπὸ θεῶν ᾠκισμένοις εἰρήνη καὶ ὁμόνοια καὶ φιλία πρὸς αὐ-
τούς. αἰσχρὸν γάρ, εἰ μὴ σφόδρα αἰδήμονες ἔσονται καὶ
θεοσεβεῖς καὶ διοίσουσί τι τῶν ἄλλων εὐψυχίᾳ, βουλόμενοι

ξύνεσθε. παροξύνεσθαι M. — 51, 2. συμμεῖναι M, συμβῆναι reliq. || 3. γενέσθαι. sic dedi. γενήσεσθαι reliq. || 6. αὐτοῖς. αὐτοὺς M. || 7. ἐπεὶ. ἐπὶ M.

Orat. XXXIX. Collati sunt BM. — 1, 3. ὥσπερ. ὥσπερ ἐστὶν Reisk. || κατά τε. κατά γε Selden. || 4. ἡττωμένη. ἡττωμένην M. || ὁποίποτε. πώποτε Pflugk. — 2, 1. πρέπει. πρέπη M. || 2. αὐτούς. sic dedi. αὐτοὺς reliq. || 3. αἰδήμονες Reisk. (idem εὐσχήμονες), οὐ δαίμονες v, εὐδαίμονες reliq. || 4. θεοσεβεῖς Geel., θεοφιλεῖς reliq. || εὐψυχίᾳ Geel., εὐτυχίᾳ reliq.

γε ἀληθὲς ἐπιδεικνύειν τὸ τοῦ γένους, ἀλλὰ μὴ ψευδῆ καὶ
μάταιον λόγον. θεοὶ γὰρ οἰκισταὶ καὶ συγγενεῖς καὶ προπά-
τορες οὐδὲν οὕτως ἐθέλουσι τοὺς αὐτῶν ἔχειν, οὔτε χώρας
κάλλος οὔτε καρπῶν ἀφθονίαν οὔτε πλῆθος ἀνθρώπων, ὡς
σωφροσύνην καὶ ἀρετὴν καὶ πολιτείαν νόμιμον καὶ τῶν μὲν
3 ἀγαθῶν πολιτῶν τιμὴν, τῶν δὲ κακῶν ἀτιμίαν. ὡς ἔγωγε
ἥδομαι νῦν ὁρῶν ὑμᾶς ἓν μὲν σχῆμα ἔχοντας, μίαν δὲ φωνὴν 154 M
ἀφιέντας, ταὐτὰ δὲ βουλομένους. ποῖον μὲν γὰρ θέαμα κάλ-
λιον πόλεως ὁμοφρονούσης; ποῖον δὲ ἄκουσμα σεμνότερον; 156 R II
ποία δὲ βουλεύεται πόλις ἄμεινον τῆς ἅμα βουλευομένης;
ποία δὲ εὐμαρέστερον πράττει τῆς ἅμα πραττούσης; ποία δὲ
ἧττον ἀποτυγχάνει τῆς ταὐτὰ βουλευομένης; τίσι μὲν ἡδίω
τἀγαθὰ τῶν ὁμονοούντων; τίσι δὲ κουφότερα τὰ λυπηρὰ
τῶν κοινῇ φερόντων ὥσπερ βάρος; τίσι δὲ σπανιώτερον συμ-
βαίνει τὰ χαλεπὰ τῶν ἀλλήλους φυλαττόντων; ποία μὲν τοῖς
4 πολίταις προσφιλεστέρα πόλις; ποία δὲ τιμιωτέρα τοῖς ξένοις;
ποία δὲ χρησιμωτέρα τοῖς φίλοις; τίς δὲ τοῖς ἐχθροῖς φοβε-
ρωτέρα; ὁ παρὰ τίνων μὲν ἔπαινος δοκεῖ πιστότερος; ὁ παρὰ
τίνων δὲ ψόγος ἀληθέστερος; [τίνες δὲ παρὰ τοῖς κρατοῦσι
πλείονες αἰδοῦς τυγχάνουσι;] τίνες μὲν ἰσοτιμώτεροι τοῖς
κρατοῦσιν; τίνας δὲ μᾶλλον οἱ κρατούμενοι αἰδοῦνται; τίνας
μὲν οὕτως ἀγαπῶσιν οἱ χρηστοὶ ἄρχοντες; τίνων δὲ ἧττον
καταφρονοῦσιν οἱ πονηροί; οὐ γὰρ δῆλον, ὅτι τοῖς μὲν ὁμο-
νοοῦσιν οὐ μόνον οἱ κρατοῦντες, ἀλλὰ καὶ οἱ θεοὶ προσέχου-
σιν; οἱ δὲ στασιάζοντες οὐδ᾽ αὐτῶν ἀκούουσιν· οὔτε γὰρ
τῶν ἀσυμφώνων χορῶν οὐδεὶς ἀκούει ῥᾳδίως ὅ τι λέγουσιν
5 οὔτε τῶν διαφερομένων πόλεων. ποῖα δὲ οἰκοδομήματα, πόση
δὲ χώρα, πόσον δὲ πλῆθος ἀνθρώπων ἰσχυρότερον δῆμον
ἀποφαίνει τῆς πρὸς αὐτὸν ὁμονοίας; ὁπόσοι γὰρ ἂν ὦσι πο-
λῖται τῆς ὁμονοούσης πόλεως, τοσοῦτοι μὲν ὀφθαλμοὶ ὁρῶσι
τὸ ἐκείνης συμφέρον, τοσαῦται δὲ ἀκοαὶ ἀκούουσι, τοσαῦται
δὲ γλῶτται παραινοῦσι, τοσαῦται δὲ διάνοιαι φροντίζουσιν. 157 R II.
διαφέρουσι γὰρ οὐδὲν ἢ εἴ τις θεῶν οὕτω μεγάλης καὶ πολυ-

5. γε M, τε B, quod est etiam in Cod. Ottoboniano (Z), τι reliq. ‖ 7. αὑτῶν. αὐτῶν M. — 3, 5. ποία. ποῖα δὲ ἄκουσμα σεμνότερον ποῖα M. ‖ ἅμα. ἄμεινον BM. — 4, 4. [τίνες δὲ παρὰ — τυγχάνουσι] delenda videntur. ‖ 6. κρατούμενοι Reisk., κρατοῦντες reliq. — 5, 5. τὸ ἐκείνης. τὸ δὲ ἐκείνη M. ‖ 7. οὕτω. οὕτως M.

ανθρώπου πόλεως μίαν ψυχὴν ἐποίησεν. ὡς οὔτε χρημάτων
πλῆθος οὔτε ἀνθρώπων οὔτε ἄλλη δύναμις ξυνήνεγκε τοῖς
διαφερομένοις, ἀλλὰ τοὐναντίον πάντα ταῦτα πρὸς βλάβης
μᾶλλόν ἐστιν, ὅσῳ ἂν πλείονα ὑπάρχῃ, τοσούτῳ μείζονος καὶ
χαλεπωτέρας· ὥσπερ οἶμαι καὶ τῶν σωμάτων τῷ μὲν ὑγιαί-
νοντι συμφέρει τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν σαρκῶν, τῷ
δὲ νοσοῦντι καὶ φαύλως ἔχοντι σφαλερωτάτη ἐστὶν ἡ τοιαύτη 485 M.
6 ἕξις καὶ ὀξύτατον ἐπάγει κίνδυνον. ὁμοίως δὲ καὶ ναῦς, ἥτις
ἂν μετὰ ὁμονοίας πλέῃ τοῦ κυβερνήτου καὶ τῶν ναυτῶν,
αὐτή τε σώζεται καὶ σώζει τοὺς ἐμπλέοντας· εἰ δὲ μή, ὅσῳ
πλείω τὰ ἱστία, τοσούτῳ σφοδρότερον τὸν χειμῶνα καὶ τὴν
ταραχὴν μείζω συμβαίνειν ἀνάγκη. τὸ αὐτὸ τοῦτο ἐπὶ ἅρμα-
τος, ἢν μὲν ὅ θ' ἡνίοχος ἄρχειν ἐπίστηται κατὰ τρόπον οἵ τε
ἵπποι ὁμοφρονοῦντες καὶ πειθόμενοι ὦσιν, ἐλπίς ἐστιν ἐν μὲν
ἀγῶνι νικᾶν, ἐν δὲ πολέμῳ σώζεσθαι τὸ τοιοῦτον ἅρμα· στά-
σεως δὲ καὶ ταραχῆς ἐνούσης τοσούτῳ μείζων ὁ κίνδυνος, ὅσῳ
7 ἂν ἰσχυρότεροι ὦσιν οἱ ἵπποι καὶ ταχύτεροι. παραπλησίως
δὲ καὶ πόλει ὁμονοούσῃ πάντα τὰ τοιαῦτα χρήσιμά ἐστι, περι-
ουσία χρημάτων καὶ πλῆθος ἀνθρώπων καὶ τιμαὶ καὶ δόξα
καὶ δύναμις· εἰ δὲ μή, δύσχρηστα καὶ χαλεπά· οἷον ἐν ταὐτῷ
στρεφομένων θηρίων πολλῶν ἢ βοσκημάτων, ἑνὸς εἴργοντος 158 R II.
περιβόλου, κυριττόντων τε ἄλληλα καὶ πατούντων καὶ ἐπεμ-
βαινόντων ἀλλήλοις. ἀλλ' εἰ μὲν ὑγιαίνων ἐτύγχανον, οὐκ
ἂν ἀπέστην τοῦ λόγου πρὶν ἱκανῶς αὐτὸν διελθεῖν κατὰ τὴν
ἐμαυτοῦ δύναμιν· νῦν δὲ ὑμεῖς τε ἴσως πρὸς ἑτέροις ἐστὲ
μᾶλλον [ὥστε] κἀγὼ πολὺ καταδεέστερον ἔχω ἢ πρὸς τὸ μέ-
8 γεθος τοῦ ἀγῶνος. τὸν οὖν βραχύτατον καὶ ἀνυσιμώτατον
λόγον καταλείπεται εἰπεῖν τὸν πρὸς τοὺς θεούς. οὗτοι γὰρ
καὶ τῶν μικρὸν φθεγγομένων, ἃ διανοοῦνται, ἴσασιν. ἴσως
γὰρ καὶ τοῦτο τοῦ σφόδρα εὐνοοῦντός ἐστιν· ὥσπερ οἱ χρη-

10. βλάβης. βλάβην m. ‖ 11. ἐστιν, ὅσῳ M, ἐστί, καὶ ὅσῳ reliq. ‖ ὑπάρχῃ. ὑπάρχει BM. ‖ 12. μὲν om. B. — 6, 6. ὅ θ'. ὅ τ' M. ‖ ἐπίστηται. ἐπίστητε B. ‖ 9. μείζων. μίζων M. — 7, 5. στρεφομένων. τρεφομένων Casaub. ‖ 6. ἐπεμβαινόντων. ἐπιβαινόντων BM. ‖ 7. ἐτύγχανον. ἐτύγχανον ὢν B. ‖ 9. ἐστὲ μᾶλλον [ὥστε]. ἐστὲ om. M, malim μᾶλλόν ἐστε. nam ὥστε alienum esse vidit Casaubonus, pro quo ἄλλως τε Selden., δυνάμεως τε Reisk., οὕτως δὲ Pflugk. ‖ 10. καταδεέστερον BM, καταδεέστερα reliq. ‖ ἔχω ἢ πρός. ἔχων πρὸς M. — 8, 1. οὖν. οὐ m. ‖ 3. μικρόν. σμικρῶν B, μικρῶν M. ‖ ἴσασιν. malim συνιᾶσιν.

στοὶ πατέρες τοῖς παισὶν ἃ μὲν δύνανται παραινοῦσιν, ἃ δ' ἂν μὴ πείθωσιν, εὔχονται τοῖς θεοῖς ὑπὲρ αὐτῶν. εὔχομαι δὴ τῷ τε Διονύσῳ τῷ προπάτορι τῆσδε τῆς πόλεως καὶ Ἡρακλεῖ τῷ κτίσαντι τήνδε τὴν πόλιν καὶ Διὶ Πολιεῖ καὶ Ἀθηνᾷ καὶ Ἀφροδίτῃ καὶ Φιλίᾳ καὶ Ὁμονοίᾳ καὶ Νεμέσει καὶ τοῖς ἄλλοις θεοῖς ἀπὸ τῆσδε τῆς ἡμέρας τῇδε τῇ πόλει πόθον ἑαυτῆς ἐμβαλεῖν καὶ ἔρωτα καὶ μίαν γνώμην καὶ ταὐτὰ βούλεσθαι καὶ φρονεῖν, στάσιν δὲ καὶ ἔριδα καὶ φιλονεικίαν ἐκβαλεῖν, ὡς ἂν ἐν ταῖς εὐδαιμονεστάταις καὶ ἀρίσταις ᾖ πόλεσι τὸ 158 M λοιπόν.

ΛΟΓΟΣ μ

ΕΝ ΤΗι ΠΑΤΡΙΔΙ ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΑΠΑΜΕΙΣ ΟΜΟΝΟΙΑΣ.

1 Ἐνόμιζον μέν, ὦ ἄνδρες πολῖται, νῦν γοῦν, εἰ καὶ μὴ 159 R II.
πρότερον, ἄξειν τὴν ἅπασαν ἡσυχίαν δεῦρο ἀφικόμενος καὶ
μὴ προσάψασθαι μήτε ἑκὼν μήτε ἄκων μηδενὸς κοινοῦ πράγματος, δι' ἓν μέν, ὅτι καὶ πολλοὺς ὁρῶ σὺν τοῖς θεοῖς ἀεὶ
τῶν πρεσβυτέρων καὶ τῶν νεωτέρων βουλομένους καὶ δυναμένους ἐπιτροπεύειν τὴν πόλιν καὶ προΐστασθαι τῶν ὑμετέρων
ὀρθῶς, οὔτε τοῦ λέγειν οὔτε τοῦ πράττειν ἐνδεῶς ἔχοντας,
ἔτι δὲ τῆς παρ' ὑμῖν πολιτείας ἐμπείρους ὄντας, ἐμὲ δὲ ὑπώπτευον· τὸ γὰρ ἀληθὲς εἰρήσεται· βαρύνεσθαί τινας ὡς
2 ξένον καὶ περιττόν· ἔπειτα οἶμαι καὶ τοῦ σώματος δέον ποιήσασθαί τινα πρόνοιαν ἐκ πολλῆς καὶ συνεχοῦς ταλαιπωρίας
ἀπειρηκότος καὶ τῶν περὶ τὴν οἰκίαν κομιδῇ φαύλως διακει-

6. πείθωσιν. malim σθένωσιν vel οἷοί τ' ὦσιν. ‖ 9. καὶ Φιλίᾳ. καὶ om. BM.

Orat. XL. Collati sunt BM. — 1, 1. μέν, ὦ M, μὲν om. reliq. ‖ 2. ἄξειν. ἕξειν B. ‖ 3. προσάψασθαι. malim προσάψεσθαι ‖ 4. ἀεί. δὴ M. — 2, 2. συνεχοῦς. συνεχοῦσι M.

μένων, ἃ τοσοῦτον ἀπολωλότα χρόνον οὐδεμιᾶς ἐπανορθώ-
σεως τετύχηκεν. ὅπου γὰρ ἀποδημία δεσπότου χρονίσαντος
ἱκανὴ διαφθεῖραι καὶ τὴν μεγίστην οὐσίαν, τί χρὴ προσδοκᾶν
ἐν τοσούτοις ἔτεσι φυγῆς, ὅθεν οὐδεὶς ἂν προσεδόκησεν ἐμὲ
σωθῆναι χωρὶς ὑμῶν δι' εὐνοίας ὑπερβολήν; καίτοι μέχρι μὲν
ὑπῆρχε πενίας κίνδυνος ἡμῖν, οὐδὲν ἦν δεινόν. οὐ γάρ εἰμι
πρὸς τοῦτο ἀμελέτητος σχεδὸν, τοσοῦτον χρόνον πλανηθεὶς
οὐ μόνον ἄοικος καὶ ἀνέστιος, ἀλλὰ μηδὲ ἀκόλουθον ἕνα
γοῦν ἐπαγόμενος. οὐ τοίνυν οὐδὲ τὸν υἱὸν ἤλπιζον χαλεπῶς
3 ἂν ὑπομεῖναι πενίαν οὐκ ὄντα ἐμοῦ χείρω τὴν φύσιν. ἐπεὶ
δὲ ὁ λόγος ἡμῖν ἐστιν ὑπὲρ τοῦ μὴ ψεύσασθαι τὴν πατρίδα 160 R II.
μηδὲ ἀποστερῆσαι τὴν ὑπόσχεσιν ὑμᾶς, ἣν ὑπεσχόμεθα μηδε-
νὸς ἀναγκάζοντος, οὐδαμῶς ῥᾳδίαν οὐδὲ ὀλίγων χρημάτων, 487 M.
τοῦτο οἶμαι χαλεπὸν καὶ πολλῆς φροντίδος ἄξιον· οὗ γε οὐδέν
ἐστι βαρύτερον οὐδὲ ὀφειλόμενον ἐπὶ πλείονι τόκῳ χάριτος.
καὶ τοῦτό ἐστι τὸ ἀναίσχυντον δάνειον καὶ πικρὸν, ὅταν οἶμαι
τῷ βραδύνειν ἡ χάρις εἰς χρέος μεταστῇ· ὃ τῷ παντὶ χαλε-
4 πώτερον ἀπαιτοῦσιν οἱ σιωπῶντες τῶν βοώντων. οὐδὲν γὰρ
οὕτω δύναται τοὺς ὀφείλοντας ὑμῖν τὰ τοιαῦτα ὑπομιμνή-
σκειν, ὡς τὸ ὑμᾶς ἐκλελῆσθαι. διὰ μὲν δὴ ταῦτα ἀναγκαῖον
ἐνόμιζον γενέσθαι πρὸς τοῖς ἐμαυτοῦ καὶ μηδενὶ τῶν κοινῶν
προσιέναι μηδὲ μέχρι λόγου τέως, ἕως ἂν αἴσθωμαι τοῦτο δὴ
τὸ παρὰ τῷ ποιητῇ λεγόμενον·

ὅττι μοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

5 πρότερον γὰρ οὐδ' ἐπ' ὀλίγον σχολὴν ἤγαγον ἴσως διὰ τὴν
ἐμαυτοῦ πολυπραγμοσύνην, ὅς, δέον ἐντυχεῖν ὑμῖν καὶ φιλο-
φρονήσασθαι τοσοῦτο μόνον καὶ θῦσαι τοῖς θεοῖς καὶ νὴ
Δία ἀναγνῶναι τὰ γράμματα τὰ τοῦ αὐτοκράτορος, ὅτι
ἀναγκαῖον ἦν, ἔπειτα εὐθὺς ἀναχωρῆσαι καὶ τρέπεσθαι καθ'

5. χρονίσαντος. χρονήσαντος B. ‖ 6. καὶ τήν. καὶ om. M. ‖ 9. ἡμῖν BM. r ex Interpr., ὑμῖν vm. ‖ 11. ἀνέστιος. ἀναίστιος M. ‖ 13. ὑπομεῖναι. προμεῖναι m. — 3, 5. οὗ γε. οὐ γὰρ M. ‖ 6. πλείονι. πλίονι M. — 4, 2. δύναται. δύνανται B. ‖ ὀφείλοντας. ὀφίλοντας M. ‖ 3. ὑμᾶς BM. Casaub. r, ἡμᾶς vm. ‖ 5. μηδὲ. μηδὲν M. ‖ ἕως om. M. ‖ αἴσθωμαι. sic dedi. αἰσθήσωμαι B, αἰσθήσομαι reliq. — 5, 1. ἴσως. ἴσως δὲ Pflugk. ‖ 2. πολυπραγμοσύνην. ἀπολυπραγμοσύνην Reisk. ‖ ὅς, δέον Selden., ὡς δέον reliqui. longius hic a vero aberravit Reiskius, δέον Geelius, ὡς οὐ δέον Pflugk. ‖ 4. ὅτι. ὅτε Geel. ‖ 5. ἀναχωρῆσαι. ἀποχωρῆσαι M.

αὐτὸν, λόγον τινὰ εἶπον ὑπὲρ ἔργου τινὸς οὐκ αὐτὸς μόνον, 161 R
ἀλλὰ τῶν ἡγεμόνων ἐσπουδακότων, ἴσως μὲν ὑμῖν, ἴσως δὲ κἀμοὶ χαρίζεσθαι βουλομένων, τὴν πόλιν ἄμεινον κατασκευάζειν καὶ σεμνοτέραν ποιεῖν ἅπασαν. πρότερον γὰρ ἴστε δήπουθεν, ὅτι τοῖς τοιούτοις καὶ τῶν ἀστυγειτόνων ἐλειπόμεθα.
6 τοῦτον ἐμοῦ τότε εἰπόντος τὸν λόγον ἐπήρθη τε πρὸς αὐτὸν ὁ δῆμος· οὐ γάρ ἐστε ἀγεννεῖς οὐδὲ ἀναίσθητοι τὰς φύσεις· καὶ πολλοὶ προετράπησαν φιλοτιμηθῆναι τῶν πολιτῶν. πάλιν δὲ ὕστερον ἐμοῦ τὸ πρᾶγμα ἐφ' ὑμῖν ποιουμένου πολλάκις μὲν ἐν τῷ βουλευτηρίῳ, πολλάκις δ' ἐν τῷ θεάτρῳ, ἵνα, εἰ μὴ δοκιμάζοιτε μηδὲ βούλοισθε, μηδένα ἐνοχλῶ· τὴν γὰρ ἀσχολίαν τὴν ἐσομένην ὑπώπτευόν μοι περὶ ταῦτα· πολλάκις μὲν ὑφ' ὑμῶν ἐκυρώθη, πολλάκις δὲ ὑπὸ τῶν ἡγεμόνων, οὐδενὸς
7 ἀντειπόντος. ἐπεὶ δὲ ἀρχὴν ἔλαβεν, ὅσα μὲν αὐτὸς ἔπαθον μετρῶν καὶ διαμετρῶν καὶ λογιζόμενος, ὅπως μὴ γένοιτο ἀπρεπὲς μηδὲ ἀχρεῖον· ὁποῖα ἔργα πολλὰ γέγονε παρ' ἑτέροις 183 M 162 R
μάτην ἀπολόμενα· καὶ τελευταῖον εἰς τὰ ὄρη φθειρόμενος, οὐκ ὢν ἔμπειρος τῶν τοιούτων οὐδενὸς οὐδὲ ἀπορῶν ἔργου τινὸς, ἀλλ' ἕτερα μᾶλλον πράττειν δυνάμενος σπουδαιότερα ἴσως, ἀφ' ὧν οὐ παρὰ μόνοις ὑμῖν εὐδοκιμεῖν ἔμελλον· ἐῶ νῦν ἐπεξιέναι. οὐδὲν γὰρ ἦν ἐμοὶ βαρὺ δι' ὑμᾶς ὑπομένοντι.
8 λόγοι δὲ ἐγίγνοντο πολλοὶ μὲν, οὐ παρὰ πολλῶν δὲ, καὶ σφόδρα ἀηδεῖς, ὡς κατασκάπτω τὴν πόλιν, ὡς ἀνάστατον πεποίηκα σχεδὸν ἐξελαύνων τοὺς πολίτας, ὡς ἀνῄρηται πάντα, συγκέχυται, λοιπὸν οὐδέν ἐστιν. καί τινες ἦσαν οἱ σφόδρα ὀδυρόμενοι τὸ χαλκεῖον τὸ τοῦ δεῖνος, χαλεπῶς ἔχοντες, εἰ μὴ μενεῖ ταῦτα τὰ ὑπομνήματα τῆς παλαιᾶς εὐδαιμονίας, ὥσπερ τῶν Ἀθήνησι Προπυλαίων κινουμένων ἢ τοῦ Παρθενῶνος ἢ

6. αὐτὸν. οὗ τὸν M. ‖ 7. ἀλλά. ἀλλὰ καὶ Reisk. ‖ 8. βουλομένων. βουλόμενοι BM. ‖ τήν. sic dedi. καὶ τὴν reliq. ‖ 9. ἅπασαν. ἁπασῶν Reisk., possit ἅπασιν. ‖ 10. ἐλειπόμεθα BM. r ex Interpr., ἐλλειπόμεθα vm. — 6, 1. αὐτόν. αὐτὸ Casaub. ‖ 2. ἀγεννεῖς. ἀγενεῖς M. ‖ 4. ποιουμένου. ποιησαμένου mrg. m. ‖ 6. μηδένα ἐνοχλῶ. μηδὲν ἐνοχληθῶ vel μηδὲν ἐνοχλῶμαι Reisk. ‖ 7. πολλάκις. ἢ πολλάκις B, ἦ πολλάκις M (sed ἤ a corr.). — 7, 3. ἀχρεῖον. ἄχριον M. ‖ παρ'. παρὰ M. ‖ 4. μάτην. καὶ χρήματα μάτην Reisk. ‖ ἀπολόμενα M. var. l. v, ἀπολλύμενα B. Casaub. r, ἀποτελούμενα Selden., ἀπολλύμεθα vm. ‖ 5. οὐδέ. ὅς οὐδὲ M. — 8, 1. ἐγίγνοντο. ἐγέγνοντο (corr. vulg.) M. ‖ σφόδρα ἀηδεῖς BM. Casaub. r, σφόδρα ἡδεῖς vm. ‖ 5. τὸ χαλκεῖον τὸ BM. mrg. m, τὸ χαλκεῖον om. reliq. ‖ 6. μενεῖ. μένει M. ‖ τά om. B. ‖ εὐδαιμονίας. δυσδαιμονίας Geel.

τὸ Σαμίων Ἡραῖον ἡμᾶς ἀνατρέποντας ἢ τὸ Μιλησίων Διδυ-
9 μεῖον ἢ τὸν νεὼν τῆς Ἐφεσίων Ἀρτέμιδος, ἀλλ᾽ οὐκ αἰσχρὰ
καὶ καταγέλαστα ἐρείπια, πολὺ ταπεινότερα τῶν κλισίων, οἷς 163 R II.
ὑποδύεται τὰ πρόβατα, τῶν ποιμένων δὲ οὐδεὶς ἂν δύναιτο
εἰσελθεῖν οὐδὲ τῶν γενναιοτέρων κυνῶν· ἐφ᾽ οἷς ὑμεῖς μὲν
ἠρυθριᾶτε καὶ διετρέπεσθε τῶν ἡγεμόνων εἰσιόντων, οἱ δὲ
ἀηδῶς ἔχοντες πρὸς ὑμᾶς ἐπέχαιρον καὶ ἐγέλων· ὅπου μηδὲ
τοῖς χαλκεῦσιν ἐξῆν διάρασθαι σχεδὸν, ἀλλὰ εἰργάζοντο κε-
κυφότες· καὶ ταῦτα πίπτοντα καὶ ὑπερηρεισμένα, ἃ πρὸς τὴν
πληγὴν τοῦ ῥαιστῆρος ἔτρεμε καὶ διίστατο· ἀλλ᾽ ὅμως ἦσαν
οἳ χαλεπῶς ἑώρων ἀφανιζόμενα τὰ σημεῖα τῆς ἔμπροσθεν
πενίας καὶ ἀδοξίας, οὐχ ὅτι τῶν κιόνων ἔμελεν αὐτοῖς τῶν
ἱσταμένων οὐδὲ τῶν γείσων, οὐ τῶν οἰκοδομουμένων ἐργα-
στηρίων ἄλλοσε, ἀλλ᾽ ἵνα μηδέποτε μεῖζον ὑμεῖς ἐκείνων φρο-
10 νῆτε. εὖ γὰρ ἴστε, ὅτι καὶ τοῖς οἰκοδομήμασι καὶ ταῖς ἑορ-
ταῖς καὶ τῷ δικάζειν αὐτοὶ καὶ τῷ μὴ παρ᾽ ἑτέροις ἐξετάζε-
σθαι μηδὲ συντελεῖν ἄλλοις, καθάπερ οἶμαι κώμην, πᾶσι
τούτοις συναίρεσθαι πέφυκε τὸ φρόνημα τῶν πόλεων καὶ
μεῖζον ἀξίωμα γίγνεσθαι τὸ τοῦ δήμου καὶ πλέονος τυγχάνειν
τιμῆς καὶ παρὰ τῶν ἐπιδημούντων ξένων καὶ παρὰ τῶν ἡγε- 489 M.
μόνων. ταῦτα δὲ τοῖς μὲν ἀγαπῶσι τὰς αὐτῶν πατρίδας καὶ
μὴ φοβουμένοις, μήποτε ἐλάττους αὐτῶν φανῶσι, θαυμαστὴν
ἔχει τὴν ἡδονήν· τοῖς δὲ ἐναντίως ἔχουσι καὶ βουλομένοις ἐν
ἀσθενέσιν ἰσχύειν καὶ τὴν δόξαν τῆς πόλεως ἀδοξίαν αὐτῶν 164 R II.
11 νομίζουσι δέος ὄντως φέρει καὶ λύπην καὶ φθόνον. καίτοι τὸ

8. *Σαμίων* BM. Casaub. r, *σαμεῖον* vm. ‖ *Ἡραῖον*. *ἥραιον* BM. ‖ *Μιλησίων*. *μιι-λησίων* M. ‖ *Διδυμεῖον* r, *Διδύμιον* reliq. ‖ 9. *Ἐφεσίων*. *ἐφεσίας* (corr. vulg.) M. — 9, 2. *κλισίων* Pierson. ad Moer. p. 228, *κλησίων* BM, *κλισιῶν* reliqui. Eustath. ad Od. 24, p. 830: *Δίωνι μέντοι τῷ καλῷ τὴν γλῶσσαν δοκεῖ κλίσιον εἶναι τὸν σταθμὸν τῶν προβάτων, ὁποία ἡ κοινῶς λεγομένη σκεπαστή*. Iacobs. ‖ 4. *κυνῶν*. *κυρῶν* M. ‖ 5. *ἠρυθριᾶτε καὶ διετρέπεσθε*. sic dedi. *ἠρυθριᾶτε διετρέπεσθαι* BM, *ἐρυθριᾶτε καὶ διετρέπεσθε* r, *ἐρυθριᾶτε διετρέπεσθε* vm. ‖ 6. *ἐπέχαιρον*. *ἐπέχειρον* M. ‖ 8. *ταῦτα* in M mrg. add. ‖ *ὑπερηρεισμένα*. *ὑπερηρισμένα* M. ‖ *ἃ* om. M. ‖ 9. *ῥαιστῆρος*. *ῥαστῆρος* M. ‖ 10. *ἑώρων* BM. Casaub. r, *ὥραν* vm. ‖ 11. *ἔμελεν* r, *ἔμελλεν* reliq. ‖ 12. *οὐ τῶν*. malim *ἢ τῶν*, *οὐδὲ τῶν* Geel. ‖ 13. *ἄλλοσε* Obs. p. 52, *ἄλλος* v, *ἄλλως* reliqui, quod delebat Reisk. — 10, 3. *ἄλλοις* Vales. r, *ἀλλήλοις* reliq. ‖ 5. *πλέονος*. *πλέονας* (corr. vulg.) M. ‖ 11. *δέος ὄντως* M, *δεόντως* reliqui. malim *δέος πάντως*. ‖ *φέρει καὶ λύπην* Pflugk., *φέρει αὐτὴν* M, *φέρειν αὐτὴν* reliqui. locum ita constituit Casaubonus: *δέος τε*

μὲν ὑπόδημα δεῖ πρὸς αὐτὸν ἁρμόζειν καὶ τὸν αὑτοῦ πόδα,
καὶ ἂν δοκῇ μεῖζον, περιτεμεῖν· πόλιν δὲ οὐδέποτε δεῖ κολούειν
οὐδὲ κατάγειν πρὸς αὑτὸν οὐδὲ πρὸς τὴν ἑαυτοῦ ψυχὴν με-
τρεῖν, ἐὰν τύχῃ σμικρὰν ἔχων καὶ ἀνελεύθερον, καὶ ταῦτα
παραδειγμάτων ὄντων· λέγω δὲ τὸ τῶν Σμυρναίων, τὸ τῶν
Ἐφεσίων, Ταρσεῖς ἐκείνους, Ἀντιοχέας. καὶ ταῦτα ἐπίστα-
μαι σαφῶς ὅτι καὶ πρότερόν τινες ἀκούοντες διεῤῥήγνυντο
καὶ χαλεπῶς ἔφερον, εἰ τοιούτων ἐθίζεσθε ἀκροᾶσθαι λόγων
καὶ μετὰ τοιούτων πόλεων τολμᾷ τις ὀνομάζειν τὴν ὑμετέραν.
12 ὅμως δ' ἐπὶ τούτοις σχετλιάζοντες καὶ τοιαῦτα λέγοντες καὶ
διδόναι μηδένα ἐῶντες καὶ τοῖς ἔργοις ἐμποδὼν γιγνόμενοι
οὕτως ἐμὲ διέθηκαν, ὥστε ὀλίγου φυγὴν ἐμαυτοῦ καταψηφί-
σασθαι. καὶ γὰρ ἦν γελοῖον μετὰ φυγὴν οὕτω μακρὰν καὶ
πράγματα τοσαῦτα καὶ τύραννον ἐχθρὸν δεῦρο ἀφικόμενον, 165 R II
ὥστε ἀναπαύσασθαι καὶ τὸ λοιπὸν ἐπιλαθέσθαι τῶν πρότε-
ρον χαλεπῶν, οἷον ἐκ δεινοῦ καὶ ἀγρίου πελάγους καὶ χειμῶ-
νος ἀδοκήτως σωθέντα μόλις δι' εὔνοιαν θεοῦ τινος· ἔπειτα
13 ἐνταῦθα ὥσπερ ἐν λιμένι ναυαγεῖν. θαυμάζω δὲ μάλιστα
ἐνίων ἀνθρώπων τὴν κακοήθειαν, μᾶλλον δὲ τὴν ἄνοιαν,
ὑπομιμνησκόμενος, οἷα ἐλογοποίουν τὸ μὲν πρῶτον περὶ τῆς
πρεσβείας, ἣν ἐπέμψατε εὐχαριστοῦντες. οὐ γὰρ ἡδέως αὐτὸν
ἀποδέξασθαι τοὺς πρέσβεις, ἀλλὰ δυσχερᾶναι μᾶλλον, ὡς
δέον αὐτὸν ἐπὶ τῆς πύλης ἀπηντηκέναι καὶ περιβαλεῖν τοὺς
ἥκοντας ἢ τοὺς μηδέπω παρόντας ὀνομάζειν ἢ πυνθάνεσθαι
περὶ τοῦδε καὶ τοῦδε, τί πράττουσιν ἢ διὰ τί πάντες οὐκ 660 M

φέρει ταῦτα καὶ φθόνον. Seldenus: δῆλον ὡς φέρει λύπην (vel ναυτίαν) καὶ φθόνον. Reiskius: δεῖ αὐτὰ φέρειν λύπην καὶ φθόνον vel δεινὴν ἀνάγκη ταῦτα φέρειν λύπην καὶ φθόνον. Pflugkius: δέος τε φέρει καὶ λύπην καὶ φθόνον. — 11, 2. αὐτὸν. sic dedi. αὑτὸν reliq. ‖ αὐτοῦ. sic dedi. αὑτοῦ reliq. ‖ 3. δοκῇ. δοκεῖ M. ‖ κολούειν B. Seldenus (qui id posthac repudiavit) et Wyttenb. ad Plut. Moral. p. 525 Oxon., κολοίειν M, κωλύειν reliq. ‖ 4. αὑτὸν. αὐτὸν M. ‖ 6. τὸ τῶν. τὸ in M obel. notat. — 12, 1. ὅμως δ' Casaub. r, ὅμως δ' vel ὅπως τ' Selden., ὅπως reliq. ‖ 3. φυγὴν. φυγεῖν M. ‖ 4. γελοῖον. σχέτλιον Reisk. ‖ μετὰ. ἐμὲ μετὰ Reisk. ‖ οὕτω. sic dedi. οὕτως reliq. ‖ 5. ἀφικόμενον Reisk., ἀφικομένῳ reliq. ‖ 6. πρότερον M, προτέρων reliq. ‖ 7. δεινοῦ. δινοῦ M. ‖ 8. ἀδοκήτως σωθέντα Reisk., ἀδοκήτου ὡς θέντα B, ἀδοκήτους ὡς θέντα M, ἀδοκήτου ὡσθέντα vm, ἀδοκήτου σωθέντα Casaub. r. ‖ 9. ναυαγεῖν M. Casaub., ναυμαχεῖν reliq. — 13, 6. πύλης BM. mrg. m, πόλεως reliq. ‖ τοὺς ἥκοντας Obs. p. 52, προσήκοντας reliqui, unde προσιόντας vel προστείχοντας Reisk., προσηκόντως Geel. ‖ 8. καὶ τοῦδε om. B.

14 ἦλθον. οἱ δὲ ἐλογοποίουν, ὅτι τοῖς Σμυρναίοις παμπόλλας
δωρεὰς δῴη καὶ χρήματα ἀμύθητα πέμψειε μετὰ τῶν Νεμέ-
σεων, καὶ νὴ Δί' ὡς ἄλλου τινὸς διαλεχθέντος μυρίους μὲν 166 R II.
αὐτῷ συνεχώρησε βουλευτὰς, χρυσίου δ' ἐκέλευσε ποταμὸν
εἰς τὴν πόλιν τραπῆναι καὶ μυριάδες ἄπειροί τινες ἐδόθησαν·
15 ὧν οὐδὲν ἦν ἀληθὲς, ὡς ἐβουλόμην ἂν ἔγωγε. τὸ γὰρ ἄλλους
καλῶς πράττειν καὶ μεγάλων τυγχάνειν οὐκ ἂν οὐδέποτε λυ-
πήσειε τὸν νοῦν ἔχοντα, ἄλλως τε καὶ πρῶτον τυχόντα καὶ
τὴν ἀφορμὴν ἴσως παρεσχηκότα. ὅμοιον γὰρ, ὥσπερ εἴ τις
αὐτῷ μόνον λάμπειν ἠξίου τὸν ἥλιον ἢ τὸν Δία ὕειν ἢ τοὺς
ἀνέμους πνεῖν ἢ μηδένα ἄλλον ἀπὸ τῶν κρηνῶν δύνασθαι
πιεῖν. ἀλλ' ὁμοῦ φιλανθρωπότατος ὢν ὁ αὐτοκράτωρ καὶ
συνετώτατος ἁπάντων ἐμοί τε παρέσχεν ὧν ἐγὼ ἐδεόμην καὶ
16 ἄλλοις ὧν ἐκεῖνοι ἐδέοντο. τίνος οὖν ἕνεκεν εἴρηκα πάντα
τοῦτον τὸν λόγον ὑπὲρ ἄλλων ὑμῶν βουλευομένων; ὅτι καὶ
τούτου τοῦ πράγματος ἐγὼ πρότερος ἡψάμην καὶ πολλοὺς
εἶπον ἐνθάδε λόγους ὑπὲρ ὁμονοίας, ἡγούμενος συμφέρειν τῇ
πόλει τοῦτο καὶ κρεῖττον εἶναι, μὴ διαφέρεσθαι πρὸς μηδένα
ἀνθρώπων, ἥκιστα δὲ οἶμαι πρὸς τοὺς ἐγγὺς οὕτω καὶ ἀστυ-
γείτονας. οὐ μέντοι πρὸς ἐκείνους γε ἦλθον οὐδὲ εἶπον φιλ- 167 R II.
άνθρωπον οὐδὲν πρὸ τοῦ καταλλαγῆναι δημοσίᾳ τὴν πόλιν
καὶ φίλους ὑμᾶς γενέσθαι. καίτοι ψήφισμά γε ἔπεμψαν
εὐθὺς ἐν ἀρχῇ φιλοφρονούμενοι καὶ παρακαλοῦντες ἀφικέ-
σθαι, καὶ πολλὰ δίκαιά μοι πρὸς αὐτοὺς ὑπῆρχεν, ὥσπερ
ἄλλῳ τινὶ τῶν ἐντεῦθεν· ἀλλ' ὅμως οὐχ ὑπέμενον φιλανθρω-
πεύεσθαι κατ' ἐμαυτὸν, ἀλλὰ κοινῇ μεθ' ὑμῶν αὐτοῖς ἐβου-
17 λόμην γενέσθαι φίλος. ὅθεν ὑφεωρῶντό με καὶ δυσχερῶς
εἶχον. καὶ νῦν πυθόμενος τὰς διαλύσεις καὶ τὴν φιλίαν ταύ-
την πραττομένην καὶ ψηφισαμένων ὑμῶν ἐμὲ καλεῖν ἴσως καὶ

14, 2. Νεμέσεων. γεμέσεων corr. M (νεμέσεων pr. man.), γενέσεων v, νεμήσεων Casaub. ‖ 3. τινὸς. τινὸς ἂν Reisk. ‖ 4. δ' M, δὲ reliq. ‖ 6. ὧν οὐδὲν ἦν ἀληθὲς, ὡς ἐβουλόμην ἂν ἔγωγε. ὧν οὐδὲν ἦν. ἀλλ' ἡδέως ἂν ἐβουλόμην ἐγὼ Iacobs. Add. p. 107. — 15, 1. ἄλλους. sic dedi. πολλοὺς reliq. ‖ 5. λάμπειν ἠξίου BM, ἠξίου λάμπειν reliq. ‖ 7. ἀλλ' ὁμοῦ. sic dedi. ἀλλ' ὁ μὲν M, ἀλλ' ὅμως reliq. ‖ ὁ αὐτοκράτωρ. sic. dedi. ὁ om. reliq. ‖ 8. ἐμοί τε Reisk., ἔμοιγε reliq. — 16, 2. βουλευομένων BM. mrg. m, βουλομένων reliq. ‖ 4. ὑπὲρ M, περὶ reliq. ‖ 5. τοῦτο. τῷ τε (reliquis servatis) Selden. ‖ καὶ κρεῖττον Casaub. r, καὶ om. reliqui, unde Reiskius v. κρεῖττον εἶναι delenda putat. ‖ μὴ om. B. ‖ 11. ὥσπερ. ὥσπερ οὐκ Geel., vel sic scribendum vel εἴπερ.

ταύτης ἕνεκα τῆς χρείας· τυχὸν γὰρ ἠλπίζετε κἀμοῦ μετα-
σχόντος ῥᾷον μᾶλλον καὶ ἀσφαλέστερον ἔσεσθαι πάντα· καί-
τοι καὶ νῦν ἴσως οὐ τοῖς παροῦσι μόνον, ἀλλὰ κἀμοὶ νέμοντες 491 M
τιμὴν, μετὰ τῶν ἄλλων λογιζόμενοι κἀμὲ πολίτην ὑμέτερον,
τυχὸν προθυμότεροι γεγόνασι πρὸς ὑμᾶς· ὅμως οὐ σφόδρα
ἠπείχθην εὐλαβούμενος, μὴ γένηται τοῦτο ἐμποδὼν οὐκ ἐκεί-
νοις, ἀλλὰ τῶν ἐντεῦθέν τισι. σχεδὸν γὰρ εἰώθασι πολλοὶ
τῶν ἀνθρώπων οὐ τοῖς πραττομένοις, ἀλλὰ τοῖς πράττουσι
18 φθονεῖν. ἐπεὶ καὶ πέρυσι τοὺς λόγους τούτους πρὸς ἐμὲ 168 R II
ἔλεγον οἱ προεστῶτες αὐτῶν καὶ τότε ἐξῆν ὑμῖν ἀπηλλάχθαι
πραγμάτων· ἀλλ' ὑφεωρώμην ἐγὼ, μή τισι τῶν ἐντεῦθεν
πρόσαντες γένηται καὶ δυσκόλως φέρωσιν ἐμοῦ πράττοντος
αὐτά. καὶ νῦν τρόπον τινὰ ἑκὼν ἐβράδυνα. ὅσα μὲν οὖν καὶ
δι' ἐμοῦ καὶ δι' ἑτέρων δυνατὰ γίγνεσθαι τῇ πόλει, ταῦτα
ἐκείνοις ἀξιῶ μᾶλλον ἐπιτρέπειν, ἵνα μηδεὶς ἀντιβαίνῃ μηδὲ
λυπῆται βασκαίνων. ὅσα δ' οὐ ῥάδιον ὑπ' ἄλλου τῶν ἐν-
τεῦθεν πραχθῆναι, τυχὸν δὲ καὶ λίαν χαλεπὸν, ἡγεῖσθε πρὸς
19 ἐκείνοις ἀεί με τὴν γνώμην ἔχειν, μέχρις ἂν ἐμπνέω. καὶ μὴν
ὅστις ἂν προθυμῆται τὰ περὶ τὴν πόλιν καὶ δύνηταί τι ποιεῖν
ὑμῖν συμφέρον, ἐμὲ πρῶτον ἕξει τὸν μαρτυροῦντα καὶ συνα-
γωνιζόμενον. καὶ τὸ αὐτὸ πρᾶγμα, ὃ γίγνεται ὀρθὸν, πολὺ
ἂν ἥδιον ἐπαινέσαιμι καὶ προθυμότερον ἄλλου πράττοντος
ἢ αὐτὸς εἰσηγούμενος. οὐδὲ γὰρ εὐδοκιμεῖν βουλόμενος οὐδὲ
τῶν ἐπαινούντων ἀπορῶν οὐδ' ἐπιθυμίᾳ δόξης, ἀλλὰ τῇ πρὸς
ὑμᾶς εὐνοίᾳ, βούλομαι γίγνεσθαί τι τῶν δεόντων· καὶ τοῖς
θεοῖς εὔχομαι πᾶσι γηρῶν ὡς πλείστους ἐπιδεῖν ἱκανωτέρους
20 ἐμοῦ τὴν πόλιν ὠφελεῖν. καὶ νῦν ὑπὲρ τούτου ἐπαινῶ τόν τε
ἄρχοντα καὶ τὸν εἰσηγησάμενον. πᾶσα μὲν γὰρ ὡς ἔπος εἰπεῖν 169 R I
ἔχθρα καὶ διαφορὰ πρὸς ὁντινοῦν γιγνομένη ἐργῶδες καὶ
δυσχερὲς καὶ πόλει καὶ ἰδιώτῃ, κἂν ὁπωσοῦν τύχωσι διακεί-

17, 4. ἠλπίζετε BM. Reisk., ἐλπίζετε reliq. ‖ κἀμοῦ. κακοῦ B. ‖ 5. καίτοι καὶ νῦν. καί τι καὶ νῦν Casaub., καὶ τοίνυν Pflugk. ‖ 6. κἀμοί. καὶ ἐμοὶ M. ‖ 8. οὐ r ex Interpr., ὃ reliq. ‖ 9. ἠπείχθην. ἠπίχθην M. — 18, 1. ἐπεί. ἐπὶ M. ‖ 6. δυνατά. δύναται M. ‖ 7. ἀντιβαίνῃ B. r, ἀντιβαίνει reliq. ‖ 9. λίαν. λείαν M. ‖ ἡγεῖσθε. ἡγεῖσθαι M. ‖ 10. ἔχειν. ἕξειν Reisk. — 19, 3. μαρτυροῦντα. ὁμαρτοῦντα Selden. ‖ 4. γίγνεται. sic dedi. γίνεται reliq. ‖ ὀρθὸν. ὀρθῶς Reisk. ‖ 5. καὶ Reisk., om. reliqui, unde νὴ Δία Geel. pro ἥδιον. — 20, 2. πᾶσα. eadem propemodum repetuntur Orat. 41, § 11. conf. et Orat. 41 § 12. ‖ 3. γιγνομένη Reisk., γιγνόμενον reliq.

μενοι. τούς τε γὰρ ἀσθενεῖς ἱκανὸν ἐξελέγξαι καὶ ταπεινῶσαι πρὸς τοῖς οὖσι χαλεποῖς καὶ τοὺς εὖ πράττοντας ἐνοχλῆσαι καὶ ταράξαι τὴν ψυχὴν αὐτῶν· ὅθεν οἱ νοῦν ἔχοντες 192 M. αἱροῦνται φέρειν ἐλαττούμενοι τὰ μέτρια καὶ μὴ σφόδρα ἀκριβῶς περιέχεσθαι τῶν δικαίων ἢ φιλονεικοῦντες ἐφ' ἑκάστῳ καὶ μηδενὶ μηδὲν εἴκοντες ἀεί τινας ἔχειν τοὺς ἐπιβουλεύοντας καὶ πολεμοῦντας καὶ τοῦτο μὲν τοῖς εὐτυχήμασι νεμεσῶντας καί, καθ' ὅσον οἷοί τέ εἰσιν, ἐμποδὼν ἱσταμένους, τοῦτο δέ, ἂν συμβῇ τι πταῖσμα· πολλὰ δὲ ὡς ἐν ἀνθρώποις
21 τὰ γιγνόμενα· χαίροντας καὶ ἐπιτιθεμένους. οὐ γάρ ἐστιν οὐδεὶς ἀσθενὴς οὕτως οὐδὲ ἀδύνατος τὴν φύσιν, ἄνθρωπος ὢν πρὸς ἄνθρωπον, ὃς οὐ τυγχάνει καιροῦ τὴν δυσμένειαν ἐνδείξασθαι καὶ τὸ μῖσος ἢ καθ' αὑτὸν ἢ σὺν ἑτέροις καὶ λόγον τινὰ εἰπεῖν, ὃς πάντως ἐλύπησε, καὶ πρᾶγμα συνθεῖναι τὸ βλάψον. οὐδὲ γὰρ νόσημα οὐδὲν οὕτως ἀναίσθητον τοῖς ἔχουσιν, ὡς μηδέποτε βλάψαι μηδὲ ἐμποδὼν γενέσθαι μηδεμιᾶς πράξεως, ἀλλὰ κἂν ἐγρηγορότι καὶ βαδίζοντι μὴ σφόδρα ἐνοχλῇ τὴν ἰσχὺν τοῦ σώματος, εἴς γε τὴν κοίτην ἀπήντησε
22 καὶ διασπᾷ καὶ διαφθείρει τὸν ὕπνον. οὕτως ἔγωγέ φημι 110 R II. μηδέποτε λυσιτελεῖν ἀπεχθάνεσθαι καὶ φιλονεικεῖν μηδὲ τῇ μεγίστῃ πόλει πρὸς τὴν βραχυτάτην κώμην· ὅταν δὲ δὴ πρὸς ἀνθρώπους ᾗ πόλιν οἰκοῦντας οὐ μικρὰν καὶ πολιτείαν ἐξαίρετον ἔχοντας καὶ παρὰ τοῖς ἡγεμόσι τιμήν τινα καὶ δύναμιν, ἐὰν σωφρονῶσι· δεῖ γὰρ ὑμᾶς ἀκούειν τἀληθῆ καὶ μὴ χαλεπῶς φέρειν, ἐάν τις ἑτέρους ἐπαινῇ βουλόμενος ὑμᾶς ὠφελεῖν· τὸ δὲ μέγιστον ὁμόρους καὶ ἀστυγείτονας καὶ μονονουχὶ καθ' ἑκάστην τὴν ἡμέραν ὑμῖν ἐπιμιγνυμένους, τοῦτο μὲν τοῖς πλείστοις ἐπιγαμίας ὑπαρχούσης, τοῦτο δὲ πολιτῶν τινων, καὶ σχεδὸν τῶν δυνατωτάτων παρ' ἡμῖν, τῆς παρ' ἐκείνοις

5. ἱκανὸν om. B. ‖ 9. δικαίων ἢ Reisk., ἢ om. reliq. ‖ φιλονεικοῦντες. φιλονικοῦντες M. ‖ 10. εἴκοντες. εἴκοντας M. ‖ 14. τὰ γιγνόμενα Reisk., τὰ om. reliq. ‖ ἐπιτιθεμένους M. Reisk., ἐπιθεμένους B. vm. — 21, 3. οὐ om. B. ‖ 4. ἐνδείξασθαι. ἐνδείξασθε M. ‖ 5. ὅς. ὧ M. ‖ συνθεῖναι. συνθῆναι B. ‖ 8. καὶ BM, κἂν reliq. ‖ 9. τὴν. malim διὰ τήν. μηδὲ ἀφέληται τὴν vel tale quid Reiskius. ‖ εἴς γε. εἴς τε M. — 22, 2. λυσιτελεῖν M (mrg. λυσιτελεῖν μηδέ), λυσιτελεῖν μηδενὶ Reisk., λυσιτελεῖν μηδὲ reliq. ‖ φιλονεικεῖν. φιλονικεῖν M. ‖ 3. βραχυτάτην. βαχυτάτην m. ‖ 4. ᾗ πόλιν B. Selden. (idem μήτε πόλιν). r, πόλιν Vales. p. 71, ἢ πόλιν reliq. ‖ οὐ μικρὰν Casaub. r, σμικρὰν BM, μικρὰν reliq. ‖ 7. ἐπαινῇ M. Obs. p. 52, ἐπαινεῖν reliq. ‖ ὠφελεῖν M. Obs. p. 52, ὠφελῇ reliq. ‖ 10. τινων. κοινῶν M. ‖ 11. ἡμῖν.

τιμῆς τετυχηκότων· πῶς χρὴ ταύτην ἄλυπον καὶ ἀβλαβῆ τὴν
23 ἔχθραν ὑπολαμβάνειν; καὶ μηδεὶς ὑπολάβῃ με λέγειν, ὡς
ἄρα χρὴ τελέως ὑποπεσεῖν καὶ μηδὲν ἐκείνων προαιρουμένων
δίκαιον μηδὲ ἐπιεικὲς αὐτοὺς δεῖσθαι καὶ παρακαλεῖν· αἱρου-
μένων δὲ αὐτῶν καὶ προθυμουμένων εἰς φιλίαν, ἑτοιμοτέρους 489 M
πρὸς τοῦτο φέρεσθαι καὶ τὴν φιλονεικίαν τὴν ἐκ τῆς δια-
φορᾶς ἐπὶ τοῦτο μετενεγκεῖν πολὺ κάλλιον, ὅπως αὐτοὶ εὐγνω-
μονέστεροι φανησόμεθα καὶ μᾶλλον καταφρονοῦντες χρημά-
24 των καὶ τοῦ πλείονος. οὐ γὰρ οὕτως αἰσχρόν ἐστι λείπεσθαι 111 R II
τοῖς διὰ τὸ μῖσος ἔργοις καὶ νὴ Δία τοῖς πρὸς ἔχθραν, ὡς
τοῖς ἀπὸ τῆς μετριότητος καὶ τῆς φιλανθρωπίας. ὁ μὲν γὰρ
ἐν ἐκείνοις ἡττώμενος κινδυνεύει λαβεῖν δόξαν ἀσθενείας, ὁ
δ' ἐν τούτοις σκαιότητος καὶ φιλονεικίας. ὅσῳ δὴ κρεῖττον
ἀσθενῆ δόξαι μᾶλλον ἢ πονηρὸν, τοσούτῳ βέλτιον ὑστέρους
25 εἶναι μαχομένους ἢ διαλλαττομένους. εἰκότως δ' ἄν μοι προσ-
έχοιτε τὸν νοῦν μᾶλλον ἑτέρων τυχὸν μὲν καὶ ἄλλως, ἔτι δὲ
κἀκεῖνο σκοποῦντες, ὅτι μηδὲν ἰδίᾳ μοι διαφέρει μηδὲ ὄχλησίν
τινα ὀκνῶν ἢ δαπάνην ἐμαυτοῦ, διὰ τοῦτο ἀμελῶ τοῦ πρέ-
ποντος ὑμῖν. ὅτι γάρ με οὐκ ἐνοχλήσετε μὴ βουλόμενον οὐδὲ
κελεύσετε ἀποδημεῖν ὥσπερ ἤδη πολὺν χρόνον ἔχοντα παρ'
ὑμῖν, ἐπίσταμαι σαφῶς· ἄλλως τε οὐκ ἀσχολούμενος ἐγὼ
νομίζω συμφέρειν ὑμῖν οὐδὲ τοῦτον ἀποδημῶν τὸν τρόπον·
ἀλλ' ὅπερ ἔφην, βέλτιον ἡγοῦμαι πᾶσιν ἀνθρώποις, οὐ μόνον
ὑμῖν, μήτε ἀναιρεῖσθαι ῥᾳδίως ἔχθραν μὴ σφόδρα ἀναγκαίαν
τάς τε πρότερον οὔσας καταλύεσθαι πάντα τρόπον, ἂν ᾖ
δυνατὸν, τὴν ἐκ τοῦ διαφέρεσθαί τισι βλάβην μείζονα ἡγου-
26 μένους τῆς παρὰ τὰς διαλύσεις ζημίας. [πᾶσα γάρ, ὥς φησιν, 112 R II
εἰρήνη κρείττων πολέμου, καὶ πᾶσα φιλία πολὺ ἀμείνων καὶ
λυσιτελεστέρα τοῖς γε νοῦν ἔχουσιν ἔχθρας καὶ ἰδίᾳ τοῖς οἰ-

ὑμῖν M. — 23, 2. τελέως M. Reisk., τελείως reliq. ‖ 3. αἱρουμένων. malim αἰτουμένων vel αἰδουμένων. ‖ 5. φέρεσθαι. φαίνεσθαι BM. ‖ 6. αὐτοί. sic dedi. αὐτοῖς reliq. ‖ 7. φανησόμεθα. φανησώμεθα B. — 24, 3. ἀπὸ τῆς M, τῆς om. reliq. ‖ 4. ἡττώμενος. ἡττόμενος M. ‖ 5. σκαιότητος. σκεότητος M. — 25, 1. προσέχοιτε. sic dedi. idem visum est Pflugkio. προσέχητε reliq. ‖ 2. ἄλλως BM, ἄλλο reliq. ‖ 3. ὄχλησίν. ὀχλήσειν M. ‖ 5. βουλόμενον. βουλόμενοι v. ‖ 6. χρόνον ἔχοντα BM, ἔχοντα χρόνον reliq. ‖ 13. παρὰ r, περὶ reliq. — 26, 1. [πᾶσα—ἀγαπητόν.] videntur haec interpolatoris esse, qui § 20 seqq. imitaretur. ‖ ὥς φησιν. ὥς φασιν M. ‖ 3. τοῖς γε B, παρὰ τοῖς Reisk., τοῖς reliq. ‖ ἔχθρας. ἔχθας mrg. M. ‖

κοις καὶ δημοσίᾳ ταῖς πόλεσιν. εἰρήνη μὲν γὰρ καὶ ὁμόνοια
τοὺς χρωμένους οὐδὲν πώποτε ἔβλαψεν, ἔχθρα δὲ καὶ φιλο-
νεικία θαυμαστὸν εἰ μὴ σφόδρα ἀνήκεστα καὶ μεγάλα. καὶ
τῆς μὲν ὁμονοίας τό τε ὄνομα εὔφημον ἥ τε πεῖρα ἀρίστη καὶ
λυσιτελεστάτη πᾶσι· στάσεως δὲ καὶ διαφορᾶς σκυθρωπὴ 494 M.
μὲν ἡ προσηγορία καὶ δυσχερής, πολὺ δὲ χείρω καὶ τὰ ἔργα
καὶ σκυθρωπότερα. καὶ γὰρ εἰπεῖν ἔστι καὶ ἀκοῦσαι πολλὰ
27 τῶν ἀβουλήτων καὶ πρᾶξαι καὶ παθεῖν. ἡ δὲ τῶν ἐγγὺς
οὕτως καὶ ὁμόρων διαφορὰ καὶ τὸ μῖσος οὐδὲν ἄλλο ἔοικεν
ἢ στάσει μιᾶς πόλεως· ὅπου καὶ γάμων κοινωνία πολλοῖς καὶ
συμβολαίων καὶ τὸ ἀφικνεῖσθαι παρ' ἀλλήλους σχεδόν τι
καθ' ἑκάστην τὴν ἡμέραν καὶ τὸ συγγενεῖς εἶναι καὶ συνήθεις
καὶ ξένους τρόπον τινὰ ἀλλήλοις ἅπαντας. παροικοῦσα δὲ
πόλις ἐχθρὰ καὶ δυσμενὴς λυπηρὸν πάντα τρόπον καὶ δυσο-
μίλητον, ὥσπερ εὔνους καὶ φίλη συμφέρον καὶ ἀγαπητόν.] 173 R II
28 ἐνθυμεῖσθε δὲ, ὅσῳ μὲν ἥδιον ἀποδημεῖν πρὸς τοὺς πέλας
οἰκείως ἔχοντας, ἀλλὰ μὴ ἐχθρῶς, ὅσῳ δὲ βέλτιον τοὺς ἐπι-
ξενουμένους ὑποδέχεσθαι χωρὶς ὑποψίας, ἐν δὲ ταῖς κοιναῖς
πανηγύρεσι καὶ θεῶν ἑορταῖς καὶ θέαις ὅσῳ κρεῖττον καὶ
σωφρονέστερον ἀναμίγνυσθαι συνθύοντας ἀλλήλοις καὶ συν-
ευχομένους, ἀλλὰ μὴ τοὐναντίον καταρωμένους καὶ βλασφη-
29 μοῦντας. αἱ δὲ ἐπιβοήσεις ἑκατέρου τοῦ πλήθους ἐν τοῖς
σταδίοις καὶ τοῖς θεάτροις πόσον διαφέρουσι μετὰ ἐπαίνου
γιγνόμεναι καὶ πολλῆς εὐφημίας τῶν μετὰ μίσους καὶ λοιδο-
ρίας; οὐ γὰρ ἀνθρώπων ἐπιεικῶν οὐδὲ πόλεων σωφρόνων,
μᾶλλον δὲ ἑταιρῶν ἀσχημόνων ἀπὸ οἰκήματος ἑκατέρας οὐδὲν
αἰσχυνομένων ῥῆμα ἀκόλαστον εἰπεῖν, ᾗ φησιν Ὅμηρος·

αἵ τε χολωσάμεναι ἀγορῆς ἐς μέσσον ἰοῦσαι
νεικεῦσ' ἀλλήλῃσι, χόλος δέ τε καὶ τὰ κελεύει.

οἴκοις. οἰκείοις B. ‖ 6. ἀνήκεστα καὶ μεγάλα. μεγάλα καὶ ἀνήκεστα Reisk. ‖ 8. διαφορᾶς. διαφθορᾶς B. ‖ 10. πολλὰ Boissonad. ad Philostr. Her. p. 298, καὶ πολλὰ reliqui, unde καὶ ἰδεῖν πολλὰ Reisk., καὶ πολλὰ defendit Geelius. — 27, 2. οὐδὲν ἄλλο. οὐδέν' ἄλλῳ Selden., οὐδενὶ ἄλλῳ Reisk. (idem οὐδὲν ἄλλο ἔοικεν εἶναι ἢ στάσις). ‖ 3. πολλοῖς. πολλοὺς Reiskius (et infra τινὰ συνδεῖ pro τινά). frustra. — 28, 1. ἐνθυμεῖσθε. ἐνθυμεῖσθαι M. ‖ 2. ἐχθρῶς. ἐχθροὺς (corr. vulg.) M. ‖ 4. θέαις. θεαῖς BM. ‖ 5. ἀναμίγνυσθαι. ἀναμίγνυσθε M. ‖ 6. καὶ βλασφημοῦντας M. Reisk., καὶ om. reliq. — 29, 5. ἑταιρῶν. ἑταῖρον (corr. vulg.) M. ‖ ἑκατέρας. ἢ καὶ ἀγορᾶς Iacobs. ‖ 7. μέσσον. μέσον M. ‖ 8. νεικεῦσ'. νίκους

30 πόσου δὴ ταῦτά ἐστι τὸ μὴ πάσχειν; πόσῳ δὲ πλείονος τὸ μὴ
ποιεῖν; ποῖον δ᾽ ἂν τοσοῦτο γένοιτο χρημάτων πλῆθος ἢ 134 R
χώρας μέγεθος, ἀνθ᾽ οὗ προσήκει τοὺς νοῦν ἔχοντας ἀνθρώ- 135 M
πους ἀντικαταλλάξασθαι τὴν καθ᾽ ἡμέραν εὐφημίαν, τὸ πρε-
πόντως μὲν θεᾶσθαι, προθύμως δὲ ἀποδημεῖν; καὶ μὴν τά
γε τῆς χώρας καὶ τὰ τῆς θαλάττης καὶ τὰ τῶν ὀρῶν ἐξ
ἅπαντος ὑμᾶς εἰς τὸ αὐτὸ συνάγει καὶ μὴ βουλομένους καὶ
ἀναγκάζει χρήσασθαι ἀλλήλοις. ἐκεῖνοί τε γὰρ δέονται τῆς
παρ᾽ ὑμῶν ὕλης καὶ ἑτέρων πολλῶν καὶ ἡμεῖς οὐκ ἔχομεν οὔτε
εἰσαγαγέσθαι δι᾽ ἑτέρου λιμένος οὔτε ἐκπέμψαι τὰ γιγνόμενα
31 παρ᾽ ἡμῖν. πῶς οὖν οὐχ ἁπάντων δυστυχέστατον ὠνεῖσθαι
μὲν ἑκάστους παρὰ ἀνθρώπων οὐ φίλων, ἀποδίδοσθαι δὲ
τοῖς μισοῦσι, κατάγεσθαι δὲ παρὰ τοῖς βαρυνομένοις, ὑπο-
δέχεσθαι δὲ τοὺς λοιδοροῦντας, συνεστιᾶσθαι δὲ ἐνίοτε τοῖς
ἀλλοτριωτάτοις, ἐὰν δὲ πλοίου τις ἐπιβαίνῃ, σαφῶς εἰδέναι
καὶ τὸν κυβερνήτην καὶ τοὺς ναύτας ἅπαντας καταρωμένους,
τὸ δὲ πάντων ἀηδέστατον ὅραμα ἐχθρῶν, τοῦτο ἀεί ποτε
ὁρᾶν καὶ πλέοντας καὶ βαδίζοντας, καὶ τούτοις ἀεὶ πλείστοις
κατὰ τὰς ὁδοὺς ἀπαντᾶν, πονηρὸν καὶ δυσχερῆ σύμβολον;
[ὥστε πάντως εἰπόντα τι παρελθεῖν ἢ ἀκούσαντα δυσχερές].
32 ὥστε ἔγωγε ἐνεθυμούμην πολλάκις τὴν τῶν ἀνθρώπων ἀμα-
θίαν καὶ διαφθοράν, ὅτι τῶν σφόδρα ἀδόξων καὶ φαυλοτά-
των ζῴων χείρους εἰσὶ ταῖς ψυχαῖς. οἱ μὲν γὰρ ἄνθρωποι
πολλάκις ἐντυχόντες ἀλλήλοις μάχονται καὶ λοιδορηθέντες
ἀπίασιν· οἱ δὲ μύρμηκες οὕτω πυκνοὶ βαδίζοντες οὐδέποτε 135 R
ἠνώχλησαν ἀλλήλους, ἀλλὰ πάνυ πρᾴως ἐντυγχάνουσι καὶ
33 παρίασι καὶ βοηθοῦσιν ἀλλήλοις. καὶ μὴν τὸ νῦν συμβεβη-
κὸς περὶ τὴν ἡμετέραν πόλιν τὸ μὲν ἀληθὲς ἅπτεται πολλῶν

M. ‖ ἀλλήλῃσι. ἀλλήλοισι M. ‖ δέ τε. δὲ τὰ r. conf. Il. 20, 255. — 30, 1. πόσου Selden., πόσῳ reliq. ‖ πόσῳ δὲ. sic dedi. ὅσῳ δὴ reliqui. audacius hic versatus est Reiskius. ‖ 2. τοσοῦτο BM, τοσοῦτον reliq. ‖ 5. θεᾶσθαι Reisk., θεάσασθαι reliq. ‖ ἀποδημεῖν. ἐπιδημεῖν Geel. ‖ 6. θαλάττης. θαλάσσης M. ‖ ὀρῶν B. m, ὁρῶν M, ὡρῶν vr. ‖ 7. βουλομένους BM. r, βουλομένοις vm. ‖ καὶ ἀναγκάζει. sic dedi. καὶ om. reliq. ‖ 8. ἀλλήλοις BM. r, ἀλλήλους vm. ‖ 10. οὔτε ἐκπέμψαι M, οὔτ᾽ ἐκπέμψαι reliq. ‖ γιγνόμενα M, γινόμενα reliq. — 31, 4. συνεστιᾶσθαι. συνεστιᾶσθε M. ‖ 7. ἐχθρῶν. ἐχθρὸν M. ‖ 8. τούτοις BM. Casaub. r, τούτους vm. ‖ πλείστοις. πλείστους Selden. ‖ 9. δυσχερῆ BM, δυσχερὲς reliq. ‖ 10. [ὥστε —δυσχερές] aut haec videntur interpolatoris aut πονηρὸν—σύμβολον. ‖ ἀκούσαντα BM. Selden. r, ἀκούσαντας reliq. — 32, 5. οὕτω πυκνοί. τούτω πυκνὰ M.

καὶ κνίζει τοὺς ἄλλους πάντας, ὅτι δὴ τὰς δίκας ὑμεῖς ἀπο-
δέχεσθε καὶ παρ' ὑμῖν αὐτοὺς ἀνάγκη κρίνεσθαι· χρὴ δὲ δι'
αὐτὸ μᾶλλον φιλανθρώπως ἔχειν καὶ μὴ παρέχειν ἑαυτοὺς
ἐπιφθόνους. αὐτίκα πρέσβεις οἱ χειροτονηθέντες ἐπὶ τοῦτο
τὸ πρᾶγμα πόθεν ἀπίασιν; οὐκ ἐκεῖθεν; οὐ παρὰ τῶν ἐχθί-
στων ἀναχθήσονται πλέοντες καὶ χρήσονται τῷ λιμένι τῆς
ἐχθρᾶς πόλεως; ἢ κύκλῳ περιίασιν, ὥσπερ χαλεπῆς καὶ ἀβά- 496 M.
του τῆς ἐγγὺς ἡμῖν θαλάττης; ἐγὼ μὲν γὰρ καὶ τοῖς πρότε-
ρον διαφερομένοις πρὸς τοὺς ἀστυγείτονας ταῦτα ἡγοῦμαι
χαλεπώτερα καὶ βαρύτερα τοῦ λαβόντας ὅπλα βαδίζειν εἰς
τὴν χώραν ἢ προσβάλλειν τοῖς τείχεσιν ἢ τὰ δένδρα κόπτειν
34 ἢ τῷ καρπῷ πῦρ ἐνιέναι. τούτων γὰρ οἶμαι χαλεπῶν ὄντων
τῷ παντὶ χαλεπώτερόν ἐστιν, ἀφ' ὧν γίγνεται, τὸ τῆς ἔχθρας
καὶ τὸ τοῦ μίσους. οὐ γάρ ἐστι φανῆναί ποτε ἀπὸ τούτου 176 R II.
τοῦ πράγματος ὠφέλιμον οὐδὲ χρηστόν. ὅ τε γὰρ τῆς ἔχθρας
καρπὸς ἁπάντων πικρότατος καὶ δριμύτατος, ὥσπερ οἶμαι
τοὐναντίον ὁ τῆς εὐνοίας ἥδιστος καὶ λυσιτελέστατος. τὸ γὰρ
μηδέποτε εἴκειν μηδὲ παραχωρεῖν τῷ πλησίον· λέγω δὲ χωρὶς
αἰσχύνης· μηδὲ τῶν μὲν τυγχάνειν αὐτούς, τὰ δὲ παριέναι
τοῖς ἄλλοις, οὐκ ἀνδρεῖόν ἐστιν, ὥσπερ οἴονταί τινες, οὐδὲ
35 μεγαλόφρον, ἀλλ' ἀνόητον καὶ ἀμαθές. οὐχ ὁρᾶτε τοῦ ξύμ-
παντος οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ θείων καὶ μακαρίων αἰώ-
νιον τάξιν καὶ ὁμόνοιαν καὶ σωφροσύνην, ἧς οὔτε κάλλιον
οὔτε σεμνότερον οὐδὲν οἷόν τ' ἐπινοῆσαι; πρὸς δὲ αὖ τῶν
λεγομένων στοιχείων, ἀέρος καὶ γῆς καὶ ὕδατος καὶ πυρός,
τὴν ἀσφαλῆ καὶ δικαίαν δι' αἰῶνος ἁρμονίαν, μεθ' ὅσης εὐ-
γνωμοσύνης καὶ μετριότητος διαμένειν πέφυκεν αὐτά τε σω-
36 ζόμενα καὶ σώζοντα τὸν ἅπαντα κόσμον; σκοπεῖτε γάρ· εἰ
καί τισι δόξει μετέωρος ὁ λόγος καὶ οὐ πάνυ τι ὑμῖν συμπα-

33, 3. δή. δεῖ B. ‖ 4. δι' αὐτό. malim cum Geelio δι' αὐτὸ τοῦτο. ‖ 6. οἱ. οὐ M. ‖ 7. τὸ om. m. ‖ 9. περιίασιν. περίασιν BM. ‖ 10. πρότερον suspectum Casaubono. ‖ 12. λαβόντας Casaub. (vel λαβεῖν τὰ ὅπλα καί). r, λαβόντος reliq. ‖ ὅπλα BM. Reisk. (idem ὅπλα καὶ πῦρ), ὅπλα καὶ reliqui, ὅπλα ἢ Geel. ‖ 13. προσβάλλειν. προβάλλειν m. ‖ 14. τῷ καρπῷ. τῶν καρπῶν M. — 34, 2. γίγνεται. sic dedi. γίνεται reliq. ‖ 4. οὐδέ. οὐδὲν οὐδὲ Reisk. ‖ 5. ἁπάντων Reisk., ἀπὸ πάντων reliqui. conf. Or. 41, § 12. ‖ πικρότατος. μικρότατος M, σμικρότατος B. ‖ 6. ὁ τῆς. ὁ om. M. — 35, 4. οἷόν τ'. οἴονται M. ‖ αὖ τῶν. αὐτῶν m. — 36, 2. καὶ οὐ Reisk., καὶ om. reliq.

θής· ὅτι ταῦτα πεφυκότα ἄφθαρτα καὶ θεῖα καὶ τοῦ πρώ-
του καὶ μεγίστου γνώμῃ καὶ δυνάμει κυβερνώμενα θεοῦ τὸν
ἅπαντα χρόνον ἐκ τῆς πρὸς ἄλληλα φιλίας καὶ ὁμονοίας σώ-
ζεσθαι φιλεῖ, τά τε ἰσχυρότερα καὶ μείζω καὶ τὰ ἐλάττω δὴ 177 R II
δοκοῦντα. ταύτης δὲ τῆς κοινωνίας διαλυθείσης καὶ στάσεως
ἐπιγενομένης οὐχ οὕτως ἀνώλεθρος οὐδὲ ἄφθαρτος αὐτῶν ἡ
φύσις, ὥστε μὴ ταραχθῆναι καὶ τὴν ἀμήχανόν τε καὶ ἄπι-
στον, ὥς φασιν, ὑπομεῖναι φθορὰν ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. 497 M
37 ἡ μὲν γὰρ λεγομένη παρὰ τοῖς σοφοῖς ἐπικράτησις αἰθέρος,
ἐν ᾧ τὸ βασίλειον καὶ τὸ κυριώτατον τῆς ψυχικῆς δυνάμεως
ὃν οὐκ ἀποτρέπονται πῦρ ὀνομάζειν πολλάκις, ὅρῳ τε καὶ
πρᾴως γιγνομένη ἔν τισι χρόνοις τεταγμένοις μετὰ πάσης φι-
λίας καὶ ὁμονοίας ἔοικε συμβαίνειν. ἡ δὲ τῶν ἄλλων πλεον-
εξία καὶ διαφορὰ παρανόμως γιγνομένη τὸν ἔσχατον ἔχει
κίνδυνον ὀλέθρου, περὶ τῶν ὅλων οὔ ποτε ἐσομένου διὰ τὸ
πᾶσαν εἰρήνην καὶ δικαιοσύνην ἐν αὐτοῖς ὑπάρχειν καὶ παν-
ταχοῦ πάντα δουλεύειν καὶ ξυνακολουθεῖν εὐγνώμονι νόμῳ
38 πειθόμενα καὶ εἴκοντα. οὐχ ὁρᾶτε τοῦτο μὲν ἥλιον νυκτὶ
μεθιστάμενον καὶ παρέχοντα ἀνατεῖλαι τοῖς ἀφανεστέροις
ἄστροις; τοῦτο δὲ σελήνην ἐῶντα καταλάμψαι τὴν ἅπασαν
γῆν ἐν ἐρημίᾳ τοῦ κρείττονος φωτός; τοῦτο δὲ ἄστρα ὑπο-
χωροῦντα ἡλίῳ καὶ μηδὲν ἡγούμενα πάσχειν μηδὲ ἀπόλλυσθαι
διὰ τὴν ἐκείνου τοῦ θεοῦ δύναμιν; τοῦτο δὲ αὐτὸν ἥλιον περὶ
μέσην ἐνίοτε ἡμέραν ἐπισκοτούμενον σελήνης ἐπιδραμούσης,
ᾗ τὸ φῶς αὐτὸς δίδωσι· πολλάκις γε μὴν ὑπὸ τῶν ἀσθενε-
στάτων νεφῶν ἀποκρυπτόμενον ἢ τινος ἀραιᾶς ὁμίχλης περί 178 R II
τε λίμνας καὶ ποταμοὺς ἱσταμένης, ὡς ἔσθ' ὅτε μὲν εἴργεσθαι
παντελῶς, ἐνίοτε δὲ ἀδρανῆ τὴν ἀκτῖνα καὶ λεπτὴν διαπέμ-
39 πειν; τοῦτο δὲ τῶν πλανωμένων ἄστρων τὴν ἄπαυστον χο-
ρείαν, ἃ μηδέποτε ἀλλήλοις ἐμποδὼν ἵσταται; πρὸς δὲ αὖ γῆ
μὲν τὴν κατωτάτω χώραν λαχοῦσα ὑπομένει, καθάπερ ἕρμα

4. κυβερνώμενα. κυβερνώμεθα corr. M. ‖ 5. ἄλληλα M, ἀλλήλους reliq. ‖ 6. ἐλάττω δή. sic dedi. ἐλάττω δὲ reliq. ‖ 7. ταύτης. ταῦτα B. — 37, 2. ψυχικῆς B, ψυχῆς καὶ reliq. ‖ 3. ὅρῳ. ὁδῷ Reisk., νόμῳ Geel. ‖ 4. γιγνομένη r, γιγνόμενον reliq. ‖ 6. γιγνομένη. γινομένη M. ‖ 10. πειθόμενα. πειθόμεθα B. — 38, 4. ἄστρα. malim τὰ ἄστρα. ‖ 6. αὐτὸν. αὖ τὸν B. ‖ 9. ἀποκρυπτόμενον BM, κρυπτόμενον reliq. ‖ περί τε M, τε om. reliq. ‖ 10. ἱσταμένης. συνισταμένης Reisk. — 39, 1. πλανωμένων. πλανομένων B. ‖ ἄστρων. sic dedi. ἀστέρων reliq.

νεὼς, ὕδωρ δὲ περὶ ταύτῃ κεχυμένον, ὕπερθεν δὲ ἀμφοῖν ἀὴρ
μαλακός τε καὶ εὔπνους, ὁ δὲ ἀνωτάτω καὶ ξύμπαντα ἔχων
αἰθὴρ πυρὸς θείου κύκλῳ περιδραμόντος αὐτοῖς; καὶ ταῦτα
μὲν οὕτως ἰσχυρὰ καὶ μεγάλα τὴν πρὸς ἄλληλα κοινωνίαν
ἀνέχεται καὶ διατελεῖ χωρὶς ἔχθρας· μικρὰ δὲ οὕτως πολίχνια
τῶν ἐπιτυχόντων ἀνθρώπων καὶ ἔθνη ἀσθενῆ κατοικοῦντα
ἐν μέρει τῆς γῆς οὐ δύναται τὴν ἡσυχίαν ἄγειν οὐδὲ ἀθορύ-
40 βως ἀλλήλοις γειτνιᾷν; ἀλλ' ὄρνιθες μὲν ἐγγὺς ἀλλήλων ποι-
ησάμενοι νεοττιὰς οὐκ ἐπιβουλεύουσιν αὐτοῖς οὐδὲ διαφέρον- 498 M.
ται περὶ τροφῆς καὶ φρυγάνων, οὐδὲ μύρμηκες πλησίον ὀπὰς
ἔχοντες, ἐκ τῆς αὐτῆς ἅλω πολλάκις εἰσφερόμενοι σῖτον, ἀλλὰ
παραχωροῦσιν αὐτοῖς καὶ τῶν ὁδῶν ἐκτρέπονται καὶ συνερ-
γάζονται πολλάκις, οὐδὲ ἑσμοὶ πλείονες μελιττῶν ἕνα καὶ τὸν
αὐτὸν νεμόμενοι λειμῶνα τῶν ἔργων ἀμελήσαντες περὶ τῶν
41 ἀνθῶν τῆς δρόσου διαφέρονται. καὶ μὴν ἀγέλαι τε βοῶν
καὶ ἵππων ἀναμιχθεῖσαι πολλάκις ἀθορύβως καὶ πρᾴως νέ- 179 R II.
μονται, ὥστε μίαν ἐξ ἀμφοῖν ἀγέλην ὁρᾶσθαι. ἔτι δὲ αἰπό-
λια καὶ ποίμνια συμμιχθέντα ἐπὶ νομῆς καὶ ἡμερεύσαντα ῥᾳ-
δίως καὶ πρᾴως ὑπὸ τῶν νομέων διεκρίθησαν. ἄνθρωποι δὲ
βοσκημάτων καὶ θηρίων χείρους, ὡς ἔοικε, τὰ πρὸς φιλίαν
καὶ τὸ κοινωνεῖν ἀλλήλοις. ἃ γὰρ ἡ φύσις ἐποίησεν εὐνοίας
ἕνεκα, ταῦτα ἰδεῖν ἔστιν ἔχθρας καὶ μίσους αἴτια γιγνόμενα.
αὐτίκα ἡ πρώτη καὶ μεγίστη φιλία γονεῦσι πρὸς παῖδας.

5. εὔπνους BM. mr, ἄπνους v. mrg. m. ‖ 7. τὴν πρὸς ἄλληλα κοινωνίαν ἀνέχεται BM, τὴν πρὸς ἄλληλα κοινωνίαν ἔχεται vm, unde ἔχει τε pro ἔχεται Casaub., τῆς πρὸς ἄλληλα κοινωνίας ἔχεται Selden. r. ‖ 8. μικρά. σμικρὰ B. ‖ 9. καὶ ἔθνη. ἔθνη καὶ BM. — 40, 1. μὲν ἐγγὺς BM, μὲν om. reliq. ‖ 2. αὐτοῖς. sic dedi. αὐτοῖς reliq. ‖ 3. τροφῆς καὶ φρυγάνων. sic dedi. τροφῆς φρυγάνων M, τροφῆς reliq. ‖ πλησίον. πλησίων M. ‖ 5. αὐτοῖς. sic dedi. αὐτοῖς reliq. ‖ ἐκτρέπονται. ἐντρέπονται M. ‖ 6. τὸν om. B. ‖ 7. νεμόμενοι. νεμώμενοι M. ‖ 8. ἀνθῶν. ἀνθίων B, ἀνθ' ὧν M. ‖ τῆς. ἢ τῆς Iacobs. Add. p. 101. — 41, 2. ἀναμιχθεῖσαι. ἀναμιχθῆσαι M. ‖ 3. ἔτι. αἴ τι M. ‖ 4. ἐπὶ νομῆς καὶ ἡμερεύσαντα. ἐπὶ νομῆς διημερεύσαντα Reisk. ‖ 5. νομέων. νομαίων M. ‖ 6. τὰ πρὸς. τὰ om. M. ‖ 7. καὶ τό. τὸ om. M. ‖ 8. ἕνεκα. ἕνεκεν M. ‖ μίσους αἴτια. μισοῦσαι τίς M. ‖ γιγνόμενα. γιγνόμενα αὐτοῖς Reiskius. in fine multa deesse monuit Casaubonus.

ΛΟΓΟΣ μα

ΠΡΟΣ ΑΠΑΜΕΙΣ ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ.

1 Ὅτι μὲν ὑμεῖς, ὦ βουλὴ καὶ τῶν ἄλλων οἱ παρόντες οἱ
μετριώτατοι, πρᾴως πρὸς ἐμὲ καὶ φιλικῶς ἔχετε, δοκῶ μοι
τοῦτο γιγνώσκειν. αὐτός τε γὰρ ἐμαυτὸν οἶδα περὶ πολλοῦ
ποιούμενον τὴν παρ' ὑμῶν εὔνοιαν καὶ μηδέποτε μηδὲν ἐναν-
τίον μήτε εἰπόντα μήτε πράξαντα, καὶ ὑμεῖς εὐθὺς ἐμὲ ἀφι-
κόμενον ἐτιμήσατε δημοσίᾳ ψηφίσματι πέμψαντες, συνηδόμε-
νοι τῆς καθόδου καὶ παρακαλοῦντες ἐπιδημῆσαι πρὸς αὐτούς. 199 R II
2 καὶ ἴσως οὐδὲν ἐποιεῖτε θαυμαστόν. οὐ γὰρ μόνον αἱ λοιπαὶ
πόλεις, ἀλλὰ καὶ τῶν ἰσοτίμων ὑμῖν αἱ πλεῖσται σχεδόν, ὅπου
γέγονα, καὶ πολιτείας καὶ βουλῆς καὶ τῶν πρώτων τιμῶν
οὐδὲν δεομένῳ μετέδωκαν, οὐκ ἀνωφελῆ σφίσι νομίζοντες οὐδὲ
ἀνάξιον τιμᾶσθαι. τὸ δὲ ὑμέτερον οὐκ ἔστι ἀλλότριον, ἀλλ'
ὡς ἂν εὐνοίᾳ καὶ χάριτι πατρίδος τιμώσης πολίτην αὐτῆς. 199 M
τὸ δὲ εἶναί τινας, ὡς ἂν ἐν δήμῳ, τῶν ἐνθάδε ἐμοὶ σχεδὸν
μὴ σφόδρα ἡδομένους οὐκ ἂν θαυμάσαιμι διὰ τὴν τῶν πό-
λεων φιλοτιμίαν. καίτοι ἐπίσταμαι σαφῶς οὐδὲ τοὺς ἐκεῖ
πολίτας ἅπαντας ἀρέσαι δυνάμενος, ἀλλ' ἐνίους δι' αὐτὸ
τοῦτο ἀχθομένους, ὅτι λίαν δοκῶ φιλόπολις καὶ πρόθυμος.
3 δεῖ δὲ τὸν ἐπιεικῆ καὶ μέτριον ἄνδρα καὶ ταύτην παρέχειν τὴν
ἐξουσίαν τοῖς ἑαυτοῦ πολίταις. τὸ γὰρ μηδένα ἐν πόλει μήτε
ἀντιλέγειν ἑνὶ μήτε μέμφεσθαι, κἂν ἅπαντα φαίνηται ποιῶν
καλῶς, οὐ δήμων ἐστὶν οὐδὲ ἐπιεικές, ἀλλὰ μᾶλλον φιλεῖ τὸ
τοιοῦτο συμβαίνειν τοῖς τυράννοις ἢ τοῖς εὐεργέταις. εἰ οὖν

Orat. XLI. Collati sunt BM. titulus. mrg. B haec habet: περὶ ὁμονοίας τοὺς Ἀπαμεῖς παρακαλεῖ πρὸς τοὺς Προυσιεῖς. — 1, 4. ὑμῶν. ὑμῖν BM. ‖ 6. δημοσίᾳ M, δημοσίῳ reliq. ‖ 7. τῆς. τοῖς M. ‖ αὐτούς. αὐτοὺς M. — 2, 4. ἀνωφελῆ σφίσι Selden. (idem ἐμὲ vel γ' ἐμὲ pro σφίσι). r, ἀνωφελῆς φησὶ M, ἀνωφελῆ φησὶ B. v, ἀνωφελῆ φημὶ m, ἀνωφελῆ φασὶ mrg. m. ‖ 6. αὐτῆς. sic dedi. αὐτῆς reliq. ‖ 11. ἀχθομένους. ἀχθόμενος BM. — 3, 3. φαίνηται. φαίνητε B. ‖ 4. καλῶς. κακῶς m. ‖ δήμων. δῆμόν M. ‖ 5. τοιοῦτο BM, τοιοῦτον reliq.

εἰσί τινες πρὸς ἐμὲ δυσκόλως διακείμενοι, τούτοις μάλιστα
πιστεύω. δῆλον γάρ, ὡς νομίζοντές με ἀγαπᾶν τὴν ἐμαυτοῦ
πατρίδα καὶ πάντα τρόπον αὔξειν οὕτως ἔχουσιν. ἐὰν οὖν
πεισθῶσιν, ὅτι καὶ ταύτην ἡγοῦμαι πατρίδα καὶ πράττειν
ὑπὲρ αὐτῆς ὅ τι ἂν δύνωμαι πρόθυμός εἰμι, ῥαδίως μεταβα-
4 λοῦνται καὶ ἀγαπήσουσί με τοῖς ἄλλοις ὁμοίως. τὸ μὲν οὖν
φιλεῖν τὴν πατρίδα μάλιστα πάντων οὐκ ἔξαρνός εἰμι. πυν-
θάνομαι δὲ αὐτῶν, εἰ τοῦτο ἀδίκου νομίζουσιν ἀνδρὸς εἶναι
καὶ μοχθηροῦ καὶ πολίτην τοιοῦτον οὐκ ἂν ἐθέλοιεν εἶναι 181 R II.
παρ' αὐτοῖς; οὐκοῦν ἔξεστιν ὑμῖν ἔχειν κἀμὲ πολίτην ἀνυπό-
πτως καὶ τῶν ἄλλων τοὺς βελτίστους. καὶ τοίνυν δι' αὐτό
μοι τοῦτο πιστεύοιτε ἂν δικαιότερον. ὅστις μὲν γὰρ ἀγνώ-
μων περὶ τοὺς φύσει γονέας, οὐκ ἂν γένοιτο ὅσιος οὐδὲ πρὸς
5 τοὺς θεμένους αὐτόν. ὁ δὲ τοὺς γεννήσαντας ἀγαπῶν οὐδέ-
ποτ' ἂν ἀμελήσειε τῶν χάριτι γονέων γενομένων. τὸ μὲν γὰρ
τῆς φύσεως αὐτόματόν ἐστι, τὸ δὲ τῆς χάριτος ἑκούσιον.
εἰμὶ μὲν οὖν πολίτης ἑκατέρων· ἀλλ' ἐκείνοις μὲν οὐ δεῖ 'με
περὶ τούτου χάριν εἰδέναι, ὑμᾶς δὲ ὡς εὐεργέτας ἀμείβεσθαι
δίκαιον. διὰ γὰρ τὴν ὑμετέραν εὔνοιαν καὶ δωρεὰν μετέχω
τῆς πόλεως. ἀλλ' ὅσοι μὲν αὐτοὶ πολῖται γεγόνασι, τούτοις 500 M.
μόνον ὑπάρχει φιλάνθρωπον τὸ τῆς δωρεᾶς, τὸ δὲ τῆς φύσεως
6 ἀναγκαῖον οὐ πρόσεστιν. ἐμοὶ δὲ ἀμφοτέρων μέτεστιν. ὁ μὲν
γὰρ πάππος ὁ ἐμὸς μετὰ τῆς μητρὸς τῆς ἐμῆς παρὰ τοῦ τότε
αὐτοκράτορος φίλου ὄντος ἅμα τῆς Ῥωμαίων πολιτείας καὶ
τῆς ὑμετέρας ἔτυχεν, ὁ δὲ πατὴρ παρ' ὑμῶν· ὥστε καὶ χάριτι
καὶ γένει πολίτης ὑμέτερός εἰμι. τὸ γὰρ ἀπωτέρω δυοῖν βα-
θμοῖν ζητεῖν τὸ γένος οὐδαμῶς ἐπιεικές. οὐδεὶς γὰρ οὕτω τό
γε ἀληθὲς ἐξ οὐδεμιᾶς εὑρεθήσεται πόλεως. καὶ μὴν τῶν γε
ἐμῶν τέκνων ἥδε πατρίς ἐστι μᾶλλον. τὸ μὲν οὖν ἀναγκαῖον
συνακολουθεῖν τὰ τέκνα τῷ πατρί· πολὺ δὲ ἥδιον τὸν πατέρα 182 R II.
7 τοῖς παισὶ συνέπεσθαι. διὰ μὲν δὴ ταῦτα εὔνους ὢν ὑμῖν
τυγχάνω καὶ πολίτου διάθεσιν ἔχω· καὶ φανερῶς δὲ ἐδήλωσα.
τῆς γὰρ φιλονεικίας ἐνεστώσης ταῖς πόλεσι καὶ τῆς πατρίδος
σφόδρα μὲν αἰδουμένης ἐμὲ ἄκοντα ἐνοχλῆσαι, σφόδρα δὲ

4, 3. αὐτῶν M. Casaub. r, αὐτὸ B. vm. — 5, 2. ἀμελήσειε. ἀμελήσει ἐκ M. || 4. οὖν om. M. || 6. διὰ γὰρ r ex Interpr., διὰ δὲ reliq. — 6, 3. πολιτείας. πολιτίας M. || 4. ὑμετέρας. ἡμετέρας Reisk. || 5. ἀπωτέρω. ἀτοπωτέρω B. || βαθμοῖν M, βασμοῖν reliq.

ἐπιθυμούσης ἀναλαβεῖν τὸ πρᾶγμα, πολλάκις τῷ τιμᾶν προ-
καλουμένης οὐχ ὑπήκουσα πρὸς τοῦτο μόνον, οὐδὲν ἂν ὀκνή-
σας ἐκείνης ἕνεκεν ποιῆσαι, μηδενὸς ἔλαττον τυχὸν πρᾶξαι
δυνάμενος, καὶ φίλων μοι ὄντων οὔτε ὀλίγων οὔτε ἀδυνάτων,
ἵνα μηδὲν ἐπίφθονον εἴπω μηδὲ ὃ λυπήσει τινάς, ἔτι δὲ οὐκ
8 ὀκνῶν τὴν ὁδόν, ὁπότε δεῖ με καὶ ἄλλως ἀπιέναι. τούτων
οὖν ὑπαρχόντων ἀπεσχόμην τοῦ πράγματος, οὐκ ἐκείνους
προδιδούς, ἀλλ' αἰδούμενος ὑμᾶς καὶ νομίζων χρησιμώτερος
ἔσεσθαι κἀκείνοις καὶ ὑμῖν, ἐὰν δύνωμαι φίλας ποιῆσαι τὰς
πόλεις τῶν τε πρότερον ζητημάτων ἀπαλλάξας καὶ τὸ λοιπὸν
εἰς εὔνοιαν καὶ ὁμόνοιαν προτρεψάμενος. τοῦτο γὰρ ἁπάντων
βέλτιστόν τε καὶ ἄριστον οὐ μόνον τοῖς ἴσοις πρὸς ἀλλήλους,
9 ἀλλὰ καὶ τοῖς κρείττοσι πρὸς τοὺς ὑποδεεστέρους. ἐπίσταμαι
μὲν οὖν, ὡς χαλεπόν ἐστιν ἀνθρώπων ἐξελεῖν ἔριν, καὶ ταῦτα
ἐν πλείονι χρόνῳ τεθραμμένην· ὥσπερ νόσημα ἐκ πολλοῦ
συμπεφυκὸς οὐ ῥᾴδιον ἀπαλλάξαι τοῦ σώματος, ἄλλως τε εἴ
τις ἐθέλοι ἀνωδύνως ἰᾶσθαι. ὅμως δὲ πιστεύω τῷ τῆς πό- 1193 1501
λεως ἤθει, νομίζων οὐ σκληρὸν οὐδὲ ἀμαθές, ἀλλὰ τῷ ὄντι
γνήσιον ἐκείνων τῶν ἀνδρῶν καὶ τῆς μακαρίας πόλεως, ὑφ'
ἧς δεῦρο ἐπέμφθητε φίλοι δὴ παρὰ φίλους [δεῦρο] οἰκήσον-
τες· ἣ τοσοῦτον εὐτυχίᾳ διαφέρουσα τῶν ἄλλων ἀνθρώπων
καὶ δυνάμει πλέον διενήνοχεν ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ,
τοῦτο μὲν ἀφθόνως μεταδιδοῦσα καὶ πολιτείας καὶ νόμων
καὶ ἀρχῶν, οὐδέν' ἀλλότριον ἡγουμένη τῶν ἀξίων, τοῦτο δὲ
10 ὁμοίως ἅπασι φυλάττουσα τὸ δίκαιον. ἣν προσήκει μιμου-
μένους ὑμᾶς πρᾴους καὶ μεγαλόφρονας φαίνεσθαι καὶ πρὸς
τοὺς ἐγγὺς οὕτω, συνοίκους σχεδόν, μὴ χαλεποὺς μηδὲ ὑπερ-

7, 5. τῷ τιμᾶν M. Casaub. (idem τε ἡμᾶς et προκαλουμένη) r, τε τῷ τιμᾶν Selden., τὸ τιμᾶν reliq. ‖ προκαλουμένης M. Selden. r, προσκαλουμένης B. vm. ‖ 6. οὐχ ὑπήκουσα Geel., οὐκ ἐπήκουσα reliq. ‖ οὐδέν. οὐδὲ B. ‖ 7. ἕνεκεν BM, ἕνεκα reliq. ‖ μηδενός. malim μηδενὸς δ'. ‖ 10. ὀκνῶν. ὀκνῶ BM. ‖ ὁπότε δεῖ. ὅποι ἔδει Reiskius, ὁπότ' ἔδει (et καὶ ἄλλοσε ἀπιέναι) Geelius. nulla mutatione opus est. — 8, 5. πρότερον M, προτέρων reliq. ‖ ζητημάτων. ζηλωμάτων Geel., ἐγκλημάτων Cens. p. 367. — 9, 2. ἔριν. ἔρειν M. ‖ 5. ἐθέλοι BM, θέλοι reliq. ‖ 8. [δεῦρο] Casaubono ex antecedentibus perperam repetitum videtur. ‖ οἰκήσοντες B. Casaub. r, οἰκήσαντας M. Seldenus (qui δεῦρο retinet), οἰκήσαντες vm. ‖ 9. ἣ B. r ex Interpr., ἡ reliq. ‖ 10. διενήνοχεν. διενίνοχεν M. ‖ 12. οὐδέν' Vales. p. 70. r, οὐδὲν reliq. — 10, 1. ἣν om. M. ‖ προσήκει. προσήκη B. ‖ 2. πρὸς τούς. πρὸς om. BM. ‖ 3. οὕτω. malim οὕτω καί.

ηφάνους γείτονας, πρὸς οὓς ὑμῖν καὶ γάμοι κοινοὶ καὶ τέκνα
καὶ πολιτεῖαι καὶ θυσίαι θεῶν καὶ πανηγύρεις καὶ θεάματα,
καὶ συμπαιδεύεσθε τοῖς καθ' ἕνα καὶ συνεστιᾶσθε καὶ ἀλλή-
λους ὑποδέχεσθε καὶ ἀλλήλοις τὸν πλείω χρόνον συνδιατρί-
βετε καὶ σχεδὸν εἷς ἐστε δῆμος καὶ μία πόλις ἐν οὐ πολλῷ
διαστήματι. καὶ τοίνυν πλείους τῶν ἐκεῖθεν καὶ πολίτας πε-
ποίησθε καὶ βουλῆς μετεδώκατε καὶ ἄρχοντας οὐκ ἀπηξιώ-
σατε γενέσθαι παρ' ὑμῖν καὶ τῶν σεμνῶν τούτων, ἃ τῆς Ῥω-
11 μαίων ἐστὶ πόλεως, ἐκοινωνήσατε. πῶς οὖν εἰκὸς καθ' ἕνα 184 R II.
μὲν ἕκαστον ἡγεῖσθαι φίλον καὶ τιμᾶν, κοινῇ δὲ τὴν πόλιν
ἐχθρὰν νομίζειν, ὑμᾶς τε ἐκείνην κἀκείνους τὴν ὑμετέραν;
οἱ γὰρ τοὺς ἀνθρώπους ἀγαπῶντες καὶ ἐπιμιγνύμενοι τούτοις
καὶ προσαγόμενοι πολίτας τί λοιπὸν ἢ τὸν ἀέρα ἐχθαίρουσι
καὶ τοὺς τόπους ἤ, ὃ μηδὲ εἰπεῖν ὅσιον, τοῖς θεοῖς ἀπεχθά-
νονται; καὶ τοίνυν ἅπασα μὲν ἔχθρα πρὸς ἅπαντας ἐργῶδες
καὶ χαλεπόν· οὐδεὶς γὰρ οὕτως ἀσθενὴς ἐχθρός, ὅστις οὐκ
ἐλύπησεν ἐπὶ καιροῦ καὶ τὸν ἄγαν φαινόμενον ἰσχυρὸν καὶ τὸ
μῖσος ἐνεδείξατο ἢ λόγον τινὰ εἰπὼν λυπηρὸν ἢ ἔργον ἀσύμ-
12 φορον πράξας. οὐ γάρ ἐστιν ὡς εἰπεῖν οὐδέποτε ἡδὺς οὐδὲ 502 M.
ὠφέλιμος ὁ τοῦ μίσους καρπός, ἀλλὰ τοὐναντίον ἁπάντων
ἀηδέστατος καὶ πικρότατος, οὐδὲ βάρος οὕτω χαλεπὸν οὐδὲ
ἐπίπονον, ὡς ἔχθραν φέρειν. ταῖς μὲν οὖν εὐτυχίαις ἀεὶ
παρενοχλεῖ, τὰς δὲ συμφορὰς αὔξει, καὶ τῷ μὲν ἄλλο τι λυ-
πουμένῳ τὴν λύπην ἀπεργάζεται διπλασίονα, τοὺς δὲ εὖ πράτ-
τοντας οὐκ ἐᾷ χαίρειν κατὰ τὴν ἀξίαν. ἀνάγκη γὰρ οἶμαι
τοὺς πολλοὺς ὑπὸ μὲν ἀλλήλων βλάπτεσθαι, παρὰ δὲ τοῖς
ἄλλοις καταφρονεῖσθαι καὶ ἀδοξεῖν, ὡς τοῦτο μὲν ὑπαρχόν-
των αὐτοῖς ἐναντίων, τοῦτο δὲ αὐτοὺς ἄφρονας καὶ φιλονεί-
13 κους. φιλίας δὲ καὶ ὁμονοίας οὐδὲν κάλλιον οὐδὲ θειότερον 185 R II.

6. συμπαιδεύεσθε. συμπαιδεύεσθαι M, συνεπαιδεύεσθε Reisk. ‖ 7. ὑποδέχεσθε. ὑποδέχεσθαι M. ‖ πλείω BM, πλείονα reliq. ‖ 9. πολίτας. πολιτείας BM (mrg. vulg.). ‖ πεποίησθε M, πεποιήκατε reliq. — 11, 5. πολίτας. πολιτείαις Reisk. ‖ ἢ τὸν ἀέρα Reisk., ἧττον δὲ M, ἢ τόνδε reliqui, ἢ γῆν τῶνδε Selden., possit ἢ τοὔνομα. ‖ ἐχθαίρουσι B. v, ἐκ θαίρουσι M, ἐχθραίνουσι mr. ‖ 6. τοὺς om. B. ‖ 7. καὶ τοίνυν. propemodum eadem leguntur Or. 40, § 20. — 12, 4. ἔχθραν. ἔχθρα Reisk. ‖ ταῖς μὲν M, τὰς μὲν reliq. ‖ εὐτυχίαις M, εὐτυχίας reliq. ‖ 5. παρενοχλεῖ Selden. r, παρὸν ἐνοχλεῖ M. v, παρὼν ἐνοχλεῖ B. m. ‖ συμφοράς. ξυμφοράς B. ‖ 8. πολλούς. malim cum Geelio τοιούτους. ‖ βλάπτεσθαι Obs. p. 53, ἀνάπτεσθαι BM, ἐνάπτεσθαι reliq. ‖ 10. αὐτούς. αὐτοὺς ὄντας Reisk.

καὶ ἀνδρὶ πρὸς ἄνδρα καὶ πόλει πρὸς πόλιν. τίνες μὲν γὰρ εὐπρεπέστερον κτῶνται τἀγαθὰ τῶν φίλων συμποριζόντων αὐτοῖς; τίνες δὲ ἀποφεύγουσι τὰ κακὰ ῥᾷον ἢ οἷς ἂν φίλοι συμμαχῶσιν; τίνων δὲ ἧττον ἅπτεται τὰ λυπηρὰ ἢ τῶν ἐχόντων τοὺς συναλγοῦντας καὶ συμφέροντας αὐτοῖς; τίσι δὲ ἥδιον τὸ εὐτυχεῖν ἢ ὅσοι μὴ μόνον αὐτοὺς, ἀλλὰ καὶ ἄλλους εὐφραίνουσιν εὖ πράττοντες; ὡς ἔγωγε οὐδ' ἂν εὐτυχεῖν ἐκεῖνον τὸν ἄνδρα φαίην, ὃς οὐδένα ἔχει τὸν συνηδόμενον.

14 τίς δὲ συνεργὸς, τίς δὲ σύμβουλος ἀμείνων τοῖς χρῄζουσιν ἢ φίλος ἐντυχών; σχεδὸν γὰρ οὗτος καὶ σύμβολος οὐ μόνον εὐφημότατος, ἀλλὰ καὶ ὠφελιμώτατος, ὅτῳ ἂν ἐντύχῃ ἀνὴρ εὔνους. τὰ δὲ τοῦ μίσους καὶ τὰ τῆς ἔχθρας πανταχῆ λυπηρὰ καὶ δυσχερῆ. χαλεπὸν μὲν ἐν σπουδῇ, χαλεπὸν δὲ ἐν εὐφροσύνῃ παρὼν ἐχθρὸς, λυπηρὸν μὲν ὁρῶσι, λυπηρὸν δὲ μνημονεύουσι, πολὺ δὲ πάντων πειρωμένοις βλαβερώτατον.

13, 2. πρὸς πόλιν Reisk., πρὸς ἰδιώτην reliq. ‖ 3. τῶν. ἢ τῶν Cens. p. 367. at nihil mutandum est. ad τῶν cogitatione supplendum κτωμένων. nam φίλων sine articulo dictum oportebat. possit τῶν ὅσοι. Reiskius: ἢ ὅσοι κτῶνται τῶν vel ἢ οἱ κτώμενοι τῶν. Geelius: τῶν φίλων τῶν pro τῶν φίλων (et infra αὐτοῖς pro αὑτοῖς i. e. ἀλλήλοις). ‖ 4. ἢ οἷς. ἢ om. M. ‖ φίλοι. φίλοις M. ‖ 7. αὐτούς. αὑτοῖς B. — 14, 1. δὲ. δαὶ B. ‖ δὲ. δαὶ B. ‖ χρῄζουσιν. ἡδοῦσιν B, ἰδοῦσιν M, possit ζητοῦσιν. ‖ 2. ἐντυχὼν M, εὐτυχῶν reliqui, unde ὁ τυχὼν Obs. p. 53. ‖ οὗτος καὶ σύμβολος. sic dedi. conf. Cens. II, p. 229. οὗτος καὶ συμβόλων Cens. I. (et εὐφημότατον et ὠφελιμώτατον). de forma σύμβολος recte monuerat Unger. Progr. p. 8. οὗτος σύμβουλος M, οὗτος ὁ σύμβουλος reliq. ‖ 3. ὅτῳ ἂν Cens. II. l. l., καὶ ὅτῳ ἂν reliqui. totum locum sic constituit Ungerus Progr. p. 9: καὶ ὅτῳ ἂν ἐντύχῃ, ἄριστος οἰωνός.

ΛΟΓΟΣ μβ

ΔΙΑΛΕΞΙΣ ΕΝ ΤΗι ΠΑΤΡΙΔΙ.

1 Ὅπως μὲν ὑμεῖς διανοεῖσθε περὶ ἐμοῦ καὶ τῆς ἐμῆς εἴτε 186 R II. 503 M.
σοφίας εἴτε ἀμαθίας οὐ δύναμαι ξυμβαλεῖν, πότερον ὄντως
ἐπιθυμεῖτε τῶν λόγων, ὡς ἀκουσόμενοί τι θαυμαστὸν καὶ
τοιοῦτον, ὁποῖον οὐκ ἂν ἑτέρου τῶν νῦν, ἢ τοὐναντίον ὡς
ἐμὲ ἐξελέγξοντες καὶ ἀποδείξοντες οὐθὲν μέγα οὐδὲ σπουδαῖον
2 ἐπιστάμενον. εἰ μὲν γὰρ οὕτως ἔχετε, θαῤῥῶν ὑμῖν παρέχω
ἐμαυτὸν, ἵνα ἐμπλήσητε τὴν προθυμίαν· εἰ δὲ μὴ, φοβοῦμαι
τὴν ἐναντίαν δόξαν, μήποτε ἀκούσαντες ἔπειτα οὐ δικαίως
ἐμοῦ καταγνῶτε, ὅτι αὐτοὶ οὐκ ὀρθῶς ἐδόξατε. οὐδέποτε
γὰρ οὐδενὶ ἔγωγε τοῦτο ὑπεσχόμην, ὡς ἱκανὸς ὢν λέγειν ἢ
φρονεῖν ἢ πλέον τι γιγνώσκειν τῶν πολλῶν, ἀλλ' ὑπὲρ αὐτοῦ
τούτου διαμαχόμενος ἑκάστοτε καὶ ἀντιλέγων τοῖς ἀξιοῦσιν
ἔπειτα εἰς τὸ λέγειν καθίσταμαι· καὶ πολλοὶ τοῦτο αὐτὸ ἐπί-
3 δειξιν ἡγήσαντο. ὅμως δὲ καὶ αὐτὸς ἑτέραν καὶ ἑτέραν λαμ-
βάνω ὁδόν. ὅταν μὲν γὰρ εἰς ἐμαυτὸν ἀπίδω καὶ τὴν ἀπει-
ρίαν τὴν ἐμαυτοῦ περὶ πάντα μὲν ἁπλῶς, μάλιστα δὲ τὴν περὶ
τοὺς λόγους, ὡς ἰδιώτης ὢν διανοοῦμαι καὶ τὸ λοιπὸν ἰδιώτου
βίον βιωσόμενος· ὅταν δὲ εἰς τοὺς σπουδάζοντας καὶ παρα- 187 R II.
καλοῦντας, ὑπονοεῖν ἐμαυτὸν ἀναγκάζομαι, μὴ ἄρα τι τῶν
ἐμῶν λόγου ἄξιον· καὶ λανθάνω πεπονθὼς τὸ αὐτὸ ἐνίοις
τῶν ζώων, ἃ χρήσιμα ὄντα τοῖς ἀνθρώποις καὶ δύναμίν τινα
ἔχοντα ἐν αὐτοῖς πρὸς ἴασιν νοσημάτων ἤτοι χολῆς ἢ αἵματος
ἢ πιμελῆς ἢ τριχῶν οὐκ ἴσασιν· οἱ δὲ ἄνθρωποι εἰδότες διώ-

Orat. XLII. Collati sunt BM. — 1, 4. ἑτέρου. ἑτέρου του Reisk. — 2, 4. καταγνῶτε. καταγνῶτε δέον αὐτῶν ὑμῶν καταγνῶναι Reisk. ‖ αὐτοὶ οὐκ. sic dedi. οὐκ αὐτοὶ reliq. ‖ 6. γιγνώσκειν. malim γιγνώσκων. ‖ 8. ἐπίδειξιν. ἐπιδείξειν M. — 3, 1. λαμβάνω offendit Casaubonum, ἐμβαίνω Selden. ‖ 2. ἀπίδω. ἀπείδω M. ‖ 4. ὢν. ὢν, οὕτω Reisk. ‖ διανοοῦμαι BM. Obs. p. 53, καὶ διανοοῦμαι reliq. ‖ 6. ἄρα M. Reisk., ἆρά reliq. ‖ τι. ἤ τι Reisk. ‖ 7. λόγου BM. Reisk., λόγων λόγου Wyttenb. ad Plut. Moral. p. 77. Oxon., λόγων reliq. ‖ 10. πιμελῆς.

κουσιν αυτὰ καὶ πειρῶνται πάντα τρόπον συλλαβεῖν οὐ τῶν
4 κρεῶν ἕνεκεν, ἀλλ' ἐκείνης τῆς δυνάμεως. μὴ ἄρα κἀμὲ ἀναγκάζουσιν ἑκάστοτε λέγειν οὐδὲν δεόμενοι τῶν λόγων, ἀλλ' ἑτέρου τινός. οὐδὲ γὰρ ἐκεῖνο δύναμαι ὑπονοῆσαι, ὅτι ἀγνο- 501 M
οῦντες ἤδη καὶ ἀνήκοοι ὄντες ἐσπουδάκασιν· ὥσπερ ἀμέλει πολλοὶ πολλῶν διὰ τὴν ἄγνοιαν ἐπιθυμοῦσιν. πάντες γὰρ ὡς ἔπος εἰπεῖν τοὺς μὲν ἐμοὺς λόγους ἐπίστανται καὶ διαφέρουσιν αὐτοὺς ἄλλοι ἀλλαχοῦ, ὥσπερ τὰ φαῦλα ᾄσματα οἱ παῖδες ἐν ταῖς πόλεσιν ᾄδουσι τὸ πρὸς ἑσπέραν· καὶ τοὺς ἐμοὺς λόγους σχεδὸν πάντες ἀλλήλοις ἀπαγγέλλουσιν, οὐχ ὅπως ἐῤῥήθησαν, ἀλλ' ἔτι βελτίους ποιήσαντες κατὰ τὴν αὑτῶν
5 δύναμιν· οἱ μὲν ἑκόντες ἐπανορθούμενοι καί, δῆλον ὅτι αἰσχυνόμενοι τὸ μεμνῆσθαι τοιούτων, ἀλλάττοντες καὶ μετατιθέντες πολλῷ κρείττονα, οἱ δὲ ἴσως καὶ ἄκοντες διὰ τὸ μὴ σφόδρα μεμνῆσθαι· ὥστε οὐκ ἔτι ὀβολοῦ, καθάπερ εἶπέ τις, εὔπορον ἐκ τῆς ἀγορᾶς πρίασθαι τὴν ἐμὴν σοφίαν, ἀλλὰ κύψαντα ἀνελέσθαι χαμάθεν. σχεδὸν οὖν παραπλήσιον πεπόνθασιν οἱ ἐμοὶ λόγοι τῷ κεράμῳ τῷ Τενεδίῳ. καὶ γὰρ ἐκεῖθεν πᾶς μὲν ὁ παραπλέων ἐμβάλλεται κέραμον, οὐδεὶς δὲ 138 R II
ὑγιῆ διακομίζει ῥᾳδίως, ἀλλὰ οἱ πολλοὶ σαθρὸν ποιήσαντες ἢ συντρίψαντες, ὄστρακα ἔχοντες λανθάνουσιν αὐτούς.

πειμέλης M. — 4, 1. μὴ ἄρα Geel., εἰ ἄρα reliq. ‖ ἀναγκάζουσιν. ἀναγκάζωσιν Geel. ‖ 3. οὐδὲ BM (at δὲ obel. not.), οὐ reliq. ‖ 4. ἤδη. malim δὴ vel cum Pflugkio γε δή. — 5, 3. πολλῷ. sic dedi. τὰ πολλὰ reliqui, at τὰ in M a corr. additum. possit εἰς πολλῷ. ‖ κρείττονα. sic dedi. εἰς κρείττονα Casaub., καὶ κρείττονα reliq. ‖ 5. εὔπορον M. Casaub., εὐπορῶν reliqui, unde εὖ ποιῶν vel τῶν εὐφυῶν vel ἐπισκώπτων Pflugkius. ‖ 6. χαμάθεν B, χαμαθὲν M, χαμόθεν reliq. ‖ 8. ἐμβάλλεται. ἐμβάλεται B. ‖ 9. οἱ πολλοὶ. sic dedi. οἱ om. reliq. ‖ 10. αὑτούς. sic dedi. αὐτοὺς reliq.

ΛΟΓΟΣ μγ

ΠΟΛΙΤΙΚΟΣ ΕΝ ΤΗι ΠΑΤΡΙΔΙ.

1 Λυδῷ, φασὶ, πράγματα οὐκ ἦν, ὁ δὲ ἐξελθὼν ἐπρίατο.
οὐκοῦν ὁ μὲν Λυδὸς δικαίως πράγματα εἶχεν αὐτὸς ἐπιθυμή-
σας. ἐγὼ δὲ οὐκ ἐπιθυμῶν πράγματα ἔχω δι' οὐδὲν ἕτερον
ὑπὸ ἀνθρώπων ἀδυνάτων καὶ φθονερῶν ἢ ὅτι δοκῶ στέργειν
ὑμᾶς καὶ τὰ μὲν εὖ πεποίηκα τὴν πατρίδα, ταῖς πρώταις ἴσην
αὐτὴν ἀποδείξας τιμῆς ἕνεκα, τὰ δὲ ποιήσω θεοῦ διδόντος.
2 καὶ τοῦτο εἶπον οὐκ ἀλαζονευόμενος ἄλλως· αὐτοὶ γὰρ ἴστε
οὐδεπώποτε ὑπὲρ τούτων μνησθέντα με ἐν τοσούτοις λόγοις,
οὓς εἴρηκα ἐν ὑμῖν· ἀλλ' ἀμυνόμενος τοὺς ἐμοὶ καὶ ὑμῖν βα- 503 M.
σκαίνοντας, ἵνα, ἐὰν μὲν δυνατὸν ᾖ, διαῤῥαγῶσιν· ὃ τῇ πόλει
πάσῃ βέλτιστόν ἐστιν· εἰ δὲ μὴ, ἀλλ' οὖν ὀδυνηθῶσιν. ὅτι δὲ οἱ
αὐτοὶ πρὸς ἐμὲ ἀηδῶς ἔχουσι καὶ πρὸς τὴν πόλιν, αὐτοὶ μάρτυ-
ρές ἐστε, ἐὰν θέλητε μεμνῆσθαι καὶ τῶν φιλούντων ὑμᾶς καὶ
τῶν μισούντων. καίτοι ἐπιεικέστερον ἐμοὶ χρῶνται ἢ ὑμῖν.
ἐμοῦ μὲν γὰρ ἐνθάδε κατηγοροῦσιν, ὑμῶν δὲ ἐπὶ τοῦ βήματος. 189 R II.
3 ἐὰν οὖν Ἑλληνικοῖς, ὥσπερ εἴωθα, φαίνωμαι παραδείγμασι
χρώμενος, μὴ καταγελάσητε. οὐ γὰρ καταφρονῶ τῆς πατρί-
δος οὐδὲ ἀδυνάτους ὑμᾶς νομίζω αὐτοὺς συνιέναι τὰ τοιαῦτα
οὐδὲ ἀπαίδευτον νομίζω οὔτε τὸν δῆμον οὔτε τὴν βουλήν.
μάλιστα μὲν οὖν ὑμᾶς βούλομαι τὸ ἦθος Ἑλληνικὸν ἔχειν καὶ
μήτε ἀχαρίστους μήτε ἀξυνέτους εἶναι· εἰ δὲ μὴ, λόγων γε
τοιούτων ἀκούειν οὐ χεῖρόν ἐστιν, ἐξ ὧν μοι δοκεῖτε καὶ τοῖς
4 ἤθεσιν ἀμείνους ἂν γενέσθαι. τί δὴ οὖν τὸ παράδειγμα; ἦν
τις ἄνθρωπος ἐν Θήβαις Ἐπαμεινώνδας λεγόμενος· οὗτος

Orat. XLIII. Collati sunt BM. — 1, 1. ἐπρίατο. ἐπριᾶτο BM. ‖ 2. πράγματα. πρᾶγμα M. ‖ 3. ἔχω. ἔχων M. ‖ 6. τὰ δὲ. τὸ δὲ BM. — 2, 4. διαῤῥαγῶσιν. διαλλαγῶσιν Valcken. Annot. crit. ad N.T. p. 377. ‖ 5. ἀλλ' οὖν. sic dedi. μᾶλλον reliq. ‖ οἱ αὐτοὶ Casaub. r, αὐτοῖς M, αὐτοὶ B. vm, οὗτοι Reisk. ‖ 6. ἐμὲ. ἐμέ τε Reisk. ‖ ἔχουσι BM. Casaub. r, ἕξουσι vm. ‖ 7. ἐὰν. ἂν M. ‖ θέλητε. θέληται M. — 3, 6. ἀξυνέτους εἶναι Reisk., εἶναι om. reliq. ‖ λόγων γε. λόγων τε M. — 4, 2. Ἐπα-

ἐφίλει τὴν πατρίδα πάντων μάλιστα· καιρῶν δὲ ἐπιλαβόμενος,
οἷοι τότε ἦσαν, πολλὰ καὶ μεγάλα εὐηργέτησεν. ἀντὶ γὰρ
δειλῶν καὶ ἀδυνάτων καὶ ἄλλοις ὑπακουόντων πρωτεύειν
ἐποίησεν ἐν τοῖς Ἕλλησι καὶ τῆς ἡγεμονίας ἀντιποιεῖσθαι.
τότε μὲν γὰρ ταῦτα ἦν δυνατά, νῦν δ' ἕτεροι γεγόνασιν οἱ
καιροί· πλὴν τά γε τῆς εὐνοίας καὶ τῆς προθυμίας ἀεί ποτε
ὅμοια. οἱ γὰρ προδόται καὶ συκοφάνται καὶ πάντα πράτ-
τοντες κατὰ τῶν πολιτῶν καὶ τότε ἦσαν ἐν ταῖς πόλεσι καὶ
νῦν, οἱ δὲ φιλοῦντες τὰς πατρίδας καὶ τοὺς πολίτας τοὺς
αὐτῶν μηδὲν κακὸν πάσχειν ἐθέλοντες καὶ τὰς πατρίδας
αὔξειν φιλοτιμούμενοι τότε μὲν πολλοὶ καὶ μεγάλα πράττον-
5 τες, καὶ ἐλάττω ποιεῖν ἀγαθὰ δυνάμενοι. ὁ δ' οὖν Ἐπαμει- 199 R II
νώνδας ἐκεῖνος ὑπὸ τῶν ἀνομοίων ἐμισεῖτο καί τινες ἦσαν οἱ
διαβάλλοντες αὐτὸν, ὁ δὲ δῆμος, ὡς δῆμος, ἠγνόει καὶ ἀνε-
πείθετο. καί ποτε τῶν ἀπεγνωσμένων τις καὶ ἀτίμων καὶ
ὅτε ἐδούλευεν ἡ πόλις καὶ ἐτυραννεῖτο πάντα κατ' αὐτῆς πε-
ποιηκὼς ἐν ἐκκλησίᾳ τὸν Ἐπαμεινώνδαν ἐλοιδόρει καὶ πολλὰ 346 M
καὶ χαλεπὰ ἔλεγε· πᾶς γὰρ ὁ ψευδόμενος οὐχ ὅ τι ἀληθὲς
εἴπῃ ζητεῖ, μηδέν γε ἀληθὲς λέγειν δυνάμενος, ἀλλ' εἴ τι χα-
λεπόν. καὶ αὐτὸς ἐπαναστὰς περὶ μὲν τῶν ἄλλων οὐκ εἶπεν
οὐδ' ἀπελογήθη πρὸς οὐδὲν, μόνον δὲ πρὸς ἐκεῖνον, τῇ δ' αὐ-
τοῦ φωνῇ βοιωτιάζων· ἀλλά τοι Δαμάτηρ, ἔφη, κεχολωμένα
γένοιτο. οἱ δὲ Θηβαῖοι ἀκούσαντες ἥσθησαν καὶ ἐγέλασαν·
εἰκότως· ἀναμνησθέντες οἶμαι τῆς ἐκείνου πρὸς τὸν δῆμον
6 εὐνοίας καὶ τοῦ λοιδοροῦντος τῆς συκοφαντίας. ἐγὼ γοῦν,
εἴ τις λέγοι πρὸς ἐμὲ ἀνάξιον ἐμοῦ εἴτε ἄντικρυς εἴτε καὶ
μετὰ σχήματος, ἵνα δοκῇ ῥήτωρ, καὶ ταῦτα οὐκ ὢν εὐσχήμων

μεινώνδας M, Ἐπαμινώνδας reliq. ‖ 3. καιρῶν. καιρὸν B. ‖ 4. εὐηργέτησεν B. εὐεργέτησαν M, εὐεργέτησεν reliq. ‖ 8. προθυμίας M (mrg. προδοσίας), προδοσίας reliq. ‖ ἀεί ποτε ὅμοια. οἱ Reisk., ἃ εἴπεται ὅμοιοι (mrg. ἀεί ποτε ὅμοιοι) M, ἀεί ποτε. ὅμοιοι reliq. ‖ 10. κατὰ. καὶ τὰ M. ‖ 11. οἱ δὲ φιλοῦντες Reisk., οἱ δὲ om. reliq. ‖ 12. αὑτῶν. sic dedi. αὐτῶν reliq. ‖ 13. πολλοί. πολλὰ mrg. m. ‖ πράττοντες. lacunam ita explet Reiskius: νῦν δὲ οὐκ ὀλίγοι μὲν, ἀλλὰ ταπεινὰ πράττοντες. Pflugkius: νῦν δὲ ὀλίγοι. ‖ 14. ἐλάττω. νῦν ἐλάττω mrg. m, e coniectura Morelli. — 5, 1. Ἐπαμεινώνδας M, Ἐπαμινώνδας reliq. ‖ 5. ἐδούλευεν. δουλεύειν M. ‖ κατ'. κατὰ M. ‖ πεποιηκώς. πεποιηκότων Reisk. ‖ 6. Ἐπαμεινώνδαν M, Ἐπαμινώνδαν reliq. ‖ ἐλοιδόρει. ἐλοιδώρει M. ‖ πολλὰ καί. πολλάκις M. ‖ 7. οὐχ ὅ τι BM, οὐκ εἴ τι reliq. ‖ 8. εἴπῃ. ἐστι m. ‖ 10. τῇ δ'. δ' delet Reiskius. ‖ 12. ἥσθησαν. ἤθησαν M. — 6, 1. ἐγὼ γοῦν M, ἔγωγ' οὖν reliq. ‖ 3. εὐσχήμων.

αὐτὸς, ἀποκρινοῦμαι αὐτῷ τὴν τοῦ Ἐπαμεινώνδου ἀπόκρισιν.
εὖ δ' ἴστε, ὅτι ταῦτα ποιοῦσι καὶ λέγουσι βαρυνόμενοι τὴν
ἐμὴν ἐπιδημίαν δι' ἄλλο μὲν οὐδέν· οὔτε γὰρ ἐνεδρεύω τινὰ
τῶν πολιτῶν οὔτ' ἀργύριον λαμβάνω παρά τινος οὔτε δασμο-
λογεῖν ἕτοιμός εἰμι τὴν χώραν τὴν ὑμετέραν οὔτ' ἐν τῇ ἀγορᾷ
φαίνομαί τινι ὀχληρός· οὐ γάρ εἰμι ῥήτωρ· οὐδὲ εἶπον ὑπὲρ
οὐδενὸς ἢ ἑνὸς ἀνθρώπου δυστυχοῦς, ὃν ἐκώλυσα ὑπὸ τῶν
συγγενῶν καὶ τῶν ἐπιτρόπων διασπασθῆναι, πρότερον μὲν 191 R II.
αὐτοῦ τὰ γράμματα ὑφῃρημένων καὶ πολλὰ τῆς οὐσίας διηρ-
7 πακότων, ὕστερον δὲ καταψευδομαρτυρούντων· ἄλλην δὲ
οὐδεμίαν εἴρηκα δίκην, ὥστε δι' οὐδὲν οὐδενὶ βαρύς εἰμι·
ἀλλ' ἵνα, ἐάν ποτε γένηται καιρὸς, οἷον εὔχονταί τινες, ὅμοιος
τῶν πρότερον· οἷος οὐκ ἔσται· πλὴν εἰ γένοιτο, ἵνα μὴ παρῶ
τῷ δήμῳ μηδὲ ἕξουσιν οἱ συκοφαντούμενοι τὸν παραιτούμενον
ἢ συναλγοῦντα. καὶ διὰ τοῦτο δυσκόλως ἐμὲ φέρει τις ἐπιδη-
μοῦντα. καὶ γὰρ εἰ πλείους ἦσαν, ἥπερ εἰσὶν, οὐδεὶς ἐμοῦ
φήσει μᾶλλον. ἐγὼ δὲ ἔχω παῤῥησίαν πρὸς ὑμᾶς, ὅσην οὐδείς.
τῆς μὲν γὰρ εὐτυχίας τῆς ἐμαυτοῦ παρεχώρησα ὑμῖν, τῆς δὲ
8 δυστυχίας τῆς ὑμετέρας μετέλαβον. καὶ νῦν δεῖ με ἀποδη-
μεῖν οὐχ ὡς πρότερον ἀλύπως, πάντων με ἀγαπώντων καὶ
θαυμαζόντων, ἀλλὰ μετ' ἔχθρας τινῶν. ἐπεὶ αὐτός γε οὐ- 507 M.
δὲν ἔπαθον κακόν·

οὐ γάρ πώποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους.

οὐ μέντοι θαυμάζω τὰ παρόντα πράγματα· ἐπεὶ καὶ Σω-
κράτης ἐκεῖνος, οὗ μέμνημαι πολλάκις, ἐν μὲν τῇ τυραννίδι
τῶν τριάκοντα ἔπραττε πάντα ὑπὲρ τοῦ δήμου καὶ τῶν κα-
κῶν οὐδενὸς ἐκοινώνησεν, ἀλλὰ καὶ πεμφθεὶς ὑπ' αὐτῶν ἐπὶ
Λέοντα τὸν Σαλαμίνιον οὐχ ὑπήκουσε καὶ τοῖς τυράννοις
ἄντικρυς ἐλοιδορεῖτο, λέγων ὁμοίους εἶναι τοῖς πονηροῖς βου-

εὐσχημῶν B. hunc locum perversa vulgo distinctione obscuratum sic tentabat Reiskius: οὐκ ὢν, εὐσχημονῶν αὐτὸς ἀποκρινοῦμαι. conf. Obs. p. 53. ‖ 4. ἀποκρινοῦμαι. ἀποκρίνομαι M. ‖ Ἐπαμεινώνδου M, Ἐπαμινώνδου reliq. ‖ 6. ἐνεδρεύω. συνεδρεύω M. ‖ 9. οὐ. σου M. — 7, 2. βαρύς. βαρεῖς M. ‖ 3. ὅμοιος Selden. r, ὅμως (mrg. ὁμοίως) M, ὁμοίως B. vm. ‖ 4. τῶν. τῷ Selden. ‖ οἷος. οἷς B. ‖ παρῶ τῷ. παρὰ τῷ M. ‖ 5. οἱ om. M, sed in rasura. ‖ 6. συναλγοῦντα BM. mrg. m, συναλίσαντα reliqui, unde συναλγήσοντα Reiskius. ‖ 7. ἥπερ. ὥσπερ BM. ‖ εἰσὶν. εἰσὶν εὐνοοῦντες τῇ πόλει Reisk. ‖ 8. ἔχω παῤῥησίαν M, παῤῥησίαν ἔχω reliq. — 8, 1. ἀποδημεῖν. ἀποδιμεῖν M. ‖ 3. μετ'. μετὰ M. ‖ ἔχθρας τινῶν. ἔχθρας. ὑπὲρ τίνων; (vel τίνων ἕνεκα; vel ὑπὲρ ἡμῶν sine interrogatione) Selden.

κόλοις, οἳ παραλαβόντες ἰσχυρὰς τὰς βόας καὶ πολλὰς ὀλίγας 192 R II
9 καὶ ἀσθενέστερας ποιοῦσιν. ἀλλ' ὅμως ὑπὸ τοῦ δήμου, δι'
ὃν ἐκινδύνευεν, ὕστερον εὖ πράττοντος διαβληθεὶς ὑπὸ συκο-
φαντῶν τινων ἀπέθανεν. ἦν δὲ ὁ κατήγορος Μέλητος, βδε-
λυρὸς ἄνθρωπος καὶ συκοφάντης. ἀδικεῖ, φησὶ, Σωκράτης,
τοὺς νέους διαφθείρων καὶ οὓς μὲν ἡ πόλις θεοὺς τιμᾷ μὴ
τιμῶν, ἕτερα δὲ εἰσάγων καινὰ δαιμόνια· σχεδὸν αὐτὰ ταῦτα
10 ἐναντία οἷς ἐποίει Σωκράτης. ἐτίμα τε γὰρ τοὺς θεοὺς, ὡς
οὐδεὶς ἄλλος, καὶ παιᾶνα ἐποίησεν εἰς τὸν Ἀπόλλω καὶ τὴν
Ἄρτεμιν [τοῦτον, ὃν ἐγὼ νῦν ᾄδω·] καὶ τοὺς νέους ἐκώλυε
διαφθείρεσθαι οὐ μόνον, ἀλλὰ καὶ τοὺς πρεσβυτέρους ὀνει-
δίζων καὶ προφέρων αὐτοῖς, εἴ τις ἄπληστος ἢ ἀκόλαστος ἢ
τὰ τῆς πόλεως ἠργολάβει, τοὺς μὲν ἀπολύων ἐπ' ἀργυρίῳ,
τοὺς δὲ συκοφαντῶν, τοὺς δὲ νησιώτας τοὺς ταλαιπώρους
λεηλατῶν ἐπὶ προφάσει φόρων ἢ καταλογῇ στρατιωτῶν, ὥσ-
περ ἔνιοι ποιοῦσι παρ' ἡμῖν. διὰ ταῦτα μισοῦντες αὐτὸν
11 ἔφασαν διαφθείρειν τοὺς νέους. ἡ δ' ἐμὴ γραφὴ μείζων καὶ
γενναιοτέρα σχεδὸν ἦν, κορυφαία τις, ὡς ἔοικεν· ἀδικεῖ Δίων
τοὺς μὲν θεοὺς μὴ τιμῶν μήτ' ἐν θυσίαις μήτ' ἐν ὕμνοις,
καταλύων τὰς πατρίους ἑορτάς· ἀναπείσας δὲ ἡγεμόνα πονη-
ρὸν, ὥστε τὸν μὲν δῆμον βασανίσαι καὶ ἐξελάσαι ὅσους ἂν
δύνηται πλείστους, ἐνίους δὲ καὶ ἀποκτεῖναι, παρασχὼν
ἀνάγκην αὐτοῖς ἑκουσίως ἀποθανεῖν διὰ τὸ μὴ δύνασθαι [illegible] M
πρεσβύτας ὄντας φυγεῖν μηδὲ ὑπομένειν καταλιπεῖν τὴν πα-
τρίδα· συμπράττων δὲ καὶ νῦν ἅπαντα τῷ τυραννήσαντι
τοὺς θεοὺς, καὶ ὅπως ἐκεῖνος καλῶς ἀγωνιεῖται καὶ κατὰ 193 R II
κράτος παραλήψεται τὰς πόλεις καὶ τοὺς δήμους, ὅσον ἐστὶν
12 ἐπ' αὐτῷ, κατασκευάζων· διαφθείρων δὲ καὶ τὸν δῆμον αὐ-
τὸς ἐφιστάμενος κατήγορος καὶ τοῖς αὐτοῦ ῥήμασι καὶ τῇ

9, 3. *Μέλητος* BM, *Μέλιτος* reliq. ‖ *βδελυρὸς. βδελοιρὸς* M. — 10, 1. *τε γὰρ* BM, *τε* om. reliq. ‖ 3. [*τοῦτον, ὃν ἐγὼ νῦν ᾄδω*] inducenda. ‖ 6. *ἀπολύων. ἀπολλύων* B. ‖ *ἐπ' ἀργυρίῳ* Vales. p. 78. r, *ἐν ἀργυρίῳ* reliq. ‖ 9. *ἡμῖν* BM, *ὑμῖν* reliq. — 11, 2. *κορυφαία. κρυφαία* B, *κρύφα* M. ‖ 4. *καταλύων τάς. καταλύοντας* M, *καταλύων δὲ τὰς* Reisk. ‖ 6. *πλείστους. πλείους* M. ‖ 8. *καταλιπεῖν. καταλείπειν* M. ‖ 9. *δὲ καὶ* r, *τε καὶ* reliq. ‖ *τυραννήσαντι. παρανομήσαντι* Pflugkius. frustra. de accusat. conf. Schaef. Comm. ad Dem. T. I, p. 868. ‖ 11. *ὅσον ἐστὶν ἐπ' αὐτῷ, κατασκευάζων.* sic dedi. idem visum est Pflugkio. *κατασκευάζων, ὅσον ἐστὶν ἐπ' αὐτῷ κατασκευάζειν* reliqui, unde *τοὺς βωμοὺς κατασκάπτων* pro *τοὺς δήμους κατασκευάζων* Selden. — 12, 2. *αὐτοῦ.* sic dedi. *αὐτοῦ* reliq.

γλώττῃ παρανομῶν εἰς τοὺς πολίτας, εἰς τοὺς δημότας· καὶ πολλὰ ἕτερα ποιῶν, ἃ αἰσχύνομαι καθ' ἕκαστον λέγειν· πονηρὸν δὲ παράδειγμα παρέχων ἑαυτὸν καὶ νεωτέροις καὶ πρεσβυτέροις ἀπορίας καὶ τρυφῆς καὶ ἀπιστίας· δεκάζων δὲ τὸ πλῆθος, ἵνα μηδεὶς αὐτῷ προφέρῃ τὰ τότε πραχθέντα, ἀλλὰ τοῦ μίσους καὶ τῆς ἐπιβουλῆς λήθην τινὰ ποιήσωνται. φέρε δή, πρὸς ταῦτα ἀπολογήσωμαι, ὦ ἄνδρες Προυσαεῖς, κἂν δοκῇ ὑμῖν ἀκούσασι, καταψηφίσασθέ μου· καὶ γὰρ τοῦ Σωκράτους οἱ Ἀθηναῖοι ἀκούσαντες κατεψηφίσαντο.

ΛΟΓΟΣ μδ

ΦΙΛΟΦΡΟΝΗΤΙΚΟΣ ΠΡΟΣ ΤΗΝ ΠΑΤΡΙΔΑ ΕΙΣΗΓΟΥΜΕΝΗΝ ΑΥΤΩι ΤΙΜΑΣ.

1 Ἐμοί, ὦ ἄνδρες πολῖται, οὔτε ὄψις ἡδίων ἐστὶ τῆς ὑμε- 194 R II.
τέρας οὔτε φωνὴ προσφιλεστέρα οὔτε τιμαὶ μείζους τῶν ἐνθάδε οὔτε ἔπαινος λαμπρότερος ἢ ὁ παρ' ὑμῶν· οὐδ' ἂν ξύμπαντες οἱ Ἕλληνες, πρὸς δὲ αὐτοῖς ὁ Ῥωμαίων δῆμος, ἐμὲ θαυμάζωσι καὶ ἐπαινῶσιν, οὐκ ἂν οὕτως τοῦτο εὐφράναι τὴν ἐμὴν διάνοιαν. τῷ γὰρ ὄντι πολλὰ σοφὰ καὶ θεῖα εἰρηκὼς Ὅμηρος οὐδὲν σοφώτερον ἔφη τούτου τοῦ ἔπους οὐδὲ
2 ἀληθέστερον, ὡς οὐδὲν γλύκιον ἧς πατρίδος. εὖ μέντοι ἐπί- 509 M.
στασθε, ὅτι τὰς μὲν τιμὰς ἔχω πάσας, καὶ ὅσας νῦν εἰσηγεῖσθε καὶ εἴ τινες ἄλλαι εἰσίν, ἐν τῇ ὑμετέρᾳ εὐνοίᾳ καὶ

3. εἰς τούς. malim καὶ τούς. ‖ 6. ἀπορίας. ἀπονοίας Reisk., ἀπονίας Geelius, vel ἀτοπίας vel ἀνομίας. ‖ τρυφῆς r, τροφῆς reliq. ‖ ἀπιστίας. ἀπληστίας Reisk. ‖ 8. ποιήσωνται. ποιήσονται m. ‖ 9. ἀπολογήσωμαι. ἀπολογήσομαι BM. ‖ κἄν. ἄν M.

Orat. XLIV. Collati sunt BMF (Cod. Vat. 1336). — 1, 1. ὄψις. ὄψης M. ‖ 3. ἢ ὁ. τοῦ Koehler. ‖ 5. εὐφράναι. sic dedi. idem visum est Pflugkio. εὐφρᾶναι reliq. ‖ 8. γλύκιον. γλυκεῖον M. — 2, 1. ἐπίστασθε. ἐπίστασθαι M. ‖ 2. τὰς μέν F, μέν om. reliq. ‖ εἰσηγεῖσθε. εἰσηγεῖσθαι M. ‖ 3. ἐν τῇ BMF, τῇ om. reliq.

φιλίᾳ καὶ οὐδενὸς ἄλλου ἐγὼ δέομαι. τοῦτο γὰρ ἀνθρώπῳ
ἱκανώτατον ἐπιεικεῖ, τὸ ἀγαπᾶσθαι ὑπὸ τῶν αὑτοῦ πολιτῶν.
καὶ ὁ τοῦτο ἔχων τί ἂν ἔτι προσδέοιτο εἰκόνων ἢ κηρυγμάτων
ἢ προεδριῶν; ἀλλ' οὐδὲ χρυσοῦ σφυρήλατος ἱστάμενος ἐν
τοῖς ἐπιφανεστάτοις ἱεροῖς. ἓν γὰρ ῥῆμα πλείονος ἄξιον ἀπ' 194 R II
εὐνοίας ῥηθὲν καὶ φιλίας ἢ τὸ ξύμπαν ἐν ἀνθρώποις χρυσίον
καὶ στέφανοι καὶ τὰ ἄλλα, ὅσα δοκεῖ λαμπρά. ὥστε μοι πει-
3 θόμενοι οὕτω ποιεῖτε. εἰ δὲ ἄρα καὶ τοιαύτας τινὰς δεῖ με
τιμὰς ἔχειν· πολλαί μοι καὶ ἄλλαι εἰσὶ παρ' ὑμῖν, τοῦτο μὲν
αἱ τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅσαις ἐκεῖνον ἐτιμήσατε ὡς ἄνδρα
ἀγαθὸν καὶ ὅσον ἔζη χρόνον δικαίως προεστῶτα τῆσδε τῆς
πόλεως, τοῦτο δὲ τῆς μητρὸς, ᾗς ὑμεῖς ἱδρύσασθε καὶ ἄγαλμα
καὶ ἱερὸν, τοῦτο δὲ αἱ τῶν πάππων καὶ αἱ τῶν ἄλλων προ-
γόνων, ἔτι δὲ αἱ τῶν ἀδελφῶν καὶ τῶν ἄλλων συγγενῶν.
4 καὶ γὰρ ἀνδριάντας πολλοὺς καὶ ταφὰς δημοσίας καὶ ἀγῶνας
ἐπιταφίους, καὶ ἄλλα πολλὰ καὶ τίμια ἐκείνοις παρὰ τῆσδε
τῆς πόλεως γέγονεν· ὧν οὐδενὸς ἐγὼ ἐπιλέλησμαι, ἀλλὰ ἐπί-
σταμαι πάντα ὡς οἷόν τε μάλιστα καὶ οἶμαι τὰς ὑπὲρ τούτων
χάριτας αὐτὸς ὑμῖν ὀφείλειν καὶ εὔχομαι τοῖς θεοῖς ἱκανὸς
γενέσθαι ἀποτίνειν. πολλοῦ μὲν γὰρ ἐπίσταμαι κἀκείνους
γενομένους ἀξίους καὶ δικαίως ἁπάντων τυχόντας, ὅμως δὲ
ἐν ἅπασιν ὑπερέβαλεν ἡ πόλις. καὶ γὰρ ὅσα οὐκ ἠδυνήθησαν 195 R II
βουληθέντες διὰ τύχην τινὰ, καὶ τούτων αὐτοῖς χάριν ἀπε-
5 δίδου ἡ πατρίς. ὁ γοῦν πάππος ὁ ἐμὸς, εἰ ἐπὶ πλεῖον ἀπώ-
νατο τῆς φιλίας τοῦ τότε αὐτοκράτορος, ἀλλὰ μὴ βραχὺς
παντελῶς ἐγένετο χρόνος, διενοεῖτο, ὥς φασιν, ἐλευθερίαν τῇ
πόλει λαβεῖν καὶ ἤδη περὶ τούτου πεποίητο τὸν λόγον. οὐ δεῖ

5. αὐτοῦ. αὐτῶν F. ‖ 7. ἀλλ' οὐδέ. ἄλλου δὲ vm. ‖ χρυσοῦ. χρυσοῦς B. ‖ σφυρήλατος. σφυρήδατος M, χρυσήλατος F. ‖ ἱστάμενος. ἱστάμενος ὁρᾶσθαι Reisk. ‖ 9. ξύμπαν. παράπαν F. ‖ 10. ὥστε μοι. malim ὥστ' ἐμοί. ‖ 11. οὕτω. τοῦτο F. — 3, 1. ἄρα. ἅμα F. ‖ 4. ἔζη. ἔξη M. ‖ 5. ἱδρύσασθε. ἱδρύσασθε B. ‖ καὶ om. F. ‖ 6. ἱερὸν. ἠρίον Vales. ad Harpocr. p. 88. ‖ αἱ τῶν. αὐτῶν B. — 4, 1. ἀνδριάντας. post hoc v. ἔδοτε vel ἐψηφίσασθε supplet Reiskius, vel proximos accusativos nominativis permutat. ‖ 2. πολλὰ καὶ BM (sed καὶ obel. not.), καὶ om. reliq. ‖ 3. ἐπίσταμαι πάντα. πάντα ἐπίσταμαι F. ‖ 4. καὶ οἶμαι. καίομαι M. ‖ τούτων M. Koehler., τούτου reliq. ‖ 6. ἀποτίνειν. ἀποτείνειν M. ‖ πολλοῦ Casaub. r, πολλοὺς reliq. ‖ γὰρ om. B. ‖ κἀκείνους γενομένους BMF, γενομένους κἀκείνους reliq. — 5, 2. τοῦ τότε. τούτου γε m. ‖ 3. χρόνος. ὁ χρόνος Reisk. ‖ τῇ πόλει λαβεῖν. λαβεῖν τῇ πόλει B (at τῇ πόλει superscr.). ‖ 4. καὶ BMF. Koehler., ναὶ reliq. ‖ τὸν om. F.

δὲ ἀπελπίζειν, ἕως ἂν ἀγαθοὺς καὶ φιλοτίμους ἄνδρας ἡ πόλις
φέρῃ, ὁποίους καὶ τοὺς νῦν. ἐγὼ γὰρ ἐν πολλαῖς γεγονὼς
πόλεσιν οὐκ οἶδα βελτίους ἄνδρας τῶν παρ' ὑμῖν. ἔλεγον
δ' ἂν ἐπὶ πλέον καθέκαστον, εἰ μὴ σχεδὸν ἅπαντας συγγενεῖς
ὄντας ὤκνουν ἐπαινεῖν καὶ ὥσπερ ἔρανόν τινα ἀποδιδοὺς τῶν
6 εἰς ἐμαυτὸν ἕνεκα τιμῶν. ἠκροασάμην γὰρ δὴ καὶ τούτων, 510 M.
καίτοι σφόδρα αἰδούμενος, ὅμως διὰ τοὺς λέγοντας αὐτοὺς
ἀγάμενος τῶν ἀνδρῶν τό τε ἄφθονον καὶ τὴν προθυμίαν,
ἔτι δὲ τὴν περὶ τὸ εἰπεῖν δύναμιν. οὐ δὴ θαυμαστὸν εἰ ἐγὼ
πατρίδα τοιαύτην οὕτω σφόδρα ἠγάπηκα, ὥστε οὔτ' ἂν
Ἀθήνας οὔτε Ἄργος οὔτε Λακεδαίμονα, αἵπερ εἰσὶ πρῶται 197 R II.
καὶ ἐνδοξόταται τῶν Ἑλληνίδων, εἱλόμην ἂν εἶναί μοι πατρί-
δας πρὸ ταύτης· καὶ τοῦτο ἔργῳ ἐδήλωσα. πολλῶν γὰρ πολ-
λαχῇ παρακαλούντων με καὶ μένειν καὶ προίστασθαι τῶν
κοινῶν, οὐ νῦν μόνον, ἀλλὰ καὶ πρότερον, ὅτε ἤμην φυγάς·
καὶ ψηφίσματα ἔπεμψάν τινες πρὸς τὸν αὐτοκράτορα χάριν
εἰδότες τῆς εἰς ἐμὲ τιμῆς· οὐδὲ πώποτε ἄχρι λόγου τὸ τοιοῦ-
τον ὑπεσχόμην, ἀλλ' οὐδ' οἰκίαν ἢ χωρίον ἐκτησάμην παρ'
7 ἑτέροις, ὡς μηδὲν ᾖ μοι σημεῖον ἀλλαχοῦ πατρίδος. καὶ γὰρ
ἂν εἴη δεινὸν, εἰ οἱ ἄνθρωποι ἀδικώτεροι ἔσονται τῶν μελιτ-
τῶν. οὐδέποτε γὰρ ἐκείνων μία καταλιποῦσα τὸ αὐτῆς σμῆ-
νος εἰς ἕτερον μετέστη τὸ μεῖζον ἢ μᾶλλον εὐθενοῦν, ἀλλὰ
τὸν ἴδιον ἑσμὸν πληροῖ τε καὶ αὔξει, κἂν ψυχρότερον ᾖ τὸ
χωρίον καὶ αἱ νομαὶ χείρους καὶ ἡ δρόσος ἐλάττων, κἂν
δυσκολώτερον τὸ ἔργον τὸ περὶ τὰ κηρία, κἂν ὁ γεωργὸς
ἀμελέστερος. οὕτω δὲ ἄγαν αὐτάς φασι φιλεῖν ἀλλήλας καὶ
τὸ ἴδιον σμῆνος ἑκάστην, ὥστε, ἐπειδὰν ἔξω ὑπὸ χειμῶνος

5. ἀπελπίζειν BM. Casaub. r, ἐλπίζειν reliqui, unde et οὐ deleri posse rebatur Reiskius. ‖ 6. φέρῃ BMF. Reisk. (idem φέρειν δυνήσεται), φέρειν reliq. ‖ 9. καὶ delebat Reiskius. — 6, 2. διὰ BM, δὲ διὰ reliq. ‖ 3. τό τε F. Pflugk. p. 8, τότε reliq. ‖ 4. οὐ δὴ Pflugk. p. 35, οὐδὲ BMF, οὐδὲν οὖν Reisk., οὐδὲν reliq. ‖ εἰ. εἰς M. ‖ 6. Ἀθήνας. Ἀθῆναι M. ‖ εἰσὶ πρῶται. πρῶται εἰσὶ F. ‖ 8. ἔργῳ. ἔργα (corr. vulg.) M. ‖ 10. οὐ νῦν BMF. r ex Interpr., νῦν om. vm. ‖ 12. πώποτε. πώποτε πλὴν vel πώποτε εἰ μὴ Reisk. ‖ 14. ἀλλαχοῦ πατρίδος. πατρίδος ἀλλαχοῦ F. — 7, 2. ἂν εἴη. ἂν om. BM. ‖ ἀδικώτεροι post μελισσῶν collocat F. ‖ μελιττῶν BM, μελισσῶν reliq. ‖ 3. τὸ αὐτῆς. sic dedi. ταύτης M, τὸ αὐτῆς reliq. ‖ 4. μετέστη. μετέβη B, μεθέστη M. ‖ τὸ. ἤτοι Reisk. ‖ εὐθενοῦν BMF, εὐθηνοῦν Reisk., εὐσθενοῦν reliq. ‖ 5. τε καὶ M (sed τε obel. not.), τε om. reliq. ‖ 7. κηρία Progr. p. 30, χωρία reliq. ‖ 8. οὕτω B, οὕτως reliq. ‖ 9. ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ ὑπὸ χειμῶνος

ἀποληφθῶσι [πολλοῦ γενομένου πνεύματος], λίθον εἰς τοὺς
πόδας ἑκάστη λαβοῦσα ὥσπερ ἕρμα, οὕτω πέτονται, ὅπως
μὴ παρενεχθῶσιν ὑπὸ τοῦ πνεύματος μηδὲ τοῦ σμήνους δια-
8 μάρτωσιν. ὅταν δὲ δὴ καὶ πρόθυμον οὕτω καὶ ἀγαθὴν ἔχῃ
τις πατρίδα, πῶς οὐ χρὴ πάντα τἆλλα περὶ ἐλάττονος ποιεῖ- 198 R II
σθαι ταύτης; ἃ ἐγὼ λογιζόμενος χαίρω, ὁρῶν καὶ τὸν υἱέα
τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τοὺς ἄλλους νεανίσκους·
πολλοὺς δὲ ὁρῶ σὺν θεῷ καὶ ἅπαντας ἀγαθῶν γονέων καὶ
τό γε εἶδος ἀγαθοῖς ὁμοίους· οὕτω διανοουμένους, ὡς φιλο-
νεικήσοντας ἀλλήλοις ἄνευ φθόνου καὶ ζηλοτυπίας καὶ τοῖς
ἄλλοις ἀνθρώποις ὑπὲρ ἀρετῆς καὶ εὐδοξίας τῆς τε αὐτῶν 511 M
καὶ τῆς πατρίδος, καὶ ὅπως πρωτεύσῃ ἕκαστος ἐν τῇ πατρίδι
τῷ δίκαιός τε εἶναι καὶ φιλόπολις καὶ μὴ ἀδύνατος ἀγαθόν
9 τι ποιεῖν καὶ αὔξειν τὴν πατρίδα. εὖ γὰρ ἴστε, ὅτι οὐ με-
γίστη τῶν πόλεων οὖσα οὐδὲ πλεῖστον χρόνον οἰκουμένη πολ-
λῶν γνωριμωτέρα ἐστὶ καὶ παρὰ τοῖς ἄλλοις ἀνθρώποις καὶ
σχεδόν τι πρὸς ἅπαντας ἀγωνιουμένους τοὺς Ἕλληνας πάλαι
παρέχει τοὺς αὐτῆς πολίτας, οὐκ ἐν τοῖς ὑστάτοις οὐδ' ἐν
τοῖς τρίτοις ἢ δευτέροις ἀριθμουμένους. λέγω δὲ οὐχ ὑπὲρ
ἐμαυτοῦ τοῦτον ἐγὼ τὸν λόγον, ἀλλ' ὑπὲρ τῶν ἄλλων, ὧν οἱ
μὲν ἀποδημήσαντες καὶ πλείοσι φανεροὶ γενόμενοι φανερὰν
τὴν δόξαν ἐκτήσαντο, οἱ δὲ ἐνθάδε πολιτευόμενοι καὶ μένον-
τες οὐδὲν χείρους ἐκείνων εἰσὶν οὔτε περὶ τοὺς λόγους οὔτε
10 περὶ τὰ ἔργα. ὁρῶ δὲ οὐ μόνον ἀπὸ λόγων, ἀλλὰ καὶ ἀπὸ
φιλοσοφίας ἄνδρας ἀγαθοὺς καὶ ἀξιολόγους γιγνομένους ἐν
τῇ πόλει· ὑπὲρ ὧν ἐγὼ καὶ ἰδίᾳ τοὺς νέους καὶ κοινῇ, ὅταν
ᾖ καιρός, οὐκ ὀκνήσω παρακαλεῖν. καὶ τὸν δῆμον ὑμᾶς ἀξιῶ,
ἃ μὲν ἔστι παρὰ τῶν κρατούντων, ταῦτα ἐλπίζειν ὡς ἐσόμενα 199 R II
καὶ εὔχεσθαι συμβαίνειν τινὰ τιμὴν ἢ δόξαν ἢ εὐπορίαν χρη-
μάτων, ἃ δὲ ἔστι παρ' αὐτῶν, ἔχειν, εὐταξίᾳ τῶν ἄλλων δή-

Reisk., ὑπὸ om. reliq. ‖ 10. ἀποληφθῶσι M. Reisk., ἀπολειφθῶσι reliq. ‖ [πολλοῦ γενομένου πνεύματος] interpretis esse videntur. ‖ 11. οὕτω B, οὕτως reliq. ‖ πέτονται M, πέτανται reliq. — 8, 1. οὕτω B, οὕτως reliq. ‖ ἔχῃ BMF, ἔχει reliq. ‖ 2. τις. τις τὴν F. ‖ 3. χαίρω om. F. ‖ 6. οὕτω. οὕτως M. ‖ φιλονεικήσοντας. φιλονικήσοντας M. ‖ 9. πρωτεύσῃ. πρωτεύσει M. — 9, 5. οὐδ' ἐν. ἀλλ' ἐν Reisk. ‖ 7. ἀλλ'. ἀλλὰ M. — 10, 7. αὐτῶν, ἔχειν. αὐτῶν ἔχειν, ταῦτα κεκτῆσθαι καὶ βεβαιοῦσθαι Reiskius. recte haec distinxit Geelius.

μων διαφέροντας, αἰδοῖ, τῷ πείθεσθαι τοῖς ἀγαθοῖς ἀνδράσι,
φιλεργίᾳ, σωφροσύνῃ τῇ περὶ τὸν καθημέραν βίον, τῷ μήτε
τῶν σωμάτων ἀμελεῖν μήτε τῆς ψυχῆς, καθόσον ἑκάστῳ
σχολὴν δίδωσι τὰ αὐτοῦ πράγματα, τῷ προθύμως ἐκτρέφειν
τέκνα καὶ παιδεύειν, τῷ παρέχειν Ἑλληνικὴν τῷ ὄντι καὶ
ἀθόρυβον καὶ καθεστῶσαν τὴν πόλιν καὶ τὸ δριμὺ καὶ τὸ
ἀνδρεῖον τῆς φύσεως καὶ τὴν σύνεσιν ἐπὶ τὰ μείζω καὶ καλλίω
τρέπειν, διχοφροσύνης δὲ καὶ ταραχῆς καὶ τοῦ προσκρούειν
11 ἀλλήλοις ὡς οἷόν τε ἀπέχεσθαι. ἔστι γάρ, ὦ ἄνδρες, καὶ
δήμου παιδεία καὶ πόλεως ἦθος φιλόσοφον καὶ ἐπιεικές. καὶ 512 M.
οὐ μόνον Λακεδαιμονίοις οὐδὲ Ἀθηναίοις τὸ παλαιὸν καὶ
ἄλλοις τισὶ συνέβη διὰ τὸ κοσμίως πολιτεύεσθαι μεγάλας
καὶ ἐπιφανεῖς καὶ ἐκ πάνυ μικρῶν καὶ ἀσθενῶν ἀποδεῖ-
ξαι τὰς πόλεις, ἀλλὰ καὶ τῶν νῦν ἔξεστι τὸ τοιοῦτον τοῖς
βουλομένοις. ταῦτα γὰρ ὑμᾶς ἐπιτηδεύοντας πλέον ὀνήσει
καὶ τοῦ πλήθους τῶν βουλευτῶν καὶ τοῦ παρ' ὑμῖν τα πρά-
γματα ἄγεσθαι καὶ τοῦ πρόσοδόν τινα χρημάτων ἔξωθεν
ὑμῖν ὑπάρξαι καὶ τῆς ἐλευθερίας αὐτῆς, ἐὰν ἄρα καὶ τούτου
12 τύχητε ποτε. εὖ γὰρ ἴστε, ὅτι τὴν μὲν λεγομένην ἐλευθερίαν 200 R II.
καὶ τὸ ὄνομα τοῦθ', ὃ παρὰ τῶν κρατούντων καὶ δυναμένων
γίγνεται, ἐνίοτε οὐ δυνατὸν κτήσασθαι· τὴν δὲ ἀληθῆ ἐλευ-
θερίαν καὶ ἔργῳ περιγιγνομένην τοῖς ἀνθρώποις καὶ ἀνὴρ
καὶ πόλις ἑκάστη παρ' αὑτῆς λαμβάνει, μεγαλοφρόνως καὶ
μὴ ταπεινῶς μηδὲ ῥᾳθύμως διοικοῦσα τὸ καθ' αὑτήν. ἵνα δὲ
καὶ ἀλλαχόθεν εἰδῆτε τὴν ἐμὴν γνώμην, ἀναγνώσομαι ὑμῖν
ἐπιστολὴν ἥν τε αὐτὸς ἐπέστειλα τῷ αὐτοκράτορι, ὅτε ἐκλή-
θην, ὅτι ἐν ἐκείνῃ παρεκάλουν ἀφεθῆναι πρὸς ὑμᾶς, καὶ ἣν
ἐκεῖνος ἀντέγραψεν.

8. τῷ. τὸ B. ‖ 9. φιλεργίᾳ r ex Interpr., φιλεργίαις reliq. ‖ τῷ. τὸ B. ‖ 10. σωμάτων BMF. Reisk., αὐτομάτων reliq. ‖ 11. τῷ προθύμως. τῶν προθύμως M. ‖ 16. οἷόν τε. οἴονται M. — 11, 5. μικρῶν. σμικρῶν B. ‖ 6. τῶν νῦν. τοῦ νῦν m. ‖ 7. ὀνήσει. νήσει M. ‖ 10. αὐτῆς om. F. ‖ τούτου. τὸ τούτου M. — 12, 2. τοῦθ' ὅ. τοῦτο M. ‖ 3. γίγνεται, ἐνίοτε Pflugk., ἐνίοτε γίγνεται reliq. ‖ κτήσασθαι. κτίσασθαι M. ‖ 4. περιγιγνομένην BMF, παραγινομένην Reisk., περιγενομένην reliq. ‖ 5. πόλις. πόλεις M. ‖ παρ' αὑτῆς r, παρ' αὐτῆς MF, παρ' αὐτοῖς B. vm. ‖ καὶ μή. μὴ δὲ F. ‖ 6. ῥᾳθύμως. εὐθορύβως M. ‖ 7. εἰδῆτε. ἴδητε M. ‖ 8. ἐπέστειλα. ἐπίστειλα M. ‖ τῷ αὐτοκράτορι BMF. mrg. m. r, τῇ αὐτοκράτορι v, τοῖς αὐτοκράτορσι m. ‖ 9. ὅτι ἐν Reisk., ὅτε ἐν reliqui. locum ita constituit Seldenus: ὅτε ἐκλήθην πρῶτον ὑφ' ἡμῶν (an ὑμῶν?) κοινῇ, ἐν ᾗ παρεκάλουν. ‖ πρὸς om. F.

ΛΟΓΟΣ με

ΑΠΟΛΟΓΙΣΜΟΣ ΟΠΩΣ ΕΣΧΗΚΕ ΠΡΟΣ ΤΗΝ ΠΑΤΡΙΔΑ.

1 Ἄνδρες πολῖται, βούλομαι ὑμῖν ἀποδοῦναι λόγον τῆς 201 R II
ἐπιδημίας ταύτης, ἐπειδὴ καὶ βραχὺν οἴομαι τὸν λοιπὸν ἔσε-
σθαί μοι χρόνον. τὴν μὲν γὰρ φυγὴν ὅπως διήνεγκα, μὴ
φίλων ἐρημίας ἡττηθείς, μὴ χρημάτων ἀπορίας, μὴ σώματος
ἀσθενείας· πρὸς δὲ τούτοις ἅπασιν ἐχθρὸν ἀνεχόμενος οὐ τὸν
δεῖνα οὐδὲ τὸν δεῖνα τῶν ἴσων τινὰ καὶ τῶν ὁμοίων ἐνίοτε
φθεγγομένων, ἀλλὰ τὸν ἰσχυρότατον καὶ βαρύτατον καὶ
δεσπότην ὀνομαζόμενον καὶ θεὸν παρὰ πᾶσιν Ἕλλησι καὶ
βαρβάροις, τὸ δὲ ἀληθὲς ὄντα δαίμονα πονηρόν· καὶ ταῦτα 513 M
οὐ θωπεύων αὐτὸν οὐδὲ τὴν ἔχθραν παραιτούμενος, ἀλλὰ
ἐρεθίζων ἄντικρυς καὶ τὰ προσόντα κακὰ μὰ Δί' οὐ μέλλων
νῦν ἐρεῖν ἢ γράφειν, ἀλλὰ εἰρηκὼς ἤδη καὶ γεγραφώς, καὶ
τούτων πανταχῆ τῶν λόγων καὶ τῶν γραμμάτων ὄντων· οὐχ 202 R II
ὑπὸ μανίας καὶ ἀπονοίας ταῦτα πράττειν ἐπαιρόμενος, ἀλλὰ
κρείττονι πεποιθὼς δυνάμει καὶ βοηθείᾳ, τῇ παρὰ τῶν θεῶν,
2 ἧς καταφρονοῦσιν οἱ πολλοὶ καὶ ἀνωφελῆ νομίζουσιν. τὸ δὲ
περὶ τούτων καθ' ἕκαστον λέγειν ἡγοῦμαι εἶναι περιττόν.
παρ' ἄλλοις γὰρ μᾶλλον γιγνώσκεται ταῦτα καὶ τυγχάνει δό-
ξης καὶ τιμῆς τῆς προσηκούσης. παρ' ὑμῖν δὲ ἂν διεξίω τὸν
τῆς φυγῆς χρόνον, οὐκ ὀδύρεσθαί με φήσει τις, πολὺ δὲ μᾶλ-

Orat. XLV. Collati sunt BM. titulus. in B mrg. adscripta haec: ζήτει τὰ λοιπὰ ἐν τῷ λόγῳ τῷ ἐπιγραφομένῳ Νέστωρ περὶ τὸ τέλος τοῦ λόγου. — 1, 2. τόν. τὸ M. ‖ 5. οὐ τὸν δεῖνα M. Selden. r, οὐ τῶν δεῖνα v, αὐτὸν δεῖνα m, αὐτὸν δῆτα Casaub. ‖ 6. ὁμοίων M. Reisk., ὁμοίως reliq. ‖ ἐνίοτε. malim τῶν δεινὰ ἐνίοτε. ‖ 7. φθεγγομένων. φθεγγόμενον Reisk. ‖ 11. καὶ τὰ προσόντα κακά. sic dedi. καὶ πρὸς ὄντα κακὰ BM, καίπερ ὄντα κακὸν reliq. ‖ 12. νῦν om. M. ‖ 15. κρείττονι. κρίττονι M. ‖ τῇ παρὰ Reisk., τῇ om. reliq. — 2, 1. δέ. δὴ Reisk. ‖ 4. τῆς προσηκούσης M. Selden. r, τῆς πρὸς ὑμᾶς B, τῆς πρὸς ἡμᾶς vm. ‖ 5. πολὺ δὲ μᾶλλον. μᾶλλον πολὺ M.

λον ἀλαζονεύεσθαι. τελευτήσαντος δὲ ἐκείνου καὶ τῆς μετα-
βολῆς γενομένης ἀνῄειν μὲν πρὸς τὸν βέλτιστον Νέρβαν. ὑπὸ
δὲ νόσου χαλεπῆς κατασχεθεὶς ὅλον ἐκεῖνον ἐζημιώθην τὸν
καιρὸν, ἀφαιρεθεὶς αὐτοκράτορος φιλανθρώπου κἀμὲ ἀγα-
πῶντος καὶ πάλαι φίλου. καὶ ὀμνύω τοὺς θεοὺς ὑμῖν ἅπαν-
τας· οὐκ ἐφ' οἷς ἂν εἰς ἐμαυτὸν ἢ τῶν ἐμῶν τινα ἔλαβον,
οὐκ ἐπὶ τούτοις ἄχθομαι διαμαρτὼν, ἀλλ' ἐφ' οἷς ὑμῖν καὶ
δημοσίᾳ τῇ πόλει παρασχεῖν ἐδυνάμην, ταύτην ἐγὼ μεγάλην 203 R II
3 ἀριθμῷ βλάβην καὶ ζημίαν. ὧν γὰρ νῦν ἐτύχομεν, τότε ἐξῆν
ταῦτα ἔχειν καὶ τῷ παρόντι καιρῷ πρὸς ἑτέρας κεχρῆσθαι
δωρεάς. ἐπεὶ δ' οὖν ὑπῆρξε παρὰ τούτου φιλανθρωπία καὶ
σπουδὴ τοσαύτη περὶ ἡμᾶς, ὅσην ἐπίστανται μὲν οἱ παρατυ-
χόντες, ἐγὼ δὲ ἂν λέγω νῦν, σφόδρα λυπήσω τινάς· ἴσως δὲ
οὐδὲ φανεῖται πιστὸς ὁ λόγος τὸ τηλικαύτης τιμῆς τυγχά-
νοντα καὶ συνηθείας καὶ φιλίας ἅπαντα ταῦτα ἐᾶσαι καὶ 204 R II.
παριδεῖν ἐπιθυμήσαντα τῆς ἐνταῦθα ταραχῆς καὶ τῆς ἀσχο-
λίας, ἵνα μηδὲν εἴπω πλέον· ὅμως δ' εἰς οὐδὲν τῶν ἰδίων
κατεθέμην τὸν καιρὸν ἐκεῖνον οὐδὲ τὴν τοῦ κρατοῦντος εὔ-
νοιαν οὐδὲ ἀπὸ μέρους· οἷον τὰ τῆς οὐσίας ἐπανορθώσας
διεφθαρμένης ἢ προσλαβών τινα ἀρχὴν ἢ δύναμιν· ἀλλ' 514 M.
ἅπαν, ὅσον ποτὲ ἦν, εἰς ὑμᾶς ἔτρεψα καὶ μόνον εἶδον τὸ τῆς
4 πόλεως. ταῦτα δὲ εἰ μέν ἐστι χρήσιμα καὶ μεγάλα ἢ μὴ πολ-
λοῖς ὑπάρξαντα ἑτέροις ἀλλ' ἢ μιᾷ πόλει, καὶ ταύτῃ σχεδόν
τι τῶν ἐλλογιμωτάτων κατὰ τὴν Ἀσίαν καὶ τηλικοῦτον ἐχού-
σῃ δίκαιον πρὸς τὸν αὐτοκράτορα, τοῦ θεοῦ παρ' ἐκείνοις
μαντευσαμένου καὶ προειπόντος τὴν ἡγεμονίαν αὐτῷ καὶ πρώ-
του πάντων ἐκείνου φανερῶς αὐτὸν ἀποδείξαντος τῶν ὅλων
κύριον· οὐ λέγω τοιοῦτον οὐδέν. ὅτι δ' ὑμεῖς μάλιστα τού-

7. ἀνῄειν. ἀνῄει M. ‖ τὸν om. B. — 3, 2. κεχρῆσθαι. κεχρῆσθε M. ‖ 4. τοσαύτη. sic dedi. τοιαύτη reliq. ‖ περὶ ἡμᾶς BM. r, περὶ ὑμᾶς vm. ‖ μὲν οἱ Obs. p. 53, μόνοι οἱ reliq. ‖ 5. τινάς. τινὰ M. ‖ ἴσως δέ. δὲ om. M. ‖ 6. τὸ BM. Casaub., τῷ vm, τὸν r. ‖ 10. οὐδὲ BM. Selden. r, οὐδὲν vm. ‖ 11. οὐδὲ ἀπὸ μέρους. οὐδὲ τῶν ἀπὸ τέλους Reisk. ‖ 12. ἀλλ' ἅπαν M, ἀλλὰ πᾶν reliq. ‖ 13. ὅσον ποτέ. ὅσον τότε r. — 4, 1. εἰ μέν Reiskius, qui non videret apodosin incipere a verbis οὐ λέγω, excidisse quaedam opinatus est. conf. Obs. p. 53. ‖ καὶ μεγάλα Reisk., καὶ om. reliq. ‖ ἢ μή. καὶ μὴ Reisk.. ‖ 2. ταύτῃ. ταυτὶ M. ‖ 3. Ἀσίαν. οὐσίαν B. ‖ τηλικοῦτον BM. r ex Interpr., τηλικούτων vm. ‖ 5. πρώτου. πρὸ τοῦ M. ‖ 6. ἐκείνου. ἐκείνῃ vel ἐκεῖ Selden. ‖ 7. ὅτι δ' Selden., δ' om. reliq. ‖ τούτου Obs. l. l., τοῦτο reliq.

του ἐπεθυμεῖτε καὶ χρόνος ἦν πολυς, ὃν ἠλπιζετε, ἐξηπάτησθε,
τοῖς ὑποσχομένοις μόνον τῶν ἰδιωτῶν· οὐ γὰρ δὴ τῶν ἡγεμό-
νων οὐδεὶς οὔτε προσεδόκησε πώποτε οὔτε ὑπέσχετο· τιμὰς 205 R
ὑπερβαλλούσας ἐδίδοτε, πρὸ πολλοῦ τῆς πόλεως ἀπαντῶντες
πανδημεὶ καὶ περιμένοντες ἐν ἑτέραις πόλεσι· τοῦτο ἴσως ἐν-
5 νοεῖν ἄξιον. καίτοι σμικρῶν γενομένων καὶ οὐδενὸς ἀξιων
τὸν ἄνδρα τὸν γενναῖον καὶ μὴ φθόνου καὶ βασκανίας ἥττονα
τότε ἐχρῆν λέγειν, ὅτι μαίνεσθε καὶ παρανοεῖτε τοιούτων
ἐξεχόμενοι σφόδρα οὕτω καὶ θεραπεύοντες ἀνθρώπους οὕτω
ταπεινοὺς ἐπι πράγμασιν οὔτε ἀναγκαίοις οὔτε μεγάλοις, και
ταῦτα ἀδήλοις ἔτι καὶ μηδὲν ἔχοντες βέβαιον. ἀλλ᾽ οἶμαι
χαλεπὸν μὲν ἦν αὐτοῖς καὶ ὁπωσοῦν γενόμενόν τι τούτων. οὐ
μὴν ὁμοίως ἐλύπει τὸ τὸν δεῖνα καὶ τὸν δεῖνα [τῶν ἡγεμόνων]
εἶναι τὸν ποιήσαντα καὶ παρασχόντα, μὴ τῶν ἡμετέρων τινα
πολιτῶν. ἔτι δὲ ἐλπὶς ὑπῆει καὶ ἔθελγεν αὐτούς, ὡς οὐδέ-
6 ποτε ἂν γενομένων. καίτοι καὶ τοῦτο ἀκήκοα πολλῶν ἐγὼ
λεγόντων, ὡς πρότερον ἀντιγράψαντος περὶ τῆς διοικήσεως
τῶν ἡγεμόνων τινος καὶ τοῦ πράγματος ἀποτευχθέντος πολλοι
κατεγέλων τῆς πόλεως, οὐ τῶν ἀστυγειτόνων· ἧττον γὰρ ἂν
ἦν τοῦτο δεινόν· ἀλλὰ τῶν πολιτῶν, ὡς μειζόνων ἢ καθ᾽

8. ἐπεθυμεῖτε Reisk., ἐπιθυμεῖτε reliq. ‖ ἐξηπάτησθε. sic dedi. ἐξηπατῆσθαι reliqui. τῷ ἐξηπατῆσθαι Selden., καὶ ἐξηπάτησθε Reiskius (idem ἐξηπατημένοι). ‖ 9. τοῖς. καὶ τοῖς Obs. l. l. at usus est asyndeto. Valesius p. 72 haec ita constituit: ἐξηπάτησθε τοῖς ὑποσχομένοις μόνων τῶν ἡγεμόνων. ‖ τῶν ἰδιωτῶν. sic dedi. τῶν ἡγεμόνων reliq. ‖ δὴ om. B. ‖ τῶν ἡγεμόνων. sic dedi. τῶν ἰδιωτῶν reliqui. neque enim provinciarum praesides infra οὕτω ταπεινοὶ recte appellabuntur, neque istic ταπεινοὺς in ταπεινῶς mutare satius fuerit. ‖ 10. προσεδόκησε BM. mrg. m. r, προσεδάνεισε vm. ‖ τιμάς. οἷς τιμὰς Reisk. ‖ 11. ἀπαντῶντες Selden. r, ἅπαντες reliq. ‖ 12. καὶ Selden. r, om. reliqui. possit ἤ. ‖ πόλεσι· τοῦτο ἴσως Obs. p. 53, πόλεσι τούτοις. ὡς reliqui, unde ἐπὶ τούτοις ὡς ἐννοεῖν ἄξιον vel ἐπὶ τούτοις ὅμως ἐννοεῖν ἀξιῶ Selden., qui primus periodi universae compage percepta pleraque recte emendaverat. at Reiskius tantum obiter eius adnotationes inspexit. πόλεσι τούτους. ὡς Reisk. — 5, 3. μαίνεσθε. μαίνεσθαι M. ‖ 4. οὕτω. οὕτως M, Reiskius anteponit verbo σφόδρα. ‖ 6. ἔχοντες BM, ἔχουσι reliq. ‖ 8. τὸ τόν. τὸ om. M. Pflugk., τῷ τὸν Geel., Pflugkius etiam de v. τὸ ante τῶν ἡγεμόνων transponendo cogitaverat. ‖ καὶ τὸν δεῖνα M, om. reliq. ‖ [τῶν ἡγεμόνων] delenda. ‖ 10. ἔθελγεν. ἔθελγειν M. ‖ 11. ἂν γενομένων. sic dedi. ἂν om. reliq., γενησομένων Pflugk. — 6, 2. πρότερον Obs. p. 54. πραότερον B, πρᾳότερον reliq. ‖ 4. γὰρ ἂν ἦν τοῦτο. sic dedi. γὰρ ἦν τὸ reliq., γὰρ ἂν ἦν τὸ Pflugk.

αὐτὴν ἐφιεμένης καὶ διαφερούσης οὐδὲν κατὰ τὴν ἀφροσύνην
τῶν παίδων τῶν βασιλέων. καὶ ταῦτα λέγοντες οὐκ ᾐσχύ-
νοντο διασύροντες τὴν αὐτῶν πατρίδα καὶ καθαιροῦντες ἐν
τοῖς λόγοις οὕτως ἀνοήτως. εἴτε γάρ εἰσι τῶν πρωτευόντων 515 M.
ἐν αὐτῇ ἢ τιμωμένων, αὐτοὺς καθαιροῦσιν ἀσθενοῦς καὶ 206 R II.
ἀδόξου πόλεως προεστηκότες· εἴτε τῶν ἀπεῤῥιμμένων εἰσὶ καὶ
τῶν ὑστάτων, ἔτι μείζω καὶ χαλεπωτέραν ποιοῦσι τὴν ἀτιμίαν
αὐτοῖς, εἰ τῆς ἐσχάτης πόλεως ἔσχατοι τυγχάνουσιν ὄντες.
7 ἵνα δὲ μὴ διὰ τοὺς ἐμπίπτοντας λόγους τοῦ προτεθέντος ἐκ-
κρουσθῶ, τούτων ὁπωσδήποτε ληφθέντων καὶ κομισθέντων
ἐνταῦθα σκοπεῖτε, εἴ τῳ βαρὺς γέγονα τῶν πολιτῶν, ἢ κατ᾽
ἰδίαν ὑπὲρ ἐμαυτοῦ λέγων ἢ κοινῇ προφέρων καὶ ὀνειδίζων
χάριτας ἢ προαγαγών τινας ὧν ἐβουλόμην· ἢ τοὐναντίον οὐκ
ἔλαττον ἑκατὸν βουλευτῶν καταλεγέντων ἕτεροι μὲν εἰσήγα-
γον φίλους αὐτῶν καὶ παρεσκεύασαν, ὅπως ἕξουσι τοὺς
συναγωνιζομένους καὶ βοηθοῦντας, οἷς ἄν ποτε ἐθέλωσιν·
ἐγὼ δὲ οὔτ᾽ ἐποίησα τοιοῦτον οὐδὲν οὔτε διελέχθην τοιοῦτον,
8 ὡς ἐμοὶ προσθεμένων ἄν, εἰ ἐβουλόμην, ἢ ἄλλῳ τινί. μάλιστα
μὲν γὰρ ἠξίουν μηδὲ ἕτερον μηδένα τοιοῦτον ἔθος εἰσάγειν
μηδὲ καθ᾽ ἑταιρείας πολιτεύεσθαι μηδ᾽ εἰς μέρη διασπᾶν τὴν
πόλιν· εἰ δ᾽ οὖν, αὐτὸς ἀπέχεσθαι τῶν τοιούτων ἁμαρτημά-
των, εἰ καὶ πάντων ἔλαττον ἰσχύειν ἔμελλον καὶ μηδενὸς
ἀξιοῦσθαι λόγου. τί οὖν ἥμαρτον ἐν τούτοις καὶ τί παρε-
λείφθη μοι; δίκαιός εἰμι πρὸς ὑμᾶς ὁμολογεῖν, ὅτι μήτε αὐ-
τὸς μηδὲν ἔπραττον ἄδικον καὶ παράνομον μήτε τοὺς ἄλλους
ἐκώλυον, ἐξὸν ἑνὶ ῥήματι κωλῦσαι καὶ καταστάντας καὶ μη- 207 R II

7. παίδων τῶν. παίδων Geel. ‖ 9. εἰσι r, om. B, ἐπὶ reliq. ‖ 10. αὐτούς. αὑτοὺς M. ‖ 11. ἀπεῤῥιμμένων. ἀπεῤῥειμμένων M. ‖ 13. αὐτοῖς. sic dedi. αὑτοῖς reliq. — 7, 2. ληφθέντων καὶ κομισθέντων ἐνταῦθα σκοπεῖτε. sic dedi. ληφθέντων ἐνταῦθα σκοπεῖτε καὶ κομισθέντων M, λειφθέντων ἐνταῦθα σκοπεῖτε καὶ κομισθέντων B. vm, λειφθέντων ἐνταῦθα καὶ νομισθέντων σκοπεῖτε r. in ληφθέντων incidit et Pflugkius. ‖ 5. οὐκ ἔλατττον ἑκατὸν r, ἔλαττον οὐχ ἑκατὸν BM. vm, ἐλάττων οὐχ ἑκατὸν mrg. m, ἐλαττῶν οὐχ ἑκατὸν Casaub., ἔλαττον ἢ οὐχ ἑκατὸν Selden. ‖ 7. ἕξουσι τοὺς BM, τοὺς om. reliq. ‖ 10. ἐμοί. ἐμοὶ μᾶλλον Reisk. ‖ προσθεμένων ἄν. sic dedi. idem visum est Pflugkio. ἂν om. reliq. ‖ ἐβουλόμην. ἐβουλόμην μᾶλλον Seldenus. frustra. — 8, 3. μηδὲ καθ᾽. μήτε καθ᾽ M. ‖ ἑταιρείας. ἑταιρίας M. ‖ 9. καὶ καταστάντας καὶ μηνῦσαι. καὶ καταστάντα μηνῦσαι Wyttenb. ad Plut. Moral. p. 924 Oxon., καταπαῦσαι καὶ μηνῦσαι Reisk., καὶ καταστάντα καταμηνῦσαι Geel., καὶ καταστάντα καὶ μηνῦσαι Pflugkius. malim

νῦσαι τὸ γιγνόμενον καὶ παρ' εἰδόσιν ὑμῖν καὶ τοῖς ἡγεμόσιν.
εἰ δὲ μήτε ὑμεῖς προσείχετε μήτε τῶν ἡγεμόνων τὸ πρᾶγμα
9 ἥπτετο, οὐ χαλεπὸν ἦν ἐπιστεῖλαι τῷ αὐτοκράτορι. τοῦτο
οὖν ἦν τὸ ποιῆσαν ἐμὲ τὴν ἡσυχίαν ἄγειν, ἵνα μὴ δοκῶ κατη-
γορεῖν τινων μηδὲ διαβάλλειν τὴν πόλιν μηδ' ὅλως λυπηρό-
τερος ὦ τῶν ἐνθάδε μηδενί. τὸ μὲν δὴ τῆς βουλῆς οὕτω
διῳκήθη τά γ' ἄλλα ὀρθῶς· οὔτε γὰρ φαύλους οὔτε ἀναξίους
ἄνδρας ἐχειροτονήσατε· πλὴν ὅτι πάντες τῆς ἴσης τυχόντες
τιμῆς, καίτοι δικαίως τυγχάνοντες καὶ δι' αὐτούς, ὅμως, κα- 516 M
θάπερ οἱ μυούμενοι, μυσταγωγῶν ἐδεήθησαν. ἐγὼ δὲ οὐδὲ
ψῆφον ἠξίωσα διενεγκεῖν ὑπὲρ οὐδενὸς μόνος, μὴ ῥοπήν τινα
δοκῇ τὸ τοιοῦτον παρέχειν καὶ μαρτυρίαν καὶ τῶν ἄλλων
τινὲς ὀκνήσωσιν ἐμοὶ τἀναντία γράφειν καὶ ἀποφαίνεσθαι.
10 τί οὖν; ἐπὶ δύο ἡμέρας ἢ τρεῖς γιγνομένης τῆς χειροτονίας
ἐξῆλθον οὐδ' ἔμελλον παρατυχὼν τοῖς γεγονόσιν οὐδένα ἔχειν 295 R II
χρεώστην οὐδὲ συνωμότην οὐδὲ ἐμοὶ χάριν ὀφείλοντα τοῦ
πράγματος. ὑμῖν γάρ, οὐκ ἐμαυτῷ, τοὺς βουλευτὰς ᾐτησά-
μην. καὶ τοίνυν διοικήσεως νῦν πρῶτον ἀχθείσης πολλὰ ὑπὸ
πολλῶν ἠδικημένος, ὥσπερ εἰκός ἐστι τὸν ἐλθόντα μετὰ το-
σαῦτα ἔτη φυγῆς, καὶ πρὸς ἐνίους οὐδὲ δικῶν μοι δέον, ἀλλὰ
μόνον εἰπεῖν καὶ μνησθῆναι περὶ τῶν κατεχομένων, πρὸς οὐ-
δένα οὔτ' ἐμνήσθην οὔτε λόγον ἐποιησάμην οὐδένα, τοσούτων
μὲν εἰς ἐλευθερίαν ἀφεστηκότων οἰκετῶν, τοσούτων δὲ χρή-
ματα ἀπεστερηκότων, τοσούτων δὲ χωρία κατεχόντων, ἅτε 296 R II
11 μηδενὸς ὄντος τοῦ κωλύσοντος. οὐ γὰρ δὴ τῷ μὲν Ὀδυσσεῖ
πατέρα οἴκοι καταλιπόντι καὶ γυναῖκα ἀγαθὴν καὶ φίλους

καὶ μὴ καταστὰν, μηνῦσαι. ‖ 11. προσείχετε. προείχετε BM. ‖ 12. ἥπτετο. ἥπτο M. ‖ ἐπιστεῖλαι Reisk., ἐπιτελέσαι reliq. — 9, 4. οὕτω om. M. ‖ 5. τά γ'. τὰ δ' BM. ‖ 6. ἐχειροτονήσατε. ἐχιροτονήσατε M. ‖ 9. μόνος. φοβούμενος Reisk., possit ὅπως. ‖ 10. τοιοῦτον. τοιοῦτο B. — 10, 1. γιγνομένης Reisk., γενομένης reliq. ‖ τῆς. ἢ M. ‖ 2. οὐδ' ἔμελλον Obs. p. 54, οὐδὲ μᾶλλον reliqui. ἐς Μᾶλλον, οὐ Casaub., οὐδὲ δι' ἄλλων Reisk., οὐδὲν ἄλλο ἢ Selden., μέλλων Wesseling. ad Itiner. Hieros. p. 704. ‖ παρατυχών. παρατύχον M. Reiskius haec sic quoque constituit: οὐδέν' ἄλλον παρασχὼν τοῖς γεγονόσι. ‖ ἔχειν Obs. p. 54, ἔχων reliq. ‖ 4. ᾐτησάμην BM. r, ἠτισάμην v, ἢ Τησάμην m. ‖ 5. καί. ὡς Selden. ‖ 7. μοι δέον Obs. p. 54, οἰόμενός (vel προσῆκον) μοι δεῖν Reisk., δικαιῶν μοι δεῖν Iacobs. Add. p. 129, μοι δεῖν reliq. ‖ 8. μόνον Pflugk., μᾶλλον reliq. ‖ 10. χρήματα BM. Selden., χρημάτων reliq. ‖ 12. τοῦ. οὐ M. ‖ κωλύσοντος. κωλύοντος Reisk., κωλύσαντος Iacobs. — 11, 1. οὐ γὰρ δὴ BM, οὐδὲ γὰρ reliqui. οὐδέν· ἢ γὰρ Iacobs. ‖ τῷ. τὸ M.

συνέβη καταφρονηθῆναι διὰ τὴν ἀποδημίαν οὕτως, ὥστε τὴν οἰκίαν αὐτοῦ καταλαβόντας ἐνίους ἑστιᾶσθαι καὶ πίνειν καθ' ἑκάστην ἡμέραν τὸν οἶνον ἀντλοῦντας καὶ τὰ βοσκήματα ἀποκτιννύντας καὶ μηδὲ τῆς γυναικὸς ἀπέχεσθαι τελευτῶντας, ἀλλ' ἄκουσαν βιάζεσθαι γῆμαι καὶ καταλιπεῖν τὸν ἄνδρα καὶ τὴν οἰκίαν· ἐμὲ δὲ οὐκ ἦν εἰκὸς ὑπὸ πολλῶν πολλὰ τοιαῦτα πεπονθέναι πάντων ἀπεγνωκότων με καὶ μηδενὸς ἔτι σωθή-
12 σεσθαι προσδοκῶντος. ἀλλὰ περὶ ταῦτα μὲν ἴσως οὐχ ὅμοιος ἑτέροις γέγονα· λέγω δὲ οὐ τῶν ἰδιωτῶν μόνον, ἀλλὰ πολλῶν καὶ φιλοσόφων καλουμένων σωφρονέστερος· ἐλύπησα δὲ ἐν τοῖς ἔργοις τὴν πόλιν. περὶ δὲ τούτων, ὡς ἐγένετο, πολλάκις ἀκηκόατε· δεῖ δὲ καὶ νῦν ἴσως ἀναμνῆσαι. ἐγὼ γάρ, ἄνδρες, τὸ μὲν βούλεσθαι τὴν πόλιν κοσμεῖν καὶ κατασκευάζειν μὴ 1210 R II. 1517 M.
μόνον στοαῖς καὶ ὕδασιν, ἀλλά, εἰ δυνατὸν ἦν, καὶ τείχεσι
13 καὶ λιμέσι καὶ νεωρίοις, ὁμολογῶ. καὶ τοῦτον τὸν ἔρωτα οὕτως, εἴτε παιδικὸν φήσει τις εἴτε ἀνόητον, οὐκ ἔξαρνός εἰμι, τὸ καὶ συνοικίζειν ἐθέλειν τὴν πόλιν καὶ πλῆθος ἀνθρώπων εἰς αὐτήν, ὅσον δύναμαι, συναγαγεῖν καὶ οὐ μόνον τῶν ἐπιχωρίων, ἀλλ', εἰ δυνατὸν ἦν, καὶ ἑτέρας πόλεις συνελθεῖν ἀναγκάσαντα, ὥσπερ Ἐπαμεινώνδας ποτὲ τὴν Βοιωτίαν εἰς τὰς Θήβας συνῴκισε καὶ Θησεὺς τὴν Ἀττικὴν εἰς τὰς Ἀθήνας καὶ Μυτιληναῖοί ποτε λέγονται τῆς Αἰολίδος κατασχόντες καὶ τῶν περὶ τὸν Ἑλλήσποντον καὶ Τρωάδα τόπων τὴν Λέσ-
14 βον ἅπασαν εἰς μίαν τὴν αὐτῶν συναγαγεῖν πόλιν. οὐ μὴν ἀλλ' ἐπιστάμενός γε τὰς διανοίας τῶν ἐνθάδε ἀνθρώπων ἐνίων καὶ τὴν ἐμαυτοῦ δύναμιν καὶ τὰς ἀσχολίας καὶ τὸν χρόνον τῆς ἐπιδημίας, ὅτι μοι βραχύς ἐστι παντελῶς, οὔτε ἡπτόμην οὐδενὸς μείζονος οὔτε ἤλπιζον, μόνον δὲ τὴν διάνοιαν

3. ὥστε r, τε reliq. ‖ 4. καταλαβόντας. sic dedi. καταλιπόντας M, καταλιπόντος reliq. ‖ 5. ἑκάστην M, ἑκάστην τὴν reliq. ‖ 9. μηδενός. μῆδος M. ‖ ἔτι. ἔτη m. — 12, 2. μόνον. μόνων M. ‖ πολλῶν καί. καὶ πολλῶν Reisk. ‖ 5. δεῖ. δὴ M. — 13, 2. οὕτως delet Reisk., malim ὄντως ‖ εἰμι. εἰμι, ὥστε Pflugkius, qui post ἀναγαγεῖν interponit ὁμολογῶ. ‖ 3. τὸ καὶ BM, καὶ τὸ Casaub. r, καὶ τῷ reliqui, καὶ δεδήλωκα τὸ Reisk. ‖ συνοικίζειν BM. Casaub. r, νῦν οἰκίζειν reliq. ‖ 4. συναγαγεῖν BM. Reisk., ἀναγαγεῖν reliq. ‖ καὶ οὐ. καὶ malim abesse. ‖ 6. ἀναγκάσαντα. ἀναγκάσας Reisk. ‖ Ἐπαμεινώνδας M, Ἐπαμινώνδας reliq. ‖ 7. συνῴκισε. συνῴκησε B. ‖ 8. Μυτιληναῖοι C. F. Herm. Lehrb. d. gr. Alt. § 76, n. 9, μειλήσιοι M, Μιλήσιοι reliq. ‖ τῆς. πολλὰ τῆς Reisk. ‖ 10. αὐτῶν. sic dedi. αὑτῶν reliq. — 14, 3. ἐνίων om. B. ‖ 4. μοι BM. Casaub. r, μὴ vm.

οὐκ ἐδυνάμην τὴν ἐμαυτοῦ κατέχειν, ἀλλ' ὥσπερ οἱ ἐρῶντες
αὐτοὶ περὶ τῶν τοιούτων διεξίασιν, οἵων καὶ ἐπιθυμοῦσι,
κἀγὼ πολλάκις ἐμεμνήμην, καὶ ἐνόμιζον συμφέρειν γενέσθαι 211 R
τῇ πόλει κατασκευῆς ἕνεκα καὶ συνοικισμοῦ καὶ προσόδων
15 καὶ μυρίων ἄλλων. ἃ εἴ ποτε γένοιτο καιρὸς ἐπιτελεσθῆναι
καὶ θεῶν τις ποιήσειε, τότε ὄψεσθε τὴν ὑπερβολὴν τῆς τινων
ἔχθρας καὶ τοῦ πρὸς ἐμὲ μίσους· ἵνα μὴ λέγω τοῦ πρὸς ὑμᾶς·
ὡς οὐκέτι ἀμφιβόλως οὐδὲ πρᾴως ἐροῦσι καὶ λοιδορήσονται,
φανερῶς δὲ καὶ ἄντικρυς, κἂν μὴ κωλῦσαι δυνηθῶσιν, ἀπάγ-
ξονται πρότερον ἢ τὴν πόλιν ἰδεῖν, οἵαν αὐτὴν βουλομένων
θεῶν οὐκ ἀδύνατον γενέσθαι. τότε δ' οὖν τοῦ ἡγεμόνος
δεξαμένου τὸ πρᾶγμα τυχὸν μὲν δι' ὑμᾶς, ἴσως δὲ καὶ δι'
ἐμέ, καὶ συναγαγόντος ἐκκλησίαν οὐ προειδότος ἐμοῦ καὶ περὶ
τούτων ἀναγιγνώσκοντος οὐκ ἠδυνήθην τὴν ἡσυχίαν ἄγειν,
ἀλλ' ἀνέστην καὶ συνεβούλευσα καὶ ἐνεδειξάμην τοῖς ἀγνο-
16 οῦσι τὸ πρᾶγμα. καὶ μετὰ ταῦτα οὐχ ὁ μὲν δῆμος ὑμεῖς
ἐπεθυμήσατε τῶν ἔργων, τῶν δὲ ἐν τέλει τις ἀντεῖπεν, οὐδὲ
ἀντεῖπε μὲν οὐδείς, οὐ μὴν προθυμούμενος εὑρέθη καὶ συμ-
πράττων, ἀλλὰ πάντες ὡς ἐπ' ἀγαθοῖς οὖσι καὶ συμφέρουσιν
οὐ λόγῳ μόνον συμπράττοντες καὶ συνεισφέροντες· καὶ τὸ 212 R
πρᾶγμα ὡς καλὸν καὶ μεγαλοπρεπὲς καὶ τῇ πόλει συμφέρον,
οὕτως ἐγένετο.

7. αὐτοὶ delebat Reisk., ἀεί τι Iacobs., malim ἀεὶ cum Geelio. ‖ τοιούτων Reisk., τοιούτων τοιαῦτα reliqui, unde τοιούτων καὶ τοιαῦτα vel τοιούτων τὰ πολλὰ Selden., τοιούτων ταὐτὰ Geel., ἀνεπτέρωνται καὶ τοιαῦτα Pflugkius (deletis v. αὐτοὶ περί). ‖ 8. καὶ ἐνόμιζον. malim ἃ ἐνόμιζον vel εἴ τι ἐνόμιζον. νομίζων Reisk., ὧν καὶ ἐνόμιζον Selden., ὃ καὶ ἐνόμιζον Iacobs. ‖ συμφέρειν M. Selden., συμφέρον reliq. ‖ 9. ἕνεκα delet Reisk. — 15, 2. ποιήσειε. συμπονήσειε Iacobs. ‖ ὄψεσθε. ὄψεσθαι BM. ‖ 3. τοῦ πρὸς Reisk., τοῦτο πρὸς reliq. ‖ 5. ἀπάγξονται. ἀπάξονται M. ‖ 8. πρᾶγμα BM, πρόσταγμα reliq. ‖ 9. συναγαγόντος Pflugk., συνάγοντος reliq. ‖ 10. τούτων. τοῦτον B. — 16, 3. ἀντεῖπε. ἀντειπεῖν M. ‖ οὐ μὴν M. Pflugk., οὐ μὴν οὐ reliqui. possit οὐ μὴν οὐδὲ. ‖ 5. μόνον. μόνον ἀλλὰ καὶ ἔργῳ εὑρέθησαν Reisk., μόνον ἀλλὰ καὶ Pflugk. ‖ συνεισφέροντες. συνεκφέροντες M.

ΛΟΓΟΣ μς.

ΠΡΟ ΤΟΥ ΦΙΛΟΣΟΦΕΙΝ ΕΝ Τῌ ΠΑΤΡΙΔΙ.

1 *Ἐγὼ οὐχ οὕτως ἐκπέπληγμαι ἐφ᾽ οἷς ποιεῖτε, ὦ ἄνδρες,*
τοιούτοις οὖσιν, ἀλλ᾽ ἐπεὶ οὐδεμίαν αἰτίαν ὁρῶ τῆς ὑμετέρας
ὀργῆς πρὸς ἐμέ, τοῦτό ἐστι τὸ εἰς ἀπορίαν ἄγον. ὀργὴν μὲν
γὰρ δικαίαν ἔστι παραιτήσασθαι ἀνθρώπων, μῖσος δὲ ἄδι-
κον τίς ἂν θεραπεύσαι; ἀξιῶ δὲ ὑμᾶς ἀκοῦσαί μου λέγοντος
οὐκ ἐμοῦ ἕνεκα μᾶλλον ἢ ὑμῶν αὐτῶν. εἰ μὲν γὰρ οὐδὲν
ἀδικῶ, οὐδὲ ὑμεῖς βούλεσθε δήπου ἀναιτίως μισεῖν τινα τῶν
ὑμετέρων πολιτῶν· εἰ δὲ ἀδικῶ, κατ᾽ ἐμοῦ ὁ λόγος ἔσται,
οὐχ ὑπὲρ ἐμοῦ, καὶ οὕτως γε μείζω ὑμῖν ὑφέξω τιμωρίαν ἢ
αὐτοὶ ζητεῖτε. τὸ γὰρ ἐξελεγχθῆναι πονηρὸν ὄντα τῷ παντὶ
2 *δεινότερον τοῦ λευσθῆναι ἢ καταφλεγῆναι. καὶ πρῶτον μὲν* 213 R II.
μάθετε, ὅτι ἃ δοκεῖ ὑμῖν φοβερά, οἱ λίθοι καὶ τὸ πῦρ, οὐ-
δενὶ φοβερά ἐστιν, οὐδ᾽ ἐστέ γε τούτοις ἰσχυροί, ἀλλὰ πάν-
των ἀσθενέστατοι· ἐκτὸς εἰ μή τις ἠρίθμει τὴν τῶν λῃστῶν
καὶ τῶν μαινομένων δύναμιν. πόλεως δὲ καὶ δήμου ἰσχὺς ἐν
ἑτέροις ἐστί, καὶ πρῶτόν γε ἐν τῷ σωφρονεῖν καὶ τὰ δίκαια
ποιεῖν. περὶ μὲν γὰρ τοῦ πατρὸς οὐδὲν ἐμὲ δεῖ λέγειν, εἰ
ἀγαθὸς ἦν. ἀεὶ γὰρ εὐφημεῖτε αὐτὸν καὶ κοινῇ καὶ καθ᾽
3 *ἕκαστον, ὅπου ἂν μνησθῆτε, ὡς οὐ φαῦλον πολίτην. δεῖ*
μέντοι εἰδέναι ὑμᾶς, ὅτι οὐδὲν ὄφελος ἐκείνῳ ἐστὶ τούτων τῶν
ἐπαίνων· ἀλλ᾽ ὅταν ἡμᾶς τοὺς ἐξ αὐτοῦ ἀποδέχησθε, τότε
κἀκείνου μέμνησθε. καὶ περὶ τοῦ πάππου δὲ τοῦ ἡμετέρου 519 M.

Orat. XLVI. Collati sunt BM. in titulo *Πρὸ τοῦ* BM. Photius, *περὶ τοῦ* reliq. — 1, 1. *ποιεῖτε* M, *ἐποιεῖτε* reliq. ‖ 4. *ἔστι* om. M. ‖ *ἀνθρώπων. ἄνθρωπον* B. ‖ 5. *τίς ἂν* BM. mrg. m, *οὐκ ἄν τις* reliq. ‖ 6. *ἐμοῦ. ἐμὲ* M. ‖ 7. *βούλεσθε. βούλεσθαι* M. ‖ 11. *καταφλεγῆναι.* § 4 est *καταφλεχθῆναι.* — 2, 2. *ἃ* Casaub. r, om. reliq. ‖ *οὐδενὶ φοβερά. οὐδέν μοι φοβερόν* vel *οὐδὲν σόφῳ φοβερὸν* Selden. ‖ 3. *γε* om. M. ‖ 4. *ἠρίθμει.* malim *ἀριθμεῖ.* ‖ 6. *σωφρονεῖν* mrg. m, *φρονεῖν* reliq. ‖ 8. *καὶ καθ᾽. καὶ* om. B. ‖ 9. *ὅπου* BM. Casaub. r, *ὁποίου* vm, *ὁπωσοῦν* vel *ὁποιοῦν* Selden. — 3, 4. *μέμνησθε. μέμνητε* (corr. vulg.) M.

οὐκ ἂν εἴποι οὐδεὶς οὔτε ὡς κατῄσχυνε τὴν πόλιν οὔτε ὡς
οὐδὲν ἀνάλωσεν ἐκ τῶν ἑαυτοῦ. τὴν γὰρ οὐσίαν, ἣν εἶχε πα-
τρῴαν καὶ παππῴαν, ἅπασαν εἰς φιλοτιμίαν ἀναλώσας, ὥστε
μηδὲν ἔχειν λοιπὸν, ἑτέραν ἐκτήσατο ἀπὸ παιδείας καὶ παρὰ
4 τῶν αὐτοκρατόρων. καὶ τοίνυν εἰς αὐτὸν οὐδεμίαν φαίνεται
χάριν αἰτησάμενος ἐν τοιαύτῃ φιλίᾳ καὶ σπουδῇ, φυλάττων
δὲ καὶ ταμιευόμενος τὴν τοῦ αὐτοκράτορος προθυμίαν εἰς
ὑμᾶς. εἰ δέ τῳ δοκεῖ φλυαρία τὸ πολιτῶν ὑμετέρων ἀναμι-
μνήσκειν ὑμᾶς εὐνοίας καὶ ἀρετῆς, οὗτος οὐκ οἶδ' ὅπως εὖ 214 R II
παθεῖν αὐτὸς ὑπό του βούλεται. ἐκ τοιούτων δὴ ὄντες ἡμεῖς,
εἰ καὶ σφόδρα πονηροὶ ἦμεν, ἀλλά τοι δι' ἐκείνους ἐντροπῆς
τινος ἄξιοι ἦμεν, οὐχὶ λευσθῆναι ὑφ' ὑμῶν οὐδὲ καταφλε-
5 χθῆναι. σκοπεῖτε δὲ καὶ τοὐμὸν, ὦ ἄνδρες, μὴ ἀγνωμόνως.
ἡμῖν γὰρ ὁ πατὴρ οὐσίαν κατέλιπε τῇ μὲν δόξῃ μεγάλην, δυ-
νάμει δὲ μικρὰν καὶ πολλῷ ἐλάττω ἑτέρων· οὐ μεῖον γὰρ ἢ
τετταράκοντα μυριάδες ἦσαν χρεῶν καὶ πράγματα τοιαῦτα
ἔξωθεν, ὥστε πολὺ τῶν χρεῶν εἶναι ταῦτα χαλεπώτερα. οὐδὲ
γὰρ ἀσφάλεια, ὡς εἰπεῖν, οὐδενὸς ἡμῖν τῶν ὄντων ὑπῆρχεν·
ἀλλὰ τῇ αὑτοῦ δυνάμει πιστεύων ἐκεῖνος ἅπαντα ἐκέκτητο
6 ὡς οὐδενὸς ἀμφισβητήσοντος. ἐν δὲ τοῖς τοιούτοις ἀποληφ-
φθεὶς οὐδέπω μὲν καὶ νῦν τὸ ἐπιβάλλον αὐτῷ μέρος τῶν
χρεῶν διαλέλυμαι· λελειτούργηκα δὲ ὑμῖν τὰς μεγίστας λει-
τουργίας καὶ οὐδεὶς ἐμοῦ πλείους τῶν ἐν τῇ πόλει. πλουσιω-
τέρους δὲ ἐμοῦ πολλοὺς ὄντας ἐπίστασθε καὶ αὐτοί. τί οὖν 215 R II
ἐστιν, ἐφ' ὅτῳ ἐμοὶ ὀργίζεσθε καὶ ἄτιμον ἐξ ἁπάντων ἐμὲ
καὶ τὸν δεῖνα προβέβλησθε καὶ λίθους καὶ πῦρ ἐφ' ἡμᾶς φέ-
ρετε; καὶ μηδεὶς ὑπὲρ ἐκείνου με φῇ λέγειν. ἴσως μὲν γὰρ

6. ἀνάλωσεν BM, ἀνήλωσεν reliq. ‖ 8. ἔχειν λοιπὸν. ita distinxi cum Pflugkio. ἔχειν, λοιπὸν reliq. — 4, 1. καὶ τοίνυν. καίτοι οὐκ Casaub. r, καίτοι Reisk. ‖ αὐτόν. αὑτὸν M. ‖ 6. ἡμεῖς. ὑμεῖς M. ‖ 7. ἀλλά τοι BM. Reisk. (idem ἀλλὰ γάρ), ἀλλά τι reliq. ‖ ἐκείνους. ἐκεῖνον M. — 5, 1. δὲ καί. δὴ καὶ M. ‖ τοὐμὸν M, τὸ ἡμῶν Pflugk. p. 9 (idem τὸ ἐμὸν), τὸ ὑμῶν reliq. ‖ ἀγνωμόνως M. Pflugk. l. l., ἀγνωμόνως ᾖ reliqui, unde Reiskius ἄγνωμόν πως ᾖ. ‖ 2. ὁ om. M. ‖ κατέλιπε Reisk., ἀπέλιπε reliq. ‖ 3. μικράν. σμικρὰν B. ‖ μεῖον M. Pflugk., μειόνων reliqui, μείω Reiskius. ‖ 4. μυριάδες. μυριάδων Reiskius (aut supra μείους). ‖ 5. πολὺ M, πολλῷ r, πολλὰ B. vm. ‖ 7. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. — 6, 1. δὲ τοῖς. τοῖς in M a corr. add. ‖ ἀποληφθεὶς Reisk., ἀπολιφθεὶς M, ἀπολειφθεὶς reliq. ‖ 2. αὐτῷ. αὑτῷ M. ‖ 6. ὅτῳ. ᾧ τῷ M. ‖ ὀργίζεσθε. ὀργίζεσθαι M. ‖ 7. προβέβλησθε. προβέβλησθαι M.

Digitized by Google

ἐπ' οὐδένα οὐδὲ τῶν ἀδικούντων οὕτως ἔδει παροξύνεσθαι·
7 πλὴν ἔμοιγε ἀπόχρη τὰ κατ' ἐμαυτόν. καὶ σκοπεῖτε καὶ τὰ ἄλλα, ὁποῖός εἰμι πολίτης ἐγὼ πρὸς ὅντινα βούλεσθε παρα- 520 M.
βάλλοντες τούτων, οὓς οὐ κατακαίετε. ἔστι μὲν γὰρ χωρία μοι καὶ πάντα ταῦτα ἐν τῇ ὑμετέρᾳ γῇ· τῶν δὲ ἐμοὶ γειτνιώντων οὐδὲν πώποτε οὐδεὶς οὔτε πλούσιος οὔτε πένης· πολλοὶ δὲ καὶ τῶν τοιούτων μοι γειτνιῶσιν· ᾐτιάσατο ἐμὲ ὡς ἀφαιρούμενός τινος ἢ ἐκβαλλόμενος οὔτε δικαίως οὔτε ἀδίκως. εἰμὶ δὲ αὐτὸς οὔτε ὑπέρδεινος εἰπεῖν οὔτε ἴσως ἁπάντων ὕστα-
8 τος ἐν τῷ λέγειν. ἔστιν οὖν ὅντινα ἐν τῷ λόγῳ ἐλύπησα πρᾶγμα ἐπαγαγών τινι τῶν ἀπραγμόνων ἢ κατασκευάσας ἐπήρειαν; ἢ περὶ τῆς οὐσίας ἐποίησα κινδυνεῦσαί τινα ὡς Καίσαρι προσηκούσης; ἢ ἐν συνηγορίᾳ προὔδωκα; καὶ μὴν τῆς γε νῦν ἀπορίας οὐδεὶς μᾶλλον ἐμοῦ ἀναίτιος. πότερον γὰρ σῖτον ἁπάντων πλεῖστον γεωργῶν κατακέκλεικα τοῦτον αὔξων τὴν τιμήν; ἀλλ' ἐπίστασθε αὐτοὶ τὴν δύναμιν τῶν ἐμῶν χωρίων, ὅτι σπάνιον εἴ ποτε ἀπεδόμην σῖτον, καὶ τοῦθ' 216 R II.
ὅταν ὑπερβάλῃ τῷ πλήθει. ἐν δὲ τοῖς τοιούτοις ἔτεσιν οὐδὲ τὸν ἀρκοῦντα ἔχω, ἀλλ' ἔστι μοι ἡ πᾶσα ἐπικαρπία ἐξ οἴνου καὶ βοσκημάτων. ἀλλ' ἀργύριον δανείζων οὐ βούλομαι παρέχειν εἰς τὴν τοῦ σίτου ὠνήν. οὐκοῦν οὐδὲ περὶ τούτου οὐδέν με δεῖ λέγειν. οἴδατε γὰρ ὑμεῖς καὶ τοὺς δανείζοντας ἐν τῇ
9 πόλει καὶ τοὺς δανειζομένους. τί οὖν ἐστιν, ὅ γε ἐγὼ ποιῆσαι δυνάμενος, ὥστε ἀπαλλάξαι ὑμᾶς τῆς ἀπορίας, οὐ βούλομαι, ἢ διότι πρὸς ἐμὲ οὕτως ἔχετε; ὅτι νὴ Δία τὰς στοὰς ἐπὶ τῶν θερμῶν ᾠκοδόμηκα καὶ ἐργαστήρια· τοῦτο γάρ ἐστιν, ὅ φασιν ἔνιοι ἀδικεῖσθαι ὑπ' ἐμοῦ τὴν πόλιν. καὶ τίνα πώποτε

9. οὐδένα. οὐδένα ἄλλον Reisk. ‖ 10. ἀπόχρη τὰ κατ' ἐμαυτόν Casaub., χρὴ κατ' ἐμαυτόν B, αὐτὸ χρὴ κατ' ἐμαυτόν reliqui. ἀπόχρη ἀπολογεῖσθαι κατ' ἐμαυτόν Reisk. — 7, 2. βούλεσθε. βούλεσθαι M. ‖ παραβάλλοντες τούτων r, παραβαλλοιτ' ἐνοσούντων M, παραβάλοιθ' ἑνὸς τούτων B. vm, παραβάλλοντα ἑνὸς τούτων var. l. v, παραβάλλοντες ἡμᾶς (vel παραβληθεὶς) τούτων Selden. ‖ 3. κατακαίετε. κατακάετε BM. ‖ 5. οὐδὲν πώποτε. οὐδεπώποτε r. ‖ 8. οὔτε ὑπέρδεινος. sic dedi. οὐδὲ ὑπέρδεινος reliq. ‖ οὔτε ἴσως. sic dedi. οὐδὲ ἴσως reliq. — 8, 2. ἢ om. M. ‖ 3. ἐπήρειαν. ἐπηρίαν M. ‖ 6. τοῦτον. τούτου Morell. ‖ 7. αὔξων. τοῦ συναύξειν Reisk. ‖ τὴν τιμήν Reisk., τὴν om. reliq. ‖ ἐπίστασθε. ἐπίστασθαι M. ‖ 8. τοῦθ' τοῦτο B. ‖ 9. τοιούτοις r ex Interpr., τοσούτοις reliq. ‖ 11. δανείζων. δανίζων M. ‖ 12. οὐκοῦν. malim οὔκουν. ‖ 13. δανείζοντας. δανίζοντας M. — 9, 3. διότι. διὰ τί Geel. ‖ ἔχετε. ἔχεται M.

ἢ ὑμεῖς ἢ ἄλλος τις ἀνθρώπων ἐμέμψατο ἐν ἀγρῷ αὑτοῦ
οἰκίαν οἰκοδομοῦντα; ἢ παρὰ τοῦθ' ὁ σῖτος πλεόνός ἐστι;
καίτοι πέντε μυριάδων ἐώνημαι τὸ χωρίον, τῷ παντὶ πλέονος
τιμῆς τῆς ἀξίας. ἀλλ' ἐγὼ αἰσχύνομαι νὴ τὸν Δία καὶ τοὺς
θεούς, εἴ τις τῶν πολιτῶν· οὐ γάρ δή γε ἡ πόλις· οὕτω μο-
χθηρός, ὥστε λυπεῖσθαι καὶ φθονεῖν, ἐάν τινα ἴδῃ στοὰν
10 ἢ ἐργαστήριον ᾠκοδομηκότα. καὶ μὴν τό γε πρᾶγμα, ἐφ' ᾧ 521 M.
παρωξύνθητε, δεῖται μέν τινος ἐπιμελείας ἀληθῶς· οὐ μέντοι
ἀνήκεστόν ἐστιν οὐδὲ ὥστε τοιαῦτα ποιεῖν. ἡ γὰρ τιμὴ τοῦ 322 R.
σίτου τῆς μὲν συνηθείας παρ' ἡμῖν πλείων γέγονεν, οὐ μὴν
ὥστε ἀπειπεῖν. ἀλλ' εἰσὶ πόλεις, ἐν αἷς ἀεὶ τοσούτου ἐστίν,
ὅταν ἄριστα ἔχῃ. πάλιν αὖ θορυβεῖτε, ὥσπερ ἐμοῦ λέγοντος,
ὅτι καὶ παρ' ὑμῖν αὐτὸν τοσούτου προσήκει εἶναι καὶ μηδέ-
ποτε ἥττονος. ἐγὼ δέ φημι δεῖν προσέχειν μέν, ὅπως ἐλάτ-
τονος ἔσται, μὴ μέντοι πικρῶς οὕτως ἔχειν ἐπὶ τῷ συμβεβη-
κότι μηδὲ ἐξεστάναι· ὥς τά γε γενόμενα νῦν οὐχὶ τοιαῦτά
ἐστιν, οἷα ἐπὶ τοιούτῳ πράγματι· ἀλλ' εἰ τὰ τέκνα ὑμῶν
καὶ τὰς γυναῖκας ἀνῃρήκειμεν, οὐδὲν εἴχετε ποιῆσαι χαλεπώ-
11 τερον. τὸ γὰρ πολίταις ἑαυτῶν ὀργιζομένους· εἰ μὲν ἀδίκως
ἢ δικαίως, ἐῶ· πολίταις δ' οὖν, καὶ τούτοις ἐπιτίμοις καὶ
μηδενὸς χείροσι, μὴ δοῦναι λόγον μηδὲ λαβεῖν, ἀλλ' εὐθὺς
λιθάζειν καὶ κατακαίειν τὰς οἰκίας, ἵνα, εἰ ἐδύνασθε, μετὰ
τῶν παίδων αὐτοὺς καὶ τῶν γυναικῶν συμφλέξητε, τίνων
ἐστὶν ἀνθρώπων; ἐμοὶ μὲν νὴ τὸν Δία καὶ τοὺς θεούς, εἰ καὶ
χαλεπῶς ἀκούσεσθε, οὐ δοκεῖ τὰ τοιαῦτα εἶναι τῶν ἐνδεῶς
πραττόντων οὐδὲ τῶν οὐκ ἐχόντων τὰ ἀναγκαῖα. ἡ γὰρ ἔν-
δεια σωφροσύνην ποιεῖ. καὶ ταῦτα εἰ μὴ δοκεῖτε ὑπὲρ ὑμῶν

6. ἀνθρώπων M. Reisk., ἄνθρωπον reliq. || ἐμέμψατο M. Pflugk., ἐμέμψαντο reliq. || ἐν ἀγρῷ αὐτοῦ οἰκίαν. sic dedi. ἢ ἀγρὸν αὐτοῦ ἢ οἰκίαν reliq. || 7. ἤ. ἢ ὅτι BM (sed ὅτι a corr.). || τοῦθ' ὁ Casaub. r, τούτῳ B. mrg. m, τοῦτο reliq. || πλέονος M, πλείονος Casaub. r, πλείων reliqui, vel πλείονος vel μείων Selden. || 8. πλέονος. πλείονος B. || 10. μοχθηρὸς Casaub. (vel supra πολιτῶν τοιοῦτος). r, μοχθηρὰ reliq. — 10, 2. παρωξύνθητε. παρωξύνθηται M, παροξύνθητε m. || 4. πλείων. πλείω BM. || 10. μηδὲ. sic dedi. μήτε reliq. || τά γε. γε om. M. || 11. οἷα. οἷα εἴωθε (vel προσήκει) γίγνεσθαι Reiskius. frustra. || 12. ἀνῃρήκειμεν BM. Pflugk., ἀνῃρήκαμεν reliq. — 11, 1. πολίταις. πολίτας M. || μέν. γὰρ Reisk. || 3. χείροσι. χεῖρον BM. || ἀλλ'. ἀλλὰ M. || 4. ἐδύνασθε. ἐδύνησθε M. || 6. εἰ καὶ Reisk., καὶ om. reliq. || 7. ἀκούσεσθε. ἀκούσεσθαι M. || 8. τὰ ἀναγκαῖα BM, τἀναγκαῖα Reisk., τά om. reliq. || 9. δοκεῖτε. δοκῆτε B.

12 λέγεσθαι, πλεῖστον ἁμαρτάνετε. εἰ γὰρ τοιοῦτοι ἔσεσθε,
κἂν ὀργισθῆτέ τῳ· πολλὰ δὲ εἰκὸς ὡς ἐν πόλει συμβῆναι καὶ 218 R II.
δίκαια καὶ ἄδικα· τηλικαύτην ἀξιώσετε τιμωρίαν λαμβάνειν,
ὥστ' εὐθὺς μετὰ τῶν παίδων κατακαίειν καί τινας τῶν γυναι-
κῶν, ἀνθρώπων ἐλευθέρων, ἀναγκάζειν ὑμῖν ὁρᾶσθαι περι-
ἐῤῥηγμένας καὶ ἱκετευούσας ὑμᾶς, ὥσπερ ἐν πολέμῳ· τίς
οὕτως ἀνόητος καὶ ἀτυχὴς ἄνθρωπός ἐστιν, ὅστις ἐν τοιαύτῃ
πόλει ζῆν αἱρήσεται μίαν ἡμέραν; πολὺ γὰρ κρεῖττον φυγάδα
εἶναι καὶ παροικεῖν ἐπὶ ξένης ἢ τοιαῦτα πάσχειν. ἐπεὶ καὶ
νῦν ἡ πρόφασις ἡ λεγομένη, δι' ἣν ὑμᾶς ἀποτραπῆναί φασι
τῆς οἰκίας τῆς ἐμῆς, ὑπιδομένους τοῦ στενωποῦ τὸ βάθος,
13 ὁρᾶτε, οἷόν ἐστιν. εἰ γὰρ ἐμὲ τοῦτο ἔσωσε, καιρὸς ἤδη τὸ
λοιπὸν ὡς ἐν στρατοπέδῳ τῇ πόλει τὰς δυσχωρίας καταλαμ- 522 M.
βάνειν καὶ τὰ ὑψηλὰ ἢ ἀπότομα. καίτοι μὰ τοὺς θεοὺς οὐδὲ
ἐν τοῖς στρατοπέδοις ζητοῦσιν ἄλλος ἄλλου ἀσφαλέστερον
σκηνοῦν, ἀλλὰ πρὸς τοὺς πολεμίους αὐτοῖς ἡ φυλακή ἐστιν.
τῇ μὲν οὖν τύχῃ χάρις, δι' ἣν ἀπετράπητε εἴτε τοῦτο νοήσαν-
τες εἴτε ἄλλο ὁτιοῦν· οὐ μέντοι ἀληθῶς ὑπείδεσθε. οὐ γὰρ
ἂν ἔγωγε ἠμυνάμην ὑμᾶς, ἀλλὰ τούτου γε ἕνεκα πολλὴ ὑμῖν
ἀσφάλειά ἐστιν, ὅταν βούλησθε κατακαίειν τὴν οἰκίαν. ἤρκει 219 R II.
14 δέ μοι τὴν γυναῖκα καὶ τὸ παιδίον λαβόντα ἀποχωρεῖν. καὶ
μηδεὶς νομίσῃ, ὡς ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀγανακτῶν ταῦτα εἴρηκα
μᾶλλον ἢ ὑπὲρ ὑμῶν δεδιὼς, μή ποτε ἄρα διαβληθῆτε ὡς βί-
αιοι καὶ παράνομοι. οὐ γὰρ λανθάνει τῶν ἐν ταῖς πόλεσιν
οὐδὲν τοὺς ἡγεμόνας· λέγω δὲ τοὺς μείζους ἡγεμόνας τῶν ἐν-
θάδε· ἀλλ' ὥσπερ τῶν παιδίων τῶν ἀτακτοτέρων οἴκοι πρὸς
τοὺς διδασκάλους κατηγοροῦσιν οἱ προσήκοντες, οὑτωσὶ καὶ
τὰ τῶν δήμων ἁμαρτήματα πρὸς ἐκείνους ἀπαγγέλλεται.

10. λέγεσθαι. λέγεσθε B. — 12, 4. κατακαίειν. κατακάειν BM. ‖ καί τινας Selden., τινὰ καὶ reliq. ‖ τῶν γυναικῶν. τὰς γυναῖκας Geelius, qui in antecedentibus vulgatam servat. Pflugkius: καὶ τῶν γυναικῶν ἀνθρώπους ἐλευθέρους (num ἐλευθέρας?). ‖ 5. ἀναγκάζειν. καὶ ταύτας ἀναγκάζειν Reisk. ‖ 8. μίαν ἡμέραν BM. Casaub., καὶ μίαν Reisk., μίαν reliq. ‖ 10. ἡ λεγομένη. ἐλάττομεν ἢ M. ‖ ἀποτραπῆναί B. r, ἀποτροπῆναι reliq. ‖ 11. ὑπιδομένους B. Reisk., ἐπιδομένους M, ὑπειδομένους reliq. — 13, 1. ἤδη τὸ λοιπὸν ὡς ἐν στρατοπέδῳ τῇ πόλει BM, ἤδη ὡς ἐν στρατοπέδῳ τὸ λοιπὸν τῇ πόλει reliq. ‖ 3. μὰ τοὺς M. var. l. v. r, μετὰ B. vm. ‖ 7. ὑπείδεσθε. ὑπίδεσθε BM. ‖ 9. βούλησθε B, βούλεσθαι M, βούλεσθε reliq. ‖ ἤρκει. εἴρκει M. — 14, 3. δεδιώς. δεδειὼς B. ‖ 8. ἀπαγγέλλεται. ἀπαγγέλετε B.

ταῦτα μὲν οὖν οὔτε καλῶς οὔτε συμφερόντως αὐτοῖς πράττοιτε ἄν. τὸ δὲ ἀξιοῦν ἐπιμελεῖσθαι τῆς ἀγορᾶς καὶ τοὺς δυναμένους χειροτονεῖν καὶ τοὺς μὴ λελειτουργηκότας, εἰ δὲ μή γε, οὓς ἂν βούλησθε, σωφρονούντων τε ἀνθρώπων ἐστὶ καὶ πρός γε ταῦτα οὐδεὶς ὑμῖν ἐναντιώσεται.

ΛΟΓΟΣ μζ.

ΔΗΜΗΓΟΡΙΑ ΕΝ ΤΗι ΠΑΤΡΙΔΙ.

1 *Πρῶτον μέν, ὦ ἄνδρες, ὅταν ἀναστῶ, μὴ πάντως ἡγεῖσθε λόγων ἀκούσεσθαι θαυμαστῶν μηδὲ ἐπισήμων· λέγω δὲ οἷον πρὸς ἡδονήν τινα ἢ κάλλος ἢ σοφίαν εἰργασμένων. ἴσως μὲν γὰρ οὐδὲ ἄλλως ἦμεν ἱκανοὶ πρὸς τὸ τοιοῦτον, ἀλλὰ τύχῃ τινὶ τὸ πλῆθος καὶ τὰς πόλεις πάσας ἐξηπατήσαμεν· εἰ δ' οὖν, ἀλλὰ νῦν πολλὴν ἀπορίαν καὶ λήθην εἰκὸς ἡμῖν γεγονέναι τῶν τοιούτων λόγων. ὁποῖα γὰρ ἂν πράττῃ τις καὶ ἐν ὁποίοις ἂν ᾖ πράγμασιν, ἀνάγκη καὶ τοὺς λόγους εἶναι παραπλησίους. ἡμεῖς δὲ πολὺν ἤδη χρόνον σμικρὰ καὶ ἄδοξα πράττομεν. καὶ τοῦτο ἴσως ἀναγκαῖόν ἐστιν. ὡς ἐγὼ πρότερον μὲν ἐθαύμαζον τῶν φιλοσόφων τοὺς καταλιπόντας μὲν τὰς αὑτῶν πατρίδας οὐδενὸς ἀναγκάζοντος, παρ' ἄλλοις δὲ ζῆν ἑλομένους, καὶ ταῦτα ἀποφαινομένους αὐτούς, ὅτι δεῖ τὴν πατρίδα τιμᾶν καὶ περὶ πλείστου ποιεῖσθαι καὶ ὅτι πράττειν*

[illegible] R · [illegible] M

2 (section 2 begins at: *τομεν. καὶ τοῦτο ἴσως ἀναγκαῖόν ἐστιν.*)

9. *αὐτοῖς. αὐτοῖς* M. ‖ *πράττοιτε ἄν. τὸ δὲ.* sic dedi. *πράττετε. ἀλλὰ τό γε* Pflugk. p. 25, *πράττετε ἄν. τὸ δὲ* reliq. ‖ 10. *καὶ τοὺς δυναμένους. τοὺς δυναμένους καὶ* (deleto *καὶ* ante v. *τοὺς μὴ*) Geel. ‖ 12. *βούλησθε* B, *βούλεσθε* reliq. ‖ *τε* r, *δὲ* reliq.

Orat. XLVII. Collati sunt BM. — 1, 1. *ἡγεῖσθε. ἡγείσθω* M. ‖ 3. *κάλλος. βάλλος* M. ‖ 6. *νῦν. νῦν γε* Reisk. ‖ 7. *ὁποίοις ἂν ᾖ. ὁποίοις ἀνὴρ* B, *ὁπίοις ἂν ἦν* M. ‖ 10. *τοῦτο ἴσως* Obs. p. 55, *τούτοις ὡς* reliqui, unde *τοιαῦθ' οἷα* Casaub., *καὶ τούτοις οἷς* vel *καὶ οὕτως ὡς* Selden., *τούτοις λέγειν ὁμοίως* Reisk. — 2, 4. *ἑλομένους. ἑλομένοις* BM.

τὰ κοινὰ καὶ πολιτεύεσθαι τῷ ἀνθρώπῳ κατὰ φύσιν ἐστίν.
λέγω δὲ τὸν Ζήνωνα, τὸν Χρύσιππον, τὸν Κλεάνθην, ὧν
οὐδεὶς οἴκοι ἔμεινε ταῦτα λεγόντων. οὐκ ἄρα ἐφρόνουν, ἃ 221 R II.
3 ἔλεγον; πάντων μάλιστα, ὡς ἐμοὶ δοκοῦσιν. ἀλλὰ καλὸν μὲν
ἡγοῦντο καὶ τῷ ὄντι μακάριον καὶ πρέπον ἀνδράσι σοφοῖς
τὸ πρᾶγμα, τῆς ἑαυτοῦ πόλεως ἐπιμέλειαν· τὰς δὲ ἐνούσας
δυσκολίας καὶ τὰς χαλεπότητας ὑφεωρῶντο καὶ τῶν μὲν
ἄγνοιαν, τῶν δὲ φθόνον, τῶν δὲ ἀγνωμοσύνην, εἰ μή τις σο-
φὸς ὢν ἅμα δύναιτο τὴν τοῦ Ἡρακλέους ἔχειν ἰσχὺν καὶ δύ-
4 ναμιν. τοῦτο δὲ ἀδύνατον ἡγοῦντο. καίτοι τὸν Ἡρακλέα
αὐτὸν ἀκούομεν τῆς μὲν Αἰγύπτου κρατῆσαι καὶ τῆς Λιβύης,
ἔτι δὲ τῶν περὶ τὸν Εὔξεινον Πόντον οἰκούντων καὶ Θρᾳκῶν
καὶ Σκυθῶν καὶ τὸ Ἴλιον ἑλεῖν μικρῷ στόλῳ παραβαλόντα
καὶ πάντων ἄρξαντα τῶν ἐθνῶν τούτων καταστῆσαι βασιλέα
αὐτόν. ὁπότε δὲ εἰς Ἄργος ἀφίκοιτο, τὴν Αὐγείου κόπρον
μεταφέρειν ἢ τοὺς ὄφεις θηρᾶν ἢ τὰς ὄρνιθας διώκειν, ἵνα
μὴ ἐνοχλῶσι τοὺς ἐν Στυμφάλῳ γεωργούς, ἢ ἄλλα τοιαῦτα
ποιεῖν φαῦλα καὶ ταπεινὰ προσταττόμενον· τελευταῖον δὲ εἰς
ᾅδου φασὶ πεμφθῆναι αὐτόν· οὕτω σφόδρα ἐπιεικῶς αὐτῷ
χρῆσθαι τὸν πολίτην. τοὺς δὲ Ἀργείους καὶ Θηβαίους ἐπαι- 222 R II.
νεῖν μὲν καὶ ἀγαπᾶν τὸν Ἡρακλέα, περιορᾶν δὲ ὑβριζόμενον.
5 ἅ μοι δοκεῖ διανοηθεὶς Ὅμηρος οὐ μόνον ποιητὴς ἀγαθὸς ὤν,
ἀλλὰ καὶ τῷ τρόπῳ φιλόσοφος, τὸν ἅπαντα ἀποδημεῖν χρό- 524 M.
νον, ὥστε μηδένα γνῶναι τὴν πατρίδα αὐτοῦ, καὶ μᾶλλον,
ὡς ἔοικεν, αἱρεῖσθαι πέντε καὶ εἴκοσι δραχμὰς προσαιτῶν
λαμβάνειν, καὶ ταῦτα ὡς μαινόμενος, ἢ οἴκοι διάγειν. τοι-
γαροῦν ἅπαντες ὕστερον ἠμφεσβήτησαν ὑπὲρ αὐτοῦ. καὶ τὸ
μὲν ἐκείνου ὄνομα παρὰ πᾶσιν Ἕλλησι καὶ βαρβάροις γιγνώ-
σκεται, τὴν δὲ Ἴον οὐδὲ ἀκηκόασιν οἱ πολλοὶ σχεδὸν, εἴπερ
ἦν Ἰήτης, καὶ τῆς Χίου [πόλεως] οὐ πολύς ἐστι λόγος οὐδὲ

8. λεγόντων. malim λέγων. ‖ ἄρα M, ἆρα reliq. — 3, 3. ἐπιμέλειαν Casaub. r, ἐπιμέλεια reliq. ‖ 5. εἰ μή Casaub. r, εἰ δέ reliq. — 4, 4. μικρῷ. σμικρῷ B. ‖ παραβαλόντα. παραβάλλοντα M. ‖ 5. καταστῆσαι Reisk., καὶ καταστῆσαι reliq. ‖ 6. αὐτόν. αὐτὸν M, αὐτῶν Seldenus. idem, ut videtur, βασιλέας. ‖ Αὐγείου. αὐγέου B, αὐγαίου M. ‖ 9. προσταττόμενον Casaub. r, προσταττόμενος reliq. ‖ 10. οὕτω. οὕτως M. ‖ ἐπιεικῶς. ἀπηνῶς Geel. — 5, 6. ἠμφισβήτησαν M, ἠμφεσβήτησαν reliq. ‖ ὑπέρ BM, περὶ reliq. ‖ 7. γιγνώσκεται BM, γινώσκεται reliq. ‖ 9. [πόλεως]. τῆς πόλεως BM., suspectum Reiskio.

Κολοφῶνος· καίτοι ποιητὴν οὐ χείρονα Ὁμήρου παρέχεται
τὸν Ἀπόλλωνα. Πυθαγόρας δὲ ἐκ Σάμου μὲν ἔφυγεν ἑκὼν
τυραννουμένης, παρὰ δὲ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, μά-
6 λιστα δὲ οἶμαι περὶ τὴν Ἰταλίαν, ἐτιμᾶτο ὡς θεός. τί οὖν;
πάλαι τις ἤδη κάθηται λέγων· σὺ πρὸς Ὅμηρον καὶ Πυθα-
γόραν καὶ Ζήνωνα παραβάλλεις αὑτόν; μὰ Δί' οὐκ ἔγωγε·
πλὴν ὅτι πᾶσι τοῖς φιλοσόφοις ἔδοξε χαλεπὸς ἐν τῇ πατρίδι
ὁ βίος. ἐπεὶ τί οἴεσθε; οὐκ ἐφίλουν τὰς πατρίδας; ἀλλὰ τὸν 223 R II
Ὅμηρον ὑπὲρ μὲν Ὀδυσσέως ὀδύρεσθαι καὶ φάσκειν αὐτὸν
ἐθέλειν τὸν καπνὸν ἰδόντα τὸν ἐκ τῆς Ἰθάκης παραχρῆμα
ἀποθανεῖν, αὐτὸν δὲ μὴ στέργειν τὴν αὑτοῦ πόλιν, ἀλλ' οὐ
τὸν οἰκεῖον ἔρωτα καὶ τὴν ἐπιθυμίαν ὁμολογεῖν, ἣν εἶχε τῆς
7 πατρίδος, ἐπ' ὀνόματι τοῦ Ὀδυσσέως; ὃς δὲ πάντα τὸν χρό-
νον ἔμεινεν ἐν τῇ πατρίδι πράττων ὅ τι δοκοίη τοῖς πολίταις
καὶ τοῖς νόμοις, εἰ μέν τι μέγα ὤνησε τοὺς Ἀθηναίους, οὐκ
ἔχω εἰπεῖν, τὴν δὲ βλάβην ἐπίσταμαι τὴν γενομένην αὐτοῖς.
ἔτι γὰρ νῦν ὀνειδίζονται περὶ Σωκράτους, ὡς οὔτε δικαίως
οὔτε ὁσίως τῷ ἀνδρὶ προσενεχθέντες, καὶ πάντων αὐτοῖς τῶν
ὕστερον γενομένων κακῶν ταύτην φασὶ συμβῆναι τὴν αἰτίαν.
8 ταῦτα μὲν ἀκηκόατε ἄλλως παρὰ ἀνθρώπου πλάνητος καὶ
ἀδολέσχου. ὃ δ' οὖν ἔφην, παραιτοῦμαι ὑμᾶς μηδένα ἀπαι- 224 R II
τεῖν ἐν τῷ παρόντι παρ' ἐμοῦ λόγον μεγαλόφρονα καὶ σοφόν,
ἀλλ' ἰδιωτικὸν καὶ φαῦλον, ὁποῖα καὶ τὰ πράγματά ἐστιν.
εὖ δ' ἴστε, ὥσπερ προειλόμην σιγᾶν, ἀφ' οὗ νῦν ἧκον, οὐκ 525 M.
ἂν ἐφθεγξάμην, εἰ μή τι ἀναγκαῖον συμβέβηκει. ἐγὼ γὰρ
ἡψάμην πράγματος, ὃ μοι πολλῶν τῷ ὄντι πραγμάτων αἴτιον
γέγονε καὶ θαυμαστῆς ἀηδίας. ὥστε πρότερον μὲν οὐκ ᾔδειν
τὸ τῶν Θετταλῶν τί ποτέ ἐστι τὸ ἐφ' αὑτὰς τὴν σελήνην
9 κατάγειν, νῦν δὲ ἐπιμελῶς ἔγνωκα. καὶ τὸν Ἀριστοτέλην
ἐνίοτε ἐμακάριζον, ὅστις Σταγειρίτης ὤν· τὰ δὲ Στάγειρα

10. καίτοι ποιητὴν B. Casaub. r, καίτοι ποιηταὶ var. l. v, καὶ τὸν ποιητὴν reliq. ‖ παρέχεται. παρίσχηται Reisk. ‖ 13. περὶ. παρὰ τοῖς περὶ vel τοῖς περὶ Reisk. — 6, 3. αὐτόν. αὑτὸν M. ‖ 5. οὐκ ἐφίλουν. malim οὐχὶ φιλεῖν. ‖ 8. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ ἀλλ' οὐ M. r ex Interpr., ἀλλὰ reliq. — 7, 5. γὰρ νῦν BM, νῦν om. reliq. ‖ 7. φασὶ BM. Reisk., φοβερὰν v, φασὶ φοβερὰν m, φασὶ [φοβερὰν] r. — 8, 1. ταῦτα. ἀλλὰ ταῦτα Reisk. ‖ 2. ἔφην M. Casaub. r, ἔφη reliq. ‖ 4. ἀλλ' M, ἀλλὰ reliq. ‖ 5. δ' ἴστε. δὲ ἴστε M, δ' ἴστε, ὅτι Reisk. ‖ σιγᾶν. σειγᾶν M. ‖ 6. συμβεβήκει. sic dedi. συμβέβηκεν reliq.

*κώμη τῆς Ὀλυνθίας ἦν· ἁλούσης δὲ Ὀλύνθου συγγενόμενος
Ἀλεξάνδρῳ καὶ Φιλίππῳ διεπράξατο οἰκισθῆναι πάλιν τὸ
χωρίον, καὶ μόνον αὐτὸν ἔφασκον εὐτυχῆσαι τὴν εὐτυχίαν
ταύτην, ὥστε τῆς πατρίδος οἰκιστὴν γενέσθαι. μεταξὺ δὲ
πρῴην ἐνέτυχον ἐπιστολῇ τινι, ἐν ᾗ ἐστι μετανοῶν καὶ ὀδυρό-
μενος καὶ λέγων, ὅτι τούτων τινὲς καὶ τὸν βασιλέα καὶ τοὺς
ἀφικνουμένους σατράπας διαφθείρουσιν, ὥστε μηδὲν ἀγαθὸν
γενέσθαι μηδὲ ὅλως κατοικισθῆναι τὴν πόλιν. ὅπου δὲ τὸ* 225 R II.
10 *κατοικισθῆναι τοῖς ἐκπεσοῦσι καὶ τοῦτο ἐλύπει τινάς, εἰ φυ-
γάδες ὄντες καὶ ἀπόλιδες πατρίδα ἕξουσι καὶ πολιτεύσονται
κατὰ νόμους ἐν ἐλευθερίᾳ, μᾶλλον δ' ᾑροῦντο διῳκίσθαι κατὰ
κώμας τοῖς βαρβάροις ὁμοίως ἢ σχῆμα πόλεως καὶ ὄνομα ἔχειν·
ἦπου προσήκει θαυμάζειν, καὶ εἰ ἄλλο τι λυπεῖ τινας; ὃ δ'
οὖν Ἀριστοτέλης ἐπιστέλλων γέγραφεν ὡς τοῖς πράγμασιν ἀπει-
ρηκώς· φησὶ γὰρ αἴρειν τοὺς δακτύλους [τοὺς Ἰδαίους]· κἀμὲ
νομίζετε καὶ εἴ τινές εἰσιν ἕτεροι.*
11 *καὶ γὰρ δὴ πλεῖον ἴσχυσεν
ἡ τῶν ἀνθρώπων ἐκείνων κακοδαιμονία τῆς τοῦ Ἀριστοτέλους* 226 R II.
*σπουδῆς, ὥστε οὐκ εἴασαν προβῆναι τὸ κωμίον εἰς ἀξίωμα
πόλεως καὶ νῦν ἔτι ἀοίκητόν ἐστιν. ἀλλ' ὅπως μὴ καὶ τοῦτό
μου διαβάλῃ τις, ὡς ἐγὼ Στάγειρα καὶ κώμην καλῶ τὴν πό-
λιν ταύτην· δύναμαι γὰρ ὀμόσας εἰπεῖν μηδεμίαν ἄλλην πόλιν*

9, 3. *ἁλούσης δέ.* *δὲ* delebat Reiskius. ‖ 7. *ᾗ.* *ᾗ δῆλός* vel *ᾗ φανερός* Reisk. ‖ *ὀδυρόμενος.* *ὀδυνόμενος* M, unde *ὀδυνώμενος* Geel. ‖ 8. *τούτων* refer ad *τὸ χωρίον.* — 10, 2. *τοῖς ἐκπεσοῦσι.* post hoc v. *οὐκ ἀρέσκει* supplet Casaubonus, *ἀνιαρὸν ἦν* ante *τοῖς* Reiskius, *φθονεῖται* Wyttenb. ad Plut. Moral. p. 387 Oxon. ‖ *ἐλύπει* Reisk., *λυπεῖ* M. mrg. m. r, *λυπεῖν* vm. ‖ 4. *ἐν ἐλευθερίᾳ.* *οἱ ἐν ἐλευθερίᾳ* Casaub., *ἐν ἐλευθερίᾳ δὲ* Reiskius. ‖ *μᾶλλον δ'* Obs. p. 55, *καὶ μὴ μᾶλλον* Wyttenb. l. l. ‖ *ᾑροῦντο* B. Wyttenb., *ἡγοῦντο καὶ* M, *ᾑροῦντο καὶ* reliqui, unde *ᾑροῦντο ζῆν* (vel *διάγειν*) *καὶ* Casaubonus. locum ita constituit Seldenus: *ἐν ἐλευθερίᾳ· δουλεύειν δὲ μᾶλλον ἡγοῦντο καί.* Pflugkius: *μηδὲν ἀγαθὸν γενέσθαι, μηδ' ὅλως τὸ κατοικισθῆναι τοῖς ἐκπεσοῦσι τὴν πόλιν. ὅπου δὲ καὶ τοῦτο ἐλύπει τινὰς — ἐν ἐλευθερίᾳ, μᾶλλον δ' ᾑροῦντο* cett. at credibilius est post *ἐκπεσοῦσι* quaedam excidisse. ‖ *διῳκίσθαι* Reisk., *διοικεῖσθαι* reliq. ‖ 6. *προσήκει* Selden., *προσῆκε* reliq. ‖ *ἄλλο τι.* *ἄλλοτε* v. ‖ *ὃ δ' οὖν* Obs. p. 55, *ὅ τ' οὖν* Reisk., *ὁ δ' οὖν* reliq. ‖ 8. *φησί.* *φασὶ* B. ‖ *τοὺς Δακτύλους τοὺς Ἰδαίους* BM. mrg. m, *τοὺς Ἰδαίους δακτύλους* reliqui. malim *τοὺς δακτύλους* (om. *τοὺς Ἰδαίους*). ‖ 9. *νομίζετε.* *νομίζετε καὶ τοὺς ἰδαίους δακτύλους αἴρειν* M. ‖ *ἕτεροι.* *ἕτεροι τοιοῦτοι* Reisk. (vel *ὅμοιοι*). — 11, 4. *τοῦτό μου.* *τοῦ τόμου* v, *τοῦ νόμου* m, *τοὔνομα* Selden. ‖ 5. *διαβάλῃ.* *διαβάλλῃ* B. ‖ *κώμην* BM, *κωμίον* Reisk., *πόλιν* reliqui, unde *ἄπολιν* vel *οὐ πόλιν* Seldenus.

ἐμοὶ κρείττω πεφηνέναι, κἂν εἰ μόνον εἶχε τὸ χαλκεῖον τὸ τοῦ
δεῖνος, ὃ ἐγὼ κατέλυσα ὁ τὰς πόλεις πορθῶν καὶ τὰς ἀκρο-
12 πόλεις. ἵνα δ' οὖν μὴ ἐπιλάθωμαι, οὗ χάριν ἀνέστην, ἁμάρ- 526 M
τημα ἴσως ἥμαρτον ἀνθρώπινον. νῦν οὖν τίνα με βούλεσθε
ὑποσχεῖν ζημίαν ἀντὶ τούτου τοῦ ἁμαρτήματος ἢ τί ποιεῖν;
ἀξιῶ συμβούλους ὑμᾶς γενέσθαι· πότερον καθελεῖν με τὸ
ἔργον ταῖς ἐμαυτοῦ δαπάναις τὸ γεγονὸς καὶ ποιῆσαι πάντα,
ὁποῖα ἦν πρότερον; ἀλλὰ ἴσως οὐ δυνήσομαι. ἢ τί πρὸς
13 θεῶν; εἴπατέ μοι. ἐγὼ μὲν γὰρ ᾤμην ὁρῶν τὰ τοιαῦτα πό-
λεις ἄλλας φιλοτιμουμένας· οὐ μόνον τὰς κατὰ τὴν Ἀσίαν
λέγω καὶ Συρίαν καὶ Κιλικίαν, ἀλλὰ ταύτας τὰς ἀστυ-
γείτονας καὶ πλησίον, τὴν τῶν Νικομηδέων, τὴν τῶν Νι-
καέων, τοὺς Καισαρεῖς τούτους, εὐγενεῖς μὲν ἀνθρώπους
καὶ σφόδρα Ἕλληνας, πολὺ δὲ μικροτέραν τῆς ἡμετέρας οἰ-
κοῦντας πόλιν· καὶ τοὺς πολιτευομένους παρ' ἑκάστοις, ἐὰν 221 R II
καὶ περὶ τῶν ἄλλων διαφέρωνται, τά γε τοιαῦτα ὁμοφρο-
νοῦντας, καὶ τὸν αὐτοκράτορα τοιαῦτα ἐπιστέλλοντα τύχῃ
τινὶ, ὅτι βούλεται πάντα τρόπον αὔξεσθαι τὴν πόλιν ὑμῶν.
ἐπιτρέψατε δὲ ἀναγνῶναι τὴν ἐπιστολὴν, ἐπειδὴ τὴν τοῦ
14 Ἀριστοτέλους μακρὸν ἦν καὶ περίεργον. — ᾤμην καὶ παρ'
ὑμῖν ταῦτα ἔσεσθαι καὶ μηδένα λυπήσεσθαι τῆς πόλεως
κατασκευαζομένης. καὶ τοῦτό γε ἀπέβη τοιοῦτον. καὶ γὰρ
ἔδοξεν ὑμῖν ταῦτα καὶ πολλὰ καὶ πολλάκις συνεισεφέρετε
αὐτοὶ καὶ προεθυμεῖσθε. τί οὖν βούλεσθε; ἐγὼ γὰρ ὄμ-
νυμι τοὺς θεοὺς ὑμῖν ἅπαντας· ἦ μὴν ἀντὶ τοῦ λυπεῖν ὑμᾶς
ἤ τινας ὑμῶν ἢ δοκεῖν βαρὺς οὐκ ἂν ἑλοίμην ἴδιά μοι γε-
νέσθαι τὰ Δαρείου βασίλεια ἢ τὰ Κροίσου ἢ τὴν οἰκίαν
τὴν πατρῴαν τὴν ἐμὴν χρυσῆν τῷ ὄντι, ἀλλὰ μὴ ὥσπερ ὀνό-
15 ματι μόνον τὴν τοῦ Νέρωνος καλοῦσιν. οὐδὲ γὰρ ὄφελος 222 R II

12, 1. ἀνέστην. ἄνεστιν M. — 13, 3. ταύτας. καὶ ταύτας Reisk. ‖ 6. μικροτέραν. πικροτέραν M, σμικροτέραν B. ‖ τῆς ἡμετέρας BM, om. reliq. ‖ 7. ἐὰν καὶ M, ἐὰν καὶ εἰ v, ἐὰν καὶ [εἰ] r, ἐᾶν· καὶ εἰ B. m. ‖ 8. τῶν. τινων Reisk. ‖ διαφέρωνται. sic dedi. διαφέρονται reliq. — 14, 2. λυπήσεσθαι. λυπηθήσεσθαι Reisk. ‖ 4. συνεισεφέρετε M. r, συνεισφέρετε B. vm. ‖ 5. προεθυμεῖσθε. προθυμεῖσθε B. ‖ 8. τὰ Δαρείου. τὰ om. M. ‖ βασίλεια Reisk., βασιλέως reliq. ‖ Κροίσου. χρύσου M. ‖ 9. πατρῴαν B, πατρῷαν M. mrg. m, πρωτέραν v, προτέραν reliq. ‖ μὴ M. Casaub. r, μὴν B. vm. ‖ ὥσπερ ὀνόματι μόνον. ὀνόματι μόνον, ὥσπερ Reiskius haud ignarus, vulgatam ferri posse.

οὐδὲν οἰκίας χρυσῆς, οὐ μᾶλλον ἢ χύτρας χρυσῆς ἢ τῆς πλα-
τάνου τῆς ἐν Πέρσαις. πόλεως δὲ ὄφελος [οὐδὲν] εὐπρεποῦς
γιγνομένης, ἀέρα πλείονα λαμβανούσης δι' εὐρυχωρίαν, τοῦ
μὲν θέρους σκιάν, τοῦ δὲ χειμῶνος ἥλιον ὑπὸ στέγῃ, ἀντὶ
φαύλων καὶ ταπεινῶν ἐρειπίων οἰκήματα ὑψηλὰ καὶ μεγάλης
πόλεως ἄξια· ἵνα, ὥσπερ ἐπὶ τῶν εὐγενῶν πώλων καὶ τῶν
σκυλάκων, τὸ ἐσόμενον μέγεθος εἰκάζουσιν οἱ ὁρῶντες, ἐὰν ᾖ 521 M.
τὰ κῶλα ὑψηλὰ καὶ μεγάλα, ἐὰν δὲ ταπεινὰ καὶ ἀναυξῆ,
φασὶν ἀεί ποτε μένειν τοιαῦτα, οὕτως ἔχῃ καὶ περὶ τὴν ἡμε-
16 τέραν πόλιν. ἀλλὰ τί μοι περὶ τούτων νῦν λέγειν; καλῶς μέ
τις ἀηδόνα ἔφη τῶν σοφιστῶν λοιδορῆσαι βουλόμενος· διὰ 229 R II.
τοῦτο, ἐμοὶ δοκεῖν, ὅτι καὶ τὴν ἀηδόνα γλώσσαργόν φασιν
οἱ ποιηταί. ἴσως δ' ἂν ὅμοιος εἴην τοῖς τέττιξι· καὶ γὰρ
ἐκεῖνοι πρὸς τὸν ἥλιον διψῶντες ᾄδουσιν ὑπὸ ἀνοίας, οὐδὲν
ὠφελούμενοι. πλὴν τοσοῦτό γε μόνον οὐκ ἄξιον ἴσως παρα-
λιπεῖν περὶ τῶν μνημάτων καὶ τῶν ἱερῶν, ὅτι τοὺς Ἀντιο-
χέας οὐκ εἰκός ἐστιν οὐδενὸς ἅψασθαι τοιούτου· πολὺ γὰρ
ἐλάττω τόπον ἐποίουν τοῦ παρ' ἡμῖν. ὧν ἡ πόλις ἓξ καὶ
τριάκοντα σταδίων ἐστὶ τὸ μῆκος καὶ στοὰς ἑκατέρωθεν πε-
ποιήκασιν. οὐδὲ τοὺς Ταρσεῖς οὐδὲ νῦν Νικομηδεῖς. οἳ ἐψη- 230 R II.
17 φίσαντο τὰ μνήματα μεταίρειν. ὁ δὲ Μακρῖνος, ὃν εὐεργέτην
ἀνεγράψατε τῆς πόλεως, τὸ Προυσίου βασιλέως μνημεῖον μετ-
ήνεγκεν ἐκ τῆς ἀγορᾶς καὶ τὸν ἀνδριάντα. οὐδεὶς γάρ ἐστι
παρ' ἐκείνοις φιλόπολις οὐδὲ ἀνὴρ ἐπιμελὴς περὶ τοὺς θεούς·
ἀλλὰ παρά γε ἡμῖν ἦσαν πολλοί. πλὴν ταῦτα μέν, ὅπως

15, 3. [οὐδὲν] malim abesse, quam interrogandi signum verbo πόλιν subiici. Reiskius post ὄφελος interponit οἴεσθαι εἶναι μᾶλλον. ‖ 4. δι' Casaub. r, om. reliqui. possit καὶ. ‖ εὐρυχωρίαν. εὐρυχωρίᾳ Seldenus. post hoc v. Reiskius supplebat τῶν ἀγυιῶν καὶ διά. ‖ τοῦ μὲν BM. Reisk., τοῦ μὴν reliq. ‖ 5. ὑπὸ στέγῃ. ὑποστέγη M, ὑπὸ στέγῃ ἐχούσης Reisk. ‖ ἀντί. ἀντὶ δὲ Reisk. ‖ 8. ἐὰν ᾖ B, ἐὰν M. var. l. v, ἐν οἷς reliq. ‖ 10. ἀεὶ om. B. ‖ ἔχῃ M. Reisk., ἔχει reliq. — 16, 1. καλῶς. ὅπου καλῶς Reisk. ‖ 2. τις. τεις M. ‖ 3. φασιν om. M. ‖ 4. εἴην BM, ἂν εἴην reliqui, ἂν εἴην μᾶλλον Reisk. ‖ 7. μνημάτων Selden. ex Interprete (idem ὑποκινουμένων μνημάτων). r, ὑπομνημάτων reliq. ‖ 9. ἐλάττω. πλείω Reisk. ‖ ἐποίουν. ἐποικοῦσιν r. ‖ 11. νῦν. malim οὖν. — 17, 1. Μακρῖνος B. Casaub. r, μακρεῖνος M, Μακαρῖνος vm. ‖ 2. ἀνεγράψατε BM. v, ἀνεγράψατο m, ἀνεγράψαντο r ex Interpr. ‖ τὸ Προυσίου BM (sed τὸ in rasura). Reisk., τοῦ Προυσίου reliqui. τὸ τοῦ Προυσίου Iacobs. Add. p. 19. ‖ βασιλέως. τοῦ βασιλέως M. ‖ 3. ἀνδριάντα. ἀνδρειάντα M. ‖ 4. φιλόπολις. φιλοπόλεις M. ‖ οὐδὲ ἀνήρ. malim ἀνὴρ οὐδέ.

ποτὲ δοκεῖ. τί γάρ ἐμοὶ τῆς ἐνθάδε στοᾶς, ὥσπερ οὐκ ἔχον-
τά με ὅποι βούλομαι περιπατεῖν, τὴν ποικίλην Ἀθήνησι, τὴν
Περσικὴν ἐν Λακεδαίμονι, τὰς ἐν τῇ Ῥώμῃ τὰς χρυσᾶς, ἐν
ταῖς τῶν Ἀντιοχέων, τῶν Ταρσέων, μετὰ πλείονος τιμῆς; ἢ 231 R II
μόνον ἐξιόντα με καὶ περιπατήσοντα, τῶν δὲ ἄλλων οὐδένα
πολιτῶν. ἀλλ' οὔτε γυμνάσιον ἐν πόλει μόνος οὐδεὶς ἔχει
γυμναζόμενος οὔτε στοὰν οὔτε βαλανεῖον οὔτε ἄλλο τῶν δη-
18 μοσίων οὐδέν. ἢ ἐγὼ τετύφωμαι καὶ ἀνόητός εἰμι; πλὴν ὅ γε
ἠξίωσα, συμβουλεύσατέ μοι. ὡς ἐγὼ βουλόμενος ὑμῖν ἀρέ-
σκειν πάντα τρόπον ἀπορῶ. νῦν γὰρ ἐὰν ἅπτωμαι τοῦ πρά-
γματος καὶ σπουδάζω γίγνεσθαι τὸ ἔργον, τυραννεῖν μέ φασί
τινες καὶ κατασκάπτειν τὴν πόλιν καὶ τὰ ἱερὰ πάντα. δῆλον
γάρ, ὅτι ἐνέπρησα τὸν νεὼ τοῦ Διός. καὶ τοὺς ἀνδριάντας 232 M
ἐκ τοῦ μυδῶνος ἐῤῥυσάμην καὶ νῦν ἐν τῷ φανερωτάτῳ κεῖν-
ται τῆς πόλεως. ἐὰν δὲ τὴν ἡσυχίαν ἄγω μὴ βουλόμενος μη-
δένα στένειν μηδὲ προσκρούειν μηδενὶ, βοᾶτε ὑμεῖς· γιγνέσθω
τὸ ἔργον ἢ καθαιρείσθω τὸ γεγονός· ὥσπερ ἐμοὶ τοῦτο προ-
19 φέροντες καὶ ὀνειδίζοντες. τί οὖν βούλεσθέ με ποιεῖν; ὃ γὰρ 233 R II
ἂν εἴπητε, τοῦτο ποιήσω καὶ περὶ τῶν ἄλλων ἁπάντων· οὐδὲ
ἂν ᾖ τις ἔργον πεποιηκώς, ὑπὲρ οὗ λόγον μὴ δέδωκεν, οὐδ'
ἂν ἔτι ποιῶν καὶ χρήματα λαμβάνων ἀεὶ παρὰ τῶν κατ' ἔτος
ἀρχόντων, ὥσπερ εἰς τὸν ἄπληστον πίθον τάδε ληψόμενος,
οὐδὲ ἂν ἄλλο τι γίγνηται· τί γὰρ ἐμοὶ τούτων; διὰ μὲν γὰρ
τῆς στοᾶς οὐ διελεύσομαι, σαφῶς ἴστε. ἀλλὰ ποιεῖν καὶ

6. ποτὲ δοκεῖ Obs. p. 55, ποτὲ ἐδόκει reliq. ‖ 10. περιπατήσοντα BM. Casaub. r, περιπατήσαντα vm. — 18, 2. ἠξίωσα. ἠξιώσατε M. ‖ 6. ἐνέπρησα r (idem ἐνέπρησ' ἄν), ἐνέπρησαν BM. v, ἀνέπρησαν m. ‖ νεὼ M, νεὼν reliq. ‖ καὶ τούς. malim καίτοι τοὺς vel οὓς τούς. ‖ ἀνδριάντας. ἀνδριάντας, οὓς Reisk. ‖ 7. μυδῶνος. μύδωνος M, μυλῶνος Casaub. r. ‖ ἐῤῥυσάμην. ἐρυσάμην M. ‖ 9. στένειν. στείνειν Prog. p. 30. — 19, 1. βούλεσθέ με ποιεῖν; BM. Casaub. r, βούλεσθέ μοι ποιεῖν; vm. malim βούλεσθε; μὴ ποιεῖν; quibus opponuntur infra v. ἀλλὰ ποιεῖν etc. ‖ 2. ἁπάντων. post hoc v. Reiskius supplet οὐδὲν ἀντερῶ. ‖ οὐδὲ ἄν. οὐδ' ἐὰν B. ‖ 4. ἔτι. sic dedi. ὅτι M, ὧ τι B, ᾧ τι vm, ᾗ τι r ex Interpr., ὅ τί Casaubonus, quod non intelligo. ‖ κατ' ἔτος. κάθετος M. ‖ 5. ἄπληστον. ἄπλειστον M. ‖ πίθον τάδε ληψόμενος. πίθον τάδε λειψόμενος B, πίθοντα δὲ ληψόμενος M. hanc sedem corruptelae esse non dubito. vide ne πίθον, οὐδὲν ὀψόμενος (vel τοῦδε ἀψόμενος). ‖ 6. οὐδὲ ἄν. οὐδ' ἐὰν B. ‖ 7. διελεύσομαι. διελεύσομαι μόνος Reisk. ‖ ἴστε. εἴστε M. ‖ ἀλλὰ ποιεῖν καί. πλὴν εἰ δέοι vel ἀλλ' ἂν μὴ δέῃ Casaub., ἀλλ' ἢ εὐποιεῖν ὑμᾶς καὶ vel ἀλλ' ἂν εὐποιεῖν καὶ Selden., ἀλλὰ πονεῖν καὶ Geelius.

προσιέναι καὶ παρακαλεῖν τὸν ἀνθύπατον, ὅπως πρᾴως καὶ
πρὸς δύναμιν εἰσπράττῃ τοὺς ὑπεσχημένους; καὶ τοῦτο ἕτοι-
μος ποιεῖν οὐ μόνον, ἀλλὰ καὶ αὐτὸς συμβάλλεσθαι μέρος
20 τῆς ὑποσχέσεως, ὥστε κουφίζεσθαι τοὺς ἄλλους. μόνον ἕν
τι προστάξατε· εἰ δὲ μή, τὴν ἡσυχίαν ἔξω βοώντων ὑμῶν,
μᾶλλον δὲ ἄπειμι. οὐ γάρ, ὥσπερ ἡ ἀλώπηξ καταφαγοῦσα 233 R II.
τὰ κρέα οὐκ ἐδύνατο ἐξελθεῖν ἐκ τῆς δρυὸς διὰ τὸ ἐμπλη-
σθῆναι, κἀμοὶ ἐξελθεῖν διὰ τοῦτο χαλεπόν. πολὺ γὰρ γέγονα
λεπτότερος ἢ ὅτε εἰσῆλθον. καὶ πρὸς θεῶν μή μοι νομίζετε
χαρίζεσθαι περὶ τῆς στοᾶς ἐπιβοῶντες. ἐμοὶ γὰρ εἷς ἀνήρ
ἐστιν ὁ χαριζόμενος ἐν τῇ πόλει σχεδόν, ὡς ἐγὼ ἀκούω, καὶ
μάλιστα προνοῶν τῶν ἐμοὶ συμφερόντων· καὶ οὔτε φίλος
οὔτε συγγενὴς οὕτως οὐδεὶς ἐμοῦ κήδεται. σκοπεῖτε δέ, εἰ
δόξει καλῶς ὑμῖν ὑπὲρ ἐμοῦ λογίζεσθαι καί με ἀγαπᾶν.
21 ὃς πρῶτον οἴεταί με δεῖν πολλὰ κινδυνεύσαντα καὶ πονήσαντα
τὴν ἡσυχίαν ἐνθάδε ἀγαγεῖν καὶ τοῖς ἐμαυτοῦ προσέχειν καὶ
μήτε ἡγεμόνας θεραπεύειν μήτε ἄλλην ἀσχολίαν μηδεμίαν
ἔχειν. ἔπειτα σμικρόν τι μέρος εὑρηκότα τῆς οὐσίας καὶ πρὸς
ταῖς πρότερον βλάβαις ἔτι καὶ τῆς ἀδελφῆς ἀποθανούσης
ὠφεληθέντα μὲν μηδέν, ἀπολέσαντα δὲ πάντα, ὅσα τῶν ἐμῶν 529 M.
εἶχε, δανεισάμενόν τε, ὥστε τὰ χωρία πρίασθαι, τοῦτο ἀπο-
δοῦναι τὸ χρέος καὶ τὰ πρότερον ὀφειλόμενα καὶ μὴ στοὰν
22 οἰκοδομεῖν μηδὲ ἀναλίσκειν παρὰ δύναμιν. ἔπειτα συνηθείας 234 R II.
οὔσης μοι πρὸς τὸν αὐτοκράτορα, ἴσως δὲ καὶ φιλίας, καὶ
πρὸς ἄλλους πολλοὺς τοὺς δυνατωτάτους σχεδόν τι Ῥωμαίων
ἐκείνοις συνεῖναι τιμώμενον καὶ θαυμαζόμενον· [ἀλλὰ μὴ
παρ' ὑμῖν πρὸς τὸν δεῖνα ἢ τὸν δεῖνα ἐξεταζόμενον] εἰ δὲ ἄρα
ἀποδημῶν ἥδομαι, τὰς μεγίστας πόλεις ἐπιέναι μετὰ πολλοῦ
ζήλου καὶ φιλοτιμίας παραπεμπόμενον, χάριν εἰδότων μοι παρ'
οὓς ἂν ἀφίκωμαι καὶ δεομένων λέγειν καὶ συμβουλεύειν καὶ
περὶ τὰς ἐμὰς θύρας ἰόντων ἐξ ἑωθινοῦ, μηδὲν ἀναλώσαντα

9. ἕτοιμος. ἕτοιμός εἰμι Geel. ‖ 11. ὥστε. sic dedi. ὥστε καὶ Reisk., τε M, καὶ reliq. — 20, 3. ἄπειμι. εἴποιμι B. ‖ 4. κρέα. κηρία Geel. ‖ 8. ὁ. οὐ M. ‖ 10. οὕτως οὐδεὶς BM, οὐδεὶς om. reliq. — 21, 2. ἀγαγεῖν. malim ἄγειν. ‖ 7. τε, ὥστε. δὲ ὥστε M, τε m. ‖ 8. ὀφειλόμενα. φειλόμενα M. ‖ 9. οἰκοδομεῖν BM. Reisk., ἀνοικοδομεῖν reliq. — 22, 2, αὐτοκράτορα. αὐτοκράτωρα M. ‖ 4. [ἀλλὰ — ἐξεταζόμενον] male repetita e § 23. ‖ 5. ὑμῖν. ὑμῖν καταφρονεῖσθαι vel ὑμῖν καταγηράσκειν Reisk. ‖ 8. οὓς BM. r, οἷς vm. ‖ 9. περί. [πρὸς Reisk. ‖ ἰόντων. malim ὄντων. ‖ ἑωθινοῦ. ἑωθηνοῦ B.

μηδὲ προστιθέντα· ὥστε θαυμάζειν ἅπαντας καὶ τυχὸν ἂν εἰπεῖν τινας·

ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
ἀνθρώποις, ὅτεών τε πόλιν καὶ δῆμον ἵκηται·

23 ἀλλὰ μὴ δαπανᾷν μὲν ἐξ ὀλίγων ὑπαρχόντων, ἀσχολεῖσθαι δὲ ἀσχολίας ἀνωφελεῖς, τὸ δὲ σῶμα θεραπείας δεόμενον καὶ πολλῆς προσοχῆς καταφθείρειν ἀμελοῦντα, τὴν δὲ ψυχὴν τοσοῦτον χρόνον ἐᾶν τῶν φιλοσοφίας καὶ τῶν τοιούτων μαθημάτων, πρὸς δὲ τὸν δεῖνα ἐξετάζεσθαι ἢ τὸν δεῖνα καὶ κακῶς ἀκούειν ἐνίοτε καὶ δάκνεσθαι. πρὸς θεῶν ὁ ταῦτα ὑπὲρ 235 R II.
ἐμοῦ φροντίζων καὶ διαλεγόμενος οὐχ οὗτός ἐστιν ἀνθρώπων ἁπάντων εὐνούστατος ἐμοὶ καὶ μάλιστα ὑπὸ ἐμοῦ φιλεῖσθαι δίκαιος; ὅταν δὲ ἀκούω λέγειν τινὰ ὡς περὶ τυράννου, παρά-
24 δοξον ἐμοὶ φαίνεται καὶ γελοῖον. ἐγὼ γὰρ ἐπίσταμαι τῶν τυράννων ἔργα τοιαῦτα, μοιχεύειν γυναῖκας ἀλλοτρίας καὶ διαφθείρειν παῖδας, ἀνθρώπους ἐλευθέρους τύπτειν καὶ αἰκίζεσθαι πάντων ὁρώντων, τοὺς δὲ καὶ στρεβλοῦν, οἷον εἰς ζέοντα λέβητα καθιέντας, ἄλλους δὲ καταπιττοῦν· ὧν οὐδὲν 530 M.
ἐγὼ ποιῶ· ἑτέραν δὲ γυναῖκα τύραννον Σεμίραμιν, ὅτι πρεσβυτέρα τὴν ἡλικίαν οὖσα καὶ μάχλος ἠνάγκαζε συγγίγνεσθαί τινας ἑαυτῇ. τῶν δὲ τυράννων οὐδένα ἀκήκοα ταῦτα ποι-
25 οῦντα, πρεσβύτην θρασύν. ὧν τί πρὸς ἐμέ ἐστιν; ἢ ὅτι τὴν οἰκίαν οἰκοδομῶ πολυτελῶς; ἀλλ' οὐκ ἐῶ πίπτειν; ἢ ὅτι πορφύραν αὐτὸς ἠμφίεσμαι; ἀλλ' οὐ φαῦλον τριβώνιον; ἀλλ' ὅτι κομῶ καὶ γένεια ἔχω; τοῦτο δ' ἴσως οὐ τυραννικόν ἐστιν, ἀλλὰ βασιλικόν. ἔφη δ' οὖν τις, ὅτι καὶ τὸ κακῶς ἀκούειν καλῶς ποιοῦντα, καὶ τοῦτο βασιλικόν ἐστιν.

12. ὢ. ὦ B. ‖ 13. τε πόλιν. καὶ πόλιν BM. ‖ δῆμον. γαῖαν Od. X, 39. — 23, 4. τῶν φιλ. ἀτημέλητον φιλ. Casaub., ἄγευστον φιλ. Reiskius (idem ἐνδεῆ). ‖ 5. ἢ τὸν BM, καὶ τὸν reliq. ‖ 6. πρὸς BM, καὶ πρὸς reliq. — 24, 3. καὶ αἰκίζεσθαι Reisk., καὶ om. reliq. ‖ 6. ἑτέραν. ἑταίραν Geel. ‖ 7. συγγίγνεσθαί M, συγγίνεσθαί reliq. ‖ 8. οὐδένα. τὸν δεῖνα Cens. p. 368. ‖ ποιοῦντα. post hoc v. Reiskius supplet εἰ μὴ Τιβέριον. Casaubono quoque quaedam excidisse videntur. ‖ 9. θρασύν. βραδὺν Geelius, qui haec ad ipsum Dionem refert. — 25, 1. ἤ. ἢ Geelius. ‖ 2. πίπτειν. post hoc v. Casaubonus puncto, Reiskius interrogandi signo distinxit. ‖ 6. ποιοῦντα Upton. ad Arrian. Epict. IV, 6, ποιοῦντας reliq.

ΛΟΓΟΣ μη.

ΠΟΛΙΤΙΚΟΣ ΕΝ ΕΚΚΛΗΣΙΑι.

1 Πρῶτον μέν, ὦ ἄνδρες, τῷ κρατίστῳ Οὐαρήνῳ δεῖ χάριν 236 R II.
ἡμᾶς εἰδέναι καὶ διὰ τὴν ἄλλην προθυμίαν, ἣν ἐπιδέδεικται
πρὸς τὴν πόλιν, καὶ ὅτι βουλομένοις ἡμῖν ἐκκλησιάσαι πάλιν
ἐφῆκεν οὐ μόνον ἑτοίμως, ἀλλὰ καὶ ἡδέως. τοῦτο γὰρ ἦν
πιστεύοντος ὑμῖν καὶ εἰδότος, ὅτι πρὸς οὐδὲν ἄτοπον χρήσεσθε
τῇ ἐξουσίᾳ. οὔτε γὰρ ξύλα χλωρὰ δήπουθεν οὐδεὶς συντί-
θησιν, ὥστε καίεσθαι, προειδώς, ὅτι ἀνάγκη γενέσθαι κα-
πνὸν πολὺν καὶ ἄτοπον, οὔτε τεταραγμένον δῆμον εἰς ταὐτὸ
συνάγει νοῦν ἔχων ἡγεμών, ἀλλὰ ἂν μή τις μείζων ἀνάγκη
2 καταλάβῃ. νῦν οὖν ὑμέτερον ἔργον ἐστὶ μὴ ψεύσασθαι αὐ-
τοῦ τὴν διάνοιαν, ἀλλ᾽ ἐπιδεῖξαι σωφρόνως καὶ καλῶς αὐτοὺς
ἐκκλησιάζοντας καὶ πρῶτον, ἐμοὶ δοκεῖ, καλλωπίσασθαι τῇ
φιλίᾳ τῇ πρὸς ἀλλήλους καὶ ὁμονοίᾳ, κἂν δεῦρο ἀφίκηται
παρακληθείς, περὶ μὲν τῶν ἄλλων ὧν ἐβοᾶτε ὑπερθέσθαι·
ζητήσει γὰρ αὐτὸς τὰ δημόσια, κἂν ὑμεῖς κωλύειν θέλητε·
τὸ δὲ νῦν εὐχαριστήσατε καὶ δεξιώσασθε καὶ μετ᾽ εὐφημίας 237 R II.
καὶ τιμῆς ὑποδέξασθε, ἵνα μὴ ὥσπερ ἰατρὸς πρὸς νοσοῦντας 531 M.
ὑπόπτως καὶ ἀηδῶς θεραπείας ἕνεκεν, ἀλλ᾽ ὡς πρὸς ὑγιαί-
3 νοντας ἡδέως καὶ προθύμως παρῇ. καὶ γὰρ δὴ νῦν μὲν ἄπεισι
μετὰ τὴν τήμερον ἴσως ἡμέραν, ἀφικνεῖται δὲ ὀλίγον ὕστερον,
καὶ τότε, ἂν μὴ πρότερον αὐτοὶ πείσωμεν ἡμᾶς, εἴ τις ἄρα
τῶν δημοσίων ἔχει τι, καὶ δικασταῖς καὶ διαιτηταῖς ἀλλήλοις
χρησάμενοι, τότε ἐξέσται καὶ λέγειν καὶ καταβοᾶν. τό γε μὴν
προεξανίστασθαι μὴ σφόδρα ἄγνωμον ᾖ. ποῦ γὰρ ἀπεπειρά-

Orat. XLVIII. Collati sunt BM. — 1, 1. *Οὐαρήνῳ* **BM,** *Οὐαρίνῳ* **reliq. ‖ 4.** *ἐφῆκεν. ἀφῆκεν* **B. ‖ 5.** *χρήσεσθε. χρήσεσθαι* **BM. ‖ 7.** *καίεσθαι* **M,** *κάεσθαι* **reliq. ‖ 9.** *ἀλλὰ* **delendum censet Iacobs. Add. p. 12,** *τἆλλα* **Reiskius. at conf. Orat. 31, § 75 et 80, § 8.** *ἂν ἄρα* **Pflugk. — 2, 2.** *ἀλλ᾽. ἀλλὰ* **M. ‖** *αὐτούς. αὑτοὺς* **M. ‖ 4.** *πρὸς. τρὸς* **m. — 3, 2.** *τήμερον. τίμερον* **M. ‖ 3.** *ἡμᾶς* **Reisk.,** *ὑμᾶς* **reliq. ‖ 4.** *καὶ* **prius delet Reisk. ‖ 5.** *γε. δὲ* **M. ‖ 6.** *μὴ* **B. Reisk. (idem** *περιμένειν μηδὲ* **vel**

θητε ἢ πότε ἠξιώσατε παρ' αὐτῶν; ἢ τίς ὑμῖν οὐχ ὑπήκουσε;
καὶ τὴν εὐφημίαν τὴν εἰς ἐμὲ, ἐγὼ δέομαι, τρέψατε εἰς ἅπαν-
τας. ὥσπερ γὰρ ἐν ἑστιάσει πάνυ αἰσχρόν ἐστιν ἕνα τῶν
κατακειμένων πίνειν, καὶ διὰ τοῦτο μὴ μόνον τῷ οἰνοχόῳ
δυσκολαίνομεν, ἀλλὰ καὶ τῷ πίνοντι· τὸ αὐτὸ τοῦτο ἐν τοῖς
4 πολιτικοῖς ἐπαίνοις ἐστίν. καὶ ταῦτα ποιοῦντες αὐτοὺς κοσμή- 238 R II
σετε. ὥς ἐστι κόσμος πόλεως καὶ μέγιστος ὁ τῶν πολιτῶν
ἔπαινος. ἐπὶ τίνι γὰρ ἄλλῳ μέγα φρονεῖτε; οὐ μεγέθει μὲν
ἕτεραι διαφέρουσι πόλεις καὶ νὴ Δία πλούτῳ καὶ περιουσίᾳ
καὶ τοῖς δημοσίοις οἰκοδομήμασιν; ἓν δὲ τοῦτό ἐστιν, ᾧ φι-
λοτιμούμεθα σχεδὸν πρὸς ἅπαντας ἀνθρώπους, τὸ ἔχειν ἄν-
δρας ἱκανοὺς καὶ πρᾶξαι καὶ εἰπεῖν καὶ τὸ μέγιστον, ἀγαπῶν-
τας τὴν πατρίδα. ἐὰν δέ τις ὑμῶν τοῦτο ἀφέληται, ποίας
πόλεως, καὶ τῆς βραχυτάτης, δόξετε ἀμείνους; νῦν γὰρ, ἐὰν
διενεχθῆτε πρός τινα πόλιν· ὃ μηδεὶς ποιήσειε θεῶν· ἔπειτα
ἐκεῖνοι τοὺς ἡμετέρους πολίτας λοιδορῶσι λέγοντες, ὅτι εἰσὶν
ἅρπαγες, ἄπιστοι, πῶς οἴσετε; πῶς ἕξετε χαλεπῶς; οὐκ εὐθὺς
βοήσετε, λοιδορήσεσθε, εἰς χεῖρας τυχὸν ἐλεύσεσθε, ὃ γέγονε
5 πολλάκις πρότερον; εἶθ' ἃ λεγόντων ἑτέρων οὐκ ἀνέχεσθε
ἀκούοντες, ταῦτα ἐρεῖτε αὐτοὶ καθ' ἑαυτῶν; [ἐάν ποτε γέ-
νηται διαφορὰ, κἀκεῖνοι προφέρωσιν ὑμῖν τὸ πονηροὺς ἔχειν
πολίτας, τὸ στασιάζειν, οὐκ αἰσχύνεσθε;] ὡς ἔγωγε τοὺς 239 R II
θεοὺς ὑμῖν ὀμνύω πάντας· ἦ μὴν σφόδρα ἠχθέσθην εἰπόντος
μοί τινος· διάλλαξον τὴν πόλιν· καὶ πρὸς αὐτὸν ἠγανάκτη-
σα. μὴ γὰρ ἴδοιμι τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ διαλλαγῶν ὑμεῖς
δεήσεσθε, ἀλλ' εἰς ἐχθρῶν, φασὶ, κεφαλὰς τὰ τοιαῦτα τρέ-

πείθεσθε μηδὲ), μὴ καὶ Casaubonus, δέος μὴ vel μὴ δῆτα (et σφόδρα γὰρ ἂν) Seldenus, μηδὲ reliq. ‖ ποῦ. τοῦ Reisk. ‖ 7. ἢ πότε. malim ἤ ποῦ τι (aut ἠξιώσατέ τι). Reiskius post ἠξιώσατε interponit ἀκούειν. ‖ 8. ἅπαντας. ἅπαντα M. ‖ 10. μόνον BM, μόνῳ Reisk., μόνως reliq. ‖ 11. δυσκολαίνομεν. sic dedi. δυσκολαίνειν reliqui, unde post τοῦτο Seldenus τοὺς ἄλλους interponebat, post δυσκολαίνειν Geel. ‖ 12. ἐστίν. ἐστὶ τὸ ἴσα θαυμάζειν Reisk. — 4, 2. καὶ μέγιστος. καὶ in M a corr. add. ‖ 3. μέγα φρονεῖτε. φρονεῖτε μέγα B. ‖ 5. καὶ τοῖς BM, τοῖς om. reliq. ‖ τοῦτό. τούτῳ B. ‖ 9. καὶ τῆς. καὶ om. M. ‖ 11. ἡμετέρους. ὑμετέρους r. ‖ 12. ἄπιστοι. malim καὶ ἄπιστοι. ἄπληστοι (vel πίθοι ἄπληστοι) Reisk. ‖ 13. ἐλεύσεσθε. ἐλεύσεσθαι M. — 5, 2. [ἐάν ποτε—αἰσχύνεσθε] inducenda. ‖ 3. ὑμῖν τὸ BM, ὑμῖν om. reliq. ‖ 4. τὸ στασιάζειν. τῷ στασιάζειν B. ‖ αἰσχύνεσθε. αἰσχύνεσθαι M. ‖ ἔγωγε. ἐγὼ M. ‖ 8. δεήσεσθε. δεήσεσθαι M. ‖ ἐχθρῶν. ἐχθρὸν M. ‖ φασὶ M, φησὶ reliq.

ποιτο, τουτέστιν εἰς τοὺς καταράτους Γέτας, εἰς μηδένα δὲ
6 τῶν ἄλλων τῶν ὁμοεθνῶν. τί γὰρ ἂν εἴη τῆς ἡμετέρας ἐπι-
δημίας ὄφελος, εἰ μὴ πρὸς τὰ τοιαῦτα πειθομένους ὑμᾶς ἄγοι- 239 R II.
μεν λόγων ἀεὶ συναγωγῶν ὁμονοίας καὶ φιλίας συναράμενοι,
καθ' ὅσον οἷοί τέ ἐσμεν, ἔχθραν δὲ καὶ ἔριν καὶ φιλονεικίαν
ἄλογον καὶ ἀνόητον ἐξαιροῦντες πάντα τρόπον. καλὸν γὰρ
δὴ καὶ συμφέρον ὁμοίως ἅπασι πόλιν ὁμογνώμονα ὁρᾶσθαι
καὶ φίλην αὑτῇ καὶ συμπαθῆ· [κάλλιστον θεαμάτων, εὐδαι-
μονέστατον δὲ ἁπάντων κτημάτων, μία γνώμη περὶ πάντων
φαινομένη·] ψόγον τε καὶ ἔπαινον ἐπὶ ταὐτὸ φέροντας, τοῖς
τε ἀγαθοῖς καὶ τοῖς φαύλοις πιστὴν ἑκατέροις μαρτυρίαν.
7 καλὸν γάρ, ὥσπερ ἐν χορῷ τεταγμένῳ, συνᾴδειν ἓν καὶ ταὐτὸ
μέλος, ἀλλὰ μὴ πονηροῦ τρόπον ὀργάνου διαφέρεσθαι διπλοῦς
φθόγγους τε καὶ ἤχους ἀποφαίνοντας ἀπὸ διπλῶν καὶ ποικί-
λων ἠθῶν· [τρόπον αὐλοῦ κατεαγότος διπλᾶς φωνάς·] ἐν
ᾧ σχεδὸν ἥ τε καταφρόνησις καὶ δυστυχία καὶ τὸ μηδὲν
ἰσχύειν μήτε παρ' ἑαυτοῖς μήτε παρὰ τοῖς ἡγεμόσιν. οὔτε γὰρ 240 R II.
τῶν ἀσυμφώνων χορῶν οὐδεὶς ἀκούει ῥᾳδίως ὅ τι λέγουσιν
οὔτε τῶν διαφερομένων πόλεων. ὥσπερ γὰρ ἐν μιᾷ νηὶ πλέ-
οντας οὐ δυνατὸν οἶμαι χωρὶς ἕκαστον σωτηρίας τυγχάνειν,
8 ἀλλ' ἅμα πάντας, οὕτως οὐδὲ τοὺς συμπολιτευομένους. πρέ-
πει δὲ ὑμῖν παιδείᾳ διαφέροντας καὶ φύσει καὶ τῷ ὄντι κα-
θαρῶς ὄντας Ἕλληνας ἐν αὐτῷ τούτῳ τὴν γενναιότητα ἐπι-
δεικνύναι. πολλὰ δ' ἂν οἶμαι περὶ τούτων ἔλεγον καὶ πρὸς
τὸ μέγεθος τῆς ὑποθέσεως, εἰ μὴ τό τε σῶμα κομιδῇ φαύλως
εἶχον ὑμᾶς τε, ὅπερ ἔφην, οὐχ ἑώρων διαμένοντας. οὐδὲ γὰρ

6, 3. λόγων ἀεὶ συναγωγῶν Cens. p. 369, λόγον ἀεὶ συναγωγὸν BM, λόγον ἀεὶ συναγαγὼν reliqui, unde λόγοις ἀεὶ συναγωγοῖς (et φιλίᾳ) Casaub., λόγῳ ἀεὶ συναγαγὼν (et καὶ ὁμονοίας καὶ φιλίας) Selden., διὰ λόγων ἀεὶ συναγωγῶν Reisk., λόγον ἀεὶ συνεργὸν (ὁμονοίας καὶ φιλίας) Iacobs. ‖ καὶ φιλίας. καὶ om. m. ‖ συναράμενοι. συναιρόμενοι Geel. ‖ 7. αὑτῇ. sic dedi. αὐτῇ reliq. ‖ [κάλλιστον — φαινομένη] delenda. ‖ 8. περὶ πάντων. περὶ delet Reiskius (vel πάντων περὶ πάντων scribit). ‖ 9. φέροντας. φερόντων Reisk. ‖ 10. ἑκατέροις BM. Reisk., ἑκατέρας reliq. — 7, 1. ταὐτὸ BM, τὸ αὐτὸ reliq. ‖ 3. ἀποφαίνοντας Reisk., ἀποφαίνοντος reliq. ‖ 4. ἠθῶν Selden., ἤχων reliq. ‖ [τρόπον — φωνάς] delenda esse vidit Reisk. ‖ φωνάς. φωνὰς ἀφιέναι Selden. ‖ 5. τὸ μηδὲν. τὸν μηδὲν M. ‖ 6. παρ' ἑαυτοῖς μήτε παρὰ τοῖς. sic dedi. παρ' ἑαυτοῖς M, παρὰ τοῖς reliqui. Reiskius post ἡγεμόσιν addebat μήτε παρὰ τοῖς ἀστυγείτοσιν vel μήτε παρὰ τῷ βασιλεῖ. ‖ 7. ἀκούει. ἀκούειν M. — 8, 2. παιδείᾳ. παιδίᾳ M. ‖ 6. διαμένοντας. διατείνοντας

Digitized by Google

γέγονεν οὐδὲν οὐδὲ φύεται παρ' ὑμῖν τοῦτο τὸ νόσημα, ἀλλὰ 533 M.
ἴσως βραχεῖά τις ὑποψία, ἧς καθάπερ ὀφθαλμίας παρὰ τῶν
ἐγγὺς ἀπελαύσαμεν. εἴωθε δὲ τοῦτο συμβαίνειν καὶ τῇ θα-
λάττῃ πολλάκις· τοῦ βυθοῦ κλυσθέντος ἰσχυρῶς καὶ χειμῶ-
νος ἔξω γενομένου πολλάκις ἀδήλως ἐπεσήμηνε καὶ τοῖς λιμέσιν.
9 οἴεσθε ἀγορᾶς καὶ θεάτρου καὶ γυμνασίων καὶ στοῶν καὶ
χρημάτων εἶναί τι ὄφελος τοῖς στασιάζουσιν; οὐ ταῦτά ἐστι
τὰ ποιοῦντα πόλιν καλὴν, ἀλλὰ σωφροσύνη, φιλία, τὸ πι-
στεύειν ἀλλήλοις. ὅταν δὲ τὴν βουλὴν ψέγητε, τοὺς προεστῶ-
τας, τοὺς ἐξειλεγμένους, οὐχ αὑτοὺς ψέγετε; εἰ γὰρ οἱ βελ-
τίους ὑμῶν εἰσι πονηροὶ, τί δεῖ περὶ τῶν ἄλλων ὑπολαβεῖν;
ἡμεῖς ἄρα τὰ αὑτῶν ἀπολέσωμεν; οὐθείς φησιν· ἀλλ' εὖ ἴστε, 261 R II.
ὅτι ἐν πάσαις ταῖς πόλεσίν ἐστι χρήματα δημόσια καὶ ταῦτα
ἔχουσιν ἔνιοι, τινὲς μὲν δι' ἄγνοιαν, τινὲς δὲ ἄλλως· καὶ δεῖ
προνοεῖν καὶ σώζειν, οὐ μέντοι μετὰ ἔχθρας οὐδὲ μετὰ δια-
10 φορᾶς. οὗτοι φιλοτιμοῦνται, πολλάκις ὑμῖν παρ' αὑτῶν
εἰσενηνόχασιν. πείθετε αὐτοὺς, παρακαλεῖτε· ἂν ἀντιτεί-
νωσι, δικαιολογεῖσθε πρὸς μόνους μηθενὸς παρόντος ἔξωθεν.
οὐχ ὑμεῖς ἐστε οἱ πολλάκις ἐπαινοῦντες ἡμᾶς δι' ὅλης τῆς
ἡμέρας, τοὺς μὲν ἀριστεῖς λέγοντες, τοὺς δὲ ὀλυμπίους, τοὺς
δὲ σωτῆρας, τοὺς δὲ τροφέας; εἶτα πρὸς Διὸς καὶ θεῶν παρ'
αὐτοῖς ψευδομαρτυριῶν ἁλώσεσθε; καὶ πότερον νῦν ταῦτα
ὀργιζόμενοι λέγετε ἢ τότε ἐκεῖνα κολακεύοντες; καὶ νῦν ἀπα-
τώμενοι μᾶλλον ἢ τότε ἐξαπατῶντες; οὐ παύσεσθε τῆς ταρα-
χῆς καὶ γνώσεσθε, ὅτι πάνυ χαρίεντας ἔχετε πολίτας καὶ
πόλιν δυναμένην εἶναι μακαρίαν; ἣν ἐγὼ πολλὰ δύναμαι σὺν
τοῖς θεοῖς ἀγαθὰ ποιῆσαι, τούτους ἔχων συναγωνιζομένους,

Selden., διακυμαίνοντας Toup. Emend. in Suid. I, p. 182, διαβαίνοντας Reisk. ‖ 7. οὐδὲ. sic dedi. οὔτε reliqui, unde Pflugkius locum sic constituit: οὔτε γὰρ ἐγγέγονεν οὐδὲν οὔτε φύεται παρ' ὑμῖν τοιοῦτον νόσημα. ‖ 8. ἴσως om. B. ‖ ἧς Casaub. r, ἧς om. reliq. ‖ 10. κλυσθέντος Reisk., πλησθέντος reliqui. πληχθέντος vel πρησθέντος Selden. — 9, 1. οἴεσθε. οἴεσθαι M. ‖ 5. ἐξειλεγμένους. ἐξελεγμένους M. ‖ 6. δεῖ. δὴ M. ‖ 7. ἄρα. γὰρ ἂ M. ‖ αὑτῶν. sic dedi. αὐτῶν reliq. ‖ ἀπολέσωμεν BM, ἀπολέσομεν reliq. — 10, 1. αὑτῶν. sic dedi. αὐτῶν reliq. ‖ 3. δικαιολογεῖσθε. δικαιολογεῖσθαι M. ‖ 7. αὐτοῖς. αὑτοῖς M. ‖ ἁλώσεσθε. ἁλώσεσθαι M. ‖ 8. ὀργιζόμενοι. ὀριζόμενοι BM (mrg. vulg.). ‖ 9. παύσεσθε. παύσεσθαι M. ‖ τῆς ταραχῆς BM. Casaub. r, τῆς] ἀρχῆς vm. ‖ 10. γνώσεσθε. γνώσεσθαι M. ‖ 11. ἣν Reisk., om. reliq. ‖ 12. ἀγαθὰ ποιῆσαι BM. Reisk., ἀγαθοποιῆσαι reliq.

11 λέγων τὸ τῆς παροιμίας· εἷς ἀνὴρ οὐδεὶς ἀνήρ. ἀλλ' ἴσως
ἐδυσχεράνατε, ὅτι οὐκ ἐγένετο τὸ ἔργον. γίγνεται καὶ σφόδρα
ἔσται ταχέως, μάλιστα τούτων προθυμουμένων καὶ σπουδα- 242 R II.
ζόντων, ἐὰν ἑκοντὶ διδῶσιν· οὐδὲ γὰρ ἄκοντες ὑμῖν ὑπέσχοντο. 534 M.
διὰ τί δὲ παρὰ τούτων μὲν ἀπαιτεῖτε, παρ' ἐμοῦ δὲ οὐκ ἀπαι-
τεῖτε; ὅτι δοκῶ παρεσχηκέναι ὑμῖν; ἔπειτα οἴεσθέ με τοῦτο
ἐμποιεῖν, εἰ τὴν ἐμαυτοῦ πατρίδα τιμιωτέραν ἐποίησα χρη-
μάτων τινὰ ἀφορμὴν παρασχὼν, [ὥσπερ] ἀπὸ τῶν βουλευ-
τικῶν καὶ νὴ Δία ἀπὸ τῶν προσόδων ηὐξημένων διὰ τὴν διοί-
κησιν; ἀλλὰ ταῦτα μὲν ὅμοιά ἐστιν, ὥσπερ ἂν εἰ ηὐξάμην 243 R II.
ὑπὲρ ὑμῶν, οἱ θεοὶ δὲ ἐποίησαν· κἂν πάλιν δυνηθῶ, ποιήσω
12 πάλιν. δυνήσομαι δὲ εὐθυμῶν, φίλους ἔχων τοὺς ἐνθάδε,
καὶ οὐδὲν ὑμῖν λογιοῦμαι τῶν τοιούτων. οὐδὲ γὰρ οἱ γονεῖς
τοῖς τέκνοις ἀντὶ τῶν ἀναλωμάτων τὰς εὐχὰς λογίζονται.
οἴεσθε, ὅτι περὶ στοᾶς ἦν ἂν ἐμοὶ λόγος ἢ ἄλλου τινὸς, εἰ
ἑώρων ὑμᾶς διαφερομένους; ἀλλὰ τοῦτό γε ὅμοιον ἦν, ὥσπερ
ἂν εἴ τις νοσοῦντα ἄνθρωπον καὶ φρενίτιδι ἐχόμενον, δέον
οἶμαι καταπλάσαι κατακλίναντα, ὁ δὲ ἀλείφοι μύρῳ καὶ προσ-
φέροι στέφανον· ταῦτα ἐκ περιουσίας ἐστὶ τοῖς ὑγιαίνουσι,
τοῖς μηδὲν ἔχουσι κακόν. οὐκ οἴεσθε τοὺς Ἀθηναίους, ὅτ'
ἐστασίαζον καὶ τοὺς πολεμίους ἐπηγάγοντο καὶ προεδίδοσαν
ἀλλήλους οἱ ταλαίπωροι, καὶ τὰ προπύλαια ἔχειν καὶ τὸν
Παρθενῶνα καὶ τὰς στοὰς καὶ τὸν Πειραιᾶ; ἀλλὰ οἰμώζου-
σιν αὐτοῖς μεῖζον ἐπήχει τὰ προπύλαια καὶ τὰ νεώρια καὶ ὁ
13 Πειραιεὺς αὐτός. καίτοι μεγάλη καὶ πολυάνθρωπος πόλις
στασιάζουσα καὶ κακῶς φρονοῦσα δύναται χρόνον τινὰ ἐνεγ-
κεῖν τὴν δυστυχίαν· ἀλλ' ὅμως καὶ ταῦτα ὁρᾶτε, ὁποῖά ἐστιν.
οὐ κατηγοροῦσιν ἀλλήλων, οὐκ ἐξελαύνουσιν, οὐ τοὺς μὲν εἰς

13. λέγων. λέγω δὲ Selden. — 11, 4. ἑκοντί. ἑκόντην (corr. vulg.) M. ‖ διδῶσιν. διδόασιν Casaub., δίδωσιν vm. ‖ 5. τούτων μὲν BM, τούτων reliq. ‖ 6. δοκῶ. δοκῶ ἑκὼν Casaub., δοκῶ ταῦτα Reisk. ‖ οἴεσθέ. οἴεσθαι M. ‖ 7. ἐμποιεῖν. ἐν ποιεῖν M, ἐμὸν ποιεῖν Reiskius, quod displicet propter activum Geelio, ἐλλογεῖν Casaub. ‖ εἰ B. Casaub. r, om. M, ἢ vm. ‖ 8. παρασχών. παρέσχον M. ‖ [ὥσπερ] in M mrg. add. ‖ 11. κἂν πάλιν M. Reisk. (idem καὶ πάλιν ἂν vel ἢν), καὶ πάλιν B. vm, καὶ πάλιν εἰ Casaub. r. — 12, 1. εὐθυμῶν. μεθ' ὑμῶν Reisk., possit εὐθυμῶ. ‖ 4. ἦν ἄν. ᾖραν M. ‖ 6. νοσοῦντα ἄνθρωπον. ἄνθρωπον νοσοῦντα M, νοσοῦντα ἄνθρωπον ὁρῶν Casaubonus. frustra. ‖ 7. κατακλίναντα. καὶ κατακλείναντα M. ‖ προσφέροι. προσφέρει B. ‖ 8. ταῦτα. malim ταῦτα, ἅ. ‖ 9. οὐκ. ἢ οὐκ Reisk. ‖ οἴεσθε. οἴεσθαι M.

τὴν βουλὴν εἰσάγουσι καὶ ἑτέρους ἐξάγουσιν; οὐχ ὥσπερ ἐν σει- 244 R II.
σμῷ πάντα κινεῖται καὶ πάντα μετέωρά ἐστι καὶ οὐθὲν βέβαιον;
οὐκ εἰς τοῦτο ἥκουσιν, ὥστε μὴ ἀρκεῖσθαι τοῖς αὐτῶν ἡγεμόσιν,
ἀλλ' ὥσπερ ἐν τοῖς ἀνιάτοις νοσήμασι δέονται ξένων ἰατρῶν;
καὶ τοῦτο δὴ τὸ τῶν χαλεπῶν ἵππων γιγνόμενόν ἐστιν· ὅταν ὁ
χαλινὸς μὴ κατισχύῃ, ψάλιον αὐτοῖς ἔξωθεν ἐμβάλλεται. ἐμοὶ 535 M.
μέλει μὲν καὶ τοῦ καθ' ὑμᾶς, μέλει δὲ καὶ τοῦ κατ' ἐμαυτόν.
14 εἰ γὰρ φιλόσοφος πολιτείας ἁψάμενος οὐκ ἠδυνήθη παρέχειν
ὁμονοοῦσαν πόλιν, τοῦτο δεινὸν ἤδη καὶ ἄφυκτον· ὥσπερ εἰ
ναυπηγὸς ἐν νηὶ πλέων μὴ παρέχοι τὴν ναῦν πλέουσαν, καὶ εἰ
κυβερνήτης φάσκων εἶναι πρὸς αὐτὸ τὸ κῦμα ἀποκλίνοι, ἢ
λαβὼν οἰκίαν οἰκοδόμος ὁρῶν πίπτουσαν, ὁ δὲ τούτου μὲν
ἀμελῶν, κονιῶν δὲ καὶ χρίων, οἴοιτό τι ποιεῖν. εἰ ἐμοὶ προ-
έκειτο νῦν ὑπὲρ ὁμονοίας λέγειν, εἶπον ἂν πολλὰ καὶ περὶ
τῶν ἀνθρωπίνων καὶ περὶ τῶν οὐρανίων παθημάτων· ὅτι τὰ
θεῖα ταῦτα καὶ μεγάλα ὁμονοίας τυγχάνει δεόμενα καὶ φι- 245 R II.
λίας· εἰ δὲ μή, κίνδυνος ἀπολέσθαι καὶ φθαρῆναι τῷ καλῷ
15 τούτῳ δημιουργήματι, τῷ κόσμῳ. ἀλλ' ἴσως μακρολογῶ δέον
βαδίζειν καὶ παρακαλεῖν τὸν ἡγεμόνα. τοσοῦτον δὴ μόνον
ἐρῶ· οὐκ αἰσχρόν ἐστιν, εἰ μέλιτται μὲν ὁμονοοῦσι καὶ οὐδεὶς
οὐδέποτε ἑώρακεν ἑσμὸν στασιάζοντα καὶ μαχόμενον αὐτῷ,
συνεργάζονται δὲ καὶ ζῶσιν ἅμα καὶ παρέχουσαι τὴν τροφὴν
αὐταῖς καὶ χρώμεναι. τί οὖν; οὐχὶ κἀκεῖ γίγνονται κηφῆνές
τινες λεγόμενοι, χαλεποὶ καὶ κατεσθίοντες τὸ μέλι; νὴ Δία
γίγνονται μέν. ὅμως δὲ καὶ τούτους πολλάκις ἐῶσιν οἱ γεωρ-
γοὶ μὴ βουλόμενοι ταράττειν τὸν ἑσμόν καὶ βέλτιον νομίζουσι

13, 5. εἰσάγουσι B, εἰσάγουσιν reliq. || 7. οὐκ εἰς Casaubonus, εἰς reliqui. distinctionem mutandam esse censuit Reiskius. || αὐτῶν. sic dedi. αὐτῶν reliq. || ἡγεμόσιν. ἡγεμῶσιν M. || 8. δέονται. δέωνται M. || 10. χαλινὸς. χαλεινὸς M. || ψάλιον Vales. p. 60, ψέλιον BM, ψέλλιον reliq. || ἐμοί. malim καὶ ἐμοί. — 14, 2. ἄφυκτον. ἄπευκτον Hemsterh. || 3. μὴ om. M. || 4. τὸ. τὸ πρῶτον Reisk. || ἀποκλίνοι. ἀποκλείνοι M, ἀποκνοῖ Cens. p. 369, Geelius quaedam excidisse suspicatus erat. || 6. χρίων. χρείων M. || εἰ ἐμοί. εἴ μοι M, εἰ δ' ἐμοὶ Geel., malim εἰ μὲν οὖν ἐμοί. Reiskius sic tentat hunc locum: οὕτω καὶ ἐγὼ πρὸς ὑμᾶς, εἰ ἐμοὶ προσῆκον τὸ νῦν vel οὕτω καί, εἰ ἐμοὶ προσέκειτο νῦν ὑπὲρ ὁμονοίας λέγειν, ἐγὼ δὲ εἶπον ἂν cett. || προέκειτο B. Pflugk., προσέκειτο reliq. || 8. ὅτι M, ὅτε reliq. — 15, 1. ἀλλ' M, ἀλλὰ reliq. || μακρολογῶ. μακρῷ λόγω M. || 5. ζῶσιν. συζῶσιν Selden. || 6. αὐταῖς. αὐταῖς M. || κἀκεῖ. κακοὶ B. || 7. λεγόμενοι, χαλεποί. λεγόμενοι χαλεποὶ λεγόμενοι M.

παραναλίσκειν τοῦ μέλιτος ἢ πάσας θορυβῆσαι τὰς μελίττας.
16 οὐ μέντοι παρ' ἡμῖν τυχὸν οὐδείς ἐστι κηφὴν ἀργὸς, βομβῶν
σαθρὸν, γενόμενος τοῦ μέλιτος. καὶ μέντοι καὶ μύρμηκας
πάνυ ἡδέως ἰδεῖν ἐστιν, ὅπως μὲν οἰκοῦσι μετ' ἀλλήλων εὐ-
κόλως, ὅπως δὲ ἐξίασιν, ὅπως δὲ τὰ βάρη μεταλαμβάνουσιν,
ὅπως δὲ παραχωροῦσιν ἀλλήλοις τῶν ὁδῶν. οὔκουν αἰσχρὸν
ἀνθρώπους ὄντας ἀφρονεστέρους εἶναι θηρίων οὕτω σμικρῶν
καὶ ἀφρόνων; ταῦτα μὲν οὖν ἄλλως ἐῤῥήθη τρόπον τινά. 536 M.
στάσιν δὲ οὐδὲ ὀνομάζειν ἄξιον παρ' ἡμῖν, μήτε λεγέτω μη-
17 δείς. ἀλλά μοι δοκεῖ περικαθάραντας τὴν πόλιν μὴ σκίλλῃ
μηδὲ ὕδατι, πολὺ δὲ καθαρωτέρῳ χρήματι, τῷ λόγῳ, κοινῇ
πράττειν τὰ λοιπὰ, καὶ περὶ τῶν ἀγορανόμων καὶ τῶν ἄλλων
φροντίζειν καὶ τὴν βουλὴν παρακαλεῖν πρὸς ταῦτα, ἵνα, ὥσ- 246 R II.
περ εἴωθε, προνοῇ τῆς πόλεως. ἔσται γὰρ ὑμῖν πάνυ ῥᾴδια.
τοῦτο δὲ ἄξιον ὑμῖν σπουδάσαι καὶ διὰ τὸν ἄρχοντα, ὃν πε-
ποιήκατε· ἵνα μὴ λαβόντες ἄπειρον ἄνθρωπον ἔπειτα ἐν κλύ-
δωνι καὶ σάλῳ ἐᾶτε.

16, 1. ἡμῖν M, ὑμῖν reliq. ‖ ἀργὸς Iacobs. Add. p. 325, ἄγριος reliq. ‖ 6. οὕτω σμικρῶν BM. r, οὕτως μικρῶν vm. ‖ 7. ἄλλως. οὐκ ἄλλως Geel. ‖ 8. οὐδέ. malim οὔτε (aut infra μηδὲ pro μήτε). — 17, 1. περικαθάραντας. περικαθήραντας M. ‖ 2. ὕδατι. ὕδει Baguet. ad Orat. VIII. p. 62. cum magna veri specie. ‖ 5. εἴωθε. sic dedi. εἰώθει reliq. ‖ 8. ἐᾶτε. εἴητε vel ἦτε Reiskius. frustra.

ΛΟΓΟΣ μθ.

ΠΑΡΑΙΤΗΣΙΣ ΑΡΧΗΣ ΕΝ ΒΟΥΛΗι.

1 Τοῖς ἐπιεικέσιν ἀνθρώποις καὶ πεπαιδευμένοις οὔτε ἀηδὲς
τὸ ἄρχειν οὔτε χαλεπόν. ἥδονται μὲν γὰρ οὐδενὶ μᾶλλον ἢ
τῷ εὖ ποιεῖν. τῷ δὲ ἄρχοντι πόλεως ἢ ἔθνους ἢ καὶ πλειόνων
ἀνθρώπων οὐ μόνον ἐξουσία πλείστη τοῦ εὐεργετεῖν ἐστιν,
ἀλλὰ καὶ ἀνάγκη σχεδόν. εἰ δὲ μή, οὐκ ἀνέχονται τὸν βλα-
βερὸν ἄρχοντα, οὐχ ὅπως ἄνθρωποι, [ὃ δὴ δοκεῖ πάντων δρι-
2 μύτατον εἶναι] ἀλλ' οὐδὲ τῶν θηρίων τὰ ἀφρονέστατα. οὔτε
γὰρ βόες ῥᾳδίως ὑπομένουσι βουκόλων ἀμέλειαν οὔτε αἰπόλια
καὶ ποῖμναι τοὺς φθείροντας νομέας. τὰ μὲν γὰρ ἀποφεύγει
καὶ οὐ πείθεται, τὰ δὲ καὶ ἀμύνεται τοὺς πονηροὺς προστάτας.
οἱ δ' ἵπποι τοὺς ἀμαθεῖς ἡνιόχους ἀποβάλλοντες πολὺ κάκιον
κολάζουσιν ἢ ἐκεῖνοι τῇ μάστιγι παίοντες. τούτων δὲ ἁπάντων
ἄνθρωπος δεινότατόν ἐστι καὶ πλείστην ἔχων σύνεσιν· ὥστε 247 R II
κακῷ μὲν ἡγεμόνι πάντων ἐχθρότατον, τῷ δὲ ἀγαθῷ πάντων
εὐνούστατον. ἡδὺ μὲν οὕτω τοῖς ἐπισταμένοις τὸ ἄρχειν· χα-
λεπὸν δὲ οὐκ ἂν εἴη πρᾶγμα οὐδὲν τῷ μελετήσαντι ἐξ ἀρχῆς 537 M
3 καὶ παρεσκευασμένῳ πρὸς αὐτό. ὁ δὲ τῷ ὄντι φιλόσοφος
οὐκ ἄλλο τι φανήσεται διανοούμενος ἢ τὸ πῶς ἄρχειν καλῶς
δυνήσεται καὶ αὑτοῦ καὶ οἰκίας καὶ πόλεως τῆς μεγίστης καὶ
συλλήβδην ἁπάντων ἀνθρώπων, ἂν ἐπιτρέπωσι· καὶ αὐτὸς
μὲν οὐ προσδεήσεται οὐδενὸς ἄρχοντος, ἀλλ' ἢ τοῦ λόγου καὶ
τοῦ θεοῦ, τῶν δὲ ἄλλων ἀνθρώπων ἐπιμελεῖσθαι καὶ φρον-

Orat. XLIX. Collati sunt BM. — 1, 2. τὸ ἄρχειν. παρέχειν BM. ‖ 6. [ὃ δὴ δοκεῖ πάντων δριμύτατον εἶναι] delenda; conf. §2, 6. ‖ δοκεῖ. δοκεῖ γένος vel δοκεῖ ζῷον Reisk. — 2, 3. νομέας. νομαίας M. ‖ 7. δεινότατόν. aut δεινότατος aut infra ἔχον Reisk. ‖ καὶ πλείστην ἔχων σύνεσιν om. B. ‖ 9. εὐνούστατον r ex Interpr., εὐνούστερον reliq. ‖ μέν. μὲν οὖν Reisk. ‖ οὕτω corr. M, οὕτως reliq. ‖ 11. παρεσκευασμένῳ. παρασκευασαμένω B. ‖ αὐτό. αὐτόν M. — 3, 2. διανοούμενος Casaub., διακονούμενος BM. vm; διαπονούμενος r. ‖ 4. συλλήβδην. συλλύβδην m. ‖ 6. ἄλλων ἀνθρώπων BM, ἀνθρώπων om. reliq.

τίζειν ἱκανὸς ἔσται. καὶ τοῦτο οὐδὲ τοὺς βασιλέας αὐτοὺς
λέληθεν οὐδὲ τῶν ἐν ταῖς δυναστείαις ὅσοι μὴ τελέως ἄφρονες.
τῶν γὰρ πεπαιδευμένων ἐν τοῖς μεγίστοις δέονται συμβούλους
σφίσι γίγνεσθαι, καὶ τοῖς ἄλλοις προστάττοντες αὐτοὶ παρ'
ἐκείνων προστάγματα λαμβάνουσιν, ἃ δεῖ πράττειν καὶ τίνων
4 ἀπέχεσθαι. ὥσπερ τὸν Ἀγαμέμνονα Ὅμηρός φησιν ἀεὶ προσ-
δεῖσθαι τῆς γνώμης τοῦ Νέστορος, καὶ ὁσάκις αὐτῷ συμ- 248 R II.
βουλεύοντι μὴ ἐπεισθῇ, ὀδύρεσθαι καὶ παραχρῆμα μετανοεῖν.
Φίλιππος δὲ, ὃς δοκεῖ δεινότατος γενέσθαι τῶν βασιλέων,
Ἀριστοτέλην ἐπηγάγετο τῷ υἱεῖ Ἀλεξάνδρῳ διδάσκαλον καὶ
ἄρχοντα, ὡς αὐτὸς ὢν οὐχ ἱκανὸς παιδεῦσαι τὴν βασιλικὴν
ἐπιστήμην· ἀλλὰ τῶν μὲν ἄλλων Μακεδόνων καὶ Θρᾳκῶν καὶ
Ἰλλυριῶν καὶ τῶν Ἑλλήνων ἁπάντων ἠξίου ἄρχειν, τὸν δὲ
υἱὸν ἑτέρῳ παρεδίδου ἀρχθησόμενον καὶ τοσαύταις μυριάσι
προστάττων ἑνὶ ἐκείνῳ προστάττειν οὐχ ὑπέμενεν. οὐ γὰρ
ἴσον ἡγεῖτο κίνδυνον εἶναι αὐτῷ, εἰ περὶ τοὺς ἄλλους ἐξαμαρ-
5 τάνοι ἢ εἴ τι περὶ τὸν υἱόν. καίτοι πρότερον αὐτὸς ἐν Θή-
βαις ὁμηρεύων Πελοπίδᾳ τε συνῆν, ἀνδρὶ πεπαιδευμένῳ, ὥστε
καὶ ἐραστὴν ἔφασαν αὐτοῦ τὸν Πελοπίδαν γενέσθαι, καὶ
Ἐπαμεινώνδου τά τε ἔργα ἑώρα καὶ τῶν λόγων δὲ ἤκουεν,
ὃς οὐκ ἀπὸ ταὐτομάτου τοσοῦτον ἴσχυσεν ἐν τοῖς Ἕλλησι
καὶ τοσαύτην μεταβολὴν ἐποίησεν, ὥστε καταλῦσαι Λακεδαι-
μονίους τοσοῦτον χρόνον ἄρχοντας, ἀλλὰ Λύσιδι ὁμιλήσας,
τῷ Πυθαγόρου μαθητῇ. ὅθεν οἶμαι πολὺ διήνεγκεν ὁ Φί-
λιππος τῶν πρότερον ἐν Μακεδονίᾳ βασιλευσάντων. ἀλλ'
ὅμως τοιαύτης παιδείας ἐπιτυχὼν οὐκ ἐθάῤῥει τὸν Ἀλέξαν- 538 M.
6 δρον αὐτὸς διδάσκειν. εὕροι δ' ἄν τις σπανίως μὲν φιλοσό- 249 R II.
φους ἄρξαντας ἐν τοῖς ἀνθρώποις· λέγω δὲ τὰς ὠνομασμένας

9. συμβούλους BM. Anonym. ap. Reisk. r, συμβούλοις vm. ‖ 10. σφίσι. σφιν M. ‖ 11. προστάγματα BM, πρόσταγμα reliq. — 4, 1. ἀεὶ Selden., ἃ δεῖ reliqui, unde ἃ δεῖ ποιεῖν (et δεῖσθαι) Casaub. ‖ 2. τῆς γνώμης M. Casaub., τῇ γνώμῃ reliqui, unde προσκεῖσθαι pro προσδεῖσθαι Selden. ‖ 6. αὐτὸς ὤν. ὢν om. M. ‖ ἱκανὸς. ἱκανὸς ὢν M. ‖ 9. ἀρχθησόμενον Reisk., ἀχθησόμενον reliqui, διδαχθησόμενον Geel. ‖ 11. αὐτῷ. sic dedi. αὐτῷ reliq. ‖ 12. εἴ τι B, εἴ τι καὶ Reisk., εἴ τις reliq. — 5, 3. αὐτοῦ. αὐτὸν B, in M οῦ in rasura. ‖ Πελοπίδαν M. r, Πελοπίδα B. vm. ‖ 4. Ἐπαμεινώνδου BM, Ἐπαμινώνδου reliq. ‖ τῶν λόγων. τὸν λόγον B. ‖ ἤκουεν. sic dedi. ἠκούσειν reliq. ‖ 5. ὃς M. Casaub. r, ὡς B. vm. ‖ 7. ἀλλὰ. ἅμα Valcken. Orat. de Philippo p. 233. frustra. ‖ Λύσιδι ὁμιλήσας. λύσει διομιλήσας M. ‖ 11. αὐτὸς Reisk., οὗτος BM, οὕτως reliq.

αρχας, στρατηγοὺς ἢ σατράπας ἢ βασιλέας καθισταμένους·
πλεῖστα δὲ καὶ μέγιστα ἀπολαύσαντας αὐτῶν ἀγαθὰ τοὺς
ἀρχομένους· Σόλωνος μὲν Ἀθηναίους καὶ Ἀριστείδου καὶ
Περικλέους, τοῦ Ἀναξαγόρου μαθητοῦ, Θηβαίους δὲ Ἐπα-
μεινώνδου, Ῥωμαίους δὲ Νομᾶ, ὅν φασί τινες τῆς Πυθαγό-
ρου σοφίας μετασχεῖν, Ἰταλιώτας δὲ σύμπαντας τῶν Πυθα-
γορικῶν, τοσοῦτον χρόνον εὐδαιμονήσαντας καὶ μετὰ πλείστης
ὁμονοίας καὶ εἰρήνης πολιτευσαμένους, ὅσον ἐκεῖνοι χρόνον
7 *τὰς πόλεις διεῖπον. καὶ κοινῇ δὲ τὰ ἰσχυρότατα τῶν ἐθνῶν,*
ἐπειδὴ οὐ δύνανται ἀεὶ βασιλεύεσθαι ὑπὸ τῶν φιλοσόφων,
ἐπιστάτας τοῖς βασιλεῦσι καὶ ἄρχοντας τούτους ἀπέδειξαν·
Πέρσαι μὲν οἶμαι τοὺς καλουμένους παρ' αὐτοῖς Μάγους, ὅτι
τῆς φύσεως ἦσαν ἔμπειροι καὶ τοὺς θεοὺς ᾔδεσαν ὡς δεῖ
θεραπεύειν· Αἰγύπτιοι δὲ τοὺς ἱερέας, οἳ τὴν αὐτὴν ἐπιστή-
μην εἶχον τοῖς Μάγοις, τῶν θεῶν ἐπιμελούμενοι καὶ τὰ ξύμ-
παντα γιγνώσκοντες πῇ τε καὶ ὅπως ἔχοι· Ἰνδοὶ δὲ Βραχμᾶ-
νας, ἐγκρατείᾳ καὶ δικαιοσύνῃ διαφέροντας καὶ τῇ πρὸς τὸ
θεῖον φιλίᾳ, ὅθεν μᾶλλον ἴσασι τὰ μέλλοντα ἢ οἱ ἄλλοι ἄν-
8 *θρωποι τὰ παρόντα αὐτοῖς· Κελτοὶ δὲ οὓς ὀνομάζουσι Δρυΐ-*
δας, καὶ τούτους περὶ μαντικὴν ὄντας καὶ τὴν ἄλλην σοφίαν,
ὧν ἄνευ τοῖς βασιλεῦσιν οὐδὲν ἐξῆν πράττειν οὐδὲ βουλεύε-
σθαι· ὥστε τὸ μὲν ἀληθὲς ἐκείνους ἄρχειν, τοὺς δὲ βασιλέας
αὐτῶν ὑπηρέτας καὶ διακόνους γίγνεσθαι τῆς γνώμης, ἐν
θρόνοις χρυσοῖς καθημένους καὶ οἰκίας μεγάλας οἰκοῦντας 530 R II
καὶ πολυτίμως εὐωχουμένους. καὶ γὰρ δὴ τοῦτον εἰκός ἐστι
πᾶσαν ἀρχὴν ἱκανώτατα διοικῆσαι, ὃς τὴν χαλεπωτάτην ἀρχὴν
9 *διηνεκῶς ἄρχων δύναται παρέχειν ἀναμάρτητον αὐτόν. ὁ τοί-*
νυν φιλόσοφος αἰεὶ αὐτοῦ ἄρχει, ὃ τῷ παντὶ χαλεπώτερον ἢ
συμπάντων μὲν Ἑλλήνων, συμπάντων δὲ βαρβάρων βασιλεύειν. 539 M
ποῖον μὲν γὰρ οὕτως ἄγριον ἀνθρώπων γένος ἐστίν, ὡς ὀργαί
τε καὶ φθόνοι καὶ φιλονεικίαι, ὧν αὐτὸν ἐγκρατῆ εἶναι δεῖ;

6, 6. Ἐπαμεινώνδου M, Ἐπαμινώνδου reliq. ‖ 7. Νομᾶ B, Νοῦμα m, Νουμᾶ reliq. ‖ 8. σύμπαντας BM. var. l. v. r, οὐ πάντας vm, unde δ' οὖν πάντας vel ἀκούσαντας Selden. — 7, 2. δύνανται M, δύναται reliq. ‖ 3. ἐπιστάτας. ἐπιβάτας (corr. vulg.) M. v. mrg. m. ‖ 4. ὅτι. οἳ Reisk. — 8, 5. ὑπηρέτας in M. mrg. add. ‖ 7. πολυτίμως. πολυτίμους M. ‖ 9. διηνεκῶς Selden., διενηνοχὼς reliqui, unde pro ἄρχων vel ὀρθῶς vel ἄρχων ἑαυτοῦ Reisk. — 9, 2. αὑτοῦ. αὐτοῦ M. ‖ 5. φιλονεικίαι. φιλονικίαι M.

ποῖον δὲ πανοῦργον καὶ ἐπίβουλον καὶ προδοτικὸν, ὡς ἡδοναί
τε καὶ ἐπιθυμίαι, ὧν αὐτὸν οὐδέποτε ἡττᾶσθαι δεῖ; ποῖον δὲ
οὕτω βίαιον καὶ καταπληττόμενον καὶ ταπεινοῦν τὰς ψυχὰς,
ὡς φόβοι τε καὶ λῦπαι, οἷς οὔποτε αὐτὸν πρέπει ὑπείκοντα
10 ὀφθῆναι; ποῖα δὲ ὅπλα, ποῖα δὲ ἐρύματα πρὸς ταῦτα προ-
βέβληται, οἷα οἵ τε βασιλεῖς καὶ στρατηγοὶ πόλεως πρὸς τοὺς
πολεμίους; ποίοις δὲ συμμάχοις ἢ δορυφόροις ἐπὶ ταῦτα χρῆ-
σθαι δυνατὸν, εἰ μή γε τοῖς σοφοῖς καὶ φρονίμοις λόγοις;
τίσι δὲ ἄλλοις ἐντείλασθαι φυλακὰς ἢ ἐπιτρέψαι φρουρεῖν,
ἢ ποίοις χρήσασθαι διακόνοις, [ὡς ἐκείνοις] ἀλλ᾽ οὐκ αὐτὸν 231 R II.
ἀεὶ καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν φροντίζοντα καὶ ἀγρυπνοῦν-
τα τὴν φυλακὴν ταύτην ἔχειν, ὅπως μὴ λάθοι αὐτὸν ἤτοι
ἀνασεισθεὶς ὑπὸ ἡδονῶν ἢ καταπλαγεὶς ὑπὸ φόβων ἢ παρα-
κρουσθεὶς ὑπὸ ἐπιθυμίας ἢ ταπεινωθεὶς ὑπὸ λύπης, ὥστε
ἀποστῆναι τῶν βελτίστων καὶ δικαιοτάτων ἔργων προδότης
11 αὐτοῦ γενόμενος; τῷ δὲ τὴν ἀρχὴν ταύτην ἰσχυρῶς καὶ ἐγ-
κρατῶς ἄρχοντι οὐ χαλεπὸν ἤδη καὶ συμπάντων ἀνθρώπων
κρείττω γίγνεσθαι. ὁπόταν δὲ ταῦτα διεξίω περὶ τῶν φιλο-
σόφων, μηδείς με ἡγείσθω πρὸς τὸ σχῆμα ἀφορῶντα λέγειν
καὶ πρὸς τὸ ὄνομα. οὔτε γὰρ τὸν οἶνον ἐκ τοῦ κεράμου κρί-
νουσιν οἱ νοῦν ἔχοντες· πολλάκις γὰρ εὑρήσεις ἐν σπουδαίῳ
κεράμῳ τὸν ἐκ τῶν καπηλείων οἶνον ἐξεστηκότα· οὔτε τὸν
12 ἄνδρα τὸν πεπαιδευμένον ἐκ τοῦ σχήματος. τοὺς μέντοι πολ-
λοὺς οὐ θαυμάζω ἐξαπατᾶσθαι ὑπὸ τοῦ τοιούτου. τὸν γὰρ
Ὀδυσσέα καὶ τὸν Ἶρον οἱ μνηστῆρες συνέβαλον διὰ τὸ σχῆμα
ὡς οὐδὲν διαφέροντας. ἔφη δέ τις τῶν ὀλίγῳ πρότερον φιλο-
σόφων οὐ φαῦλον, τὸ Ἰσμηνίαν τοῦτο μάλιστα ἀγανακτεῖν,

6. δὲ. δὲ οὕτω Reisk. ‖ 8. καταπληττόμενον. καταπλήττειν δυνάμεως (an δυνάμενον?) vel καταπληκτικὸν vel καταβλητικὸν ὑμῶν Seldenus. frustra; nam καταπλήττομαι haud raro vim habet activam. — 10, 2. οἷα οἵ τε M, οἷα οὔτε reliq. ‖ 5. φυλακὰς Casaub. r, φυλακῆς reliqui. φυλακὴν Reiskius. ‖ ἢ ἐπιτρέψαι φρουρεῖν suspecta fuerunt Reiskio. ‖ 6. [ὡς ἐκείνοις] om. M. ‖ ἀλλ᾽ οὐκ. ἀλλ᾽ εἰκὸς Iacobs. Add. p. 350. ‖ 7. ἀεὶ. δεῖ Reiskius. frustra. locum, quem ego sanum existimo, sic constituit Iacobsius: ἀλλ᾽ οὖν αὐτὸν ἀεὶ ἔοικε νύκτωρ καὶ μεθ᾽ ἡμέραν φροντίζοντα. ‖ καὶ μεθ᾽ M. Reisk., καθ᾽ reliqui, unde καὶ καθ᾽ Geel. ‖ 8. αὐτὸν Reisk., αὐτὸς reliqui. possit αὐτός αὐτὸν. — 11, 2. ἄρχοντι. ἔχοντι mrg. M. mrg. m. ‖ 3. γίγνεσθαι B, γίνεσθαι reliq. ‖ 7. καπηλείων. καπηλίων M. — 12, 3. συνέβαλον. συνέβαλλον M. ‖ 5. φαῦλον M, φαύλων reliq. ‖ τὸ B, τὸν reliq. ‖ Ἰσμηνίαν Vales. p. 74, Ἴσμηνον reliq.

τὸ καλεῖσθαι αὐλητὰς τοὺς τυμβαύλας. οὐ παντελῶς ὅμοιον 310 M.
ὄν, ἐμοὶ δοκεῖ. οὐ γὰρ βλάπτουσιν οὐδὲν οἱ τυμβαῦλαι τοὺς
νεκροὺς οὐδ' ἐνοχλοῦσιν. τῶν δὲ προσποιουμένων φιλοσοφεῖν 232 R II
13 ἔνιοι καὶ πολλὰ χαλεπὰ ἐργάζονται. ἀλλὰ τοῦ γε ὄντως φι-
λοσόφου τὸ ἔργον οὐχ ἕτερόν ἐστιν ἢ ἀρχὴ ἀνθρώπων. ὅστις
δὲ ὀκνεῖ τὴν αὑτοῦ πόλιν ἑκοῦσαν καὶ ἐπικαλουμένην διοικεῖν
οὐ φάσκων ἰατρὸς εἶναι ὅμοιός ἐστιν, ὥσπερ εἴ τις τὸ μὲν
ἑαυτοῦ σῶμα θεραπεύειν μὴ θέλοι ἀξιῶν ἰατρὸς εἶναι, ἄλλους
δὲ ἀνθρώπους ἰατρεύοι προθύμως ἀργύριον ἢ τιμὰς λαμβά-
νων, ὥσπερ ἐλάττω μισθὸν ὄντα ἑτέρου μισθοῦ τὴν ὑγείαν·
ἢ εἴ τις ἀξιῶν ἱκανὸς εἶναι παιδοτρίβης ἢ γραμμάτων διδά-
σκαλος ἀλλοτρίους μὲν παῖδας ἐθέλοι διδάσκειν, τοὺς δὲ αὑ-
τοῦ πέμποι πρὸς ἄλλον τινὰ τῶν φαυλοτέρων· ἢ εἴ τις ἀμε-
λήσας τῶν ἑαυτοῦ γονέων ἀλλοτρίους ἐθέλοι προτιμᾶν, οὓς
14 ἂν αἴσθηται πλουσιωτέρους ἐκείνων ἢ μᾶλλον ἐνδόξους. οὔτε
γὰρ δικαιότερον οὔτε μᾶλλον ἥδιον τῶν ἀναγκαίων ὑπεριδόν- 233 R II
τα τοῖς μηδὲν προσήκουσιν ὠφέλιμον γίγνεσθαι. [οὐκοῦν τό
γε ἀκόλουθόν ἐστι τοῖς λόγοις τούτοις ἄρχειν αὑτοῦ τὸν βου-
λόμενον ὑμῶν.] ἀλλ' εὖ ἴστε, ὅτι, εἰ μή τι ἦν ἀδύνατον, οὐκ

6. ὅμοιον ὂν Reisk., οἷον δ' ὢν B, οἷον δ' ὄνον M, οἷον δ' ὂν v. mrg. m, οἷον ὂν m, δεινὸν ὂν Casaubonus, δ' ὅμοιον Perizon. ad Aelian. V. H. XII, 43. p. 794. Geelio complura excidisse videntur. nam tale quid desiderari: αὐτὸς δὲ οὐχ ἧττον ἀγανακτεῖν τὸ φιλοσόφους καλεῖσθαι τοὺς φιλοσοφεῖν προσποιουμένους. vere opinor. ‖ 7. ἐμοὶ δοκεῖ. δοκεῖ ἐμοὶ B, ἐμοὶ δοκεῖν Perizon. l. l. — 13, 1. τοῦ γε Casaub. r, τοῦτό γε reliq. ‖ 2. ἀνθρώπων M, ἀνθρώπου reliq. ‖ 3. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ καὶ delebat Reiskius, at dubitantius. ‖ 4. οὐ φάσκων ἰατρός. malim φάσκων φιλόσοφος. οὐ φάσκων ἰδιώτης (vel ἄνιδρις) vel φάσκων ἱκανὸς Seldenus. locum ita constituit Reiskius: διοικεῖν, καὶ ταῦτα φάσκων πόλεων ἰατρὸς εἶναι. Geelius: οὐ φάσκων ἱκανός. ‖ 5. ἀξιῶν om. M. ‖ 6. ἀργύριον M, ἢ ἀργύριον Selden., δὲ ἀργύριον reliqui, unde δι' ἀργύριον Reiskius (idem ὑπολαμβάνων ὥσπερ). ‖ 7. τήν. τὴν ἰδίαν Geel. ‖ 9. ἐθέλοι B, θέλοι M. r, θέλει reliq. ‖ 10. φαυλοτέρων. φαυλοτέρον m. ‖ 11. ἑαυτοῦ. αὐτοῦ M. ‖ προτιμᾶν, οὓς Casaub., προκειμένους reliqui. possit προκρίνειν οὕς. προκρῖναι οὓς Iacobs. Add. p. 189. hunc locum sic tentat Seldenus: ἐθέλοι προδοὺς ἐκείνους vel ἕλοιτο προδοὺς ἐκείνους vel ἐθέλοι τρέφειν μόνους. Reiskius: ἐθέλοι τρέφειν προσκείμενος. Pflugkius: περιέποι προσκείμενος aut ἐθέλοι γηροκομεῖν, οὕς. ‖ 12. αἴσθηται. αἴσθητε M. ‖ ἐκείνων Reisk., ἐκείνους reliqui. ἢ ἐκείνους Iacobs. Add. p. 189. — 14, 2. μᾶλλον ἥδιον. καλὸν νὴ Δία Reiskius, malim μὰ Δί' ἥδιον. Geelius locum sic constituit: οὔτε μᾶλλον ἡδύ, ὄντων ἀναγκαίων, τούτους ὑπεριδόντα. at ὑπεριδεῖν et alibi cum genitivo construitur. ‖ 3. [οὐκοῦν — ὑμῶν] delenda. ‖ 4. αὑτοῦ τόν. αὖ τὸν B, αὐτὸν M. ‖ 5. ἴστε. ἴσθε B, εἴστε M.

ἂν περιέμενον ὥστε ὑμᾶς ἀξιοῦν, ἀλλ' αὐτὸς ἂν ἠξίουν καὶ παρεκάλουν. ἓν γάρ τι καὶ τοῦτό ἐστι τῶν καλῶν καὶ σωφρόνων, τὸν παραγγέλλοντα καὶ χάριν εἰδότα τῆς χειροτονίας ἄρχειν τῶν πολιτῶν, ἀλλὰ μὴ καθαιροῦντα μηδὲ ἄτιμον τὸ πρᾶγμα ποιήσαντα. τί οὖν ἐστι τὸ ἀδύνατον ἐν τῷ παρόντι; ἐγὼ μὲν καὶ τἆλλα ἀξιῶ πιστεύεσθαι, ἐφ' ὧν λέγω· οὐδέποτε γὰρ ὑμᾶς ἐξηπάτησα, ὡς ἐγὼ νομίζω, ὑπὲρ οὐδενός, οὐδὲ πρότερον ἄλλως διανοούμενος εἶπον, ἀλλὰ τὸ ἀεὶ πλείους ἀσχολίας καταλαβεῖν μέχρι τοῦδε οὐχ ἑκόντα με κατέσχηκεν. τὸ δὲ νῦν οὐκέτι ἐγχωρεῖ σχεδόν. οὔτε γὰρ ἐμοὶ οὔτε ἴσως ὑμῖν ἄμεινόν ἐστιν ἐμὲ διατρίβειν ἐνθάδε. ὥστε παραιτοῦμαι τὴν 254 R II. 541 M.
ψῆφον. ἐπίσταμαι γάρ, ὅτι οὐκ ἂν ἐδεήθην ἐξετάσεως, ἀλλὰ ὥσπερ πρότερον ἐν τῷ φανερῷ πάντες ἐψηφίσασθε, ὁπότε με ὑπενοήσατε βούλεσθαι, τὸ αὐτὸ καὶ νῦν ἂν ἐποιήσατε. ἀλλ' οὐκ ἔχω οὕτως. ἀλλ' ἵνα μὲν ἄρξω, ἐπίσταμαι, ὅτι οὐκ ἂν ἔδει με παρακαλεῖν· ἵνα δὲ ἀφεθῶ, ὑπὲρ τούτου παρακαλῶν οὐκ αἰσχύνομαι.

8. τὸν. τὸ vel αὐτὸν Reisk. ‖ 10. ποιήσαντα. malim ποιήσοντα. — 15, 1. ἀδύνατον. δύνατον M. ‖ 2. μὲν καὶ M, μὲν om. reliq. ‖ ἐφ' ὧν Casaub., ὑφ' ὧν reliqui, unde ὑπὲρ ὧν vel ὑφ' ὑμῶν ἐν οἷς Reisk. ‖ 3. οὐδὲ. malim οὔτε, quod respondeat v. καὶ τἆλλα. ‖ 4. ἄλλως διανοούμενος εἶπον. ἀλλ' ὡς διανοούμενος ἦν εἶπον vel ἄλλως διανοούμενος ἄλλως εἰπὼν Casaub., ἄλλως διανοούμενος εἶπον ἄλλως Reiskius. Pflugkius locum ita constituit: οὐδὲ πρότερον ἄλλα διανοούμενος εἶπον ἄλλα. εἰ δὲ πλείους ἀεὶ ἀσχολίας καταλιπεῖν μέχρι τοῦδε οὐχ ἑκόντα με κατέσχηκε, τό γε νῦν οὐκέτι ἐγχωρεῖ σχεδόν. mihi post v. εἶπον excidisse videntur ὅτι δεῖ με ἀπιέναι vel eiusdem significationis verba. ‖ ἀλλὰ τὸ ἀεὶ Reisk., ἀλλ' ἀεὶ reliq. ‖ ἀσχολίας. ἀσχολίαι BM. ‖ 5. καταλαβεῖν Reisk., καταλιπεῖν reliqui, quod depravatum esse iudicabat Casaubonus. ‖ 10. βούλεσθαι. βούλεσθε M. ‖ 12. παρακαλεῖν. sic dedi. παρακαλεῖσθαι reliq.

ΛΟΓΟΣ ν.

ΠΕΡΙ ΤΩΝ ΕΡΓΩΝ ΕΝ ΒΟΥΛΗι.

1 Ἐγὼ καὶ πρότερον μὲν ὑμᾶς ἠγάπων, ὦ ἄνδρες, ὥσπερ
εἰκὸς ἦν τὸν ἄνδρα τὸν ἐπιεικῆ καὶ οὐκ ἀνόητον τὸ φρονιμώ-
τατον στέργειν τῆς πατρίδος καὶ βεβαιότατον· τὸ δὲ ὑμῶν
ἄλλους προτιμᾶν ὅμοιον, ὥσπερ εἴ τις φιλόπολις εἶναι λέγων
ταῖς οἰκίαις μὲν ἥδοιτο καὶ τοῖς ἐργαστηρίοις τοῖς ἐν τῇ πόλει,
τὴν δὲ ἀγορὰν καὶ τὸ πρυτανεῖον καὶ τὸ βουλευτήριον καὶ
τὰ ἄλλα ἱερὰ ἀμελέστερον ὁρῴη, ἢ νὴ Δία εἴ τις Λακεδαιμο-
νίων τὸ μὲν πλῆθος ἐφίλει, τοὺς δὲ βασιλέας καὶ τοὺς ἐφό-
ρους καὶ τοὺς γέροντας ἠτίμαζε, τοὺς σωφροσύνῃ τῶν ἄλλων
2 διαφέροντας καὶ δι' οὓς ἅπασα ἡ πόλις ἐσῴζετο. ὅπου καὶ 253 R II
παρὰ τοῖς Ἀθηναίοις, οἳ μάλιστα ἀνθρώπων ἐδημοκρατοῦντο
καὶ πλεῖστον ἔνεμον τοῖς πολλοῖς καὶ δημοτικοῖς, οὐδεὶς πώ-
ποτε οὕτως ἐγένετο θρασὺς δημαγωγός, οὐδὲ Ὑπέρβολος ἐκεῖ-
νος ἢ Κλέων, ὥστε τὸν Ἄρειον πάγον ἢ τὴν βουλὴν τοὺς
ἑξακοσίους ἀτιμότερον τοῦ δήμου νομίζειν. εἰ δὲ συνεχῶς
μέμνημαι Λακεδαιμονίων καὶ Ἀθηναίων, συγγνώμην ἐχέτω-
σαν οἱ πάνυ δριμεῖς, ὅτι τῶν τοιούτων παραδειγμάτων ὑμᾶς
ἀξίους κρίνω, καὶ πρὸς Ἕλληνας, ὡς οἶμαι, διαλεγόμενος οὐκ
ἄλλων τινῶν μᾶλλον ἡγοῦμαι πρέπειν μνημονεύειν ἢ τῶν ἄκρως
3 Ἑλλήνων. τῆς δ' οὖν εὐνοίας τῆς πρὸς ὑμᾶς καὶ τῆς πίστεως
ἐκεῖνο ὑμῖν γιγνέσθω τεκμήριον, ὅτι μήτε ἑταιρείᾳ τινὶ πε-
ποιθὼς μήτε συνήθεις ἐξ ὑμῶν ἔχων τινὰς θαρρῶν εἰσέρχομαι 542 M.
πρὸς ὑμᾶς καὶ νομίζω μηδενὸς ἔλαττον ἂν ἔχειν, δηλονότι τῇ
κοινῇ φιλίᾳ πεπιστευκὼς καὶ τῇ πρὸς ἅπαντας εὐνοίᾳ, μηδὲ

Orat. L. Collati sunt BM. titulus ineptus est. — 1, 1. ἐγὼ καί. ἔγωγε B, ἐγὼ M. ‖ 2. οὐκ ἀνόητον Casaub. r, οὐκ om. reliq. ‖ τὸ BM. Casaub. r, τὸν vm. ‖ 7. ὁρῴη. ὁρῶν M. ‖ 8. τὸ μὲν M, μὲν om. reliq. — 2, 3. ἔνεμον. ἄνιμον B (corr. vulg.). ‖ πολλοῖς. πολιτικοῖς B. ‖ 6. ἑξακοσίους. πεντακοσίους Casaub. ‖ 7. μέμνη-μαι. μέμνηναι m. ‖ 10. πρέπειν om. B. — 3, 2. ἑταιρείᾳ M, ἑταιρίᾳ reliq. ‖ 4. ἂν ἔχειν B. r, ἀνέχειν reliq. ‖ 5. ἅπαντας BM. Anonym. ap. Reisk. r, ἅπαντα reliq. ‖

ἰσχυρὸς ἢ φοβερὸς εἶναι δοκῶν ἢ βουλόμενος ὡς διὰ τοῦτο
θεραπεύεσθαι. εἰ δὲ ἠλέουν τοὺς δημοτικοὺς, ὅτε ἦσαν ἐλε- 256 R II.
εινοὶ, καὶ καθόσον οἷόν τε ἦν ἐπικουφίζειν ἐπειρώμην, οὐθέν
ἐστι τοῦτο σημεῖον τοῦ πρὸς ἐκείνους ἔχειν οἰκειότερον· ἐπεὶ
καὶ τοῦ σώματος ἀεὶ τὸ κάμνον θεραπεύομεν καὶ πλείονα
ποιούμεθα πρόνοιαν ποδῶν ἢ ὀφθαλμῶν, ὅταν οἱ μὲν ἀλγῶσι
4 καὶ πεπονθότες ὦσιν, οἱ δὲ ὑγιαίνωσιν. εἰ δὲ εἶπον ἐλεεινοὺς
τοὺς δημοτικοὺς, μηδεὶς ὑπολάβῃ λέγειν με, ὡς ἄδικα καὶ
παράνομα ἔπασχον· ὁπότε καὶ τοὺς ὑπὸ ἰατρῶν τεμνομένους
ἢ καιομένους, ἐπὶ σωτηρίᾳ πάσχοντας ταῦτα, ἐλεοῦμεν, καὶ
δακρύουσιν ἐπ' αὐτοῖς καὶ μητέρες καὶ πατέρες εἰδότες ὠφε-
λουμένους. ὃ δὲ ἔφην, ὅτι καὶ πρότερον ὑμᾶς ἠγάπων, πρὶν
ἢ πεῖραν ἱκανὴν εἰληφέναι τῆς διανοίας, νῦν γε ὀμνύω τοὺς
θεοὺς ὑμῖν ἅπαντας· ἦ μὴν ἔγωγε τὴν βουλὴν οὐ μόνον ἀξίαν
τιμῆς κρίνω καὶ φιλίας, ἀλλὰ καὶ θαυμάζω τὴν ἰσχὺν ὑμῶν
5 καὶ τὴν ἀλήθειαν καὶ τὴν ἐλευθερίαν. καὶ τοῦτον ἔσχηκα
τὸν τρόπον, ὥστε τῷ δήμῳ μὲν ἐκτετικέναι δοκεῖν κατὰ τὴν
ἐμαυτοῦ δύναμιν ὡς πολίτης, ὑμῖν δὲ ὀφείλειν καὶ μηδέποτε
ἂν δυνηθῆναι τὴν ὑμετέραν εὔνοιαν ὑπερβαλέσθαι. καὶ τοῦτο
δὴ τὸ ῥηθὲν ὑπὸ τῶν παλαιῶν τινος ῥητόρων ὑπερβολήν τινα
ἔχειν δοκοῦν κολακείας, ὅτι τὸν δῆμον εἰκότως ἂν ἐν τοῖς
ὀφθαλμοῖς περιφέροι, νῦν ἐγὼ δικαίως ἂν εἴποιμι πρὸς ὑμᾶς.
καὶ τὸν υἱὸν τοῦτον, εἰ νοῦν ἔχει καὶ σωφρονεῖ, νομίζω πάντα 257 R II.
τὸν βίον ἐξ ἴσου ὑμῖν ἀναθήσειν καὶ θεραπεύσειν ὑμᾶς οὐχ
6 ἧττον ἐμοῦ. τίνος γενομένου, φήσει τις, καὶ τίνα τῶν ἀνδρῶν
πεῖραν εἰληφὼς οὕτως ὑπερδιατείνῃ; ἴσως ἐπίπνοιά τίς μοι
γέγονεν αὐτόματος καὶ φορὰ τῆς ψυχῆς τοιαύτη πρὸς ὑμᾶς·
ἐκεῖνο δ' οὖν ἐπίστασθε σαφῶς, ὅτι οὔτε δῆμον οὔτε βουλὴν 543 M.
οὔτε ἄνδρα σατράπην ἢ δυνάστην ἢ τύραννον στέργειν ἢ θε-

μηδέ. sic dedi. μήτε reliq. ‖ 6. ὡς delet Reisk., πως Geel. — 4, 1. εἰ. οἱ M. ‖ 4. ἢ καιομένους BM, καὶ κᾳομένους reliq. ‖ ταῦτα M (mrg. καὶ ταῦτα), καὶ ταῦτα reliqui. Reiskius hunc locum sic tentat: καὶ πάντα ἐπὶ σωτηρίᾳ πάσχοντας ἐλεοῦμεν. ‖ 8 οὐ μόνον B. Casaub. r, οὐ om. reliq. ‖ 9. ὑμῶν BM. r ex Interpr., ἡμῶν vm. — 5, 5. τινος BM. Geel., τινων reliqui, τινα (?) Pflugk. ‖ 6. δοκοῦν. δοκεῖν m. ‖ 7. περιφέροι, νῦν Hemsterh., περιφέροι μὴν M, περιφεροίμην reliq. ‖ 8. σωφρονεῖ r ex Interp., σωφρονεῖν reliq. ‖ 9. ἐξ ἴσου om. BM. ‖ ἀναθήσειν. ἀνθήσειν BM. ‖ θεραπεύσειν B. r ex Interpr., θεραπεύειν reliq. — 6, 2. ὑπερδιατείνῃ. ὑπερδιατείνη M. ‖ τίς μοι γέγονεν. μοι τίς γέγονεν ἐν (sed ἐν a corr. add.) M. ‖ 4. ἐπίστασθε. ἐπίστασθαι M.

ραπεύειν τοῖς λόγοις ἐγὼ δύναμαι, μὴ παρ' ἐμαυτῷ πρότερον αὐτὸν ἐπαινέσας καὶ τὸ τῆς ψυχῆς ἦθος ἀποδεξάμενος. ὑμᾶς δὲ ὁρῶ σχεδὸν, ὁσάκις ὑμῶν γέγονε πεῖρα τῆς διανοίας, μηδὲν πώποτε ἄδικον μηδὲ ἀμφίβολον μηδὲ ταπεινὸν μηδὲ εὐμετάβολον μηδὲ ἀναίσθητον ἢ θορύβων ἢ πραγμάτων ἐπιδεδειγμέ-
7 νους· ὥστε εἴποιμ' ἂν θαῤῥῶν· ἔχετε μὲν προστάτας χρηστοὺς, οὐδένα δὲ ἄξιον ἑαυτῶν, ἀλλ' οὐδὲ τῶν πρότερον, ἢ τὸν ἐμὸν πατέρα ἢ πάππον οὐδὲ τοὺς τῶν ἄλλων, πάντας ἀγαθοὺς καὶ τιμῆς ἀξίους. καὶ μηδείς με νομίσῃ λέγειν ἐμαυτὸν εἰσποιοῦντα τῷ προΐστασθαι τῆς βουλῆς· ἐγὼ μὲν γὰρ ἄπειμι διὰ πολλὰς αἰτίας· καὶ πιστεύσατε, ὡς νῦν γοῦν ἀληθῶς ἐγὼ λέγω· καὶ ἴσως οὐκ ἐμαυτοῦ χάριν ὠφελείας ἢ τρυφῆς τινος· 239 R II
8 ἣν δὲ εἶχον, ἀποκρύψασθαι γνώμην οὐκ ἐδυνάμην. καὶ οὐκ ἔστι δέος, μή ποτε ἐγὼ δόξω κολακεύειν ὑμᾶς, οὐ κολακεύσας τὸν ἐχθρὸν τύραννον οὐδὲ ῥῆμα ἀγεννὲς οὐδὲ ἀνελεύθερον εἰπὼν, ὅτε πολλοῖς ἀγαπητὸν ἦν ζῆν ὁτιοῦν πράττουσι καὶ λέγουσιν. ἀλλά μοι δοκεῖ μέγα καὶ θεῖον εἶναι τὸ γιγνόμενον παρ' ὑμῖν. ἰδίᾳ μὲν γὰρ ὁποῖοί ποτέ ἐστε, οὐ σφόδρα ἀκριβῶς ἐπίσταμαι· νομίζω δὲ βελτίους τῶν πολλῶν. κοινῇ δὲ, ὅταν συνέλθητε δεῦρο ἢ πάλιν εἰς τὴν ἐκκλησίαν, οὐδὲν πώποτε οὔτε ταπεινὸν οὔτε ἀνελεύθερον οἶδα εἰπόντας ἢ φρονήσαντας ὑμᾶς, οὐ παράκλησιν ἰσχύουσαν παρ' ὑμῖν, οὐχ ὑπόσχεσιν, εἴ τις ἄρα τοιοῦτός ἐστιν, ὥστ' ἰσχύειν ἀπειλῶν. διὰ τί δὲ μὴ φῶ τὰ δοκοῦντα ἐμαυτῷ; καθάπερ δέον τὸν φιλόσοφον τὰ πονηρὰ μόνον ἐξελέγχειν, τὰ δὲ βελτίω παρακαλύπτεσθαι, ἢ τὴν ἀλήθειαν ἐπὶ μόνοις τοῖς κακοῖς οὖσαν ὠφε-

6. μὴ M. Reisk., εἰ μὴ reliq. ‖ 8. γέγονε πεῖρα. γέγονε ἐν πείρα (sed ἐν obelo notat.) M. ‖ 9. μηδὲ ἀμφίβολον. μήτε ἀμφίβολον B. ‖ μηδὲ. sic dedi. μήτε reliq. ‖ μηδὲ. sic dedi. μήτε reliq. ‖ 10. μηδὲ. sic dedi. μήτε reliq. ‖ ἢ θορύβων. θόρυβον B, ἢ θόρυβον M. malim μηδ' ἧττον θορύβων. conf. Cens. p. 369. ἢ θορύβων ἐχόμενον Reisk., μετὰ θορύβων Geel. ‖ πραγμάτων. ταραγμάτων Geel. ‖ ἐπιδεδειγμένους. ἐπιδεδειγμένοις B, ἐπιδεδιγμένοις M. — 7, 2. τῶν. τὸν B. ‖ ἢ τόν. ἢ malim abesse. ‖ 3. πάντας. πάντα M, unde τἄλλα πάντα pro τῶν ἄλλων πάντας Geel. ‖ 4. με. με ταῦτα Reisk. ‖ 5. τῷ M. r, τὸ B. vm, εἰς τὸ Selden. ‖ ἄπειμι. εἴποιμι B, ἀπεῖπον Geel. ‖ 6. νῦν γοῦν. sic dedi. idem visum Pflugkio. γοῦν B, γοῦν νῦν reliq. ‖ ἐγὼ om. BM. ‖ 7. ὠφελείας. ὠφελίας M. — 8, 8. συνέλθητε. συνέθητε m. ‖ 10. ὑπόσχεσιν. malim ὑπόσχεσιν, οὐκ ἀπειλάς (Reisk. οὔτ' ἀπειλάς). Seldenus tantum ἢ ante εἰ interponit, Pflugkius οὐκ. docte. ‖ 11. ἰσχύειν. ἰσχύσειν m. et fortasse pr. man. M. ‖ 14. ἢ τήν. ἢ μὴ Selden. ‖ ἐπὶ Reisk., που ἐπὶ Iacobs. Add.

λιμον, ἀλλ' οὐ καὶ ἐπὶ τοῖς ἀγαθοῖς οὐδὲν ἧττον, ὅτι εὔφημος:
9 σὺ οὖν, φήσει τις, ἐγκώμιον ἀναστὰς ἠθέλησας εἰπεῖν τῆς
βουλῆς; καὶ τί δεινόν, ἐὰν ἀληθὲς ᾖ; τὸ δὲ ἐγκώμιον τοῦτο, 544 M.
ἐὰν φαίνησθε ἀνόμοιοι τοῖς λεγομένοις, οὐχ ὑμέτερός ἐστιν
ἔπαινος, τοῦ δὲ εἰπόντος κατηγορία. ὅμως δὲ οὐκ ἂν ἐποιη-
σάμην οὐδένα λόγον τοιοῦτον, εἰ μὴ σφόδρα ἤλγησα, ὥσπερ
πρότερόν ποτε, ἀκούσας, ὅτι καθυφίεμαι τὸ ὑμέτερον. καὶ 259 R II.
διὰ τοῦτο ἀπελογησάμην, οὐχ ὑπερορῶν ἀπολογεῖσθαι· πό-
θεν; οὐδὲ κρίνων ἐμαυτοῦ ταπεινότερον. νυστάζοντι μὲν
γάρ, ὥς φασι, δικαστῇ καὶ νὴ Δία τυράννῳ κακοήθει καὶ
πονηρῷ ταπεινὸν ἀπολογεῖσθαι· πολίταις δὲ καὶ συγγενέσι
καὶ φίλοις, οὓς τις ἡγεῖται μετρίους, οὐ ταπεινόν, ἀλλ' εὔγνω-
μον καὶ δίκαιον. καὶ τότε οὖν ὀρθῶς ἐποίησα καὶ νῦν πολλῷ
10 μᾶλλον, ὅτε ὑμᾶς σαφέστερον ἐπίσταμαι. πυνθάνομαι γάρ,
ὥς τινες ἔδοξαν καὶ λόγος ἐῤῥύη τοιοῦτος, ὡς ἐμὲ ἐμποδὼν
γενόμενον τῷ συνάγεσθαι βουλήν· ἐπεὶ καὶ τόδε ἤκουσα, ὡς
πάντα ἁπλῶς νομίζουσι τὰ τῆς ἀρχῆς γίγνεσθαι κατὰ τὴν
ἐμὴν γνώμην. ἐγὼ δὲ ἐκεῖνο μὲν οὐκ ἀφαιροῦμαι τὸν υἱόν, τὸ
μηδὲν ἄκοντος ἂν ἐμοῦ ποιῆσαι τῶν ἐφ' ἑαυτῷ μηδὲ ἄλλως ἂν
ἢ στοχαζόμενον καὶ τῆς ἐμῆς γνώμης· ὀμνύω δὲ μὴ προστάξαι
μηδεπώποτε μηδέν· λέγω δὲ τῶν κοινῶν· μηδὲ συμβουλεύειν
ὡς πατέρα ὄντα καὶ κρείττονα ἢ δοκοῦντα προστάγματος 260 R II.
ἔχειν τάξιν. καὶ διὰ τὴν ὑποψίαν ταύτην ἀπὸ χρόνου τινὸς
οὐδὲ ταῖς βουλαῖς παρετύγχανον. τὸ γὰρ ἄρχειν αὐτὸν ἀξιώ-
σαντα τῆς πόλεως, ὡς ἱκανὸν ὄντα βουλεύεσθαι ἤδη καὶ διοι-

p. 227, οὐκ ἐπὶ reliq. ‖ 15. ἀλλ' οὐ. sic dedi. ἀλλὰ reliq. ‖ ὅτι. ἐστιν r. — 9, 1. σύ. σοῦ M. ‖ 2. ᾖ BM. Iacobs. Add. p. 227, ἦν reliq. ‖ 3. φαίνησθε. φαίνισθε M. ‖ 7. ἀπελογησάμην. ἀπολογησάμην M, οὐκ ἀπελογησάμην Reiskius (idem νῦν ἀπολογούμενος τότε οὐκ ἀπελογησάμην). ‖ ἀπολογεῖσθαι delet Geel. ‖ 8. ἐμαυτοῦ BM (corr. ἐμαυτῷ). Reisk. (idem παρ' ἐμαυτῷ), ἐμαυτῷ reliq. ‖ ταπεινότερον. ταπεινώτερον M. — 10, 3. γενόμενον M, γινόμενον reliq. ‖ τῷ. τὸ B. ‖ ἐπεὶ καί. ἔπειτα καὶ vel ἔτι δὲ καὶ Geel. ‖ 5. ἐκεῖνο BM. Selden. r, ἐκείνῳ reliq. ‖ 9. ὡς πατέρα ὄντα καί. sic dedi. πατέρα ὄντα Reisk., πότερα ὄντα reliqui, unde ὥς ποτε ὁ ῥέζων τὰ vel προορίζων τὰ vel θάτερα ὡς τὰ Selden., ὥσπερ ἂν ὄντα Pflugk. ‖ κρείττονα. κρείττονα συμβουλῆς Reisk. ‖ ἢ δοκοῦντα. δοκοῦντα M. malim τὰ δοκοῦντα. ‖ 11. ἄρχειν Selden., ἔχειν reliqui, unde ἐᾶν vel ἀνέχεσθαι (et αὐτὸν) Pflugkius. locum sic consituit Reiskius: ἔχειν υἱὸν ἀξιωθέντα περὶ τῆς πόλεως, ὡς ἱκανὸν ἤδη ὄντα, βουλεύεσθαι. ‖ 12. ἤδη. δὲ M.

κεῖν τὰ κοινά, μεταξὺ δὲ ἔργῳ ποιεῖν ἰδιώτην καὶ τῆς ἐξουσίας τῆς κατὰ τὸν νόμον ἄκυρον οὔτε ἄλλως ἐπιεικὲς οὔτε ἴσως αὐτοῖς τηλικούτοις.

ΛΟΓΟΣ να.

ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ.

1 *Σφόδρα θαυμάζειν ἔπεισιν, ὦ ἄνδρες, εἴ τις οὐκ ἀπο-* (261 R. 513 M.
δεχόμενός τινα οὐδὲ ἀγαπῶν, ἔπειτα ἀναστὰς ἐπαινεῖ τῷ λόγῳ·
καὶ ἐνίοις διῆλθεν ἐγκώμιον μακρὸν καὶ λίαν ἐπιμελῶς συγ-
κείμενον. ὁ γὰρ τοιοῦτος ἄνθρωπος οὐκ ἔστιν ὅ τι τῶν αἰσχί-
στων οὐ σύνοιδεν αὑτῷ, φθόνον, μικροψυχίαν, τὸ πάντων
ἔσχατον, δουλείαν. λέγεται γοῦν οὐκ ἀτόπως καὶ παρὰ τοῖς
παλαιοῖς· δούλου τόδ' εἶπας. φέρε δή, πῶς οὐκ ἂν εἴη δοῦ-
λος ὁ πρὸς τοσούτους ἅμα ἀνθρώπους ἕτερα ὢν φρονεῖ ποιῶν,
καὶ ταῦτα οὐχ ἁπλῶς, ἀλλὰ μετὰ φροντίδος καὶ παρασκευῆς
καὶ κολακεύων πολλάκις ἄνθρωπον καὶ θαυμάζων, ὃν οὐ
2 *φιλεῖ; μέτριον γὰρ οὕτως εἰπεῖν. καὶ μὴν ὅτι πάντες πάντα*
ἐγκωμιάζουσι παρ' ἡμῖν, ἐπίστασθε δήπου· ὥστ' ἐγὼ συνή-
δομαι καὶ κρίνω μακαρίους ὑμᾶς, εἰ οὕτως φιλοῦμεν πάντες
ἅπαντας. τοῦτο γάρ ἐστιν ἀκόλουθον. ἐβουλόμην δ' ἄν,
ὥσπερ ἐν ταῖς βουλαῖς καὶ ταῖς ἐκκλησίαις πολλῶν ἐγκωμίων
ἀκοῦσαι ἔστιν, οὕτω καὶ ἐν τῇ ἀγορᾷ καὶ τοῖς ἄλλοις συλ-

13. *δὲ ἔργῳ. δι' ἔργων* Selden. (vel *ἀξιῶσαι* pro *ἀξιώσαντα*). ‖ 15. *αὐτοῖς* BM, malim *ἐν τοῖς* vel *ἂν τοῖς. τοῖς* Pflugk., *αὖ τοῖς* reliq.

Orat. LI. Collati sunt BM. titulus ineptus est. — 1, 3. *καὶ ἐνίοις. καὶ ἐνίοτε* Geel., malim *ὡς καὶ νῦν τις.* ‖ *λίαν. λείαν* M. ‖ 4. *αἰσχίστων. ἐσχίστων* M. ‖ 5. *αὑτῷ* B, *αὐτῷ* reliq. ‖ *φθόνον. φόβον* Geel. ‖ 7. *δούλου.* Eurip. Phoen. v. 395. ‖ *οὐκ ἂν εἴη.* sic dedi. *ἂν εἴη* M, *ἂν ᾖ* reliqui, unde *οὐκ ἂν ᾖ* Reisk. ‖ 9. *οὐχ ἁπλῶς. οὐ χαλεπῶς* M. — 2, 1. *πάντα. πάντας* Reisk. ‖ 2. *ἡμῖν* BM, *ὑμῖν* reliq. ‖ *ὥστ'. ὥστε* M, *ὡς* Reisk. ‖ *συνήδομαι. συνείδομαι* M. ‖ 6. *οὕτω. οὕτως* M. ‖ *καὶ ἐν. καὶ* in M a corr. add.

λόγοις. νῦν δὲ παρὰ τὸν τόπον τοιαῦτα ἢ τοιαῦτά ἐστι τὰ 262 R II.
λεγόμενα καί, ὥσπερ οἱ γυμνάζοντες αὐτοὺς ἐν ταῖς σχολαῖς,
καὶ ἡμεῖς ἐγχειροῦμεν εἰς ἀμφότερα. οὐκοῦν, ἂν μὲν εἰς ἐκ-
κλησίαν τις παραγένηται τῶν ξένων, ἡρώων τινῶν ἢ σοφῶν
ἡγήσεται τὴν πόλιν, ἂν δ᾽ εἰς τὴν ἀγορὰν ἐμβάλῃ, ὁποίων
3 οὐδὲν δεῖ λέγειν· ἐπίστασθε γὰρ αὐτοί. τί οὖν; φήσει τις·
ἀνέστης ἐπιτιμήσων τοῖς ἐπαινοῦσιν; οὐ μὰ τὸν Δία, ἀλλ᾽
ὅπως, ἂν δυνατὸν, μὴ μόνον ἐνθάδε ὦμεν φιλάνθρωποι
καὶ φιλάγαθοι, ἀλλ᾽ ὁμοίως παντὶ τόπῳ καὶ καιρῷ. τὸν μὲν
οὖν τούτου ἔπαινον ὁρῶ πεπληρωμένον ὑφ᾽ ὑμῶν, ὥστε μηδε- 516 M.
μίαν ὑπερβολὴν ἔχειν. ἄξιον δὲ καὶ ὑμᾶς ἐπαινεῖν. δοκεῖτε
γάρ μοι πολὺ πάντων τῶν δήμων διαφέρειν. κἀγὼ τοῦτο
οὐκ ἂν εἶπον, εἰ μὴ καὶ ἐφρόνουν οὕτως. οἱ μὲν γὰρ ἄλλοι
πρὸς τὸ λυσιτελὲς μόνον βλέπουσιν, καὶ τοὺς διδόντας αὐτοῖς
ἢ δυναμένους διδόναι, τούτους ἐπαινοῦσιν· ὑμεῖς δὲ καὶ τὴν
4 προθυμίαν καὶ τὸ βούλεσθαι μέγα εἶναι νομίζετε. καὶ οὐχὶ
τοῦτό φημι, ὡς οὐχὶ καὶ πεποίηκε πολλὰ καὶ μεγάλα· πεποίηκε
γάρ· ἀλλ᾽ ὅτι ὑμῖν γε ἀπέχρη καὶ τὸ βούλεσθαι αὐτόν. ἔτι
δὲ οἱ μὲν ἄλλοι τὰ ἐλάχιστα τῶν γενομένων ἀποδέχονται· λέγω 263 R II.
δὲ ὅσα ἔχει δαπάνην τινά· ὑμεῖς δὲ τῶν μεγίστων αἰσθά-
νεσθε κατὰ τὴν ἀξίαν. ἔστι δὲ τῷ παντὶ μεῖζον τοῦ δαπανᾶν
τὸ κήδεσθαί τινα τῆς πόλεως καὶ φανερὸν εἶναι εὐνοοῦντα
ὑμῖν. πρὸς δὲ τούτοις οἱ μὲν πλεῖστοι τοὺς νουθετοῦντας,
κἂν διὰ λόγου τοῦτο ποιῶσι, μισοῦσι, τοὺς δὲ μεθ᾽ ἡδονῆς
κολακεύοντας θαυμαστῶς ἀποδέχονται. παρ᾽ ὑμῖν δὲ τοὐ-
ναντίον ὁ πλείστῃ παῤῥησίᾳ χρώμενος καὶ τοῖς ἁμαρτάνουσιν
5 ἐπιπλήττων καὶ σωφρονίζων, οὗτος μάλιστα ἀγαπᾶται. τίς
οὖν οὐκ ἂν ἀγαπήσειε τοιαύτην πόλιν καὶ πολιτείαν, ἐν ᾗ
τῶν φιλοτιμιῶν αἱ τιμαὶ μείζους εἰσὶν, ὁ δὲ μετ᾽ εὐνοίας νου-

7. τοιαῦτα ἢ τοιαῦτά Selden. (idem δεινὸν εἰ τοιαῦτα), ἢ τοιαῦτα B, ἢ τοιαῦτα M, εἰ τοιαῦτα reliqui, unde εἰ τοιοῦτος, τοιαῦτα Reiskius. Casaubonus εἰ delebat. ‖ 8. αὐτοὺς. αὑτοὺς M. ‖ 11. ὁποίων BM. mrg. m. r, ὁποῖον vm. ‖ 12. λέγειν. λόγων mrg. m. ‖ αὐτοί. οὗτοι M. — 3, 2. ἐπιτιμήσων. ἐπιτημήσων M. ‖ 3. ἄν. malim ἂν ᾖ. ‖ 4. παντί. ἐν παντὶ Reisk. ‖ τόπῳ. τρόπῳ (mrg. vulg.) M. ‖ 6. δοκεῖτε Anonym. ap. Reisk. r, δοκεῖ reliq. ‖ 11. νομίζετε. νομίζεται M. — 4, 3. ἀπέχρη. ἀπίχρι M. ‖ αὐτόν. αὐτό Reisk. ‖ 5. δαπάνην. δαπάνιν M. ‖ αἰσθάνεσθε. αἰσθάνεσθαι M. ‖ 6. τοῦ BM. mrg. m. r, τὸ vm. ‖ 8. οἱ μὲν πλεῖστοι τοὺς in M mrg. add. ‖ 9. διὰ λόγου. δίχα ψόγου Geel. ‖ ποιῶσι. ποιοῦσιν M. — 5, 3. φιλοτιμιῶν. φιλοτιμῶν m. hunc locum sic tentat Reiskius: ἐν ᾗ τῆς ἐπιμελείας καὶ

θετῶν τοῦ μετὰ κολακείας ὁμιλοῦντος μᾶλλον στέργεται, προ-
θυμότεροι δ' εἰσὶν οἱ πολλοὶ σωφρονίζεσθαι καὶ ἐπανορθοῦ-
σθαι ἢ θεραπεύεσθαι καὶ τρυφᾶν; ἢ τίς οὐκ ἂν ὑμᾶς μὲν
ἐκπλαγείη, τοῦτον δ' εὐδαιμονίσειεν ὑφ' ὑμῶν τοιούτων ὄν-
6 των κεκριμένον τῆς ὑμετέρας ἀρχῆς ἄξιον; καὶ ἔγωγε μέγαν
αὐτῷ τὸν ἀγῶνα ὁρῶ πρὸς ὑμᾶς ὄντα. ὅτῳ γὰρ πόλις ὅλη
καὶ δῆμος ἑκὼν ἐπέτρεψε παιδεύειν αὐτὸν καὶ ὃν ἐπιστάτην
εἵλετο τῆς κοινῆς ἀρετῆς καὶ ὅτῳ τὴν μεγίστην ἀρχὴν ἔδωκε 281 R II
τῆς σωφροσύνης καὶ τῆς εὐταξίας καὶ τοῦ καλῶς βιοῦν ἕκα-
στον, πῶς οὐχὶ τούτῳ μέγας ἀγών ἐστιν, ὥστε μηδὲν ἐλάτ- 511 M
τονι φανῆναι τῆς ὑμετέρας γνώμης; σκόπει δέ, ἵνα εἰδῇς, ὅτι
μηδὲ τῶν παλαιῶν μηδεὶς μηδὲ τῶν θαυμαζομένων διὰ παν-
τὸς τοῦ χρόνου τηλικαύτης τιμῆς παρὰ τῶν πολιτῶν αὐτοῦ
7 τετύχηκεν. ὁ γοῦν Περικλῆς ἐκεῖνος, ὃν ἀκούομεν παρὰ τοῖς
Ἀθηναίοις ἀκμαζούσης γενέσθαι τῆς πόλεως, στρατηγίας μὲν
ἐτύγχανεν· οὐ μὴν ἄξιος ἔδοξε διὰ παντὸς ἄρχειν τοῦ χρό-
νου, *** καὶ ταύτην οὐκ ἀργύριον διοικῶν οὐδὲ οἰκοδομημάτων
ἐπιμελούμενος, ἀλλ' ὅπως ἂν ἀγαθοὶ ὦσιν οἱ πολῖται καὶ νου-
θετεῖν ἠβούλετο τοὺς ἁμαρτάνοντας καὶ τὸ γοῦν καθ' αὐτὸν
βελτίονας ποιεῖν. οὐ μὴν ἠνείχοντο αὐτοῦ διὰ τὴν αὐτῶν
8 ἀναγωγίαν οἱ τότε. πόσῳ δὴ κρείττους ὑμεῖς οἱ παραδιδόν-
τες αὐτοὺς καὶ παιδεύειν κελεύοντες τῶν, εἰ καί τις παρ'
αὐτοῦ πρόθυμος ἦν τοῦτο ποιεῖν, ἀγανακτούντων καὶ οὐ μό-
νον οὐ τιμώντων, ἀλλὰ καὶ ἀποκτεινάντων τὸν ἐπικαλούμε-
νον, ὥσπερ ἐκεῖνοι Σωκράτην; ποῖον οὖν ἔτι κάλλιον ἐγκώ- 282 R II
μιον ἢ τοῦδε ἢ ὑμῶν εἴποι τις ἄν; οἵ γε, ἐπειδὴ ᾔσθεσθε

φιλοφροσύνης ἢ τῶν φιλοτιμιῶν cett. ‖ μείζους. μίζους M. ‖ 7. εὐδαιμονίσειεν M. Reisk., εὐδαιμονήσειεν reliq. ‖ ὑφ' ὑμῶν B. Casaub. r, ὑφ' ὧν reliq. — 6, 3. αὐτὸν. αὐτὸν M. ‖ 5. σωφροσύνης M. Reisk., εὐφροσύνης reliq. ‖ τοῦ. τὸ B. ‖ 6. τούτῳ. τοῦτο B. ‖ μηδὲν Reisk., μηδενὶ reliq. ‖ ἐλάττονι. ἐλάττονα r. ‖ 7. σκόπει. σκώπει M. ‖ 8. παλαιῶν. πολιτῶν M. ‖ 9. πολιτῶν. πολιτῶν τῶν Pflugk. — 7, 1. γοῦν Selden. r, νῦν M, οὖν B. vm. ‖ 3. ἔδοξε. ἔδοξεν ἀρχὴν M. ‖ χρόνου. post hoc v. desunt nonnulla. nam proxima ad Socratem, non ad Periclem referuntur. ‖ 4. καὶ ταύτην. καίτοι Pflugk. ‖ 5. ὅπως. ὅτι, ὡς Reisk. ‖ καὶ aut delet Reiskius, aut quaedam vel ante vel post h. v. deesse suspicatur. ‖ 7. ἠνείχοντο. ἀνείχοντο M. ‖ 8. τότε. τότε δὴ M (at δὴ obel. not.). — 8, 1. πόσῳ δή. sic dedi. πόσῳ M, πόσῳ δὲ reliq. ‖ 2. παρ' αὐτοῦ. παρ' αὐτοῦ M. ‖ 3. τοῦτο. τὸ αὐτὸ M. ‖ 4. ἐπικαλούμενον. ἐπιμελούμενον Selden., ἐπαγγελλόμενον Reiskius. malim ἐπιβαλλόμενον. ‖ 6. ᾔσθεσθε. ἤσεσθε M.

τοὺς ἐφήβους καὶ τοὺς νεανίσκους κρείττονας πεποιηκότα,
εὐθὺς ἡγεῖσθε καὶ ὑμᾶς ἀμείνους δύνασθαι ποιεῖν. καὶ νὴ
Δία γε οὐχὶ τοῖς μὲν ἐφήβοις ἐστὶ παιδείας καὶ ἀρετῆς χρεία,
τοῖς δὲ προβεβηκόσιν οὔ καὶ πάσῃ τῇ πόλει· ὥσπερ εἴ τις
ἰατρὸς τοῖς μὲν παισὶν ἢ τοῖς μειρακίοις χρείαν εἶναι θερα-
9 πείας νομίζοι, τοῖς δὲ τελείοις μή. καὶ μὴν ἥ γε πρὸς τὰς
τιμὰς μεγαλοψυχία πῶς οὐχὶ θαυμαστὴ τῆς πόλεως; τί γὰρ
τῶν σεμνῶν οὐχὶ προθύμως παρεσχήκατε; οὐκ εἰκόνας; οὐκ
ἀνδριάντας; οὐχὶ πρεσβεύοντες πρὸς τὰς πόλεις, πρὸς τὸν
αὐτοκράτορα; οὐ κοινῇ τιμῶντες, οὐ κατ' ἰδίαν ἕκαστος δε-
ξιούμενος; ἃ τίς ἂν οὐκ ἀνεθείη τῶν τοιούτων διδόντων;
ἢ τίς οὐκ ἂν προθυμοῖτο, ὅ τι ἂν δύναιτο, ποιεῖν ὑμᾶς ἀγα-
θόν; οὐκοῦν ἔγωγε οἶμαι καὶ τὸν τοῦδε ἔπαινον, ὡς ἠδυνά-
μην, εἰρηκέναι. τὸ γὰρ τῶν ἀποδεχομένων τινὰ καὶ τιμώντων 266 R II.
ἐγκώμιον δῆλον ὡς κάλλιστος ἔπαινος ἐκείνου ἂν εἴη.

8. ἡγεῖσθε. ἡγεῖσθαι M. ‖ 10. καὶ πάσῃ. hunc locum sic tentat Seldenus: ἀλλὰ καὶ πάσῃ τῇ πόλει. τοῦτο γὰρ ὥσπερ. ‖ 11. θεραπείας om. M. — 9, 1. πρός. περὶ Reisk. ‖ 2. μεγαλοψυχία. μεγαλοψυχία ὑμῶν Reisk. ‖ θαυμαστὴ τῆς Pflugk. p. 18, θαυμαστῆς reliq. ‖ τί Casaub. r, τίνι reliq. ‖ 3. τῶν om. M. ‖ προθύμως Casaub. (idem μετὰ προθυμίας). r, προθυμίας reliq. ‖ 4. πρεσβεύοντες Reiskius (qui praeterea supplet ὑπὲρ αὐτοῦ ἐφαίνεσθε), πρεσβεύοντας reliq. ‖ 5. τιμῶντες Casaub. r, τιμῶντας reliq. ‖ 6. ἃ τίς Pflugk., ἢ τίς reliq. ‖ ἀνεθείη M, ἂν ησθείη reliq. ‖ διδόντων Pflugk., ὄντων reliqui, quod delebat Reiskius, idem excidisse ratus ἐπιμελούμενος. mihi visum erat, servato ἢ τίς in antecedentibus, τιμώντων, at praetuli Pflugkianam rationem. ‖ 9. γὰρ τῶν. τῶν om. r. ‖ ἀποδεχομένων. ἀποδεχόμενον m. ‖ τιμώντων. τιμώμενον m. ‖ 10. ἐγκώμιον om. m.

ΛΟΓΟΣ νβ.

ΠΕΡΙ ΑΙΣΧΥΛΟΥ ΚΑΙ ΣΟΦΟΚΛΕΟΥΣ ΚΑΙ ΕΥΡΙΠΙΔΟΥ Η ΠΕΡΙ ΤΩΝ ΦΙΛΟΚΤΗΤΟΥ ΤΟΞΩΝ.

1 *Ἀναστὰς σχεδόν τι περὶ πρώτην ὥραν τῆς ἡμέρας καὶ* 548 M.
διὰ τὴν ἀῤῥωστίαν τοῦ σώματος καὶ διὰ τὸν ἀέρα ψυχρότε-
ρον ὄντα διὰ τὴν ἕω καὶ μάλιστα μετοπώρῳ προσεοικότα,
καίτοι μεσοῦντος θέρους, ἐπεμελήθην ἐμαυτοῦ καὶ προσηυξά-
μην. ἔπειτα ἀνέβην ἐπὶ τὸ ζεῦγος καὶ περιῆλθον ἐν τῷ ἱπ-
ποδρόμῳ πολλούς τινας κύκλους πρᾴως τε καὶ ἀλύπως ὡς οἷόν
τε ὑπάγοντος τοῦ ζεύγους. καὶ μετὰ ταῦτα περιπατήσας
ἀνεπαυσάμην μικρόν τινα χρόνον. ἔπειτα ἀλειψάμενος καὶ
λουσάμενος καὶ μικρὸν ἐμφαγὼν ἐνέτυχον τραγῳδίαις τισίν.
2 *σχεδὸν δὲ ἦσαν ἄκρων ἀνδρῶν, Αἰσχύλου καὶ Σοφοκλέους*
καὶ Εὐριπίδου, πάντων περὶ τὴν αὐτὴν ὑπόθεσιν. ἦν γὰρ ἡ
τῶν Φιλοκτήτου τόξων εἴτε κλοπὴ εἴτε ἁρπαγὴ δεῖ λέγειν·
πλὴν ἀφαιρούμενός γε τῶν ὅπλων ἦν Φιλοκτήτης ὑπὸ τοῦ 257 R II.
Ὀδυσσέως καὶ αὐτὸς εἰς τὴν Τροίαν ἀναγόμενος τὸ μὲν πλέον
ἄκων, τὸ δέ τι καὶ πειθοῖ ἀναγκαίᾳ, ἐπειδὴ τῶν ὅπλων ἐστέ-
ρητο, ἃ τοῦτο μὲν βίον αὐτῷ παρεῖχεν ἐν τῇ νήσῳ, τοῦτο δὲ
3 *θάρσος ἐν τῇ τοιαύτῃ νόσῳ, ἅμα δὲ εὔκλειαν.* οὐκοῦν εὐω-
χούμην τῆς θέας καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν, ὅτι τότε Ἀθή-
νησιν ὢν οὐχ οἷός τ' ἂν ἦν μετασχεῖν τῶν ἀνδρῶν ἐκείνων
ἀνταγωνιζομένων· ἀλλὰ Σοφοκλέους μὲν πρὸς Αἰσχύλον, νέου
πρὸς γέροντα, καὶ πρὸς Εὐριπίδην, πρεσβυτέρου πρὸς νεώτε-

Orat. LII. Collati sunt BCMH. — 1, 3. *διὰ.* **malim** *περὶ.* ‖ *μετοπώρῳ. μετοπωρίνῳ* **Reisk.** ‖ **6.** *οἷόν τε. οἴονται* **M.** ‖ **7.** *τοῦ ζεύγους. τοῦ* **in M a corr. add.** ‖ **8.** *μικρόν. σμικρὸν* **B.** ‖ *ἔπειτα* **BCMH,** *ἔπειτα καὶ* **reliq.** ‖ *ἀλειψάμενος. ἀλειψάμενος* **M. — 2, 3.** *κλοπὴ* **BCMH,** *κλοπὴν* **reliq.** ‖ *ἁρπαγὴ* **BCMH,** *ἁρπαγὴν* **reliq.** ‖ **4.** *ἀφαιρούμενός* **CMH,** *ἀφῃρημένος* **reliq.** ‖ **5.** *τὴν* **om. H.** ‖ **8.** *εὔκλειαν. εὔκλεια* **B. — 3, 2.** *ἐλογιζόμην. λογιζόμην* **vm.**

ρον, ἀγωνιζομένου μετέσχον τινές· Εὐριπίδης δ' ἀπελείφθη
κατὰ τὴν ἡλικίαν Αἰσχύλου· καὶ ἅμα οὐ πολλάκις ἴσως ἢ
οὐδέποτε τῷ αὐτῷ δράματι ἀντηγωνίσαντο. αὐτὸς δὲ ἐφαι-
νόμην ἐμαυτῷ πάνυ τρυφᾶν καὶ τῆς ἀσθενείας παραμυθίαν 549 M.
4 καινὴν ἔχειν. οὐκοῦν ἐχορήγουν ἐμαυτῷ πάνυ λαμπρῶς καὶ
προσέχειν ἐπειρώμην, ὥσπερ δικαστὴς τῶν πρώτων τραγικῶν
χορῶν. πλὴν ὀμόσας γε οὐκ ἂν ἐδυνάμην ἀποφήνασθαι οὐδὲν,
οὗ γε ἕνεκεν οὐδεὶς ἂν ἡττήθη τῶν ἀνδρῶν ἐκείνων. ἥ τε γὰρ
τοῦ Αἰσχύλου μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔ-
θαδες τῆς διανοίας καὶ φράσεως πρέποντα ἐφαίνετο τραγῳ-
δίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων· οὐδὲν ἐπιβεβουλευ-
5 μένον οὐδὲ στωμύλον οὐδὲ ταπεινόν. ἐπείτοι καὶ τὸν Ὀδυσσέα
εἰσῆγε δριμὺν καὶ δόλιον, ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα 268 R II.
τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ
τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας. καὶ
οὐδέν γε ἀλλαττούσης τῆς Ἀθηνᾶς προσεδεήθη πρὸς τὸ μὴ
γνωσθῆναι ὅστις ἐστὶν ὑπὸ τοῦ Φιλοκτήτου, καθάπερ
Ὅμηρος κἀκείνῳ δὴ ἑπόμενος Εὐριπίδης ἐποίησεν· ὥστε τυχὸν
ἄν τις ἐγκαλέσαι τῶν οὐ φιλούντων τὸν ἄνδρα, ὅτι οὐδὲν
αὐτῷ ἐμέλησεν, ὅπως πιθανὸς ἔσται ὁ Ὀδυσσεὺς οὐκ ἐπι-
6 γιγνωσκόμενος ὑπὸ τοῦ Φιλοκτήτου. ἔχοι δ' ἂν ἀπολογίαν,
ὡς ἐγῷμαι, πρὸς τὸ τοιοῦτον· ὁ μὲν γὰρ χρόνος τυχὸν οὐκ
ἦν τοσοῦτος, ὥστε μὴ ἀνενεγκεῖν τὸν χαρακτῆρα, δέκα ἐτῶν
διαγεγονότων. ἡ δὲ νόσος ἡ τοῦ Φιλοκτήτου καὶ κάκωσις
καὶ τὸ ἐν ἐρημίᾳ βεβιωκέναι τὸν μεταξὺ χρόνον οὐκ ἀδύνατον
τοῦτο ἐποίει. πολλοὶ γὰρ ἤδη, οἱ μὲν ὑπὸ ἀσθενείας, οἱ δὲ

6. δ' ἀπελείφθη CMH, δὲ ἀπελείφθη reliq. || 8. τῷ αὐτῷ. τὸ αὐτὸ B. αὐτῷ Welcker. d. trag. graec. p. 441. || ἀντηγωνίσαντο. ἀντηγωνήσαντο B. — 4, 4. οὗ γε. κἀμοῦ γε Pflugk. || 5. ἔτι δὲ τὸ BCM, ἔτι δὲ καὶ m, ἔτι δὲ καὶ τὸ reliq. || 6. τραγῳδίᾳ. τῇ τραγῳδίᾳ Iacobs. Add. p. 14. || 7. οὐδὲν. ὧν οὐδὲν Reisk., οὐδὲν ἔχοντα G. Herm. Progr. Febr. 1825 (Opusc. III, p. 114.). — 5, 2. δριμὺν BH. r, δριμὺ M (sed post υ rasura). vm, malim δριμὺν μέν. || ὡς om. H. || 3. κακοηθείας. κακοηθίας M. || 7. κἀκείνῳ δὴ MH, κἀκεῖνο δὴ B, κἀκείνῳ δὲ reliq. || ἐποίησεν om. BM. || 9. οὐκ ἐπιγιγνωσκόμενος Selden., οὐ γινωσκόμενος H, οὐ συγγινωσκόμενος reliq. || 10. τοῦ. τῶν H. — 6, 2. ἐγῷμαι BMH, ἡγοῦμαι reliq. || πρὸς τὸ BCM (corr. πρὸς τὸν). H, πρὸς τὸν reliq. || 3. τοσοῦτος H. Herm., τοσοῦτον C, τοιοῦτος reliq. || ἀνενεγκεῖν. ἂν ἐνεγκεῖν Herm., ἂν ἐλέγχειν Geelius. at nihil mutandum est. || ἐτῶν corr. H (in texto ἔτη). Anonym. apud Reiskium. r, ἔτη reliqui, unde τῶν δέκα ἔτη Seldenus, qui διαγεγονώς existimat hic *separatum* significare. ἔτη servari potest, si scribitur διαγεγονότα.

ὑπὸ δυστυχίας, ἔπαθον αὐτό. καὶ μὴν ὁ χορὸς αὐτῷ παραι-
7 τήσεως, ὥσπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη. ἄμφω γὰρ
ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν. ἀλλ' ὁ μὲν Εὐριπίδης
εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, 269 R II
ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην
οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ. ὁ δ' Αἰσχύλος ἁπλῶς εἰσήγαγε
τὸν χορὸν, ὃ τῷ παντὶ τραγικώτερον καὶ ἁπλούστερον· τὸ δ'
ἕτερον πολιτικώτερον καὶ ἀκριβέστερον. καὶ γὰρ εἰ μὲν ἐδύ-
ναντο πάσας διαφεύγειν τὰς ἀλογίας ἐν ταῖς τραγῳδίαις, 530 M.
ἴσως ἂν εἶχε λόγον μηδὲ τοῦτο παραπέμψαι. νῦν δὲ πολλάκις
ἐν μιᾷ ἡμέρᾳ παραγιγνομένους ποιοῦσι τοὺς κήρυκας πλειόνων
8 ἡμερῶν ὁδόν. ἔπειτα οὐδὲ ἐξ ἅπαντος ἦν μήτε προσελθεῖν
αὐτῷ μηδένα Λημνίων μήτε ἐπιμεληθῆναι μηδέν. δοκεῖ γάρ
μοι οὐδ' ἂν διεγένετο τὰ δέκα ἔτη μηδεμιᾶς τυγχάνων βοη-
θείας· ἀλλ' εἰκὸς μὲν τυγχάνειν αὐτὸν, σπανίως δὲ καὶ οὐδε-
νὸς μεγάλου, καὶ μηδένα αἱρεῖσθαι οἰκίᾳ ὑποδέξασθαι καὶ
νοσηλεύειν διὰ τὴν δυσχέρειαν τῆς νόσου. αὐτὸς γοῦν ὁ Εὐ-
ριπίδης τὸν Ἄκτορα εἰσάγει, ἕνα Λημνίων, ὡς γνώριμον τῷ
9 Φιλοκτήτῃ προσιόντα καὶ πολλάκις συμβεβληκότα. οὐ τοίνυν
οὐδὲ ἐκεῖνο δοκεῖ μοι δικαίως ἄν τις αἰτιάσασθαι, τὸ διηγεῖ-
σθαι πρὸς τὸν χορὸν, ὡς ἀγνοοῦντα τὰ περὶ τὴν ἀπόλειψιν
τὴν τῶν Ἀχαιῶν καὶ τὰ καθόλου συμβαίνοντα αὐτῷ. οἱ γὰρ
δυστυχοῦντες ἄνθρωποι πολλάκις εἰώθασι μεμνῆσθαι τῶν 270 R II.
συμφορῶν καὶ τοῖς εἰδόσιν ἀκριβῶς καὶ μηδὲν δεομένοις ἀκού-
ειν ἐνοχλοῦσιν ἀεὶ διηγούμενοι. καὶ μὴν ἡ ἀπάτη ἡ τοῦ
Ὀδυσσέως πρὸς τὸν Φιλοκτήτην καὶ οἱ λόγοι, δι' ὧν προση-
γάγετο αὐτὸν, οὐ μόνον εὐσχημονέστεροι καὶ ἥρωι πρέπον-

7, 2. ἐποίησαν τὸν C. Valcken. Diatrib. p. 115, ἐποιήσαντο reliq. ‖ 3. ἀπολογουμένους. ἀπολογούμενος BM. ‖ 4. ὅτι δὴ BCMH. r ex Interpr., ὅτι δὴ vm, οἵ γε δὴ Valcken. l. l. ‖ προσέλθοιεν CMH. Anonym. apud Reiskium, προσέλθοι reliqui, unde προσέλθοι Reisk. ‖ 5. βοηθήσειαν BCMH, βοηθήσειεν reliq. ‖ 6. ὃ τῷ παντὶ Obs. p. 56, αὐτῷ πάνυ reliqui. αὐτῶν πάνυ Herm. Op. III, p. 114. ‖ δ' MH, δὲ reliq. — 8, 1. μήτε. sic dedi. μηδὲ reliq. ‖ 2. μήτε. sic dedi. μηδὲ reliq. ‖ 3. διεγένετο. διαγενέσθαι r (idem δοκεῖν tentat pro δοκεῖ). ‖ 4. οὐδενὸς. οὐδ' ἐν C. ‖ 6. γοῦν BCM. marg. m. r, om. H, οὖν vm. ‖ ὁ Εὐριπίδης. ὁ om. CH. ‖ 7. Ἄκτορα BMH, Ἕκτορα reliq. ‖ εἰσάγει BCMH. r, εἴσαγοι vm. ‖ 8. προσιόντα. ἰόντα M, unde Geelius ὄντα. — 9, 3. τὰ om. BM. ‖ 7. ἀπάτη ἡ. ἡ om. H. ‖ 9. εὐσχημονέστεροι CH. var. lect. v. r, ἀσχημονέστερον BM. vm. hunc locum sic tentat Seldenus: εὐσχημονέστεροι, ἥρωος ὄντες, ἀλλ' οὐκ Εὐρυβάτου καὶ Παταικίωνος. ‖ καὶ ἥρωι

τες, ἀλλ' οὐκ Εὐρυβάτῳ ἢ Παταικίωνι, ἀλλ', ὡς ἐμοὶ δο-
10 κοῦσι, καὶ πιθανώτεροι. τί γὰρ ἔδει ποικίλης τέχνης καὶ
ἐπιβουλῆς πρὸς ἄνδρα νοσοῦντα, καὶ ταῦτα τοξότην, ᾧ εἴ τις
μόνον ἐγγὺς παρέστη, ἀχρεῖος ἡ ἀλκὴ αὐτοῦ ἐγεγόνει; καὶ τὸ
ἀπαγγέλλειν δὲ τὰς τῶν Ἀχαιῶν συμφορὰς καὶ τὸν Ἀγαμέ-
μνονα τεθνηκότα καὶ τὸν Ὀδυσσέα ἐπ' αἰτίᾳ ὡς οἷόν τε αἰσχί-
στῃ καὶ καθόλου τὸ στράτευμα διεφθαρμένον οὐ μόνον χρή-
σιμον, ὥστε εὐφρᾶναι τὸν Φιλοκτήτην καὶ προσδέξασθαι
μᾶλλον τὴν τοῦ Ὀδυσσέως ὁμιλίαν, ἀλλ' οὐδ' ἀπίθανα τρό-
πον τινὰ διὰ τὸ μῆκος τῆς στρατείας καὶ διὰ τὰ συμβεβηκότα
οὐ πάλαι κατὰ τὴν ὀργὴν τὴν τοῦ Ἀχιλλέως, ὅθ' Ἕκτωρ
11 παρὰ σμικρὸν ἦλθεν ἐμπρῆσαι τὸν ναύσταθμον. ἥ τε τοῦ
Εὐριπίδου σύνεσις καὶ περὶ πάντα ἐπιμέλεια, ὥστε μήτε ἀπί- 551 M.
θανόν τι καὶ παρημελημένον ἐᾶσαι μήτε ἁπλῶς τοῖς πράγμασι
χρῆσθαι, ἀλλὰ μετὰ πάσης ἐν τῷ εἰπεῖν δυνάμεως, ὥσπερ
ἀντίστροφός ἐστι τῇ τοῦ Αἰσχύλου, πολιτικωτάτη καὶ ῥητο- 271 R II.
ρικωτάτη οὖσα καὶ τοῖς ἐντυγχάνουσι πλείστην ὠφέλειαν
παρασχεῖν δυναμένη. εὐθὺς γοῦν πεποίηται προλογίζων αὐτῷ
ὁ Ὀδυσσεὺς καὶ ἄλλα τε ἐνθυμήματα πολιτικὰ στρέφων ἐν
ἑαυτῷ καὶ πρῶτόν γε διαπορῶν ὑπὲρ αὐτοῦ, μὴ ἄρα δοκῇ μὲν
τοῖς πολλοῖς σοφός τις εἶναι καὶ διαφέρων τὴν σύνεσιν, ᾖ δὲ
12 τοὐναντίον. ἐξὸν γὰρ αὐτῷ ἀλύπως καὶ ἀπραγμόνως ζῆν, ὁ
δὲ ἑκὼν ἀεὶ ἐν πράγμασι καὶ κινδύνοις γίγνεται. τούτου δέ
φησιν αἴτιον εἶναι τὴν τῶν εὐφυῶν καὶ γενναίων ἀνδρῶν
φιλοτιμίαν. δόξης γὰρ ἀγαθῆς ἐφιέμενοι καὶ τοῦ εὐκλεεῖς
παρὰ πᾶσιν ἀνθρώποις εἶναι μεγίστους καὶ χαλεπωτάτους
ἑκόντες πόνους ὑφίστανται.

οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ.

CH. Reisk., καὶ om. reliq. ‖ 10. Εὐρυβάτῳ Geel., Εὐρυβάτῃ C. Anonym. ap. Reisk. r, Εὐρυβάτου BM. vm. ‖ Παταικίωνι. παταταικίωνι C, παταικίονος B, παταικίωνος (corr. vulg.) M. m. ‖ 11. καὶ πιθανώτεροι. καὶ om B, in M a corr. add. — 10, 1. ἔδει. sic dedi. δὴ M, δεῖ reliq. ‖ 2. ᾧ. ὡς BM. ‖ 5. οἷόν τε. οἴονται BM. ‖ 8. μᾶλλον. μᾶλλον ποιῆσαι Reisk. ‖ 9. στρατείας. στρατιᾶς C. ‖ 10. τὴν τοῦ. τὴν om. BCH. ‖ ὅθ'. ὅταν C, ὅτε M. ‖ 11. σμικρὸν. μικρὸν M. ‖ τὸν. τὸ M. — 11, 2. ἀπίθανόν τι. ἀποθανόντα CH, ἀποθανόντι M. ‖ 5. Αἰσχύλου. Αἰσχύλου ἁπλότητι Reiskius. recte opinor. ‖ 6. ὠφέλειαν. ὠφέλει C. ‖ 7. γοῦν. οὖν B. ‖ 8. ἄλλα τε BCMH, ἄλλα τινὰ reliqui. malim ἄλλα τέ τινα ‖ 9. δοκῇ. δοκεῖ B. ‖ 10. σοφός τις. σοφίστης CH. ‖ ᾖ. ἡ M, ἢ H. v, ἦ BC. r. — 12, 3. φησιν BCM (corr. φασιν). H. var. lect. v. r, φασιν vm. ‖ 4. ἀγαθῆς. ἀγαθοῖς C. ‖ 7. ἔφυ BCMH, εὐ-

Digitized by Google

ἔπειτα σαφῶς καὶ ἀκριβῶς δηλοῖ τὴν τοῦ δράματος ὑπόθεσιν
13 καὶ οὗ ἕνεκεν ἐλήλυθεν εἰς τὴν Λῆμνον. φησί τε ὑπὸ τῆς
Ἀθηνᾶς ἠλλοιῶσθαι, ὥστε ἐντυχόντα τῷ Φιλοκτήτῃ μὴ γνω-
σθῆναι ὑπ᾽ αὐτοῦ, μιμησάμενος κατὰ τοῦτο Ὅμηρον. καὶ γὰρ
ἐκεῖνος τοῖς τε ἄλλοις καὶ τῷ Εὐμαίῳ καὶ τῇ Πηνελόπῃ πε-
ποίηκεν ἐντυγχάνοντα τὸν Ὀδυσσέα ἠλλοιωμένον ὑπὸ τῆς
Ἀθηνᾶς. φησί τε πρεσβείαν μέλλειν παρὰ τῶν Τρώων ἀφι-
κνεῖσθαι πρὸς τὸν Φιλοκτήτην δεησομένην αὐτόν τε καὶ τὰ
ὅπλα ἐκείνοις παρασχεῖν ἐπὶ τῇ τῆς Τροίας βασιλείᾳ, ποικι- 272 R II
λώτερον τὸ δρᾶμα κατασκευάζων καὶ ἀνευρίσκων λόγων
ἀφορμὰς, καθ᾽ ἃς εἰς τὰ ἐναντία ἐπιχειρῶν εὐπορώτατος καὶ
14 παρ᾽ ὀντινοῦν ἱκανώτατος φαίνεται. οὐ μόνον δὲ πεποίηκε
τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους·
Ὁμηρικῶς καὶ τοῦτο. καὶ τὸ ὅλον, ὡς ἔφην, δι᾽ ὅλου τοῦ
δράματος πλείστην μὲν ἐν τοῖς πράγμασι σύνεσιν καὶ πιθα-
νότητα ἐπιδείκνυται, ἀμήχανον δὲ καὶ θαυμαστὴν ἐν τοῖς
λόγοις δύναμιν, καὶ τά τε ἰαμβεῖα σαφῶς καὶ κατὰ φύσιν
καὶ πολιτικῶς ἔχοντα καὶ τὰ μέλη οὐ μόνον ἡδονὴν, ἀλλὰ 552 M
15 καὶ πολλὴν πρὸς ἀρετὴν παράκλησιν. ὅ τε Σοφοκλῆς μέσος
ἔοικεν ἀμφοῖν εἶναι, οὔτε τὸ αὔθαδες καὶ ἁπλοῦν τὸ τοῦ
Αἰσχύλου ἔχων οὔτε τὸ ἀκριβὲς καὶ δριμὺ καὶ πολιτικὸν τὸ
τοῦ Εὐριπίδου, σεμνὴν δέ τινα καὶ μεγαλοπρεπῆ ποίησιν τραγι-
κώτατα καὶ εὐεπέστατα ἔχουσαν, ὥστε πλείστην εἶναι ἡδονὴν
μετὰ ὕψους καὶ σεμνότητος ἐνδείκνυσθαι. τῇ τε διασκευῇ
τῶν πραγμάτων ἀρίστῃ καὶ πιθανωτάτῃ κέχρηται, ποιήσας
τὸν Ὀδυσσέα μετὰ Νεοπτολέμου παραγιγνόμενον, ἐπειδὴ εἵ-
μαρτο ἁλῶναι τὴν Τροίαν ὑπό τε τοῦ Νεοπτολέμου καὶ τοῦ

φυῆς reliqui. conf. Fragm. Eurip. Poët. Scenic. Dind. p. 116. — 13, 1. φησί C, φησίν reliq. ‖ 2. ἠλλοιῶσθαι. ἠλλιῶσθαι M. ‖ ἐντυχόντα BCMH, ἐντυγχάνοντα reliq. ‖ 4. Πηνελόπῃ. πενελόπῃ M. ‖ 5. ἠλλοιωμένον. ἠλλυωμένον M. ‖ 6. πρεσβείαν. κατὰ πρεσβείαν Reisk. ‖ 7. δεησομένην. δεησομένων B, δεησόμενον corr. M. var. lect. v. r. ‖ αὐτόν τε BCH. Casaub. r, αὐτόν τε M, αὐτῶν τε vm. — 14, 1. οὐ. καὶ οὐ H. ‖ μόνον δὲ. δὲ om. CMH. ‖ 2. παραγιγνόμενον. sic dedi. παραγεινόμενον M, παραγινόμενον reliq. ‖ 3. τοῦ δράματος om. C. ‖ 4. πράγμασι Valck. Diatr. p. 115, δράμασι reliq. ‖ πιθανότητα. πειθανότητα M. ‖ 6. ἰαμβεῖα. ἴαμα βία M. — 15, 1. ὅ τε H. Geel., ὁ δὲ r, ὅτε reliq. ‖ 5. πλείστην εἶναι. πλείστην CH. Reisk., πλείστην τινὰ Geel. ‖ 6. ἐνδείκνυσθαι om. BM. ‖ 7. πιθανωτάτῃ BMH, πιθανοτάτῃ reliq. ‖ 8. παραγιγνόμενον. sic dedi. παραγινόμενον M, παραγινόμενον reliq. ‖ εἵμαρτο. ἵμαρτο M. ‖ 9. τε om. H.

Φιλοκτήτου χρωμένου τοῖς Ἡρακλείοις τόξοις, καὶ αὐτὸν μὲν ἀποκρυπτόμενον, τὸν δὲ Νεοπτόλεμον πέμποντα πρὸς τὸν Φιλοκτήτην, ὑποτιθέμενον αὐτῷ, ἃ δεῖ ποιεῖν. καὶ τὸν χορὸν οὐχ ὥσπερ ὁ Αἰσχύλος καὶ ὁ Εὐριπίδης ἐκ τῶν ἐπιχωρίων 273 R II.
πεποίηκεν, ἀλλὰ τῶν ἐν τῇ νηὶ συμπλεόντων τῷ Ὀδυσσεῖ καὶ
16 τῷ Νεοπτολέμῳ. τά τε ἤθη θαυμαστῶς σεμνὰ καὶ ἐλευθέρια, τό τε τοῦ Ὀδυσσέως πολὺ πρᾳότερον καὶ ἁπλούστερον ἢ πεποίηκεν ὁ Εὐριπίδης, τό τε τοῦ Νεοπτολέμου ὑπερβάλλον ἁπλότητι καὶ εὐγενείᾳ· πρῶτον μὲν μὴ βουλομένου δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι τοῦ Φιλοκτήτου, ἀλλὰ ἰσχύϊ καὶ ἐκ τοῦ φανεροῦ. ἔπειτα πεισθεὶς ὑπὸ τοῦ Ὀδυσσέως καὶ ἐξαπατήσας αὐτὸν καὶ τῶν τόξων ἐγκρατὴς γενόμενος, αἰσθομένου ἐκείνου καὶ ὡς ἐξηπατημένου σχετλιάζοντος καὶ ἀπαιτοῦντος τὰ ὅπλα, οὐ κατέχει, ἀλλ' οἷός τε ἐστὶν ἀποδιδόναι αὐτά, καίτοι τοῦ Ὀδυσσέως ἐπιφανέντος καὶ διακωλύοντος, καὶ τέλος δίδωσιν αὐτά· δοὺς δὲ τῷ λόγῳ πειρᾶται πείθειν ἑκόντα ἀκολουθῆ-
17 σαι εἰς τὴν Τροίαν. τοῦ δὲ Φιλοκτήτου μηδένα τρόπον εἴκοντος μηδὲ πειθομένου, ἀλλὰ δεομένου τοῦ Νεοπτολέμου, ὥσπερ ὑπέσχετο, ἀπαγαγεῖν αὐτὸν εἰς τὴν Ἑλλάδα, ὑπισχνεῖται καὶ ἕτοιμός ἐστι ποιεῖν τοῦτο, μέχρις ἐπιφανεὶς Ἡρακλῆς πείθει τὸν Φιλοκτήτην ἑκόντα εἰς τὴν Τροίαν πλεῦσαι. τά τε μέλη οὐκ ἔχει πολὺ τὸ γνωμικὸν οὐδὲ τὴν πρὸς ἀρετὴν παράκλησιν, 553 M.
ὥσπερ τὰ τοῦ Εὐριπίδου, ἡδονὴν δὲ θαυμαστὴν καὶ μεγαλοπρέπειαν· ὥστε μὴ εἰκῇ τοιαῦτα περὶ αὐτοῦ τὸν Ἀριστοφάνην εἰρηκέναι·

ὁ δ' αὖ Σοφοκλέους τοῦ μέλιτι κεχρισμένου
ὥσπερ καδίσκου περιέλειχε τὸ στόμα.

12. ὑποτιθέμενον. ὑποθέμενον Pflugk. ‖ τὸν χορὸν. τὸν χρόνον m. ‖ 13. καὶ ὁ. ὁ om. BM. — 16, 1. ἤθη BCMH. Reisk., ἔθη reliq. ‖ 5. ἰσχύϊ. ἰσχύει M. ‖ 7. αἰσθομένου BMH, αἰσθανομένου reliq. ‖ 9. οὐ κατέχει. οὐκ ἂν τείχει M. de verbo κατέχει conf. Orat. 78, § 29 et Sophocl. Oed. R. 755. ‖ οἷός τε. οἷόν τε r. — 17, 2. τοῦ Νεοπτολέμου BCMH. r, τῷ Νεοπτολέμῳ vm. ‖ 4. ποιεῖν τοῦτο. τοῦτο ποιεῖν CH. ‖ μέχρις. μέχρι CMH (corr. μέχρις). ‖ ἐπιφανεὶς. ἐπιφανὴς m. ‖ 6. τὴν. τὸ CH, om. BM. ‖ 8. εἰκῇ BCMH. r, εἰκεῖ v. mrg. m. ‖ Ἀριστοφάνην. ἀριστοφάνη M. ‖ 10. ὁ. οἱ B (apud Boisson. ad Aristoph. Vol. IV, p. 294), unde Boisson. infra περιέλειχον (pro περιέλειχε). conf. Dind. Poët. Scen. Fragm. Arist. n. 231. Dindorfius haec ad Gerytadem refert, ad Σκηνὰς καταλαμβανούσας Bergk. ap. Meinek. fr. com. gr. II, 2. . 1143. ‖ τοῦ BM. m, τῷ reliq. ‖ κεχρισμένου. κεχρισμένους (superscr. vulg.) H, κεχρισμένον Reisk. ‖ 11. καδίσκου. κεκαδίσκου H.

ΛΟΓΟΣ νγ.

ΠΕΡΙ ΟΜΗΡΟΥ.

1 Ὁ μὲν Δημόκριτος περὶ Ὁμήρου φησὶν οὕτως· Ὅμηρος 274 R II
φύσεως λαχὼν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων·
ὡς οὐκ ἐνὸν ἄνευ θείας καὶ δαιμονίας φύσεως οὕτω καλὰ
καὶ σοφὰ ἔπη ἐργάσασθαι. πολλοὶ δὲ καὶ ἄλλοι γεγράφασιν,
οἱ μὲν ἄντικρυς ἐγκωμιάζοντες τὸν ποιητὴν, ἅμα καὶ δηλοῦν-
τες ἔνια τῶν ὑπ' αὐτοῦ λεγομένων, οἱ δὲ αὐτὸ τοῦτο τὴν διά-
νοιαν ἐξηγούμενοι· οὐ μόνον Ἀρίσταρχος καὶ Κράτης καὶ
ἕτεροι πλείους τῶν ὕστερον γραμματικῶν κληθέντων, πρότε-
ρον δὲ κριτικῶν. καὶ δὴ καὶ αὐτὸς Ἀριστοτέλης, ἀφ' οὗ
φασι τὴν κριτικήν τε καὶ γραμματικὴν ἀρχὴν λαβεῖν, ἐν πολ-
λοῖς διαλόγοις περὶ τοῦ ποιητοῦ διέξεισι θαυμάζων αὐτὸν ὡς
2 τὸ πολὺ καὶ τιμῶν· ἔτι δὲ καὶ Ἡρακλείδης ὁ Ποντικός. τού-
των δὲ πρότερος Πλάτων πανταχοῦ μέμνηται, τὴν μὲν ἡδονὴν
καὶ χάριν τὴν τῶν ἐπῶν ἐκπληττόμενος, πολλάκις γε μὴν ἐπι-
μεμφόμενος ἐν τοῖς περὶ θεῶν μύθοις τε καὶ λόγοις, ὡς οὐ
συμφέροντα τοῖς ἀνθρώποις οὐδαμῶς αὐτὸν εἰρηκότα, πλεο-
νεξίας καὶ ἐπιβουλὰς κατ' ἀλλήλων καὶ μοιχείας καὶ ἔριδας
καὶ φιλονεικίας περὶ θεῶν ἐπεξιόντα· μετὰ ταῦτα δὲ οὐ μετα- 275 R II
διδοὺς αὐτῷ τῆς αὐτοῦ πόλεώς τε καὶ πολιτείας σοφῆς, ὡς

Orat. LIII. Collati sunt PBCMH. p significat Homeri ed. principem, cui haec Dionis commentatio praemissa est (Florent. 1488). hanc contulit cum exemplo Reiskiano Westermannus. — 1, 1. Δημόκριτος. δημόκρητος p. ‖ 2. φύσεως. φύσιος Davisius in Edit. Homeri Barnesiana. ‖ θεαζούσης. θειαζούσης P. ‖ 3. οὕτω H. p, οὕτως reliq. ‖ 5. καὶ BM. p, δὲ καὶ reliq. ‖ 6. ἔνια. ἐναντία BM. pm. ‖ 7. καὶ ἕτεροι. καθ' ἕτεροι M (mrg. vulg.). ‖ 9. δὴ καί. καὶ om. C. ‖ 10. ἐν πολλοῖς διαλόγοις. ἐν πολλοῖς δὴ λόγοις (vel ἐν πολλοῖς λόγοις vel ἐν πολλοῖς νὴ Δία λόγοις) Reisk., ἐν ὅλοις δέκα λόγοις Geel. ‖ 12. δὲ καὶ C, καὶ om. reliq. ‖ Ποντικός. ποιητικός p. — 2, 3. τὴν τῶν. τὴν om. PCH. ‖ ἐπιμεμφόμενος. ἀπομεμφόμενος BM (mrg. vulg.). p. ‖ 6. μοιχείας. μοιχίας M. ‖ 7. φιλονεικίας. φιλονικίας M. ‖ μετὰ ταῦτα δὲ οὐ om. M, δὲ om. B. p, τἆλλα pro ταῦτα Reiskius. ‖ 8. αὐτοῦ. sic dedi. αὐτῷ M, αὐτοῦ reliq. ‖ τε καί. τε om C.

αὐτὸς ἐνόμιζεν, ἐσομένης, ἵνα μήτε ταῦτα ἀκούωσι περὶ θεῶν
νέοι ὄντες, οὓς ἐκεῖνος ἀποφαίνει φύλακάς τε καὶ ἡγεμόνας
τῆς πόλεως, μηδ᾽ αὖ περὶ τῶν ἐν ᾅδου μηδὲν σκυθρωπὸν λε-
γόμενον μαλακωτέρους αὐτοὺς πρός τε τὸ μάχεσθαι καὶ τὸ
ἀποθνήσκειν ποιῇ μηδὲ ὥσπερ πώλους κακῶς πωλευθέντας 551 M.
3 ἐξαρχῆς ὑπόπτους πρὸς τὰ μὴ φοβερά. περὶ μὲν δὴ τούτων
ἕτερος λόγος πλείων καὶ μακρότερος καὶ οὐ ῥᾴδιος· πότερον
Ὅμηρος ἥμαρτε περὶ ταῦτα ἢ φυσικούς τινας ἐνόντας ἐν τοῖς
μύθοις λόγους κατὰ τὴν τότε συνήθειαν παρεδίδου τοῖς ἀν-
θρώποις. οὐ γὰρ ῥᾴδιον διαιτῆσαι τὸ τοιοῦτον, καθάπερ
οἶμαι δύο φίλων ἀνδρῶν, ἀμφοτέρων σεμνῶν, τοῦ ἑτέρου τῷ
4 ἑτέρῳ ἐγκαλοῦντος ἑνὸς αὐτῶν καταγνῶναι. γέγραφε δὲ καὶ
Ζήνων ὁ φιλόσοφος εἴς τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδυσσείαν,
καὶ περὶ τοῦ Μαργίτου δέ· δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα
ὑπὸ Ὁμήρου γεγονέναι νεωτέρου καὶ ἀποπειρωμένου τῆς αὑτοῦ
φύσεως πρὸς ποίησιν. ὁ δὲ Ζήνων οὐδὲν τῶν τοῦ Ὁμήρου 276 R II
ψέγει, ἅμα διηγούμενος καὶ διδάσκων, ὅτι τὰ μὲν κατὰ δόξαν,
τὰ δὲ κατὰ ἀλήθειαν γέγραφεν, ὅπως μὴ φαίνηται αὐτὸς
5 αὑτῷ μαχόμενος ἔν τισι δοκοῦσιν ἐναντίως εἰρῆσθαι. ὁ δὲ
λόγος οὗτος Ἀντισθένους ἐστὶ πρότερον, ὅτι τὰ μὲν δόξῃ, τὰ
δὲ ἀληθείᾳ εἴρηται τῷ ποιητῇ· ἀλλ᾽ ὁ μὲν οὐκ ἐξειργάσατο
αὐτόν, ὁ δὲ καθ᾽ ἕκαστον τῶν ἐπὶ μέρους ἐδήλωσεν. ἔτι δὲ
καὶ Περσαῖος ὁ τοῦ Ζήνωνος κατὰ τὴν αὐτὴν ὑπόθεσιν γέ-
γραφε καὶ ἄλλοι πλείους. ὁ δὲ Πλάτων ἅμα αἰτιώμενος
αὐτόν, ὡς εἶπον, καὶ τὴν δύναμιν αὐτοῦ θαυμαστήν τινα
ἀποφαίνει τῆς ποιήσεως, ὡς εἰκόνα ὄντα παντὸς χρήματος

13. ποιῇ BCMH. p. Reisk., ποιεῖ P. v, ποιεῖν mr, ποιοῦν Casaub. (vel supra δυνάμενον pro λεγόμενον vel λεγόμενον τῷ), ποιοίη Selden. ‖ πώλους κακῶς πωλευθέντας M (mrg. πολλοὺς κακῶς πολιτευθέντας). Selden., πολλοὺς κακῶς πολιτευθέντας reliq. ‖ 14. ὑπόπτους πρὸς τὰ μὴ φοβερά Selden., ὑπὸ τοὺς πρὸς τὰ μὴ φόρα reliq. — 3, 5. διαιτῆσαι Selden., διαστῆσαι PBCM. p, διαστῆναι reliqui. Reiskius aut διαστῆσαι aut διαστεῖλαι reponebat, διακρῖναι Iacobs. Add. p. 13. ‖ 6. δύο. οὐδὲ δύο Reisk. — 4, 1. δὲ καί. καί om. p. ‖ 2. Ζήνων. ζήνως C. ‖ 3. Μαργίτου δέ. μαργείτου δὲ M, δὲ om. PCH. ‖ 5. τῶν om. BM. p. ‖ τοῦ delebat Reisk. ‖ 6. ψέγει Obs. 57, γέγει C, λέγει reliqui. ἐλέγχει Iacobs. Add. p. 13, μεμφόμενος καταλέγει Reisk. ‖ ἅμα Iacobs. l. l, ἀλλὰ reliq. ‖ ὅτι om. p. ‖ 8. αὑτῷ p, αὐτῷ. reliq. ‖ μαχόμενος om. p. — 5, 1. ὁ δέ. δὲ in M a corr. add. ‖ 4. ὁ δὲ p. Davis., οὐδὲ reliq. ‖ 5. κατὰ τὴν αὐτὴν Geel., κατ᾽ αὐτὴν pm, κατὰ τὴν reliq. ‖ 8. ὡς εἰκόνα ὄντα Toup. Emend. in Suidam p. 258. conf. Obs. p. 57. et Geel. p. 405. ὡς ἱκανὸν ὄντα

καὶ πάσας ἀτεχνῶς ἀφιέντα φωνὰς, ποταμῶν τε καὶ ἀνέμων
καὶ κυμάτων· καὶ κελεύει μάλα εἰρωνικῶς στέψαντας αὐτὸν
ἐρίῳ καὶ μύρῳ καταχέαντας ἀφιέναι παρ' ἄλλους. τοῦτο δὲ
6 αἱ γυναῖκες ἐπὶ τῶν χελιδόνων ποιοῦσιν. ἔτι δὲ καὶ αὐτὸς 277 R II.
τῆς χάριτος ἐπιὼν τὴν ποίησιν σφόδρα ἄγασθαι τὸν ἄνδρα.
ἀτεχνῶς γὰρ οὐκ ἄνευ θείας τύχης οὐδ' ἄνευ Μουσῶν τε καὶ
Ἀπόλλωνος ἐπιπνοίας δυνατὸν οὕτως ὑψηλὴν καὶ μεγαλοπρεπῆ
καὶ προσέτι ἡδεῖαν γενέσθαι ποίησιν. ὥστε μὴ μόνον τοὺς
ὁμογλώττους καὶ ὁμοφώνους τοσοῦτον ἤδη κατέχειν χρόνον,
ἀλλὰ καὶ τῶν βαρβάρων πολλούς· καὶ τοὺς μὲν διγλώττους 555 M.
καὶ μιγάδας σφόδρα ἐμπείρους εἶναι τῶν ἐπῶν αὐτοῦ πολλὰ
τῶν ἄλλων ἀγνοοῦντας τῶν Ἑλληνικῶν, ἐνίους δὲ καὶ τῶν
σφόδρα μακρὰν διῳκισμένων· ὁπότε καὶ παρ' Ἰνδοῖς φασιν
ᾄδεσθαι τὴν Ὁμήρου ποίησιν μεταβαλόντων αὐτὴν εἰς τὴν
7 σφετέραν διάλεκτόν τε καὶ φωνήν. ὥστε καὶ Ἰνδοὶ τῶν μὲν
ἄστρων τῶν παρ' ἡμῖν πολλῶν εἰσιν ἀθέατοι· τὰς γὰρ ἄρ-
κτους οὔ φασι φαίνεσθαι παρ' αὐτοῖς· τῶν δὲ Πριάμου πα-
θημάτων καὶ τῶν Ἀνδρομάχης καὶ Ἑκάβης θρήνων καὶ
ὀδυρμῶν καὶ τῆς Ἀχιλλέως τε καὶ Ἕκτορος ἀνδρείας οὐκ
ἀπείρως ἔχουσιν. τοσοῦτον ἴσχυσεν ἑνὸς ἀνδρὸς μουσική.
καὶ δοκεῖ ἔμοιγε τῇ δυνάμει ταύτῃ τάς τε Σειρῆνας ὑπερβα-
8 λέσθαι καὶ τὸν Ὀρφέα. τὸ γὰρ λίθους τε καὶ φυτὰ καὶ
θηρία κηλεῖν καὶ ἄγειν τί ἐστιν ἕτερον ἢ τὸ βαρβάρους ἀν-
θρώπους ἀσυνέτους τῆς Ἑλληνικῆς φωνῆς οὕτως ἄγαν χει-
ρώσασθαι, μήτε τῆς γλώττης μήτε τῶν πραγμάτων ἐμπείρους

reliqui, unde quaedam excidisse suspicatus est Reisk. ‖ 10. εἰρωνικῶς Casaubonus. idem Pflugkius, citans Orat. XV, § 10. ‖ αὐτὸν. αὐτοὺς p. ‖ 11. καταχέαντας. καταχέοντες corr. M (prim. man. vulgatum). ‖ ἀφιέναι. ἐφιέναι C. — 6, 1. αὐτὸς τῆς. αὐτὸ τὸ τῆς B. p. mrg. m, αὐτῷ τῆς M. Geelio in v. αὐτὸς aliquod philosophi nomen latere videtur, sicut Κλεάνθης. ‖ 2. ἐπιὼν. ἐπιὸν M. p, ἐπαινῶν Casaub., εἰπὼν Reiskius. Pflugkius: ἔτι δὲ καὶ θαυμαστῆς οὔσης χάριτος περὶ τὴν. desideratur tale quid: ἔστι δὲ κατ' αὐτὸ τὸ τῆς χάριτος σκοποῦντι cett. ‖ ἄγασθαι PCMH. v, ἄγαται B. mr. conf. Geel. p. 407. ‖ 3. θείας. θίας M. ‖ 4. δυνατὸν. ἀδύνατον M, ἦν δυνατὸν p. ‖ ὑψηλὴν PBCMH. r, ὑψηλῆ vm, ὑψηλῆ p. ‖ μεγαλοπρεπῆ. μεγαλοπρεπῆ p. ‖ 7. καὶ τοὺς. καὶ om. B. p, in M a corr. add. ‖ 8. αὐτοῖ, αὐτῶν BM. p. ‖ 10. φασιν ᾄδεσθαι BCMH, ᾄδεσθαί φασιν reliq. ‖ 11. μεταβαλόντων. μεταβαλλόντων H, μεταλαβόντων BM. p. ‖ αὐτὴν. αὐτῶν M (corr. vulg.). p. — 7, 2. τὰς. τοὺς H. ‖ 7. δοκεῖ. δοκεῖν p. ‖ ὑπερβαλέσθαι. ὑπερβάλλεσθαι M (sed. prim. man. vulg., ut videtur). — 8, 2. κηλεῖν. καλεῖν p, κνκλεῖν Toup. Emend. in Suid. II, 440.

ὄντας, ὑπὲρ ὧν ὁ λόγος, ἀλλὰ ἀτεχνῶς καθάπερ οἶμαι πρὸς κιθάραν κηλουμένους; ἡγοῦμαι δὲ ἔγωγε πολλοὺς καὶ τῶν 273 R II.
ἀμαθεστέρων ἔτι βαρβάρων τὸ μὲν ὄνομα ἀκηκοέναι τὸ Ὁμήρου, ὅ τι δὲ δηλοῖ, τοῦτο μὴ εἰδέναι σαφῶς, εἴτε ζῷον εἴτε
9 πρᾶγμα ἕτερον εἴτε φυτόν. οὐ μὴν ἀλλὰ καὶ τὸν βίον ἐπαινέσαι τις ἂν τοῦ ἀνδρὸς πολὺ μᾶλλον τῆς ποιήσεως. τὸ γὰρ ἐν πενίᾳ διαγενέσθαι καὶ ἀλώμενον καὶ τοσοῦτον ἀπὸ τῶν ποιημάτων πορίζοντα, ὁπόσον ἀποζῆν, θαυμαστῆς ἀνδρείας καὶ μεγαλοφροσύνης. ἔτι δὲ τὸ μηδαμοῦ γεγραφέναι τὸ αὑτοῦ ὄνομα, ἀλλὰ μηδὲ ἐν τῇ αὑτοῦ ποιήσει μνησθῆναι· καίτοι τῶν ἄλλων ἁπάντων, ὁπόσοι τινὰ ἔδοξαν ἔχειν δύναμιν ἢ περὶ ποίησιν ἢ καταλογάδην συγγράφοντες, καὶ πρῶτον καὶ τελευταῖον τὸ ἑαυτῶν ὄνομα ξυγγραφόντων, πολλῶν δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε καὶ ποιήμασιν, ὥσπερ Ἑκαταῖός τε καὶ
10 Ἡρόδοτος καὶ Θουκυδίδης· οὗτος μὲν οὖν οὐχ ἅπαξ μόνον ἐν ἀρχῇ τῆς ἱστορίας, ἀλλὰ πολλάκις διαμαρτυρόμενος καθ' ἕκαστον χειμῶνα καὶ θέρος, ὅτι ταῦτα ξυνέγραψε Θουκυδίδης. ὁ δὲ οὕτως ἄρα ἐλεύθερος ἦν καὶ μεγαλόφρων, ὥστε οὐδαμοῦ φανήσεται τῆς ποιήσεως αὑτοῦ μεμνημένος, ἀλλὰ τῷ ὄντι 556 M.
ὥσπερ οἱ προφῆται τῶν θεῶν ἐξ ἀφανοῦς καὶ ἀδύτου ποθὲν
11 φθεγγόμενος. ὅτι δὲ καὶ ὠφέλιμα πάντα καὶ χρήσιμα ἔγραψε· τὰ μὲν ἄλλα εἰ διεξίοι τις, πολὺ ἂν ἔργον εἴη, ὅσα πεποίηκε περὶ ἀρετῆς καὶ κακίας· περὶ δὲ τῶν βασιλέων ἐν βραχεῖ, οἵους φησὶ δεῖν εἶναι. ὃν γὰρ ἂν ἐπαινῇ τῶν βασιλέων, Διὶ μῆτιν ἀτάλαντόν φησιν εἶναι, καὶ Διοτρεφέας ἅπαντας τοὺς ἀγαθοὺς βασιλεῖς, καὶ τὸν Μίνω, μεγίστην ἐπὶ δικαιοσύνῃ δόξαν ἔχοντα παρὰ τοῖς Ἕλλησι, τοῦ Διὸς ὁμιλητήν τε καὶ

5. ἀλλά. ἀλλ' H. ‖ 7. τὸ μέν. τό γε BM. p. ‖ 9. εἴτε φυτόν malim ante πρᾶγμα transponi. — 9. 2. τις ἄν. sic dedi. τινὰς reliq. ‖ 4. θαυμαστῆς PCMH. Pflugk. p. 18, θαῦμα τῆς reliq. ‖ ἀνδρείας. ἀνδρίας B. ‖ 5. γεγραφέναι PC, γεγράφθαι reliq. ‖ αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 6. μηδὲ ἐν τῇ αὐτοῦ ποιήσει. malim μηδὲ ἐν τῇ ποιήσει αὑτοῦ. ‖ 8. τελευταῖον. τελευτίον M. ‖ 9. ξυγγραφόντων PBCMH, συγγραφόντων reliq., malim ἐγγραφόντων. ‖ ἐν αὐτοῖς. ἑαυτοῖς M. — 10. 1. μὲν οὖν. οὖν in M a corr. add. ‖ 2. διαμαρτυρόμενος. διαμαρτυράμενος p. ‖ 3. ξυνέγραψε. συνέγραψε PMH. ‖ 4. οὕτως. οὗτος MH. ‖ 5. φανήσεται. φανήσηται C. ‖ αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 6. ἐξ. ὥσπερ ἐξ BM. p. — 11, 2. εἴη PCH. Pflugk., ἐπήῃ B, ἐπεὶ M, ἐπείη reliq. ‖ 3. βραχεῖ. βραχεῖ ἐρῶ Reisk. ‖ 4. δεῖν. δεῖ CM (at prima man. δεῖν ut videtur). p. ‖ ἂν om. PH. ‖ ἐπαινῇ. ἐπαινεῖ PCMH. ‖ 6. Μίνω. μείνω M.

μαθητὴν εἶναί φησιν, ὡς πρῶτον δὴ καὶ μέγιστον ἁπάντων ἐκεῖνον βασιλέα καὶ μόνον αὐτὸν ἐπιστάμενον καὶ παρα- 279 R II. διδόντα τὴν βασιλικὴν τέχνην καὶ τοὺς ἀγαθοὺς βασιλεῖς δέον πρὸς ἐκεῖνον βλέποντας κατευθύνειν τὴν ἀρχὴν, ἀφομοιοῦντας, ὡς δυνατόν ἐστιν ἀνθρώπους, θεῷ τὸν αὐτῶν τρόπον.
12 τὸ δὲ τοῦ Διὸς ἦθος καὶ τὴν βασιλείαν, ὁποία τις ἦν, ἐν πολλοῖς μὲν ἄλλοις ποιεῖ φανερὰν, ὡς δ' ἐν βραχεῖ περιλαβόντα εἰπεῖν, τὴν δύναμιν αὐτοῦ καὶ τὴν διάνοιαν δηλοῖ πολλάκις ἀεί ποτε αὐτὸν οὕτως ὀνομάζων, πατὴρ ἀνδρῶν τε θεῶν τε· ὡς δέον τὴν τῶν βασιλέων ἐπιμέλειαν πατρικὴν καὶ κηδεμονικὴν εἶναι μετ' εὐνοίας καὶ φιλίας καὶ μηδέποτε ἄλλως προσῆκον ἀνθρώπῳ προΐστασθαί τε καὶ ἄρχειν ἢ ἀγαπῶντα καὶ προνοοῦντα, ὁπότε ὁ Ζεὺς οὐχ ὑπερορᾷ πατὴρ ἀνθρώπων καλεῖσθαι.

8. φησιν. φασιν M. ‖ δὴ. τὴ C. ‖ 9. ἐκεῖνον βασιλέα. βασιλέα ἐκεῖνον C, ἐκείνων βασιλέα p, ἐκεῖνον ὄντα βασιλέα Geelius. genitivos pro accusativis substituit Davisius. ‖ αὐτὸν. αὐτόν τ' B (?). r. ‖ ἐπιστάμενον. ἐπιστάμενος C. ‖ 12. ἀνθρώπους. ἀνθρώποις PH. Reisk. ‖ τὸν αὐτῶν. sic. dedi. τὸν αὐτῶν vr, τῶν αὐτῶν C, τὸν αὐτὸν BM. pm. — 12, 2. μὲν om. p. ‖ ἄλλοις. καὶ ἄλλοις Pflugk. ‖ 4. αὐτὸν. αὐτὰ C. ‖ 6. καὶ μηδέποτε PBCM (mrg. ὡς μηδέποτε). H, ὡς μηδέποτε reliq. ‖ ἄλλως. ἄλλα C. ‖ 7. ἀνθρώπῳ. ἀνθρώπων PCH. ‖ 8. ἀνθρώπων PCH, τῶν ἀνθρώπων reliq.

ΛΟΓΟΣ νδ.

ΠΕΡΙ ΣΩΚΡΑΤΟΥΣ.

1 *Ἱππίας ὁ Ἠλεῖος καὶ Γοργίας ὁ Λεοντῖνος καὶ Πῶλος* 280 R II.
καὶ Πρόδικος, οἱ σοφισταὶ, χρόνον τινὰ ἤνθησαν ἐν τῇ Ἑλ-
λάδι καὶ θαυμαστῆς ἐτύγχανον φήμης οὐ μόνον ἐν ταῖς ἄλλαις
πόλεσιν, ἀλλὰ καὶ ἐν τῇ Σπάρτῃ καὶ παρ' Ἀθηναίοις, καὶ
χρήματα πολλὰ συνέλεξαν δημοσίᾳ τε παρὰ τῶν πόλεων καὶ
παρὰ δυναστῶν τινων καὶ βασιλέων καὶ ἰδιωτῶν, ὡς ἕκαστος 557 M.
ἔχοι δυνάμεως. ἔλεγον δὲ πολλοὺς μὲν λόγους, νοῦν δὲ οὐκ
ἔχοντας οὐδὲ βραχὺν, ἀφ' ὧν ἔστιν οἶμαι χρήματα πορίζειν
2 *καὶ ἀνθρώπους ἠλιθίους ἀρέσκειν. ἄλλος δέ τις ἀνὴρ Ἀβδη-*
ρίτης οὐχ ὅπως ἀργύριον παρ' ἑτέρων ἐλάμβανεν, ἀλλὰ καὶ
διέφθειρε τὴν οὐσίαν τὴν αὑτοῦ συχνὴν οὖσαν καὶ ἀπώλεσε
φιλοσοφῶν, ἀναισθήτως δηλονότι καὶ ζητῶν, ὧν οὐδὲν ὄφε-
λος αὐτῷ. ἦν δὲ καὶ Σωκράτης Ἀθήνησι πένης ἀνὴρ καὶ
δημοτικὸς, οὐδὲ οὗτος ὑπὸ τῆς πενίας ἀναγκαζόμενος οὐθὲν
λαμβάνειν· καίτοι γυναῖκα εἶχεν οὐ μισοῦσαν ἀργύριον καὶ
παῖδας δεομένους διατροφῆς καὶ τῶν νέων λέγεται τοῖς πλου-
σιωτάτοις συνεῖναι, ὧν φασιν ἐνίους μηδενὸς ἁπλῶς φείδεσθαι
3 *πρὸς αὑτόν. ἦν δὲ τἄλλα τῷ τρόπῳ κοινὸς καὶ φιλάνθρωπος*
καὶ παρεῖχεν αὑτὸν τοῖς βουλομένοις προσιέναι καὶ διαλέγε-
σθαι περί τε τὴν ἀγορὰν τὰ πολλὰ διατρίβων καὶ εἰς τὰς
παλαίστρας εἰσιὼν καὶ πρὸς ταῖς τραπέζαις καθεζόμενος·
ὥσπερ οἱ τὰ ὤνια τὰ φαῦλα δεικνύντες ἐν τῇ ἀγορᾷ καὶ 281 R II.
περιφέροντες ἐπὶ τὰς θύρας· εἴ τις ἄρα ἐθελήσει πυθέσθαι

Orat. LIV. Collati sunt BCM. H (cum ed. Ven.). — 1, 1. *Ἠλεῖος. ἥλιος* M. ‖ *Γοργίας. γοργείας* M. ‖ *Λεοντῖνος. λεοντεῖνος* M. ‖ 5. *δημοσίᾳ. δημόσια* B. ‖ *πόλεων* Reisk., *πολιτῶν* reliq. — 2, 3. *διέφθειρε. διαφθείρειν* M. ‖ *ἀπώλεσε. ἀπωλέσαι* M. ‖ 4. *ζητῶν, ὧν* Reisk., *ὧν* om. reliq. ‖ 6. *οὐδὲ. οὐδὲν* C. ‖ *οὗτος.* corr. H *οὕτως.* ‖ 7. *μισοῦσαν. μισοῦσι* C. ‖ 9. *ἁπλῶς* om. B. — 3, 2. *αὑτὸν.* sic dedi. *αὐτὸν* reliq. ‖ *προσιέναι.* sic dedi, idem visum Pflugkio, *προσεῖναι* reliq. ‖ 6. *ἐθελή-*

τι καὶ ἀκοῦσαι τῶν νεωτέρων ἢ τῶν πρεσβυτέρων. οἱ μὲν οὖν πολλοὶ τῶν δυνατῶν καὶ ῥητόρων προσεποιοῦντο μηδὲ ὁρᾶν αὐτόν. ὁ δὲ προσελθών, ὥσπερ οἱ προσπταίσαντες, ἀλγήσας ταχὺ ἀπηλλάττετο. ἀλλὰ δὴ τῶν μὲν θαυμαζομένων ἐκείνων σοφιστῶν ἐκλελοίπασιν οἱ λόγοι καὶ οὐδὲν ἢ τὰ ὀνόματα μόνον ἔστιν· οἱ δὲ τοῦ Σωκράτους οὐκ οἶδ' ὅπως διαμένουσι καὶ διαμενοῦσι τὸν ἅπαντα χρόνον· τούτου μὲν αὐτοῦ μηδὲν γράψαντος ἢ καταλιπόντος, οὔτε σύγγραμμα οὔτε διαθήκας. ἐτελεύτα γὰρ ὁ ἀνὴρ ἀδιάθετος τήν τε σοφίαν καὶ τὰ χρήματα. ἀλλὰ οὐσίαν μὲν οὐκ εἶχεν, ὥστε δημευθῆναι, καθάπερ εἴωθε γίγνεσθαι τῶν καταδικασθέντων· οἱ λόγοι 558 M.
δὲ τῷ ὄντι ἐδημεύθησαν μὰ Δί' οὐχ ὑπ' ἐχθρῶν, ἀλλὰ ὑπὸ τῶν φίλων. οὐδὲν μέντοι ἧττον καὶ νῦν φανερῶν τε ὄντων καὶ τιμωμένων ὀλίγοι ξυνιᾶσι καὶ μετέχουσιν.

σει. malim ἐθελήσειε. ‖ 7. μὲν οὖν. οὖν om. C. ‖ 8. προσεποιοῦντο CMH. Reisk., προσεποιοῦντο τὸ reliq. ‖ 9. προσπταίσαντες. προσπαίσαντες B. ‖ 10. ἀλγήσας H, καὶ ἀλγήσας reliqui (at in M a corr. add.). — 4, 3. ἔστιν. sic dedi. ἐστὶν reliq. ‖ 4. καὶ διαμενοῦσι om. B, καὶ διαμένουσι M. ‖ μὲν. δὲ BM. ‖ 5. μηδὲν om. BM, malim οὐδὲν. Geelius locum sic scribit: χρόνον, τοῦ δι' αὐτοῦ γράψαντος ‖ 6. ὁ ἀνὴρ CMH. Pflugk., ἀνὴρ reliq. ‖ 7. ἀλλὰ. ἀλλ' M. ‖ 8. τῶν. ἐπὶ τῶν ἄλλων Reisk. ‖ 11. ξυνιᾶσι B. Pflugk., ξυνίασι reliq.

ΛΟΓΟΣ νε.

ΠΕΡΙ ΟΜΗΡΟΥ ΚΑΙ ΣΩΚΡΑΤΟΥΣ.

1 *Α.* Ἐπεὶ φαίνῃ καὶ τἆλλα Σωκράτους ὢν ἐπαινέτης καὶ 282 R II.
τὸν ἄνδρα ἐκπληττόμενος ἐν τοῖς λόγοις, ἔχεις μοι εἰπεῖν, ὅτου
μαθητὴς γέγονε τῶν σοφῶν, ὥσπερ Φειδίας μὲν ὁ ἀγαλμα-
τοποιὸς Ἡγίου, Πολύγνωτος δὲ ὁ ζωγράφος καὶ ὁ ἀδελφὸς
ἄμφω τοῦ πατρὸς Ἀγλαοφῶντος; Πυθαγόρου δὲ Φερεκύδης
λέγεται διδάσκαλος γενέσθαι, Πυθαγόρας δὲ Ἐμπεδοκλέους
καὶ ἑτέρων. καὶ τῶν ἄλλων δὲ τῶν πλείστων ἔχομεν εἰπεῖν
τοὺς διδασκάλους τῶν ἐνδόξων ἀνδρῶν, ὅτῳ ἕκαστος συγγε-
νόμενος λόγου ἄξιος ἐγένετο δίχα γε Ἡρακλείτου τοῦ Ἐφεσίου
καὶ Ἡσιόδου τοῦ Ἀσκραίου. ὁ μὲν γάρ φησιν, ὅτι ποιμαίνων
ἐν τῷ Ἑλικῶνι παρὰ τῶν Μουσῶν ἔλαβεν ἐν δάφνης ὄζῳ τὴν
ποίησιν, ἵνα μὴ πράγματα ἔχοιμεν ζητοῦντες αὐτοῦ τὸν διδά-
2 σκαλον. Ἡράκλειτος δὲ ἔτι γενναιότερον αὐτὸς ἐξευρεῖν τὴν
τοῦ παντὸς φύσιν, ὁποία τυγχάνει οὖσα, μηδενὸς διδάξαντος, 283 R II.
καὶ γενέσθαι παρ' αὐτοῦ σοφός. Ὁμήρου μὲν γάρ, ὥσπερ τὰ
ἄλλα τὰ περὶ αὐτόν, καὶ τοῦτο ἄδηλον τοῖς Ἕλλησιν. ὁ δὲ
Σωκράτης ὅτι μὲν παῖς ὢν ἐμάνθανε λιθοξόος τὴν τοῦ πα-
τρὸς τέχνην ἀκηκόαμεν· τὸν δὲ τῆς σοφίας αὐτοῦ διδάσκαλον
οὕτως ὠφελίμου καὶ καλῆς γενομένης, σὺ ἡμῖν σαφῶς εἰπὲ
3 καὶ μὴ φθονήσῃς. — *Δ.* ἀλλὰ τοῦτό γε οἶμαι πολλοῖς εἶναι
σαφές, ὅστις ἔμπειρος ἀμφοῖν τοῖν ἀνδροῖν, ὅτι Σωκράτης
τό γε ἀληθὲς Ὁμήρου μαθητὴς γέγονεν, οὐχ, ὥσπερ ἔνιοί

Orat. LV. Collati sunt BCM. H (cum ed. Ven.). — 1, 1. ἐπεί. ἔπη M. ‖ ὢν om. B, in M a corr. add. ‖ 2. ἔχεις CMH. Pflugk., ἔχοις reliq. ‖ 3. Φειδίας. φιδίας M. ‖ 4. Ἡγίου Mueller. de Phid. p. 11, ἤπου BM, ἵππου C, ἵππου H. vm, Ἱππίου Casaub. r. ‖ 5. Ἀγλαοφῶντος. ἀγλαοφοῦντος C. ‖ 9. δίχα γε. δίχα δὲ BCM. ‖ 10. ὅτι om. B, in M a corr. add. — 2, 1. ἐξευρεῖν r, ἐξεύρε (sic) C, ἐξεῦρεν M, ἐξεῦρε HB. vm. ‖ 3. αὐτοῦ. αὑτοῦ M. ‖ 5. λιθοξόος delebat Davis. ad Max. Tyr. XXXIX, 7. ‖ 8. φθονήσῃς. φθονίσῃς M. — 3, 2. ὅστις BCMH. marg. m, εἴ τις reliq.

φασιν, Ἀρχελάου. — Α. καὶ πῶς οἷόν τε τὸν μήτε ξυγγενό-
μενον Ὁμήρῳ μήτε ἰδόντα πώποτε, ἀλλὰ τοσούτοις ἔτεσιν 539 M
ὕστερον γενόμενον, Ὁμήρου φάναι μαθητήν; — Δ. τί δέ;
ὅστις καθ' Ὅμηρον ἐγένετο, μηδὲν δὲ ἤκουσε τῶν Ὁμήρου
ἐπῶν ἢ ἀκούων μηδενὶ προσέσχε τὸν νοῦν, ἔσθ' ὅπως φήσο-
4 μεν ἐκεῖνον Ὁμήρου μαθητήν; — Α. οὐδαμῶς. — Δ. οὔκουν
ἄτοπον τὸν μήτε ξυγγενόμενον μήτε ἰδόντα, τῆς δὲ ποιήσεως
ξυνιέντα τῆς Ὁμήρου καὶ τῆς ὅλης διανοίας ἔμπειρον γενόμε-
νον, μαθητὴν Ὁμήρου λέγεσθαι. ἢ οὐδὲ ζηλωτὴν οὐδένα
οὐδενὸς φήσεις τῶν μὴ γενομένων ἅμα; — Α. ἔγωγε. —
Δ. εἴπερ οὖν ζηλωτής, καὶ μαθητὴς εἴη ἄν. ὁ γὰρ ζηλῶν
τινα ὀρθῶς ἐπίσταται δήπου ἐκεῖνον, ὁποῖος ἦν, καὶ μιμού-
μενος τὰ ἔργα καὶ τοὺς λόγους ὡς οἷόν τε ἐπιχειρεῖ ὅμοιον
5 αὑτὸν ἀποφαίνειν. ταὐτὸ δὲ τοῦτο καὶ ὁ μαθητὴς ποιεῖν
ἔοικε· μιμούμενος τὸν διδάσκαλον καὶ προσέχων ἀναλαμβάνει
τὴν τέχνην. τὸ δὲ ὁρᾶν καὶ ξυνεῖναι οὐδέν ἐστι πρὸς τὸ μαν-
θάνειν. πολλοὶ γὰρ καὶ ὁρῶσι τοὺς αὐλητὰς καὶ ξύνεισι καὶ
ἀκούουσιν ὁσημέραι, καὶ οὐδ' ἂν ἐμφυσῆσαι τοῖς αὐλοῖς δύ-
ναιντο, οἳ ἂν μὴ ἐπὶ τέχνῃ μηδὲ προσέχοντες ξυνῶσιν. ἀλλ' 284 R II
εἴ γε δυσωπῇ μαθητὴν Ὁμήρου τὸν Σωκράτην καλεῖν, ζηλω-
6 τὴν δὲ μόνον, οὐδέν μοι διοίσει. — Α. ἐμοὶ μὲν οὐχ ἧττον
παράδοξον τοῦτο ἐκείνου δοκεῖ. Ὅμηρος μὲν γὰρ ποιητὴς γέ-
γονεν, οἷος οὐδεὶς ἄλλος· Σωκράτης δὲ φιλόσοφος. — Δ. εἶεν.
οὕτως μὲν οὐδὲ Ἀρχίλοχον εἴποις ἂν Ὁμήρου ζηλωτήν, ὅτι μὴ
τῷ αὐτῷ μέτρῳ κέχρηται εἰς ὅλην τὴν ποίησιν, ἀλλ' ἑτέροις
τὸ πλέον, οὐδὲ Στησίχορον, ὅτι ἐκεῖνος μὲν ἔπη ἐποίει, Στη-
7 σίχορος δὲ μελοποιὸς ἦν. — Α. ναί· τοῦτό γε ἅπαντές φασιν
οἱ Ἕλληνες, Στησίχορον Ὁμήρου ζηλωτὴν γενέσθαι καὶ σφό-
δρα γε ἐοικέναι κατὰ τὴν ποίησιν. Σωκράτης δὲ κατὰ τί
σοι δοκεῖ Ὁμήρῳ ἐοικέναι; — Δ. τὸ μὲν πρῶτον καὶ μέγιστον

4. τὸν. τὸ B. ‖ 6. δέ. δαὶ B. — 4, 2. τῆς δέ. τῆς δε τῆς B, τὸν δὲ τῆς marg. m. ‖ 3. ξυνιέντα CH, ξυνέντα reliq. ‖ 4. λέγεσθαι BCM. marg. m, γενέσθαι reliq. ‖ ἢ οὐδέ. ἢ om. CH. ‖ 5. γενομένων ἅμα. συγγενομένων CH. ‖ 6. οὖν om. BM ‖ εἴη — (§ 5. 1.) μαθητὴς om. C. ‖ 8. οἷόν τε. οἴονται M. ‖ 9. αὑτὸν H, αὐτὸν reliq. — 5, 1. καὶ ὁ. καὶ om. BM. ‖ 4. ὁρῶσι τοὺς H, ὁρῶσι γοῦν C, ὁρῶσιν reliq. ‖ 7. δυσωπῇ. δυσωπεῖ M. ‖ Σωκράτην. Σωκράτη C. — 6, 4. ζηλωτήν. μαθητὴν marg. m. ‖ 5. εἰς. πρὸς MH. — 7, 2. σφόδρα γε BCMH, γε om. reliq. ‖ 3. τί σοι δοκεῖ. τίς οἰκοδομεῖ M.

κατὰ τὸ ἦθος. οὐδέτερος γὰρ αὐτοῖν ἀλαζὼν ἦν οὐδὲ ἀναι-
δὴς, ὥσπερ οἱ ἀμαθέστατοι τῶν σοφιστῶν. Ὅμηρος μὲν γὰρ 560 M.
οὐδὲ ὁπόθεν ἦν εἰπεῖν ἠξίωσεν οὐδὲ ὥντινων γονέων οὐδὲ
ὅστις αὐτὸς ἐκαλεῖτο, ἀλλὰ ὅσον ἐπ' ἐκείνῳ καὶ τὸ ὄνομα
ἠγνοοῦμεν ἂν τοῦ γράψαντος τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν.
8 Σωκράτης δὲ τὴν μὲν πατρίδα οὐχ οἷός τ' ἦν ἀποκρύψασθαι
διὰ τὸ μέγεθος καὶ τὸ σφόδρα ἐνδόξους εἶναι τὰς Ἀθήνας
καὶ τῶν Ἑλλήνων ἄρχειν κατ' ἐκεῖνον τὸν χρόνον, οὐδὲν δὲ
πώποτε εἶπεν ὑπὲρ αὐτοῦ μέγα οὐδὲ προσεποιεῖτο σοφίαν οὐ-
δεμίαν, καίτοι τοῦ Ἀπόλλωνος χρήσαντος, ὡς εἴη σοφώτατος
Ἑλλήνων καὶ βαρβάρων. τελευταῖον δὲ οὐδὲ τοὺς λόγους
αὐτοῦ κατέλιπε γράψας, καὶ ταύτῃ γε ὑπερέβαλε τὸν Ὅμη-
ρον. ὥσπερ γὰρ τὸ ὄνομα τὸ ἐκείνου παρ' ἑτέρων ἀκούοντες
ἴσμεν, οὕτω καὶ τοὺς λόγους τοὺς Σωκράτους ἄλλων κατα-
λιπόντων. οὕτως ἄγαν κεκολασμένω ἤστην καὶ ἐσωφρονείτην
9 ἄμφω τὼ ἄνδρε. ἔπειτα ὑπερεῖδον κτήσεως χρημάτων ὁμοίως
Σωκράτης τε καὶ Ὅμηρος. πρὸς δὲ τούτοις ὑπὲρ τῶν αὐτῶν 285 R. II
ἐσπουδαζέτην καὶ ἐλεγέτην, ὁ μὲν διὰ τῆς ποιήσεως, ὁ δὲ κα-
ταλογάδην· περὶ ἀρετῆς ἀνθρώπων καὶ περὶ κακίας καὶ
ἁμαρτημάτων καὶ κατορθωμάτων καὶ περὶ ἀληθείας καὶ
ἀπάτης καὶ ὅπως δοξάζουσιν οἱ πολλοὶ καὶ ὅπως ἐπίστανται
οἱ φρόνιμοι. καὶ μὴν εἰκάσαι καὶ παραβαλεῖν ἱκανώτατοι
ἦσαν. — Δ. τοῦτο μὲν θαυμαστὸν, εἰ ταῖς Ὁμήρου παραβο-
λαῖς, πυρὸς καὶ ἀνέμων καὶ θαλάττης καὶ ἀετῶν καὶ ταύρων
καὶ λεόντων καὶ τῶν ἄλλων, οἷς ἐκόσμησε τὴν ποίησιν Ὅμη-
ρος, σὺ παραβαλεῖν ἀξιώσεις τοὺς Σωκράτους κεραμέας καὶ
10 τοὺς σκυτοτόμους. — Δ. εἴπερ γε, ὦ μακάριε, καὶ τὴν Ἀρχι-
λόχου ἀλώπεκα τοῖς λέουσι καὶ ταῖς παρδάλεσι παραβάλλομεν
καὶ οὐδὲν ἢ μὴ πολὺ ἀποδεῖν φαμεν. ἀλλὰ γὰρ ἴσως καὶ τῶν
Ὁμήρου τὰ τοιαῦτα ἀποδοκιμάζεις, ὅπου μέμνηται ψαρῶν ἢ

5. αὐτοῖν BMH. marg. m, αὐτὸν C, αὐτῶν reliq. ‖ 9. ἂν τοῦ. ἂν om. H (add. corr.). — 8, 1. δὲ τὴν. μὲν τὴν C. ‖ οἷός τ'. οἵῳ τε C. ‖ 2. τὸ σφόδρα. τὸ om. M. ‖ 4. οὐδὲ om. C. ‖ 7. αὐτοῦ. αὑτοῦ M. ‖ 8. παρ' ἑτέρων. πατέρων BM. ‖ 9. οὕτω. οὕτως C. ‖ τοὺς. τοῦ M. ‖ 10. ἐσωφρονείτην. ἐσωφρονεῖτον BM. ‖ 11. ἄνδρε. ἄνδρες M. — 9, 5. ἀληθείας. ἀληθίας M. ‖ 7. παραβαλεῖν. παρακαλεῖν B. ‖ 11. σὺ om. CH, οὐ M. ‖ παραβαλεῖν MH, παραβάλλειν reliq. ‖ τοὺς. τοῦ M (mrg. vulg.). — 10, 2. παρδάλεσι. παρδάλεσιν M. ‖ 3. οὐδὲν BCMH. r, οὐδενὸς vm. ‖ μὴ om. BM. ‖ 4. τὰ τοιαῦτα om. B.

κολοιῶν ἢ ἀκρίδων ἢ δαλοῦ ἢ τέφρας ἢ κυάμων τε καὶ ἐρε-
11 βίνθων ἢ λικμῶντας ἀνθρώπους πεποίηκεν. ἀλλὰ ταῦτά σοι δοκεῖ τὰ φαυλότατα εἶναι τῶν Ὁμήρου· μόνους δὲ θαυμάζεις τοὺς λέοντας καὶ τοὺς ἀετοὺς καὶ τὰς Σκύλλας καὶ τοὺς Κύ- 361 M.
κλωπας, οἷς ἐκεῖνος ἐκήλει τοὺς ἀναισθήτους, ὥσπερ αἱ τίτθαι τὰ παιδία διηγούμεναι τὴν Λαμίαν. καὶ μὴν ὥσπερ Ὅμηρος διά τε μύθων καὶ ἱστορίας ἐπεχείρησε τοὺς ἀνθρώπους παιδεύειν σφόδρα ἐργώδεις ὄντας παιδευθῆναι, καὶ Σωκράτης πολλάκις ἐχρῆτο τῷ τοιούτῳ, ποτὲ μὲν σπουδάζειν ὁμολογῶν, ποτὲ δὲ παίζειν προσποιούμενος. τούτου ἕνεκεν ἀνθρώπους ἄλλους ὠφέλει, ἴσως δὲ προσέκρουσε τοῖς μυθολόγοις καὶ τοῖς
12 συγγραφεῦσιν. οὐ τοίνυν οὐδὲ τοὺς περὶ Γοργίαν ἢ Πῶλον ἢ Θρασύμαχον ἢ Πρόδικον ἢ Μένωνα ἢ Εὐθύφρονα ἢ Ἄνυτον 286 R II
ἢ Ἀλκιβιάδην ἢ Λάχητα μάτην ἐποίει λέγοντας, ἐξὸν ἀφελεῖν τὰ ὀνόματα· ἀλλ' ᾔδει τούτῳ καὶ μάλιστα ὀνήσειν τοὺς ἀκούοντας, εἴ πως ξυνεῖεν ἀπό τε τῶν λόγων τοὺς ἀνθρώπους καὶ ἀπὸ τῶν ἀνθρώπων τοὺς λόγους· ὃ ξυνορᾶν οὐ ῥᾴδιον ἄλλοις ἢ τοῖς φιλοσόφοις καὶ τοῖς πεπαιδευμένοις. οἱ δὲ πολλοὶ μάτην οἴονται τὰ τοιαῦτα λέγεσθαι καὶ ὄχλον ἄλλως καὶ φλυα-
13 ρίαν ἡγοῦνται. Σωκράτης δὲ ἐνόμιζεν, ὁσάκις μὲν ἀλαζόνα ἄνθρωπον εἰσάγει, περὶ ἀλαζονείας λέγειν, ὁπότε δὲ ἀναίσχυντον καὶ βδελυρὸν, περὶ ἀναιδείας καὶ βδελυρίας, ὁπότε δὲ ἀγνώμονα καὶ ὀργίλον, ἀγνωμοσύνης καὶ ὀργῆς ἀποτρέπειν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως τὰ πάθη καὶ τὰ νοσήματα ἐπ' αὐτῶν τῶν ἀνθρώπων τῶν ἐχομένων τοῖς πάθεσιν ἢ τοῖς νοσήμασι σαφέστερον ἐδείκνυεν, ὁποῖά ἐστιν, ἢ εἰ τοὺς λόγους
14 ψιλοὺς ἔλεγεν. δοκεῖ δέ μοι καὶ τοῦτο παρ' Ὁμήρου λαβεῖν.

11, 4. ἐκεῖνος. ἐκείνοις M. ‖ 6. ἀνθρώπους. ἀνθρώπων CHM (corr. vulg.). mallm ἀνθρώπους τοὺς μέν. ‖ 10. ἄλλους om. CHM (add. corr.), unde Geelius locum sic constituit: προσποιούμενος τούτου ἕνεκεν, τοὺς μὲν ἄλλους ὠφέλει. ‖ ὠφέλει. ὠφελείας M (corr. vulg.). ‖ 11. συγγραφεῦσιν. συγγραφοῖσι corr. M (pr. man. vulg.). — 12, 2. Μένωνα. Μένονα B, μέμνονα C. ‖ Εὐθύφρονα. εὔφρονα M. ‖ 3. Λάχητα. λάχην BH, λάχνην M. ‖ μάτην om. MH. ‖ 4. ἀλλ' C, ἀλλὰ reliq. ‖ τούτῳ. τοῦτο M. ‖ 5. ξυνεῖεν. ξυνίεν M. ‖ τε. γε BM. ‖ 6. λόγους. λόγους δὲ C. ‖ ὃ om. MH. — 13, 2. ἀλαζονείας. ἀλαζονίας M. ‖ 3. ἀναιδείας. ἀνδρείας C, ἀναιδίας M. ‖ 4. ἀποτρέπειν CH. M ut videtur (corr. vulg.), ἀποτρέπει reliq. ‖ 6. τῶν ἐχομένων HC. r, τῶν om. BM. vm. ‖ 7. ἐδείκνυεν. ἐδίκνυεν M. ‖ ἐστιν BCM (mrg. εἰσιν), εἰσιν reliq. ‖ 8. ψιλούς. ψειλοὺς M. ‖ ἔλεγεν. ἔλεγε C. — 14, 1. παρ'. παρὰ M.

*καὶ γὰρ ἐκεῖνος, ὅταν μὲν διηγῆται περὶ Δόλωνος, ὅπως μὲν
ἐπεθύμησε τῶν ἵππων τῶν Ἀχιλλέως, ὅπως δὲ τοὺς πολεμίους
ἀποφεύγειν δυνάμενος ἔστη τοῦ δόρατος ἐγγὺς παγέντος καὶ
οὐδὲν αὐτὸν ὤνησε τὸ τάχος, ὅπως δὲ ἐβάμβαινεν ὑπὸ τοῦ
δέους καὶ συνεκρότει τοὺς ὀδόντας, ὅπως δὲ ἔλεγε τοῖς πολε-
μίοις οὐ μόνον εἴ τι ἐρωτῷεν, ἀλλὰ καὶ ὑπὲρ ὧν μηδεὶς ἐπυν-
θάνετο· καὶ γὰρ τοὺς ἵππους ἐμήνυσε τοὺς Θρᾳκικοὺς καὶ
τὸν Ῥῆσον, ὃν οὐδεὶς ᾔδει ἀφιγμένον· ταῦτα δὲ λέγων οὕτω* 562 M. 287 R II.
σφόδρα ἐναργῶς οὐ περὶ δειλίας ὑμῖν καὶ φιλοδοξίας δοκεῖ
15 *διαλέγεσθαι; ὅταν δὲ περὶ τοῦ Πανδάρου, ὡς συνέχεε τὰς
σπονδὰς ἐλπίσας δῶρα παρὰ Ἀλεξάνδρου τοῦ Πριάμου, καὶ
οὔτε ἀπέκτεινε τὸν Μενέλεω βαλών, καίτοι τοξότης ἱκανὸς
εἶναι δοκῶν, καὶ παραβὰς τὰ ὅρκια τοὺς Τρῶας ἀθυμοτέρους
ἐποίησε πρὸς τὸν πόλεμον μεμνημένους ἀεὶ τῆς ἐπιορκίας·*

— νῦν δ' ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα· τῷ οὔ νύ τι κάλλιόν ἐστι·

16 *καὶ ὃν τρόπον ἀπέθανεν, οὐ μετὰ πολὺ τὴν γλῶτταν ἀποτμη-
θείς, πρὶν ἢ καὶ λόγῳ φῆσαι τὸν Ἀλέξανδρον αὐτῷ χάριν
εἰδέναι· ταῦτα διεξιὼν οὕτως ἐπιμελῶς ὑπὲρ ἄλλου του δοκεῖ
λέγειν ἢ δωροδοκίας καὶ ἀσεβείας καὶ τὸ ξύμπαν ἀφροσύνης;
ὅς καὶ τοῖς βέλεσι κατηρᾶτο καὶ ἠπείλει διακλάσειν αὐτὰ καὶ*
17 *κατακαύσειν, ὡς φοβουμένων αὐτὸν τῶν βελῶν. ὅταν δὲ περὶ
Ἀσίου τοῦ Ὑρτάκου, ὅτι τοῦ στρατηγοῦ κελεύσαντος ἔξω τῆς
τάφρου καταλιπεῖν τοὺς ἵππους μόνος οὐχ ὑπήκουσεν·*

ἀλλὰ σὺν αὐτοῖσιν πέλασεν νήεσσι θοῇσι

2. *διηγῆται. διηγεῖται* M. ‖ *ὅπως μὲν* BCHM. Pflugk., *ὅπως καὶ* reliqui. *καὶ* delebat Reiskius. ‖ 3. *ἐπεθύμησε. ἐπεθυμήσει* C. ‖ *ἵππων — ὅπως δὲ* om. C. ‖ *τῶν Ἀχιλλέως* M, *τοῦ Ἀχιλλέως* reliq. ‖ 4. *παγέντος — ὤνησε. παγὲν* (reliquis omissis) C. ‖ 5. *αὐτὸν. αὐτῶν* M. ‖ *ὅπως. ὁ* H. ‖ *ἐβάμβαινεν. ἐμβάβαινεν* B, *ἐβάμβανεν* corr. M (prim. man. vulg.). ‖ 6. *ὅπως δὲ ἔλεγε τοῖς πολεμίοις.* In C. nihil horum exstat, quam *μίοις.* pro verbis, quae (4 — 6) desunt, in C vacuum relictum est spatium. apparet in exemplo, quo librarius C usus est, illa quae desunt in initio aut fine versuum posita fuisse. *Gildemeisterus.* eadem vetusti libri corruptela caussa fuit omissionum § 20 et 21. ‖ 8. *καὶ γάρ. γὰρ* om. B, in M mrg. add. ‖ 9. *δέ. δὴ* Reisk. ‖ 10. *ἐναργῶς. ἀργῶς* BM. ‖ *δειλίας. διλίας* M. ‖ *ὑμῖν. ἡμῖν* C. conf. § 22, 1. — 15, 1. *συνέχεε* BCMH. Casaub., *συνέχει* vr, *συνεχὲς* m. ‖ 3. *Μενέλεω* CM, *Μενέλεων* reliq. ‖ 7. *μαχόμεσθα* M, *μαχόμεθα* reliq. ‖ *κάλλιόν ἐστι. κέρδιον ἧμιν* Il. 7, 352. — 16, 1. *τήν. τὶν* (sed postea deletum) C. ‖ 4. *δωροδοκίας. δωροδοκείας* M. ‖ 5. *ὅς καὶ* CMH, *ὅς γε* reliqui. malim *ὅς γε καί.* ‖ *διακλάσειν. κλάσειν* CH. — 17, 4. *αὐτοῖσιν. αὐτῇσι* C. ‖ *πέλασεν νήεσσι.*

νήπιος· οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας,
ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος, παρὰ νηῶν
ἄψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·

18 *εἰς τοσαύτην δυσχωρίαν τάφρου τε καὶ τείχους καὶ νεῶν εἰσε-*
λαύνων, ὅπου γε μηδὲ τοῖς πεζοῖς συνήνεγκε καταληφθεῖσιν ὑπὸ
τῶν ἐναντίων, ἀλλὰ ὀλίγης ἐκβοηθείας γενομένης διεφθάρησαν
οἱ πλείους· ὁ δὲ ὑπὸ τῶν ἵππων ἐπαιρόμενος καὶ τῷ κάλλει τοῦ
δίφρου ᾤετο μὲν ὑπὲρ τὸ τεῖχος ἐλάσειν, ἕτοιμος δὲ ἦν ἐμ- 288 R II
βαλὼν εἰς τὴν θάλατταν ἀπὸ τοῦ ἅρματος μάχεσθαι· ἆρ'
οὖν οὐ περὶ ἀπειθείας καὶ ἀλαζονείας τότε λέγειν φαίνεται; 563 M
19 *πάλιν δὲ τούτοις παρατιθεὶς Πολυδάμαντα κελεύοντα εὐλα-*
βηθῆναι καὶ μὴ διαβαίνειν τὴν τάφρον, ἅμα μὲν τὸ πρᾶγμα
ἐπιδεικνύντα ὡς ἐπικίνδυνον, ἅμα δὲ τὸν οἰωνὸν τὸν γενόμενον
αὐτοῖς· ἄλλως μὲν γὰρ οὐδένα ᾤετο ἀνέξεσθαι αὐτοῦ λέγον-
τος, σὺν δὲ τῷ οἰωνῷ τάχ' ἂν πεῖσαι τὸν Ἕκτορα· ἢ τὸν
Νέστορα τοὺς περὶ τὸν Ἀγαμέμνονα καὶ τὸν Ἀχιλλέα λοιδο-
ρουμένους παύοντα τῆς ὀργῆς καὶ προλέγοντα φανερῶς τὰ
συμβησόμενα αὐτοῖς ἀπὸ τῆς στάσεως, ὕστερον δὲ ἐπιπλήτ-
τοντα τῷ Ἀγαμέμνονι ὡς ἁμαρτόντι καὶ ἀναγκάζοντα δεῖσθαι
τοῦ Ἀχιλλέως· ἢ τὸν Ὀδυσσέα ἐπανορθούμενον τὸ ἁμάρτημα
τοῦ Ἀγαμέμνονος, δι' οὗ πεῖραν βουλόμενος λαβεῖν τοῦ στρα-
τοῦ, πῶς φέροιεν τὴν τοῦ πολέμου τριβήν, ὀλίγου φυγεῖν
αὐτοὺς ἐποίησεν· οὐ περὶ φρονήσεως καὶ στρατηγίας καὶ

πέλασσε νήεσι C, πέλασε νήεσσι M, νηεσι B. ‖ 6. ἵπποισιν. ἵπποισι C. — 18, 1. δυσχωρίαν. δυσχέρειαν CH. ‖ εἰσελαύνων. εἰσελαύνειν BM (corr. vulg.). marg. m. ‖ 2. γε μηδὲ H, δὲ μηδὲ M, μηδὲ reliq. ‖ καταληφθεῖσιν. ληφθεῖσιν BM. ‖ 4. ὑπὸ τῶν ἵππων ἐπαιρόμενος καὶ τῷ κάλλει τοῦ. τῇ ἰσχύϊ τῶν ἵππων ἐπαιρόμενος καὶ τῷ κάλλει τοῦ Geel., malim τῶν ἵππων ἐπαιρόμενος τῷ κάλλει καὶ τοῦ. ‖ 5. ᾤετο μὲν Geel., ὡς τὸ μὲν BM, ὡς τότε μὲν reliq. ‖ τὸ τεῖχος M, τοῦ τείχους reliq. ‖ ἐλάσειν BM. mrg. m, ἐλάσως C, ἐλάσων H, ἐλάσαι Pflugk., ἐλάσας reliq. ‖ δὲ ἦν. δὲ ὢν CH. locus minime sanus est. nam Homer. Il. 12, 110 et 13, 385, ubi de mari nihil reperitur, cum his conciliari nequit. ‖ ἐμβαλὼν. ἐμβαλεῖν H. ‖ 6. τὴν θάλατταν. τὸν χάρακα Cens. p. 370, τὴν φάλαγγα (castra) Unger. Ann. p. 1180. at neque alibi neque apud Xenophontem φάλαγξ hoc significat, sed tres aut quatuor loci Xenophontei, quibus ista nititur opinio, partim corrupti sunt partim male intellecti. possit τὴν στρατοπεδείαν. ‖ ἀπὸ BM (corr. καὶ ἀπὸ), ἐκεῖ ἀπὸ Geel., καὶ ἀπὸ reliqui, unde Pflugkius ἐμβαλεῖν (pro ἐμβαλὼν), ut in H. ‖ 7. ἀπειθείας. ἀπειθίας M. ‖ ἀλαζονείας. ἀλαζονίας M. — 19, 1. Πολυδάμαντα. πουλυδάμαντα M. ‖ 5. σὺν Geel., ἐν reliq. ‖ Ἕκτορα — ὕστερον δὲ om. B. ‖ 6. καὶ τὸν Geel., ἢ τὸν reliq. ‖ 8. ἐπιπλήττοντα. ἐπιπλήττοντος C. ‖ 12. ὀλίγου BCMH. r, ὀλίγον vm.

μαντικῆς, πρὸς δὲ τούτοις καιροῦ καὶ ἀκαιρίας ἔοικεν ὑποτί-
20 θεσθαι; ἐν δὲ τῇ Ὀδυσσείᾳ τὰ μὲν ἄλλ' ἐῶ, ἑνὸς δὲ μόνου
μνησθήσομαι, τοῦ Ἀντινόου. τοῦτον γὰρ ἀλαζονέστατον
πεποίηκε τῶν μνηστήρων καὶ ἀκολαστότατον· ὃς πρῶτον μὲν
κατεφρόνει τοῦ Ὀδυσσέως, ὅτι ἐκεῖνος μὲν ἐν ῥάκεσιν ἦν,
αὐτὸς δὲ ἐν πολυτελεῖ ἐσθῆτι καὶ ἔπινεν ἐκ χρυσῶν ποτηρίων,
καὶ τούτων οὐχ αὑτοῦ, καὶ ἐδείπνει πολυτελῶς οὐκ ἐκ τῶν
πατρῴων, ἀλλὰ παρασιτῶν ἐπ' οἰκίας ἀδεσπότου, καὶ ἔφη μὲν
τῆς Πηνελόπης ἐρᾶν, ἐμίγνυτο δὲ ταῖς δούλαις ταῖς τοῦ Ὀδυσ- 289 R II.
21 σέως καὶ τἆλλα ἦν ἀκόλαστος· οὐχ ὡς ἔνιοι τῶν νῦν· τελευ-
τῶν δὲ ἐπεχείρει τοξεύειν, ἄπειρος ὢν τοξικῆς καὶ τὰς χεῖρας
οὕτως ὑπὸ τρυφῆς διεφθαρμένος, ὡς μὴ δύνασθαι ἅπτεσθαι
τῆς νευρᾶς, εἰ μή τις ἐπιχρίσειε στέαρ· καὶ ταῦτα τοῦ Ὀδυσ-
σέως ὁρῶντος καὶ τῆς ἐρωμένης παρούσης, ἐν ἀνθρώποις το-
σούτοις, μηδ' ἐπιτεῖναι δυνάμενος τὸ τόξον μηδὲ ὅπως στήσειε
τοὺς πελέκεις ὁ Τηλέμαχος ξυνιείς. ὁμοίως δὲ καὶ τοῦτον
ἀποθανόντα ἐποίησεν οὐκ εἰκῇ πληγέντα διὰ τοῦ λαιμοῦ, οὐχ
ὅπου ἔτυχεν, ὥσπερ ἀμέλει τὸν Πάνδαρον διὰ τῆς γλώττης. 561 M.
καὶ γὰρ εἰ τύχῃ τινὶ συμβαίνει τὰ τοιαῦτα, ὅμως ἐπὶ πολλῶν
ἔστιν εἰπεῖν, ὅτι τοῦτον μὲν τὸν ἄνθρωπον διὰ τῆς γαστρὸς
δεῖ πληγέντα ἀποθανεῖν, τοῦτον δὲ διὰ τῶν αἰδοίων, τοῦτον
22 δὲ διὰ τοῦ στόματος. μὴ οὖν ὑμῖν εἰκῇ δοκεῖ Ὅμηρος ὁτιοῦν
λέγειν; οὐ τοίνυν οὐδὲ Σωκράτης ἄλλως ἐχρῆτο τοῖς λόγοις
οὐδὲ τοῖς παραδείγμασιν· ἀλλ' Ἀνύτῳ μὲν διαλεγόμενος βυρ-
σέων ἐμέμνητο καὶ σκυτοτόμων· εἰ δὲ Λυσικλεῖ διαλέγοιτο,
προβάτων καὶ καπήλων, Λύκωνι δέ, δικῶν καὶ συκοφαντη-

20, 2. ἀλαζονέστατον. ἀλαζονίστατον M. ‖ 4. ἐν om. M. ‖ 5. καὶ ἔπινεν ἐκ χρυσῶν ποτηρίων om. C. ‖ 7. παρασιτῶν ἐπ' οἰκίας ἀδεσπότου om. C. ‖ παρασιτῶν BMH. Casaub. r, παρὰ σίτων marg. m, παρὰ τῶν vm. ‖ ἐπ' οἰκίας. ἐπ' om. BM. ‖ 9. καὶ τἆλλα ἦν ἀκόλαστος om. C. — 21, 1. τελευτῶν. mrg. M τελευτέων. ‖ 2. τοξικῆς — χεῖρας om. C. ‖ τοξικῆς. τοξότης B. ‖ 3. ὑπὸ. ὑπὸ τῆς C. ‖ 4. νευρᾶς. νευρῆς M. ‖ ἐπιχρίσειε CH, ἐπιχρεῖσαι M, ἐπιχρίσαι reliq. ‖ 6. δυνάμενος. δυναμένοις marg. m. ‖ τὸ τόξον. τὸ om. C. ‖ στήσειε. στήσῃ B, στήσει M. ‖ 7. ξυνιείς. sic dedi. ξυνιεῖς C, ξυνείς reliq. ‖ ὁμοίως Casaub., ὁμῶς Iacobs. Add. p. 141, ὅμως reliq. ‖ 8. λαιμοῦ. λεμοῦ M. ‖ 10. τύχῃ BM, καὶ τύχῃ reliq. ‖ 12. δεῖ. ἔδει r. ‖ τοῦτον δὲ διὰ τῶν αἰδοίων om. C. ‖ 13. δὲ διὰ τοῦ. δὲ om. B. — 22, 1. δοκεῖ. δοκῇ B. ‖ 3. ἀλλ' Ἀνύτῳ μὲν Reisk., ἀλλ' αὐτῷ μὲν BCM, ἀλλ' ἀνύτω τάχα μὲν (corr. post τάχα add. αὐτῷ) H, ἀλλ' Ἀνύτῳ τάχα αὐτῷ μὲν reliq. ‖ 5. Λύκωνι Geel., Γύκωνι B, Γλύκωνι reliqui, unde Γλαύκωνι Reisk.

μάτων καὶ ἀμιδίων καὶ κωδίων, Μένωνι δὲ τῷ Θετταλῷ περὶ ἐραστῶν καὶ ἐρωμένων. οὐ μέντοι ἀλλὰ καὶ ἄλλων ἐνίοτε 39 R II παραδειγμάτων εὐπόρει, φίλους μὲν ὀνομάζων καὶ φιλίαν, ὅτε πρὸς Λύσιν διαλέγοιτο, περὶ σωφροσύνης δὲ Χαρμίδῃ διαλεγόμενος.

ΛΟΓΟΣ νς.

ΑΓΑΜΕΜΝΩΝ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

1 Δ. Πότερα βούλει περὶ Ἀγαμέμνονος ἀκούειν φρονίμους λόγους, ἀφ' ὧν ἔστιν ὠφεληθῆναι τὴν διάνοιαν, ἢ λυπεῖ σε Ἀγαμέμνων ὁ Ἀτρέως ὀνομαζόμενος ἐν τοῖς λόγοις; — Α. οὐδ' εἰ περὶ Ἀδράστου τοῦ Ταλαοῦ λέγοις ἢ Ταντάλου ἢ Πέλοπος, ἀχθοίμην ἄν, εἰ μέλλω βελτίων ἔσεσθαι. — Δ. καὶ μὴν ἀνεμνήσθην ἔναγχος λόγων τινῶν, οὓς λέγοιμ' ἄν, εἴ μοι
2 ἐρωτῶντι ἐθέλοις ἀποκρίνασθαι. — Α. λέγε ὡς ἀποκρινουμένου. — Δ. εἰσί τινες ἀνθρώπων ἄρχοντες, ὥσπερ ἕτεροι μὲν αἰγῶν, ἕτεροι δὲ ὑῶν, οἱ δέ τινες ἵππων, οἱ δὲ καὶ βοῶν, ξύμ-

6. καὶ ἀμιδίων. hunc locum sic constituit Reiskius: προβάτων καὶ κωδίων· Γλαύκωνι δὲ δικῶν καὶ συκοφαντημάτων *** δὲ καπήλων καὶ ἀμίδων, Μένωνι δὲ cett. ἀμίδες Reiskio sunt amphorae. Geelius nomen aliquod post συκοφαντημάτων excidisse, ceterum ἀμνίων pro ἀμιδίων scribendum esse existimat. Cobetus apud Geelium Καλλίᾳ δὲ μύρων, nixus Xenoph. Sympos. 2, 3. C. F. Hermannus a me consultus sic locum constituit: ἀλλ' Ἀνύτῳ [τάχα] μὲν διαλεγόμενος βυρσέων ἐμέμνητο καὶ σκυτοτόμων, εἰ δὲ Λυσικλεῖ διαλέγοιτο, ἀμνίδων (vel ἀμνίων vel ἀμνιδίων) καὶ κωδίων, Λύκωνι δὲ δικῶν καὶ συκοφαντημάτων, Μένωνι δὲ cett. verba enim προβάτων καὶ καπήλων nihil esse nisi glossema ex Aristoph. Equit. 172 et Plut. Pericl. c. 24, ubi Lysicles προβατοκάπηλος appellatur. prorsus hoc mihi persuasit vir doctissimus. ‖ 8. εὐπόρει M, εὐπορεῖ reliq. ‖ 9. Λύσιν B. Pflugk., Λυσίαν reliq. ‖ διαλέγοιτο. διαλέγοι m.

Orat. LVI. Collati sunt BCM et inde a § 10 S. H (cum ed. Ven.). — 1, 4. λέγοις M. Reisk. (idem λέγῃς), λέγειν B, λέγεις reliq. ‖ 5. ἂν om. B, in M a corr. add. — 2, 1. ἀποκρινουμένου MH. Geel., ἀποκρινομένου reliq. ‖ 3. οἱ δέ τινες. ἕτεροι δὲ H.

παντες οὗτοι οἱ καλούμενοι κοινῇ ποιμένες· ἢ οὐκ ἀνέγνωκας
τοῦτο τὸ ἔπος Κρατίνου·

ποιμὴν καθέστηκ', αἰπόλος καὶ βουκόλος; —

Α. οὐκ ἂν ἔχοιμί σοι εἰπεῖν, εἰ ποιμένας ἄμεινον ὀνομάζειν
σύμπαντας τοὺς τῶν ζώων νομέας. — *Δ.* οὐ μόνον γε τῶν 565 M.
ἀλόγων, ὦ ἄριστε, ἀλλὰ καὶ ἀνθρώπων, εἴ τι χρὴ Ὁμήρῳ 291 R II.
πείθεσθαι περὶ τούτων. ἀλλὰ τί οὐκ ἀποκρίνω τὸ ἐξ ἀρχῆς
ἐρώτημα; — *Α.* τὸ ποῖον; — *Δ.* εἴπερ εἰσί τινες ἀνθρώπων
3 ἄρχοντες; — *Α.* πῶς γὰρ οὐκ εἰσίν; — *Δ.* τίνες οὗτοι; τίνας
αὐτοὺς ἐπονομάζεις; λέγω δὲ οὐ τοὺς ἐν πολέμῳ στρατιωτῶν
ἄρχοντας, οὓς στρατηγοὺς παρονομάζειν εἰώθαμεν, τοὺς ἁπά-
σης τῆς στρατιᾶς ἡγεμόνας· ὥσπερ γε καὶ κατὰ μέρος ὁ μὲν
λόχου ἄρχων καλεῖται λοχαγός, ὁ δὲ τάξεως ταξίαρχος, ὁ δὲ
τοῦ ναυτικοῦ ναύαρχος, ὁ δὲ μιᾶς τριήρους τριήραρχος· καὶ
ἄλλοι εἰσὶν οὕτως καλούμενοι καὶ κατὰ πλείους ἐν τοῖς πολέ-
μοις ἄρχοντες καὶ κατ' ὀλίγους, ὅτι πλείστης προνοίας τότε
4 καὶ ἡγεμονίας οἱ ἄνθρωποι δέονται. οὐδέ γε τῶν χορῶν τοὺς
κορυφαίους τυγχάνω πυνθανόμενος, οἵτινες καλοῦνται, τοὺς
σημαίνοντας τοῖς ᾄδουσι καὶ μέλος ἐνδιδόντας, οὐδὲ τοὺς τῶν
συμποσίων ἡγεμόνας οὐδ' εἴ τινες ἄλλου μέρους ἀνθρώπων
πρὸς μίαν πρᾶξιν ἢ χρόνον ῥητὸν ἐπιμέλειάν τινα ἢ ἀρχὴν
λαμβάνουσιν· ἀλλὰ τοὺς αὐτὸ τοῦτο τῶν ἀνθρώπων ἄρχον-
τας, πολιτευομένων καὶ γεωργούντων, ἂν οὕτω τύχωσι, καὶ
βιούντων ἁπλῶς, ὡς Κῦρός τε Περσῶν ἦρχε καὶ Μήδων
Δηιόκης καὶ Ἕλλην τῶν δι' αὐτὸν ὀνομασθέντων καὶ Αἴολος

4. ποιμένες. ποιμαίνες (corr. vulg.) M. ‖ 5. Κρατίνου. κρατείνου (corr. vulg.) M. ‖ 6. καθέστηκ' H. Valcken. in Eleg. Callim. p. 75, καθέστηκα BM, καθέστημεν C, καθέστη reliqui. conf. Meinek. Fragm. Comic. I, p. 128. ‖ αἰπόλος. αἰπώλω BM (corr. vulg.). ‖ βουκόλος. βουκόλῳ BM (corr. vulg.). ‖ 7. ποιμένας. ποιμαίνας (corr. vulg.) M. ‖ ἄμεινον ὀνομάζειν BCMH. Obs. p. 57, ἃ μόνον ὀνομάζει V, δεῖ μόνον ὀνομάζειν Reisk., μόνον ὀνομάζει reliq. ‖ 8. σύμπαντας. ξύμπαντας M. ‖ γε. δὲ Geel. ‖ 11. εἴπερ. malim εἰ ἄρα. — 3, 2. δὲ οὐ. οὐ om. marg. m. ‖ 3. ἄρχοντας. ἄρχοντες corr. M (prim. man. vulg.). ‖ οὓς om. BM. ‖ παρονομάζειν. γὰρ ὀνομάζειν B. ‖ 4. στρατιᾶς Reisk., στρατείας reliq. ‖ 7. καὶ κατὰ πλείους Reisk., πλείους reliq. ‖ πολέμοις. πολεμίοις B. ‖ 8. καὶ κατ' ὀλίγους Reisk. (idem ἢ κατ' ὀλίγους et supra κατὰ πλείους), κατ' ὀλίγους reliq. — 4, 5. ἀρχὴν BMH, ἄλλου ἀρχὴν reliq. ‖ 6. αὐτὸ τοῦτο Pflugk. p. 33, αὖ ποτε CH, αὖ τοτε B, αὐτότε reliq. ‖ 7. οὕτω. οὕτως CM. ‖ 9. Ἕλλην τῶν CH. corr. M (prim. man. Ἑλλήνων τῶν). Obs. p. 57, Ἕλλην Ἑλλήνων τῶν Valckenarius et

Αἰολέων καὶ Δῶρος Δωριέων καὶ Νομᾶς Ῥωμαίων καὶ Δάρ-
5 *δανος Φρυγῶν. — Δ. ἀλλ' οὐδὲν ἧρον χαλεπόν· πάντες γὰρ*
οὗτοι, οὓς σὺ νῦν ὀνομάζεις, βασιλεῖς ἐκαλοῦντο καὶ ἦσαν,
καὶ ἡ ἀρχὴ αὕτη, ἣν λέγεις, τὸ καθόλου ἀνθρώπων ἄρχειν
καὶ ἐπιτάττειν ἀνθρώποις ἀνυπεύθυνον ὄντα βασιλεία καλεῖ- 292 R II.
ται. — Δ. σὺ ἄρα οὐχ ἡγῇ βασιλείαν τὴν τῶν Ἡρακλειδῶν
ἐν Λακεδαίμονι τοσοῦτον βασιλευσάντων χρόνον; ἐκεῖνοι γὰρ
οὐ πάντα ἔπραττον, ὡς αὐτοῖς ἐδόκει, ἀλλὰ περὶ πολλῶν ὑπή-
6 *κουον τοῖς ἐφόροις. καὶ ὅτε κατέστη τοῦτο τὸ ἀρχεῖον ἐν*
Σπάρτῃ, Θεοπόμπου βασιλεύοντος, πρὸς ἐνιαυτὸν, οὐδὲν ἧτ-
τον ἐκράτουν τῶν βασιλέων· ὥστε καὶ Παυσανίαν τὸν Κλε- 566 M.
ομβρότου, τὸν νικήσαντα Πλαταιᾶσιν, ἐβούλοντο μὲν εἰς τὴν
εἱρκτὴν ἐμβαλεῖν, καταφυγόντα δὲ εἰς τὸ τῆς Ἀθηνᾶς ἱερὸν
αὐτοῦ ἀπέκτειναν, καὶ οὐδὲν αὐτὸν ὤνησεν οὔτε ὅτι γένους ἦν
τῶν Ἡρακλειδῶν οὔτε ὅτι παῖδα ἐπετρόπευεν οὔτε ὅτι τῆς Ἑλ-
7 *λάδος ἁπάσης ἡγήσατο, οὐ μόνον τῆς Σπάρτης. ὕστερον δὲ*
Ἀγησίλαον πολεμοῦντα βασιλεῖ τῷ μεγάλῳ καὶ περὶ Σάρδεις
νενικηκότα μάχῃ καὶ κρατήσαντα πάσης τῆς κάτω Ἀσίας ὑπηρέ-
την πέμψαντες ἐκάλουν παρ' αὐτούς· καὶ ὃς οὐδεμίαν ἡμέραν
ἀνεβάλετο τοσούτων μὲν Ἑλλήνων τοσούτων δὲ βαρβάρων γε-
γονὼς κύριος. οὐκ ἄρα ὑπῆρχε βασιλεὺς τῆς Σπάρτης Ἀγησί-
λαος, ὃς ὑπήκουεν ἑτέροις ἄρχουσιν; — Δ. καὶ πῶς ἂν εἶεν
οὗτοι βασιλεῖς πρὸς τὸν ἀκριβῆ περὶ τῆς βασιλείας λόγον; —
8 *Δ. ἆρα οὐδὲ Ἀγαμέμνονα ἐν Ἰλίῳ φήσεις βασιλεύειν Ἀργείων τε*
καὶ Ἀχαιῶν, ὅτι εἶχε τῆς ἀρχῆς ἐπίτροπον ἄνδρα πρεσβύτερον,
Νέστορα τὸν Πύλιον, κἀκείνου κελεύοντος τὸ τεῖχος ᾠκοδο-
μήθη τὸ περὶ τὰς ναῦς καὶ τὴν τάφρον περιεβάλοντο ἔρυμα
τοῦ ναυστάθμου καὶ διεῖλεν εἰς τάξεις τὸν στρατὸν ὁ Ἀγα-

Hemsterhusius, *Ἑλλήνων τῶν* reliq. ‖ *αὐτόν. αὐτὸ* BM. m. ‖ *καὶ Αἴολος* CHM (corr. *ὡς*), *ὡς Αἴολος* reliq. ‖ 10. *Δωριέων. δωριαίων* M. ‖ *Νομᾶς* BCM, *Νουμᾶς* reliq. — 5, 3. *αὕτη. αὐτὴ* B. ‖ 4. *ἀνθρώποις* BCM, *ἄνοις* H, *αὐτοῖς* reliq. ‖ *βασιλεία. βασιλέα* B. ‖ 5. *τὴν τῶν. τῶν* om. H. — 6, 1. *καὶ* om. MH. ‖ *ὅτε* BCMH, *ὅτε δὴ* reliq. ‖ 3. *τῶν βασιλέων. τὸν βασιλέα* v. marg. m. ‖ 6. *αὐτὸν ὤνησεν. ὤνησεν αὐτὸν* CH. ‖ *γένους* Reisk., *γένος* reliq. — 7, 3. *μάχῃ καὶ* CH. Reisk., *καὶ* om. M, *καὶ μάχῃ* reliq. ‖ 4. *παρ' αὐτούς.* sic dedi. *παρ' αὐτοὺς* CHM (mrg. vulg.), *πρὸς αὐτοὺς* reliq. ‖ 6. *οὐκ ἄρα* CMH, *οὐκ ἄρ'* reliq. ‖ 7. *καὶ πῶς ἂν* H. Casaub., *καὶ πῶς οὐκ ἂν* reliqui. si *οὐκ* verum est, sic scribi possit: *ἢ πῶς; — Δ. οὐκ ἂν* (sine interrogatione). — 8, 4. *περιεβάλοντο* MH. Pflugk., *περιέβαλον τὸ* B, *περιεβάλλοντο* reliq. ‖ 5. *τοῦ. τὸ* C.

μέμνων πρότερον, ὡς ἔοικεν, εἰκῇ μαχόμενον, πεζούς τε καὶ
ἱππέας, φύρδην ἁπάντων ἀναμεμιγμένων, Πυλίων τε καὶ 293 R II.
Ἀργείων καὶ Ἀρκάδων καὶ Βοιωτῶν; ὁ δὲ Νέστωρ ὕστερον
αὐτῷ προσέταξε κατὰ φῦλα διαιρεῖν τὸν στρατόν,

ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις.

9 *οὕτω δὲ καὶ τῶν ἡγεμόνων, ἔφη, γνώσῃ τούς τε ἀγαθοὺς καὶ*
τοὺς κακούς· εἰ δὲ τῶν ἡγεμόνων, δηλονότι καὶ τῶν στρα-
τιωτῶν· ἅμα διδάσκων τῆς ὠφελείας τὸ μέγεθος. — Α. καὶ
τί βουλόμενος οὕτως ἐποίει; — Δ. ἵνα ἐπίστηται καὶ τελευ-
τήσαντος αὐτοῦ τὴν στρατηγικὴν τέχνην ὁ Ἀγαμέμνων. οὕτω
δὲ πάνυ ἦν κατήκοος τοῦ Νέστορος, ὥστε οὐ μόνον εἴ τι
προσέταττεν αὐτὸς παρών, τοῦτο ἐποίει προθύμως, ἀλλ' οὐδὲ
εἴ τι ὄναρ ᾠήθη Νέστορα λέγειν, οὐκ ἂν οὐδὲ τοῦτο παρέλειπεν.
τὸ γοῦν ὄναρ τὸ περὶ τῆς μάχης οὕτως ἐξηπάτησεν αὐτόν,
10 *Νέστορι ἀπεικασθέν. οὐ μόνον δὲ τῷ Νέστορι ὑπήκουε δο-*
κοῦντι φρονιμωτάτῳ τῶν Ἀχαιῶν, ἀλλ' οὐδὲ ἄνευ τῶν γερόν- 561 M.
των οὐδὲν ἔπραττεν. ὁπότε γοῦν ἔμελλεν ἐξάγειν τὸν στρατὸν
τῷ ἐνυπνίῳ πεισθείς, οὐ πρότερον ἐξήγαγε, πρὶν ἡ βουλὴ τῶν
γερόντων ἐκάθισε παρὰ τῇ νηὶ τῇ Νέστορος. οὐδὲ τὴν πεῖ-
ραν, ἣν ἐβούλετο λαβεῖν τοῦ πλήθους, εἰ ἔτι μένειν ἐβούλετο
καὶ διαπολεμεῖν τοῦ Ἀχιλλέως μηνίοντος, οὐκ ἄλλως ἐπει-
ράθη, πρὶν εἰς τὴν βουλὴν πρῶτον εἰσήγγειλεν. οἱ δὲ πολλοὶ
τῶν δημαγωγῶν ἀπροβούλευτα ψηφίσματα οὐκ ὀκνοῦσιν εἰς
τὸν δῆμον εἰσφέρειν. ἐκεῖνος δὲ μετὰ τῶν γερόντων βουλευ-
σάμενος, οὕτως ἐμέμνητο εἰς τὸ πλῆθος περὶ τῆς καταστά-
11 *σεως τοῦ πολέμου. — Α. τοῦτο μὲν οὐδὲν ἄτοπον, εἰ βασιλεὺς*
ὢν μετεδίδου λόγου τοῖς ἄλλοις καὶ σύμβουλον εἶχε διὰ γῆρας 294 R II.
πιστευόμενον, αὐτὸς ὢν κύριος ἁπάντων τῶν πραγμάτων.
ἐπεὶ διὰ τί τὰ περὶ τὴν Βρισηίδα οὕτως ἐποίησεν, οὐ πεισθεὶς

9, 3. *ὠφελείας. ὠφελίας* M. ‖ 4. *ἐπίστηται. ἐπίστητε* M. ‖ 5. *οὕτω* B, *οὕτως* CMH. Pflugk., *οὗτος* reliq. ‖ 6. *τοῦ* BCMH. Reisk. (vel delebat *τοῦ Νέστορος*), *αὐτὸς τοῦ* Selden., *αὐτοῦ τοῦ* reliq. ‖ 7. *αὐτὸς* CH, *αὐτοῖς* BM, *αὐτῷ* reliq. ‖ 8. *εἴ τι. εἴ τις* m. ‖ *παρέλειπεν. παρέλιπε* BCM. ‖ 9. *γοῦν. γὰρ* H. — 10, 2. *φρονιμωτάτῳ. φρονιμωτάτων* C. ‖ 5. *τῇ Νέστορος* BCMH, *τοῦ Νέστορος* reliq. ‖ Hinc incipiunt variae lectiones a Burmanno descriptae e Codice ignoto (S). ‖ 6. *ἐβούλετο. ἠβούλετο* S. ‖ 9. *ἀπροβούλευτα* CMH. Vales. Emend. p. 75, *ἀπροβούλως τὰ* reliq. — 11, 2. *λόγου. λόγον* B. ‖ 4. *ἐπεὶ διὰ τί τὰ περὶ τὴν Βρισηίδα οὕτως ἐποίησεν, οὐ. τὰ δὲ περὶ τὴν Βρισηίδα διά τι οὕτως ἐποίησε μὴ* S. ‖ *οὕτως. οὕτως αἰσχρῶς* Reisk.

τῷ Νέστορι τῷ βελτίστῳ; — Δ. ὅτι πολλοὶ καὶ τῶν ἰδιωτῶν οὐ πειθόμενοι τοῖς ἄρχουσιν οὐδὲ τοῖς νόμοις πολλὰ πράττουσι παρανόμως, ὑπὲρ ὧν καὶ τὰς εὐθύνας ὑπέχουσιν. οὐκοῦν ἀχθέντες εἰς τὸ δικαστήριον τὴν ἀρχὴν ζημιοῦνται, ἧς
12 ἂν ἕκαστοι δοκῶσιν ἄξιοι ζημίας. — Α. πάνυ γε. — Δ. τί οὖν; Ἀγαμέμνων οὐ δοκεῖ σοι τότε ἀπειθήσας ὕστερον εὐθύνεσθαι ὑπὸ τοῦ Νέστορος, ὁπηνίκα αὐτοῦ κατηγόρει τῆς πράξεως ἐκείνης ἐν τοῖς φρονιμωτάτοις τῶν συμμάχων [τοῖς ἡγεμόσιν αὐτοῖς τίμημα ἐπάγων, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι,] κατηγορίαν χαλεπωτάτην, ἅτε δεινὸς ὢν ῥήτωρ, λέγων, ὅτι πάλαι βαρέως ἔχει τοῖς πράγμασιν·

13 ἐξέτι τοῦ, ὅτε, διογενὲς, Βρισηίδα κούρην
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, 368 M.
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας· ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθα —;

14 καὶ νὴ Δία γε οὐ μόνον αὐτὸν εὔθυνε τοῖς λόγοις, ἀλλὰ καὶ ζημίαν ἐπήγαγε τοῦ ἁμαρτήματος πασῶν βαρυτάτην. κελεύει γὰρ αὐτὸν δεηθῆναι τοῦ Ἀχιλλέως καὶ πάντα ποιεῖν, ὅπως πείσῃ τὸν ἄνδρα. καὶ ὃς ὑποτιμᾶται χρημάτων τὸ πρῶτον, ὥσπερ οἱ ἁλόντες τοῖς δικαστηρίοις, ὅσα φησὶν ἀποτῖσαι δύνασθαι ἀντὶ τῆς ὕβρεως, καὶ τά τε ἄλλα καὶ ὅρκον ὑποδέχεται ὀμόσειν σφαγίων γενομένων περὶ τῆς Βρισηίδος, ἦ μὴν 295 R II.

5. τῷ Νέστορι. τῷ om. S. ‖ ὅτι πολλοὶ καὶ τῶν M, ὡς πολλοὶ καὶ τῶν B, ὥσπερ δὴ καὶ πολλοὶ τῶν reliq. ‖ 8. τὴν ἀρχὴν suspecta Reiskio. malim ἢ τὴν ἀρχήν. μετὰ τὴν ἀρχὴν Pflugk. ‖ 9. ἕκαστοι. ἑκάστῳ BSM. — 12, 3. κατηγόρει. κατηγορεῖ B. ‖ 4. [τοῖς ἡγεμόσιν — ἀποτῖσαι] delenda esse ostendi Obs. p. 57, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι om. S. ‖ 6. κατηγορίαν. κατηγορείαν M. ‖ 7. πάλαι BM, πάνυ reliq. ‖ τοῖς πράγμασιν. τὰ πράγματα CH. corr. S (τοῖς πράγμασιν a prima manu.). — 13, 1. ὅτε. ὅτε σὺ CSH. corr. M (prim. man. vulg.). conf. Il. 9, 106. ‖ διογενές. διογενὴς BM, διογενοῦς (corr. διογενὲς) S. marg. m. ‖ Βρισηίδα. βρησηΐδα M. ‖ 2. ἔβης. ἔβη B, βὴ M. ‖ 5. φέριστον. φέρτιστον S. ‖ ἔτισαν. ἔτεισαν M. ‖ 6. ἠτίμησας. κτίμασσας B, ἠτίμασας M (corr. vulg.). S, ἠτιμησκας C. ‖ 7. φραζώμεσθα Il. 9, 112, φραζώμεθα C, φραξώμεσθα (mrg. φραζώμεθα) M, φραζώμεθ' reliq. — 14, 1. εὔθυνε. εὐθῦναι M. ‖ 3. ποιεῖν BSM, ποιῆσαι reliq. ‖ 5. φησὶν BCSMH, φασὶν reliq. ‖ ἀποτῖσαι C, ἀποτεῖσαι M, ἀπαιτῆσαι S, ἀποτίσαι reliq. ‖ 6. καὶ τά τε Reisk., καὶ om. reliq.

15 αὐτῆς μηδὲ ἅψασθαι λαβών. ἀντὶ δὲ τοῦ μόνον μεταγαγεῖν ἀπὸ σκηνῆς ἐπὶ σκηνὴν χρυσίον ἐπαγγέλλεται δώσειν πολὺ καὶ ἵππους καὶ τρίποδας καὶ λέβητας καὶ γυναῖκας καὶ πόλεις, τελευταῖον δὲ, ὡς οὐκ ἦν ἱκανὸν, τῶν θυγατέρων τριῶν οὐσῶν ἣν ἂν βούληται συνοικεῖν· ὅπερ οὐδεὶς πώποτε κατεκρίθη παθεῖν ἀντὶ θεραπαίνης, καὶ ταύτης αἰχμαλώτου, μηδὲν παθούσης· ἀναγκάσαι συνοικῆσαι τὴν θυγατέρα ἐπὶ προικὶ μεγάλῃ ἄνευ ἕδνων. [καίτοι τῆς δίκης ταύτης οὐδεμίαν
16 ἴσμεν ἰδιωτικὴν δίκην πικρότερον κριθεῖσαν.] ἆρά σοι δοκεῖ πρὸς θεῶν ἀνυπεύθυνος ἄρχειν ὁ Ἀγαμέμνων τῶν Ἑλλήνων, ἀλλ' οὐ πάνυ ἀκριβεῖς ὑπέχειν εὐθύνας ἁπάντων ὧν ἔπραττεν; περὶ μὲν δὴ τούτων αὐτοῦ τὸν λόγον ἐάσωμεν χθὲς ἱκανῶς εἰρημένον, ἐπ' ἄλλον δέ τινα ἴωμεν. — Δ. μὴ πρὸς θεῶν, ἀλλὰ πειράθητι πάντα εἰπεῖν, ὅσα λέγεις, ὑπὲρ τοῦ αὐτοῦ πράγματος· ὡς ἐγὼ μόλις ἀρτίως συνίημι τοῦ λόγου τὴν ὑπόθεσιν. οἶμαι γάρ σε περὶ ἀρχῆς ἢ βασιλείας ἢ τοιοῦτόν τι βούλεσθαι λέγειν.

8. αὐτῆς. αὐτὴν BM. — 15, 1. μόνον. μόνου B. ‖ 4. τελευταῖον δέ. τελευτῶν δὲ B, τελευταιῶν δ' S. ‖ οὐκ ἦν. malim οὐκ ὄν. ‖ 5. ἥν B, ἦν M, ᾗ reliq. ‖ συνοικεῖν. συνοικιεῖν Geel. ‖ ὅπερ CH, ὃ reliqui, at in M a corr. additum, ὃ δὲ Geel. ‖ κατεκρίθη CS (prim. man. ἐκρίθη). H, ἐκρίθη reliq. ‖ 7. συνοικῆσαι. συνοικίσαι CM, quo recepto Geelius ἀναγκάζεται pro ἀναγκάσαι malebat. ‖ 8. [καίτοι — κριθεῖσαν] delenda sunt. — 16, 1. ἆρά. ἄρα M. ‖ 2. ἄρχειν. ἄρχων (corr. ἄρχειν) C. ‖ 4. ἐάσωμεν BCMSH, ἐάσομεν reliq. ‖ 5. εἰρημένον BCMSH. r, εἰρημένων vm. ‖ 6. λέγεις. ἔχεις Geel. ‖ 8. ἢ βασιλείας. ἢ περὶ βασιλείας S.

ΛΟΓΟΣ νζ.

ΝΕΣΤΩΡ.

1 *Διὰ τί ποτε δοκεῖ ὑμῖν Νέστορος ὁ Ὅμηρος ποιῆσαι τάδε* 296 R II 560 M *τὰ ἔπη πρὸς Ἀγαμέμνονα καὶ Ἀχιλλέα, παραμυθούμενον αὐτοὺς καὶ διδάσκοντα μὴ διαφέρεσθαι ἀλλήλοις·*

ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔποτέ μ' οἵ γ' ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον
Θησέα τ' Αἰγείδην ἐπιείκελον ἀθανάτοισι.
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν· —
καὶ μέν μευ βουλέων ξύνιον πεῖθοντό τε μύθῳ.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.

2 *ἆρα μὴ ἀλαζόνα πεποίηκε τὸν Νέστορα λέγοντα περὶ τοῦ Πειρίθου καὶ Δρύαντος καὶ τῶν ἄλλων, ὅτι θαυμαστοί τε φύσει ὄντες καὶ πολὺ κρείττους ἐκείνου προσεδέοντο τῆς αὐτοῦ διανοίας, καὶ ἧκε μετάπεμπτος εἰς Θετταλίαν ἐκ Πύλου δεομένων ξυνεῖναι καὶ διαλέγεσθαι αὐτῷ; ἔτι γὰρ εἰπών, ὅτι κράτιστοι ἀνθρώπων ἦσαν, ὡς μέγα τι μαρτυρεῖν ἔοικεν αὐτοῖς τὸ ξυνιέναι τῆς αὐτοῦ γνώμης καὶ πείθεσθαι τοῖς λόγοις.*

Orat. LVII. Collati sunt BCMSH (hic cum ed. Ven.). — 1, 1. *διὰ τί. διὰ τί δὲ* **S. ‖** *ὁ Ὅμηρος. ὁ* **om. CM. ‖ 2.** *παραμυθούμενον. παραμυθούμενα* **vel** *παραμυθουμένου* **(et** *διδάσκοντος***) Reisk. ‖ 6.** *πω τοίους. πώποτ' ἐγὼ τοιούτους* **BMS. conf. Il. 1, 260. ‖** *ἴδον. εἶδον* **H. ‖ 9.** *Αἰγείδην. αἰγίδην* **BM. ‖ 10.** *ἐπιχθονίων τράφεν. τράφεν ἐπιχθονίων* **S. ‖** *ἀνδρῶν.* **post hoc v. inserunt CH** *κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο Φθηρσὶν ὀρεσκώοισι καὶ ἐκπάγλως ἀπόλεσαν.* **conf. Il. 1, 267. non opus est hoc supplemento. ‖ 11.** *καὶ μέν. μὲν* **om. BS, in M obel. notat. ‖** *βουλέων. βουλεύων* **(corr. vulg.) M. ‖ 12.** *πίθεσθε. πείθεσθε* **M. — 2, 1.** *μή. μὴν* **H. ‖ 2.** *τε φύσει. τῇ φύσει* **S. ‖ 3.** *πολύ. πολλοὶ* **S. ‖** *προσεδέοντο. πρὸς δὲ δέοντο* **(mrg. vulg.) M. ‖ 4.** *εἰς* **BCSM (corr. add.** *τὴν***). H,** *εἰς τὴν* **reliq. ‖ 5.** *αὐτῷ. αὐτὸν* **CMH. ‖ 6.** *κράτιστοι. κάρτιστοι* **H. ‖** *ἦσαν. ἔσαν* **H. ‖** *μέγα τι. μέγασι* **C. ‖ 7.** *ξυνιέναι.* **sic dedi.** *ξυνεῖναι* **reliq.**

ἢ τοῦτο μὲν σχεδὸν, οὗ ἕνεκά φαμεν· πᾶσι τοῖς ὀρθῶς λέγου-
σιν οὐδέποτε οὐδεὶς ἀπειθεῖ τῶν ξυνιέντων, ἀλλ' ἔστιν ἡ 297 R II.
3 ἀπείθεια ταὐτὸν ἀξυνεσίᾳ; φέρε δὴ καὶ τἆλλα σκεψώμεθα, 570 M.
πότερον ὀρθῶς εἴρηκεν ἢ δι' ἀλαζονείαν. οὐκοῦν οἱ ἀνόητοι
πάντες καταφρονοῦσι τῶν ἀδόξων ἀνθρώπων καὶ οὐδὲν προσ-
έχουσι τούτοις, οὐδ' ἂν τύχωσι τὰ ἄριστα συμβουλεύοντες·
οὓς δ' ἂν ἴδωσι τιμωμένους ὑπὸ τοῦ πλήθους ἢ τῶν μέγιστα
δυναμένων, οὐκ ἀπαξιοῦσι πείθεσθαι αὐτοῖς. ἑνὸς μὲν οὖν
τούτου χάριν ὁ Νέστωρ συνίστησιν αὑτὸν, ὅτι πολλοὺς καὶ
δυνατοὺς πρότερον ἠδυνήθη πεῖσαι, καὶ ὅτι ἐκεῖνοι κατὰ τὴν
αὑτῶν ἀφροσύνην καὶ ἀναισθησίαν ἀπειθήσουσιν ἂν ἀπει-
θῶσιν, οὐχ ὡς ἀδυνάτου ὄντος αὐτοῦ συμβουλεῦσαι περὶ τῶν
4 μεγίστων. ὥσπερ οὖν εἰ λοιδορῶν αὑτὸν καὶ λέγων, ὅτι μη-
δέποτε μηδεὶς ἠξίωσεν αὐτῷ συμβουλεύσασθαι περὶ μηδενὸς,
ἔμελλε προτρέπειν τὸν Ἀγαμέμνονα καὶ τὸν Ἀχιλλέα πείθε-
σθαι τοῖς λόγοις, οὐκ ἂν ὤκνησε λοιδορεῖν· οὕτως εἰ τὸν
ἔπαινον ᾤετο παρορμήσειν πρὸς τοῦτο, εἰκότως ἐπῄνει. ἢ οὐκ
ἀνοήτου ἀνθρώπου ἐστὶν αἰσχύνεσθαι αὑτὸν ἐπαινεῖν μέλλον-
τα τὰ μέγιστα ὀνήσειν, ὥσπερ οἶμαι καὶ τοὐναντίον σεμνύνε-
σθαι καὶ λέγειν ὑπὲρ αὑτοῦ πολλάκις, εἰ κίνδυνός τις ἢ βλάβη
5 προσείη; καθάπερ οὖν, ὅταν ἰατρὸς βουλόμενος τεμεῖν τινα
ἢ καῦσαι παρασχεῖν αὑτὸν ἢ πιεῖν φάρμακον ἀηδὲς, δειλὸν

8. πᾶσι BCSH. Pflugk., ἐν πᾶσι reliq., malim ὡς πᾶσι. conf. Obs. p. 58. ‖ 9. ἀπειθεῖ τῶν S, πείθει τῶν BM (corr. πείθεται), πείθεται τῶν οὐ CH. Reisk., πείθεται τῶν reliqui. unde οὐ πείθεται τῶν Obs. p. 58, πείθεται τῶν (et ἀξυνέτων) Pflugkius. totum locum sic constituit Geelius: ἢ τοῦτο σχεδὸν εἰρηκέναι αὐτὸν φῶμεν, ὅτι πᾶσι τοῖς ὀρθῶς λέγουσιν οὐδέποτε οὐδεὶς οὐ πείθεται τῶν ξυνιέντων, ἀλλ'. — 3, 5. ἴδωσι. εἰδῶσι B, εἴδωσι M. ‖ ἢ τῶν. ἢ om. S. ‖ μέγιστα CMH, μέγιστον reliq. ‖ 6. οὐκ ἀπαξιοῦσι. οὗτοι καταξιοῦσι M. ‖ οὖν CH. mrg. m. r, om. B, ἢ M, ἢ S. vm, possit δή. ‖ 7. αὑτὸν. αὐτὸν M, αὑτὸν λέγων Reisk. ‖ 9. ἀπειθήσουσιν ἂν ἀπειθῶσιν B, ἀπειθήσουσιν ἀναπειθῶσιν M, ἂν ἀπειθήσασιν ἀπειθήσειαν C, ἂν ἀπειθήσωσιν ἀπειθήσειαν H, ἀπηθήσουσιν ἂν ἀπειθῶσιν S, ἂν ἀπειθήσουσιν ἂν ἀπειθῶσιν marg. m, ἂν ἀπειθήσουσιν ἀπειθήσειεν ἂν reliq. ‖ 10. ἀδυνάτου. ἀδύνατον S. vm. ‖ συμβουλεῦσαι περὶ τῶν μεγίστων. περὶ τῶν μεγίστων συμβουλεῦσαι S. — 4, 1. αὑτὸν. αὐτὸν M. v. ‖ 3. τὸν Ἀγαμέμνονα καὶ τὸν Ἀχιλλέα. τὸν Ἀχιλλέα καὶ Ἀγαμέμνονα S. ‖ πείθεσθαι. πίθεσθαι M. ‖ 5. παρορμήσειν. παρωρμήσειν M. ‖ 6. αὑτὸν. sic dedi. αὐτὸν reliq. ‖ 7. τὰ μέγιστα Reisk., μέγιστα reliq. ‖ 8. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. — 5, 1. τεμεῖν C, τεμνεῖν reliq. ‖ 2. αὑτὸν B. r, αὐτῷ C, αὐτὸ M (sed post ο rasura). S. vm, αὐτῷ H. ‖ ἢ πιεῖν. ἢ om. H. ‖ ἀηδὲς. ἀειδὲς CM, ἀηδὲς παρασκευάζειν Reisk.

εἰδὼς τὸν ἄνθρωπον καὶ ἀνόητον, ἑτέρων μνημονεύῃ τῶν ὑφ' 298 R
αὐτοῦ σωθέντων διὰ τὸ πεισθέντας ὑπομεῖναι τὴν θεραπείαν,
οὐδείς φησιν ἀλαζονεύεσθαι τὸν ταῦτα λέγοντα· δοκεῖ μοι
6 δικαίως ἂν μηδὲ ὁ Νέστωρ αἰτίαν ἔχειν ἀλαζονείας. ἓν μὲν
δὴ τοῦτο ὑπῆρχεν ὄφελος ἐκ τῶν λόγων· ἕτερον δέ· καὶ τὸν
Ἀγαμέμνονα καὶ τὸν Ἀχιλλέα ἠπίστατο οὐκ ἄλλως ἁμαρτάνοντας
ἢ δι' ὕβριν. ὑβρίζειν δὲ ἡγεῖτο τοὺς ἀνθρώπους τότε
μάλιστα σχεδὸν, ἐπειδὰν καταφρονῶσι τῶν ἄλλων καὶ νομίζωσι
πολὺ χείρους αὐτῶν ἐπαιρόμενοι διὰ δόξαν ἢ δύναμιν.
ἢ καὶ τὸν Ἀχιλλέα καὶ τὸν Ἀγαμέμνονα ἐγίγνωσκε διὰ τοῦτο 301 R
ἐπαιρομένους καὶ στασιάζοντας, ὑπὸ μεγαλαυχίας ἑκάτερον.
ὁ μὲν γὰρ ᾤετο, ἅτε Πηλέως καὶ Θέτιδος υἱὸς ὢν καὶ τῶν
τότε ἀνθρώπων διαφέρων ἐν τῷ μάχεσθαι, προσήκειν αὐτῷ
μηδενὸς ἁπλῶς ὑπακούειν μηδὲ κρείττονα νομίζειν αὑτοῦ μηδένα·
τῷ δὲ Ἀγαμέμνονι τῆς ὕβρεως αἴτιον ὑπῆρχεν ἡ δύναμις
ἡ τῆς βασιλείας καὶ τὸ μόνον ἄρχειν τῶν Ἑλλήνων πάντων.
7 ὑπὸ δὴ τούτων ὁρῶν αὐτοὺς διεφθαρμένους καὶ μὴ δυναμένους
ὁμονοεῖν ἀλλήλοις, ἀλλὰ τὰς ψυχὰς οἰδοῦντας, ὡς ὕστερόν
φησιν ὁ Ἀχιλλεύς·

ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ·

ἐβούλετο ταπεινῶσαι καὶ τοῦ φρονήματος, εἰ δύναιτο, καθελεῖν,
ὥσπερ οἱ τὰ οἰδοῦντα νύξαντες ἢ πιέσαντες. διὰ τοῦτο
ἐμέμνητο ἀνδρῶν ἐνδόξων καὶ δυνατῶν, ἔτι δὲ οἶμαι πρότερον
8 γεγονότων, εἰδὼς ἐκείνοις μᾶλλον συνεπομένην τὴν δόξαν. καὶ 299 R

3. μνημονεύῃ M, μνημονεύει reliq. ‖ 4. πεισθέντας BM (πεισθέντας ἂν corr.) Reisk. (vel πεισθέντας αὐτῷ), πεισθέντα ἂν CH, πεισθέντα prim. man. S ut videtur. Pflugk., πεισθέντας ἂν reliq. ‖ 5. οὐδείς BM, καὶ οὐδείς reliq. ‖ δοκεῖ μοι δικαίως ἂν μηδὲ ὁ Νέστωρ. οὕτω δοκεῖ μὲν μηδ' ὁ Νέστωρ ἂν δικαίως S, δοκεῖ μοι οὐ δικαίως ἂν Νέστωρ CH (nisi quod habet ὁ Νέστωρ), malim οὕτω δοκεῖ μοι μηδ' ὁ Νέστωρ ἂν δικαίως. — 6, 2. καὶ τὸν Ἀγαμέμνονα CH, καὶ om. reliq. ‖ 4. τοὺς om. M. ‖ 5. νομίζωσι BMH. Reisk., νομίζουσι reliq. ‖ 6. ἐπαιρόμενοι — τοῦτο om. M. ‖ 7. ἢ καὶ C. r, ἢ S, ἢ B, ἢ καὶ reliqui. Reiskius hic liturarum auctoris indicium sibi visus est deprehendere. ‖ τὸν Ἀχιλλέα καὶ τὸν Ἀγαμέμνονα CS, τὸν Ἀχιλλέα καὶ Ἀγαμέμνονα B, τὸν Ἀγαμέμνονα καὶ τὸν Ἀχιλλέα reliq. ‖ ἐγίγνωσκε CM, ἐγίνωσκε reliq. ‖ διὰ τοῦτο. δὴ τότε Pflugk. ‖ 9. ἅτε om. BMS. ‖ υἱὸς ὤν. ὢν υἱὸς S, ὢν om. BM. ‖ 10. ἀνθρώπων om. S. ‖ 11. αὑτοῦ. αὐτοῦ M. ‖ 13. πάντων. ἁπάντων M. — 7, 2. ὁμονοεῖν ἀλλήλοις. ἀλλήλοις ὁμονοεῖν S. ‖ οἰδοῦντας. αἰδοῦντας C. ‖ 3. ὁ Ἀχιλλεύς. ὁ om. C. ‖ 4. οἰδάνεται. οἰδένεται B, οἰδαίνεται M. ‖ κραδίῃ χόλῳ CSH, χόλῳ om. reliq. ‖ 5. ἐβούλετο CH. Reisk., καὶ ἐβούλετο B. r, καὶ ἐβουλεύετο reliq. ‖ εἰ δύναιτο om. CH. ‖ 7. δὲ οἶμαι. δ' οἶμαι S.

μέντοιγε οὐκ ἐπ' αὐτοῖς ἐποιήσατο, τίνα γνώμην ἕξουσι περὶ
τῶν ἀνδρῶν, ἀλλ' αὐτὸς ἀποφαίνεται ἄντικρυς ὡς πολὺ
κρείττονας ἐκείνων ὄντας, εἰ δύναιντο ὀλίγον ὑφεῖναι τοῦ τύ-
φου καὶ τῆς μανίας. ἆρα εἰκῆ δοκεῖ ὑμῖν Ὅμηρος περιθεῖναι
τοὺς λόγους τούτους Νέστορι, ὅν φησι δεινότατον εἶναι ἀν-
θρώπων καὶ τὴν δύναμιν αὐτοῦ τῶν λόγων προσεικάζει τῇ
φύσει τοῦ μέλιτος, ὃ τοῖς μὲν ὑγιαίνουσιν ἥδιστον καὶ γλυ-
κύτατον ἁπάντων, τοῖς δὲ νοσοῦσι καὶ πυρέττουσιν, ὥς φα-
σιν, ἀηδέστατον καὶ τὰ ἡλκωμένα καὶ πεπονθότα καθαίρειν
9 καὶ δάκνειν πέφυκεν. καὶ γὰρ ὁ τοῦ Νέστορος λόγος τοῖς
ἄλλοις γλυκὺς φαινόμενος πικρὸς ἔδοξε τῷ Ἀχιλλεῖ καὶ τῷ
Ἀγαμέμνονι νοσοῦσι καὶ διεφθαρμένοις ὑπὸ τῆς ὀργῆς, ὥστε
οὐκ ἐπείσθησαν αὐτῷ διὰ τὴν ἄνοιαν. οὐκοῦν οὐδὲ τοῦτο
εἶπε μάτην Ὅμηρος οὐδέ, ὥσπερ οἴονταί τινες, ἀπὸ τύχης.
[ἢ δοκεῖ ὑμῖν τὰ παιδία, ὧν νέμεται τὸ στόμα καὶ διεφθαρ-
μένον ἐστὶν ὑπὸ ἑλκῶν, οὐκ ἀγανακτεῖν καὶ βοᾶν μέλιτος γευ-
10 όμενα;] περὶ μὲν οὖν τούτων ἐῶμεν. ἐκεῖνο δ' ἐνθυμηθῆναι
ἄξιον ἀπὸ τῶν εἰρημένων, ἐάν τις ἀνθρώποις ὁμιλῶν διηγῆται 512 M.
πρὸς αὐτούς, ὅτι καὶ πρότερον ἄλλοις ὁμιλήσας πολὺ κρείτ-
τοσι, δήμοις ἢ βασιλεῦσιν ἢ τυράννοις, οὐκ ἀπέτυχεν αὐτῶν,
ἀλλ' ἔσχεν ὑπακούοντας καὶ πειθομένους, εἰ δίκαιός ἐστιν
ἀλαζὼν δοκεῖν, ὡς διὰ τοῦτο μεμνημένος ἐκείνων τῶν λόγων,
ἵνα θαυμάζοιτο καὶ δοκοίη μακάριος· ἢ μᾶλλον ἵνα πειθο-
μένους ἔχῃ τοὺς ἀκούοντας, μιμούμενος τὴν τοῦ Νέστορος
11 διδασκαλίαν. καὶ γὰρ ἄτοπον, εἰ Σωκράτης μὲν τοὺς ἐν 300 R II.
Λυκείῳ ῥηθέντας λόγους ὀλίγον μεταβὰς ἀπήγγελλε τοῖς ἐν
Ἀκαδημίᾳ καὶ τοὺς ἐν Ἀκαδημίᾳ πάλιν εἰς τὸ Λύκειον ἐλθὼν

8, 2. *μέντοιγε* CH, *μέντοι* reliq. ‖ 4. *ὀλίγον ὑφεῖναι. ὑφεῖναι ὀλίγον* S. ‖ 5. *δοκεῖ* BCMSH. r, *δοκῇ* vm. ‖ *ὑμῖν. ἡμῖν* S. ‖ 7. *προσεικάζει. προσεικάζοι* H. ‖ 10. *ἡλκωμένα. εἱλκωμένα* M. ‖ *πεπονθότα. πεπωθότα* C. — 9, 2. *πικρὸς. πικρῶς* M. ‖ 4. *αὐτῷ. αὐτοῦ* BM (corr. vulg.). ‖ *ἄνοιαν. διάνοιαν* v. mrg. m. ‖ 6. [*ἢ δοκεῖ — γενόμενα*] suspecta. conf. H. 1, 249. ‖ *διεφθαρμένον. διεφθαρμένων* B. ‖ 7. *ὑπὸ ἑλκῶν. ὑπὸ τῶν ἑλκῶν* S. — 10, 1. *ἐκεῖνο — εἰρημένων* in S mrg. adscr. ‖ *δ'* MH, *δὲ* reliq. ‖ 2. *ἀνθρώποις. ἀνθρώπων* S, *ἄλλοις* H. ‖ *διηγῆται* BMS, *διηγεῖται* reliq. ‖ 3. *πρὸς αὐτούς. πρὸς αὐτοῖς* M, *αὐτοῖς* S. ‖ *πολύ. πολλοὶ* M. ‖ *κρείττοσι. κρίττοσι* M, *κρείττουσι* mr. ‖ 5. *δίκαιός* M. H (corr. vulg.). Casaub., *δίκαιόν* reliq. ‖ 7. *δοκοίη* CSH, *δοκεῖ* B, *δοκῇ* reliq. ‖ *μᾶλλον ἵνα. ἵνα μᾶλλον* S. ‖ 8. *ἔχῃ. ἔχει* C. ‖ 9. *διδασκαλίαν. διδασκάλειαν* M. — 11, 1. *Σωκράτης. Σωκράτην* B. ‖ 2. *Λυκείῳ. λυκίῳ* M. ‖ 3. *καὶ τοὺς ἐν Ἀκαδημίᾳ* om. C.

οὐκ ὤκνει διαλέγεσθαι, καὶ τοσοῦτος ἤδη χρόνος ἐστὶν, ἐξ ὅτου τὰς αὐτὰς διδάσκουσι τραγῳδίας καὶ κωμῳδίας· ἡμεῖς δὲ ἄτοπον δόξομεν ποιεῖν, ἐπειδὴ βούλεσθε ἀκροᾶσθαι λόγων τινῶν, τοὺς ῥηθέντας πρὸς τὸν αὐτοκράτορα νῦν ἀπαγγέλλοντες· ὡς οὐ διαφέρον εἰδέναι, πότερον ὠφέλιμοι καὶ χρήσιμοι καὶ ὑμῖν καὶ τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν ἐκεῖνοι ἢ
12 φαῦλοι καὶ ἀνωφελεῖς. εὖ γὰρ ἴστε, ὅτι τοῖς μὲν ἰδιώταις οἱ λεγόμενοι λόγοι πρὸς αὐτοὺς ἐκείνους τείνουσι καὶ ὀλίγους τῶν ἄλλων, οἱ δὲ πρὸς τοὺς βασιλέας ταῖς δημοσίαις ἐοίκασιν εὐχαῖς ἢ κατάραις. ὅθεν ἐγὼ τὸν Πέρσην οὔτε τἆλλα νομίζω φρόνιμον οὔτε ὅτι τοὺς τυχόντας ἀνθρώπους πανταχῆ διέπεμπεν, ὦτα βασιλέως καλουμένους, καὶ πάντα ἐκείνοις ἀκούειν ἐπέτρεπε, δέον φυλάττεσθαι τὰ βασιλέως ὦτα πολὺ μᾶλλον τῆς χρυσῆς πλατάνου, μή τι δυσχερὲς ἀκούσῃ καὶ βλαβερόν.

4. ὤκνει. ὄκνει C. ‖ καὶ om. B. ‖ ἤδη χρόνος. χρόνος ἤδη CΠ. ‖ ἐξ ὅτου S, ἐξ οὗ reliq. ‖ 5. τὰς αὐτὰς Casaub., τοσαύτας reliq. ‖ καὶ κωμῳδίας om. S. ‖ 6. δόξομεν. δόξαιμεν S. ‖ βούλεσθε. βούλεσθαι M. ‖ 7. ἀπαγγέλλοντες. corr. M ἀπαγγέλλοντος. ‖ 9. ἐκεῖνοι. Obs. p. 58, ἱκανοὶ reliq. — 12, 2. ἐκείνους τείνουσι. ἐκεῖνοι πείθουσι C, ἐκείνους τίνουσιν M, ἐκείνους πείθουσι H. ‖ 3. οἱ δέ. ὁ δὲ M. ‖ 4. τἆλλα. ἄλλα M. ‖ 6. ἀκούειν ἐπέτρεπε. ἐπέτρεπεν ἀκούειν S. ‖ 7. φυλάττεσθαι. φυλάττειν Reisk. ‖ 8. ἀκούσῃ. ἀκούσοι C.

ΛΟΓΟΣ νη.

ΑΧΙΛΛΕΥΣ.

1 Ὁ Ἀχιλλεὺς τὸν Χείρωνα ἤρετο· τί μ', ἔφη, τοξεύειν διδά- 301 R II.
σκεις; — ὅτι, ἔφη, καὶ τοῦτο τῶν πολεμικῶν ἐστιν. — δει-
λῶν, ἔφη, τὸ ἔργον ἐπὶ δειλούς. — πῶς; ἔφη. — Α. ὅ γε οὐκ 573 M.
ἐᾷ τὸν πολέμιον ἐγγὺς προσελθεῖν. — Χ. ὅ γε οὐκ ἐᾷ τὸν πο-
λέμιον μακρὰν ἀπελθεῖν. — Α. φευγόντων τὸ ὅπλον. —
Χ. οὔκ, ἀλλ' ἐπὶ τοὺς φεύγοντας. — Α. αὐτὸν δεῖ τοὺς φεύ-
γοντας αἱρεῖν. — Χ. βράδιον, ἢ τάχιον; — Α. ὡς οἷόν τε
τάχιστα. — Χ. πότερον οὖν τρέχων τις αἱροῖ ἂν θᾶττον, ἢ
πετόμενος; — Α. μὴ οὖν αὐτός γε αἱρεῖ; — Χ. τίς μήν; — Α. τὸ
βέλος. — Χ. ἐὰν δὲ ἀκοντίσῃς, τίς αἱρεῖ; — Α. οὐκ οἶδα. —
2 Χ. ἀλλὰ πότε αὐτὸς αἱρεῖς καὶ ἀποκτείνεις; ὅταν διασπάσῃς
λαβών, ὥσπερ τὰ θηρία; ἦπου, ἔφη, ἀνδρειοτέρας ἡγῇ τὰς
γυναῖκας, ὅτι ἐγγύτατα μάχονται ἐπιπεσοῦσαι ἀλλήλαις; — ὁ
δὲ Ἀχιλλεὺς ταῦτα ἀκούων ἅμα θυμοῦ καὶ δακρύων ἐνεπίμπλατο
καὶ τὸν Χείρωνα ἐλοιδόρει καὶ οὐκ ἔφη παρ' αὐτῷ μενεῖν,
ἀλλ' ἐς Φθίαν ἀπιέναι παρὰ τὸν πατέρα καὶ παρ' ἐκείνῳ
παιδεύεσθαι· πολὺ γὰρ κρείττονα εἶναι τὸν Πηλέα τοῦ Χεί-
ρωνος καὶ οὐκ εἶναι σοφιστήν, ὥσπερ ὁ Χείρων. ἦν δὲ ἔτι
3 παῖς ὁ Ἀχιλλεὺς οὐδέπω ἡβάσκων. — πῶς οὖν, ἔφη, κρείττων
ὢν οὐκ αὐτὸς παιδεύει σε; — ὅτι, ἔφη, οὐ σχολὴ αὐτῷ. —

Orat. LVIII. Collati sunt BCMSH (hic cum ed. Ven.). — 1, 1. μ', ἔφη BS, ἔφη om. M, με, φησὶ reliq. ‖ 3. πῶς; ἔφη. ἔφη. πῶς CMH. ‖ 6. δεῖ. δὴ H. ‖ 8. τάχιστα CMSH. Reisk., τάχιστά ποτε reliq. ‖ αἱροῖ. αἵροι B, αἱρῇ S, αἵροι M. ‖ γε H, om. reliq. ‖ 9. αἱρεῖ BM. Reisk., αἱρῇς S, αἱρεῖς reliq. ‖ 10. ἀκοντίσῃς. ἀκοντίσῃ BM. haec Pflugkius p. 29 sic constituit: πετόμενος; — Α. πετόμενος. — Χ. μὴ οὐκ αὐτὸς αἱρῇς. — Α. τίς μήν; — Χ. τὸ βέλος ἐὰν δὴ ἀκοντίσῃς, τίς αἱρεῖ; — Α. οὐκ οἶδ'. — Χ. ἀλλὰ τότε αὐτὸς αἱρεῖς καὶ ἀποκτείνεις cett. non accedo. ‖ οἶδα S, οἶδ' reliq. — 2, 1. ἀλλὰ πότε. ἀλλ' ὅποτε S. ‖ ἀποκτείνεις. ἀποκτέννεις C, ἀποκτείνῃς M. ‖ 2. ἀνδρειοτέρας. ἀνδρειοτάτας S. ‖ 4. ἀκούων. ἀκούσας H. ‖ ἐνεπίμπλατο. ἐνεπίπλατο CH, ἐνεμπίμπλατο M. ‖ 5. μενεῖν. μένειν BM. ‖ 6. ἀλλ'. ἀλλά M.

Χ. ὑπὸ τοῦ; — Α. ὑπὸ τῆς βασιλείας. — Χ. διαφέρει οὖν τι
βασιλεύειν ἢ παιδεύειν; — Α. πολύ γε. σύ γέ μοι δίδως κέρας
τι καὶ νεῦρον καὶ μικρὰ σιδήρια ἐπὶ λεπτοῖς δονακίοις, ὥσπερ
ὄρνιθας θηρεύσειν μέλλοντι, οὐκ ἀνδράσιν οὐδὲ θηρίοις μα- 302 R II
χεῖσθαι. γνοίη δ' ἄν τις τὴν ἀθλιότητα ὅσην ἔχει τὰ ὅπλα,
εἴ ποτε ἐγγὺς γένοιτο καὶ ἀναγκασθείη αὐτοῖς ἐκ χειρὸς μά-
χεσθαι. ἀλλὰ δεῖ δραπετεύοντα μάχεσθαι, φοβούμενον καὶ
φυλαττόμενον, ὅπως μηδὲ ὀφθήσεται, ὥσπερ κακὸν ἀνδρά-
ποδον, ὅς γε οὐδὲ ἀποκτείνας σκυλεῦσαι ἂν οὐδὲ ὀφθήσεταί
ποτε ᾑμαγμένος ἀπ' ἀνδρὸς ἐχθροῦ. τοιαῦτα διδάσκεις με,
τοξεύειν καὶ κιθαρίζειν· πρῴην δέ ποτε καὶ ῥίζας ὀρύττειν,
4 ὥσπερ αἱ φαρμακίδες. — οὐδὲ τὸ ἱππεύειν ἀρέσκει σε; ἐπή-
ρετο αὐτὸν ὁ Χείρων. — οὐδὲ σύ, ἔφη, ἀρέσκεις με τοιοῦτος
ὤν. δοκεῖς γάρ μοι ἑτοιμότερος εἶναι φεύγειν ἢ μένειν. — 574 M
καὶ ὁ Χείρων ὀργισθεὶς αὐτῷ καὶ ὑπὸ τῆς ὀργῆς φρίξας τὴν
χαίτην καὶ ὑποβλέψας δεινόν, ὥσπερ ἀστραπή, μόλις δὲ ἀπε-
5 χόμενος τοῦ μὴ παῖσαι αὐτόν, ὅτι διενοεῖτο ἐρᾶν αὐτοῦ· ὦ
κακόν, ἔφη, γέννημα καὶ θρασὺ μητρὸς θαλασσίας, ἥ σε κα-
κῶς διέφθειρε φυσῶσα ἐπὶ τῷ γένει. πολύ γε μὴν κάκιον
ταύτης ὁ πατὴρ διηγούμενος, ὡς ὕμνησαν αὐτοῦ τὸν γάμον
οἱ θεοί. σοὶ δὲ οὔτε θαλάττης οὔτε οὐρανοῦ προσήκει οὐδέν.
φημὶ δέ σε ἐγὼ πολεμικὸν μὲν οὐδέποτε ἔσεσθαι, δόξειν δὲ
τοῖς ἀνοήτοις, οὐδὲ ἡγήσεσθαι οὐδέποτε, ὅπου ἂν πολεμῇς,
καίτοι Θέτιδος ὄντα καὶ Πηλέως. διὰ μέντοι τὸ θράσος καὶ 303 R II

3, 3. ὑπὸ τοῦ. ὑπό του B, om. CH. ‖ ὑπὸ τῆς. τῆς om. S. ‖ οὖν τι M, οὖν τί reliq. ‖ 4. σύ γέ. σὺ δὲ SH. ‖ 5. μικρά. σμικρὰ B. ‖ δονακίοις. δονάκοις S. ‖ 6. θηρεύσειν M, θήρευσεν S, θηρεύειν reliq. ‖ 7. ἀθλιότητα ὅσην ἔχει τὰ ὅπλα S, ἀθλιότητα ὅσα τὰ ὅπλα B, ἀθλότητα ὅσα τὰ ὅπλα et ἴσως ἁπλότητα mrg. m, ἀθλιότητα τῶν ὅπλων reliqui. malim ἀθλιότητα ὅση τῶν ὅπλων. in M loco verb. γνοίη δ' ἄν τις τὴν ἀθλιότητα τῶν ὅπλων haec leguntur: ὅτι τὰ ὅσα τὰ ὅπλα. ‖ 8. αὐτοῖς ἐκ χειρὸς μάχεσθαι. ἐν χερσὶν αὐτοῖς μάχεσθαι S. ‖ 9. δραπετεύοντα BCMSH. r, δραπετεύοντας vm. ‖ 10. ὥσπερ—ὀφθήσεται om. B. ‖ 11. σκυλεῦσαι. sic dedi. σκυλεῦσαι reliq. ‖ 12. ἀπ' M, ὑπὸ H, ἀπὸ reliq. ‖ 13. καὶ κιθαρίζειν. ἢ κιθαρίζειν S. ‖ δέ ποτε. δέ με S. ‖ 14. φαρμακίδες BSM, φαρμακίδες ἐδίδασκες reliq. — 4, 1. σε CM, σοι reliq. ‖ ἐπήρετο. ἐπείρετο C. ‖ 2. αὐτόν. αὐτῷ S. ‖ ἔφη BCMS. r, ἔφης H. vm. ‖ με BCM, μοι reliq. ‖ 5. ἀπεχόμενος. ἀποσχόμενος corr. M. ‖ 6. παῖσαι. sic dedi. παίσειν CMSH. vm, πεσεῖν B, παίειν r. ‖ ὅτι. οὕτω BS. — 5, 3. κάκιον ταύτης. ταύτης κάκιον S. ‖ 5. σοί. σὺ B. ‖ οὐρανοῦ. ἀνθρώποι marg. m. ‖ 6. πολεμικὸν μὲν BCMH, μὲν om. reliq. ‖ οὐδέποτε. ποτε S. ‖ 8. θράσος καὶ τὸ τάχος. τάχος καὶ τὸ θράσος S.

τὸ τάχος καὶ τὴν ἰσχὺν κολακεύοντές σε φήσουσι φέρτατον ἀνδρῶν. ὅμως δὲ ὑπὸ ἄλλων ἀξιώσουσι βασιλεύεσθαι, σὲ δὲ μάχεσθαι καὶ κινδυνεύειν ὑπὲρ αὐτῶν ἀναγκάσουσι δώροις τε καὶ ἐπαίνοις ματαίοις, ἕως ἂν ἀποθάνῃς. οἶμαι δέ σε μηδὲ τῶν νεκρῶν ἀφέξεσθαι, ἀλλὰ καὶ τούτους κεντεῖν τε καὶ ἕλκειν, ὡς δή τι μέγα διαπραττόμενον· ὥσπερ τὰ παιδάρια τὰ νήπια, ὅ τι ἂν ἀποκτείνωσιν, ἕλκουσι κύκλῳ. τοιοῦτος δὲ ὢν ἀποθανῇ ὑπ' οὐδενὸς τῶν γενναίων, ὡς σὺ οἴει· ἀλλὰ τοὺς μὲν σαυτῷ ὁμοίους, τοὺς ἀνδρείους καὶ ἀνοήτους, ἀποκτενεῖς ῥᾳδίως, ὑπὸ δὲ ἀνδρὸς φρονίμου καὶ πολεμικοῦ ἀποθανῇ οὐδὲ ἰδὼν αὐτόν.

ΛΟΓΟΣ νθ.

ΦΙΛΟΚΤΗΤΗΣ. ΕΣΤΙ ΔΕ ΠΑΡΑΦΡΑΣΙΣ.

1 Ο. Φοβοῦμαι, μή ποτε μάτην κατ' ἐμοῦ φανῶσι ταύτην οἱ σύμμαχοι τὴν δόξαν εἰληφότες, ὡς ἀρίστου δὴ καὶ σοφωτάτου τῶν Ἑλλήνων. καίτοι ποία τις ἡ τοιαύτη σοφία καὶ φρόνησις, δι' ἣν τις ἀναγκάζεται πλείω τῶν Ἑλλήνων πονεῖν 515 M.
ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ νίκης, ἐξὸν ἕνα τοῦ πλήθους 304 R II.
δοκοῦντα μηδενὸς ἔλαττον ἐν τούτοις ἔχειν τῶν ἀρίστων; ἀλλὰ γὰρ ἴσως χαλεπὸν εὑρεῖν οὕτω μεγαλόφρον καὶ φιλότι-

10. ἀνδρῶν. αὐτῶν M. ‖ 11. κινδυνεύειν. κινδεύειν C. — 6, 2. τούτους κεντεῖν. τούτου σκετεῖν C. ‖ 4. ὅ τι ἂν M, ὅ τι γε S, ὅταν μυῖαν marg. m, ὅταν μῦν r non sine veri specie, ὅταν reliq. ‖ ἀποκτείνωσιν. ἀποκτείνουσιν C. ‖ 6. σαυτῷ. αὐτῷ BSM. ‖ 8. οὐδέ. μηδὲ S.

Orat. LIX. Collati sunt BMS. Haec Orat. et proximae usque ad Or. LXII. non reperiuntur in C. — 1, 1. ταύτην MS. Anonym. ap. Reisk. r, αὐτὴν B. vm. ‖ 4. πλείω. malim. πλεῖστα. ‖ τῶν Ἑλλήνων. τῶν ἄλλων Valcken. Diatrib. p. 137. ‖ 5. τοῦ πλήθους δοκοῦντα BM, δοκοῦντα τοῦ πλήθους reliq. ‖ 6. ἐν τούτοις ἔχειν. ἔχειν ἐν τούτοις S, ἐν πᾶσιν ἔχειν Reisk. (vel ἐν τούτοις transponit post χαλεπόν), malim ἂν οὕτως ἔχειν. ‖ 7. μεγαλόφρον M (corr. μεγαλόφρονα). Valcken. Diatrib.

μον ὁτιοῦν, ὡς ἀνὴρ πέφυκεν. τοὺς γὰρ φανεροὺς καὶ πλειό-
νων ἅπτεσθαι τολμῶντας, σχεδὸν τούτους ἅπαντας θαυμά-
2 ζομεν καὶ τῷ ὄντι ἄνδρας ἡγούμεθα. ὑφ' ἧς φιλοτιμίας κἀγὼ
προάγομαι πλεῖστα πράγματα ἔχειν καὶ ζῆν ἐπιπόνως παρ'
ὀντινοῦν, ἀεί τινα προσδεχόμενος καινὸν κίνδυνον ὀκνῶν δια-
φθεῖραι τὴν ἐπὶ τοῖς ἔμπροσθε γεγονόσιν εὔκλειαν. νῦν οὖν
κατὰ πρᾶξιν πάνυ ἐπισφαλῆ καὶ χαλεπὴν δεῦρο ἐλήλυθα εἰς
Λῆμνον, ὅπως Φιλοκτήτην καὶ τὰ Ἡρακλέους τόξα κομίζοιμι
τοῖς συμμάχοις. ὁ γὰρ δὴ μαντικώτατος Φρυγῶν Ἕλενος ὁ
Πριάμου κατεμήνυσεν, ὅτε ἔτυχεν αἰχμάλωτος ληφθείς, ἄνευ
3 τούτων μήποτ' ἂν ἁλῶναι τὴν πόλιν. πρὸς μὲν δὴ τοὺς βα-
σιλέας οὐχ ὡμολόγησα τὴν πρᾶξιν ἐπιστάμενος τὴν τοῦ ἀν-
δρὸς ἔχθραν, ᾧ γε αὐτὸς αἴτιος ἐγενόμην καταλειφθῆναι,
ὅτε δηχθεὶς ἔτυχεν ὑπὸ χαλεπῆς καὶ ἀνιάτου ἐχίδνης. οὐκ ἂν
οὖν ᾤμην οὐδὲ πειθὼ τοιαύτην ἐξευρεῖν, ὑφ' ἧς ἄν ποτε ἐκεῖ-
νος ἐμοὶ πρᾴως ἔσχεν· ἀλλ' εὐθὺς ἀποθανεῖσθαι ᾤμην ὑπ'
αὐτοῦ. ὕστερον δὲ τῆς Ἀθηνᾶς μοι παρακελευσαμένης καθ'
ὕπνους, ὥσπερ εἴωθε, θαῤῥοῦντα ἐπὶ τὸν ἄνδρα ἰέναι· αὐτὴ
γὰρ ἀλλάξειν μου τὸ εἶδος καὶ τὴν φωνήν, ὥστε λαθεῖν
4 αὐτῷ ξυγγενόμενον· οὕτω δὴ ἀφῖγμαι θαῤῥήσας. πυνθάνο-
μαι δὲ καὶ παρὰ τῶν Φρυγῶν πρέσβεις ἀπεστάλθαι κρύφα,
ἐάν πως δύνωνται τὸν Φιλοκτήτην πείσαντες δώροις ἅμα καὶ 305 R II
διὰ τὴν ἔχθραν τὴν πρὸς ἡμᾶς ἀναλαβεῖν εἰς τὴν πόλιν αὐ-
τὸν καὶ τὰ τόξα. τοιούτου προκειμένου ἄθλου πῶς οὐ παν-
ταχῇ ἄνδρα γίγνεσθαι δεῖ πρόθυμον· ὡς διαμαρτόντι τῆς
πράξεως ταύτης πάντα τὰ πρότερον εἰργασμένα μάτην πεπο-

p. 118, μεγαλόφρον ἅμα Selden., μεγαλόφρονα reliq. ‖ 8. ὁτιοῦν. ὁντινοῦν S. ‖ ὡς M. Selden., ὅς reliqui. verba ὡς ἀνὴρ πέφυκε om. S, ut videtur. ὡς ἀνὴρ εὐφυὴς vel εὖ πεφυκὼς Seldenus e prava scriptura Orat. 52 § 12. ‖ 9. σχεδὸν τούτους ἅπαντας. σχεδὸν πάντες S. — 2, 3. ἀεί τινα. τινα om. S. ‖ προσδεχόμενος. malim ὑποδεχόμενος. ‖ 4. ἔμπροσθε. ἔμπροσθεν M. ‖ 8. ὅτε S. Casaub., ὡς M, ὃς reliq. ‖ ληφθείς BMS. mrg. m, λειφθείς reliq. — 3, 2. ὡμολόγησα. ὁμολόγησα M. ‖ ἐπιστάμενος. ἐπισταμένους Reisk. ‖ 5. οὐδέ. malim οὐδεμίαν. ‖ 6. ἔσχεν BMS, ἔχει vm, ἔχῃ r, ἔχοι Hartung. Eurip. restit. I, p. 349. ‖ 7. μοι om. M. ‖ παρακελευσαμένης καθ' ὕπνους, ὥσπερ. καθ' ὕπνον παρακελευσαμένης ὥσπερ S. ‖ 10. οὕτω S, οὕτως reliq. — 4, 3. ἐάν. ἂν S. ‖ 5. καί. τε καὶ Hartung. ‖ τοιούτου M (corr. τοῦ), τούτου οὖν (vel τοιούτου δὴ vel τοῦδε δὴ) Selden., τοῦ reliq. ‖ πανταχῇ ἄνδρα γίγνεσθαι δεῖ M, πάντα ἄνδρα γίγνεσθαι χρὴ S, πάντα χρὴ ἄνδρα γίγνεσθαι reliq., πάντα γίγνεσθαι χρὴ ἄνδρα Hartung. ‖ 6. διαμαρτόντι S, διαμαρτάνουσι M, διαμαρτάνοντι reliq.

5 νῆσθαι ἔοικεν. παπαί· πρόσεισιν ὁ ἀνήρ. αὐτὸς ὅδε ὁ Ποίαντος παῖς, οὐκ ἄδηλος τῆς ξυμφορᾶς, μόλις καὶ χαλεπῶς προβαίνων. ὢ τοῦ χαλεποῦ καὶ δεινοῦ ὁράματος οὕτως. τό 576 M.
τε γὰρ εἶδος ὑπὸ τῆς νόσου φοβερὸν ἥ τε στολὴ ἀήθης, δοραὶ θηρίων καλύπτουσιν αὐτόν. ἀλλὰ σὺ ἄμυνον, ὦ δέσποινα Ἀθηνᾶ, καὶ μὴ μάτην φανῇς ἡμῖν ὑποσχομένη τὴν σωτηρίαν.
6 — Φ. τί δὴ βουλόμενος, ὅστις εἶ ποτε σὺ, ἢ τίνα τόλμαν λαβὼν, πότερον ἁρπαγῆς χάριν ἥκεις ἐπὶ τήνδε τὴν ἄπορον στέγην, ἢ κατάσκοπος τῆς ἡμετέρας δυστυχίας; — Ο. οὔτι γε ὁρᾷς ἄνδρα ὑβριστήν. — Φ. οὐ μὴν εἰωθώς γε πρότερον δεῦρο ἥκεις. — Ο. οὐ γὰρ εἰωθώς· εἴη δὲ νῦν ἐν καιρῷ ἀφῖχθαι. — Φ. πολλὴν ἔοικας φράζειν ἀλογίαν τῆς δεῦρο ὁδοῦ. — Ο. εὖ τοίνυν ἴσθι, οὐ χωρὶς αἰτίας με ἥκοντα καὶ σοί γε
7 οὐκ ἀλλότριον φανησόμενον. — Φ. πόθεν δή; τοῦτο γὰρ 306 R II.
πρῶτον εἰκός με εἰδέναι. — Ο. ἀλλ' εἰμὶ Ἀργεῖος τῶν ἐπὶ Τροίαν πλευσάντων. — Φ. πόθεν; εἰπὲ πάλιν, ὡς εἰδῶ σαφέστερον. — Ο. οὐκοῦν ἔτι δεύτερον ἀκούεις· τῶν ἐπ' Ἴλιον στρατευσάντων Ἀχαιῶν εἶναί φημι. — Φ. καλῶς δῆτα ἔφησθα ἐμὸς εἶναι φίλος, ὁπότε γε τῶν ἐμοὶ πολεμιωτάτων Ἀργείων πέφηνας. τούτων δὴ τῆς ἀδικίας αὐτίκα μάλα σὺ ὑφέξεις δίκην. — Ο. ἀλλ' ὦ, πρὸς θεῶν, ἐπίσχες ἀφεῖναι τὸ βέλος. — Φ. οὐ δυνατὸν, εἴπερ Ἕλλην ὢν τυγχάνεις, τὸ μὴ ἀπολωλέναι

5, 1. πρόσεισιν. πρόεισιν Reisk. ‖ Ποίαντος BM, Παίαντος reliq. ‖ 2. τῆς ξυμφορᾶς. τῇ ξυμφορᾷ M. ‖ 3. οὕτως om. S, ὄντως Casaub., cum seqq. iungit Hartungus v. γὰρ transposito post δοραί. ‖ τό τε BCM. Casaub. r, τότε reliq. ‖ 5. θηρίων om. S. — 6, 1. τί. φιλ. τί M. ‖ δή. malim δαί. ‖ ὅστις εἶ ποτε BMS. marg. m, ὅστις εἰπέ τε reliq. ‖ λαβών. λαβὼν πάρει Pflugk. ‖ 3. οὔτι γε S, ὀδ. οὔτοι γε M, οὔτοι γε reliq. ‖ 4. ὑβριστήν. ὑβρισθέντα S. ‖ οὐ. φιλ. οὐ M. ‖ 5. οὐ γὰρ εἰωθὼς om. S, ὀδ. οὐ γὰρ εἰωθὼς M. ‖ εἴη δὲ Casaub., εἰ δὲ reliq. ‖ νῦν S, καὶ νῦν reliq. ‖ ἀφῖχθαι. ἀφῖγμαι S. Reisk. ‖ 6. πολλήν. φιλ. πολλὴν M. ‖ φράζειν ἀλογίαν. ἀλογίαν φράζειν S, εὐλογίαν φράζειν Reisk. ‖ 7. εὖ BS, ὀδ. εὖ M, ἓν reliq. ‖ οὐ χωρὶς M (mrg. χάριν). S. Valcken. Diatrib. p. 121, οὐ χάριν reliqui, unde Casaubonus σοῦ χάριν, Seldenus οὐχ οὗ χάριν (et αἰτίᾳ) vel οὐ χάριν (et ἀδικίας), Reiskius οὐ χάριν (et ἑστίας). — 7, 1. πόθεν. φι. πόθεν M. ‖ τοῦτο. τὸ (mrg. vulg.) M. ‖ γὰρ delet Hartung. ‖ 2. ἀλλ'. ὀδ. ἀλλ' M. ‖ 3. πόθεν. φιλ. πόθεν M. ‖ 4. οὐκοῦν. ὀδ. οὐκοῦν M. ‖ ἔτι om. B, in M mrg. add. ‖ ἀκούεις. ἀκούειν M. ‖ ἐπ' M, ἐπὶ reliq. ‖ 5. καλῶς. φιλ. καλῶς M. ‖ ἔφησθα M, ἔφης reliq. ‖ 6. ὁπότε γε. γε om. S. ‖ 7. πέφηνας. πέφυκας S. ‖ μάλα σύ. Wyttenb. ad Plut. Moral. p. 548 c, μάλιστα reliq. ‖ 8. ἀλλ'. ὀδ. ἀλλ' M. ‖ 9. οὐ. φιλ. οὐ M. ‖ Ἕλλην ὢν M. Reisk., Ἑλλήνων reliq., Ἑλλήνων τῶνδε εἷς ὢν Valcken. Diatr. p. 122. ‖ τὸ μή. τοῦ μὴ S.

8 σε ἐν τῇδε τῇ ἡμέρᾳ. — Ο. ἀλλὰ πέπονθά γε ὑπ' αὐτῶν τοι-
αῦτα, ἐξ ὧν δικαίως σοὶ μὲν ἂν φίλος εἴην, ἐκείνων δὲ ἐχθρός.
— Φ. καὶ τί δὴ τοῦτό ἐστιν, ὃ πέπονθας οὕτω χαλεπόν; —
Ο. φυγάδα με ἤλασεν ἐκ τοῦ στρατοῦ Ὀδυσσεύς. — Φ. τί δὲ
ἔδρας, ἐφ' ὅτῳ τῆσδε τῆς δίκης ἔτυχες; — Ο. οἶμαί σε γιγνώ-
σκειν τὸν Ναυπλίου παῖδα Παλαμήδην. οὐ γὰρ δὴ τῶν ἐπι-
τυχόντων οὐδὲ ὀλίγου ἄξιος συνέπλει οὔτε τῷ στρατῷ οὔτε
τοῖς ἡγεμόσιν. τὸν δὴ τοιοῦτον ἄνδρα ὁ κοινὸς τῶν Ἑλλήνων
λυμεὼν διέφθειρεν. — Φ. πότερον ἐκ τοῦ φανεροῦ μάχῃ κρα-
τήσας, ἢ μετὰ δόλου τινός; — Ο. προδοσίαν ἐπενεγκὼν τοῦ
στρατοῦ τοῖς Πριαμίδαις. — Φ. ἦν δὲ κατ' ἀλήθειαν οὕτως
ἔχον, ἢ πέπονθε κατεψευσμένος; — Ο. πῶς δ' ἂν δικαίως γέ-
9 νοιτο τῶν ὑπ' ἐκείνου γιγνομένων ὁτιοῦν; — Φ. ὦ μηδενὸς ἀπο- 577 M.
σχόμενος τῶν χαλεπωτάτων, λόγῳ τε καὶ ἔργῳ πανουργότατε
ἀνθρώπων Ὀδυσσεῦ, οἷον αὖ τοῦτον ἄνδρα ἀνῄρηκας, ὃς οὐ-
δὲν ἧττον ὠφέλιμος ἦν τοῖς ξυμμάχοις ἤπερ οἶμαι σὺ τὰ κάλ- 303 R II.
λιστα καὶ σοφώτατα ἀνευρίσκων καὶ συντιθείς· ὥσπερ ἀμέλει
κἀμὲ ἐξέθηκας ὑπὲρ τῆς κοινῆς σωτηρίας τε καὶ νίκης περι-
πεσόντα τῇδε τῇ ξυμφορᾷ, δεικνύντα τὸν Χρύσης βωμὸν, οὗ
θύσαντες κρατήσειν ἔμελλον τῶν πολεμίων· εἰ δὲ μὴ, μάτην
ἐγίγνετο ἡ στρατεία. ἀλλὰ τί δή σοι προσῆκον τῆς Παλα-
10 μήδους τύχης; — Ο. εὖ ἴσθι, ὅτι ἐπὶ πάντας τοὺς ἐκείνου
φίλους ἦλθε τὸ κακὸν καὶ πάντες ἀπολώλασιν, ὅστις μὴ φυ-

8, 1. ἐν delet Hartung. ‖ ἀλλὰ. ὀδ. ἀλλὰ M. ‖ 3. καὶ. φιλ. καὶ M. ‖ τί δὴ τοῦτό. τί δῆτα S. ‖ οὕτω. sic dedi. οὕτως reliq. ‖ 4. φυγάδα. ὀδ. φυγάδα M. ‖ ἤλασεν ἐκ τοῦ στρατοῦ Ὀδυσσεύς. ἐξήλασεν Ὀδυσσεὺς ἐκ τοῦ στρατοῦ S, ἤλασεν ὀδυσσεὺς ἐκ τοῦ στρατοῦ BM. ‖ τί. φιλ. τί M. ‖ δὲ ἔδρας. δ' ἔδρας S, δὲ ἔδρασας M. ‖ 5. τῆσδε. ταύτης Hartung. ‖ δίκης M, τύχης reliq. ‖ οἶμαί. ὀδ. οἶμαι M. ‖ γιγνώσκειν. sic dedi. γινώσκειν reliq., εἰδέναι Hartung. ‖ 6. τὸν Ναυπλίου BM. Obs. p. 59, τοῦ Ναυπλίου reliq. ‖ οὐ γὰρ δή. οὐδὲ γὰρ S. ‖ 11. κατ' M, κατὰ reliq. ‖ οὕτως ἔχον M. Reisk., ἔχων (om. οὕτως) S, οὕτως ἔχων reliq. ‖ 12. πέπονθε. sic dedi. πεπόνθει BMS, ἐπεπόνθει reliq. ‖ κατεψευσμένος corr. M (pr. man. καταψευσάμενος). Casaub. r, κατεψευσμένος marg. m, καταψευσάμενος reliq. — 9, 1. ὦ MS. Reisk., ὢ B, ᾧ reliq., τοῦ (et ἀποσχομένου) Hartung., qui Ulixi tribuit τοῦ — χαλεπωτάτων et deinde ὦ λόγῳ pergit. ‖ ἀποσχόμενος. ἀποσχόμενε Reisk. ‖ 3. ἄνδρα. τὸν ἄνδρα Reiskius. non opus est. ‖ οὐδέν. οὐδενὸς S. Casaub. ‖ 4. ἤπερ. εἴπερ S, ἤπερ οὐ Reisk., ᾗπερ Hartung. ‖ οἶμαι σὺ M, οἶμαι τε B, οἶμαι reliq. ‖ 5. ἀμέλει. οἶμαι S. ‖ 6. τε delet Hartung. ‖ 7. ξυμφορᾷ. συμφορᾷ S. ‖ Χρύσης om. S, τῆς Χρύσης Valcken. Diatr. p. 126. ‖ οὗ. οὐ m. ‖ 9. Παλαμήδους B, Παλαμήδου reliqui, at M in rasura.

γεῖν ἠδυνήθη. οὕτω δὴ κἀγὼ τῆς παροιχομένης νυκτὸς διαπλεύσας μόνος δεῦρο ἐσώθην. σχεδὸν μὲν οὖν ἐν ὅσῃ ἔγωγε χρείᾳ καθέστηκας αὐτός· εἰ δ' οὖν ἔχεις τινὰ μηχανήν, ξυμπροθυμηθεὶς ἡμῖν περὶ τὸν οἴκαδε ἀπόπλουν ἡμᾶς τε εὖ πεποιηκὼς ἔσῃ καὶ ἅμα ἄγγελον ἀποπέμψεις πρὸς τοὺς ἑαυτοῦ
11 οἴκαδε τῶν σοὶ παρόντων κακῶν. — Φ. ἀλλ', ὦ δύστηνε, πρὸς τοιοῦτον ἕτερον ἥκεις ξύμμαχον, αὐτόν τε ἄπορον καὶ ἔρημον φίλων ἐπὶ τῇσδε τῆς ἀκτῆς ἐῤῥιμμένον, γλίσχρως καὶ μόλις ἀπὸ τῶνδε τῶν τόξων πορίζοντα καὶ τροφὴν καὶ ἐσθῆτα, ὡς ὁρᾷς. ἣ γὰρ ἦν ἡμῖν ἐσθὴς πρότερον, ὑπὸ τοῦ χρόνου ἀνάλωται. εἰ δὲ δὴ τοῦδ' ἐθελήσεις κοινωνεῖν τοῦ βίου μεθ' ἡμῶν ἐνθάδε, ἕως ἂν ἑτέρα σοι παραπέσῃ σωτηρία ποθέν, οὐκ ἂν φθονοῖμεν. δυσχερῆ γε μὴν τἄνδον ὁράματα, ὦ ξένε, τελαμῶνές τε ἕλκους ἀνάπλεοι καὶ ἄλλα σημεῖα τῆς νόσου· 308 R II.
αὐτός τε οὐχ ἡδὺς ξυγγενέσθαι, ὅταν ἡ ὀδύνη προσπέσῃ. καίτοι λελώφηκε τῷ χρόνῳ τὰ πολὺ τῆς νόσου, κατ' ἀρχὰς δὲ οὐδαμῶς ἀνεκτὸς ἦν.

10, 3. οὕτω δὴ S, οὕτω δὲ reliq. ‖ 4. ἐν ὅσῃ ἔγωγε. sic dedi. ἔγωγε ἐν ὅσῃ reliqui, unde ἔγωγε οἶδα (vel ἐπίσταμαι) ἐν ὅσῃ Casaubonus, Seldenus pro σχεδὸν tentat εἶδον vel ἐπεῖδον vel servato v. σχεδὸν infra post v. αὐτός addit εἶδον. ‖ 5. εἰ. ἦν (et mox ἔχων et ξυμπροθυμηθῇς) Hartung. ‖ ἔχεις BMS, ἔχειν vm, ἔχοις Selden., ἔχων r. ‖ ξυμπροθυμηθείς. ξυμπροθυμηθείης r. ‖ 6. περί. πρός S. ‖ 7. ἑαυτοῦ. σεαυτοῦ S. ‖ 8. παρόντων. προσόντων Hartung. — 11, 2. ξύμμαχον. σύμμαχον S. ‖ 4. καὶ τροφήν. καί om. S. ‖ 5. ἥ. ἡ S, ἧ vm, unde ἧ γὰρ αὖ pro ἣ γὰρ ἦν Selden. ‖ ὑπό. ἀπὸ corr. M (pr. man. vulg.). S. mrg. m. ‖ ἀνάλωται M, ἠνάλωται reliq. ‖ 7. ἑτέρα σοι παραπέσῃ σωτηρία ποθέν. παραπέσῃ ποθὲν ἑτέρα σωτηρία S. ‖ 8. φθονοῖμεν. φθάνομεν M. ‖ 9. τε ἕλκους S, ἕλκους om. reliqui, unde τε λύθρου Reisk. ‖ ἀνάπλεοι. ἀνάπλεω corr. M (pr. man. vulg.).

ΛΟΓΟΣ ξ.

ΝΕΣΣΟΣ Η ΔΗΙΑΝΕΙΡΑ.

1 *Α.* Ἔχεις μοι λῦσαι ταύτην τὴν ἀπορίαν, πότερον δι- 578 M.
καίως ἐγκαλοῦσιν οἱ μὲν τῷ Ἀρχιλόχῳ, οἱ δὲ τῷ Σοφο-
κλεῖ, περὶ τῶν κατὰ τὸν Νέσσον καὶ τὴν Δηιάνειραν, ἢ οὔ;
φασὶ γὰρ οἱ μὲν τὸν Ἀρχίλοχον ληρεῖν ποιοῦντα τὴν Δηι-
άνειραν ἐν τῷ βιάζεσθαι ὑπὸ τοῦ Κενταύρου πρὸς τὸν
Ἡρακλέα ῥαψῳδοῦσαν, ἀναμιμνήσκουσαν τῆς τοῦ Ἀχε-
λῴου μνηστείας καὶ τῶν τότε γενομένων· ὥστε πολλὴν σχο-
λὴν εἶναι τῷ Νέσσῳ ὅ τι ἐβούλετο πρᾶξαι· οἱ δὲ τὸν Σο-
φοκλέα πρὸ τοῦ καιροῦ πεποιηκέναι τὴν τοξείαν διαβαι-
νόντων αὐτῶν ἔτι τὸν ποταμόν· οὕτω γὰρ ἂν καὶ τὴν
Δηιάνειραν ἀπολέσθαι ἀφέντος τοῦ Κενταύρου. ἀλλὰ μή,
καθάπερ εἴωθε, πολὺ παρὰ τὴν δόξαν λέγων καὶ πάντα μᾶλ-
2 λον ἢ ὅ τις ἂν οἰηθείη. — *Δ.* ἆρ' οὖν κελεύεις με ταῦτά σοι
λέγειν, ἅ τις ἂν οἰηθείη ὀρθῶς οἰόμενος ἢ ἅ τις ἂν καὶ μὴ
ὀρθῶς; — *Α.* ἐγὼ μὲν ἃ ἄν τις ὀρθῶς οἰόμενος. — *Δ.* τί οὖν;
οἱ πολλοὶ ἄνθρωποι δοξάζουσιν; ἆρά γε ἀνάγκη τὸν βουλό- 309 R II.

Orat LX. Collati sunt BMS. titul. *Νέσσος καὶ Δηιάνειρα* Photius. — 1, 1. *πότερον. πότερον οἱ μὲν* S. ‖ 2. *οἱ μὲν τῷ* om. S. ‖ *τῷ Σοφοκλεῖ. τῷ* om. S. ‖ 3. *κατὰ τὸν. τὸν* om. S. ‖ 5. *ὑπὸ. παρὰ* S. ‖ 6. *ἀναμιμνήσκουσαν. ἀναμνήσκουσαν* M. ‖ *Ἀχελῴου. Ἀχιλλέως* S. ‖ 10. *ἔτι* M. Selden., *ἐπὶ* reliq. ‖ *οὕτω. οὕτως* M. ‖ 11. *μή. μὴν* M, *μὴ φανῇ* Reisk. ‖ 12. *λέγων. λέγει* M, unde *λέγῃ* Geelius. at participium suspensum esse e verbis *ἔχεις λῦσαι* vidit Iacobs. ‖ 13. *ὅ τις* BM. vr, *ὅστις* S. m, *ὥς τις* Selden. — 2, 1. *με* M. Pflugk., *μοι* reliq. ‖ *ταῦτά σοι. σοι* om. S. ‖ *ἅ τις ἂν οἰηθείη ὀρθῶς οἰόμενος ἢ ἅ τις ἂν καὶ μὴ ὀρθῶς* BM, *ἅ τις ἂν ὀρθῶς οἰόμενος, ἢ ἅ τις ἂν καὶ μὴ ὀρθῶς* Reisk., *ἃ μὴ ὀρθῶς* (om. reliq.) S, *ἅ τις ἂν καὶ μὴ ὀρθῶς οἰόμενος, ἢ ἅ τις ἂν καὶ μὴ ὀρθῶς* reliqui, unde Iacobsius extrema sic scribit: *ἢ ἅ τις ἂν καὶ ὀρθῶς καὶ μὴ ὀρθῶς* vel *ἢ ἅ τις ἂν ὀρθῶς*, vel *ἢ ἅ τις ἂν καὶ ὀρθῶς*. ‖ 3. *ἃ ἄν τις* M, *ἂν* om. reliq. ‖ 4. *οἱ πολλοὶ ἄνθρωποι. οἱ πολλοὶ ἄνθρωποι οὐκ ὀρθῶς* Reiskius. mallim *εἰ οἱ πολλοὶ ἄνθρωποι μὴ ὀρθῶς* (commate post *δοξάζουσιν* posito). Pflugkius locum sic constituit: *τί οὖν; οἱ πολλοὶ ἆρ' ὀρθῶς δοξάζουσιν; οὔ. ἆρά γε.* ‖ *δοξάζουσιν. δοξάζουσιν. ναί* Reisk.

μενον ὀρθῶς ἐξηγεῖσθαι παρα τὴν δόξαν τῶν πολλῶν λέγειν;
— Α. ἀνάγκη. — Δ. μὴ οὖν δυσκόλως ἀκολουθήσῃς, ἐὰν τοι-
οῦτον ᾖ τὸ λεγόμενον, σκόπει δὲ, εἰ μὴ δεόντως λέγεται. —
Α. λέγε τοίνυν καὶ ἐξηγοῦ, ὅπως σοι δοκεῖ. — Δ. οὐκοῦν λέγω
[τὸ νῦν] σοι, ὅτι ὅλον τὸ ἀγνόημά ἐστι περὶ τὸν μῦθον τὸ
ἐπιχειρεῖν τὸν Κένταυρον συγγενέσθαι τῇ Δηιανείρᾳ. —
3 Α. οὐ γὰρ ἐπεχείρησεν; — Δ. οὔ. ἢ σοὶ δοκεῖ πιθανὸν εἶναι
ἐν ὄψει τοῦ Ἡρακλέους τόξα ἔχοντος καὶ πεπειραμένον αὐτοῦ
τῆς ἀρετῆς πρότερον, ἡνίκα μόνος τῶν Κενταύρων αὐτὸς
διέφυγε παρὰ τοῦ Φόλου μηδὲν ἐκείνων τοιοῦτον ἀδικησάν-
των αὐτὸν, ἐπιχειρεῖν συγγενέσθαι αὐτοῦ τῇ γυναικί; —
Α. ἔχει μέν τινα ἀπορίαν τὸ τοιοῦτο· ἀλλὰ μὴ τοῦτο κινοῦν-
τες καθόλου τὸν μῦθον ἀναιρῶμεν; — Δ. οὐδαμῶς ἄν, ἄνπερ
λογιζώμεθα, ὡς ἐγένετο καὶ εἰκὸς ἦν γενέσθαι τὸ πρᾶγμα. — 519 M.
4 Α. οὕτω δὴ λέγοις. — Δ. ὁ Νέσσος τὴν Δηιάνειραν εὐθὺς
διακομίζων καὶ ἐν τῷ περᾶν ἐπεχείρει διαφθείρειν οὐ τοῦτον τὸν
τρόπον, ὅν φασι, βιαζόμενος, ἀλλὰ λόγους ἐπιτηδείους λέγων
πρὸς αὐτὴν καὶ διδάσκων, ὅπως κρατήσει τοῦ Ἡρακλέους,
λέγων, ὅτι νῦν μὲν ἄγριός ἐστι καὶ χαλεπὸς καὶ ὀλίγον τινὰ
χρόνον αὐτῇ συνέσται, καὶ τοῦτον δυσκόλως, διὰ τοὺς ἄθλους
καὶ τὰς ἀποδημίας καὶ τὸν βίον, ὃν προῄρηται. ἐὰν δ', ἔφη,
σὺ πείσῃς αὐτὸν τὰ μὲν θεραπείᾳ τὰ δὲ λόγοις τῆς μὲν ταλαι- 310 R II.
πωρίας ταύτης καὶ τῶν πόνων ἐπανεῖναι, ζῆν δὲ ῥαθύμως καὶ
ἡδέως, σοί τε πολὺ πρᾳότερος ἔσται καὶ ἄμεινον βιώσεται καί
5 σοι τὸν λοιπὸν ἤδη συνέσται χρόνον οἴκοι μένων. ταῦτα δὲ

9. δοκεῖ BM, δοκῇ reliq. || 10. [τὸ νῦν] delet Pflugkius ut orta e praemisso v. τοίνυν. || ὅλον τό. τὸ ὅλον Pflugk. || 11. Δηιανείρᾳ. δηϊανείρῃ M. || 12. οὐ. οὖν M. — 3, 1. ἦ M, ἢ reliq. || 2. πεπειραμένον BM. r, πεπειραμένου reliq. || 3. μόνος τῶν Κενταύρων. τῶν κενταύρων μόνος S. || αὐτός. αὐτοῦ M. || 4. Φόλου. φόλος (corr. φόλης) M. || τοιοῦτον. malim τοσοῦτον. || 7. ἄνπερ λογιζώμεθα. sic dedi. ἂν προλογιζώμεθα M, ἂν εἰ λογιζώμεθα B, ἂν εἰ λογιζοίμεθα Reisk., ἂν εἰ λογιζόμεθα reliq. || 9. λέγοις. λέγεις M. Pflugkius haec ita scribit: πῶς δὴ λέγεις; — 4, 2. οὐ τοῦτον τὸν τρόπον, ὅν φασι. sic dedi. αὐτὴν τοῦτον τὸν τρόπον φασὶν M (mrg. τὸν αὐτοῦ τρόπον φασίν), τὸν αὐτοῦ τρόπον· οὔ φασι reliqui, unde Reiskius τὸν αὐτοῦ τρόπον, οὐ χερσὶ (vel οὐχ ὅν φασι). || 3. βιαζόμενος. βιαζόμενον B. || 4. κρατήσει MS. Pflugk., κρατήσῃ reliq. || 8. σὺ πείσῃς M. Anonym. apud Reisk., πείσῃς BS. Reisk. (idem ἀναπείσῃς), οὐ πείσῃς reliq. || 9. ἐπανεῖναι. malim ἐπανιέναι. || 10. πολὺ om. S. || καί σοι τόν. sic dedi. σοι om. S, τὸν om. reliq. || 11. οἴκοι μένων BMS. r, ἢ κοιμένων v, οἴκοι μειμένων m.

διελέγετο ὁ Κένταυρος ἐπιβουλεύων τῷ Ἡρακλεῖ, εἴ πως δύναιτο αὐτὸν ἐπὶ τρυφὴν ἀγαγεῖν καὶ ῥᾳθυμίαν. ᾔδει γάρ, ὅτι ἅμα τῷ μεταβαλεῖν τὸν βίον καὶ τὴν ἄσκησιν εὐχείρωτος ἔσται καὶ ἀσθενής. ἡ δὲ Δηιάνειρα ἀκούουσα οὐ παρέργως τοῖς λόγοις προσεῖχεν, ἀλλὰ ἐνεθυμεῖτο, ὡς ὀρθῶς λέγοι ὁ Κένταυρος, ὥσπερ εἰκὸς ἦν βουλομένην τὸν ἄνδρα ὑφ' ἑαυτῇ ἔχειν. ὁ δὲ Ἡρακλῆς ὑπονοήσας μηδὲν ὑγιὲς τὸν Κένταυρον λέγειν ἐκ τοῦ διαλέγεσθαι πρὸς τὴν Δηιάνειραν ἐπιμελῶς καὶ
6 ὅτι ἐκείνη προσεῖχεν αὐτῷ, οὕτω δὴ ἐτόξευσεν αὐτόν. ὁ δὲ ἀποθνήσκων οὐδὲν ἧττον ἐκέλευσε τὴν Δηιάνειραν ἀναμνησθῆναι ὧν εἶπε καὶ ποιεῖν ὡς αὐτὸς παρῄνεσεν. ὕστερον δὲ ἡ Δηιάνειρα μεμνημένη τῶν λόγων τοῦ Κενταύρου καὶ ἅμα τοῦ Ἡρακλέους οὐδὲν ἀνιέντος, ἀλλὰ καὶ μακροτέραν ἀποδημίαν ἀποδημήσαντος τὴν τελευταίαν, ὅτε ἐξεῖλε τὴν Οἰχαλίαν, καὶ λεγομένου δή, ὡς ἐρασθείη τῆς Ἰόλης, ἡγησαμένη βέλτιον
7 εἶναι ἃ παρῄνεσεν ἀνύεσθαι ἐπιτίθεται αὐτῷ. καὶ οἷον δὴ πέφυκε τὸ τῶν γυναικῶν αἱμύλον καὶ πανοῦργον, οὐ πρότερον ἀνῆκε πρὶν ἢ ἔπεισεν αὐτὸν τὰ μὲν παραμυθουμένη καὶ φάσκου- 311 R
σα ἐκείνου κήδεσθαι, ὅπως μὴ κακοπαθῇ γυμνὸς τοῦ χειμῶνος 390 M.
καὶ τοῦ θέρους ὁμοίως ὑπομένων ἐν τῷ δέρματι τοῦ λέοντος, τὸ μὲν δέρμα ἀποθέσθαι, στολὴν δὲ ἀναλαβεῖν ὁμοίαν τοῖς ἄλλοις. καὶ τοῦτο δὴ ἦν ὁ λεγόμενος τῆς Δηιανείρας χιτών,
8 ὃν ἐνέδυ ὁ Ἡρακλῆς. ἅμα δὲ τῇ στολῇ καὶ τὴν ἄλλην δίαιταν ἐποίησεν αὐτὸν μεταβαλεῖν, ἐπί τε στρωμάτων καθεύδοντα καὶ μὴ θυραυλοῦντα τὰ πολλά, ὥσπερ εἰώθει πρότερον, μηδὲ αὐτουργοῦντα μηδὲ τροφῇ ὁμοίᾳ χρώμενον, ἀλλὰ σίτῳ τε ἐκπεπονημένῳ καὶ ὄψῳ καὶ οἴνῳ ἡδεῖ καὶ ὅσα δὴ τούτοις ἑπόμενά ἐστιν. ἐκ δὲ τῆς μεταβολῆς ταύτης, ὥσπερ ἦν οἶμαι

5, 2. διελέγετο. sic dedi. διηγεῖτο reliq. ‖ 5. ἀκούουσα M (mrg. ἀκούσασα), ἀκούσασα reliq. ‖ 7. βουλομένην. sic dedi. καὶ βουλομένη reliqui, unde ἅτε καὶ βουλομένη Reiskius. locum sic constituit Iacobsius: εἰκὸς γυναῖκα βουλομένην vel εἰκὸς ἦν γυναῖκα βουλομένην Add. p. 188, idem nunc εἰκὸς τὴν καὶ βουλομένην. possit εἰκὸς τὴν βουλομένην. ‖ 10. οὕτω. οὕτως M. — 6, 7. ὡς ἐρασθείη τῆς Ἰόλης. τῆς Ἰόλης ἐρασθῆναι S. ‖ 8. παρῄνεσεν. παρῄνεσαν B. corr. M (pr. man. vulg.). ‖ ἀνύεσθαι. ἀνίεσθαι B. — 7, 3. πρὶν ἤ. ἢ S. ‖ τὰ μὲν aut delendum, aut excidit aliquid post παραμυθουμένη. Reiskius. mihi post λέοντος aliquid deesse videtur. ‖ 4. γυμνὸς τοῦ χειμῶνος. τοῦ χειμῶνος γυμνὸς S. — 8, 1. τῇ στολῇ. τὴν στολὴν M. ‖ 3. εἰώθει BMS. Pflugk., εἴωθε reliq. ‖ 4. σίτῳ τε BMS, τε om. reliq. ‖ 6. ἦν οἶμαι BM, οἶμαι om. S, οἶμαι ἦν reliq.

ἀναγκαῖον, εἰς ἀσθένειαν καὶ μαλακίαν ἐμπεσὼν τοῦ σώμα-
τος, καὶ ἡγησάμενος μηκέτ' εἶναι ῥᾴδιον ἀψάμενον τρυφῆς
ἀποθέσθαι αὐτὴν, οὕτω δὴ ἐνέπρησεν αὑτὸν, ἅμα μὲν κρεῖτ-
τον οἰόμενος ἀπηλλάχθαι τοῦ τοιούτου βίου, ἅμα δὲ δυσχε-
ραίνων, ὅτι ἠνέσχετο τρυφῆς ἅψασθαι. ἔχεις δὴ τὸν παρ'
ἐμοῦ λόγον, ὁποῖον ἐγὼ ἠδυνάμην ὑπὲρ τοῦ μύθου εἰπεῖν. —
9 Δ. καὶ μὰ τὸν Δία οὐδαμῶς φαῦλος οὐδὲ ἀπίθανος δοκεῖ μοι
εἶναι. καὶ οὐκ οἶδα ὅπως, δοκεῖ μοι προσεοικέναι τὸ τῶν φι-
λοσόφων ἐνίων περὶ τοὺς λόγους ἀμηγέπη τῷ τῶν κοροπλάθων.
καὶ γὰρ ἐκεῖνοι τύπον τινὰ παρέχοντες, ὁποῖον ἂν πηλὸν εἰς
τοῦτον ἐμβάλωσιν, ὅμοιον τῷ τύπῳ τὸ εἶδος ἀποτελοῦσιν. 312 R II.
καὶ τῶν φιλοσόφων ἤδη τινὲς τοιοῦτοι γεγόνασιν, ὥστε, ὁποῖον
ἂν μῦθον ἢ λόγον λάβωσιν, ἕλκοντες καὶ πλάττοντες κατὰ
τὴν αὑτῶν διάνοιαν ὠφέλιμον καὶ φιλοσοφίᾳ πρέποντα ἀπέ-
10 δειξαν· οἷον δὴ μάλιστα ἀκούομεν Σωκράτη γενέσθαι. ἐκεῖ-
νος γὰρ εἰς ἅπαντας δὴ λόγους καὶ πάσας διατριβὰς κατήει,
καὶ πρὸς ῥήτορας καὶ πρὸς σοφιστὰς καὶ πρὸς γεωμέτρας καὶ
μουσικοὺς καὶ παιδοτρίβας καὶ τοὺς ἄλλους δημιουργοὺς, καὶ
ἐν παλαίστραις καὶ ἐν συμποσίοις καὶ ἐν ἀγορᾷ οὐκ ἐκωλύετο
ἐξ ἅπαντος τρόπου φιλοσοφεῖν καὶ προτρέπειν ἐπ' ἀρετὴν
τοὺς συνόντας, οὐκ ἰδίαν εἰσφέρων ὑπόθεσιν οὐδὲ πρόβλημα
ἐσκεμμένον, ἀλλ' ἀεὶ τῇ παρούσῃ χρώμενος καὶ ταύτην προσ-
άγων πρὸς φιλοσοφίαν.

8. ἀψάμενον MS, ἀψάμενος reliq. ‖ 9. οὕτω S, οὕτως reliq. ‖ αὑτόν. sic dedi. αὐτὸν reliq. ‖ κρεῖττον οἰόμενος. κρείττω γενόμενος B. — 9, 1. δοκεῖ μοι. δοκῇ μοι B, μοι δοκεῖ S. ‖ 2. τὸ τῶν. τῷ τῶν r. ‖ 3. λόγους. λόγους ἔντεχνον Reisk. ‖ τῷ τῶν M. Anonym. apud Reisk., καὶ τῶν S, τὸ τῶν reliq. ‖ κοροπλάθων. κουροπλάθων S, κηροπλαθῶν M. ‖ 4. τύπον. τρόπον mrg. m. ‖ παρέχοντες. χαράξαντες Selden. ‖ 5. τοῦτον BM. Anonym. ap. Reisk. r, τούτου reliq. ‖ ἐμβάλωσιν BM, ἐμβάλλωσιν reliq. ‖ 6. ἤδη τινές. τινὲς ἤδη S. ‖ 8. ὠφέλιμον. ὀφέλιμον m. ‖ 9. Σωκράτη BM, Σωκράτην reliq. — 10, 2. κατήει. καθίει Lobeck. ad Aiac. p. 180. ed. II. ‖ 6. ἐξ. οὐκ ἐξ M. ‖ 8. χρώμενος. χρωμένου B. ‖ ταύτην. ταύτῃ M.

ΛΟΓΟΣ ξα.

ΧΡΥΣΗΙΣ.

1 Δ. Ἐπεὶ τυγχάνεις οὐ φαύλως ἐπαινοῦσα Ὅμηρον οὐδέ, 581 M.
ὥσπερ οἱ πολλοί, πιστεύουσα τῇ δόξῃ προσποιῇ θαυμάζειν,
ὃ δὲ δεινότατός ἐστιν, ᾔσθησαι τοῦ ποιητοῦ, τὴν περὶ τὰ
πάθη τῶν ἀνθρώπων ἐμπειρίαν· τἆλλα μὲν ἐάσωμεν, εἰ ἐθέ-
λεις, τανῦν, τὰ τῶν βασιλέων καὶ στρατηγῶν, περὶ δὲ μιᾶς
γυναικὸς σκεψώμεθα τῶν αἰχμαλώτων, ὁποίαν τινὰ πεποίηκε
τὴν θυγατέρα τοῦ ἱερέως, ἧς εὐθὺς ἐμνήσθη κατ' ἀρχὰς τῆς
ποιήσεως. ὁ μὲν γὰρ Ἀγαμέμνων οὐ μόνον τὸ εἶδος, ἀλλὰ
καὶ τὸν τρόπον ἐπαινεῖν ἔοικε τῆς παιδίσκης. λέγει γάρ, ὡς 313 R II.
οὐδὲν εἴη τὰς φρένας χείρων τῆς αὑτοῦ γυναικός· δῆλον δὲ
2 ὡς ἐκείνην οἰόμενος νοῦν ἔχειν. — Γ. εἰ δὲ οὐκ ἄλλως τοῦτο
εἴρηκε διὰ τὸν ἔρωτα ἀπατώμενος, ἰδεῖν ἄξιον. — Δ. καίτοι
χαλεπώτατον πείθειν τοὺς ἐρῶντας. καὶ γὰρ ὑπονοοῦσιν οἱ
πολλοὶ καὶ ὀργίζονται ῥᾳδίως καὶ οὐδέποτέ φασιν ἀγαπᾶσθαι
κατ' ἀξίαν ὑπὸ τῶν ἐρωμένων, ἄλλως τε ὅταν ὦσι κρείττους
τοσοῦτον καὶ συνόντες μετ' ἐξουσίας. — Γ. ταῦτα δέ φημι
συμβαίνειν τοῖς φαύλοις ἐρασταῖς. — Δ. εἴτε οὖν σπουδαῖος
ἦν ὁ Ἀγαμέμνων, ὀρθῶς ἐγίγνωσκε περὶ αὐτῆς· εἴτε τοῖς
πολλοῖς ὅμοιος, οὐ ῥᾴδιον φαύλην οὖσαν ἀρέσαι τὸν τοιοῦτον,
ὥστε ἀγαθὴν ὑπολαβεῖν. φέρε δὴ καὶ τἆλλα ἴδωμεν. —
3 Γ. καὶ τίνα ἄλλην ἀπόδειξιν ἔχεις παρά γε Ὁμήρῳ τοῦ τρόπου
τῆς γυναικός; οὐδὲν γοῦν πεποίηκεν αὐτὴν πράττουσαν ἢ λέ-

Orat. LXI. Collati sunt BMS. — 1, 3. ὃ δὲ δεινότατός M. Obs. p. 59, ὅ δὲ δεινότατόν S. Casaub., ὁ δὲ δεινότατός reliq. ‖ ᾔσθησαι M. Obs. l. 1, ᾐσθῆσθαι reliq. ‖ τὴν περὶ BMS. Obs. p. 59, τὴν πρὸς reliq. ‖ 4. τἆλλα μὲν — στρατηγῶν. haec in S leguntur post v. θαυμάζειν. ‖ ἐθέλεις. θέλεις M. ‖ 5. περὶ δὲ μιᾶς. περὶ μιᾶς τινος S. ‖ 9. καὶ τὸν BM. Iacobs. Add. p. 19, τὸν om. reliq. — 2, 1. εἰ δέ. haec ita constituit Geelius: εἰ δ' οὖν, ἄλλως τοῦτο εἴρηκε διὰ τὸν ἔρωτα ἀπατώμενος. — Γ. ἰδεῖν ἄξιον. ‖ 8. ἐγίγνωσκε M, ἐγίνωσκε reliq. ‖ 9. τὸν τοιοῦτον BM, τῷ τοιούτῳ reliq. — 3, 1. ἄλλην om. S. ‖ 2. γοῦν. οὖν B. ‖ πεποίηκεν αὐτήν. αὐ-

γουσαν, ἀλλὰ σιγῇ τῷ πατρὶ διδομένην. — Δ. τί γὰρ ἐκ τῶν
γενομένων περὶ αὐτὴν οὐκ ἄν τις συμβάλοι τὴν διάνοιαν μὴ
πάνυ ἁπλῶς μηδὲ εὐήθως σκοπῶν; — Γ. ἴσως. — Δ. πότερον
οὖν οἰώμεθα τὸν Χρύσην ἀκούσης τῆς θυγατρὸς εἰς τὸ στρα-
τόπεδον ἐλθεῖν μετὰ λύτρων, ἅμα τὰ στέμματα κομίζοντα
τοῦ θεοῦ, καὶ τὸ πλῆθος ἱκετεύειν καὶ τοὺς βασιλέας ἀφιέναι
αὐτήν· ἢ τοὐναντίον ἐκείνης δεομένης τοῦ πατρὸς, εἴ τι δύ-
4 ναιτο, βοηθεῖν; εἰ γὰρ ἔστεργε τοῖς παροῦσιν ἡ Χρυσηὶς καὶ 582 M.
τῷ Ἀγαμέμνονι συνεῖναι ἠβούλετο, οὐδέποτ᾽ ἂν εἵλετο Χρύ-
σης ἅμα τὴν θυγατέρα λυπῶν τῷ βασιλεῖ ἀπεχθάνεσθαι, οὐκ 314 R II.
ἀγνοῶν, ὅπως εἶχε πρὸς αὐτήν. τὸ γὰρ συνεῖναι τῷ βασιλεῖ
τὴν Χρυσηίδα στεργομένην οὐχ ἧττον τῷ Χρύσῃ συνέφερεν.
καὶ γὰρ ἡ χώρα καὶ τὸ ἱερὸν καὶ αὐτὸς ὑπὸ τοῖς Ἀχαιοῖς
5 ἐγεγόνει, κἀκεῖνος ἦν αὐτῶν κύριος. ἔτι δὲ πῶς παραχρῆμα
μὲν ἁλούσης οὔτε ἦλθεν οὔτε ἐμέμνητο περὶ λύτρων, ὅτε εἰκὸς
ἦν χαλεπώτερον φέρειν, χρόνῳ δὲ ὕστερον τῆς μὲν λύπης
ἐλάττονος γεγενημένης, συνηθείας δὲ πρὸς τὸν Ἀγαμέμνονα
πλείονος; δεκάτῳ γὰρ ἔτει τῆς πολιορκίας ταῦτα συμβῆναί
φησιν ὁ ποιητὴς τὰ περὶ τὴν ἄφιξιν τοῦ ἱερέως καὶ τὴν κο-
μιδὴν τῶν λύτρων. τὰς δὲ περιοίκους πόλεις καὶ τὰς ἐλάττο-
νας εἰκὸς ἦν εὐθὺς ἁλῶναι κατ᾽ ἀρχὰς τοῦ πολέμου, ὧν ὑπῆρ-
χεν ἡ Χρύσα καὶ τὸ ἱερόν. — Γ. οὐκοῦν ὁ λόγος οὗτος πολλὴν
ἀτοπίαν ἐπιδείκνυσι τῆς Χρυσηίδος, τὸ πρότερον μὲν αἰχμά-
λωτον οὖσαν ἀνέχεσθαι προσφάτως στερομένην τοῦ πατρὸς
καὶ τῆς πατρίδος, διελθόντων δὲ δέκα ἐτῶν χαλεπῶς φέ-
6 ρειν. — Δ. εἴ γε καὶ τὰ ἄλλα ἀκούσειας· οὐδὲ γὰρ τὸν τυ-
χόντα ἐραστὴν ἅπαξ γενόμενον ἡδὺ ἀπολιπεῖν ταῖς ἐλευθέραις·
μή τι γε τὸν ἐνδοξότατον καὶ πλουσιώτατον, βασιλέα μὲν τῶν
Ἑλλήνων ξυμπάντων, μεγίστην δὲ ἔχοντα δύναμιν ἐν τοῖς τότε
ἀνθρώποις, κύριον δὲ οὐ μόνον ἐκείνης, ἀλλὰ καὶ τοῦ πατρὸς
καὶ τῆς πατρίδος, ἐλπίζοντα δὲ κρατήσειν ὀλίγου χρόνου καὶ

τὴν πεποίηκεν S. ‖ 4. γενομένων MS, γινομένων reliq. ‖ 5. ἴσως. πότερον οὖν Selden., ἴσως. πότερον Reisk., ἴσως ποτὲ reliq. ‖ 6. οἰώμεθα Reisk., οἰόμεθα reliq. ‖ 9. εἴ τι. ἔτι M. — 4, 2. εἵλετο M. Selden., ἠβούλετο S, ᾔδετο reliq. ‖ 6. ἡ χώρα καὶ τὸ ἱερόν. τὸ ἱερὸν καὶ ἡ χώρα S. — 5, 3. χαλεπώτερον φέρειν. φέρειν χαλεπώτερον S. ‖ 5. ἔτει. ἔτι M. ‖ 10. τῆς M. Reisk., καὶ τῆς reliq., κατὰ τῆς Iacobs. Add. p. 319. ‖ τὸ M, τῷ reliq. ‖ μέν. μὴ M. ‖ 12. δὲ δέκα r, δέκα om. reliq. — 6, 2. ἐλευθέραις BM (corr. ἐλευθερίαις), ἐλευθερίαις reliq.

τῆς Ἀσίας· τὸ γὰρ Ἴλιον φαύλως εἶχεν ἐκ πολλοῦ καὶ μόλις
διεφύλαττον αὐτὴν τὴν πόλιν, ἐπεξῄει δὲ οὐδεὶς εἰς μάχην·
καὶ ταῦτα οὐ παρέργως ἔχοντος πρὸς αὐτὴν τοῦ βασιλέως,
ἀλλὰ καὶ φανερῶς ὁμολογοῦντος προτιμᾶν τῆς αὑτοῦ γυναι- 315 R II
κὸς, τοσαῦτα ἀπολείπουσαν καὶ τηλικαῦτα ἀγαθὰ, καὶ τὸ
μέγιστον ἐραστὴν οὐ μόνον βασιλέα μέγαν καὶ ἀνδρεῖον ἐν 383 M.
ὀλίγοις, ἀλλὰ καὶ νέον καὶ καλὸν, ὥς φησιν Ὅμηρος τῷ Διὶ
προσεικάζων αὐτὸν, ἔπειτα εἰς ἑαλωκυῖαν ἀφικέσθαι τὴν πα-
τρίδα καὶ συνοικεῖν ἑνὶ τῶν δούλων τῶν Ἀγαμέμνονος, εἴ γε
7 ἔμελλε γαμεῖσθαι τῶν ἐγχωρίων τινὶ, πῶς οὐκ ἄτοπον; τὸ
γὰρ αἰχμάλωτον εἶναι καὶ διὰ τοῦτο μὴ στέργειν τὸν λαβόντα
οὐχ ἱκανόν. ἡ γοῦν Βρισηὶς ἀγαπᾶν ἔοικε τὸν Ἀχιλλέα, καὶ
ταῦτα, ὃν φησιν ἀποκτεῖναι τὸν ἄνδρα αὐτῆς καὶ τοὺς ἀδελ-
φούς. τῷ δὲ Ἀγαμέμνονι τοιοῦτον οὐδὲν ἐπέπρακτο περὶ τὴν
Χρυσηίδα. — Γ. καλῶς. οὐκοῦν ἐκ τῶν λόγων τούτων οὐκ
ἐβουλήθη Χρησηὶς ἀποπεμφθῆναι παρὰ τοῦ Ἀγαμέμνονος,
ἀλλὰ Χρύσης ταῦτα ἔπραττε καθ' ἑαυτόν· ἤ, εἴπερ ἐβούλετο,
ἀφρονεστέρα ἂν εἴη, καὶ τὸν λόγον ἐναντίον εἶπας ἢ ὑπέ-
8 σχου. — Δ. ἀλλ' οὖν

μηδὲ δίκην δικάσῃς,

φασὶ, πρὶν ἀμφοτέρων ἀκοῦσαι. λέγεις δὴ σοφὸν ὄντα τὸν
Ὅμηρον; — Γ. ἴσως. — Δ. οὐκοῦν τὰ μὲν αὐτὸν λέγειν οἷου,
τὰ δὲ τοῖς ἐντυγχάνουσι καταλιπεῖν αἰσθάνεσθαι. τοῦτο δὲ
οὐ τῶν πάνυ ἀδήλων ἐστίν. ἡ γὰρ Χρησηὶς κατ' ἀρχὰς μὲν,
ὡς ἔοικεν, ἠγάπα μένειν παρὰ τῷ Ἀγαμέμνονι δι' ἃς εἶπον 316 R II
αἰτίας, καὶ τοῖς θεοῖς ᾔδει χάριν, ὅτι μηδενὶ δοθείη τῶν ἀδο-
ξοτέρων, ἀλλὰ τῷ πάντων βασιλεῖ, κἀκεῖνος οὐκ ἀμελῶς ἔχοι

9. πρὸς αὐτὴν Reisk., πρὸς om. reliq. ‖ 11. τοσαῦτα. τοσαῦτα οὖν Iacobs. Add. p. 352 (idem nunc τοσαῦτα ἄρα). ‖ ἀπολείπουσαν. ἀποπτύουσαν (corr. ἀπολύουσαν, mrg. vulg.) M. ‖ 13. ὀλίγοις. λόγοις B. ‖ 15. τῶν. τοῦ B. — 7, 2. εἶναι. λέγειν (vel φάναι) εἶναι Reiskius. ‖ 3. ἡ γοῦν BM. Pflugk., ἦ γοῦν reliq. ‖ 8. ἀλλὰ. ἀλλ' ἃ B. ‖ καθ' ἑαυτόν. κατ' αὐτὸν BMS. ‖ 9. ἀφρονεστέρα. ἀφρονέστερα B. ‖ εἶπας. εἶπες S. — 8, 1. ἀλλ' οὖν in M mrg. add. ‖ 2. δικάσῃς. διδάσκῃς (mrg. vulg.) M. ‖ 4. λέγειν οἷου BS, οἷου om. M, unde Geelius v. οἷου omisso post αἰσθάνεσθαι commate distinguit, οἷου λέγειν reliq. ‖ 5. καταλιπεῖν. καταλειπεῖν M. ‖ 6. τῶν πάνυ Pflugk., πάνυ λόγων S, λόγων πάνυ reliqui, quod Casaubonum offendit. ‖ 7. μένειν παρὰ τῷ Ἀγαμέμνονι M. Reisk. (idem τὰ παρὰ τῷ Ἀγαμέμνονι), παρὰ τῷ Ἀγαμέμνονι reliq. ‖ 9. ἔχοι BM. Pflugk., ἔχει vm, εἶχε Reiskius, qui ante κἀκεῖνος plenius distinguit.

9 πρὸς αὐτήν· ὥστε οὐκ ἔπραττε περὶ λύτρων. ἐπεὶ δὲ ἤκουε
τὰ περὶ τὴν οἰκίαν τὴν τοῦ Ἀγαμέμνονος, ὁποῖα ἦν, ὡς χα-
λεπὰ, καὶ τὴν ὠμότητα τῆς Κλυταιμνήστρας καὶ τὸ θράσος,
ἐνταῦθα ἐφοβεῖτο τὴν εἰς τὸ Ἄργος ἄφιξιν. καὶ τὸν μὲν
ἄλλον χρόνον παρέμενε στέργουσα ἴσως τὸν Ἀγαμέμνονα· ὅτε
δὲ ἦν πρὸς τέλει ὁ πόλεμος καὶ διέῤῥει λόγος, ὡς οὐκέτι δυ-
νήσονται πλείω χρόνον ἀντέχειν οἱ Τρῶες, οὐ περιέμεινε τῆς
Ἰλίου τὴν ἅλωσιν. ᾔδει γὰρ ὡς τὸ πολὺ τοὺς νικῶντας
ὑπερηφάνους γενομένους καὶ τὴν δεισιδαιμονίαν τότε μᾶλλον
ἰσχύουσαν τὴν περὶ τὸν θεὸν, ὅταν πολεμῶσιν οἱ ἄνθρωποι. 584 M.
10 διὰ ταῦτα ἐκάλει τότε τὸν πατέρα καὶ δεῖσθαι τῶν Ἀχαιῶν
ἐκέλευεν· ἐπυνθάνετο γὰρ, ὡς ἔοικεν, ὅτι ἐγυναικοκρατοῦντο
οἱ Ἀτρεῖδαι καὶ μεῖζον ἐφρόνουν τῶν ἀνδρῶν τούτων αἱ γυ-
ναῖκες, οὐκ ἐπὶ κάλλει μόνον, ἀλλὰ καὶ τὴν ἀρχὴν αὐταῖς
νομίζουσαι προσήκειν μᾶλλον. τοὺς μὲν γὰρ Πελοπίδας τε
εἶναι καὶ ἐπήλυδας τῆς Ἑλλάδος· αὐταὶ δὲ Ἀχαιίδες, Τυν-
δάρεω θυγατέρες καὶ Λήδας. ὁ δὲ Τυνδάρεως ἔνδοξος ἦν
καὶ βασιλεὺς τῆς Σπάρτης, ὥστε καὶ τὴν Ἑλένην διὰ τοῦτο
ἐμνήστευσαν οἱ ἄριστοι τῶν Ἑλλήνων καὶ βοηθήσειν ὤμοσαν.
11 πρὸς δὲ τούτοις ἀδελφαὶ Κάστορος καὶ Πολυδεύκους ἦσαν,
οἳ Διὸς παῖδες ἐνομίσθησαν καὶ θεοὶ μέχρι νῦν πᾶσι δοκοῦσι
διὰ τὴν δύναμιν, ἣν τότε ἔσχον. τῶν μὲν γὰρ ἐν Πελοπον-
νήσῳ προεῖχον, τῶν δὲ ἔξω Πελοποννήσου μεγίστη δύναμις
ἦν ἡ περὶ τὰς Ἀθήνας, καὶ ταύτην καθεῖλον ἐπιστρατεύσαν-
τες Θησέως βασιλεύοντος. ἔτι δὲ ἀνεψιὸς ἐγεγόνει αὐτοῖς 317 R II.
Μελέαγρος, ὁ τῶν Ἑλλήνων ἄριστος. ταῦτα μὲν οὖν οὐκ
ἠπίστατο ἡ Χρυσηὶς, τὸ δὲ φρόνημα ἤκουε τῶν γυναικῶν
καὶ τὴν Ἑλένην ἐπεγίγνωσκεν, ὅσον ὑπερεῖχε τοῦ ἀνδρός· ὥστε,
ἐπειδὴ τὰ περὶ τὴν Ἀσίαν μεγάλα ἤκουε διά τε χώρας ἀρετὴν
καὶ πλῆθος ἀνθρώπων καὶ χρημάτων, κατεφρόνησεν οὐ τοῦ
Μενελάου μόνον, ἀλλὰ τοῦ τε Ἀγαμέμνονος καὶ ξυμπάσης

9, 4. καί. κἂν S. ‖ τὸν μὲν BM, μὲν om. reliq. ‖ 6. πρὸς τέλει. πρὸς τῷ τέλει S. ‖ δυνήσονται. δυνήσωνται B. ‖ 7. πλείω. πλείονα S. ‖ ἀντέχειν. ἀντισχεῖν S. ‖ τῆς. τοῦ M. ‖ 10. τὸν θεόν. τῶν θεῶν Pflugk. — 10, 2. ἐκέλευεν. ἐκέλευσεν B. ‖ ἐγυναικοκρατοῦντο. γυναικοκρατοῦντο M. ‖ 4. ἐπί. ἐπὶ τῷ S. ‖ 6. αὐταί. αὗται M. m. ‖ 7. θυγατέρες. θυγατέρας M. — 11, 3. ἐν. ἐν τῇ S. ‖ 5. καθεῖλον. καθεῖλαν BM. ‖ ἐπιστρατεύσαντες. ἐπικρατεύσαντες mrg. m. ‖ 6. ἐγεγόνει αὐτοῖς. αὐτῆς ἐγεγόνει S. ‖ 7. οὖν. ἴσως S, malim οὖν ἴσως. ‖ 12. τοῦ τε. τοῦ γε S.

12 τῆς Ἑλλάδος, καὶ ταῦτα εἵλετο ἀντ' ἐκείνων. ὁ μὲν οὖν Με-
νέλαος καὶ πρότερον ὑπεῖκε περὶ πάντων τῇ Ἑλένῃ καὶ ὕστε-
ρον εἰληφὼς αἰχμάλωτον ὅμως ἐθεράπευεν· ὁ δὲ Ἀγαμέμνων
διὰ τὴν ἀρχὴν ἐπαιρόμενος τὴν Κλυταιμνήστραν ἠτίμασεν,
ὥστε δῆλον ἦν, ὅτι οὐκ ἀνέξοιντο ἀλλήλων, ἀλλ' ἔσοιτο τοι-
αῦτα σχεδόν, ὁποῖα συνέπεσεν. οὐδὲ γὰρ ἐκεῖνα ἥδετο λέγον-
τος τοῦ Ἀγαμέμνονος ἡ Χρυσηίς, καὶ ταῦτα φανερῶς ἐν
ἐκκλησίᾳ τῶν Ἀχαιῶν, ὅτι προτιμᾷ τῆς γυναικὸς αὐτὴν καὶ
οὐδὲν ἡγοῖτο χείρονα. φθόνον γὰρ καὶ ζηλοτυπίαν ᾔδει φέ-
13 ροντα. καὶ νὴ Δία τὸν τρόπον ἑώρα τοῦ Ἀγαμέμνονος, ὅτι
οὐ βέβαιος, ἀλλὰ ὑπερήφανος εἴη καὶ ὑβριστής, καὶ τί ποιήσει 385 M.
πρὸς αὐτὴν αἰχμάλωτον οὖσαν ἐλογίζετο παυσάμενος τῆς ἐπι-
θυμίας, ὅπου γε τῆς ἑαυτοῦ γυναικὸς βασιλίδος τε οὔσης
καὶ παῖδας ἐξ αὐτῆς πεποιημένος οὕτως ὀλιγώρως ἐμνημό-
νευεν. αἱ μὲν γὰρ ἀνόητοι χαίρουσιν ἐπὶ τοῖς ἐρασταῖς, ὅταν
φαίνωνται τὰς ἄλλας ἀτιμάζοντες, αἱ δὲ νοῦν ἔχουσαι τὴν 316 R II.
14 φύσιν ὁρῶσι τοῦ ταῦτα ποιοῦντος ἢ λέγοντος. ἅμα δὲ καὶ
πρὸς αὐτὴν ᾐσθάνετο αὐτὸν ὑβριστικῶς ἔχειν, καὶ ταῦτα ὅτε
μάλιστα ἤρα. τὸ γὰρ οὕτως ἀπελάσαι τὸν Χρύσην, πατέρα
τῆς ἐρωμένης, καὶ μὴ φείσασθαι δι' αὐτήν, καὶ οὐχ ὅπως
παραμυθήσασθαι τὸν πρεσβύτην εἰπόντα, ὡς οὐδὲν αὐτοῦ
τῇ θυγατρὶ δεινὸν εἴη, τοὐναντίον δὲ μὴ μόνον ἐκείνῳ ἀπει-
λεῖν, ἀλλὰ καὶ τὴν Χρυσηίδα ἀτιμάζειν λέγοντα·

> τὴν δ' ἐγὼ οὐ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν
> ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν Ἄργεϊ, τηλόθι πάτρης,
> ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν·

πόσης τινὸς ὑπερηφανίας; τί γὰρ ἂν ὕστερον ἐποίησεν, ὅτε
ἐρῶν οὕτως ὑπὲρ αὐτῆς διαλέγεται; ταῦτα οὖν φυλάξασθαι
15 καὶ προϊδεῖν οὐδαμῶς φαύλης γυναικός. ἐδήλωσε δὲ οἶμαι

13. ταῦτα εἵλετο. τούτων εἴχετο S. — 12, 2. ὑπεῖκε. ὑπῆκε M. ‖ 5. ἀνέξοιντο. ἀνέξοιτο S. ‖ 9. ἡγοῖτο. ἡγεῖτο B. — 13, 1. τὸν τρόπον ἑώρα. ἑώρα τὸν τρόπον S. ‖ 2. εἴη. ἦν S. ‖ ποιήσει BMS. marg. m, πείσεται Reisk., ποιήσεται reliq. ‖ 5. ἐμνημόνευεν. ἐμνημόνευσεν S. ‖ 7. φαίνωνται. sic dedi. idem voluit Pflugk., φαίνονται reliq. ‖ 8. ὁρῶσι. ὑφορῶσι Geel. — 14, 2. αὐτὴν S, αὐτὴν reliq. ‖ αὐτὸν ὑβριστικῶς. ὑβριστικῶς αὐτὸν S. ‖ 3. οὕτως. οὕτως καὶ (at καὶ obel. notat.) M. ‖ 4. φείσασθαι. φίσασθαι M. ‖ 9. πάτρης. πάτρῃ M (at in rasura). ‖ 10. ἱστὸν. εἱστὸν M. ‖ 11. πόσης. πάσης S. ‖ τινὸς BM (mrg. ἐστιν), ἐστιν reliq. ‖ ἂν om. S.

τὰ περὶ τὴν Κασσάνδραν γενόμενα ἐν τῷ Ἄργει καὶ τὸν Ἀγαμέμνονα αὐτὸν, ὅτι νοῦν εἶχεν ἡ Χρυσηὶς ῥυσαμένη τῶν κακῶν τούτων ἑαυτήν. οὐκοῦν τὸ μήτε ἔρωτι μήτε βασιλείᾳ μήτε τοῖς δοκοῦσιν ἐνδόξοις καὶ ἀγαθοῖς νέαν οὖσαν μηδ' εἰς πράγματα σφαλερὰ καὶ τεταραγμένην οἰκίαν καὶ εἰς φθόνον καὶ ζηλοτυπίαν αὐτὴν προέσθαι γυναικὸς σώφρονος καὶ τῷ ὄντι ἀξίας ἱερέως εἶναι θυγατρὸς, παρὰ θεῷ τεθραμμένης. — Γ. τί οὖν; ἐκ τούτων σὺ φῂς νοῦν ἔχειν αὐτὴν ἡγήσασθαι
16 τὸν Ἀγαμέμνονα; — Δ. οὐδαμῶς. οὐδὲ γὰρ εἰκὸς ἦν λέγειν αὐτὴν τοιοῦτον οὐδὲν πρὸς ἐκεῖνον· ἀλλ' ἀπὸ τῶν ἄλλων συνεῖναι. — Γ. πῶς οὖν οὔ φησι χαίρουσαν αὐτὴν ὁ ποιητὴς 586 M. 319 R II.
ἀπιέναι, καθάπερ τὴν Βρισηίδα λυπουμένην; — Δ. ὅτι καὶ τοῦτο σωφρονοῦσα ἔπραττεν, ὅπως μὴ παροξύνοι τὸν Ἀγαμέμνονα μηδὲ εἰς φιλονεικίαν ἀγάγοι. δηλοῖ δὲ ὅμως, ὅπου φησὶν αὐτὴν ὑπὸ τοῦ Ὀδυσσέως τῷ πατρὶ δοθῆναι παρὰ τὸν βωμόν·

ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὁ δ' ἐδέξατο χαίρων
παῖδα φίλην.

οὐ γὰρ ἂν οἶμαι λυπουμένην αὐτὴν ὁ πατὴρ ἐδέχετο χαίρων, οὐδ' ἂν φίλην εἶπε τυχὸν, εἰ μὴ σφόδρα ἠγάπα ἐπὶ τοῖς γεγονόσι τὸν πατέρα. — Γ. εἶεν. ἀλλ' οἴει, μᾶλλον ἡ Χρυσηὶς
17 ταῦτα ἐλογίζετο ἃ σὺ λέγεις καθ' αὑτὴν [ὅτι τὰ περὶ τὴν

15, 2. Κασσάνδραν. κασάνδραν M. || 5. οὖσαν. post hoc v. deesse aliquid, quale ἐπαίρεσθαι, vidit Reiskius. || μηδέ. μή ut videtur S. || 7. αὐτήν. sic dedi. αὑτὴν reliq. — 16, 1. λέγειν αὐτὴν τοιοῦτον οὐδὲν πρὸς ἐκεῖνον. τοιοῦτον οὐδὲν αὐτὴν πρὸς ἐκεῖνον λέγειν S. || 3. συνεῖναι M, συνιέναι Reisk., συνιόντα Anonym. ap. Reisk., συνιοῦσαν reliq., συνίῃ νοοῦσαν Iacobs., possit συνέντα. || πῶς οὖν οὔ φησι χαίρουσαν M, πῶς οὖν φησι μὴ χαίρουσαν reliq. || 5. ἔπραττεν om. S. || 6. φιλονεικίαν. φιλονικίαν M. || 7. πατρὶ BMS. Anonym. ap. Reisk. r, πατρίδι reliq. || 9. δ' ἐδέξατο. δὲ δέξατο B. || χαίρων om. S. || 11. γὰρ ἂν Iacobs., ἂν om. reliq. || 12. τυχὸν. τυχὼν B. || ἐπὶ τοῖς. ἐπὶ om. BMS. — 17, 1. ἀλλ' οἴει Pflugk. p. 37, ἀλλὰ S, ἀλλ' εἰ reliqui, at εἰ in M in rasura. Reiskius retinet ἀλλ' εἰ, sed οὐκ addit ante v. ἐλογίζετο. possit ἀλλά τι. || Χρυσηίς. χρύση (corr. vulg.) M. || 2. ταῦτα ἐλογίζετο. ἐλογίζετο ταῦτα S. || λέγεις καθ' αὑτήν. λέγεις ἡ χρύσης καθ' αὑτὸν M. || [ὅτι τὰ — πολυπραγμονεῖν] delenda videntur. haec ita constituit Seldenus: ἀλλ' εἰ μᾶλλον ἡ Χρυσηὶς ταῦτα ἐλογίζετο, ἃ σὺ λέγεις, καθ' αὑτήν; — Δ. οἶμαι τὰ περὶ τῆς Κλυταιμνήστρας εἰκὸς εἶναι μᾶλλον ἐκείνην πολυπραγμονεῖν· κἂν λογιζομένου τοῦ πατρὸς ταῦτα συνεχώρει καὶ ἐπείθετο, οὐδὲ τοῦτο φαῦλον. αἱ γοῦν cett. Reiskius: καίτοι τὰ περὶ Κλυταιμνήστραν τίνα εἰκός ἐστι μᾶλλον ἢ ἐκείνην πολυπραγμονεῖν. Pflugkius reliquis servatis ἦν pro εἶναι

Κλυταιμνήστραν εἰκὸς εἶναι μᾶλλον ἐκείνην πολυπραγμονεῖν]
ἢ λογιζομένου τοῦ πατρὸς ταῦτα συνεχώρει καὶ ἐπείθετο; —
Δ. οὐδὲ τοῦτο φαῦλον. αἱ γοῦν πολλαὶ καὶ ἀνόητοι τοὺς
ἐραστὰς μᾶλλον ἀγαπῶσιν ἢ τοὺς γονέας. — Γ. διὰ τί οὖν, 320 R II
εἴπερ ἦν φρόνιμος, οὐκ ἐκώλυε τὸν Χρύσην ἐν τῷ φανερῷ
18 δεῖσθαι τοῦ Ἀγαμέμνονος, ἵνα ἧττον ἐχαλέπαινεν; — Δ. ὅτι
ᾔδει τοὺς ἐρῶντας ἰδίᾳ μὲν πάντα βουλομένους χαρίζεσθαι
τῷ ἔρωτι, τὸν δὲ ὄχλον αἰδουμένους ἐνίοτε, καὶ τὰ τοῦ θεοῦ
στέμματα ἔχειν τινὰ ἡγεῖτο πρὸς τὸ πλῆθος δύναμιν, ὥσπερ
ἐγένετο. — Γ. ἀλλὰ ἐκεῖνο ἐνθυμοῦμαι, πῶς συνέτυχε τὸν
Ἀγαμέμνονα καὶ τότε τῆς τοῦ ἱερέως θυγατρὸς καὶ ὕστερον
ἐρασθῆναι τῆς Κασσάνδρας, θεοφορήτου καὶ ἱερᾶς κόρης; —
Δ. ὅτι καὶ τοῦτο σημεῖον ὑπερηφανίας καὶ τρυφῆς, τὸ μᾶλλον ἐπιθυμεῖν τῶν παρανόμων καὶ σπανίων ἢ τῶν ἑτοίμων. —
Γ. οὐκ ἀντιλέγω τὸ μὴ οὐ φρόνιμον εἶναι τὴν Χρυσηίδα, εἰ
ταῦτα οὕτω γέγονε. — Δ. σὺ δὲ πότερον ἀκούειν θέλοις ἄν,
ὡς γέγονεν ὄντως, ἢ ὅπως καλῶς εἶχε γενέσθαι;

scribi vult. ‖ 3. εἰκὸς. οἰκὸς M. ‖ 4. ἢ Pflugk., καὶ reliq. ‖ ταῦτα συνεχώρει. συνεχώρει ταῦτα S. — 18, 3. αἰδουμένους. αἰδούμενος M. ‖ 4. τινὰ ἡγεῖτο πρὸς τὸ πλῆθος δύναμιν. τίνα δύναμιν πρὸς τὸ πλῆθος ἡγεῖτο S. ‖ ὥσπερ. malim ὥσπερ καί. ‖ 7. Κασσάνδρας. Κασάνδρας S. ‖ θεοφορήτου BMS. Vales. Em. p. 75. r. θεοφρουρήτου vm. ‖ 11. πότερον. πρότερον (corr. vulg.) M. ‖ θέλοις BM. Reisk., θέλεις reliq. ‖ 12. γέγονεν ὄντως. sic dedi. γέγονε πάντως reliq.

ΛΟΓΟΣ ξβ.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ ΚΑΙ ΤΥΡΑΝΝΙΔΟΣ.

1 *Καὶ μὴν εἴ τις ἑνὸς ἀνδρὸς οὐχ οἷός τε ἄρχειν ἐστὶ, καὶ* 321 R II. 587 M.
τούτου σφόδρα ἐγγὺς ὄντος, ᾧ δὴ ξύνεστιν, οὐδὲ αὖ μίαν
ψυχὴν κατευθύνειν, τὴν αὐτοῦ· πῶς ἂν δύναιτο βασιλεύειν
μυριάδων ἀναριθμήτων πανταχοῦ διεσπαρμένων, ὥσπερ σύ;
καὶ πολλῶν γε οἰκούντων ἐπὶ πέρασι γῆς, ὧν οὐδὲ ἑώρακε
τοὺς πλείστους οὐδ᾽ ἂν ἴδοι ποτὲ οὐδὲ τῆς φωνῆς ξυνήσει;
ὅμοιον γὰρ, ὥσπερ εἴ τις λέγοι τὸν οὕτως ἀδύνατον τὴν ὄψιν,
ὡς μηδὲ τὰ ἐν ποσὶν ὁρᾷν, ἀλλὰ προσδεόμενον χειραγωγοῦ,
τοῦτον ἐφικνεῖσθαι βλέποντα μέχρι τῶν πλεῖστον ἀπεχόντων,
ὥσπερ οἱ πόῤῥωθεν ὁρῶντες ἐκ τοῦ πελάγους τά τε ὄρη καὶ
τὰς νήσους· ἢ τὸν οὐ δυνάμενον φθέγγεσθαι τοῖς παρεστῶ-
σιν ἱκανὸν ὅλοις δήμοις καὶ στρατοπέδοις εἰς ἐπήκοον φθέγ-
2 *γεσθαι. καὶ γὰρ οὖν ἔχει τι παραπλήσιον ὁ νοῦς τῇ ὄψει·*
ὡς ἐκείνη διεφθαρμένη μὲν οὐδὲν οὐδὲ τῶν πλησιαίτατα ὁρᾷ,
ὑγιὴς δὲ οὖσα μέχρις οὐρανοῦ τε καὶ ἀστέρων ἐξικνεῖται·
ταὐτὸ δὴ τοῦτο ἡ μὲν τοῦ φρονίμου διάνοια καὶ πάντας ἀν-
θρώπους ἱκανὴ γίγνεται διοικεῖν, ἡ δὲ τοῦ ἄφρονος οὐδὲ ἓν
σῶμα, τὸ ἐκείνου, δύναται φυλάττειν οὐδὲ ἕνα οἶκον. οἱ μὲν
γὰρ πολλοὶ τῶν ἐν ταῖς δυναστείαις, ὅτι μὲν ἔξεστιν αὐτοῖς

Orat. LXII. Collati sunt PBCMSH (hic cum ed. Venet.). — 1, 1. *εἴ τις*. *ὅστις* M (mrg. vulg.). ‖ *ἑνὸς ἀνδρὸς* PBMSH, *ἀνδρὸς ἑνὸς* reliq. ‖ *ἄρχειν ἐστὶ*. *ἐστιν ἄρχειν* S. ‖ 2. *τούτου*. *τούτου δὴ* S. ‖ *ᾧ δὴ*. *δὴ* om. S. ‖ 4. *σύ*. sic dedi. *σὺ λέγεις* reliqui. conf. § 3 init. ‖ 5. *πολλῶν γε*. *πολλῶν τε* v, *γε* om. PCHA. ‖ *οἰκούντων ἐπὶ*. *ὄντων ἐν* S. ‖ 6. *ξυνήσει*. *ξυνήσοι* PC. ‖ 8. *τὰ*. *τὸ* PH. ‖ 9. *τοῦτον* PBMSH. v, *τοῦτο γ᾽* C, *τοῦτόν γε* mr, quod Morellus e libro Ms. se sumsisse contendit. ‖ *ἐφικνεῖσθαι*. *ἀφικνεῖσθαι* P. ‖ 11. *φθέγγεσθαι τοῖς παρεστῶσιν*. *τοῖς παρεστῶσιν φθέγγεσθαι* S. ‖ 12. *εἰς ἐπήκοον*. *ὑπήκοον* PCM (corr. *εἰς ὑπήκοον*). H. — 2, 1: *ἔχει*. *ἔχῃ* M. ‖ *ὄψει· ὡς* M, *ὄψει. ὡς γὰρ* P. m. e libro MS. r, *ὄψει, καὶ ὡς* BS. v, *ὄψει. ὡς δὲ* H. ‖ 2. *οὐδὲν οὐδὲ*. *οὐδὲ οὐδὲ* S. ‖ *πλησιαίτατα*. *πλησιατάτων* S, *πλησιώτατα* v. ‖ 3. *ὁρᾷ*. *ὁρᾶν* C. ‖ *τε καὶ*. *τε* om. S. ‖ 5. *γίγνεται* CM, *γίνεται* reliq. ‖ 7. *ὅτι*. *ὅτε* C.

πάντα λαμβάνειν, πάντων ἐπιθυμοῦσιν· ὅτι δὲ ἐπ' αὐτοῖς
ἐστι τὸ δίκαιον, διὰ τοῦτό εἰσιν ἄδικοι· ὅτι δὲ οὐ φοβοῦνται
τοὺς νόμους, οὐδὲ εἶναι νομίζουσιν· ὅτι δὲ οὐκ ἀναγκάζονται
πονεῖν, οὐδέποτε παύονται τρυφῶντες· ὅτι δὲ οὐδεὶς ἀμύνεται
κακῶς πάσχων, οὐδέποτε παύονται ποιοῦντες· ὅτι δὲ οὐδε-
μιᾶς σπανίζουσιν ἡδονῆς, οὐδέποτε ἐμπίμπλανται ἡδόμενοι· 322 R II.
ὅτι δὲ οὐδεὶς ψέγει ἐκ τοῦ φανεροῦ, οὐδὲν ἀπολείπουσι τῶν
οὐδὲ καλῶς λεγομένων· ὅτι δὲ οὐδεὶς αὐτοὺς βούλεται λυπεῖν,
διὰ τοῦτο πᾶσι χαλεπαίνουσιν· ὅτι δὲ ὀργισθεῖσιν ἔξεστι 588 M.
3 πάντα ποιεῖν, διὰ τοῦτο συνεχῶς ὀργίζονται. ὁ δὲ ἀγαθὸς
ἄρχων, ὥσπερ σύ, τἀναντία ἐπιτηδεύει. οὐδενὸς μὲν ἐπιθυμεῖ
διὰ τὸ πάντα οἴεσθαι ἔχειν, φείδεται δὲ τῶν ἡδονῶν διὰ τὸ
μηδεμιᾶς ἂν ἀπορῆσαι ὀρεχθείς, δικαιότερος δὲ τῶν ἄλλων
ἐστὶν ἅτε πᾶσι παρέχων τὴν δικαιοσύνην, ἥδεται δὲ τοῖς πό-
νοις, ὅτι ἑκὼν πονεῖ, ἀγαπᾷ δὲ τοὺς νόμους, ὅτι οὐ δέδοικε.
καὶ ταῦτα ὀρθῶς ὑπολαμβάνει. τίνι μὲν γὰρ φρονήσεως δεῖ
πλείονος ἢ τῷ περὶ τοσούτων βουλευομένῳ; τίνι δὲ ἀκριβε-
στέρας δικαιοσύνης ἢ τῷ μείζονι τῶν νόμων; τίνι δὲ σωφρο-
σύνης ἐγκρατεστέρας ἢ ᾧ πάντα ἔξεστι; τίνι δὲ ἀνδρείας
4 μείζονος ἢ τῷ πάντα σώζοντι; καὶ τοίνυν τῷ μὲν ἄλλων ἄρ-
ξοντι πολλῶν τοῦτο μὲν δαπάνης δεῖ παμπόλλης, τοῦτο δὲ
στρατοπέδων καὶ πεζικῶν καὶ ἱππικῶν, ἔτι δὲ τειχῶν καὶ νεῶν
καὶ μηχανημάτων, εἰ μέλλει καθέξειν μὲν τοὺς ὑπηκόους,
ἀμυνεῖσθαι δὲ τοὺς πολεμίους, ἐὰν δέ τις ἀφίστηται τῆς
ἀρχῆς, καταστρέφεσθαι. τὸ δὲ αὑτοῦ κρατεῖν πάντων ἀδα-
πανώτατον καὶ ἀπραγμονέστατόν ἐστι καὶ ἀκινδυνότατον.
[οὔτε γὰρ πολυδάπανος οὔτε ἐργώδης οὔτε ἐπισφαλὴς ὁ τοῦ
ἐγκρατοῦς ἀνθρώπου βίος.] ἀλλ' ὅμως τοιοῦτον ὂν πάντων

12. παύονται. παύεται M. ‖ ποιοῦντες. κακῶς ποιοῦντες S. ‖ οὐδεμιᾶς PBCMH, μηδεμιᾶς reliq. ‖ 13. ἐμπίμπλανται corr. M, ἐμπίπλανται reliq. ‖ 15. οὐδὲ καλῶς. sic dedi. conf. Progr. p. 30 (ubi μηδὲ καλῶς). οὐ δικαίως PCMH, μὴ δικαίως reliqui, unde γινομένων pro λεγομένων Reisk., μάτην καὶ εἰκαίως Iacobs. ‖ δὲ om. M. — 3, 4. ἀπορῆσαι. ἀναπορῆσαι C. ‖ 7. φρονήσεως δεῖ. δεῖ φρονήσεως P. ‖ 8. ἢ τῷ. ἢ τοῦ C. ‖ βουλευομένῳ. βουλομένῳ M. ‖ τίνι δὲ ἀκριβεστέρας — νόμων om. P. conf. Or. III, § 10. ‖ 10. ἀνδρείας. ἀνδρίας (sed eraso ε) S. — 4, 2. δεῖ. δεῖται S. ‖ 5. ἀμυνεῖσθαι. ἀμύνεσθαι BM. ‖ 6. καταστρέφεσθαι. malim καταστρέψεσθαι. ‖ 7. ἐστι. ἐστιν C, om. S. ‖ 8. [οὔτε — βίος] videntur delenda. ‖ οὔτε M (corr. οὐδὲ). Pflugk., οὐδὲ reliq. ‖ ἐργώδης. ἐργάδης C. ‖ 9. ἀνθρώπου om. P. ‖ τοιοῦτον ὂν BCMS. mrg. m, τοιοῦτος ὢν reliq.

5 χαλεπώτατον πέφυκεν. ἐπεὶ Σαρδανάπαλος ἐκεῖνος ὁ θρυλ-
λούμενος εἶχε μὲν Νῖνον, εἶχε δὲ Βαβυλῶνα, τὰς μεγίστας
τῶν πρότερον γεγενημένων πόλεων· ὑπήκουε δὲ αὐτῷ πάντα
τὰ ἔθνη τὰ νεμόμενα τὴν ἑτέραν ἤπειρον μέχρι τῶν ἀοικήτων
τῆς γῆς λεγομένων. βασιλείας δὲ οὐδὲν ἦν αὐτῷ προσῆκον, 323 R II.
οὐ μᾶλλον ἢ τῶν σηπομένων τινὶ νεκρῶν. βουλεύεσθαι μὲν
6 γὰρ ἢ δικάζειν ἢ στρατηγεῖν οὔτε ἐβούλετο οὔτε ἐδύνατο. ἐν
δὲ τοῖς βασιλείοις ἀποδιδράσκων εἰς τὴν γυναικωνῖτιν καθῆ-
στο ἐπὶ χρυσηλάτου κλίνης ἀναβάδην ὑπὸ ἁλουργέσι παστοῖς,
ὥσπερ ὁ θρηνούμενος ὑπὸ τῶν γυναικῶν Ἄδωνις, ὀξύτερον
φθεγγόμενος εὐνούχων, τὸν μὲν τράχηλον ἀποκλίνων, ὑπὸ δὲ 589 M.
ἀργίας καὶ σκιᾶς λευκὸς καὶ τρέμων, τὸ σῶμα πελιδνὸς, τοὺς
ὀφθαλμοὺς ἀναστρέφων, ὥσπερ ἐξ ἀγχόνης, ὃν οὐκ ἦν δια-
γνῶναι τῶν παλλακῶν. καίτοι χρόνον τινὰ κατέσχεν, ὡς
ἐδόκει, τὴν ἀρχὴν εἰκῇ φερομένην, ὥσπερ ναῦν δίχα κυβερ-
νήτου πολλάκις ἀλωμένην μηδενὸς κατέχοντος ἐν τῷ πελάγει,
κατὰ τύχην εὐδίας ἐπεχούσης· ἔπειτα ὀλίγος κλύδων ἐπαρθεὶς
7 καὶ ῥᾳδίως ἐν κῦμα ἐπέκλυσεν. καὶ δὴ καὶ ἅρμα ἰδεῖν ἔστιν
οὐδενὸς ἡνιοχοῦντος ἐν ἀγῶνι ῥεμβόμενον, ὃ νίκης μὲν οὐκ ἂν
ποτε τύχοι, ταράττει δὲ καὶ ἀπόλλυσι τὸν ἐγγὺς ὄχλον τῶν
θεατῶν. οὔτε γὰρ ἄφρων βασιλεὺς ἔσται ποτὲ, οὐ μᾶλλον
ἢ τυφλὸς ἡγεμὼν ὁδοῦ γένοιτ᾽ ἂν, οὔτε ἄδικος, οὐ μᾶλλον ἢ
κανὼν σκολιὸς καὶ ἄνισος, ἄλλου προσδεόμενος κανόνος, οὔτε
δειλὸς, οὐ μᾶλλον ἢ λέων ἐλάφου λαβὼν ψυχὴν ἢ σίδηρος
κηροῦ καὶ μολίβδου μαλακώτερος. τίνι δ᾽ ἰσχυροτέρας ἐγ-
κρατείας προσῆκον ἢ τῷ πλείστων μὲν ἡδονῶν ἐν μέσῳ ζῶντι,

10. χαλεπώτατον BCM. mrg. m, χαλεπώτατος reliq. — 5, 1. ἐπεί. ἐπεὶ γὰρ S. ‖ ἐκεῖνος ὁ θρυλλούμενος. ὁ θρυλούμενος ἐκεῖνος S, θρυλούμενος habet et H. ‖ 2. εἶχε μὲν Νῖνον in C mrg. add. a manu recent. ‖ 4. ἀοικήτων. ἀοίκων S, ἀδικημάτων BM. ‖ 6. μὲν γάρ. γὰρ om. S. — 6, 3. κλίνης. κλείνης M. ‖ ἁλουργέσι. ἁλουργίσι P, ἁλουργεῖσι M. ‖ 4. θρηνούμενος. θρυλούμενος eadem manu superscript. in S. ‖ 5. τράχηλον. τράχη C. ‖ ἀποκλίνων. ἀποκλείνων M, ὑποκλίνων (sed υ in rasura) S. ‖ 6. λευκὸς καὶ τρέμων, τὸ σῶμα πελιδνός. λευκὸς τὸ σῶμα καὶ τρέμων πελιδνὸς S. malim λευκὸς τὸ σῶμα καὶ τρέμων, τὸ χρῶμα (facie) πελιδνός. ‖ τοὺς PH, τοὺς δὲ reliq. ‖ 10. μηδενὸς κατέχοντος. imo μηδενὸς κακοῦ τυχεῖν ἔστιν. ‖ 11. εὐδίας. εὐδείας B. ‖ ἐπεχούσης. οὔσης S. — 7, 3. τύχοι P. Boisson. Anecdot. T. II, p. 339, τύχῃ reliq. ‖ ταράττει. πράττει P. ‖ δὲ om. P. ‖ ἐγγὺς om. S. ‖ 4. θεατῶν. θεάτρων PCH. ‖ 5. ὁδοῦ. οὐδὲ P. ‖ 8. μολίβδου MH, μολίβου C, μολύβδου reliq. ‖ 9. προσῆκον. sic dedi. προσῆκεν reliqui. ἐπιμελεῖσθαι vel ἀντέχι-

πλεῖστα δὲ πράγματα διοικοῦντι, ἐλαχίστην δὲ σχολὴν ἄγοντι, ὑπὲρ μεγίστων δὲ καὶ πλείστων φροντίζοντι;

ΛΟΓΟΣ ξγ.

ΠΕΡΙ ΤΥΧΗΣ ΠΡΩΤΟΣ ΛΟΓΟΣ.

1 *Οἱ ἄνθρωποι ἐοίκασι πρὸς τὴν τύχην διακεῖσθαι, ὃν* 321 R II.
τρόπον οἱ πλέοντες πρὸς τοὺς ἀνέμους τοὺς φορούς. ἄσμενοι γὰρ προσκαρτεροῦσι τῷ δρόμῳ, καὶ οἷς ἂν ὁ ἄνεμος παρῇ, ἐκεῖνοι ἦλθον ὅπου ἤθελον, οἱ δὲ ἀπολειφθέντες ἐν πελάγει μέσῳ μάτην ὀδύρονται. οὕτως οὖν καὶ τῆς τύχης παρούσης μὲν χαίρειν καὶ ἥδεσθαι τοὺς ἀνθρώπους, μὴ παρούσης δὲ λύπην ἔχειν καὶ ἀπορίαν ἀπαντᾷ. πάντα γὰρ ἐκ τῆς δαίμονος ταύτης. καὶ γὰρ τὸ ἄπορον εὔπορον φαίνεται καὶ τὸ ἀσθενὲς ἰσχυρὸν
2 *καὶ τὸ αἰσχρὸν καλὸν καὶ ἡ πενία γίνεται πλοῦτος. τύχης* 590 M.
γοῦν ἐν θαλάττῃ γενομένης εὐπλοεῖ ναῦς καὶ ἐν ἀέρι φανείσης εὐτυχεῖ γεωργός. καὶ ψυχὴ γέγηθεν ὑπὸ τῆς τύχης γεωργουμένη· εἰ δὲ ἀπολίποι τύχη, περίεισιν ὡς ἐν τάφῳ τῷ σώματι. οὔτε γὰρ εἰ λέγοι τις, εὐδοκιμεῖ, οὔτε εἰ πράττοι τις, ἐπιτυγχάνει, οὐδὲ ὄφελός τι εὐφυῇ γενέσθαι ἀπολιπούσης τύχης. ταύτης γὰρ μὴ παρούσης οὐκ ἦλθε παιδεία οὐδὲ

σθαι προσῆκεν Reisk. ‖ 11. *μεγίστων δέ. δὲ μεγίστων* PH.

Orat. LXIII. Collati sunt BCMH (hic cum ed. Ven.). — 1, 1. *πρός. περὶ* H. ‖ 2. *φορούς* Reisk, *σφοδρούς* reliq. ‖ 5. *τῆς* om. H. ‖ 7. *ἀπαντᾷ. πάντα γάρ.* sic dedi. *ἀπαντᾷ* r, *πάντα γὰρ* BCMHA, *πάντα* vm, unde Casaubonus *οἷς ἀνῆπται* vel *οὕτω πάντα ἀνῆπται.* Pflugkio Reiskiana emendatio ideo displicet, quod ei v. *ἐκ τῆς δαίμονος ταύτης* cum verbis *μὴ παρούσης τύχης* pugnare visa sunt. ipse sic scribit: *οὕτως οὖν εἰκὸς καὶ* et deinde *πάντα δ'.* — 2, 2. *ἀέρι. ἀγρῷ* Geelius. ‖ 3. *εὐτυχεῖ. εὐτυχεῖς* M. ‖ 4. *γεωργουμένη.* possit *πτερουμένη* vel *γαυρουμένη* vel *γοργουμένη* vel *αἰωρουμένη.* conf. Obs. p. 59. et Progr. p. 31. vulgatam defendit Iacobsius. ‖ *περίεισιν* BM. marg. m, *περίῃσιν* C, *περιΐησιν* reliqui. malim *περίεστιν.* conf. Progr. l. l. ‖ 5. *τις. τι* Reisk. ‖ *εὐδοκιμεῖ. ἐπαινεῖν δοκεῖ* BM (corr. *ἐπαινεῖν εὖ δοκεῖ,* mrg. *ἐπαινεῖν εὐδοκιμεῖ*), mrg. m. ‖ 6. *τι. τινὶ* Reisk. ‖ 7. *ἦλθε. ἀνθεῖ* Geel.

ἄλλο τι ἀγαθόν. ἀλλὰ μὴν καὶ ἀρετὴ τότε ἔργων ἕνεκεν 325 R II.
θαυμάζεται, ὅταν πάρα τύχη· εἰ δὲ ἀφεθείη μόνη, λόγος
ἐστὶ καλοῦ πράγματος ἄπρακτος. αὕτη πολεμούντων μέν ἐστι
νίκη καὶ εἰρήνην ἀγόντων ὁμόνοια καὶ γαμούντων εὔνοια καὶ
ἐρώντων ἡδονὴ καὶ ὅλως ἡ ἐπὶ παντὶ τῷ γινομένῳ εὐπραγία.
3 γῆν ὅταν καταλίπῃ τύχη, τότε καὶ σείεται καὶ τρέμει καὶ τὰ
ἐπ' αὐτῆς καλὰ διαῤῥιπτεῖ. καὶ τοῦτο γῆς νόσημα, μὴ παρού-
σης τύχης. ὡς γὰρ ναῦς εἰκῇ φέρεται καὶ ταχὺ βυθίζεται
κυβερνήτου στερομένη, καὶ ὡς τείχη κατέπεσε θεμελίων πο-
νησάντων, οὕτω πόλις εἰς φθορὰν ὅλη χωρεῖ σπάνει τύχης.
Ἀθῆναί ποτε εἰς ῥήτορας ἠδικήθησαν καὶ ἤγετο Δημοσθένης
οὐκέτι τῆς τύχης ἐπισκοπούσης τὰς Ἀθήνας. ἐμοὶ δοκεῖ καὶ
4 οὐρανὸς τύχην ἔχειν, ὁπότε ἂν αἰθρίαν ἔχῃ, μὴ σκότος. ὁρᾶν
δὲ χρὴ καὶ τὸ εὐμήχανον αὐτῆς. ἤδη γοῦν τις ἐκπεσὼν νεὼς
ἐν πελάγει εὐπόρησε τοῦ ζῆν ἐλθούσης τύχης. ἄξιον δὲ εἰπεῖν
καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης Ἀπελλῇ τῷ ζωγράφῳ. ὡς γὰρ
λόγος, ἵππον οὐχὶ ἐξ ἐργασίας, ἀλλὰ ἐκ πολέμου ἐποίει. ὑψη-
λὸς οὖν τῷ αὐχένι καὶ ἐπανεστὼς καὶ τὰ ὦτα ὄρθιος καὶ
δριμὺς τὰς ὄψεις, ὡς ἐκ πολέμου παρών, τὸν ἐκ τοῦ δρόμου 326 R II.
θυμὸν ἐν ταῖς ὄψεσιν ἔχων, οἱ δὲ πόδες ἀνεφέροντο ἐν τῷ
ἀέρι μικρὰ ψαύοντες καὶ ἀνὰ μέρος τῆς γῆς, καὶ ὁ ἡνίοχος
ἐκράτει τοῦ χαλινοῦ τὸ πολεμικὸν σάλευμα τοῦ ἵππου ἀπὸ
5 ῥυτῆρος ἄγχων. ἅπαντα δὲ ἐχούσης τῆς εἰκόνος ἐοικότα

8. ἔργων. ἔργον C. ‖ ἕνεκεν. ἕνεκα B. v. ‖ 9. πάρα. παρῇ CH. Geel., παρατύχῃ marg. m, παραγένηται (vel παραστῇ) Reisk. ‖ 12. ἐρώντων. ἐρόντων C. ‖ γινομένῳ. γενομένῳ C. — 3, 1. ὅταν. sic dedi. ὅτε ἂν reliq. ‖ 2. διαῤῥιπτεῖ. διαῤῥίπτει H, διαῤῥεῖ vel διαῤῥιπτεῖται vel διαπίπτει Reisk. ‖ καὶ τοῦτο γῆς νόσημα. malim καὶ πόλεως τοῦτο νόσημα. aliquid vitii hic latere non fugit Geelium. ‖ 4. στερομένη. στερουμένη CH. ‖ 5. οὕτω. οὕτως C. ‖ ὅλη χωρεῖ M, ὅλη om. reliq. ‖ 6. ἠδικήθησαν. ἠτύχησαν Reisk., malim ἠδικήσαν. ‖ 7. ἐμοὶ. ἐμοὶ δὲ M. ‖ 8. οὐρανὸς M. Reisk., οῦνὸς CH, ἀνθρώπους reliqui, unde τοὺς ἄνω τόπους Seldenus (idem mox αἰθρία ἂν ᾖ pro αἰθρίαν ἔχῃ), αἰθήρ πως Iacobsius, at praefert οὐρανός. — 4, 3. ἐλθούσης. θελούσης vel ἐλεούσης Reisk. ‖ τύχης. τῆς τύχης CH. ‖ 4. τὸ om. B. ‖ Ἀπελλῇ. ἀπελλῆς M. ‖ ὡς γὰρ CMH, ὡς B. marg. m, καὶ γὰρ reliqui, unde καὶ γὰρ λόγος, ὡς vel καὶ γὰρ οὗτος Reisk., καλὸς γὰρ (vel χαρίεις γὰρ) Iacobs. ‖ 6. οὖν τῷ M, οὖν αὐτῷ C, ἦν τῷ reliq. ‖ 8. ἀνεφέροντο. ἐπεφέροντο B, in M primae literae in rasura. ‖ 9. καὶ ἀνά. καὶ om. H, in M a corr. add. ‖ 10. τοῦ ἵππου. τῆς ἵππου M. ‖ 11. ἄγχων om. M.

ἔλειπεν ἀφροῦ χρῶμα, οἷον ἂν γένοιτο μιγέντος αἵματος καὶ 591 M
ὑγροῦ κατὰ συνεχῆ μῖξιν, διώκοντος μὲν τοῦ ἄσθματος τὸ
ὑγρὸν τῶν στομάτων, ἀφρίζοντος δὲ τῇ κοπῇ τοῦ πνεύματος,
αἷμα δὲ ἐπιῤῥαινούσης τῷ ἀφρῷ τῆς ἐκ τοῦ χαλινοῦ ὕβρεως.
οὐ δὴ εὐπόρει γράφειν ἵππου ἀφρὸν κεκμηκότος ἐν ἀγῶνι.
ἀπορῶν δὲ ἐπὶ πλέον, τέλος ἀπαλγήσας ἐνέσεισε περὶ τοὺς χα-
λινοὺς τῇ γραφῇ τὴν σπογγιάν. πολλὰ δὲ αὕτη ἔχουσα χρώ-
ματα ἐοικότα ἀφρῷ ἡμαγμένῳ ἐφήρμοσε τῇ γραφῇ τὸ χρῶμα.
Ἀπελλῆς δὲ ἰδὼν ἐχάρη τῷ ἐν ἀπογνώσει τύχης ἔργῳ καὶ ἐτέ-
λεσεν οὐ διὰ τῆς τέχνης, ἀλλὰ διὰ τῆς τύχης τὴν γραφήν.
6 τί δὲ ἄλλο Ἡρακλέα μέγιστον ἐποίησεν; ἀλλὰ γὰρ καὶ λέοντα
ἄγξας ἔπνιξε, καὶ πτηνὰ ζῷα ἐδίωξε τοῦ ἀέρος, καὶ τοῦ ἕλους
τὴν ὕδραν ἀφείλετο συντρίψας αὐτῆς τὰς κεφαλάς, καὶ οὐκ
ἐφόβησεν αὐτὸν ὁ περὶ τὸν Ἐρύμανθον κάπρος, ἀλλὰ καὶ ἐπὶ
τὴν ἑσπέραν ἦλθε καὶ τοῦ ἐκεῖ φυτοῦ τὸν καρπὸν ἐκόμισε,
Γηρυόνου δὲ τὰς βόας ἀφείλετο καλὰς οὔσας, καὶ Διομήδη
τὸν Θρᾷκα ἐνουθέτησεν ἵπποις σῖτον διδόναι, μὴ ἀνθρώπους, 327 R II.
ἐσθίειν, τάς τε Ἀμαζόνας, ὅτι εἶεν γυναῖκες, ἤλεγξεν. ἅπαντα
7 δὲ ταῦτα ἔπραττεν ἑπομένης αὐτῷ τύχης. ἔχει δ' οὐ κακῶς
οὐδὲ τὰ τῶν παλαιῶν αἰνίγματα περὶ αὐτήν. οἱ μὲν γὰρ ἐπὶ
ξυροῦ ἔστησαν αὐτήν, οἱ δὲ ἐπὶ σφαίρας, οἱ δὲ πηδάλιον
ἔδωκαν κρατεῖν, οἱ δὲ τὰ κρείττω γράφοντες τὸ τῆς Ἀμαλ-
θείας ἔδοσαν κέρας πλῆρες καὶ βρύον ταῖς ὥραις, ὃ ἐν μάχῃ
Ἡρακλῆς Ἀχελῴου ἀπέῤῥηξεν. τὸ μὲν οὖν ξυρὸν τὸ ἀπότομον
τῆς εὐτυχίας μηνύει, ἡ δὲ σφαῖρα, ὅτι εὔκολος ἡ μεταβολὴ
αὐτῆς ἐστιν· ἐν κινήσει γὰρ τυγχάνει πάντοτε ὂν τὸ θεῖον·
τὸ δὲ πηδάλιον δηλοῖ, ὅτι κυβερνᾷ τὸν τῶν ἀνθρώπων βίον
ἡ τύχη, τὸ δὲ τῆς Ἀμαλθείας κέρας μηνύει τὴν τῶν ἀγαθῶν

5, 2. ἔλειπεν M, ἔλιπεν reliq. ‖ 3. διώκοντος. διώκον C. ‖ 5. ἐπιῤῥαινούσης. ἐπιῤ-ῥαίνοντος B. m (sed mrg. m vulg.). ‖ χαλινοῦ. χαλεινοῦ M. ‖ 6. ἀφρὸν. ἀφρὸν μὴ H. ‖ 7. ἀπαλγήσας. ἀπαλλαγεὶς M. ‖ 8. τῇ γραφῇ Reisk., τῆς γραφῆς reliq. ‖ 10. τῷ. τὸ CH. ‖ ἔργῳ. ἔργον CH. ‖ 11. τῆς τέχνης. τῆς om. H. — 6, 1. τί δὲ CMH. Reisk., τί δέ; ἢ Iacobs., τί δαὶ reliq. ‖ ἀλλὰ γάρ. ἅμα γὰρ vel ὄφεις γὰρ Reisk. ‖ 2. ἄγξας. ἄξας M. ‖ 3. ἀφείλετο. ἀφείλατο M. ‖ 4. κάπρος. καὶ πρὸς M. ‖ 6. Γηρυόνου. γηρυώνου M. ‖ τάς. τοὺς H. ‖ βόας. βοῦς H, φώνας, sed superscr. βόας C. ‖ ἀφείλετο. ἀφείλατο M. ‖ καλὰς οὔσας. καλοὺς ὄντας H. ‖ Διομήδη BCM, Διομήδην reliq. ‖ 7. ἀνθρώπους. ἀνθρώπους δὲ H. ‖ 9. τύχης. τῆς τύχης H. — 7, 3. σφαίρας. σφέρη C. ‖ 4. Ἀμαλθείας. ἀμαλθίας M. ‖ 10. Ἀμαλθείας. ἀμαλθίας M.

δόσιν τε καὶ εὐδαιμονίαν. μὴ ὀνομάζωμεν οὖν κακήν τινα τύχην· οὐδὲ γὰρ τὴν ἀρετὴν λέγει τις εἶναι κακὴν οὐδὲ τὸ ἀγαθὸν κακόν.

ΛΟΓΟΣ ξδ.

ΠΕΡΙ ΤΥΧΗΣ ΔΕΥΤΕΡΟΣ.

1 *Τὰ γινόμενα παρὰ τῶν ἀνθρώπων εἰς τὴν τύχην ἐγκλή-* 328 R II. 592 M.
ματα μέγιστα ἂν ἔγωγε θείην ὑπὲρ αὐτῆς ἐγκώμια. τὰς γοῦν
ἀδήλους τῶν πραγμάτων μεταβολὰς εἰς ταύτην ἀναφέρουσι,
καὶ οἷς ἀπὸ γνώμης ἐπιχειρήσαντες διήμαρτον, τούτων ἀφη-
ρῆσθαι νομίζουσιν ὑπὸ τῆς τύχης ὡς πάντα περιποιεῖν, εἰ
θελήσαι, δυναμένης. ἀκούσαις δ' ἂν αἰτιωμένων αὐτὴν καὶ
γεωργῶν καὶ ἐμπόρων καὶ πλουσίων ἐπὶ τοῖς χρήμασι καὶ
καλῶν ἐπὶ τοῖς σώμασι καὶ Πανθείας ἐπὶ τῷ ἀνδρὶ καὶ Κροί-
σου ἐπὶ τῷ παιδὶ καὶ Ἀστυάγους ἡττηθέντος καὶ Πολυκρά-
τους ἑαλωκότος. καὶ Πέρσαι δὲ ἐμέμφοντο τὴν τύχην μετὰ
τὴν Κύρου σφαγὴν καὶ Μακεδόνες μετὰ τὴν Ἀλεξάνδρου τε-
2 *λευτήν. ἤδη δέ τινα καὶ τῶν ἰδίων παθῶν τῇ τύχῃ προφέ-*
ρουσιν, ἡ Μήδεια τὸν ἔρωτα, ὁ Μίδας τὴν εὐχήν, ἡ Φαίδρα
τὴν διαβολήν, ὁ Ἀλκμαίων ὅτι ἐπλανᾶτο, ὁ Ὀρέστης ὅτι ἐμαί-
νετο. ἐρῶ δὲ ὑμῖν τινα καὶ Κύπριον λόγον, εἰ βούλεσθε.
ἤνεγκεν ὁ παλαιὸς βίος καὶ ἐνδόξους γυναῖκας, Ῥοδογούνην
πολεμικήν, Σεμίραμιν βασιλικήν, Σαπφὼ μουσικήν, Τιμάν-
δραν καλήν· οὕτω καὶ ἐν Κύπρῳ Δημώνασσα ἐγένετο, πολι-

11. *ὀνομάζωμεν. ὀνομάζομεν* C.

Orat. LXIV. Collati sunt BCMH (hic cum ed. Ven.). — 1, 2. *τάς. τὰ* M. ‖ 4. *ἀφηρῆσθαι* M, *ἀφαιρεῖσθαι* reliq. ‖ 5. *ὑπὸ* Reisk., *ἀπὸ* reliq. ‖ *εἰ θελήσαι. ἐθελῆσαι* BM, *εἰ θελήσει* H. — 2, 1. *προφέρουσιν* H. Boisson. ad Eunap. p. 368, *προσφέρουσιν* CM, *προσφέρουσι* reliq. ‖ 2. *Μίδας. Μήδας* B. ‖ 3. *ὅτι* M, *ὅτ'* Geel., *ὅταν* reliq. ‖ *ὅτι* M, *ὅτε* reliq. ‖ 7. *Δημώνασσα* CMH. Pflugk., *Δημόνασσα* reliq.

3 τική τε ὁμοῦ γυνὴ καὶ νομοθετική. τρεῖς ἔθηκεν αὕτη τοῖς
Κυπρίοις νόμους. τὴν μοιχευθεῖσαν κειραμένην πορνεύεσθαι.
θυγάτηρ αὐτῆς ἐμοιχεύθη καὶ τὴν κόμην ἀπεκείρατο κατὰ
τὸν νόμον καὶ ἐπορνεύετο. τὸν αὐτὸν ἀποκτείναντα ἄταφον
ῥίπτεσθαι· δεύτερος οὗτος Δημωνάσσης νόμος· τρίτος ὥστε 329 R II
μὴ ἀποκτεῖναι βοῦν ἀρότριον. δυοῖν δὲ αὐτῇ παίδων ἀῤῥένων
ὄντων ὁ μὲν ἐπὶ τῷ βοῦν ἀποκτεῖναι ἀπέθανε, τὸν δὲ αὐτὸν
4 ἀποκτείναντα οὐκ ἔθαψεν. ἡ δὲ τέως μὲν ἐκαρτέρει καὶ
ἄπαις οὖσα καὶ νομοθετοῦσα, ἰδοῦσα δὲ βοῦν ἐπὶ μόσχῳ
ἀπολλυμένῳ μυκωμένην καὶ τὴν ἑαυτῆς ἐν ἄλλῳ συμφορὰν
γνωρίσασα, τήξασα χαλκὸν εἰς αὐτὸν ἥλατο. καὶ ἦν ἐκεῖ 593 M
πύργος ἀρχαῖος ἀνδριάντα χάλκεον ἔχων χαλκῷ ἐντετηκότα
καὶ πρὸς ἀσφάλειαν τοῦ ἱδρύματος καὶ πρὸς μίμημα τοῦ διη-
γήματος· ἐπιγραφὴ δὲ ἐπί τινος στήλης πλησίον·

σοφὴ μὲν ἤμην, ἀλλὰ πάντ' οὐκ εὐτυχής.

5 φέρε οὖν μὴ ἐρήμην ἡ τύχη ἁλισκέσθω μηδὲ φοβώμεθα τὸν
τῶν κατηγορούντων θόρυβον. ἴσως γὰρ ἄν τι ἡμῖν πρὸς τὸ
εἰπεῖν εὖ καὶ αὐτὴ συλλάβοιτο. δοκοῦσιν οἱ τεχνῖται [πρῶ-
τον] τῷ τρόπῳ τῆς κατασκευῆς τὴν δύναμιν αὐτῆς δεδηλω-
κέναι. πρῶτον μὲν γὰρ ἕστηκεν ἑτοίμη πρὸς τὰ ἔργα· εἶτα
τῇ μὲν δεξιᾷ χειρὶ πηδάλιον κατέχει καί, ὡς εἴποι τις, ναυ-
τίλλεται. τί δαὶ ἄρα τοῦτο ἦν; πότερον ὡς μάλιστα τῶν
πλεόντων τῆς τύχης δεομένων, ἢ διότι τὸν βίον ἡμῖν ὥς τινα
μεγάλην ναῦν κυβερνᾷ καὶ πάντας σώζει τοὺς ἐμπλέοντας,
Ἀσσυρίους μέχρι τῆς Σαρδαναπάλου τρυφῆς, Μήδους μέχρι
τῆς Κύρου τροφῆς, Πέρσας μέχρι τῆς διαβάσεως, Ἀθηναίους
μέχρι τῆς ἁλώσεως, Κροῖσον μέχρι Σόλωνος;

6 ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ.

3, 1. αὕτη. αὐτὴ CM. ‖ 2. κειραμένην B, κειρομένην reliq. ‖ 5. Δημωνάσσης MH, Δημονάσσης reliq. ‖ ὥστε μὴ BMH, ὥστε μὴν C, μὴ reliq. ‖ 6. ἀρότριον BM, ἀρότην H, ἀροτῆρα reliq. ‖ 7. αὐτόν. ἑαυτὸν CH, αὐτὸν M. ‖ 8. ἔθαψεν. ἔθαψαν CH. — 4, 3. μυκωμένην. μυχωμένην C. ‖ 5. χάλκεον CMH, χάλκειον reliq. ‖ 6. μίμημα CMH, μνήμην reliq. ‖ 7. δὲ CMH, δὴ B. vm, δ' ἦν r. — 5, 1. φοβώμεθα. φοβούμεθα M. ‖ 3. εὖ καὶ αὐτὴ συλλάβοιτο. σοι (mrg. εὖ) καὶ αὐτὴ συλλάβοιο M, καὶ σὺ καὶ αὐτὴ συλλάβοιο B. mrg. m, εὖ καὶ αὐτὴ συλλάψῃ C, εὖ καὶ αὐτὴ συλλάβοι H. ‖ [πρῶτον]. πρώτῳ BM, videtur delendum. ‖ 6. τῇ. τῆς M. ‖ τις. malim τις ἄν. ‖ 7. δαί. δὲ MH. ‖ ὡς μάλιστα om. B. ‖ 8. ἡμῖν. ἡμῶν H. ‖ 9. ἐμπλέοντας BM (corr. πλέοντας). H, συμπλέοντάς C, πλέοντας reliq. — 6, 1. ἦν. primus versus Antigonae Euripideae. conf. Matth. fragm. 9. p. 59. et Dind. P. S. p. 81. Geelius.

ἡ τύχη γὰρ αὐτῷ τὸ μηδὲν παθεῖν περιποιουμένη τὸ ἀγνοεῖν 330 R II.
ἔδωκεν, ὅπερ ὅμοιον ἦν τῷ μὴ παθεῖν. εἶτα ἅμα τῆς εὐτυχίας ἐπαύσατο καὶ τοῦ γινώσκειν ἤρξατο. ἐγὼ καὶ τὴν ἐκείνου πήρωσιν εὐτυχίαν καλῶ. Τέλλος μὲν γὰρ βλεπέτω τοὺς παῖδας καὶ Κυδίππη καὶ Αἰόλος καὶ εἴ τις ἄλλος ἦν πατὴρ εὐτυχής· Οἰδίπους δὲ ἐκ τῆς πηρώσεως

αἰσχρὰ κερδανεῖ θεάματα.

7 τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν ἡ θεὸς καρποὺς ἑτοίμους κατέχει συνειλεγμένους, μηνύουσα τὸ πλῆθος τῶν ἀγαθῶν, ἅπερ αὐτὴ δίδωσιν. τοῦτο ἦν ἄρα καὶ χρυσοῦν γένος καὶ νῆσοι μακάρων τινὲς αὐτομάτας ἔχουσαι τροφὰς καὶ Ἡρακλέους κέρας καὶ Κυκλώπων βίος, ὅ τι τοῖς πονήσασι τὸν βίον ἐπὶ τῆς δεξιᾶς χειρὸς δεδήλωκεν, ὡς αὐτομάτη λοιπὸν ἡ τῶν ἀγαθῶν 594 M.
ἀφθονία παραγίνεται. Τάνταλος δὲ ἄρα ἐπὶ γήρως ἀργὸς ἦν· διὰ τοῦτο ἄρα μέχρι τῶν χειλῶν ηὐδαιμόνει καὶ τοῖς ὀφθαλμοῖς μόνον ηὐτύχει· τὰ πάντα δὲ ἐκεῖνα ἁρπασθέντα οἴχεται, καὶ λίμνη καὶ καρποὶ καὶ τροφὴ καὶ ποτὸν, ὑπὸ τῆς
8 τύχης, οὕτω γ᾽ ὡς ὑπὸ πνεύματος. ὠνόμασται δὲ ἡ τύχη καὶ πολλοῖς τισιν ἐν ἀνθρώποις ὀνόμασι· τὸ μὲν ἴσον αὐτῆς νέμεσις, τὸ δὲ ἄδηλον ἐλπὶς, τὸ δὲ ἀναγκαῖον μοῖρα, τὸ δὲ δίκαιον θέμις, πολυώνυμός τις ὡς ἀληθῶς θεὸς καὶ πολύτροπος. ταύτῃ ἐπέθεσαν καὶ γεωργοὶ Δήμητρος ὄνομα καὶ ποιμένες Πανὸς καὶ ναῦται Λευκοθέας καὶ κυβερνῆται Διοσκόρων.

ῥεῖα δ᾽ ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ᾽ ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει.

9 τοῦτο ἄρα ἦν ὁ Ζεὺς, ἡ τύχη, κατέχων μὲν ἐπὶ τῆς δεξιᾶς τὸ 331 R II.
ὅπλον, ἐπὶ δὲ τῆς ἀριστερᾶς τὸ σκῆπτρον, ὅτι τοῖς πολεμικοῖς

2. περιποιουμένη CH, περιποιησαμένη reliqui. possit περιποιησομένη. ‖ 4. τοῦ. τὸ B. ‖ ἐκείνου. ἐκεῖ C. ‖ 5. Τέλλος Casaub., πέλλος H, τέλος reliq. ‖ 8. κερδανεῖ. κερδαίνει M, κερδαίνειν H. — 7, 1. κατέχει. παρέχει mrg. m. ‖ 5. ὅ τι. sic dedi. ὅτι reliqui. ἃ vel ὃ Geelius, delebat Pflugk. ‖ πονήσασι. πονήμασι (corr. vulg.) M. ‖ 7. παραγίνεται BCM (mrg. παρέχεται), παραγίγνεται H, παρέχεται vm, παρέρχεται Selden. r. ‖ ἐπὶ γήρως. ἐπεί, εἰ καὶ ἥρως vel ἐπεί γ᾽ ἥρως Selden., ἐπὶ γῆς Pflugk. ‖ 8. χειλῶν CH, χείλων M, χειλέων reliq. ‖ ηὐδαιμόνει. εὐδαιμόνει B. ‖ 10. οἴχεται. οἴχεσθαι (corr. vulg.) M. ‖ ποτὸν BCM, ποτὸς reliq. ‖ 11. οὕτω CM, οὕτως reliq. — 8, 2. νέμεσις. νέμησις C. ‖ 6. Διοσκόρων BCMH, Διοσκούρων reliq. ‖ 7. ἄδηλον. αἴδηλον M. ‖ ἀέξει. ἄξει M. ‖ 8. δέ τ᾽. δί τ᾽ C. — 9, 1. τοῦτο ἄρα. τοῦτο δρᾷ C.

τῶν ἀνθρώπων καὶ βασιλείαν δίδωσιν. εἶτα Εὐριπίδης τὸν ναύτην μέμφεται,

ἀωρὶ πόντου κύματ' εὐρέος περῶντα·

καὶ διὰ τῶν ἑξῆς ἐπιτιμᾷ λέγων, ὅτι

σμικραῖς ἐπιτρέπουσιν αὐτοὺς ἐλπίσιν.

10 ὦ παῖ Μνησαρχίδου, ποιητὴς μόνον ἦσθα, σοφὸς δὲ οὐδαμῶς. οὔτε γὰρ πίττῃ τὴν ψυχὴν οὔτε σχοινίοις ἐπιτρέπουσιν οὔτε τριδάκτυλον αὐτοὺς σώζει ξύλον πεύκινον, ἀλλ' ἐπέτρεψαν βεβαίῳ καὶ μεγάλῳ πράγματι, τῇ τύχῃ. ἀσθενὴς μὲν πλοῦτος, ἂν τύχη μὴ παρῇ, ἀβέβαιον δὲ φιλία, μὴ συλλαμβανούσης τύχης. αὕτη σώζει καὶ τὸν νοσοῦντα ἐν τῷ λέχει καὶ τὸν νηχόμενον ἐν τῇ θαλάσσῃ καὶ τὸν Ἀγαμέμνονα ἐπὶ τῶν χιλίων νεῶν καὶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σχεδίας φερόμενον.

11 τί δέδοικας, ὦ δειλέ; τὸ μῆκος τῆς θαλάσσης φοβῇ; ὄψεται μέν σε ὁ Ποσειδῶν καὶ παρακαλέσει τοὺς ἀνέμους καὶ τὴν 595 M
τρίαιναν λήψεται καὶ πάσας ὀροθυνεῖ τὰς ἀέλλας, οὐκ ἀποκτενεῖ δὲ σέ. ἡ τύχη γὰρ οὐ βούλεται.

οὕτως νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης.

12 θεοῦ λόγος ὑπὸ τύχης νενικημένου. αὕτη καὶ τὸ τῶν ὑμετέ- 332 R II

3. Εὐριπίδης. conf. Valcken. Diatr. c. 22. p. 238 f. ‖ 5. εὐρέος BH, εὐρέως reliq. ‖ 6. διὰ τῶν. δι' αὐτῶν C. ‖ ἐπιτιμᾷ BCH. r, ἐπίτιμα M, ἐπιτίμα v, ἐπετίμα m. ‖ 7. αὑτούς. αὐτοὺς M. — 10, 1. Μνησαρχίδου. μνησαρχιδάμου CH. ‖ μόνον. μὲν μόνον B, μὲν Valck. ‖ 2. οὔτε. sic dedi. οὐδ' M, οὐδὲ reliq. ‖ γὰρ om. MH. ‖ πίττῃ. πίστῃ CH, πίπτῃ m, ἐπιστήμων M. ‖ ψυχὴν οὔτε. ψυχὴν ὡς οὔτε H. ‖ 3. αὐτοὺς om. CH. In his versus reliquias latere intellexit Bergl. ad Alciphr. I, Ep. 3. p. 17, et Valcken. l. l. ‖ 4. μὲν CM, μὲν γὰρ reliq. ‖ 6. σώζει καί. καὶ om. B. ‖ λέχει Casaub. r, τέλει reliqui. τεμένει vel (τῇ) πόλει Reisk. ‖ 7. θαλάσσῃ CM, θαλάττῃ reliq. — 11, 1. θαλάσσης CM, θαλάττης reliq. ‖ 3. ὀροθυνεῖ. ὀροθύνει B. ‖ ἀέλλας. θυέλλας mrg. H. ‖ ἀποκτενεῖ CM, ἀποκτείνει reliq. ‖ 4. οὐ βούλεται. οὐ om. C. ‖ 5. κακὰ πολλά. πολλὰ κακὰ BCM. ‖ ἀλόω H, ἀλῷς B, τἀλόω (mrg. ἀλῶο) M, τ' αλῶο v, κ' αλῷο m, ἀλοῶ C. r. conf. Hom. Od. 5, 377. ‖ 6. εἰσόκεν. εἰς ὅκεν BM. ‖ μιγείης. μιγείη M (corr. vulg.), μιγείην r. — 12, 1. θεοῦ λόγος M, ὁ λόγος CH, ὁ δὲ λόγος reliq. ‖ αὕτη καὶ τὸ τῶν. sic dedi. αὐτῇ. τούτων καὶ τῶν B, αὕτη. τούτων καὶ τῶν CM (corr. αὐτὴ pro αὕτη). H (nisi quod αὐτὴ habet), αὐτοῦ ᾗ. τούτων καὶ τῶν reliqui. unde Reiskius locum sic constituit: ὁ δὲ λόγος ὑπὸ τύχης νενικημένου ἀνθρώπου ἦν. οὕτω καὶ τῶν ὑμετέρων. Iacobsius pro vulgato οὕτω καὶ τῶν malebat τοιοῦτον καὶ τῶν. Pflugkius in prioribus Reiskium secutus sequentia sic scribit: τοιοῦτον καὶ τὸ τῶν ὑμετέρων προγόνων· ὧν ἀρχαῖον ἦν γένος (et infra αὐχούντων). denique Geelius: ὁ δὲ λόγος ὑπὸ τύχης

ρων προγόνων ἀρχαῖον γένος τῶν αὐτοχθόνων καὶ πρώτων Ἀθηναίων, μητέρα μὲν τὴν γῆν αὐχοῦντας, τροφὸν δὲ τὴν Δήμητραν, ἐπώνυμον δὲ καὶ σύμμαχον τὴν Ἀθηνᾶν, τὸ μὲν πρῶτον τῶν Ἀθηνῶν εἰς Εὔβοιαν ἐξήγαγεν. ὡς δ' ἐκεῖ μένοντας αὐτοὺς οὔτε ἡ θάλασσα τέρπειν οὔτε ἡ γῆ τρέφειν ἐδύνατο καὶ οὐδὲ τὸ αἰσχρὸν ἔφερον τοῦ πράγματος, ἀντ' ἠπειρωτῶν νησιῶται γενόμενοι, δεύτερον ἡ τύχη κρεῖσσον
13 ἐβουλεύσατο. σεμνὴ μὲν γὰρ Εὔβοια ὡς ἀληθῶς· ἀλλὰ τίς ὑμῶν φέρειν ἠδύνατο γῆν τραχεῖαν κατοικῶν ἢ θαλάσσῃ στενῇ παροικῶν καὶ πολλὰς ἀνεχόμενος τῶν πραγμάτων μεταβολάς, τῶν ἐν τῷ ῥεύματι γινομένων πλείονας; νῦν Βοιωτοὺς ἔδει φέρειν καὶ τὴν Θηβαίων ἀναισθησίαν, εἶτα Ἀθηναίους, οὐκέτι ὡς παισὶν ὑμῖν, ἀλλ' ὡς δούλοις χρωμένους. διὰ 333 R II.
τοῦτο ἀγαγοῦσα ἐνθάδε ἵδρυσε, τῇ ἑτέρᾳ μὲν τῶν χειρῶν μηχανωμένη τε τὸν πλοῦν καὶ κατιθύνουσα, τῇ δὲ τοὺς καρποὺς ἀφθόνως διδοῦσά τε καὶ δωρουμένη. τὴν μὲν οὖν τῶν
14 λοιπῶν γνώμην εἰκάσαι χαλεπόν ἐστιν. ἐγὼ δέ, ὦ τύχη· πρὸς σὲ γὰρ δικαίως ἂν ἴσως ῥηθείη ὁ λόγος· εἴ μέ τις ὑψηλὸν ἄρας ἄνω μετέωρον ἐπί τινων ἢ Πηγάσου νώτων ἢ Πέλοπος

νενικημένου θεοῦ ἦν. οὐ τῶν — ut interrogantis. ‖ 2. γένος. sic dedi. ἦν γένος reliq. ‖ πρώτων. πρῶτον CH. ‖ 3. αὐχοῦντας. αὐχοῦντα M, αὐχοῦν vel αὐχούντων Reisk. ‖ τροφὸν. τροφὴν m. ‖ 4. Δήμητραν. Δήμητρα B. ‖ τὸ μὲν. sic dedi. τὸ μὲν γὰρ H. Iacobs. Add. p. 223, τὸν μὲν γὰρ reliqui. Pflugkius haec sic scribit: τὸ μὲν γὰρ πρῶτον τῶν Ἀθηναίων εἷς (vel τῶς τις Ἀθηναίων) εἰς Εὔβοιαν ἐξήγαγεν. ‖ 5. Ἀθηνῶν BCMH. v, Ἀθηναίων mr. Reiskius haec ita tentat: τὸν μὲν γὰρ πρῶτον στόλον Ἀθηνῶν. ‖ ὡς δ' Selden. r, ὥς τ' CM, ὥστ' BH. vm. ‖ μένοντας. γεγονότας Reisk. ‖ 8. νησιῶται. νησῖται M. — 13, 2. ὑμῶν. sic dedi. ἡμῶν reliq. ‖ γῆν r, τὴν reliq. ‖ 4. γινομένων CMH, γιγνομένων B, γενομένων reliq. ‖ Βοιωτούς. βιωτοὺς M. ‖ 6. διὰ τοῦτο BCMH, διὰ δὲ τοῦτο reliqui, unde διὰ δὴ τοῦτο Reisk. ‖ 7. ἀγαγοῦσα. ἀπαγαγοῦσα Iacobs. Add. p. 224. ‖ τῇ ἑτέρᾳ μὲν τῶν Iacobs,, τετραμένων M (corr. τεταμένων), τεταμένων reliqui, unde Vales. p. 75 τῇ μὲν τεταμένων, Obs. p. 60 τῇ μὲν τῶν. possit θατέρᾳ μὲν τῶν. haec ita tentat Pflugkius: μέτρια μὲν τὰ τῶν ὡρῶν μηχανωμένη καὶ τὸν πλοῦν αὐτὴ κατιθύνουσα (vel διὰ μέσων τῶν χειμώνων vel χοιράδων μηχανωμένη αὐτὴ τὸν πλοῦν καὶ ἰθύνουσα). ‖ 8. τε τὸν B. Vales. l. l., μὲν τὸν (mrg. τε καὶ τὸν) M, τε καὶ τὸν reliqui, unde εὐτυχῆ τὸν Iacobs. ‖ καὶ κατιθύνουσα. καὶ om. CH. ‖ τῇ δὲ τοὺς Vales. l. l., τῆς δὲ τοὺς BCMH, vm, γῆς δὲ τοὺς r, τῇ δ' ἐτείους Iacobs. ‖ 9. ἀφθόνως om. CH. ‖ 10. εἰκάσαι. εἰκάσαι καὶ BM (at καὶ obel. notat.). — 14, 2. ὁ λόγος H, ὁ om. reliq. ‖ εἴ μέ M. r, εἰ μὲν reliq. ‖ 3. ἄρας BCMH, ἄραι reliq. ‖ ἐπί τινων H. Geel., ἐπίτινον C, ἐπιτείνων M, ἐπὶ πτηνῶν reliqui, unde vel πτηνῶν vel

πτηνῶν ἁρμάτων ὑποκινῶν τὴν γῆν ἅπασαν καὶ τὰς πόλεις, οὐκ ἂν τὴν Λυδῶν ἑλοίμην τρυφὴν οὔτ' εὐτέλειαν τὴν Ἀττικὴν οὔτε πενίαν Λακωνικήν, οὔτε Κρότωνα· πένονται γάρ· οὔτε Σύβαριν, ὅτι οὐ πονοῦσιν, οὔτε Σκύθας, ὅτι οὐ γεωρ- 596 M.
γοῦσιν, οὔτε Αἰγυπτίους, ὅτι ἄλλοις γεωργοῦσιν.

15 καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσιν.
εὐτυχία ποιμένων. οὐ Θήβας Αἰγυπτίας, 334 R II.
αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
ἱπποκόμων βίος οὗτος καὶ πυλωρῶν.
Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ·
οὐκ ἀρκεῖ μοι βωμὸς θύειν οὐκ ἔχοντι, οὐκ ἀρκεῖ μοι φυτὰ τρέφειν με μὴ δυνάμενα.
τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος·
οὔτε τρηχεῖα αὕτη καὶ κουροτρόφος.

16 δέσποινα δ' ἁπασῶν πότνι' Ἀθηναίων πόλι·
μὴ λέγε, ἄνθρωπε. οὐκέτ' εἰσὶν ἐκεῖνοι δεσπόται.
ὡς καὶ καλόν σου φαίνεται τὸ νεώριον·
ἀλλὰ μεθ' Ἑλλήσποντον καὶ Λύσανδρον αἰσχρόν. 335 R II
καλὸς δ' ὁ Πειραιεύς·
ἔτι γὰρ μετὰ τῶν τειχῶν αὐτὸν βλέπεις.

proximum ἢ delebat Reiskius. Iacobsius πτηνῶν ante ἁρμάτων delebat, Pflugkius ἐπὶ πτερῶν. ‖ 4. ὑποκινῶν. δεικνύων Selden., ἐπικρίνειν Reisk., ὑποκλίνων Iacobs. Add. p. 224, ἐπιδεικνύων Pflugk., malim ὑποδεικνύοι vel ὑποτείνοι vel ὑποφαίνοι. ‖ τὴν delebat Reiskius. idem haec excogitavit: γῆν ἅπασαν κατὰ πόλεις vel γῆν ἅπασαν καὶ πάσας τὰς πόλεις. Iacobsius: γῆν ἅπασαν καὶ πάσας πόλεις. ‖ 6. πένονται offendit Iacobsium. at vide ne in v. πενίαν vitium sit. — 15, 1. καί. οὐδὲ vel οὐ Reisk. ‖ ὅθι τ' BCM, ἵνα τ' reliqui. conf. Od. 4, 85. ‖ 2. ποιμένων. ποιμαίνων M. ‖ οὐ Θήβας Αἰγυπτίας om. CH, in M mrg. add. ‖ 4. ἐξοιχνεῦσι. ἱππεύουσι BM (mrg. vulg.), ἐξιχνεῦσι m. ‖ ἵπποισιν. ἵπποισι B. ‖ 5. οὗτος in M a corr. add. ‖ 6. τοῖον. θῦον H. ‖ παρὰ βωμῷ CH, παραβολῶ M (mrg. περὶ βωμῷ), περὶ βωμῷ reliqui. conf. Od. 6, 162. post v. βωμῷ Casaubonus ex Homero supplet φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα. at videtur huius declamationis auctor ista lecturis supplenda reliquisse. ‖ 7. ἀρκεῖ. ἀρκέσει hic et in proximis Reisk. ‖ 9. τρηχεῖ'. Od. 9, 27. ‖ 10. τρηχεῖα CMH, τραχεῖα reliq. — 16, 1. ἁπασῶν H. Geel., ἁπασῶν ποι M, ἁπασῶν πόλεων reliqui. conf. Bergk. Comm. de reliqq. Com. p. 244. et Geel. p. 425. ‖ πόλι. πόλιν M. ‖ 3. ὡς καὶ καλόν. ὡς πάγκαλον Reisk., ὡς δὴ καλὸν Geel. ‖ 4. Λύσανδρον. Λύσσανδρος B. ‖ 5. δ' ὁ Valck. ad Callim. Fragm. p. 24, δὲ ὁ reliq. ‖ Πειραιεύς. παιραιευσὶ C. conf. de his praeter Valcken. l. l. Meinek. Comic. Fragm. III, 580. et Geelium p. 425. ‖ 6. ἔτι γὰρ CH, ἔτι δὲ μὴ Selden., οὐκέτι δὲ

ἅλσῃ δὲ τίς πω τοιάδ' ἔσχ' ἄλλη γύη;
εἶχε μὲν δή, δῃωθεῖσα δὲ ὡς ἐπὶ συμφοραῖς ἀπεκείρατο.
καὶ τοὐρανοῦ γ', ὥς φασιν, ἐστὶν ἐν καλῷ.

καὶ πῶς, οἵ γε λιμώττουσι καὶ νοσοῦσι καὶ τὸ πλέον αὐτῶν
17 ἀπόλλυται μέρος ὑπὸ τῶν ἀέρων ἢ τῶν πολεμίων; καὶ μή τις ἀχθέσθω, διότι οὕτω τῶν πατέρων ἐμνημόνευσα. τῶν μὲν γὰρ πρωτείων οὐκ ἂν ἄλλως τύχοιμεν μὴ τοῖς πρώτοις ἁμιλλώμενοι. ἀλλὰ καὶ παλαιός τις στρατιώτης ὡς γεγονὼς τοῦ πατρὸς κρείσσων ἐσεμνύνετο, καὶ οὐδὲ Ἀθηναίοις αἰσχρὸν πατράσιν οὖσιν ὑπὸ τῶν παίδων ἡττωμένοις. τῆς γὰρ ὑμετέρας μεθέξουσιν ἀρετῆς κατὰ τὴν αὐτῶν ἐλαττούμενοι. πῶς οὖν οὐκ ἂν εἰδείητε τούτων ἁπάντων τῇ τύχῃ τὴν χάριν, καὶ 597 M.
τοῦ γένους, ὅτι Ἕλληνες, καὶ τῆς μεταβολῆς, ὅτι ἐκ πενήτων εὐδαίμονες; Σωκράτης γοῦν ἐπὶ πολλοῖς αὐτὸν ἐμακάριζε
18 καὶ ὅτι ζῷον λογικὸν [καὶ ὅτι Ἀθηναῖος]. Διογένης δὲ ὁ κύων 336 R II.
ἀγροίκως καὶ τέλεον οὐ πολιτικῶς εὔχετο κατὰ τῆς τύχης ὡς πολλὰ μὲν βέλη ἐφιείσης αὐτῷ ὡς σκοπῷ, τυχεῖν δὲ μὴ δυναμένης. οὐ φέρω θρασυνόμενον οὕτω φιλόσοφον· μὴ καταψεύδου τῆς τύχης. οὐ τοξεύει γάρ σε, ὅτι οὐ βούλεται, θελούσῃ δὲ τῇ τύχῃ πανταχοῦ ῥᾴδιον. καὶ τὰ μὲν σύντομα ἐκεῖνα οὐ λέγω τὰ Λακωνικά, τοὺς δουλεύοντας Πέρσας καὶ τὸν ἐν Κορίνθῳ Διονύσιον καὶ τὴν Σωκράτους καταδίκην καὶ τὴν Ξενοφῶντος φυγὴν καὶ τὸν Φερεκύδους θάνατον καὶ τὴν δυσδαιμονίαν τὴν Ἀναξάρχου· ἀλλ' αὐτοῦ τούτου τοῦ

Iacobs. Add. p. 224, ἔτι δὲ reliq. ‖ αὐτόν. αὐτῶν C. ‖ 7. ἔσχ'. ἔσχεν H. ‖ γύη Valcken. ad Eurip. Hippolyt. 210, γέη Vales. p. 76, γυνή reliqui. conf. Geelium l. l. ‖ 8. δῃωθεῖσα Valck. l. l, σωθεῖσα reliq. ‖ 9. γ', ὥς Reisk., πῶς reliqui. possit δ' ὡς. ‖ 10. πῶς, οἵ γε. πόσοι γε H. — 17, 2. οὕτω. οὕτως CM. ‖ 3. οὐκ ἄν. sic dedi. idem voluit Pflugk., ἂν om. reliq. ‖ τύχοιμεν. τύχοιεν H. ‖ 6. ἡττωμένοις. ἡττᾶσθαι vel φαίνεσθαι ἡττωμένους Reisk. ‖ 7. πῶς οὖν. οὖν om. MH. ‖ 9. ὅτι Ἕλληνες Casaub. r, ὁ Πελληνεὺς BCMH, ὁ Παλληνεὺς vm, ὅτι Ἀθηναῖοί ἐστε Reiskius, de quo et Casaubonus cogitaverat. ‖ 10. εὐδαίμονες. sic dedi. εὐδαιμόνησε BCMH. vm, εὐδαιμονεῖτε (vel εὐδαιμονήσετε) Casaub. r. ‖ 11. [καὶ ὅτι Ἀθηναῖος] om. MH. — 18, 2. ἀγροίκως. sic dedi. ἀγροικῶς M, ἄγροικος reliqui, unde ὢν ἄγροικος Reisk., ἄνοικος Iacobs. Add. p. 80. ‖ οὐ πολιτικῶς M, πολιτικὸ C, πολιτικὸς H, οὐ πολιτικὸς reliq. ‖ εὔχετο κατὰ τῆς τύχης ὡς. sic dedi. εὐτύχει καίτοι τῆς τύχης reliqui. possit εὔχετο ὡς τῆς τύχης. ‖ 3. σκοπῷ. σκοποῦ BM (corr. vulg.). ‖ 5. τοξεύει. τοξεύῃ M. ‖ 6. σύντομα. σύντονα H. ‖ 7. Πέρσας Reisk., Πέρσαις reliq. ‖ 9. Φερεκύδους. Φερεκύδου BH. ‖ 10. δυσδαιμονίαν τὴν Ἀναξάρχου Reisk., εὐδαιμονίαν τὴν Ἀναξάνδρου CMH. v, εὐδαιμονίαν τὴν Ἀλεξάνδρου

χαλεποῦ σκοποῦ πόσοις ἔτυχε τοξεύμασιν; φυγάδα σε ἐποίη-
σεν, εἰς Ἀθήνας ἤγαγεν, Ἀντισθένει προυξένησεν, εἰς Κρή-
την ἐπώλησεν. εἰ δέ σοι τὸν τῦφον βακτηρία καὶ πήρα περι- 337 R II
τίθησι καὶ λεπτὸς καὶ ἀφελὴς βίος, ἴσθι καὶ τούτων τῇ τύχῃ
19 τὴν χάριν· κατὰ τύχην γὰρ φιλοσοφεῖς. ἦν δὲ καὶ Τιμόθεος
Ἀθηναίων στρατηγὸς, ὃς πάντα εὐτύχει καὶ σκωπτόμενος οὐκ
ἠνείχετο καί ποτέ τι καὶ κατὰ τῆς τύχης ἐθρασύνετο, καὶ
πάλιν δυστυχεῖν ἤρξατο. τίς ἂν ποτε ἤλπισεν Ἰνδῶν ἄρξειν
κουρέα, Λυδῶν βασιλεύσειν ποιμένα, τῆς Ἀσίας ἡγεμονεύσειν
γυναῖκα, ὅτι τὸν Ἡρακλέα ἀποκτενεῖ χιτὼν καὶ γυνὴ, ὅτι τὸν
Ἀλέξανδρον δοῦλος καὶ κύλιξ; ἔχει γὰρ ἐν αὐτῇ πλεῖστον ἀεὶ
τὸ βασιλικὸν, καὶ τοὺς παρὰ φύσιν δ' ἐπαιρομένους καθαιρεῖ.
20 πολλὰ γοῦν Ἀλέξανδρος τολμηρὰ ἔπρασσεν. οὐκ ἔφερεν υἱὸς
Φιλίππου λεγόμενος, τοῦ Διὸς κατεψεύδετο, τῶν Διοσκούρων
κατεφρόνει, τὸν Διόνυσον ἐλοιδόρει, καίτοι γε ἀφθόνως οὕτως
αὐτοῦ τοῖς δώροις χρώμενος. ἀπέκτεινε δὲ καὶ Κλεῖτον τὸν 598 M
σοφὸν καὶ Φιλώταν τὸν καλὸν καὶ τὸν γέροντα Παρμενίωνα 338 R II
καὶ τὸν διδάσκαλον Καλλισθένην καὶ τὸν Ἀριστοτέλην ἐμέλλησε
καὶ Ἀντίπατρον ἐβουλεύσατο. τοιγαροῦν ζῶντα αὐτὸν ὁμο-
21 λογεῖν ἠνάγκασεν, ὅτι ἄνθρωπος ἦν. τρωθεὶς γοῦν πρὸς
τοὺς φίλους· ἀλλὰ τοῦτό γε οὐκ ἰχὼρ ἐστιν, ἔφη, τὸ ῥέον,
ἀλλ' αἷμα ἀληθινόν· ἀποθνήσκων δὲ καὶ πάνυ ὡμολόγησε
μεγάλην τινὰ οὖσαν καὶ ἀνίκητον ὡς ἀληθῶς τὴν τύχην.

mr, ἀδημονίαν τὴν Ἀναξαγόρου Iacobs. ad Ach. Tat. p. 561. et Addend. in Ath. p. 154. ‖ αὐτοῦ τούτου. αὐτῇ τούτου C. ‖ τοῦ om. M. ‖ 11. φυγάδα σε CH, φυγάδας M, φυγάδα μὲν B, φυγάδα δὲ reliqui, unde φυγάδα δὴ Selden., δὲ delebat Reisk. ‖ 12. Ἀθήνας. Ἀθήνας δὲ B, Ἀθήνας σε C. ‖ 13. εἰ δέ σοι τὸν τῦφον Obs. p. 60, εἰ δίοι τὸν τυφλὸν M, εἰ δὲ οἷον τυφλὸν BC, εἰ δὲ οἷον τὸ τυφλὸν H. v, εἰ δὲ οἷον τὸν τυφλὸν reliqui, unde Reiskius locum sic constituit: εἰ δὲ οἱονεὶ τυφλὸν, βακτηρία καὶ πήρα περισαίνει σε. Pflugkius: εἰ δέ σοι τὸ ἄτυφον. ‖ βακτηρία καὶ πήρα MH. v, βακτηρίᾳ καὶ πήρᾳ reliq. ‖ 14. ἀφελής. ἀσφαλὴς H. ‖ 15. γάρ. καὶ CHM (corr. vulg.), malim γὰρ καί. — 19, 3. ἠνείχετο C. Pflugk., ἀνείχετο reliq. ‖ 4. Ἰνδῶν. Μήδων Iacobs. ad Anthol. Pal. III, 808. idem vulgatum ὀρέα servat. ‖ ἄρξειν. ὀρίζειν C. ‖ 5. κουρέα Vales. p. 77, οὐρέα B, ὀρέα CM (at initium verbi in rasura). r, Ὀρέα vm. ‖ 7. δοῦλος. Ἰόλας Casaubonus non sine veri specie. ‖ κύλιξ CH. Casaub., κοῖλιξ B, Κίλιξ reliq. — 20, 1. τολμηρά. πονηρὰ B. ‖ 2. κατεψεύδετο BCM, κατεψεύσατο reliq. ‖ 3. οὕτως αὐτοῦ BMH, οὗτος αὐτοῦ C, οὕτως om. reliq. ‖ 4. δὲ καὶ BCM, καὶ om. reliq. ‖ Κλεῖτον. κλίτον M. ‖ 5. Φιλώταν. φιλάττι C. ‖ γέροντα Vales., γείτονα reliq. ‖ Παρμενίωνα. παρμεσίωνα C. ‖ 6. καὶ τὸν διδάσκαλον BCM, τὸν om. reliq. — 21, 3. ἀλλ' M, ἀλλὰ reliq.

ἐκεῖνος γοῦν ἐκφυγὼν καὶ τὸ Θηβαίων ὁπλιτικὸν καὶ τὸ Θεσ-
σαλῶν ἱππικὸν καὶ τοὺς ἀκοντιστὰς Αἰτωλοὺς καὶ τοὺς μα-
χαιροφόρους Θρᾷκας καὶ τοὺς μαχίμους Πέρσας καὶ τὸ τῶν
ἀμάχων Μήδων γένος καὶ ὄρη μεγάλα καὶ ποταμοὺς ἀδιαβά-
τους καὶ κρημνοὺς ἀνυπερβάτους καὶ Δαρεῖον καὶ Πῶρον
καὶ πολλὰ ἄλλα ἐθνῶν καὶ βασιλέων ὀνόματα ἐν Βαβυλῶνι
22 ἄνευ μάχης καὶ τραυμάτων ὁ στρατιώτης ἔθνησκε. τί δὲ δεῖ
λέγειν τοὺς διαδεξαμένους τὴν βασιλείαν ἢ τοὺς ἐπ' ἐκείνοις
γενομένους καὶ τὰ ἀλαζονικὰ αὐτῶν ὀνόματα, κεραυνοὺς καὶ
πολιορκητὰς καὶ ἀετοὺς καὶ θεούς; ὧν τὸν μὲν ὁ θάνατος
ἤλεγξεν· ὁ δὲ ὑψηλοτέραν εὗρε τὴν τύχην, καίτοι πεζὴν δο-
κῶν· ὁ δὲ πολιορκητὴς Δημήτριος αἰχμάλωτος γενόμενος ἐξ
οἴνου καὶ μέθης ἀτίμως ἀπέθανεν ὑπὸ τῆς τύχης πολιορκού-
μενος. τί οὖν οἱ τύραννοι μέγα φρονοῦσιν ἐπὶ τοῖς τείχεσι;
τί δὲ Ἀμφίων ᾄδει; τί δὲ Δηιόκης πονεῖ; τί δὲ Σεμίραμις 339 R. II.
οἰκοδομεῖ; τί δὲ ὁ Ἀπόλλων μισθαρνεῖ; τί δὲ μετὰ τοῦ λέον-
τος Μήλης τὸ τεῖχος περιέρχεται; κρατήσει γὰρ Μήδων Κῦ-
ρος καὶ Βαβυλωνίων Ζώπυρος καὶ Σάρδεων Μάρδος καὶ
23 Τροίας ὁ ἵππος. μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δὲ τὸ ὅλον, εἶπέ
τις, ἡ τύχη. αὕτη καὶ Πίνδαρον εὗρεν ἐκκείμενον ἐν Βοιω-
τίᾳ καὶ Τήλεφον ἐν Ἀρκαδίᾳ καὶ τοὺς βασιλεῖς Ῥωμαίων ἐν
Ἰταλίᾳ, καὶ τῷ μὲν ἔπεμψε μελίσσας, τοῖς δὲ ποιμένας, Τη-
λέφῳ δὲ ἔλαφον, Κύρῳ δὲ ἢ κύνα ἢ γυναῖκα. Εὐμένης ἦν
ἀμαξέως υἱὸς, ἀλλ' ὅμως βασιλεὺς ἐγένετο. Ἡρακλῆς Ἀλε- 599 M.
ξάνδρου παῖς, ἀλλ' οὐκ ἐβασίλευσεν. ἄταφος γοῦν Ὀλυμ-

5. καὶ τὸ om. M. ‖ 6. καὶ τοὺς om. vm. ‖ 7. καὶ τὸ τῶν. καὶ om. m. ‖ 8. Μήδων. δήμων CH. ‖ ἀδιαβάτους M, om. reliq. — 22, 1. δὲ. δαὶ B. ‖ 3. γενομένους. γεγεννημένους H. ‖ 4. θεούς; ὧν τὸν μέν. θεοὺς ὧν τὸ μὲν B. v, θεῶν τὸ μὲν M. ‖ 5. πεζήν. sic dedi. παίζειν reliqui, unde ἵπτασθαι Reisk. ‖ 6. γενόμενος om. B. ‖ 7. ἀτίμως. ἄτιμος C. ‖ 8. οἱ τύραννοι BCMH, οἱ om. reliq. ‖ 9. τί δὲ CM (corr. τί δαί). H, τί δαὶ reliq. ‖ τί δὲ CM (corr. τί δαί). H, τί δαὶ reliq. ‖ Δηιόκης. δηίκης M. ‖ τί δὲ CM (corr. τί δαί). H, τί δαὶ reliq. ‖ Σεμίραμις. σιμίραμις M. ‖ 10. τί δὲ CM (corr. τί δαί). H, τί δαὶ reliq. ‖ τί δὲ CM (corr. τί δαί). H, τί δαὶ reliq. ‖ 11. Μήλης BM. r, Μηλίλης C, Μύλης H. vm. ‖ περιέρχεται. περὶ ἔρχεται C. ‖ Μήδων. Θηβῶν Ἀλέξανδρος καὶ Μήδων Reiskius propter v. τί δὲ Ἀμφίων ᾄδει. ‖ 12. Μάρδος Vales. p.78, μαρδόνιος M, Μαρδώνιος reliqui. conf. Herodt. 1, 84. — 23, 1. μεγάλη γὰρ ῥοπή. μεγάλην γὰρ ῥοπὴν B. sunt haec Demosthenis. conf. Olynth. II, p. 24 Reisk. Geelius. ‖ τὸ ὅλον Dem. l. l., ὅλον reliq. ‖ 4. τῷ μέν. ὤμεν M. ‖ 7. οὐκ. οὐκ ἂν H.

πιάδι ἐκομίσθη, καὶ πενθήσασα αὐτὸν καὶ αὐτὴ ἐτελεύτησεν,
24 *ἡ μήτηρ τοῦ θεοῦ. Δαρείου δὲ ἡ μήτηρ καὶ Ἀλέξανδρον προσ-*
εκύνησε καὶ τὸ ἀτιμότερον, Ἡφαιστίωνα. τί δὲ ὁ Λιβύων
βασιλεύς; οὐ πεντακοσίας μὲν πόλεις Ῥωμαίων ἐπόρθησεν,
ἐπάρας δὲ τὸν χιτῶνα αὐτοῦ τοῖς πολίταις ἔδειξε Ῥωμαϊκῶν
σφραγίδων ἀνάπλεων, ὧν ἑκάστην εἶχεν ἀπὸ πολεμίων σκῦ- 340 R II
λον ὑπ' αὐτοῦ πεφονευμένων; ταῦτα δὲ πάντα δράσας ἀτί-
μως ἀπέθανε, μάτην πολλὰ φιλονεικήσας πρὸς τὴν τύχην.
25 *διόπερ μοι δοκοῦσιν οἱ ἄνθρωποι τὰ μὲν ἄλλα πάντα τῶν*
πραγμάτων ἐπιτρέπειν τῇ τύχῃ, ἐπὶ κλήρῳ τὰς ἀρχὰς καὶ
στρατηγίας ποιούμενοι, καὶ ἀδελφοὶ κτῆσιν αὐτῶν οὕτως δια-
νέμονται. ἔδει δὲ ἄρα καὶ τὸν Πολυνείκην, εἴπερ καλῶς ἐβου-
λεύετο, κλήρῳ πρὸς τὸν ἀδελφὸν περὶ τῆς βασιλείας λαχεῖν·
νυνὶ δὲ αὐτός τε ἀπέθανε καὶ τὸν ἀδελφὸν προσαπώλεσεν,
ἡλικίᾳ τὸ πρᾶγμα ἐπιτρέψας, οὐ τύχῃ·

26 *κλήρῳ νῦν πεπάλαχθε διαμπερές, ὅς κε λάχῃσιν.*
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς·

καὶ ὤνησε λαχών. ὁ δὲ Ἕκτωρ ἡττήθη γνώμῃ μᾶλλον πιστεύ-
σας ἢ τύχῃ.

δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει·

θησαυροὶ μὲν ἐς ἀνθρώπους οὗτοι παρὰ θεοῖς· ταμιεύει δὲ
αὐτῶν πρὸς τὸ ἐπιβάλλον ἡ τύχη καὶ ῥήτορι καὶ στρατηγῷ
27 *καὶ πένητι καὶ πλουσίῳ καὶ πρεσβύτῃ καὶ νέῳ. Κροίσῳ δί-* 341 R II
δωσι χρυσὸν, Κανδαύλῃ γυναῖκα, Πηλεῖ ξίφος, Νέστορι

8. *ἐκομίσθη.* *ἐκοσμήθη* M. ‖ *καὶ αὐτὴ* H. r, *καὶ αὕτη* reliq. — 24, 2. *ἀτιμότερον.* *ἀτιμώτερον* M. ‖ *τί δὲ* CMH, *τί δαὶ* reliq. ‖ 4. *αὐτοῦ.* sic dedi. *αὑτοῦ* reliq. ‖ *Ῥωμαϊκῶν.* *ῥωμαίων* BM (mrg. vulg.). ‖ 5. *σκῦλον* CM. Hemsterh. ad Luc. I. p. 382. r, *σκύλων* BH. vm. ‖ 6. *ὑπ' αὐτοῦ.* *τῶν ὑπ' αὐτῷ* r. ‖ *ἀτίμως.* *ἄτιμος* H. ‖ 7. *φιλονεικήσας.* *φιλονικήσας* M. — 25, 1. *δοκοῦσιν οἱ* C. Reisk., *δοκοῦσι καὶ οἱ* BMH, *δοκοῦσι καὶ* reliq. ‖ *τὰ μὲν ἄλλα.* *τὰ μὲν ἄλλου* v, *τὰ μεγάλα* Selden., *ὀρθῶς τὰ μεγάλα πάντα* Reisk., *τά τε ἄλλα* Pflugk. p. 51. ‖ 2. *ἐπὶ κλήρῳ* Reisk. (idem *κλήρῳ*), *κλήρῳ* CM (corr. *καὶ κλήρῳ*), *καὶ κλήρῳ* reliqui. Iacobsius *κληρωτὰς* pro *κλήρῳ τὰς* Add. p. 247. ‖ 4. *ἔδει δὲ ἄρα* BCMH. Progr. p. 31, *ἐπεὶ δὲ ἄρα* v, *ἔπεισεν* mr, *ἐπεῖδεν* mrg. m, *ἐπεῖδες ἄρα* Reisk., *ἐπεὶ ἔδει ἂν* Iacobs. Add. p. 247. ‖ *Πολυνείκην.* *πολυνίκην* M. ‖ *ἐβουλεύετο.* *ἐβούλετο* C. ‖ 5. *λαχεῖν.* *μάχεσθαι* Geel. ‖ 7. *οὐ.* *ἐν* C. — 26, 1. *πεπάλαχθε.* *πεπάλαχθαι* M. ‖ *ὅς κε.* *ὁ καὶ* M. ‖ 3. *μᾶλλον* om. BCM. an infra *οὐ* pro *ἢ*? ‖ 5. *δοιοί.* *δυοὶ* M. ‖ 6. *ἐς ἀνθρώπους.* *εἰσιν ἀνθρώποις* Wyttenb. ad Plut. Moral. T. XI, p. 311 Oxon. ‖ *θεοῖς.* *θειοῖς* m. ‖ *ταμιεύει.* *ταμίευε* M. ‖ 7. *αὐτῶν* M, *αὐτὸν* B, *αὐτὴν* CH, *αὐτοὺς* reliqui. malim *αὐτοῖν*. — 27, 2. *χρυσόν.* *χρυσίον*

ἀσπίδα, Πτερέλᾳ κόμην χρυσῆν, Νίσῳ πλόκαμον πορφυροῦν, Ἀλκιβιάδῃ κάλλος, Σωκράτῃ δὲ φρόνησιν, Ἀριστείδῃ δικαιοσύνην, Λακεδαιμονίοις τὴν Ἀθηναίων θάλασσαν. εἶτα ἐν 600 M. *μέρει τούτων μὲν ἀφείλετο, ἄλλοις δὲ ἔδωκεν. καὶ οὐδέν μοι δοκεῖ ὁ βίος τῶν ἀνθρώπων πομπῆς διαφέρειν ἐν ταῖς ἡμερησίαις μεταβολαῖς.*

ΛΟΓΟΣ ξε.

ΠΕΡΙ ΤΥΧΗΣ ΤΡΙΤΟΣ.

1 *Οἱ σφόδρα τῇ τύχῃ πεπιστευκότες καὶ τῇ παρουσίᾳ ταύτης ἐπαιρόμενοι δοκοῦσί μοι κάλλιστα συνηγορεῖν αὐτῇ καὶ παρασκευάζειν, ὅπως, ἐπειδὰν μεταπέσῃ, μηδεὶς αὐτῇ μέμφηται. τοὐναντίον γὰρ ἅπαντες τῇ βαρύτητι τῶν εὐτυχούντων δυσχεραίνοντες καὶ τὴν ὕβριν αὐτῶν μεμισηκότες, ὅταν καταλίπῃ τινὰ αὐτῶν, ἐπαινοῦσι καί φασι δικαίαν αὐτοῖς γεγονέναι τὴν μεταβολήν. δεῖ δὲ τοὺς νοῦν ἔχοντας οὕτω χρῆσθαι τοῖς αὐτομάτοις ἀγαθοῖς, ὥστε ὑπαρχόντων μὲν αὐτῶν μηδένα ἐγκαλεῖν, ἐὰν δὲ παύσηταί ποτε, μηδένα ἐφήδεσθαι.*
2 *τῷ παντὶ γὰρ κρεῖττόν ἐστιν ἐνδεῶς πράττοντα ἀγαπᾶσθαι καὶ δοκεῖν πᾶσι παρὰ τὴν ἀξίαν ἀπαλλάττειν ἢ τοὐναντίον* 312 R II. *εὐτυχοῦντα μισεῖσθαι καὶ προσέτι καὶ τῇ τύχῃ γίνεσθαι*

B, *χρύσον* M. ‖ *Κανδαύλῃ. κἄντηδαῦ* C. ‖ 3. *Πτερέλᾳ* Vales. p. 78. r,* *Πτερίλᾳ* reliq. ‖ *Νίσῳ. Νήσῳ* B. v. ‖ 4. *Ἀλκιβιάδῃ. ἀλκιβίαδι* M. ‖ *Σωκράτῃ* BM, *Σωκράτει* reliq. ‖ *δὲ* malim abesse. ‖ 6. *ἀφείλετο. ἀφείλατο* (corr. vulg.) M. ‖ *ἔδωκεν. δέδωκε* CH, *ἐδίωκε* M. ‖ 7. *ἡμερησίαις.* sic dedi. *ἡμετέραις* reliqui, unde *καθ' ἡμέραν* Reisk., *ἐφημερίοις* Iacobs. Lect. Stob. p. 94 (idem postea *ἡμερίοις* vel *ἡμερίαις*), *ἐφημέροις* Geelius.

Orat. LXV. Collati sunt BCMH. In titulo *τρίτος* om. M (corr. add.). Excerpta sunt parum inter se nexa. — 1, 3. *ἐπειδὰν* BCMH, *ἐπειδὴ* reliq. ‖ *μέμφηται. μέμφεται* M. ‖ 4. *ἅπαντες* BMH, *πάντες* reliq. ‖ *βαρύτητι. βαρυτάτῃ* C. ‖ 7. *οὕτω. οὕτως* H. — 2, 2. *ἀπαλλάττειν. πλάττειν* (corr. *ἀπαλλάττειν*, mrg. *πράττειν*) H. ‖ 3. *καὶ τῇ. καὶ* om. CH.

βλασφημίας αἴτιον ὡς τοὺς πονηροὺς ἀντὶ τῶν χρηστῶν εὐερ-
γετεῖν προαιρουμένη. οἱ μὲν οὖν πολλοὶ τῶν ἀνθρώπων τοὺς
βαρέως χρωμένους τοῖς ἐκ τῆς τύχης ὑπάρχουσι πονηροὺς μὲν
εἶναί φασι καὶ τῶν ἀγαθῶν ἀναξίους, οὐ μὴν ἀτυχεῖς γε
εἰώθασι λέγειν· ἐμοὶ δὲ τοὐναντίον οὗτοι δοκοῦσι πάντων
3 *ἀτυχέστατοι καθεστηκέναι. τὸ γὰρ ἐκ τῶν νομιζομένων ἀγα-*
θῶν μηδενὸς χρηστοῦ [τυγχάνειν], βλασφημίας δὲ καὶ μίσους
ἀπολαύειν πρὸς τῷ τὴν αὑτοῦ κακίαν γνωριμωτέραν πᾶσι
ποιῆσαι, πῶς οὐχὶ μεγάλη καὶ φανερὰ δυστυχία; διόπερ οἶμαι
τοῖς ἀνοήτοις λυσιτελεῖ τῷ παντὶ μᾶλλον ἐνδεῶς πράττειν
καὶ μήτε ἐξουσίας μήτε πλούτου μήτε τῶν τοιούτων μηδενὸς
τυγχάνειν. ταπεινοὶ μὲν γὰρ ὄντες λανθάνειν τοὺς πολλοὺς
ἔμελλον, ὁποῖοι κατὰ τρόπον ὑπάρχουσιν, ἀρθέντες δὲ ὑπὸ τῆς ω II.
4 *τύχης ἐπίσημον τὴν πονηρίαν ἔσχον. ὥσπερ οὖν τοῖς τὸ σῶμα*
φαύλως διακειμένοις βέλτιον καθ' αὑτοὺς ἀποδύεσθαι καὶ
μηδέποτε εἰς τὸ κοινόν, ὅπως μηδένα ἔχωσι τῆς περὶ τοῦτο
αἰσχύνης μάρτυρα· τὸν αὐτὸν οἶμαι τρόπον, οἷς συμβέβηκε
τὴν ψυχὴν ἀγεννῆ καὶ μοχθηρὰν ὑπάρχειν, λυσιτελὲς ἂν εἴη
δήπου ἐν ἀγνοίᾳ τοῦ βίου καὶ σκότει τῆς τύχης διατελεῖν.
ἀδίκως γάρ μοι δοκοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων τῆς τύχης
κατηγορεῖν ὡς οὐδὲν ἐχούσης βέβαιον οὐδὲ πιστόν, ἀλλὰ ταχὺ
δὴ μάλα οἷς ἂν παρῇ, τούτους καταλειπούσης καὶ μεθιστα-
5 *μένης πρὸς ἑτέρους. εἰ μὲν γὰρ καλῶς ἦν ἰδεῖν χρωμένους ὡς*
τὸ πολὺ τοῖς παρ' αὐτῆς ἀγαθοῖς τοὺς λαμβάνοντας καὶ μὴ 313 R II.
τοὐναντίον εὐθὺς ὕβρεως καὶ μισανθρωπίας καὶ θρασύτητος
ἐμπιπλαμένους, οὐκ ἂν ὀρθῶς ἐποίει μὴ τοῖς αὐτοῖς παρα-
μένουσα· νῦν δὲ οἶμαι προαιρεῖται μὲν εὐεργετεῖν ἕκαστον ὡς
χρηστὸν καὶ τῶν παρ' αὐτῆς δωρεῶν ἄξιον, ἐπειδὰν δὲ φαυ-

5. *μὲν οὖν.* *οὖν* **in M a corr. add. ‖ 7.** *ἀτυχεῖς.* *εὐτυχεῖς* **M. ‖** *γε* **om. CH. — 3, 2.** *[τυγχάνειν]* **om. BM. ‖** *δὲ καὶ* **M. Pflugk.,** *τε καὶ* **reliq. ‖ 3.** *πρὸς τῷ τήν.* *τῷ* **om. C,** *καὶ τὴν* **BM. mrg. m. ‖ 4.** *ποιῆσαι.* *ποιεῖν* **CH. ‖** *μεγάλη.* *μεγάλα* **C. ‖ 8.** *κατὰ τρόπον.* *τὸν τρόπον* **r, malim** *κατὰ τὸν τρόπον.* **‖ 9.** *ἔσχον* **om. M. — 4, 5.** *τὴν ψυχήν.* *τῇ ψυχῇ* **B. ‖ 6.** *δήπου ἐν.* **sic dedi.** *δήπουθεν ἐν* **r,** *δήπουθεν* **(om.** *ἐν***) reliq. ‖** *ἀγνοίᾳ.* *ἀνοίᾳ* **B,** *ἄνοια* **M,** *ἀγνοία* **H,** *ἀνοίᾳ* **marg. m. ‖** *διατε-λεῖν* **BCMH. r,** *διαπλεῖν* **vm. ‖ 9.** *μάλα* **M (corr.** *μᾶλλον***),** *μᾶλλον* **reliq. ‖** *καταλει-πούσης* **CH,** *καταλιπούσης* **reliq. ‖** *καὶ* **Geel.,** *ἢ* **reliqui. haec ita tentat Pflugkius:** *ἀλλ' ἑταίρας δίκην μάχλου — καταλειπούσης καὶ μεθισταμένης* **celt. — 5, 2.** *αὐ-τῆς.* *αὐτοῖς* **C. ‖ 6.** *δωρεῶν — αὐτῆς* **in C man. recent. mrg. add. ‖** *ἐπειδὰν* **BCM,** *ἐπειδὴ* **reliq.**

λον αἴσθηται καὶ ταπεινὸν, καταισχύνοντα τὴν εὔνοιαν τὴν
παρ' αὐτῆς, εἰκότως ἀφίσταται καὶ ζητεῖ πάλιν ἄλλον, ἐὰν
6 ἄρα ἐπιεικέστερον εὑρεῖν δύνηται. πονηρῶν δὲ τῶν πλείστων
ὑπαρχόντων καὶ τῆς ἀνθρωπίνης φύσεως σπανίως τινὰ φε-
ρούσης ἐπιτήδειον εὖ πράττειν, ἐξ ἀνάγκης συνεχεῖς ποιεῖται
τὰς μεταβολὰς, πολὺ δὲ μᾶλλον διὰ τὴν ἡμετέραν ἢ τὴν αὐτῆς
φύσιν. ἔστι δὲ ἄτοπον· αὐτὸς μὲν ἕκαστος οὐ δύναται φέρειν
ἐνίους τῶν εὐτυχούντων, ἀλλὰ μικρὸν χρόνον ὁμιλήσας ἀφί-
σταται καὶ μᾶλλον αἱρεῖται τὴν αὑτοῦ πενίαν, ὅπως ἂν ἐν-
δέχηται, φέρειν ἢ φορτικῶν καὶ ἀνοήτων ἀνέχεσθαι τρόπων·
τὴν δὲ τύχην θεὸν οὖσαν ἀξιοῖ τοῖς αὐτοῖς τούτοις συζῆν ἄχρι
παντὸς καὶ πολλάκις ὑβριζομένην ὕβρεις δεινὰς παραμένειν
7 ἀνδραπόδῳ μηδενὸς ἀξίῳ. παρὰ γὰρ τῶν πλουσίων εἰς μὲν
τοὺς συμβιοῦντας ἀνθρώπους ἡ ὕβρις ἐστὶ λοιδορία, προπη-
λακισμὸς, κατάγελως, τὸ πληγῆναι πολλάκις· εἰς δὲ τὴν τύχην
αὐτὴν ὑπερηφανία, βαρύτης, μικρολογία. — ἀδικώτατα μοι 602 M.
δοκοῦσιν ἐγκαλεῖν οἱ πολλοὶ τῇ τύχῃ. νῦν μὲν γὰρ αὐτὴν
αἰτιῶνται φάσκοντες ἄπιστον εἶναι καὶ μηδὲν ἔχειν βέβαιον.
εἰ δ' ἀεὶ τοῖς αὐτοῖς παρέμενεν, οὐκ ἔστιν ὅπως οὐχὶ τῷ παντὶ
μείζονος καὶ δικαιοτέρας ἐτύγχανε κατηγορίας. ὅπου γὰρ καὶ
νῦν ὁρᾶτε τοὺς εὖ πράττοντας οὕτως ὄντας πονηροὺς καὶ βα-
ρεῖς, καὶ ταῦτα τοῦ μέλλοντος ὑπάρχοντος ἀδήλου· πόσης ἂν 344 R II.
οἴεσθε αὐτοὺς ὑπερηφανίας καὶ σκαιότητος εἶναι μεστοὺς, εἰ
καὶ καθόλου μὴ τὴν ἐλπίδα τῆς μεταβολῆς ὑφεωρῶντο; —
8 φασὶ πολλοὶ τὴν τύχην ἄκριτον εἶναι καὶ πονηροῖς ἀνθρώποις
προσμένειν, τῶν χρηστῶν δὲ ἀμελεῖν, ἄλλως τε ὅταν ὁρῶσι

8. αὐτῆς. αὐτοῖς M. — 6, 5. αὐτὸς μὲν ἕκαστος C. Pflugk. p. 18, εἴ τις αὐτὸς μὲν ἕκαστος H, εἴ τις μὲν ἕκαστος reliqui, unde εἴ τις ἡμῶν, μᾶλλον δ' ἕκαστος vel εἴ τις μὲν ἡμῶν, αὐτὸς οὐ δ' ἕκαστος Selden., εἰ ἡμῶν μὲν ἕκαστος Reisk., εἴ τις μειονεκτῶν Geel. ‖ 6. ἐνίους. ἔνια C. ‖ μικρὸν. σμικρὸν B. ‖ 7. ἂν ἐνδέχηται. ἐνδέχεται CH, ἂν ἐνδέχητο M. ‖ 8. ἀνέχεσθαι. ἀνασχέσθαι B. ‖ 9. ἀξιοῖ τοῖς αὐτοῖς H, ἀξιοῦντι τοῖς αὐτοῖς B, ἀξιοῖ τε τοῖς αὐτοῖς M, ἀξιοῖ αὐτοῖς reliq. ‖ 10. δεινάς. δεινοῖς C. ‖ 11. ἀνδραπόδῳ μηδενὸς ἀξίῳ. οὐδενὸς ἀξίῳ ἀνδραπόδῳ (sed in marg. μηδενὸς) C. — 7, 1. γὰρ om. H (add. corr.). ‖ 4. μοι M, δ' ἄν μοι CH, οὖν μοι reliq. ‖ 7. εἰ. οὐ CMH. ‖ παρέμενεν. παραμένειν CMH. ‖ οὐκ ἔστιν. οὐκ ἔστι δ' CH. ‖ 8. δικαιοτέρας. malim δικαιοτέρας ἄν. ‖ ὅπου γὰρ καὶ Selden., ὅπου γὰρ BCMH. vr, ὅπου καὶ m, ὅπερ καὶ νῦν marg. m. ‖ 11. οἴεσθε. οἴεσθαι (corr. vulg.) M. ‖ 12. καὶ καθόλου. καὶ om. CH. ‖ μὴ om. B. — 8, 2. τῶν χρηστῶν δὲ BCMH, τῶν δὲ χρηστῶν reliqui. malim χρηστῶν δὲ (om. τῶν). ‖ ἄλλως τε om. CMH.

τοὺς ἠξιωμένους τῶν παρ' ἐκείνης ἀγαθῶν βαρεῖς ὄντας καὶ δυσχρήστους καὶ ἀγεννεῖς. δοκεῖ δέ γέ μοι ἡ τύχη πρὸς αὐτοὺς δίκαια ἂν εἰπεῖν, ὅτι φύσει φιλάνθρωπος οὖσα ἀεί τισι πάρεστιν ἡμῶν, οὐχ αἱρουμένη τοὺς ἀξίους οὐδὲ τοὺς πονηροὺς, ἀεὶ δὲ, οἷοις ἂν αὐτοῖς παραγένηται, τοιούτους αὐτοὺς ὄντας ἐξελέγχεσθαι. δεῖν οὖν τὴν αὐτῶν αἰτιᾶσθαι φύσιν,
9 μὴ τὴν ἐκείνης, ὅτι τοιοῦτοι καθεστήκασιν. ὥστε ὁ μὲν ἐνδεῶς ἔτι πράττων [εὐθὺς] ἄξιος εἶναι δοκεῖ βέλτιον ἀπαλλάττειν· ὅτῳ δ' ἂν ὑπάρξῃ τὰ παρ' αὐτῆς ἀγαθὰ, μοχθηρὸς πέφηνεν. ἔστι γὰρ ὅμοιον, ὥσπερ εἴ τις ἀγγείων πολλῶν ὄντων, καὶ μηδενὸς ὑγιοῦς, τὸν εἰς αὐτὰ ἐγχέοντα βλέπων ῥέον ἀεὶ ἢ πληρούμενον. εἴποι γὰρ ἄν· ἀλλ' ἔστι πάντα
10 τοιαῦτα· ἕως δ' ἂν ᾖ κενὰ, λανθάνει. — θαυμάζω, πῶς ποτε οἱ πολλοὶ τὴν τύχην φασὶν ἐπικίνδυνον εἶναι καὶ μηδὲν τῶν παρ' αὐτῆς ὑπάρχειν βέβαιον. ἐκείνη γὰρ ἐπειδάν τινι 343 R II δῷ τὰ παρ' αὐτῆς ἀγαθά· ταῦτα δ' ἐστὶ χρήματα, ἰσχὺς, δόξα, τιμαί· τούτοις οὐδένα κωλύει χρῆσθαι κατὰ τρόπον καὶ νὴ Δία γε εἰς τἀσφαλὲς αὐτοῖς κατατίθεσθαι· λέγω δὲ οὐκ εἰς τὴν οἰκίαν ἔνδον οὐδ' εἰς τὸ ταμιεῖον οὐδὲ κλεῖς ἐφιστάντας καὶ μοχλούς· οὐ φυλάττεται γὰρ ὑπὸ τούτων οὐδὲν τῶν παρ' αὐτῆς· ἀλλ' εἰς εὔνοιαν ἀνθρώπων, πατρίδος εὐερ-

3. ἠξιωμένους BCMH, ἀξιουμένους reliq. ‖ ἐκείνης. ἐκείνοις C. ‖ βαρεῖς CH, καὶ βαρεῖς reliq. ‖ 4. δέ γέ μοι. δέ om. BC. marg. m, γε om. H, δέ γ' ἐμοὶ Pflugk. ‖ 5. δίκαια. δικαίως Pflugk. ‖ 7. αὐτοῖς. αὐτοὶ C, αὐτὰ H, οὖσιν Pflugk. ‖ 8. δεῖν. δεῖ H. ‖ αἰτιᾶσθαι CH, αἰτιάσασθαι reliq. — 9, 2. ἔτι r, τι reliq. ‖ [εὐθὺς] malim ante μοχθηρὸς transponi. ‖ δοκεῖ CMH, δοκεῖ καὶ reliq. ‖ βέλτιον BCMH. mrg. m, βέλτιστον reliq. ‖ 3. ὅτῳ δ' ἂν ὑπάρξῃ BCMH. Selden. vr, οὕτω δ' ἂν ὑπάρξῃ m, unde τούτῳ δ' ἂν ὑπάρξῃ Casaub., ὅταν δ' αὖ ὑπάρχῃ Reisk. ‖ 4. πέφηνεν. πέφυκεν mrg. m. ‖ 5. καὶ μηδενὸς. καὶ om. CMH. malim μηδενὸς δέ. ‖ ἐγχέοντα. ἐγχέοντα ἐπιτιμῴη Reisk., ἐγχέοντα ψέγοι Pflugkius. ‖ βλέπων. βλέπον C. ‖ 6. ῥέον ἀεὶ ἤ. ῥέων ἀεὶ ἢ B, ἢ om. MH, ῥέον ἀεὶ τὸ Reisk., possit ῥέον τὸ ἀεί. Casaubonus: ῥεόντων ἀεὶ οὐ (πληρουμένων). totum locum sic tentat Seldenus: ὑγιοῦς, πρὸς τὸν εἰς αὐτὰ ἐγχέοντα, βλέπων ῥέον ἀεὶ τὸ πληρούμενον, εἴποι· τί γὰρ ἐγχεῖς εἰς τὰ σαπρά· εἴποι γὰρ ἂν cett. Iacobsius: τὸ ῥέον ἀεὶ καὶ μὴ πληρούμενον εἴποι γ' ἀρτᾶν· ἀλλ' ἔστι cett. (ἀρτᾶν de situla dictum, quae ad aquam e puteo hauriendam adnectitur). ‖ 7. λανθάνει. λανθάνειν CM, λανθαν'' H. — 10, 1. θαυμάζω M (corr. ἔτι θαυμάζω), θαυμάζω δὲ H, ἔτι θαυμάζω reliq. ‖ 3. αὐτῆς. ἐκείνης H. ‖ 6. αὐτοῖς. αὑτοῖς MH. ‖ 7. οἰκίαν. οἰκείαν B. ‖ ταμιεῖον CMH, τιμιεῖον B, ταμεῖον reliq. ‖ ἐφίσταντας CH. r, ἐφίσταντα BM (corr. ἐφίσταντες), ἐφίσταντες vm, ἐπιστάντα mrg. m. ‖ 9. ἀνθρώπων. τῶν ἀν-

11 γεσίαν, φίλων βοήθειαν. οὐκοῦν οὐδέποτε αὐτοὺς οὐδὲν 603 M.
ἀφείλετο ἡ τύχη τοὺς ἅπαξ κτησαμένους τῶν οὕτως ἀποκει-
μένων. οὗτοι γάρ εἰσι θησαυροὶ βέβαιοι καὶ πᾶσι φανεροὶ
τῶν αὐτομάτως περιγιγνομένων. ἐὰν δέ τις λαβὼν ῥίψῃ ἢ
καὶ νὴ Δία κακῶς θῇ, θύραις καὶ σφραγῖσι καὶ κλεισὶ πι-
12 στεύων, οὐκ ἔτ' οἶμαι δι' ἐκείνην ἀπόλλυνται. σφόδρα δὲ καὶ
τοῦτο ἄτοπον. πρὸς γὰρ τῷ πολλὰ βλασφημεῖν διὰ λόγων
κατὰ τῆς τύχης ἔτι καὶ πλάσται καὶ γραφεῖς αὐτὴν λοιδο-
ροῦσιν, οἱ μὲν ὡς μαινομένην καὶ διαῤῥιπτοῦσαν γράφοντες,
οἱ δὲ ἐπὶ σφαίρας βεβηκυῖαν ὡς οὐκ ἀσφαλῶς οὐδὲ ἀκινδύνως
ἐρηρεισμένην, δέον ἡμᾶς αὐτοὺς τοιούτους πλάττειν καὶ γρά-
φειν, τοὺς ἐμπλήκτως καὶ κακῶς πᾶσι χρωμένους, καὶ μὰ
Δία γε οὐκ ἐπὶ σφαίρας, ἀλλ' ἐπ' ἀνοίας ἑστηκότας, καὶ μὴ
13 μάτην τῇ τύχῃ μέμφεσθαι. — περὶ πάντων μὲν ὡς εἰπεῖν
οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ὀρθῶς ὑπολαμβάνουσι· μά-
λιστα δὲ τὴν ὑπὲρ τῆς τύχης δόξαν ψευδῆ καὶ πεπλανημένην
ἔχουσιν. φασὶ γὰρ αὐτὴν διδόναι μὲν τοῖς ἀνθρώποις ἀγαθά,
ῥᾳδίως δὲ ἀφαιρεῖσθαι, καὶ διὰ τοῦτο ὡς ἄπιστον βλασφη- 346 R II.
μοῦσι καὶ φθονεράν. ἐγὼ δὲ οὐ διδόναι φημὶ τὴν τύχην
14 τούτων οὐδέν, ὡς οἱ πολλοὶ νομίζουσιν. ᾧ γὰρ κύριος ἕκα-
στος γίγνεται τῶν ὑπαρχόντων καὶ δι' οὗ μόνου κεκτῆσθαι
τἀγαθὰ ἀσφαλῶς ἔστιν, οὐ δίδωσιν αὐτοῖς μετὰ τῶν χρημά-
των καὶ τῆς δόξης καὶ τῆς δυνάμεως. τοῦτο δέ ἐστιν, οὗ
χωρὶς οὐκ ἔστιν οὐδὲ τῶν ἄλλων ἔχειν οὐδέν, οἴεσθαι μέντοι
καὶ ἀπατᾶσθαι. καθάπερ οὖν οὐδὲ ἡμεῖς, ὅταν εἰς τὴν οἰκίαν

θρώπων H. — 11, 1. αὐτούς. αὖθις Geelius. malim infra v. τοὺς ἅπαξ κτησαμένους deleri. ‖ 2. ἀφείλετο. ἀφείλατο M. ‖ 4. περιγιγνομένων B, περιγινομένων CMH, περιγενομένων reliqui. παραγενομένων Pflugk. ‖ ἢ καὶ CH. Reisk., ἢ om. reliq. ‖ 5. κακῶς θῇ. κακωθῇ M, ἀποθῇ Geel. ‖ θύραις καὶ σφραγῖσι καὶ κλεισὶ B. Geel., θύραις, σφραγῖσι καὶ κλεισὶ vmr, ἢ θύραις καὶ κλεισὶ σφόδρα κλείσῃ CH, θύραις καὶ σφόδρα κλείσει M. ‖ 6. ἐκείνην. ἐκεῖνον H (corr. vulg.). ‖ ἀπόλλυνται. ἀπόλυνται vm. — 12, 2. λόγων. λόγον m. ‖ 4. μαινομένην. μενομένην C. ‖ διαῤῥιπτοῦσαν. διαῤῥίπτουσι CH. ‖ 5. σφαίρας. σφαίρης (corr. vulg.) M. ‖ 6. ἐρηρεισμένην H, ἠρεισμένην reliq. ‖ 7. πᾶσι. πράγμασι Geel. p. 240. ‖ 8. σφαίρας. σφαιρῆς M. ‖ ἀλλ'. ἀλλὰ CMH. ‖ ἑστηκότας. ἑστικότας M. — 13, 1. ὡς M, οὖν ὡς H, οὖν ὧ C, γὰρ ὡς reliq. — 14, 1. ᾧ. ὡς C. ‖ 2. γίγνεται M, γίνεται r ‖ ὑπαρχόντων. ὑπερχόντων m. ‖ 3. τἀγαθὰ M, τὰ ἀγαθὰ reliq. ‖ ἀσφαλῶς ἔστιν BCM (mrg. ἀσφαλές ἐστιν). H, ἀσφαλές ἐστιν reliq. ‖ αὐτοῖς. αὐτὴν B. ‖ 5. χωρίς. χωεὶς C.

τινὰ εἰσαγάγωμεν ἢ τὸ χωρίον ἢ σκεύη τινὰ παράσχωμεν, οὐκ εὐθὺς κύριον ἐκείνων τοῦτον ἀπεδείξαμεν, ἂν μὴ προσῇ τὸ μετὰ ἀσφαλείας τινὸς καὶ γράμματος· οὕτω καὶ ἡ τύχη κύριον οὐδένα ποιεῖ τῶν ὑφ' αὐτῆς διδομένων, ἐὰν μὴ προσῇ τὸ μετὰ νοῦ καὶ φρονήσεως τινὰ λαμβάνειν. οἱ μὲν δὴ πολλοὶ τῶν ἀνθρώπων εἰώθασιν εὐδαιμονίζειν εὐθὺς, οἷς ἂν ὁρῶσι τὰ παρὰ τῆς τύχης ὑπάρχοντα, ὥσπερ τοῖς πλέουσι συνήδονται 641 M. *πνεῦμα ὁρῶντες ἐπέχον, οὐκ εἰδότες οὔτ' εἰ φορὸν αὐτοῖς τοῦτό ἐστιν οὔτ' εἰ κυβερνήτην ἔχουσιν ἔμπειρον. ἐγὼ δὲ οἶμαι τότε δεῖν μακαρίους κρίνειν τοὺς ἐν ἀφθόνοις ὄντας τοῖς παρὰ τῆς τύχης, ὅταν αὐτοῖς καὶ τὸ φρονεῖν παρῇ. καθ' αὐτὰ γὰρ ταῦτα δῆλον ὡς τοῖς ἀνοήτοις γένοιτο κινδύνου καὶ δυστυχίας αἴτια.*

7. *ἢ τὸ* M, *καὶ ἢ τὸ* BCH, *καὶ εἴ τῳ* reliqui, unde infra *παρέχομεν* Pflugk. ‖ *παράσχωμεν* H, *παρέχωμεν* reliq. ‖ *οὐκ* om. CMH. ‖ 8. *ἐκείνων* BMH, *ἐκεῖνον* reliq. ‖ *τοῦτον* MH, *τούτων* reliq. ‖ 9. *καὶ* om. m. ‖ *καὶ ἡ* H, *δ' ἡ* M, *καὶ* C, *δὴ καὶ* reliqui. malim *δὴ καὶ ἡ*. — 15, 1. *οἱ μὲν δὴ* CH, in M *καὶ* a corr. add., *καὶ οἱ μὲν* reliq. ‖ 3. *ὑπάρχοντα. ὑπέρχοντα* m. ‖ 4. *φορὸν. ἔφορον* M. ‖ 5. *δὲ* CH, *δ'* reliq. ‖ 6. *δεῖν. δεῖ* C. ‖ 7. *καθ' αὐτὰ* H, *ταὐτὰ* B, *αὐτὰ* C, *κατ' αὐτὰ* reliq. ‖ 8. *ὡς. εἰ* CMH (mrg. vulg.). ‖ *γένοιτο.* malim *γένοιτ' ἄν*. ‖ 9. *αἴτια. αἰτία* M.

ΛΟΓΟΣ ξϛ.

ΠΕΡΙ ΔΟΞΗΣ ΠΡΩΤΟΣ.

1 *Εἰσί τινες, οἳ τοὺς μὲν φιλαργύρους ἢ φιλόψους ἢ οἰνό-* 347 R II.
φλυγας ἢ περὶ γυναῖκας ἢ παῖδας ἐπτοημένους ἀσώτους ἀπο-
καλοῦσι καὶ δυστυχεῖς, καὶ τούτων ἕκαστον ἡγοῦνται τὸ μέ-
γιστον ὄνειδος, τοὺς δὲ φιλοτίμους καὶ φιλοδόξους τοὐναντίον
ἐπαινοῦσιν ὡς λαμπρούς· ὥστε καὶ αὐτὸς ἕκαστος ὀψοφαγῶν
μὲν ἢ πίνων ἢ ἐρῶν τινος αἰσχύνεται καὶ περιστέλλει τὴν
ἀκρασίαν, δοξοκοπῶν δὲ καὶ φιλοτιμούμενος οὐδένα ἀνθρώ-
2 *πων βούλεται λανθάνειν, ἀλλὰ ἐν τῷ μέσῳ ταῦτα ποιεῖ. τῶν*
γὰρ πολλῶν ἕκαστος εὐφημεῖ τὴν τοιαύτην νόσον λυσιτελεῖν
ἡγούμενος αὐτῷ. καὶ δημοσίᾳ σχεδὸν αἱ πόλεις ἅπασαι δε-
λέατα ἐξευρήκασι παντοῖα τοῖς ἀνοήτοις, στεφάνους καὶ προ-
εδρίας καὶ κηρύγματα. τοιγαροῦν ἤδη τινὰς τούτων ἐπι-
θυμοῦντας ἀθλίους καὶ πένητας ἀπέδειξαν οὐδὲν ὀρέγοντες
μέγα οὐδὲ θαυμαστὸν, ἀλλ' ἐνίους ἀπὸ θαλλοῦ περιάγοντες,
ὥσπερ τὰ πρόβατα, ἢ στέφανόν τινα ἢ ταινίαν ἐπιβάλλοντες.
οὐκοῦν ὁ τοιοῦτος ἐξὸν αὐτῷ μυρίους, εἰ ἐθέλοι, στεφάνους
προῖκα ἔχειν, οὐ μόνον ἐλαίας ἢ δρυὸς, ἀλλὰ καὶ κιττοῦ καὶ
μυῤῥίνης, πολλάκις τὴν οἰκίαν ἀπέδοτο καὶ τὰ χωρία καὶ
μετὰ ταῦτα περιέρχεται πεινῶν καὶ φαῦλον τριβώνιον ἔχων.
3 *ἀλλὰ κηρύττεται, φησὶν, ὑπὸ τῶν πολιτῶν. ἀλλ' ὥσπερ*
ἀπολωλὸς ἀνδράποδον. οὐκοῦν εἰκότως χρῶνται πρὸς τὰς 605 M.
χειροτονίας τῷ τῆς ἐλαίας θαλλῷ διὰ τὸ φύσει πικρὸν ὑπάρ- 348 R II.
χειν. [τοὺς δοξοκόπους ἐκβάλλουσιν ἐκ τῶν ἀγρῶν οἱ δῆμοι

Orat. LXVI. (LXV Morell.) Collati sunt BCMH. — 1, 5. *αὐτὸς* BCM, *αὐτῶν* reliq. ‖ 7. *δοξοκοπῶν* CM (corr. *δοξοκομπῶν*). H. Casaub., *δοξοκομπῶν* reliqui. conf. Lobeck. ad Aiac. p. 125. ed. 2. - 2, 3. *αὐτῷ.* sic dedi. *αὐτῷ* reliq. ‖ 7. *θαλλοῦ. θαλοῦ* B. ‖ 9. *στεφάνους. στεφάνους μὲν* BM. mrg. m. ‖ 11. *μυῤῥίνης. μυρίνης* M. ‖ 12. *περιέρχεται. περιέρχηται* C. — 3, 1. *ἀλλ'* om. MH. ‖ 4. [*τοὺς — διαῤῥηγνυμένων*] interpolatoris esse videntur eiusdem qui extremae huic commentationi mantissam adiecit. ‖ *τοὺς. τοὺς γὰρ* Reisk. ‖ *ἀγρῶν. ἀγορῶν* mrg. H.

κραυγῇ καὶ ψόφῳ, καθώσπερ οἶμαι τοὺς ψᾶρας οἱ γεωργοί. κἀκεῖνοι μὲν μεθίστανται πρὸς ὀλίγον, τοῖς δὲ οὐκ ἔστιν εἰς οὐδὲν ἔτι τῶν ἰδίων ἐπάνοδος, ἀλλὰ περιίασι μικρὸν ὕστερον πτωχοὶ καὶ οὐδεὶς ἂν προσαγορεύσειεν ἰδὼν ἔτι τῶν πρότερον
4 διαῤῥηγνυμένων.] τοσαύτη δ' ἐστὶν ἡ τοῦ τύφου δύναμις, ὥστε παρὰ μὲν τῶν βαφέων ἀγοράσεις δυοῖν μνῶν ἢ τριῶν καλὴν πορφύραν· δημοσίᾳ δ' εἰ θέλοις, πολλῶν πάνυ ταλάντων ὤνιος. καὶ τὰς μὲν ἐκ τῆς ἀγορᾶς ταινίας ὀλίγων δραχμῶν, τὰς δὲ ἐκ τῆς ἐκκλησίας πολλάκις ἁπάσης τῆς οὐσίας· καὶ τοὺς μὲν ἐπὶ τῆς ἀγορᾶς κηρυττομένους ἀθλίους ἅπαντες νομίζουσι, τοὺς δ' ἐν τῷ θεάτρῳ μακαρίους, καὶ τούτους μὲν κηρύττεσθαί φασιν, ἐκείνους δὲ ἀποκηρύττεσθαι, δηλονότι
5 παρὰ μίαν συλλαβὴν γιγνομένης τῆς διαφορᾶς. οὕτω δὲ πάνυ τῶν ἀνθρώπων κατεφρόνησαν οἱ πρότερον καὶ τὴν εὐήθειαν αὐτῶν συνεῖδον, ὥστε ὑπὲρ τῶν μεγίστων πόνων καὶ πληγῶν φύλλα προύθεσαν. ἀλλ' ὅμως εἰσὶν οἱ χάριν τούτων ἀποθνήσκειν αἱρούμενοι. τῶν δὲ αἰγῶν οὐκ ἂν οὐδεμία κατακρημνίσειεν αὑτὴν κοτίνου χάριν, καὶ ταῦτα παρούσης ἑτέρας νομῆς. καίτοι ταῖς μὲν αἰξὶν οὐκ ἀηδὴς ὁ κότινος, ἄνθρωπος δὲ οὐκ ἂν φάγοι. καὶ τὴν μὲν ἐξ Ἰσθμοῦ πίτυν οὐδὲν οὖσαν τῶν ἄλλων χλωροτέραν μετὰ πολλοῦ πόνου καὶ κακῶν ἀναιροῦνται, πολλάκις ἀργύριον πολὺ διδόντες, καὶ ταῦτα τοῦ φυτοῦ μηδεμίαν ὠφέλειαν ἔχοντος· οὔτε γὰρ σκιὰν ποιεῖν 389 R II
οὔτε καρπὸν φέρειν δύναται, τό τε φύλλον δριμὺ καὶ καπνῶδες· τῆς δ' ἐκ Μεγάρων πίτυος οὐδεὶς ἐπιστρέφεται. κἂν μὲν ἕτερός τις μὴ κατεαγὼς τὴν κεφαλὴν δήσηται, καταγελᾶται· τοῖς δὲ βασιλεῦσι πρέπειν δοκεῖ, καὶ πολλαὶ μυριάδες
6 τεθνήκασιν ὑπὲρ τούτου τοῦ ῥάκους. ὅτι μὲν γὰρ διὰ χρυσοῦν πρόβατον ἀνάστατον συνέβη γενέσθαι τηλικαύτην οἰκίαν,

5. καθώσπερ. καθ' ὥσπερ m, καθάπερ vel ὥσπερ Pflugk. ‖ 9. διαῤῥηγνυμένων. διαῤῥηγνύμενον M. — 4, 2. βαφέων Cens. p. 364, πορφυρέων Unger. Progr. p. 3, βαρβάρων reliq. ‖ 3. δ' εἰ BCM. r, δὲ H. vm. ‖ θέλοις BC. r, θέλεις M, ἐθέλοις H. vm. ‖ 6. ἅπαντες r, πάντας BCH, ἅπαντας M. vm. ‖ 8. φασιν—ἀποκηρύττεσθαι om. H (add. mrg.). ‖ ἀποκηρύττεσθαι. ἀνακηρύττεσθαι Seldenus. an ad v. κηρύττεσθαι haec adnotatio pertinet? — 5, 1. οὕτω. οὕτως CH. ‖ 6. ταῦτα MH (corr. in utroque ταῦτα μή). Pflugk., ταῦτα μὴ reliq. ‖ 8. μὲν ἐξ BCMH, μὲν reliqui, unde Ἰσθμοῖ Pflugk. ‖ 9. πολλοῦ πόνου. πόνου πολλοῦ CH. ‖ 13. ἐπιστρέφεται. ἐπιστέφεται CM (corr. vulg.). H (corr. vulg.).

τὴν Πέλοπος, οἱ τραγῳδοί φασιν. καὶ κατεκόπη μὲν τὰ τοῦ
Θυέστου τέκνα, τῇ Πελοπίᾳ δὲ ὁ πατὴρ ἐμίχθη καὶ τὸν Αἴ- 606 M.
γισθον ἔσπειρεν· οὗτος δ' ἀπέκτεινε μετὰ τῆς Κλυταιμνή-
στρας τὸν Ἀγαμέμνονα, τὸν ποιμένα τῶν Ἀχαιῶν, κἀκείνην
Ὀρέστης ὁ υἱὸς καὶ τοῦτο ποιήσας εὐθὺς ἐμαίνετο. τούτοις
δὲ οὐκ ἄξιον ἀπιστεῖν, ἃ γέγραπται μὲν οὐχ ὑπὸ τῶν τυχόν-
των ἀνδρῶν, Εὐριπίδου καὶ Σοφοκλέους, λέγεται δὲ ἐν μέσοις
τοῖς θεάτροις, ἐπειδὴ ἰδεῖν ἔστιν ἑτέραν οἰκίαν συντριβεῖσαν
πλουσιωτέραν ἐκείνης διὰ γλῶτταν καὶ νὴ Δία ἑτέραν κινδυ-
7 νεύουσαν. τοιούτων δὲ τῶν κατὰ τὴν δόξαν ὄντων καὶ μυ-
ρίων ἄλλων ἀτοπωτέρων πῶς οὐχὶ τῷ παντὶ δυστυχέστερος
ὁ πρὸς ταύτην κεχηνὼς τοῦ πρὸς ἄλλο ὁτιοῦν ἐπτοημένου;
τὸν φίλοψον εἷς ἰχθὺς ἀποπίμπλησι καὶ οὐδεὶς ἂν αὐτὸν κω-
λύσειεν ἥδεσθαι τῶν ἐχθρῶν· ὁμοίως ὁ πρὸς παῖδας ἀθλίως
ἔχων, ἐὰν εἰς ὡραῖον ἐμπέσῃ, τοῦτον ἕνα ὄντα θεραπεύει καὶ 350 R II.
πολλάκις μικροῦ κατειργάσατο. τὸν οἰνόφλυγα ἓν Θάσιον
κατέπλησε, καὶ πιὼν Ἐνδυμίωνος ἥδιον καθεύδει· τῷ δοξο-
κόπῳ δὲ οὐκ ἂν εἷς ἐπαινῶν ἐξαρκέσειεν, ἀλλ' οὐδὲ χίλιοι πολ-
8 λάκις. ὅτι μὲν γὰρ ῥᾷόν ἐστι μεταχειρίσασθαι τὸ χαλεπώ-
τατον μειράκιον τοῦ μετριωτάτου δήμου, τίς οὐκ ἂν φήσειεν;
ὅσῳ μέντοι προχωρεῖ τὸ τῆς δόξης ἐπὶ πλέον, τοσούτῳ μᾶλλον
οὐκ ἔστιν ὕπνου λαχεῖν· ἀλλ' ὥσπερ οἱ φρενιτίζοντες ἀεὶ με-
τέωρος οὗτος καὶ νύκτωρ καὶ μεθ' ἡμέραν. νὴ Δί' ἀλλ'
ἐκείνων ἰδεῖν ἔστιν ἕκαστον περὶ τὸν οἶνον καὶ τὰς ἑταίρας

6, 3. τήν. τοῦ C. ‖ οἱ τραγῳδοί φασιν malim abesse, ut v. τούτοις δὲ οὐκ ἄξιον ἀπιστεῖν analepsis vim habeant. ‖ 5. μετά. sic dedi. μὲν μετὰ reliq. ‖ 6. κἀκείνην BCMH. Reisk. (idem κἀκείνω), κἀκείνων reliq. ‖ 7. τούτοις. καὶ τούτοις B. ‖ 8. οὐχ. οὐκ H. ‖ τῶν τυχόντων CMH, τῶν om. reliq. ‖ 10. ἐπειδή. sic dedi. ἔτι δὲ reliqui. nam ita demum antecedentia ad rem pertinent. ‖ ἰδεῖν ἔστιν. ἔστιν ἰδεῖν CH. mrg. C haec adscripta sunt: τὴν παντάλου (Ταντάλου) et οἶμαί σε φάσκειν τὴν Ὀδυσσέως δίων. uterque erravit. ‖ 11. γλῶτταν. δόξαν Reisk. — 7, 3. ἄλλο. ἀλλ' CH. ‖ 4. ἀποπίμπλησι. ἀποπίπλησι C. ‖ οὐδεὶς ἄν. sic dedi. idem visum Pflugkio. ἂν om. reliq. ‖ 6. εἰς ὡραῖον Casaub., Ῥωμαῖον (om. εἰς) C, εἰς ῥωμαίων M, εἰς Ῥωμαῖον reliq. ‖ θεραπεύει BCM (corr. θεραπεύσει). marg. m, θεραπεύσει reliq. ‖ 7. μικροῦ. σμικροῦ B. ‖ Θάσιον. θάσι C. ‖ 8. κατέπλησε. κατέπιε M, ὃ κατέπιεν B. ‖ καί. ἀλλὰ καὶ B. mrg. m. ‖ 9. οὐκ ἂν εἷς Reisk., οὐκ ἂν οὐδεὶς reliqui. οὐκ ἂν εἷς οὐδεὶς Pflugkius. — 8, 3. μέντοι. μὲν (corr. vulg.) H. ‖ τὸ τῆς. τὰ τῆς CH. ‖ 4. ὕπνου λαχεῖν BCMH, λαχεῖν ὕπνου reliq. ‖ φρενιτίζοντες. φρενητίζοντες corr. H. ‖ ἀεὶ CMH, οὕτως ἀεὶ reliq. ‖ 6. ἐκείνων ἰδεῖν ἔστιν ἕκα-

καὶ τὰ ὀπτανεῖα. τῷ τοιούτῳ δὲ οὐκ ἀνάγκη πολὺ μὲν ὄψον ἀγοράζειν, πολὺν δὲ οἶνον, αὐλητὰς δὲ καὶ μίμους καὶ κιθαριστὰς καὶ θαυματοποιοὺς συνακτέον, ἔτι δὲ πύκτας καὶ παγκρατιαστὰς καὶ παλαιστὰς καὶ δρομεῖς καὶ τὸ τοιοῦτον ἔθνος, εἴ γε μὴ μέλλει φαύλως μηδὲ ἀγεννῶς ἑστιάσειν τὸ
9 πλῆθος; τοιοῦτος μὲν γὰρ οὐδεὶς πώποτε τῶν ὀψοφάγων γέγονεν, ὅστις ἐπεθύμησε λέοντος ἀγρίου ἢ ταύρων ἑκατόν· οἱ δὲ τοῖς πολλοῖς ἀρέσκειν ἐθέλοντες οὐ μόνον τούτων ἐπι- 607 M.
θυμοῦσιν, ἀλλ' ὅσων οὐδὲ εἰπεῖν ἔστιν. οὐ γὰρ ὀλίγοις λίνοις, φασίν, ἢ δυσὶν ἢ τρισὶν ἑταίραις οὐδὲ δέκα Λεσβίοις θηρεύεται δόξα καὶ δῆμος ὅλος εἰς πειθὼ καὶ φιλίαν ἄγεται μυρίων ἀντιπραττόντων· ἀλλὰ ἀνάγκη πόλεως ἀκολασίαν ἔχειν καὶ φιλῳδὸν καὶ φιλοχορευτὴν καὶ φιλοπότην καὶ ὀψοφάγον εἶναι καὶ πάντα δὴ τὰ τοιαῦτα μὴ ὡς ἕνα ἄνδρα, ἀλλὰ 351 R II
μυρίους ἢ δισμυρίους ἢ δεκάκις, ἡλίκης ἄν ποτε ἐρασθῇ πό-
10 λεως. ἀεὶ δ' ἂν παρὰ τῷ τοιούτῳ καταλάβοις

αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων.
— παρὰ δὲ πλήθουσι τράπεζαι
σίτου καὶ κρειῶν, —
— μέθυ δ' ἐκ κρητήρων — οἰνοχόοι φορέουσι.
κνισῆεν δέ τε δῶμα περιστεναχίζεται αὐλῇ
ἤματα, νύκτας δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν

οὐδέποτε εὕδουσιν, οὐδ' ἂν πάνυ πολλοὺς ὑποστορέσωνται
11 τάπητας. ὥστε τούς γε φιλόπαιδας καὶ σφόδρα οἶμαι μακαρίζειν αὐτοὺς τοῖς φιλοδόξοις παραβάλλοντας, ὅταν αὐτοὶ μὲν ὄρτυγας ζητῶσιν ἢ ἀλεκτρυόνα ἢ ἀηδόνιον, τοῖς δὲ ὁρῶσιν

στον. ἐκείνους ἐστιν ἰδεῖν C, ἐκείνους ἰδεῖν ἐστὶν MH. ‖ 7. δὲ οὐκ. δὲ ἀεὶ B. ‖ 11. μέλλει. μέλλοι CH. — 9, 3. μόνον BM, μόνων reliq. ‖ 4. ὅσων BCMH. r, ὅσον vm. ‖ 5. ἑταίραις. ἑτέραις B. ‖ Λεσβίοις MH, Λεσβίαις reliq. ‖ 10. ἡλίκης ἄν ποτε Selden., ἢ ἡλίκης ἄν ποτε Obs. p. 60, ἠδίκεις ἄν ποτε B, εἰ δήκης ἄν ποτε C, ἢ δίκης ἄν ποτε A, ἢ ἠδικησάν ποτε reliqui (at mrg. H εἰδήκεισάν ποτε), unde ἢ μηδὲ δοκῆσαι ἄν ποτε Reisk., εἰ τύχῃ ἄν ποτε Morell. ‖ ἐρασθῇ Obs. l. l, ἐρασθεὶς C, ἐραστὴς reliqui. possit ἐραστὴς ᾖ vel ᾗ ἐραστής, quod voluit Seldenus. — 10, 2. αὐλῶν. Il. 10, 13. ‖ 6. περιστεναχίζεται M. Od. 10, 10, περιστοναχίζεται reliq. ‖ αὐλῇ Od. l. l, αὐλὴ BMH, δ' αἰδὴ C, δ' αὐλὴ reliq. ‖ 7. ἤματα νύκτας MH. Hom. Od. 10, 11, ἤματα νύηκτας C, ὕπερθεν νύκτας B, μετὰ νύκτας reliq. ‖ αἰδοίῃς. αἰδοίοις CH. ‖ 8. οὐδέποτε. οὐδέποθ' CH. — 11, 1. καὶ in H a corr. add. ‖ 2. αὐτοὺς MH, αὑτοὺς BC, ἑαυτοὺς reliq. ‖ 3. ἀλεκτρυόνα BCM (corr. ἀλεκτρυόνας), ἀλεκτρυόνας reliq. ‖ ἀηδόνιον CMH. Reisk., ἀηδόνα B, ἀηδόνειον

ἀνάγκην οὖσαν ἀμοιβαίαν πῶλον ζητεῖν ἢ τῶν Ὀλυμπίασι
νενικηκότων τινὰ πέντε μισθοῦσθαι ταλάντων. καὶ αὐτοὶ
μὲν εἴτε τὸν παιδαγωγὸν ἢ τὸν ἀκόλουθον ἐγάστρισαν· οἱ δὲ
ἂν μὴ τοὐλάχιστον ἑκατὸν τῆς ἡμέρας πολυτελῶς ἑστιάσωσιν,
οὐδὲν αὐτοῖς ὄφελος. τοῖς μὲν οὖν κάμνουσιν ἡσυχίας προ-
νοοῦσιν οἱ θεραπεύοντες, ὅπως καθεύδωσι· τοῖς δὲ δοξοκό-
ποις, ὅταν ἡσυχίας τυγχάνωσι, τότε μάλιστα ὕπνος οὐκ ἔπει- 352 R II.
12 σιν. οἱ μὲν οὖν χρημάτων ἢ γένους ἐπιτυχόντες ἤ τινος τῶν
τοιούτων ἢ σώματος ἢ διανοίας ἢ λαλιὰν γοῦν περιποιησά-
μενοι, καθάπερ ἐπτερωμένοι, μονονοὺ κατ' ἄστρων φέρονται,
δημαγωγοί τε καὶ ξεναγοὶ καὶ σοφισταὶ λεγόμενοι, δήμους
καὶ σατράπας καὶ μαθητὰς θηρεύοντες· τῶν δὲ ἄλλων ἕκα- 608 M.
στος τῶν μηδεμίαν χορηγίαν ἐχόντων, ὑπὸ δὲ τῆς αὐτῆς νόσου
κρατουμένων, περιέρχεται πρὸς ἕτερον ζῶν καὶ τί περὶ αὐτοῦ
λέγει τις φροντίζων. κἂν μὲν εὐφημήσῃ τις, ὡς οἴεται, μα-
κάριος καὶ φαιδρός· εἰ δὲ μή, ταπεινός τε καὶ κατηφὴς καὶ
τοιοῦτον αὑτὸν εἶναι νομίζων, ὁποῖον ἂν εἴπῃ τις. καὶ δίαι-
ταν μὲν ἢ δίκην ἂν ἔχῃ πρός τινα, οὐκ ἀξιοῖ τὸν διαιτητὴν ἢ
τὸν δικαστὴν τοῖς τυχοῦσι προσέχειν μάρτυσιν, αὐτὸς δ' ὑπὲρ
13 ἑαυτοῦ πάντας ἀξιόχρεως ἡγεῖται. τί δὴ κακοδαιμονέστερον
ἀνθρώπων ἐπ' ἄλλοις κειμένων καὶ τὸν ἀπαντῶντα κύριον
ἐχόντων, πρὸς ὃν ἀεὶ βλέπειν ἀνάγκη καὶ σκοπεῖν τὸ πρόσ-
ωπον ἑκάστου, καθάπερ τοῖς οἰκέταις τὸ τῶν δεσποτῶν;
πᾶσα μὲν οὖν ἐστι δουλεία χαλεπή· τοὺς δὲ ἀπὸ τύχης ἐν

reliq. ‖ τοῖς δὲ BCMH, τῆς δὲ reliq. ‖ ὁρῶσιν. sic dedi. ἐρῶσιν BM, δόξης ἐρῶσιν reliqui, unde δόξης ἐρῶσιν ὁρῶσιν Reisk., δόξης ὁρῶσιν Geelius, qui ἀμοιβαίαν ad ἀνάγκην refert. idem visum est Pflugkio. ‖ 4. ἀμοιβαίαν. in hoc v. aliquod mihi equorum epitheton latere videtur, quale Νισαίαν. an ἀμοίβαιον deleto ἢ ante τῶν scribendum est? ‖ 6. εἴτε τὸν. sic dedi. ἤτε τὸν B, εἴς τε τὸν M, ἢ τὸν reliq. ‖ ἐγάστρισαν. ἐγκάστρισαν M. ‖ 8. οἱ δὲν — κάμνουσιν om. H (add. mrg.). ‖ 9. καθεύδωσι CM, καθεύδουσι B, καθεύδωσιν reliq. — 12, 1. ἐπιτυχόντες ἢ τινος τῶν τοιούτων CH, ἐπιτυχόντες ἢ τῶν τοιούτων BM (corr. ἐπιτυχόντες ἤ τινα τῶν τοιούτων), ἐπιτυχόντες ἤ τινα τῶν τοιούτων vm, ἤ τινος τῶν τοιούτων om. r. ‖ 2. διανοίας. ἀπονοίας BCMH. ‖ περιποιησάμενοι BCM, περιεποιησάμενοι vm, περιποιησάμενοι ἤ τινα τῶν τοιούτων r. ‖ 3. μονονοὺ. μονοὺν C. ‖ 4. ξεναγοὶ BCMH. Pflugk., ξεναγωγοὶ reliqui. conf. Orat. 78, § 27. ‖ 7. ζῶν. ζητῶν H. ‖ 10. αὑτὸν. αὐτὸν H. ‖ εἴπῃ BCMH. Pflugk., εἴποι reliq. ‖ 12. δ' C, δὲ reliq. ‖ 13. ἑαυτοῦ. αὐτοῦ CMH. ‖ ἀξιόχρεως. ἀξιοχρέους CH. — 13, 2. καὶ τὸν. καὶ τῶν CM. ‖ ἀπαντῶντα. ἀπατῶντα B.

οἰκίᾳ τοιαύτῃ δουλεύοντας, ἐν ᾗ δύο ἢ τρεῖς δεσπόται, καὶ
ταῦτα ταῖς τε ἡλικίαις καὶ ταῖς φύσεσι διάφοροι· λέγω δὲ 353 R II.
πρεσβύτης ἀνελεύθερος καὶ τούτου παῖδες νεανίσκοι πίνειν
καὶ σπαθᾶν θέλοντες· τίς οὐκ ἂν τῶν ἄλλων οἰκετῶν ὁμολο-
γήσειεν ἀθλιωτέρους, ὅταν τοσούτους δέῃ θεραπεύειν καὶ
14 τούτων ἕκαστον ἄλλο τι βουλόμενον καὶ προστάττοντα; εἰ δέ
τις δημόσιος οἰκέτης εἴη πρεσβυτῶν, νεανίσκων, πενήτων,
πλουσίων, ἀσώτων, φιλαργύρων, ποῖός τις ἂν ὁ τοιοῦτος εἴη;
οἶμαι δὲ, εἴ τις ἐν τοιαύτῃ πόλει χρήματα ἔχων ἠναγκάζετο
βιοῦν, ἐν ᾗ πᾶσιν ἐξῆν ἁρπάζειν τὰ τοῦ πέλας καὶ μηδεὶς
νόμος ἐκώλυε, παραχρῆμα ἂν ἀπέστη τῶν χρημάτων, εἰ καὶ
φιλαργυρίᾳ τοὺς πώποτε ὑπερβεβλήκει. τοῦτο δὴ νῦν ἐπὶ τῆς
δόξης ἐστίν. ἐφεῖται γὰρ εἰς ταύτην τῷ βουλομένῳ τινὰ
15 βλάπτειν, καὶ πολίτῃ καὶ ξένῳ καὶ μετοίκῳ. τοῖς ἀτίμοις
ἀβίωτος εὐλόγως ὁ βίος φαίνεται καὶ πολλοὶ μᾶλλον αἱροῦν-
ται θάνατον ἢ ζῆν τὴν ἐπιτιμίαν ἀποβαλόντες, ὅτι τῷ ἐθε-
λήσαντι τύπτειν ἔξεστι καὶ κόλασις οὐκ ἔστιν οὐδεμία τοῦ
προπηλακίζοντος. οὐκοῦν τὸν δοξοκόπον ἅπασιν ἔξεστι τύ- 669 M.
πτειν τῷ παντὶ χαλεπωτέρας πληγὰς τῶν εἰς τὸ σῶμα. καίτοι
τοὺς μὲν ἀτίμους οὐκ ἂν εὕροι τις ῥᾳδίως ὑπό τινος τοῦτο
πάσχοντας· τὸ γὰρ νεμεσητὸν οἱ πολλοὶ καὶ τὸν φθόνον εὐ-
λαβοῦνται καὶ τὸ τελευταῖον ἐκ τῶν ἀσθενεστέρων αὐτοῖς
οὐδείς ἐστι κίνδυνος. τοῦ δὲ βλασφημεῖν μάλιστα τοὺς δο-
κοῦντας ἐνδόξους οὐδεὶς φείδεται, οὐδὲ ἀδύνατος οὐδεὶς, ὅστις
16 οὐκ ἂν ἰσχύσαι ῥῆμα εἰπεῖν. τοιγαροῦν μέτριός τις τῶν ἀρ-
χαίων συνεχῶς τινος αὐτῷ προσφέροντος τοιούτους λόγους

6. τοιαύτῃ. sic dedi. τῇ αὐτῇ reliq. ‖ ἐν ᾗ. ἐὰν ᾗ M, ἧς CH. ‖ καὶ ταῦτα. κατὰ ταυτὸ M, κατ' αὐτὰ (corr. vulg.) H. ‖ 7. τε. δὲ M. ‖ 9. σπαθᾶν. σπαταλᾶν CH. ‖ 11. τούτων. τοῦτον C. ‖ βουλόμενον. βουλευόμενον H. — 14, 2. νεανίσκων Reisk., ἢ νεανίσκων reliq. ‖ 4. τοιαύτῃ. τῇ αὐτῃ C. ‖ 5. ἐν ᾗ. ἐὰν ᾗ M. ‖ 7. ὑπερβεβλήκει BCMH, ὑπερεβεβλήκει reliq. ‖ 8. ἐφεῖται. ἐφεῖτο C. — 15, 1. ἀτίμοις BCMH. r, ἀτόμοις vm. ‖ 2. εὐλόγως. εὔλογος C. ‖ πολλοὶ CMH, πολὺ reliq. ‖ 3. ἀποβαλόντες CMH. Reisk., ἀποβάλοντες B, ἀποβάλλοντες reliq. ‖ ὅτι in rasura in H. ‖ 4. ἔστιν οὐδεμία Pflugk. p. 18, ἔστιν ἰδία BM, ἔστι νὴ δία reliq. ‖ 10. οὐδείς. οὐδ' CH. ‖ τοῦ δέ. δὲ om. CH. ‖ 11. φείδεται in H in rasura, prim. m., ut videtur, φαίνεται. ‖ ἀδύνατος. malim ἀδύνατος οὕτως. idem visum est Pflugkio. — 16, 1. μέτριός. μετρίως M, in H v. τοιγαροῦν μέτριος in rasura sunt. ‖ τις. τι H (corr. vulg.). ‖ 2. τινος αὐτῷ BCM, τινος om. reliq. ‖ προσφέροντος. προφέροντος Selden.

οὐ μὴ παύσῃ κακῶς ἀκούων ὑπ' ἐμοῦ· οὐ γὰρ ἐγώ, φησίν, 354 R II.
ὑπὲρ σοῦ κακῶς ἀκούσομαι. βέλτιον δὲ ἴσως ἦν μηδὲ εἰ λέγει
τὴν ἀρχὴν προσποιεῖσθαι. τὸν οἰκέτην πολλάκις ἀνειμένον
καὶ παίζοντα ὁ δεσπότης περιπεσὼν κλαίειν ἐποίησε· τὸν δὲ
τῆς δόξης ἥττονα ὁ βουλόμενος ἑνὶ ῥήματι συνέστειλεν. εἴ
τις ἐπῳδὰς ἠπίστατο τοιαύτας παρὰ τῆς Μηδείας μαθὼν
ἢ παρὰ τῶν Θετταλῶν, ὥστε φθεγγόμενος τῶν ἀνθρώπων
οὓς ἤθελε ποιεῖν κλαίειν καὶ ὀδυνᾶσθαι μηδενὸς κακοῦ παρ-
όντος, οὐκ ἂν ἐδόκει τυραννὶς εἶναι ἡ τούτου δύναμις; πρὸς
οὖν τὸν ἐπὶ τῇ δόξῃ κεχαυνωμένον οὐκ ἔστιν οὐδεὶς ὃς οὐκ
17 ἔχει ταύτην τὴν ἰσχύν. δύο γὰρ ἢ τρία ῥήματα εἰπὼν εἰς
συμφορὰν καὶ λύπην ἐνέβαλεν. καὶ μὴν εἴ γέ τις οὕτως ἐκ
δαιμονίου τινὸς ἔχοι τὸ σῶμα, ὥστε, ἄν τις αὐτῷ καταράση-
ται, παραχρῆμα πυρέττειν ἢ τὴν κεφαλὴν ἀλγεῖν, οὗτος ἂν
ἀθλιώτερος ὑπῆρχε τῶν τρισαθλίων· εἰ δέ τις οὕτως ἀσθε-
νῶς ἔχοι τὴν διάνοιαν, ὥστε, εἴ τις λοιδορήσειεν αὐτόν, ἐξί-
στασθαι παραχρῆμα τὴν ψυχήν, πῶς οὐχὶ τῷ τοιούτῳ φευκτὸς
ὁ βίος; εἰ δέ τις κρίνοιτο καθ' ἑκάστην ἡμέραν περὶ ὅτου
δήποτε, ἢ περὶ τοῦ ζῆν ἢ περὶ τῶν χρημάτων, ἆρ' οὐχὶ τῷ
παντὶ βέλτιον ἐᾶσαι τοῦτο καὶ μηκέτι τὸ λοιπὸν κινδυνεύειν;
καὶ εἰ μὲν περὶ χρημάτων, τὰ χρήματα, εἰ δὲ περὶ τοῦ ζῆν,
18 τὸν βίον; τί οὖν; ὁ περὶ τῆς δόξης ἀγὼν οὐκ ἀεὶ τοῖς ἀν-
θρώποις τοῖς ἀνοήτοις ἐνέστηκεν; μόνον οὐχ ἅπαξ τῆς ἡμέρας,
ἀλλὰ πολλάκις, οὐδὲ ἐφ' ὡρισμένοις δικασταῖς, ἀλλὰ πᾶσιν 610 M.
ἁπλῶς, καὶ τούτοις ἀνωμότοις καὶ μήτε μαρτύρων ἐπιστρε- 355 R II.

3. οὐ μὴ Reisk., εἰ μὴ reliq. ‖ ἀκούων ὑπ' ἐμοῦ Reisk., ἀκοῦσα ὑπ' ἐμοῦ Selden., ἀκούων ὑπὲρ ἐμοῦ reliq. ‖ οὐ γὰρ ἐγώ. sic dedi. κἀγὼ reliqui. possit οὐκ ἐγώ. hunc locum sic constituit Reiskius: κἀγώ, φησίν, ὑπό σου καλῶς ἀκούσομαι, *tempus veniet, quo tu laudes meas praedicabis.* quod ita dici non potuit. Geelius: κἀγώ, φησίν, ὑπέρ σου καλῶς ἀκούσομαι, *ego propter te laudabor, quippe maledictis tuis nihil reponens.* at κἀγὼ ab hac sententia alienum est. Pflugkius: κἀγώ, φησίν, σοῦ κακῶς ἀκούσομαι, *dicit se fore hebetiorem ad audienda illius convicia.* quod acuminis expers est. ‖ 8. εἴ τις. εἶτ' εἴ τις r. ‖ ἐπῳδὰς CH, ἐπαοιδὸς (corr. ἐπαοιδάς) M, ἐπαοιδὰς reliq. ‖ ἠπίστατο H, ἐπίστητο C, ἐπίσταιτο reliqui, quamquam hoc quoque ferri potest. ‖ τοιαύτας. τοιαῦτα M. ‖ παρὰ BM, ἢ παρὰ reliq. ‖ 12. ἐπὶ τῇ. τῇ om. CH. — 17, 2. οὕτως. οὕτω H. ‖ 4. οὗτος ἂν Pflugk., ἂν om. reliq. ‖ 7. παραχρῆμα. καὶ παραχρῆμα BM. — 18, 2. μόνον οὐχ BM, οὐ μόνον H, οἱ οὐ μόνον οὐχ reliqui, unde οὐχ delebat Pflugk. ‖ 3. πολλάκις BM (corr. πολλάκις εὐθύνονται), πολλάκις εὐθύνονται reliq.

φομένοις μήτε τεκμηρίων. μήτε γὰρ εἰδότες μήτε ἀκούοντες
μήτε λαχόντες δικάζουσι, καὶ οὐδὲν αὐτοῖς διαφέρει πίνουσιν
ἢ λουομένοις τὴν ψῆφον φέρειν. καὶ τὸ πάντων δεινότατον·
19 ὃν γὰρ ἂν ἀπολύσῃ τήμερον, αὔριον καταδικάζει. οὐκοῦν
ἀνάγκη τὸν ὑπὸ τῆς νόσου ταύτης ἐχόμενον ὑπεύθυνον περι-
έρχεσθαι καὶ προσέχειν ἑκάστῳ καὶ δεδοικέναι, μή τινα ἑκὼν
ἢ ἄκων λυπήσῃ, μάλιστα τῶν ἑτοίμων τινὰ καὶ τῶν εὐτρα-
πέλων. εἰ γὰρ καὶ σμικρὸν, οἷα πολλὰ συμβαίνει, προσκρού-
σας τινὶ τύχοι, εὐθὺς ἐπαφῆκε ῥῆμα χαλεπὸν, καὶ τοῦτο
εἰπὼν, ἐὰν μὲν ἀποτύχῃ πως, ἧττον ἐτάραξεν, ἐὰν δ' ἐπιτύχῃ
τοῦ καιρίου, παραχρῆμα ἀνῄρηκεν. πολλοὶ μὲν γὰρ οὕτως
20 ἔχουσιν, ὥστε ὑπὸ παντὸς διατρέπεσθαι καὶ διαῤῥεῖν. οὐ μὴν
ἀλλὰ καὶ ἐνίοτε ἄλλα ἐπ' ἄλλοις μᾶλλον ἰσχύει, καθάπερ
οἶμαι τῶν παιδαρίων ἕκαστον ἰδιότροπόν τινα μορμὼ δέδοικε
καὶ ταύτην συνείθισται φοβεῖσθαι· τὰ μὲν γὰρ φύσει δειλὰ,
πᾶν ὅτι ἂν δείξῃ τις ὡς φοβερὸν, βοᾷ· πλὴν ἐπί γε τούτων
τῶν μειζόνων ἤδη τινά ἐστι πρὸς τινάς. τὸν πτωχὸν τὸν
ἀλαζόνα καὶ θέλοντα φαίνεσθαι Κροῖσον ἐξίστησιν ὁ Ἶρος,
καὶ οὐδὲ τὴν Ὀδύσσειαν ἀναγινώσκει διὰ τὸ

ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος ὃς κατὰ ἄστυ,

21 τὸν ἐκ δούλων ὁ Κέρκωψ, τὸν εὐτελῆ τὴν ὄψιν καὶ καλὸν 356 R II
εἶναι βουλόμενον ὁ Θερσίτης. ἐὰν μὲν γὰρ εἰς λίχνον ἢ φιλ-
άργυρον σκώψῃς ἢ κίναιδον ἢ καθόλου πονηρὸν τὸν ἐπὶ τῇ
σωφροσύνῃ κομῶντα καὶ τὴν ἀρετὴν ἐπιγεγραμμένον, ὅλον

5. μήτε γάρ. οἱ μήτι Pflugkius, aut μήτι ter in οὔτι mutandum censet. ‖ 6. δικάζουσι CM, δικάζουσιν reliq. ‖ 8. ἂν ἀπολύσῃ. ἀπολύσει CMH. — 19, 2. ἐχόμενον. ἐχόμενος C. ‖ 3. μή BCMH, μήτι reliq. ‖ 4. ἑτοίμων. malim ἰταμῶν ‖ 5. οἷα Obs. p. 61, ὅσα reliq. ‖ 6. ἐπαφῆκε. ἰσπάθησε BC (mrg. ἔσπασε), ἰσπάθισε M, in H est εὐπαθείας ἔρημα (mrg. ἰσπάθησε ῥῆμα). ‖ 8. καιρίου Casaub., κυρίου reliq. — 20, 2. ἄλλοις. ἄλλους Selden. ‖ 5. ἐπί γε τούτων τῶν. ἐπί τι τούτων καὶ τῶν (et mox cum Reiskio ἴδια) Pflugkius. frustra. ‖ 6. ἤδη. ἴδια Reisk. ‖ πτωχὸν τὸν. sic dedi. πτωχὸν Reisk., πτωχὸν ὄντα Pflugk., πτωχὸν δὲ reliq. ‖ 7. καὶ θέλοντα. καθελόντα H. ‖ ἐξίστησιν. ἐξίστασιν vm. ‖ Ἶρος M, Ἴρος reliq. ‖ 8. διὰ τὸ om. BCH. ‖ 9. ὃς MH, om. B, ὡς reliqui. conf. Od. 18, 1. ‖ ἄστυ. ἄστυ πτώχευε ἐκ' Ἰθάκης C, ἄστυ πτωχεύεσκ' Ἰθάκης H. — 21, 1. τὸν ἐκ δούλων. excidisse quaedam, ut καὶ εὐγένειαν προσποιούμενον, suspicatur Geel. ‖ Κέρκωψ Geel., Κέκροψ BH, Κέκρωψ reliqui. Cecrops per se non alienus. terrae enim filium significare potest. ‖ καλὸν. κακὸν H. ‖ 2. ἐὰν — σκώψῃς om. H (add. mrg.). ‖ 3. τὸν delet Pflugk. ‖ 4. ἐπιγεγραμμένον. ἐπιγραμμένον vm.

ἀπολώλεκας. ὁ Περσεὺς τὴν κεφαλὴν τῆς Γοργόνος περιφέρων καὶ ταύτην τοῖς ἐχθροῖς δεικνὺς ἐποίει λίθους· οἱ πολλοὶ δὲ ὑφ' ἑνὸς ῥήματος, ἐὰν ἀκούσωσι, λίθοι γεγόνασι·
22 καὶ τοῦτο οὐ δεῖ περιφέρειν ἐν πήρᾳ φυλάττοντα αὐτό. καίτοι φέρε, εἰ καὶ τῶν ὀρνέων τὰς φωνὰς συνίεμεν, τῶν κοράκων 611 M.
ἢ κολοιῶν καὶ τῶν ἄλλων ζώων, οἷον βατράχων ἢ τεττίγων, δηλονότι καὶ ταῖς τούτων φωναῖς ἂν προσείχομεν, τί λέγει περὶ ἡμῶν ὁ κολοιὸς ὁ πετόμενος ἢ τί φησιν ἡ κίττα καὶ τίνα ἔχει δόξαν. οὐκοῦν εὐτύχημα τὸ μὴ ξυνιέναι. πόσοι δὴ τῶν ἀνθρώπων τῶν βατράχων εἰσὶν ἀφρονέστεροι καὶ τῶν κολοιῶν; ἀλλ' ὅμως κινεῖ τὰ παρὰ τούτων ἡμᾶς καὶ πάνυ
23 κακῶς διατίθησιν. οὐ μὴν ὅ γ' ἀφεὶς ἐλεύθερον ἑαυτὸν ἐπιστρέφεται τῆς τῶν πολλῶν φλυαρίας, ἀλλὰ τῆς μὲν ἐκείνων 351 R II.
ἀδολεσχίας καταγελᾷ πάλαι δὴ πρὸς ἅπαντας εἰρηκώς·

οὐκ ἀλέγω, ὡσεί με γυνὴ βάλοι ἢ πάϊς ἄφρων·
κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.

τὸν Ἡρακλέα τὸν τοῦ Διὸς πόσους οἴει βλασφημεῖν, τοὺς μὲν ὡς κλῶπα, τοὺς δὲ ὡς βίαιον· τοὺς δὲ καὶ μοιχὸν λέγειν ἢ τεκνοκτόνον; ἀλλ' ὅμως οὐδὲν αὐτῷ τούτων ἔμελεν, οὐδὲ ἦν ἴσως τις ὁ ταῦτα φανερῶς λέγων, ἐπεὶ παραχρῆμα ἂν ὑπέσχε
24 τὴν δίκην. καὶ σὺ τοίνυν, εἰ μὴ τῶν ἄλλων καταφρονῆσαι πείσεις σαυτὸν, οὐδέποτε παύσῃ κακοδαιμονῶν, ἀλλ' ἀεὶ βίον ἄθλιον ζήσεις καὶ χαλεπὸν, πᾶσιν ὑποκείμενος τοῖς βουλομένοις λυπεῖν καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, λαγὼ βίον ζῶν. ἀλλ' ἐκεῖνοι μὲν τοὺς κύνας καὶ τὰ δίκτυα καὶ τοὺς ἀετοὺς δεδοίκασι, σὺ δὲ τοὺς λόγους ἐπτηχὼς καὶ τρέμων περιελεύσῃ, μηδεμίαν φυλακὴν φυλάξασθαι δυνάμενος μηδ' ἂν ὁτιοῦν

5. *Γοργόνος* BCMH. r, *Γοργόνης* vm. ‖ 6. *ἐποίει. ἐπίει* M. ‖ 7. *πολλοί.* malim *τοιοῦτοι.* ‖ *δέ. δή* m. ‖ 8. *αὐτό* BCM (corr. *αὐτήν*), *αὐτὴν* H, *αὐτὸν* reliqui, malim abesse. Pflugkius *φυλαττόμενον* pro *φυλάττοντα αὐτό.* — 22, 4. *προσείχομεν. προσέχοιμεν* CH. ‖ *λέγει* in H in rasura; fuisse videtur *λέγοι.* ‖ 6. *πόσοι* BCMH. r, *πόσαι* vm. ‖ 7. *ἀφρονέστεροι. ἀφονότεροι* C, *ἀφωνότεροι* H, *ἀφρονέστερον* m. ‖ 8. *τούτων ἡμᾶς* BCMH, *ἡμᾶς* om. reliq. — 23, 2. *τῆς μέν. μὲν* delet Reisk. ‖ 3. *εἰρηκώς. εἰρηνικῶς* B. ‖ 4. *πάϊς* MH, *παῖς* reliqui. Il. 11, 389. ‖ 5. *ἀνδρὸς* om. H (add. corr.). ‖ 7. *ὡς βίαιον· τοὺς δὲ* om. C. ‖ 8. *ἔμελεν. ἔμελε* C. ‖ 9. *ἴσως. ἴσας* C. — 24, 1. *καὶ σὺ τοίνυν* om. CMH. ‖ *καταφρονῆσαι* Casaub. r, *καταφρονήσας* reliq. ‖ 2. *πείσεις* CH. Pflugk., *πείθεις* M, *πείσας* Selden., *πείσῃς* reliq. ‖ *σαυτὸν* M. Casaub., *αὑτὸν* Reisk., *αὐτὸν* reliq. ‖ *οὐδέποτε. δέ ποτε* B. ‖ 6. *τρέμων. τρέμων καὶ* B.

25 πράττῃς, μηδ' ἂν ὅπως βούλει διάγῃς. ἀλλ' ἐὰν μὲν ἐμβάλλῃς συνεχῶς εἰς τὴν ἀγοράν, ἀγοραῖος ἀκούσῃ καὶ συκοφάντης· ἐὰν δὲ τοὐναντίον φυλάττῃ τὸ τοιοῦτον καὶ μᾶλλον ᾖς κατ' οἰκίαν καὶ πρὸς τοῖς ἑαυτοῦ, δειλὸς καὶ ἰδιώτης καὶ τὸ μηδέν· ἐὰν δὲ παιδείας προνοῇ, εὐήθης καὶ μαλακός· ἐὰν δὲ ἐπ' ἐργασίας ᾖς τινος, βάναυσος· ἐὰν σχολάζων περιπατῇς, ἀργός· ἐὰν ἐσθῆτα μαλακωτέραν ἀναλάβῃς, ἀλαζὼν καὶ τρυ- 288 R. 612 M. φερός· ἐὰν ἀνυπόδετος ἐν τριβωνίῳ, μαίνεσθαί σε φήσουσιν.

26 Σωκράτην διαφθείρειν τοὺς νέους ἔφασαν, εἰς τὸ θεῖον ἀσεβεῖν, καὶ οὐκ εἶπον ταῦτα μόνον· ἧττον γὰρ ἂν ἦν· ἀλλὰ καὶ ἀπέκτειναν αὐτὸν ἀνυποδεσίας δίκην λαμβάνοντες. Ἀριστείδην ἐξωστράκισαν Ἀθηναῖοι, καίτοι πεπεισμένοι σαφῶς, ὅτι δίκαιος ἦν. τί δεῖ δόξης ἐπιθυμεῖν, ἧς καὶ ἐὰν τύχῃ τις, οὐκ ἐπ' ἀγαθῷ πολλάκις ἀπώνατο; [δέον πολλάκις εὐλαβεῖσθαι, κἂν ἄρα συμβαίνῃ τινί;] τῷ Βίωνι δοκεῖ μὴ δυνατὸν εἶναι τοῖς πολλοῖς ἀρέσκειν, εἰ μὴ πλακοῦντα γενόμενον ἢ Θάσιον· εὐήθως, ἐμοὶ δοκεῖν. πολλάκις γὰρ οὐδὲ ἐν δείπνῳ δέκα ἀνθρώπων ὁ πλακοῦς ἤρεσε πᾶσιν, ἀλλ' ὁ μὲν ἕωλον εἶναί φησιν, ὁ δὲ θερμόν, ὁ δὲ λίαν γλυκύν. εἰ μὴ νὴ Δία Βίων φησίν, ὅτι καὶ θερμὸν πλακοῦντα καὶ ἕωλον δεῖ γενέσθαι καὶ ψυχρόν. καθόλου δὲ οὐ τοιοῦτόν ἐστι τὸ πρᾶγμα

27 πόθεν; ἀλλὰ καὶ μύρον δεῖ καὶ αὐλητρίδα γενέσθαι καὶ μει-

8. μηδ' ἂν ὅπως. μὴ δι' ἂν ὅπως C, μηδὲ ἂν ὅπως MH. ‖ βούλει CMH, βούλῃ reliq. — 25, 3. ᾖς. εἰς B. ‖ 4. πρὸς BCMH. marg. m, παρὰ reliq. ‖ 5. δὲ παιδείας. δὲ om. CH. ‖ προνοῇ CH, προνοηθῇς Reisk., προνοῇς reliq. ‖ 6. ᾖς CM (ut videtur, sed corr. ἦ). r, ᾖ H. vm. ‖ σχολάζων CM, δὲ σχολάζων reliq. ‖ περιπατῇς Iacobs. Add. p. 219, προπέτης M, προπετὴς reliqui, quod suspectum erat Reiskio. προέλῃ Pflugkius (et σχολάζειν). ‖ 7. ἀναλάβῃς BCMH, λάβῃς reliq. ‖ 8. ἀνυπόδετος H, ἀνυπόδητος reliq. — 26, 1. ἔφασαν. in H inter φ et α litera crasa. ‖ 2. ἦν. malim δεινὸν ἦν. ‖ 3. ἀνυποδεσίας BCM, ἀνυποδησίας reliq. ‖ Ἀριστείδην. ἀριστείδην δ' CH. ‖ 5. τί δεῖ δόξης. malim τί δὴ δόξης δεῖ. ‖ ἧς καὶ om. H (add. corr.). ‖ τις Reisk., πολλῆς τις Casaub., πολλάκις reliq. ‖ 6. οὐκ ἐπ' ἀγαθῷ πολλάκις om. H (add. corr., at ἐν pro ἐπ'). ‖ ἐπ' ἀγαθῷ. ἐν ἀγαθῷ C. ‖ πολλάκις in M mrg. add. ‖ [δέον πολλάκις—συμβαίνῃ τινί] inducenda. ‖ πολλάκις. πολλοὺς Reisk., πολλὰ καὶ πολλοὺς Pflugk. ‖ 7. κἂν ἄρα. κἂν ἀρέσαι Iacobs. Add. p. 219. ‖ συμβαίνῃ BCMH. Iacobs. l. l., συμβαίνεις reliqui, unde συμμένει vel ἀξίῳ συμβαίνει Casaub., συμβαίνῃς Reisk. ‖ τῷ Βίωνι. τῷ βίῳ καὶ B. ‖ δοκεῖ. δοκεῖν B. ‖ 9. ἐμοὶ Casaub., ὡς ἐμοὶ reliq. ‖ 11. λίαν in M mrg. add. ‖ 13. ψυχρόν. an στρυφνόν? ‖ 14. πόθεν om. B. — 27, 1. ἀλλὰ καὶ. καὶ om. H. ‖ αὐλη-

ῥάκιον ὡραῖον καὶ Φίλιππον τὸν γελωτοποιόν. λείπεται δὲ ἓν
ἴσως, ὃ δεήσει γενέσθαι τὸν θέλοντα ἀρέσαι τοῖς πολλοῖς,
ἀργύριον. οὔκουν κἂν ἀργύριον γένηταί τις, εὐθὺς ἤρεσεν,
ἀλλὰ δεῖ ῥάττεσθαι καὶ δάκνεσθαι. τί οὖν ἔτι διώκεις,
ὦ κακόδαιμον, πρᾶγμα ἀκίχητον; οὔτε γὰρ μύρον οὔτε στέ- 359 R II.
28 φανος οὔτε οἶνος σὺ γένοιό ποτ' ἂν οὔτ' ἀργύριον. [κἂν
δ' ἀργύριον γένηταί τις, χρυσίον ἐντιμότερον, κἂν χρυσίον,
ἐψηθῆναι δεήσει.] [τὸ γάρ, ᾧ διαφέρει τῶν πλουσίων ἕκαστος
ἔοικε τῷ νομίσματι. καὶ γὰρ τοῦτο ἐπαινεῖ μὲν οὐδείς, χρῆ-
ται δὲ ἕκαστος τῶν λαβόντων· ἔπειτα ὑπὸ τῶν χρωμένων
ἐκτρίβεται καὶ τελευταῖον ἐν τοῖς ἀδοκίμοις ἐγένετο· κἀκεῖνος
εἰς τοὺς πένητας παρηγγυήθη καὶ τοὺς ἀδοκίμους καὶ οὐδεὶς
ἔτι τὸν τοιοῦτον προσίεται τῶν πρότερον τεθαυμακότων, ἀλλ'
29 οὐδὲ στρέψας ἀποῤῥίπτει.] [ταῖς τῶν τραγῳδῶν Ἐρινύσιν 613 M.
ἔοικεν ἡ δόξα· τὸ μὲν γὰρ φαινόμενον αὐτῆς λαμπρὸν ὅμοιον
τῇ λαμπάδι, τὴν δὲ μάστιγα τοῖς κρότοις τις ἂν οἶμαι καὶ τῇ
βοῇ τῶν πολλῶν προσεικάσειε, τοῖς δὲ ὄφεσι τοὺς ἐνίοτε συ- 360 R II.
ρίττοντας. πολλάκις οὖν ἐν ἡσυχίᾳ τινὰ ὄντα καὶ μηδὲν
ἔχοντα κακὸν ἁρπάσασα καὶ τῇ μάστιγι ψοφήσασα ἐξέβαλεν
εἰς πανήγυρίν τινα ἢ θέατρον.]

τρίδα BCMH. Reisk. (idem αὐλητρίδα σε), αὐλητρίδας reliq. ‖ 2. γελωτοποιόν. γελώποιον C. ‖ 4. οὔκουν. οὐκοῦν M. ‖ εὐθύς. οὐκ εὐθὺς M. ‖ ἤρεσεν. ἠρέσαι (corr. vulg.) M. ‖ 5. ῥάττεσθαι B, ῥήττεσθαι M (mrg. ταράττεσθαι), χαράττεσθαι Selden., ταράττεσθαι reliq. ‖ 6. ἀκίχητον om. BM. ‖ 7. οὔτ' ἀργύριον. ὅς τ' ἀργύριον C. — 28, 1. [κἂν — θέατρον] haec non sunt Dionis, sed librarii vel lectoris ingenio suo indulgentis. ceterum tripartita est interpolatio, neque eius partes rite inter se nexae sunt. ‖ κἂν δ'. δ' om. H. ‖ 3. δεήσει. δεήσῃ B. ‖ ᾧ. ἃ M (mrg. vulg.). ‖ 5. χρωμένων. χρόνων CH. ‖ 6. κἀκεῖνος. οὕτω κἀκεῖνος Reiskius. idem post v. ἀδοκίμους supplet v. ἀτιμάζεται. ‖ 7. παρηγγυήθη Pflugk., παρεγγυηθεὶς reliq. ‖ 9. στρέψας BCM. mrg. m. r, τρέψας vm. de verbo τρίψας cogitavit Seldenus. ‖ ἀποῤῥίπτει. ἀπορριπτεῖ B. — 29, 2. αὐτῆς. αὐτοῖς corr. B. ‖ 6. ἔχοντα. ἄγοντα C. ‖ ψοφήσασα. φοβήσασα aut περιψοφήσασα Reisk.

ΛΟΓΟΣ ξζ.

ΠΕΡΙ ΔΟΞΗΣ ΔΕΥΤΕΡΟΣ.

1 *Α. Τίνι γὰρ δοκεῖ σοι διαφέρειν μάλιστα ὁ σώφρων ἀνὴρ
καὶ φιλόσοφος ἡμῶν τῶν πολλῶν τε καὶ εἰκῇ φερομένων; —
Δ. ἐμοὶ μὲν, εἰ δεῖ οὕτως ἀποφήνασθαι φαύλως τε καὶ ἀκόμ-
ψως, ἀληθείᾳ δοκεῖ διαφέρειν καὶ τῷ ἐπίστασθαι οὐ μόνον
τῶν πολλῶν, ἀλλὰ τῶν πάνυ ὀλίγων τε καὶ μακαρίων νενο-
μισμένων, τὸν φιλόσοφον. — Α. τῷ ὄντι μέντοι φαῦλον καὶ
ἄκομψον τὸ ῥῆμα. — Δ. καί μοι τόδε εἰπὲ πρὸς θεῶν· ἄλλο
τι ἢ ἀληθείᾳ φῂς διαφέρειν τῶν ἄλλων τὸν φιλόσοφον καὶ
τῷ πρὸς ἀλήθειαν ἕκαστον, ἀλλὰ μὴ κατὰ δόξαν σκοπεῖν; —*
2 *Α. φαύλῳ γὰρ ἂν, ὦ ἄριστε, κανόνι καὶ παντάπασι σκολιῷ,
μὰ Δία οὐ μίαν τινὰ καμπὴν ἔχοντι, μυρίας δὲ καὶ πάσας
ὑπεναντίας, τὰ πράγματα σταθμῷτο τῇ δόξῃ πειρώμενος ἀπευ-
θύνειν αὐτά. — Δ. πότερον οὖν τὰ μὲν ἄλλα πάντα πρὸς* 361 R II.
*ἀλήθειαν σκοπεῖ, τὴν δόξαν οὐδαμῇ προσφέρων ὡς ψευδῆ τινα
τῷ ὄντι καὶ ἀστάθμητον στάθμην καὶ κανόνα τοιοῦτον,
ὁποῖον ἄρτι εἴρηκας· αὐτὸς δὲ αὐτὸν τούτῳ τῷ κανόνι καὶ
ταύτῃ τῇ στάθμῃ σταθμώμενος ἀξιοῖ ἂν εἰδέναι; — Α. οὐ
μὰ Δία οὐδαμῶς. — Δ. δῆλον γὰρ, ὅτι οὐδέποτε γνῴη ἂν*

Orat. LXVII. (apud Morellum LXVI.) Collati sunt BCMH. — 1, 2. *ἡμῶν* CH. Casaub., *ὑμῶν* reliq. ‖ *τε καὶ εἰκῇ* Casaub., *τε καὶ* reliq. ‖ 4. *τῷ. τὸ* B. ‖ 5. *ἀλλὰ* BM, *ἀλλὰ καὶ* reliq. ‖ 6. *φιλόσοφον. τῷ ὄντι. φιλόσοφον τῷ ὄντι* Casaubonus, qui ante *μέντοι* quaedam excidisse suspicatur. Pflugkius locum ita constituit: *φιλόσοφον τῷ ὄντι μέντοι, οὐ φαῦλον* cett. ‖ *φαῦλον. οὐ φαῦλον* Casaubonus. frustra. ‖ 7. *ἄλλο τι* BM. Pflugk., *ἄλλῳ τινὶ* reliq. ‖ 8. *καὶ τῷ. καὶ* delebat Pflugk. — 2, 1. *ἂν* om. B ‖ 2. *Δία. δι'* H. ‖ 3. *ὑπεναντίας.* sic dedi. *ἐπεναντίας* M, *ἀπεναντίας* reliq. ‖ *σταθμῷτο τῇ* Casaub., *σταθμῷτο* B, *σταθμῷ τῇ* reliq. ‖ 4. *πότερον. πρότερον* (corr. vulg.) M. ‖ 5. *οὐδαμῇ. οὐδαμοῦ* mrg. m. ‖ 6. *στάθμην. στάθμιον* (mrg. *σταθμηθῆναι*) M, *σταθμηθῆναι* H. mrg. m. ‖ 7. *αὐτὸν. αὐτὸν* H. ‖ 8. *ἀξιοῖ ἂν εἰδέναι.* sic. dedi. *ἄξιος ἂν εἴη* CM. Reisk., *ἄξιος ἂν εἴης* H, *ἄξιον ἂν εἴης* v, *ἄξιον ἂν εἴη* B. mr, possit *δέξιος ἂν εἴη.* ‖ 9. *Δία. δι'* MH. ‖ *γνῴη* BM. r, *γνοίη* C, *γνοίη* H, *γνῴης* vm.

3 ἑαυτὸν οὕτω σκοπῶν. — Α. οὐ γὰρ ἂν γνῴη. — Δ. ὥστε οὐκ
ἂν ἔτι πείθοιτο τῷ Δελφικῷ προσρήματι κελεύσαντι παντὸς 614 M.
μᾶλλον γιγνώσκειν αὑτόν; — Α. πῶς γὰρ ἂν πείθοιτο; —
Δ. οὐκοῦν οὐδὲ τῶν ἄλλων οὐδὲν εἴσεται πραγμάτων αὐτὸν
ἀγνοῶν, οὐδὲ δυνήσεται πρὸς ἀλήθειαν ἐξετάζειν αὑτοῦ πρώτου ἐσφαλμένος; — Α. παντάπασι μὲν οὖν. — Δ. χαίρειν οὖν
ἐάσει τιμὰς καὶ ἀτιμίας καὶ ψόγον τε καὶ ἔπαινον τὸν παρὰ
τῶν ἠλιθίων ἀνθρώπων, ἐάν τε πολλοὶ τύχωσιν ὄντες ἐάν τε
ὀλίγοι μέν, ἰσχυροὶ δὲ καὶ πλούσιοι· τὴν δέ γε καλουμένην
δόξαν ἡγήσεται μηδὲν διαφέρειν σκιᾶς, ὁρῶν ὅτι γίγνεται τῶν
μεγάλων μικρὰ καὶ τῶν μικρῶν μεγάλη· πολλάκις δὲ καὶ τῶν
4 αὐτῶν ὁτὲ μὲν πλείων ὁτὲ δὲ ἐλάττων; — Α. εὖ πάνυ δοκεῖς
μοι προσεικάσαι. — Δ. εἰ οὖν τις εἴη τοιοῦτος ἄνθρωπος,
οἷος ζῆν πρὸς τὴν αὑτοῦ σκιάν, ὥστε αὐξομένης μὲν αὐτῆς
ἐπαίρεσθαι καὶ μεγαλαυχεῖσθαι καὶ τοῖς θεοῖς θύειν αὐτός
τε καὶ τοὺς φίλους κελεύειν, βραχυτέρας δὲ γιγνομένης λυπεῖσθαί τε καὶ ὁρᾶσθαι ταπεινότερος, καὶ τοσούτῳ μᾶλλον, 362 R II.
ὅσῳπερ ἂν ἐλάττων γίγνηται, καθάπερ αὐτὸς φθίνων, θαυμαστὴν ἂν οἶμαι παρέχων διατριβήν· πολύ γε ἂν εἴη τοῦ
Μαργίτου σοφώτερος ἀγνοοῦντος, ὅ τι χρὴ γήμαντα χρῆσθαι
5 τῇ γυναικί. τῆς γὰρ αὐτῆς ἡμέρας ὁτὲ μὲν λυποῖτ' ἄν, ὁτὲ
δὲ χαίροι. πρωὶ μὲν ἐπειδὴ ἴδοι τὴν σκιὰν ἑωθινὴν πάνυ
μακράν, τῶν τε κυπαρίττων καὶ τῶν ἐν τοῖς τείχεσι πύργων
σχεδὸν μείζω, δηλονότι χαίροι ἂν ὡς αὐτὸς ἐξαπίνης γεγονὼς

10. οὐ γάρ. οὐκ C. ‖ γνῴη BM. r, γνοίη C, γνοίης H, γνῴης vm. — 3, 2. πείθοιτο. πίθοιτο BM. ‖ 3. γιγνώσκειν BCM, γινώσκειν reliq. ‖ αὑτόν. αὐτὸν M. ‖ γὰρ ἂν M, ἂν om. reliq. ‖ πείθοιτο. πίθοιτο B. ‖ 4. αὐτὸν. αὐτὸν M. ‖ 5. αὑτοῦ. sic dedi. αὐτὸν τοῦ reliq. ‖ 6. χαίρειν οὖν. οὖν om. BM. ‖ 8. τύχωσιν. τυγχάνωσι H. ‖ ἐάν τε ὀλίγοι CH, ἐάν τε om. M, ἄν τε ὀλίγοι reliq. ‖ 9. γε. τε M. ‖ 10. γίγνεται B, γίνεται reliq. ‖ 11. μικρά. σμικρὰ B. ‖ μικρῶν. σμικρῶν B. ‖ δὲ καὶ CH. Pflugk., δὲ om. reliq. ‖ 12. πλείων. πλίων B, πλέον H (corr. vulgat.). ‖ ἐλάττων. ἔλαττον (corr. vulg.) H. — 4, 1. εὖ πάνυ δοκεῖς Selden., ᾧ πάνυ δοκεῖ B, πάνυ εὖ μοι δοκεῖς Reisk. (idem οὐ πάνυ φαύλως δοκεῖς), οὐ πάνυ δοκεῖ reliq. ‖ 3. τὴν αὑτοῦ H, αὐτοῦ B, τὴν αὐτοῦ reliq. ‖ 6. ταπεινότερος M. r, ταπεινότερον reliq. ‖ 7. γίγνηται. sic dedi. γίνηται BCMH, γένηται reliq. ‖ 8. παρέχων. παρέχοι Selden. ‖ πολύ γε. καὶ πολύ γε vel πολύ τε Pflugkius, qui probat παρέχοι ‖ 9. Μαργίτου. μαργείτου M. ‖ σοφώτερος. κωφότερος Vales. in Not. Mauss. ad Harpocr. p. 370, κομψότερος Wyttenb. ad Plut. Moral. T. II, p. 494. ‖ ὅ τι Vales. l. l., ὅτι reliq. — 5, 2. χαίροι BCMH. r, χαίρει vm. ‖ πρωί. πρώιει M. ‖ ἐπειδή. ἐπειδὰν BCMH. ‖ ἑωθινὴν CMH, τὴν ἑωθινὴν reliq. ‖ 4. ὡς αὐτός. ὡσαύτως M.

τοῖς Ἀλωάδαις ἴσος καὶ εἰς τὴν ἀγορὰν βαδίζοι ἂν καὶ εἰς
τὰ θέατρα καὶ πανταχόσε τῆς πόλεως, ὅπως ἂν ὑπὸ πάντων
βλέποιτο. περὶ δὲ πλήθουσαν ἀγορὰν ἄρχοιτ' ἂν σκυθρω-
πότερος αὐτοῦ γίγνεσθαι καὶ ἀναχωροίη. τῆς δὲ μεσημβρίας
αἰσχύνοιτ' ἂν ὀφθῆναι ἀνθρώπῳ τινὶ καὶ ἔνδον μένοι ἂν
ἐγκλεισάμενος, ἐπειδὰν ἐν τοῖς ποσὶ βλέπῃ τὴν σκιάν· πάλιν
δὲ περὶ δείλην ἀναλαμβάνοι αὑτὸν καὶ γαυρότερος φαίνοιτ'
6 ἂν ἀεὶ πρὸς ἑσπέραν. — Λ. πάνυ μοι δοκεῖς ἄτοπον διάθεσιν
καὶ ἄνδρα διαπλάττειν ἠλίθιον. — Δ. οὐκοῦν ὁ τῇ δόξῃ προσ-
έχων οὐδέν τι βελτίων, ἀλλὰ πολὺ ἀθλιώτερος. πολλάκις
γὰρ ἂν πλείους μεταβολὰς ἐν ἡμέρᾳ μιᾷ μεταβάλλοιτο· καίτοι
οὐχ ὥσπερ ἐκεῖνος ἐν τεταγμέναις ὥραις τισίν, ἀλλὰ καὶ δεί- 615 M
λης καὶ ἕωθεν οὐδὲν αὐτὸν κωλύσει μὴ δυστυχέστατον ἀν-
θρώπων εἶναι, νῦν μὲν φερόμενον καὶ πετόμενον ὑψηλότερον 38 R II.
τῶν νεφῶν, ἂν τύχωσι μαρτυρήσαντες αὐτόν τινες καὶ ἐπαι-
νέσαντες, νῦν δὲ συστελλόμενον καὶ ταπεινούμενον, πολὺ
πλείους αὐξήσεις τε καὶ φθίσεις τῆς ψυχῆς αὐτοῦ λαμβανού-
7 σης, ἐμοὶ δοκεῖ, τῶν τῆς σελήνης. ἆρ' οὖν οὐκ ἀθλιώτερον
πότμον καὶ μοῖραν εἴληχε πολὺ δυστυχεστέραν ἤ φασι Με-
λέαγρον τὸν Ἀλθαίας τε καὶ Οἰνέως τυχεῖν, ᾧ δαλόν τινα
λέγουσι ταμιεύειν τὸν τῆς ζωῆς χρόνον, καὶ δὴ λάμποντος
αὐτοῦ καὶ τοῦ πυρὸς ἐν αὐτῷ διαμένοντος ζῆν τε καὶ ἀκμά-
ζειν ἐκεῖνον, μαραινομένου δὲ τοῦ δαλοῦ καὶ τὸν Μελέαγρον

5. Ἀλωάδαις H, Ἀλωάδαις B, Ἀλωϊάδαις reliq. ‖ βαδίζοι ἄν. βαδίζοι B, βαδίζοιεν M. ‖ 8. αὑτοῦ H, αὐτοῦ reliq. ‖ γίγνεσθαι. γίνεσθαι M. ‖ ἀναχωροίη. ἀναχωροῖ B, ἀναχώροι M. ‖ τῆς r, τὰς reliq. ‖ 9. μένοι ἄν. ἂν om. B. ‖ 10. ἐπειδὰν BMH, ἐπειδὴ reliq. ‖ βλέπῃ τὴν σκιάν· πάλιν δὲ περί. sic dedi. βλέπῃ τὴν σκιὰν πρὶν ἢ δὲ περὶ CH (nisi quod πριν ἡ), βλέπῃ τὴν σκιὰν πρὶν δὲ περὶ M, βλέπειν τὴν σκιὰν παρῇ· περὶ reliqui. Geelius βλέπῃ τὴν σκιάν, περὶ δέ. ‖ 11. δείλην CMH, δήλην δὲ B, δείλην δὲ reliq. ‖ αὑτόν. αὐτὸν MH (corr. vulg.). ‖ γαυρότερος. πρᾳότερος B. mrg. m. ‖ φαίνοιτ' CH, φαίνοιτο reliq. ‖ 12. ἂν ἀεί. καὶ ἀεὶ BM. — 6, 2. ὁ τῇ. ὅτι M. ‖ 3. τι om. B. ‖ βελτίων. βέλτιον M. ‖ ἀθλιώτερος. δολιώτερος M, in H prim. literae in rasura. ‖ 4. μεταβάλλοιτο CH, μεταβάλοιτο reliq. ‖ καίτοι. καὶ τ H (corr. vulg.). ‖ 5. οὐχ in MH a corr. add. ‖ ἐν. οὐκ ἐν B (corr. vulg.). ‖ 6. μὴ om. CMH. ‖ 8. μαρτυρήσαντες. malim μακαρίσαντες cum Seldeno. πανηγυρίσαντες Geel. ‖ αὐτόν. αὐτῶν M, αὐτῷ Casaub. ‖ 9. συστελλόμενον καὶ ταπεινούμενον. συστελλόμενος καὶ ταπεινούμενος B. ‖ 10. φθίσεις. φθείσεις M. — 7, 2. ἤ. malim ἧς vel infra cum Pflugkio λαχεῖν. ‖ 3. Ἀλθαίας BCMH, Ἀλθίας reliq. ‖ ᾧ δαλόν. ὧδ' ἄλλον M.

φθίνειν ὑπὸ λύπης τε καὶ δυσθυμίας, σβεσθέντος δὲ οἴχεσθαι ἀποθανόντα.

ΛΟΓΟΣ ξη.

ΠΕΡΙ ΔΟΞΗΣ ΤΡΙΤΟΣ.

1 Οἱ πολλοὶ ἄνθρωποι, ὁπόσα ἐπιτηδεύουσιν ἢ ζηλοῦσιν
οὐδὲν αὐτῶν εἰδότες, ὁποῖόν ἐστιν οὐδὲ ἥντινα ἔχει ὠφέλειαν,
ἐπιτηδεύουσιν, ἀλλ' ὑπὸ δόξης ἢ ἡδονῆς ἢ συνηθείας ἀγόμενοι
πρὸς αὐτά. οὐδ' αὖ, ὅσων ἀπέχονται καὶ εὐλαβοῦνται μὴ
πράττειν, εἰδότες, ἃ βλάπτει, ἀπέχονται, οὐδὲ ὁποίαν τινὰ
φέρει τὴν βλάβην, ἀλλὰ καὶ τούτων ὅσα ὁρῶσι τοὺς ἄλλους
εὐλαβουμένους ἢ περὶ ὧν ἂν εἰς ἔθος καταστῶσιν, ὥστε εὐλαβεῖσθαι,
ἢ ἃ νομίζουσιν ἀηδῆ ἔσεσθαι αὐτοῖς καὶ πόνον τινὰ
2 δοκεῖ ἔχειν, ὡς τὸ πολὺ ταῦτα ὑποπτεύουσιν. καὶ τὸ μὲν τῆς 364 R II.
ἡδονῆς καὶ τὸ τοῦ πόνου πᾶσι κοινόν· ἀλλ' οἱ μὲν ἧττον, οἱ
δὲ μᾶλλον ὑπ' αὐτῶν δουλοῦνται· τὸ δὲ τῆς δόξης ἀνόμοιον
καὶ οὐ ταὐτὸ πᾶσιν. ὅθεν οἱ μὲν ταῦτα, οἱ δὲ ταῦτα ἐπαινοῦσι
καὶ ψέγουσι, πολλάκις τὰ ἐναντία. οἷον ἀλγεῖ μὲν ὅ τε
Ἰνδὸς καὶ ὁ Λάκων τιτρωσκόμενος ἢ καόμενος καὶ ὅ τε Φρὺξ 616 M.
καὶ ὁ Λυδός· ἀλλ' ἐκεῖνοι μὲν οὐχ ὑπείκουσι διὰ τὸ ἠσκηκέναι,
οὗτοι δὲ διὰ τὸ ἀσθενεῖς καὶ ἀνάσκητοι εἶναι. πάλιν
ἥδεσθαι μὲν καὶ ἀφροδισίοις καὶ σιτίοις καὶ ποτοῖς ἡδέσιν

7. φθίνειν. φθόνον C. ‖ ὑπὸ λύπης τε καὶ δυσθυμίας CH, λύπης τε καὶ δυσθυμίας M, λύπῃ τε καὶ δυσθυμίᾳ reliq.

Orat. LXVIII. (Morell. LXVII.) Collati sunt BCMH. — 1, 2. ἔχει. ἔχον marg. m. ‖ ὠφέλειαν. ὠφελίαν M. ‖ 4. ὅσων BCMH. r, ὅσον vm. ‖ 5. ὁποίαν. ποίαν CH. ‖ 8. τινὰ δοκεῖ ἔχειν CH, δοκεῖν M, τινὰ ἔχειν reliq. — 2, 2. τὸ τοῦ. τὸ a corr. add. in M. ‖ οἱ δὲ μᾶλλον. sic dedi. ἢ μᾶλλον reliq. ‖ 4. καὶ οὐ. οὐ om. C. ‖ οἱ δὲ ταῦτα om. M. ‖ 5. ἐναντία. ἐναντιώτατα Reisk. ‖ ἀλγεῖ. ἀλγεῖν M. ‖ ὅ τε Ἰνδός. ὁ δὲ Ἰνδὸς M. ‖ 6. καόμενος. καιόμενος H. ‖ καὶ ὅ τε Φρύξ. sic dedi. καὶ om. reliq. ‖ 7. ὑπείκουσι. ὑπήκουσιν M. ‖ 9. μὲν καί. καὶ om. CH.

ἀνάγκη τόν τε Ἴωνα καὶ τὸν Θετταλὸν καὶ τὸν Ἰταλιώτην καὶ τὸν Γέτην καὶ τὸν Ἰνδὸν καὶ τὸν Σπαρτιάτην· ἀλλ' οἱ μὲν οὐ πάνυ τι φροντίζουσι τῶν ἡδέων, ἀρχὴν δὲ οὐδὲ πειρῶνται ἁπάντων· οἱ δὲ ἀποθανεῖν ἕλοιντ' ἂν ὀλίγῳ πλέον
3 ἡσθέντες. τὸ οὖν τῆς δόξης ἔοικεν εἶναι παντοδαπώτατον καὶ πλείστη καὶ μεγίστη τούτου διαφορά. διά τε τοῦτο ἐν οὐδενὶ γένει τῶν ζώων εὕροι τις ἂν τοσαύτην στάσιν οὐδὲ οὕτως ἐναντίον αὐτῷ τι γένος, οἷον ἵππων ἢ κυνῶν ἢ λεόντων ἢ βοῶν ἢ ἐλάφων, ἀλλὰ τρέφονταί τε ὁμοίως καὶ γεννῶσι καὶ τρέφουσι καὶ ἐπὶ ταὐτὰ ὁρμῶσι καὶ τῶν αὐτῶν ἀπέχονται τὰ ὅμοια. μόνῳ γὰρ ξυνέπονται ὡς τὸ πολὺ τῷ ἡδεῖ καὶ τὸ
4 ἀλγεινὸν φεύγουσιν. ἄνθρωπος δὲ φύσει φρονήσεως μετέχων, ἀπολειπόμενος δὲ αὐτῆς διὰ φαυλότητα καὶ ῥᾳθυμίαν, δόξης καὶ ἀπάτης ἔνδοθεν μεστός ἐστι· καὶ πάντα ἀλλήλοις διαφέρονται, καὶ περὶ ἐσθῆτος καὶ περὶ τροφῆς καὶ ἀφροδισίων καὶ περὶ τιμῆς καὶ ἀτιμίας, κατὰ ἔθνη καὶ πόλεις. ὁμοίως δὲ καὶ ἐν τῇ πόλει καθ' αὑτὸν ἕκαστος ἐσπούδακεν, ὁ μὲν γῆν ὡς πλείστην κτήσασθαι, ὁ δὲ ἀργύριον, ὁ δὲ ἀνδράποδα, ὁ δὲ ξύμπαντα ταῦτα, ὁ δ' ἐπὶ τῷ λέγειν θαυμάζεσθαι καὶ διὰ τοῦτο τῶν ἄλλων πλέον δύνασθαι, ὁ δὲ αὐτὸ μόνον δεινὸς εἶναι καὶ τὴν ἐμπειρίαν τὴν περὶ τὰ πράγματα ἐζήλωκεν, ὁ δὲ ἀπ' ἄλλου τινὸς ἰσχύειν, ὁ δὲ τρυφὴν ὡς πλείστην ἐπιτηδεύει.
5 τούτων μὲν οὖν, ὅπερ ἔφην, οὐδὲν ἄν, ὡς εἰκός, ὀρθῶς πράττοιεν οὐδὲ οἱ τὰ κράτιστα δοκοῦντες ἐπιτηδεύειν. οὐ γὰρ εἰδότες τὸ βέλτιον ἢ τὸ χεῖρον ἢ τὸ συμφέρον αἱροῦνται οὐδέν. ὅστις δ' ἐπεθύμησε φρονήσεως καὶ διενοήθη, πῶς χρὴ ἐπι-

12. δὲ πειρῶνται ἁπάντων CH. Obs. p. 61, δὲ πειρῶνται ἀπόντων reliqui, unde δ' ἐποριγνῶνται ἀπόντων Iacobs. ‖ 13. ἕλοιντ' ἂν — δόξης om. H. (add. corr.) — 3, 2. τούτου CH, τούτῳ reliq. ‖ διά τε. διά τοι C. ‖ 4. αὐτῷ Reiskius (idem αὐτῶν αὐτῷ), αὐτῶ C, αὐτῶν reliq. ‖ τι. τὸ B, in M τι in rasura. ‖ ἢ βοῶν BCMH, om. reliq. ‖ 8. φεύγουσιν CMH, φεύγουσι reliq. — 4, 4. καὶ περὶ τιμῆς καὶ ἀτιμίας Pflugk. p. 33, καὶ τιμῆς καὶ περὶ ἀτιμίας marg. m, καὶ στολῆς καὶ περὶ τιμῆς CH, καὶ στολῆς καὶ περὶ ἀτιμίας reliq. ‖ 5. κατὰ ἔθνη Pflugk. l. l., καὶ ἔθνη CH, τὰ ἔθνη reliqui. τά τε ἔθνη (et καὶ αἱ πόλεις) Reisk. ‖ δὲ καὶ BCMH, δὲ reliq. ‖ 7. ἀργύριον. ἄργυρον CM. ‖ 9. αὐτὸ μόνον BCM. Pflugk. l. l., αὖ τὸ μόνον reliq. ‖ 10. τὰ πράγματα Pflugk. l. l., τὸ πρᾶγμα reliq. ‖ ἐζήλωκεν BCMH. Obs. p. 61, ἐζήλωσεν reliq. ‖ 11. ἐπιτηδεύει. ἐπιτηδεύειν H. — 5, 1. ὡς εἰκὸς H, εἰκὸς BCM (mrg. εἰκότως), εἰκότως reliqui, unde εἰκότως οὐδ' Pflugk. l. l. ‖ 3. συμφέρον. ξυμφέρον B, συμφέρον ἢ τὸ βλάπτον Reisk. ‖ 4. ἐπεθύμησε. ἐπεθύμησεν M. ‖ πῶς. sic dedi.

μεληθέντα αὐτοῦ καὶ παίδευσιν τίνα παιδευθέντα, γενέσθαι
ἄνδρα ἀγαθὸν καὶ διαφέροντα τῶν πολλῶν, τοῦτον ἐγώ φημι
φύσεώς τε χρηστῆς τυχεῖν καὶ τύχης ὁμοίας. ἐλπὶς γὰρ ζη-
τοῦντα καὶ παιδευόμενον ἐξευρεῖν τὸ δέον, καὶ πρὸς τί ὁρῶντα
καὶ τί βουλόμενον πάντα τὰ ἄλλα χρὴ πράττειν καὶ οἰκονο-
6 μεῖν. ὁ δὲ τοῦτο συνεὶς ἅπαντα ἂν ἤδη καλῶς διαπράττοιτο,
καὶ τὰ μείζω δοκοῦντα καὶ τὰ σμικρότερα· καὶ εἴτε ἱππικῆς
ἐπιτηδεύοι ἀγωνίαν εἴτε μουσικῆς εἴτε γεωργίας ἐπιμελοῖτο
εἴτε στρατηγεῖν ἐθέλοι ἢ ἄρχειν τὰς ἄλλας ἀρχὰς ἢ τὰ ἄλλα
τὰ κοινὰ ἐν τῇ πόλει πράττειν, καλῶς ἂν πάντα ποιήσειε καὶ
περὶ οὐδὲν ἂν σφάλοιτο. ἄνευ δὲ τούτου καθ' ἕκαστον μὲν
τῶν ἔργων ἐνίοτε αὐτῷ τε καὶ τοῖς ἄλλοις φαίνοιτο ἂν κατ- 366 R II.
ορθῶν· οἷον εἰ γεωργῶν ἐπιτυγχάνοι περὶ τοὺς καρπούς, ἢ
ἱππεύειν ἐμπειρότερος εἴη, ἢ τὰ κατὰ μουσικὴν ἱκανῶς γιγνώ-
σκων, ἢ ἀγωνιζόμενος δύναιτο τῶν ἀντιπάλων κρατεῖν, τὸ δὲ
σύμπαν ἁμαρτάνοι ἂν πρὸς οὐδὲν ἀγαθὸν οὐδὲ ὥστε ὠφελεῖ-
7 σθαι ταῦτα ἐργαζόμενος. οὔκουν δυνατόν ἐστιν εὐδαιμονεῖν,
ὥσπερ οὐδ' εὐπλοῆσαι δύναταί τις οὐκ εἰδώς, ἔνθα πλεῖ,
μάτην [δὲ ἄρτι] ἐν τῷ πελάγει φερόμενος νῦν μὲν ὀρθῆς πλεού-
σης τῆς νεώς, ἂν οὕτω τύχῃ, νῦν δὲ ἀποκλινούσης, καὶ νῦν
μὲν οὐρίου φερομένου τοῦ πνεύματος, πάλιν δὲ ἐναντίου. χρὴ
δὲ ὥσπερ ἐν λύρᾳ τὸν μέσον φθόγγον καταστήσαντες ἔπειτα
πρὸς τοῦτον ἁρμόζονται τοὺς ἄλλους· εἰ δὲ μή, οὐδεμίαν
οὐδέποτε ἁρμονίαν ἀποδείξουσιν· οὕτως ἐν τῷ βίῳ ξυνέντας

ὡς reliq. ‖ 5. παίδευσιν. παιδεύειν (mrg. vulg.) M. ‖ τίνα. sic dedi. τινα καὶ M, τινα reliq. ‖ 6. τοῦτον. τούτων B. ‖ 7. τύχης Wyttenb. ad Plut. Moral. p. 230 Oxon., ψυχῆς reliqui. conf. Orat. I, § 42 et III, § 45. ‖ 8. τό. εἰς τὸ B. — 6, 5. καλῶς ἄν. οὗτος B, εὖ (mrg. vulg.) M. ‖ ποιήσειε. sic dedi. idem voluit Pflugk., ποιήσοι CH, ποιήσει reliq. ‖ 6. σφάλοιτο CMH, σφάλλοιτο reliq. ‖ καθ' ἕκαστον. καθέκαστος C. ‖ 7. καὶ τοῖς C, τοῖς om. reliq. ‖ κατορθῶν. θ in H in rasura, malim κατορθοῖν. ‖ 8. εἰ om. B. ‖ 9. ἱππεύειν r, ἱππεύων reliq. ‖ ἢ τὰ r, ἤ τε M, εἴ τι C, εἴτε BH.vm. ‖ μουσικὴν. μουσικὴν ἦν H. ‖ γιγνώσκων M, γινώσκων reliq. ‖ 11. ἁμαρτάνοι ἂν C. r, ἁμαρτάνοιεν M, ἁμαρτάνοιεν ἂν vm. — 7, 3. [δὲ ἄρτι] om. CH, δ' αἰωρεῖται Reisk., δ' αἴρεται Iacobs. Add. p. 39. mihi ἄρτι alia scriptura v. νῦν esse videtur, ut ἄρτι μὲν—νῦν δὲ inter se respondeant. ‖ ὀρθῆς. ὀρθῶς H. ‖ 4. νεώς. νηὸς H. ‖ ἀποκλινούσης. ἀποκλεινούσης M. ‖ 5. φερομένου. φαινομένου CM. ‖ 6. καταστήσαντες M (corr. καταστήσαντας). H. Obs. p. 61, καταστήσαντα B, καταστήσαντας reliq. ‖ 7. ἁρμόζονται. ἁρμόζεσθαι καὶ mrg. m. r, ἁρμόζειν καὶ Selden. ‖ ἄλλους. αὔλους C. ‖ οὐδεμίαν οὐδέποτε. οὐδέποτε οὐδεμίαν H. ‖ 8. ἀποδείξουσιν. ἀποδείξωσιν B.

τὸ βέλτιστον καὶ τοῦτο ἀποδείξαντας πέρας πρὸς τοῦτο τἆλλα ποιεῖν· εἰ δὲ μή, ἀνάρμοστον αὐτοῖς καὶ ἐκμελῆ τὸν βίον εἰκός ἐστι γίγνεσθαι.

ΛΟΓΟΣ ξθ.

ΠΕΡΙ ΑΡΕΤΗΣ.

1 Ἄπορόν μοι δοκεῖ εἶναι, ὅτι οἱ ἄνθρωποι ἄλλα μὲν ἐπαι- 357 R II 1818 M
νοῦσι καὶ θαυμάζουσιν, ἄλλων δὲ ἐφίενται καὶ περὶ ἄλλα ἐσπουδάκασιν. ἐπαινοῦσι μὲν γάρ, ὡς ἔπος εἰπεῖν, πάντες καὶ θεῖα καὶ σεμνά φασιν ἀνδρείαν καὶ δικαιοσύνην καὶ φρόνησιν καὶ συλλήβδην ἀρετὴν πᾶσαν. καὶ οὓς ἂν ἡγῶνται τοιούτους εἶναι ἢ γεγονέναι ἢ ἐγγύς, θαυμάζουσι καὶ ὑμνοῦσι· καὶ τοὺς μέν τινας θεούς, τοὺς δὲ ἥρωας ἀποφαίνουσιν, οἷον Ἡρακλέα καὶ Διοσκούρους καὶ Θησέα καὶ Ἀχιλλέα καὶ πάντας τοὺς ἡμιθέους λεγομένους. ὧν ὃν ἂν ὅμοιον ὑπολαμβάνωσιν, ἕτοιμοί εἰσιν ἅπαντες ἐκείνῳ πείθεσθαι καὶ ὑπηρετεῖν, ὅ τι ἂν προστάττῃ, καὶ βασιλέα καὶ ἄρχοντα ἀποδεικνύναι ἑαυτῶν καὶ τὰ σφέτερα ἐπιτρέπειν, ὃν ἂν σώφρονα καὶ δίκαιον καὶ φρόνιμον ὄντως ὑπολαμβάνωσι καὶ ἁπλῶς ἄνδρα
2 ἀγαθόν. ὥστε ταύτῃ μὲν οὐκ ἄν τις αὐτοῖς μέμψαιτο, ὡς οὐκ αἰσθανομένοις, ὅτι σεμνόν τι καὶ τίμιον καὶ τοῦ παντὸς ἄξιον χρῆμα ἀρετή· ἐπιθυμοῦσί γε μὴν πάντων μᾶλλον ἢ

9. βέλτιστον BCM. mrg. m, βέλτιον reliq. ‖ ἀποδείξαντας. ἀποδείξαντα B. ‖ πέρας C, τὸ πέρας reliq. ‖ πρὸς τοῦτο om. M. ‖ τἆλλα M, ἅμα B, πάντα reliq. ‖ 11. γίγνεσθαι BM, γίνεσθαι reliq.

Orat. LXIX. (Mor. LXVIII.). Collati sunt P (cum ed. Ven.). BCMH. — 1, 1. ἄπορόν. ἄτοπόν Koehler. ‖ 2. θαυμάζουσιν PH, θαυμάζουσι reliq. ‖ 9. ὧν ὃν ἂν Selden., οἷς ὃν ἂν Iacobs., ὃν ἂν PCMH. Casaub., ὧν ἂν reliqui. Pflugkius vel ut Seldenus, vel καὶ ὃν ἂν. ‖ ὑπολαμβάνωσιν PBCH, ὑπολαμβάνουσιν reliqui, ὑπολαμβάνωσί τιν' Casaub. ‖ 13. ὑπολαμβάνωσι. ὑπολαμβάνουσι (corr. vulg.) H. — 2, 1. ταύτῃ. ταύτην M. ‖ αὐτοῖς. αὐτοὺς v. ‖ 3. ἀρετή PH. Koehler.

ἀγαθοὶ γενέσθαι, καὶ πράττουσι πάντα πρότερον, ἢ ὅπως
σωφρονήσουσι καὶ φρόνιμοι ἔσονται καὶ δίκαιοι καὶ ἄνδρες
σπουδαῖοι, καλῶς μὲν αὐτῶν δυνάμενοι προΐστασθαι, καλῶς 368 R II.
δὲ οἶκον οἰκῆσαι, καλῶς δὲ ἄρξαι πόλεως, εὖ δὲ πλοῦτον
ἐνεγκεῖν, εὖ δὲ πενίαν, εὖ δὲ προσενεχθῆναι φίλοις, εὖ δὲ
συγγενέσι, δικαίως δ' ἐπιμεληθῆναι γονέων, ὁσίως δὲ θερα-
3 πεῦσαι θεούς. ἀλλ' οἱ μέν τινες περὶ γεωργίαν πραγματεύ-
ονται, οἱ δὲ περὶ ἐμπορίαν, οἱ δ' ἐπὶ στρατείαν ὁρμῶσιν, οἱ
δ' ἐπ' ἰατρικὴν, οἱ δὲ οἰκοδομικὴν ἢ ναυπηγικὴν ἐκμανθά-
νουσιν, οἱ δὲ κιθαρίζειν ἢ αὐλεῖν ἢ σκυτοτομεῖν ἢ παλαίειν,
οἱ δὲ ὅπως δεινοὶ δόξουσι περὶ τὸ εἰπεῖν ἐν δήμῳ ἢ δικαστη- 619 M.
ρίῳ τὴν πᾶσαν σπουδὴν ἔχουσιν, οἱ δὲ ὅπως ἰσχυροὶ ἔσονται
τὰ σώματα. καίτοι τοὺς ἐμπόρους μὲν καὶ γεωργοὺς καὶ
στρατιώτας καὶ ἰατροὺς καὶ οἰκοδόμους καὶ κιθαριστὰς καὶ
αὐλητὰς καὶ παιδοτρίβας, ἔτι δὲ τοὺς λεγομένους ῥήτορας
καὶ τοὺς πάνυ ἰσχύοντας τοῖς σώμασιν, ἀθλίους καὶ δυστυ-
4 χεῖς τοὺς πολλοὺς ἂν εὕροι τις ἢ μικροῦ δεῖν ἅπαντας. ἂν δὲ
ἡ ψυχὴ ἔμφρων γένηται καὶ ὁ νοῦς ἀγαθὸς καὶ ἱκανοὶ ὦσι
τά τε αὑτῶν πράγματα ὀρθῶς πράττειν καὶ τὰ τῶν ἄλλων,
τούτους ἀνάγκη καὶ εὐδαιμόνως ζῆν, νομίμους ἄνδρας γενο-
μένους καὶ ἀγαθοῦ δαίμονος τυχόντας καὶ φίλους ὄντας τοῖς
θεοῖς. οὐ γὰρ ἄλλους μὲν φρονίμους εἰκὸς εἶναι, ἄλλους δὲ
ἐμπείρους τῶν ἀνθρωπίνων πραγμάτων· οὐδὲ ἄλλους μὲν τἀν-
θρώπεια ἐπίστασθαι, ἄλλους δὲ τὰ θεῖα· οὐδὲ ἄλλους μὲν

ἀρετῇ C, ἀρετὴν M (at a prim. man. ut videtur ἀρετῆς), ἀρετὴν τιμῶσιν reliq. ‖ ἐπιθυμοῦσί γε μὴν πάντων μᾶλλον ἢ M. et PCH (nisi quod γε omittunt), οὐ μὴν ἀλλὰ ἐπιθυμοῦσι μᾶλλον πάντων ἢ Iacobs. Add. p. 101, οὐ μὴν ἐπιθυμοῦσι μᾶλλον πάντων ἢ reliqui (nisi quod B πάντων μᾶλλον), unde ἢ delebat Reiskius. ἀρετὴν τιμῶσι καὶ μὴν ἐπιθυμοῦσι μᾶλλον πάντων ἢ Koehler. ‖ 4. πράττουσι πάντα. πάντα πράττουσι H. ‖ 5. σωφρονήσουσι PCMH. Reisk., σωφρονήσωσι reliq. ‖ 9. ὁσίως δὲ. sic dedi. ὁσίως τε Wyttenb. ad Plut. Mor. I, p. 110. r, ὅπως δὲ BM, ὅπως τε reliq. ‖ θεραπεῦσαι BM (corr. θεραπεύουσι), θεραπεύσαι marg. m, θεραπεύσειαν CH. vm, θεραπεύειν Wytt. l. l. r. — 3, 1. ἀλλ' οἱ μέν PBM. Casaub., ἄλλοι μὲν reliq. ‖ 3. δ' ἐπ' ἰατρικήν. δὲ ἐπὶ ἰατρικὴν PH. ‖ 5. δόξουσι PCM, δόξουσιν H, δόξωσι reliq. ‖ 7. καίτοι τούς. sic dedi. καὶ τοὺς reliq. ‖ ἐμπόρους μὲν PBCMH, μὲν ἐμπόρους reliq. ‖ 9. δὲ. δὲ καὶ C. ‖ 11. τοὺς πολλοὺς Pflugk., πολλοὺς reliq. ‖ τις. τι H. ‖ μικροῦ. σμικροῦ B. — 4, 3. αὑτῶν PH, αὐτῶν reliq. ‖ 4. νομίμους. νομίους C. ‖ 7. τἀνθρώπεια ἐπίστασθαι, ἄλλους δὲ τὰ θεῖα PMH, ἐπίστασθαι post θεῖα habent reliq.

εἶναι τῶν θείων ἐπιστήμονας, ἄλλους δὲ ὁσίους· [οὐδὲ ἄλλους 369 R II μὲν δικαίους, ἄλλους δὲ ὁσίους·] οὐδὲ ἄλλους μὲν ὁσίους, ἄλλους δὲ θεοφιλεῖς· οὐδὲ ἕτεροι μὲν ἔσονται θεοφιλεῖς, ἕτεροι δὲ εὐδαίμονες· οὐδὲ ἕτεροι μέν εἰσιν ἄνθρωποι ἄφρονες, ἕτεροι δ' ἀγνοοῦσι τὰ καθ' αὑτοὺς πράγματα· οὐδὲ οἱ τὰ σφέτερα πράγματα ἀγνοοῦσι, τὰ θεῖα ἴσασιν· οὐδὲ οἱ φαύλως περὶ τῶν θείων ὑπειληφότες οὐκ ἀνόσιοί εἰσιν· οὐδέ γε τοὺς ἀνοσίους οἷόν τε φίλους εἶναι θεοῖς, οὐδὲ τοὺς μὴ

5 φίλους θεοῖς μὴ δυστυχεῖς εἶναι. διὰ τί ποτ' οὖν οἱ μὲν ὀρεγόμενοι, ὅπως εὐδαιμονήσουσιν, οὐ προθυμοῦνται τοιούτους παρέχειν σφᾶς αὐτούς· ἃ δὲ πράττοντας οὐδὲν αὐτοὺς κωλύει κακῶς καὶ ἀθλίως ζῆν, πᾶσαν τούτων ἐπιμέλειαν ποιοῦνται; καίτοι ἄνευ μὲν αὐλητῶν καὶ κιθαριστῶν καὶ σκυτοτόμων καὶ παιδοτριβῶν καὶ ῥητόρων καὶ ἰατρῶν οὐκ ἀδύνατον ἀνθρώποις βιοῦν πάνυ καλῶς καὶ νομίμως, οἶμαι δ' ἐγὼ

6 καὶ δίχα γεωργῶν καὶ οἰκοδόμων. Σκύθαι γοῦν οὐδὲν κωλύονται οἱ Νομάδες μήτε οἰκίας ἔχοντες μήτε γῆν σπείροντες ἢ φυτεύοντες δικαίως καὶ κατὰ νόμους πολιτεύεσθαι· ἄνευ δὲ νόμου καὶ δικαίου μὴ κακῶς ζῆν ἀνθρώπους καὶ πολὺ τῶν θηρίων ὠμότερον οὐ δυνατόν. ἔτι δ' ὅπου μὲν φαῦλοι σκυ- 623 M τοτόμοι εἰσὶ καὶ γεωργοὶ καὶ οἰκοδόμοι, οὐδὲν ἐκεῖ διὰ τοῦτο συμβαίνει χαλεπὸν, ἀλλὰ τὰ ὑποδήματα καὶ πυροὶ ἐλάττους καὶ κριθαί· ὅπου δὲ ἄρχοντες χείρους καὶ δικασταὶ καὶ νόμοι, 370 R II τὰ πράγματα κάκιον ἔχει τῶν ἀνθρώπων ἐκείνων καὶ ὁ βίος

9. [οὐδὲ ἄλλους μὲν δικαίους, ἄλλους δὲ ὁσίους] delenda esse vidit Reiskius. totus locus sic legitur in P: οὐδὲ ἄλλους μὲν δικαίους ὁσίους, ἄλλους δὲ θεοφιλεῖς. idem est in CH, nisi quod καὶ habent ante ὁσίους. in M sic legitur: οὐδὲ ἄλλους δικαίους καὶ ἄλλους ὁσίους, οὐδὲ ἄλλους μὲν ὁσίους ἄλλους δὲ θεοφιλεῖς. Pflugkius aut cum Reiskio ista expungit, aut sic locum constituit: οὐδὲ ἄλλους μὲν εἶναι τῶν δικαίων ἐπιστήμονας ἄλλους δὲ ὁσίων. ‖ 10. ὁσίους. δικαίους Selden. ‖ 12. ἄφρονες. ἀφρονέστεροι H. ‖ 13. δ'. δὲ M. ‖ αὑτούς. ἑαυτοὺς B. ‖ 14. τὰ σφέτερα. τὰ καθ' αὑτοὺς M. ‖ 16. οἷόν τε. οἴονται M. ‖ μή. μὲν P. ‖ 17. φίλους PBCM (mrg. φίλους εἶναι), φίλους ὄντας Selden., φίλους εἶναι reliqui. contra H om. εἶναι ante θεοῖς. — 5, 1. οἱ μέν. μὲν abesse malim. ‖ 2. ὀρεγόμενοι in M a corr. add. ‖ ὅπως. ὅπως γενόμενοι B. marg. m. ‖ προθυμοῦνται. malim προθυμοῦνται μέν. ‖ 3. αὐτούς. αὑτοὺς H. ‖ 4. κωλύει. κωλύειν P. ‖ τούτων om. C. — 6, 1. οὐδὲν κωλύονται οἱ Νομάδες. οἱ Νομάδες οὐδὲν κωλύονται Koehler. ‖ 4. δικαίου. δικαστοῦ Koehler. ‖ 5. ὠμότερον. ἀνωμότερον C, ἀνομώτερον PMH. ‖ 7. ὑποδήματα. ὑποδήματα χείρω supplebat Reiskius. sed fortasse plura excidere. nam deest quod v. οἰκοδόμοι respondeat. ‖ πυροί. οἱ πυροὶ (et αἱ κριθαὶ) Reisk. ‖ 9. ὁ βίος. ὁ βίος ὁ M (at

δυστυχέστερος, καὶ στάσεις καὶ ἀδικίαι καὶ ὕβρεις καὶ ἀσέ-
7 βεια πολλὴ φύεται παρ' αὐτοῖς. ἔτι δὲ σκυτοτόμον μὲν αὐτὸν
οὐκ ὄντα λυσιτελεῖ παρ' ἄλλου πρίασθαι ὑποδήματα, καὶ
οἰκοδομεῖν οὐκ ἐπιστάμενον ἄλλον ἐπὶ τούτῳ μισθώσασθαι,
καὶ γεωργὸν μὴ ὄντα σῖτον πρίασθαι καὶ ὄσπρια, ἄδικον δὲ
αὐτὸν ὄντα οὐ λυσιτελεῖ τῶν δικαίων παρ' ἄλλου τυγχάνειν
οὐδὲ ἄφρονα καὶ ἀγνοοῦντα, ἃ δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι,
μετανοοῦντα ἐφ' ἑκάστῳ, πρὸς ἕτερον ἰέναι. πρὸς γὰρ τοῖς
ἄλλοις ὁ μὲν ἀργυρίου δεόμενος ἢ ἱματίων ἢ οἰκίας ἢ ἄλλου
του ἐπίσταταί τε καὶ ζητεῖ παρὰ τῶν ἐχόντων λαβεῖν· ὁ δὲ
νοῦν οὐκ ἔχων οὐδὲ αὐτὸ τοῦτο ἐπίσταται, ὅτι οὐκ ἔχει νοῦν·
ἀλλ' αὐτῷ φησιν ἱκανὸς εἶναι καὶ ἰσχυρίζεται τῇ ἀφρο-
σύνῃ, πάντα πράττων καὶ λέγων ἀφρόνως, καὶ οὔ φησιν
ἄδικος εἶναι οὐδὲ ἀνόητος οὐδὲ ἀκόλαστος, ἀλλ' ὡς οἷόν τε
ἱκανῶς περὶ ταῦτα ἔχειν, ὧν οὐδεμίαν πώποτε ἐπιμέλειαν ἐποι-
8 ήσατο οὐδὲ ἔμαθεν οὐδὲν τούτων ἕνεκεν. οὐδὲ γὰρ ἐπιστήμην
εἶναι νομίζουσι, καθ' ἣν εἴσονται τί πρακτέον αὐτοῖς ἢ τί μὴ
πρακτέον καὶ πῶς βιώσονται ὀρθῶς· ἀλλὰ τοὺς νόμους αὐτοῖς
ἱκανοὺς εἶναι πρὸς τοῦτο τοὺς γεγραμμένους· ὅπως δὲ πεί- 311 R II.
σονται τοῖς νόμοις καὶ ἑκόντες ποιήσουσι τὰ ἐκείνοις δοκοῦν-
τα, οὐδὲν φροντίζουσιν. καίτοι τί ἧττον ὁ φόβῳ τοῦ κλέπτειν
ἀπεχόμενος ἄκων, ἀλλὰ μὴ μισῶν τὸ πρᾶγμα καὶ καταγιγνώ-
σκων, κλέπτης τῶν ὑφαιρουμένων ἐστίν; εἰ μὴ καὶ τὸν ἡμέ-

secundum ὅ obel. notat.). ‖ 11. φύεται. φαίνεται marg. m. — 7, 2. λυσιτελεῖ. in mrg. C haec adscripta: καὶ μήποτε κρεῖττον οὐ λυσιτελεῖ. conf. ad 5. ‖ ἄλλου πρίασθαι. ἄλλου πριᾶσθαι B, ἄλλη πριᾶσθαι m. ‖ 3. μισθώσασθαι CMH. Reisk., θαυμάσασθαι (corr. vulg.) P, μισθώσεσθαι reliq. ‖ 5. οὐ om. PBH (at in H add. corr.) ‖ 9. ἐπίσταταί τε CH. Reisk., ἐπίσταται B, καὶ ἐπίσταται M. Pflugk., καὶ ἐπίσταταί τε reliq. ‖ καὶ ζητεῖ PCH. Pflugk., ὃ καὶ ζητεῖ B, καὶ ὃ ζητεῖ reliqui, unde Reiskius infra λαμβάνει vel οἶδε λαβεῖν pro v. λαβεῖν. ‖ 11. ἀλλ' PH, τἆλλα δὲ reliqui. Pflugkius πάντα δὲ. ‖ αὐτῷ H, αὐτὸς reliq. ‖ τῇ ἀφροσύνῃ. sic dedi. τῇ om. reliq. — 8, 2. τί PH. corr. M (prim. man. τὸ). Reiskius (vel in proximis τὸ pro τι scribit), τε C, τὸ reliq. ‖ πρακτέον. πρακταῖον M. ‖ αὐτοῖς ἢ τί μὴ πρακτέον om. M (at mrg. addit). ‖ 3. βιώσονται. βιάσονται C. ‖ αὐτοῖς. αὐτοὺς BM. marg. m. ‖ 4. τοὺς om. C. ‖ πείσονται. πείσωνται B. ‖ 6. οὐδὲν PBCMH, οὐδὲ reliq. ‖ καίτοι τί ἧττον BM (at τί obel. notat.), καίτοι οὐχ ἧττον Casaub. r, καίτοι ἧττον reliq. ‖ 7. ἀπεχόμενος ἄκων. sic dedi. ἀπεχόμενος δοκῶν BM, ἀπέχεσθαι δοκῶν reliq. ‖ μὴ μισῶν. μὴ om. C. ‖ καταγιγνώσκων BM, καταγινώσκων reliq. ‖ 8. ἐστὶν om. B.

ρας οὐ κλέπτοντα, ἀλλὰ νυκτὸς γενομένης, κλέπτην οὐ φήσομεν ἐν τῇ ἡμέρᾳ, ἀλλὰ δίκαιον εἶναι. ἔπειτα δέονται πολλῶν τῶν ἀπειλούντων καὶ κολαζόντων, ὡς οὐ δυνάμενοι αὐτοὶ ἀπέχεσθαι τῶν ἀδικημάτων. ἀλλὰ καὶ οἶκοι τοιοίδε ὄντες αἱροῦνται τοὺς νομοθέτας καὶ τίθενται τοὺς νόμους, ὥσπερ εἰ ἄμουσοι ὄντες ᾑροῦντο τοὺς μουσικοὺς καὶ οὐδὲν ἐπαΐοντες
9 περὶ γεωμετρίας τοὺς γεωμέτρας. σημεῖον δὲ τῆς πονηρίας τῆς τῶν ἀνθρώπων· εἰ γὰρ ἀνέλοιεν τοὺς νόμους καὶ ἄδεια γένοιτο τοῦ τύπτειν ἀλλήλους καὶ ἀποκτείνειν καὶ ἁρπάζειν τὰ τῶν πέλας καὶ μοιχεύειν καὶ λωποδυτεῖν· τίνας ἔσεσθαι οἰητέον τοὺς ἀφεξομένους τούτων καὶ μὴ πάνυ ῥᾳδίως τε καὶ ἑτοίμως ἅπαντα ἐξαμαρτεῖν βουλομένους; ὡς τὸ νῦν γε οὐδὲν ἧττον λανθάνομεν μετὰ κλεπτῶν καὶ ἀνδραποδιστῶν καὶ μοιχῶν ζῶντες καὶ συμπολιτευόμενοι. καὶ κατὰ τοῦτο οὐδὲν βελτίους τῶν θηρίων ἐσμέν· καὶ γὰρ ἐκεῖνα ἂν φοβηθῇ ἀνθρώπους φυλάττοντας ἢ κύνας ἀπέχονται τοῦ ἁρπάζειν.

9. κλέπτην PBCMH. Casaub. r, κλέπτειν reliq. ‖ 12. ἀλλὰ καὶ οἶκοι τοιοίδε ὄντες PC (nisi quod τοι οἵ δε). H, ἀλλὰ καὶ οἶκοι ὄντες. τοιοῦτοι δὲ ὄντες reliqui, unde Casaubonus ἄδικοι (pro καὶ οἶκοι), Seldenus κακοί, Reiskius: ἀλλὰ κακοὶ οἴκοθεν ὄντες. τοιοῦτοι δὲ ὄντες, Pflugkius verba ἀλλὰ καὶ οἶκοι ὄντες vel delebat, vel ἀλλ' οἰκέται ὄντες scribebat. ‖ 13. αἱροῦνται. αἰτιῶνται Selden., αἱροῦσι r. ‖ τίθενται PCH, κολάζουσι reliqui, unde Casaubonus κολάπτουσι vel κολάζουσι (κατὰ τοὺς νόμους). an δοκιμάζουσι? conf. Orat. 75, § 4 extr. ‖ 14. ᾑροῦντο. ᾐτιῶντο Selden., ᾑροῦν Reisk. ‖ 15. τοὺς γεωμέτρας om. BM. — 9, 4. τίνας — καὶ μὴ om. H (add. corr.). ‖ 5. οἰητέον. οἰκτέον m. ‖ 6. βουλομένους om. BM. ‖ ὡς PCMH. Pflugk., ὅπου Reisk., ὥστε reliq. ‖ 7. λανθάνομεν. λανθάνωμεν B, in H postremae literae in rasura. ‖ 9. ἀνθρώπους. ἢ ἀνθρώπους M. ‖ 10. ἀπέχονται PC, ἀπέχεται reliq.

ΛΟΓΟΣ ο.

ΠΕΡΙ ΦΙΛΟΣΟΦΙΑΣ.

1 *Δ.* Φέρε, εἴ τινος ἀκούοις λέγοντος, ὅτι βούλεται γεωρ-
γεῖν, μηδὲν δὲ πρὸς τοῦτο πράττοντα ὁρῴης αὐτὸν, μήτε βόας
ὠνούμενον ἢ τρέφοντα μήτε ἄροτρα κατασκευαζόμενον μήτε
τὰ ἄλλα τὰ πρὸς τὴν γεωργίαν σκεύη μηδὲ ἐνοικοῦντα ἐν
ἀγρῷ αὐτὸν ἢ αὐτὸν μὴ κεκτημένον παρ' ἄλλου μισθωσάμε-
νον, ἀλλὰ ἐν ἄστει τὰ πολλὰ διατρίβοντα περὶ τὴν ἀγορὰν
καὶ τὸ γυμνάσιον καὶ περὶ πότους ὄντα καὶ ἑταίρας καὶ τὴν
τοιαύτην ῥαθυμίαν· πότερον προσέξεις οἷς λέγει μᾶλλον ἢ
τοῖς πραττομένοις ὑπ' αὐτοῦ; καὶ πότερα φήσεις γεωργὸν
εἶναι τὸν ἄνθρωπον καὶ ἐργάτην, ἢ τῶν ἀργῶν καὶ ῥαθύ-
2 μων; — *Α.* δηλονότι τῶν ἀργῶν. — *Δ.* εἶεν. εἰ δὲ κυνηγέτης
εἶναι λέγοι τις καὶ τὸν Ἱππόλυτον αὐτὸν ἢ Μελέαγρον ὑπερ-
βάλλειν τῇ τε ἀνδρείᾳ καὶ τῇ φιλοπονίᾳ, μηδὲν δὲ φαίνοιτο 313 R II.
πράττων ὅμοιον, μήτε κύνας κεκτημένος μήτε λίνα μήτε ἵππον
μήτε ὅλως ἐπὶ θήραν ἐξιὼν, ἀλλὰ μήτε ὑπὸ ἡλίου τὸ σῶμα 622 M.
ἐπικεκαυμένος μήτε ψύχους ἀνέχεσθαι δυνάμενος, ἐσκιατρα-
φημένος δὲ καὶ ἁπαλὸς καὶ μάλιστα ἐοικὼς ταῖς γυναιξίν·
ἔσθ' ὅπως ὑπολάβοις ἂν τἀληθῆ λέγειν τοῦτον καὶ προσήκειν
3 τι αὐτῷ κυνηγεσίων; — *Α.* οὐκ ἔγωγε. — *Δ.* ἄτοπον γὰρ ἀπὸ
τῶν λόγων μᾶλλον, οὓς λέγει τις, ἢ ἀπὸ τῶν ἔργων εἰδέναι

Orat. LXX. (apud Morellum LXIX.) Collati sunt PBCM et H usque ad § 3. — 1, 1. *ἀκούοις. ἀκούεις* **PCM. ‖ 2.** *ὁρῴης. ῇς* **M (mrg. vulg.). ‖ 4.** *τὰ ἄλλα τά. τὰ ἄλλα* **PH,** *ἄλλα* **CM (mrg. vulg.). ‖** *ἐνοικοῦντα. οἰκοῦντα* **M (corr.** *ἐνοικοῦντα***). ‖ 5.** *ἀγρῷ. αὐτῷ* **M (corr. vulg.), in H in rasura. ‖** *κεκτημένον. κεκτημένου* **B. ‖ 6.** *ἀλλά. ἀλλ'* **CH. ‖ 7.** *πότους. τόπους* **B. ‖ 9.** *πότερα* **PM (corr. vulg.). H,** *πότερον* **reliq. ‖** *φήσεις. φήσεις ἢ* **P. — 2, 2.** *αὐτὸν* **om. P. ‖** *ὑπερβάλλειν. ὑπερβάλλει* **P. ‖ 3.** *ἀνδρείᾳ. ἀνδρίᾳ* **BM. ‖** *καὶ τῇ* **PM (at** *τῇ* **obel. notat.),** *τῇ* **om. reliq. ‖ 5.** *μήτε ὑπό.* **sic dedi.** *μηδὲ ὑπὸ* **reliq. ‖** *τὸ* **om. C. ‖ 8.** *ὅπως* **PBMH,** *ὅπως ἂν* **reliqui, unde** *ὅπως οὖν* **Iacobs. ‖** *ὑπολάβοις ἂν* **PBCMH. Iacobs.,** *ὑπολάβῃς ἂν* **reliqui,** *ὑπολάβοις αὖ* **Pflugkius, qui supra** *ἂν* **servat. ‖ 9.** *ἔγωγε* **PC. r,** *ἔμοιγε* **BM. vm. — 3, 1.** *ἀπὸ* **PBCM. r,** *ὑπὸ* **vm. ‖ 2.** *λέγει* **PBCM,** *λέγοι* **reliq.**

καὶ τεκμαίρεσθαι τὸν ἑκάστου βίον. εἰ δέ τις ἐπαγγέλλοιτο
μὲν ὡς μουσικὴν ἄριστα ἐπιστάμενος καὶ περὶ τοῦτο διατρί-
βων, μήτε δὲ αὐτοῦ κιθαρίζοντος μηδεὶς πώποτε ἀκούσαι,
ἀλλὰ μηδὲ κιθάραν ἢ λύραν ἔχοντα ὁρῴη τις, μήτε λόγον
τινὰ διεξιόντα τῶν κατὰ μουσικὴν δίχα γε τῆς ἐπαγγελίας καὶ
τοῦ ἐπίστασθαι φάσκειν τοῦ τε Ὀρφέως ἄμεινον καὶ τοῦ Θα-
μύρα, βλέποι δ' αὐτὸν ἀλεκτρυόνας ἢ ὄρτυγας θεραπεύοντα
καὶ τρέφοντα καὶ μετὰ τῶν τοιούτων ἀνθρώπων ὡς τὸ πολὺ
διατρίβοντα· πότερον τῶν μουσικῶν τοῦτον δεῖ ὑπολαμβά-
νειν, ἢ τούτων τῶν ἀνθρώπων, μεθ' ὧν ἐστι καὶ οἷς ταὐτὰ
4 ἐπιτηδεύει; — Α. δηλονότι τούτων. — Δ. ἐὰν δὲ ἀστρονό-
μος εἶναί τις ὑπισχνῆται καὶ σαφέστατα ἐπίστασθαι τὰς περιό- 371 R
δους καὶ πορείας καὶ τὰ ἀποστήματα, πῶς ἔχουσι πρὸς ἄλληλα,
ἡλίου τε καὶ σελήνης καὶ τῶν λοιπῶν ἄστρων καὶ τὰ οὐράνια
πάθη, μηδὲν δὲ τοιοῦτον ἢ προῃρημένος μηδὲ περὶ ταῦτα
φροντίζων, ἀλλὰ μᾶλλον συνὼν τοῖς κυβεύουσι καὶ μετ' ἐκεί-
νων ἑκάστοτε ζῶν καὶ βλεπόμενος· ἀστρονόμον τοῦτον φή-
σεις, ἢ κυβευτήν; — Α. οὐ μὰ τὸν Δί' ἀστρονομίας ἡγησαί-
μην ἂν ἔγωγε προσήκειν αὐτῷ τι, πολὺ δὲ μᾶλλον κυβείας. —
5 Δ. δύο δέ τινων τοῦ μὲν λέγοντος, ὅτι πλευσεῖται τὴν ταχί-
στην καὶ πολλὰ κερδανεῖ χρήματα ἀπὸ ἐμπορίας, μήτε δὲ ναῦς

3. ἐπαγγέλλοιτο μέν. sic dedi. ἐπαγγέλλοιτο vel ἐπαγγέλλοιτό τοι Reisk., ἐπαγγέλλοιτό τις M, ἐπαγγέλλοιτό τι reliq. ‖ 5. μήτε. μὴ Reisk. ‖ μηδεὶς — τῶν κατὰ om. C. ‖ 6. ὁρῴη. ὁρῶν corr. M (prim. man. vulg.). ‖ μήτε λόγον. sic dedi. μηδὲ λόγον reliq. ‖ 7. διεξιόντα CM. Selden. (idem δείξαντα vel ἐξειπόντα). r, ἐξιόντα PB. vm. ‖ δίχα γε. δίχα δὲ PC. ‖ ἐπαγγελίας καὶ τοῦ ἐπίστασθαι φάσκειν BM (corr. ἐπαγγελίας καὶ τοῦ ἐπίστασθαι φάσκοντα). vr, ἐπαγγελίας τοῦ ἐπίστασθαι φάσκοντα PC, ἐπαγγελίας καὶ τοῦ ἐπίστασθαι φάσκοντα m, ἐπίστασθαι φάσκειν τὰ μέλη vel ᾄδειν ἐπίστασθαι φάσκειν Reisk. ‖ 8. τοῦ τε Reisk., τοῦ BM (corr. τε τοῦ), τε τοῦ reliq. ‖ Θαμύρα BM. mrg. m, Θαμύριδος ᾄδειν PC, Θαμύριδος reliq. ‖ 9. βλέποι. βλέπει PC. ‖ 10. τρέφοντα. στρέφοντα M. ‖ 11. τοῦτον. τοῦτο m. ‖ 12. ταὐτὰ ἐπιτηδεύει. ταῦτα ἐπιτηδεύειν P. — 4, 1. ἀστρονόμος εἶναί τις. τις ἀστρονόμος εἶναι PC. ‖ 2. ὑπισχνῆται C, ὑπίσχηται B, ὑπέχηται M, ὑπόσχηται reliq. ‖ 3. πορείας. πορίας M. ‖ ἔχουσι om. M. ‖ 4. λοιπῶν Progr. p. 31, τοιούτων reliq. ‖ 5. τοιοῦτον. τοιούτων M. ‖ προῃρημένος. sic dedi. προειρημένος (corr. καὶ προειρηκὼς) C, καὶ προειρηκὼς P, προειρηκὼς reliq. ‖ ταῦτα. τοιαῦτα PC. ‖ 6. συνὼν r, σὺν reliq. ‖ 8. Δί' PC, Δία reliq. ‖ ἀστρονομίας M, ἀστρονομίαν reliq. ‖ 9. αὐτῷ τι P, αὐτῷ τε C, τι om. reliq. ‖ κυβείας M, κυβείαν reliq. — 5, 1. πλευσεῖται P. Iacobs. Add. p. 28, πλευσειτ (literis postremis superscript. θη) C, πλεύσεται B. Reisk., πλεύσηται reliq. ‖ 2. ναῦς. ναῦ P.

μήτε ναύτας παρεσκευασμένου μήτε φόρτον ἔχοντος μηδένα,
ἀλλὰ μηδὲ προσιόντος ὅλως τῷ λιμένι μηδὲ τῇ θαλάττῃ, τοῦ
δὲ πραγματευομένου περὶ ταῦτα καὶ πλοῖον περισκοποῦντος
καὶ κυβερνήτην καὶ χρήματα ἐμβαλλομένου· πότερον αὐτῶν
φήσεις ἐμπορίᾳ προσέχειν τὸν νοῦν; τὸν λέγοντα, ἢ τὸν πράτ-
τοντα καὶ παρασκευαζόμενον τὰ τοῦ πλοῦ καὶ τὰ τῆς ἐμπο-
6 ρίας; — Α. ἐγὼ μὲν τοῦτον. — Δ. ἐπὶ παντὶ ἄρα τὸν μὲν 623 M
λόγον, εἰ καθ' αὑτὸν λέγοιτο μηδενὸς ἔργου προσόντος, ἄκυ-
ρον ἡγήσῃ καὶ οὐ πιστὸν, τὸ δ' ἔργον αὐτὸ πιστόν τε καὶ
ἀληθὲς, ἐὰν καὶ μὴ προάγῃ λόγος; — Α. οὕτως. — Δ. πότε-
ρον οὖν γεωργίας μέν τινα ἔργα καὶ σκεύη ἢ ναυτιλίας καὶ
ἄλλα τῷ κυνηγέτῃ προσήκοντα καὶ τῷ ἀστρονόμῳ καὶ ἐπὶ
τοῖς ἄλλοις ἅπασι, φιλοσοφίας δὲ οὐδέν ἐστιν οἰκεῖον ἔργον
7 οὐδὲ πρᾶγμα οὐδὲ παρασκευή; — Α. πάνυ μὲν οὖν. — Δ. ἀλλὰ 375 R II
ταῦτα μὲν ἄδηλα τὰ προσήκοντα τῷ φιλοσόφῳ καὶ φιλοσο-
φίᾳ, τὰ δὲ τῶν ἐμπόρων καὶ γεωργῶν καὶ μουσικῶν καὶ
ἀστρονόμων καὶ ὧν νῦν δὴ εἶπον ἔκδηλα καὶ φανερά; —
Α. οὔ μοι δοκεῖ. — Δ. ἀλλὰ δὴ καὶ λόγοι τινές εἰσιν, ὧν δεῖ
τὸν φιλοσοφοῦντα ἀκούειν, καὶ μαθήματα, ἃ δεῖ μανθάνειν,
καὶ δίαιτα, ἣν δεῖ διαιτᾶσθαι, καὶ καθόλου βίος ἄλλος μὲν
τοῦ φιλοσοφοῦντος, ἄλλος δὲ τῶν πολλῶν ἀνθρώπων· ὁ μὲν

3. μήτε ναύτας PBC. r, μήτε δὲ ναύτας M. vm. ‖ παρεσκευασμένου. παρεσκευασμένοις C, παρεσκευασμένους M. ‖ μήτε P, μηδὲ reliq. ‖ φόρτον. φόρτου B. Reisk. (idem φορτίον vel φορτίων). ‖ μηδένα Reisk., μηδὲν reliq. ‖ 4. τοῦ δέ. τοῦτο δὲ C. ‖ 6. αὐτῶν PBCM. Selden. r, αὐτοῖν Reisk., αὐτὸν vm. ‖ 7. λέγοντα BM, λέγοντα μόνον Selden., λέγοντα μὲν reliq. ‖ ἢ τὸν πράττοντα BM (mrg. ἧττον πράττοντα, ut P) Selden., ἢ τὸν πρῶτον τα mrg. C (in textu ἧττον δὲ πράττοντα), ἧττον δὲ πράττοντα reliq. ‖ 9. τοῦτον BM, οὖν τοῦτον P. Selden., οὐ τοῦτον reliq. — 6, 2. μηδενὸς ἔργου προσόντος Iacobs. Add. p. 91, μηδὲν περὶ τοῦ προσόντος M, περὶ τοῦ προσόντος μηδὲν PC, μηδὲν ἔχων περὶ τοῦ προσόντος reliqui, unde μηδὲν ἔχων τεκμήριον τοῦ πράγματος Reisk. ‖ 3. καὶ om. B. ‖ 4. προάγῃ λόγος CM (corr. προσάγῃ λόγος, ut P.), προσάγῃ λόγους reliq. ‖ πότερον οὖν γεωργίας μέν. sic dedi. (idem Reisk., nisi quod μέν ἐστιν) πότερον μὲν οὖν γεωργίας εἶναι PC, πότερον οὖν γεωργίας ἂν εἴη Iacobs. Add. p. 92, πότερον οὖν γεωργίας εἶναί reliq. ‖ 5. σκεύη PBC. Reisk., περὶ σκεύη reliqui, unde παρασκευὴ Iacobs. Add. p. 92. ‖ ἢ ναυτιλίας. ἢ ναυτηλίας B, ἢ om. P. ‖ καὶ ἄλλα τῷ PC, ἄλλα om. reliqui, unde προσῆκόν τι Pflugk. p. 9. ‖ 6. ἐπί. ἔτι PC, οὕτως ἐπὶ Reisk., ἐστὶ Pflugk. l. l. — 7, 3. γεωργῶν. θωργῶν C. ‖ 4. νῦν δὴ BCM, νυνὶ P (unde νῦν δὴ coniecit Cobet.), δὴ νῦν reliq. ‖ 5. δεῖ. δὴ B. ‖ 6. δεῖ. δὴ C. ‖ 7. δίαιτα r, δίαιταν reliq. ‖ δεῖ διαιτᾶσθαι. δεῖ αἰτᾶσθαι C. ‖ ἄλλος μέν. μὲν ἄλλος PC. ‖ 8. ὁ μέν.

πρὸς ἀλήθειαν καὶ φρόνησιν τείνων καὶ θεῶν ἐπιμέλειαν καὶ θεραπείαν καὶ τῆς αὑτοῦ ψυχῆς μακρὰν ἀλαζονείας καὶ ἀπά-
8 *της καὶ τρυφῆς εὐτέλειάν τε καὶ σωφροσύνην. καὶ γὰρ στολὴ ἑτέρα μὲν τοῦ φιλοσοφοῦντος, ἑτέρα δὲ τῶν ἰδιωτῶν καὶ κατακλίσεις καὶ γυμνάσια καὶ λουτρὰ καὶ ἡ ἄλλη δίαιτα. καὶ τὸν μὲν ἀκολουθοῦντα καὶ τὸν χρώμενον τούτοις δεῖ νομίζειν ὡς φιλοσοφίᾳ προσέχοντα τὸν νοῦν· τὸν δὲ ἐν μηδενὶ τούτων διαφέροντα μηδὲ ὅλως ἕτερον ὄντα τῶν πολλῶν ἕνα ἐκείνων θετέον, κἂν μυριάκις εἴπῃ τε καὶ ἐπαγγείληται φιλοσοφεῖν* 378 R II
ἐναντίον τοῦ δήμου τοῦ Ἀθηναίων ἢ Μεγαρέων ἢ παρὰ τοῖς Λακεδαιμονίων βασιλεῦσιν· ἀλλ᾽ ὠστέον τοῦτον τὸν ἄνθρω-
9 *πον εἰς τοὺς ἀλαζόνας καὶ ἀνοήτους καὶ τρυφερούς. καίτοι μουσικὸν μὲν οὐκ ἀδύνατον εἶναι μὴ πράττοντα τὰ τοῦ μουσικοῦ· ἡ γὰρ μουσικὴ οὐκ ἀναγκάζει ἀεὶ προσέχειν αὐτῇ τὸν νοῦν καὶ μηδὲν ἄλλο ποιεῖσθαι περὶ πλείονος. καὶ ἀστρονό-* 624 M
μον ὄντα οὐδὲν ἴσως κωλύει τρέφειν ἀλεκτρυόνας ἢ κυβεύειν· οὐδὲν γὰρ ἡ ἀστρονομία ἐμποδών ἐστι τῷ μὴ τὰ δέοντα ποιεῖν. καὶ νὴ Δία ἱππικὸν γενόμενον ἢ κυβερνήτην ἀγαθὸν ἢ γεωμέτρην ἢ γράμματα εἰδότα οὐδὲν θαυμαστὸν ἢ παρὰ ταῖς ἑταίραις ἢ ταῖς αὐλητρίσιν ὁρᾶσθαι· τὸ γὰρ ταῦτα ἐπίστασθαι οὐδὲν ποιεῖ βελτίω τὴν τοῦ ἀνθρώπου ψυχὴν οὐδὲ ἀπο-
10 *τρέπει τῶν ἁμαρτημάτων. φιλοσοφίᾳ δὲ προσέχων τις καὶ μετασχὼν τούτου τοῦ μαθήματος οὐκ ἄν ποτε ἀποσταίη τῶν*

post haec v. tale quid deesse suspicatur Reiskius: *ἐν σπουδαῖς εἰκαίαις καὶ βλαβεραῖς ἀναλισκόμενος.* ‖ 9. *τείνων* Selden., *τιμῶν* reliqui, quod Pflugkius hinc eiectum infra post v. *σωφροσύνην* collocat. ‖ 10. *καὶ τῆς. καὶ* om. PM. ‖ *αὑτοῦ.* sic dedi. *αὐτοῦ* reliq. ‖ *ψυχῆς. τύχης* mrg. m. ‖ *ἀλαζονείας* C. r, *ἀλαζονεία* B, *ἀλαζονίαν* M, *ἀλαζονείαν* vm. ‖ *ἀπάτης καὶ τρυφῆς. ἀπάτη καὶ τρυφὴ* B. marg. m. ‖ 11. *εὐτέλειάν τε καὶ σωφροσύνην. εὐτέλεια δὲ καὶ σωφροσύνη* BC, *εὐτέλειά τε καὶ σωφροσύνη* P. marg. m. post *σωφροσύνην* Reiskius *ἀσκῶν* interponebat, Iacobs. *τιμῶν.* frustra. — 8, 2. *κατακλίσεις. κατάκλισις* M. ‖ 3. *καὶ τὸν μὲν. καίτοι μὲν* C. ‖ 4. *τὸν χρώμενον. τὸν* malim abesse. ‖ *ὡς. ὡς ἀληθῶς* Reisk., *ὄντως* Iacobs. Add. p. 147. ‖ 5. *φιλοσοφίᾳ. φιλοσοφίαν* M. ‖ 7. *ἐπαγγείληται.* sic dedi. *ἐπαγγέληται* B, *ἐπαγγείλληται* C, *ἐπαγγέλληται* P. Reisk., *ἀπαγγέλληται* vm. ‖ 8. *τοῦ* PBM, *τῶν* reliq. ‖ 10. *τρυφερούς. τοὺς τρυφερούς* B. — 9, 2. *οὐκ ἀδύνατον εἶναι. οὐ δυνατὸν ἂν εἴη* PC, *οὐκ ἀδύνατον εἴη* BM. ‖ *τὰ* om. B. ‖ 3. *ἀναγκάζει ἀεί.* sic dedi. *ἀνάγκη* B, *ἀναγκάζει* r, *ἀναγκάσει* reliq. ‖ *αὐτῇ.* sic dedi. *αὐτὴ* B, *ἀεὶ αὐτῇ* Iacobs., *αὐτῇ* reliq. ‖ 4. *καὶ μηδέν. ἢ μηδὲν* B, in M *καὶ* a corr. add. ‖ 5. *οὐδέν. οὐδὲ* m. ‖ 8. *γράμματα. πράγματα* (corr. vulg.) CM. ‖ *ἢ παρά. ἢ* om. M. ‖ 9. *γάρ. γ᾽ αὖ* M.

βελτίστων, οὐδὲ τούτων ἀμελήσας αἰσχρόν τι καὶ φαῦλον προέλοιτ' ἂν πράττειν οὐδὲ ἀργεῖν καὶ ὀψοφαγεῖν καὶ μεθύσκεσθαι. τὸ γὰρ ταῦτα μὴ θαυμάζειν καὶ τὴν τούτων ἐπιθυμίαν ἐξαιρεῖν τῆς ψυχῆς καὶ τοὐναντίον εἰς μῖσος αὐτῶν καὶ κατάγνωσιν προάγειν φιλοσοφία ἐστίν. τὸ δέ γε φῆσαι φιλοσοφεῖν καὶ ἀλαζονεύεσθαι καὶ αὐτὸν ἐξαπατῆσαι καὶ τοὺς ἄλλους οὐδὲν ἴσως κωλύει.

ΛΟΓΟΣ οα.

ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ.

1 *Εἰσὶν οἵ φασι δεῖν πάντα ἐν πᾶσιν εἶναι περιττὸν τὸν* 311 R II.
φιλόσοφον, καὶ ὁμιλῆσαι ἀνθρώποις φασὶ δεῖν εἶναι δεινότατον καὶ μηδέποτε σιγᾶν μηδὲ ἀπορεῖν λόγων τοιούτων πρὸς τοὺς παρόντας, οἳ δυνήσονται τέρπειν αὐτούς· εἰ δὲ μή, φασὶν ἰδιώτην εἶναι τὸν μὴ παρεσκευασμένον οὕτως καὶ ὀλίγου ἄξιον. ἐγὼ δέ φημι τὰ μὲν δίκαια καὶ ἀληθῆ λέγειν αὐτούς,
2 *τὰ δὲ οὔ. τὸ μὲν γὰρ διαφέρειν πανταχοῦ τὸν φιλόσοφον τῶν ἄλλων δοκοῦσί μοι ὀρθῶς ἀξιοῦν· πλὴν εἰ μήτι καὶ τὰς τέχνας φασὶ δεῖν αὐτὸν ἁπάσας εἰδέναι καὶ βέλτιον κατὰ τὴν τέχνην ἅπαντα ποιεῖν τῶν δημιουργῶν, οἰκίας τε οἰκοδομούμενον καὶ πλοῖα ναυπηγούμενον καὶ χαλκεύοντα καὶ ὑφαί-*

10, 3. *τούτων. τούτου τῶν* **M.** ‖ **4.** *προέλοιτ' ἄν. προείλετο* **B,** *προείλατο* **M.** ‖ *ἀργεῖν. ἀλγεῖν* **P.** ‖ **5.** *ταῦτα μή* **PC,** *μή* **om. M,** *μὴ ταῦτα* **reliq.** ‖ **6.** *ἐξαιρεῖν. ἐξαίρειν* **BM.** ‖ **7.** *προάγειν. προάγει* **M.** ‖ *φιλοσοφία ἐστίν* **om. M.** ‖ *φῆσαι φιλοσοφεῖν* **PC,** *φιλοσοφεῖν* **om. reliq.** ‖ **8.** *ἀλαζονεύεσθαι. ἀλαζονεύσασθαι* **C.** ‖ *αὐτόν. ἑαυτὸν* **C,** *αὑτὸν* **M.** ‖ *ἐξαπατῆσαι. ἐξηπατῆσαι* **P.**

Orat. LXXI. (apud Morellum LXX.) Collati sunt PBCM. — 1, 1. *περιττὸν τὸν φιλόσοφον* **PC. v,** *τὸν φιλόσοφον* **om. reliqui, quae Reiskius interponebat post** *δεῖν.* ‖ **3.** *σιγᾶν. σειγᾶν* **M.** ‖ **5.** *παρεσκευασμένον. παρασκευασμένον* **C. — 2, 2.** *δοκοῦσί μοι* **M,** *δοκοῦσιν* **reliq.** ‖ *μήτι. μὴ* **B,** *μήτε* **M. malim** *μή γε.* ‖ **3.** *βέλτιον. βελτίω* **Pflugk.** ‖ *κατά.* **ne malis** *τὰ κατὰ* **conf. § 5.**

νοντα καὶ γεωργοῦντα· ὥσπερ ὁ Ἠλεῖος Ἱππίας ἠξίου σο-
φώτατος εἶναι τῶν Ἑλλήνων οὐ μόνον ποιήματα παντοδαπὰ
καὶ λόγους αὐτοῦ ποικίλους προφέρων Ὀλυμπίασί τε καὶ ἐν
ταῖς ἄλλαις πανηγύρεσι τῶν Ἑλλήνων, ἀλλὰ καὶ ἄλλα ἐπι-
δεικνὺς ἔργα, τόν τε δακτύλιον καὶ τὴν λήκυθον καὶ στλεγ-
γίδα καὶ ἱμάντα καὶ τὴν ζώνην, ὡς ἅπαντα πεποιηκὼς αὐτὸς,
3 οἷον ἀπαρχὰς τῆς σοφίας τοῖς Ἕλλησιν ἐπιδεικνύων. σχεδὸν
δὲ καὶ Ὅμηρος Ὀδυσσέα πεποίηκεν οὐ μόνον γνώμῃ διαφέροντα
καὶ τῷ δύνασθαι περὶ πραγμάτων βουλεύεσθαι καὶ λέγειν
δεινότατα ἔν τε πλήθει καὶ πρὸς ὀλίγους καὶ πρὸς ἕνα, καὶ
νὴ Δία γε ἐν ἐκκλησίᾳ τε καὶ παρὰ πότον καὶ, εἰ τύχοι, μετά
τινος βαδίζων ὁδὸν, καὶ πρὸς βασιλέα καὶ πρὸς ἰδιώτην καὶ
πρὸς ἐλεύθερον καὶ πρὸς δοῦλον, καὶ αὐτὸν ἔνδοξον ὄντα καὶ
βασιλέα καὶ αὖ πάλιν ἀγνοούμενον καὶ πτωχὸν, καὶ πρὸς ἄνδρα
τε ὁμοίως καὶ γυναῖκα καὶ κόρην, ἔτι δὲ μάχεσθαι ἐπιστάμε-
νον· ἀλλὰ καὶ τῶν τοιούτων ἁπάντων ἔμπειρον, τεκτονικῆς
4 καὶ οἰκοδομίας καὶ ναυπηγικῆς. πῶς γὰρ ἂν τὸ λέχος ἐποίη-
σεν ἀποκόψας τὸν τῆς ἐλαίας θαλλὸν, εἰ μὴ καὶ τεκτονικῆς
ἐπιστήμων ἦν; πῶς δ' ἂν περιέβαλε τὸν θάλαμον, εἰ μὴ καὶ
οἰκοδομῆσαι ἠπίστατο; πῶς δ' ἂν εἰργάσατο τὴν σχεδίαν οὐκ
ὢν ἔμπειρος ναυπηγίας; τὰ δὲ περὶ φυτείαν καὶ γεωργίαν
εὐθὺς ἐκ παίδων ἐσπουδακὼς φαίνεται, παρὰ τοῦ πατρὸς
δένδρα αἰτῶν καὶ ἀμπέλους. ἄλλως τε καὶ τοῦ πατρὸς γεωρ-
γοῦ ὄντος πάνυ ἐπιμελοῦς τε καὶ ἐμπείρου εἰκὸς ἦν αὐτὸν
ταῦτα μὴ ἀγνοεῖν, ὅπου γε καὶ προκαλεῖται τὸν Εὐρύμαχον
καὶ ἀμῆσαι καὶ ἀρόσαι. ἀλλά φησι καὶ τῶν τοιούτων ἔμπει-
ρος εἶναι, μαγειρικῆς τε καὶ οἰνοχοίας καὶ τῆς ἄλλης ἁπάσης
διακονίας, ἅ φησι τοὺς χείρονας τοῖς ἀγαθοῖς διακονεῖσθαι.

6. Ἠλεῖος. ἥλιος M. ‖ 11. ἱμάντα. ἵμα M. — 3, 2. γνώμῃ. γνώμη μὴ M. ‖ 3. βουλεύεσθαι r, βουλεύσασθαι reliq. ‖ 6. βασιλέα. σοφὸν Reiskius, qui infra πρὸς ἔνδοξον servabat. ‖ 7. αὐτὸν ἔνδοξον. sic dedi. ὡς ἔνδοξον Obs. p. 61, καὶ τιν ἔνδοξον B, τὸν ἔνδοξον (mrg. πρὸς ἔνδοξον) M, πρὸς ἔνδοξον reliq. ‖ 10. ἔμπειρον. ἔμπειρον M. ‖ τεκτονικῆς PC. Reisk., καὶ τεκτονικῆς reliq. ‖ 11. οἰκοδομίας. οἰκονομίας M. — 4, 2. τὸν C. Reisk., τόν τε M, τόν γε reliq. ‖ μὴ καί. καὶ om. BM. ‖ 3. περιέβαλε τὸν BCM, περιέβαλλε τὸν P, περιεβάλλετο reliq. ‖ 4. ἠπίστατο PBCM. r, ἐπίστατο vm. ‖ 5. ἔμπειρος. ἔμπεχο C. ‖ γεωργίαν. γεωργείαν M. ‖ 7. αἰτῶν PBCM. marg. m, ζητῶν reliqui. conf. Od. 24, 37. ‖ γεωργοῦ ὄντος. γεωργοῦντος PCM. ‖ 9. γε καί. γε B, τε M. ‖ προκαλεῖται. προσκαλεῖται P. ‖ 11. οἰνοχοΐας M, οἰνοχοίας reliq. ‖ 12. φησι PC. r, φήσει BM. vm. ‖ διακονεῖσθαι. διακονεῖν r.

5 ταῦτα μὲν οὖν ἴσως Ἱππίας καὶ Ὀδυσσεὺς δεινὼ ἤστην· ἐγὼ
δέ φημι τὸν φιλόσοφον τὰς μὲν τέχνας οὐχ οἷόν τε τὰς πά- 379 R II.
σας εἰδέναι· χαλεπὸν γὰρ καὶ μίαν ἀκριβῶς ἐργάσασθαι·
ποιῆσαι δ' ἂν ἅπαντα βέλτιον, ὅ τι ἂν τύχῃ ποιῶν, τῶν ἄλ-
λων ἀνθρώπων, καὶ τὰ κατὰ τὰς τέχνας, ἂν ἄρα ἀναγκασθῇ
ποτε ἅψασθαι τοιούτου τινός· οὐ κατὰ τὴν τέχνην διαφέ- 626 M.
ροντα· τοῦτο γὰρ οὐχ οἷόν τε, τοῦ τέκτονος τὸν ἰδιώτην
ἄμεινον ποιῆσαί τι κατὰ τὴν τεκτονικὴν ἢ τοῦ γεωργοῦ τὸν
οὐκ ὄντα γεωργίας ἔμπειρον ἐν τῷ ποιεῖν τι τῶν γεωργικῶν
6 ἐμπειρότερον φανῆναι. ποῦ δ' ἂν διαφέροι; τῷ συμφερόντως
ποιεῖν ἢ μὴ ποιεῖν καὶ ὅτε δεῖ καὶ ὅπου καὶ τὸν καιρὸν γνῶ-
ναι τοῦ δημιουργοῦ μᾶλλον καὶ τὸ δυνατόν. αὐτίκα οὐ δοκεῖ
μοι Δαίδαλος καλῶς εἰργάσθαι ἐν Κρήτῃ τὸν Λαβύρινθον,
οὗ εἰσερχόμενοι ἀπώλλυντο οἱ πολῖται αὐτοῦ καὶ αἱ πολίτιδες.
οὐ γὰρ δικαίως εἰργάσατο. συμπράττων τῇ νόσῳ τῆς Πασι-
φάης οὐδὲ ὀρθῶς εἰργάσατο· οὐ γὰρ συνέφερεν οὐδὲ ἦν δί-
καιον οὐδὲ καλὸν τοιαῦτα συμπράττειν οὐδὲ μηχανὰς εὑρί-
σκειν ἐπὶ τὰ αἰσχρὰ καὶ ἀνόσια· οὐδὲ ὡς τὸν Ἴκαρον ἐπτέ-
ρωσεν, εἰ χρὴ πιστεύειν τῷ μύθῳ, καλῶς ἐξευρεῖν φημι τήνδε
τὴν μηχανήν· οὐ γὰρ δυνατὰ ἐμηχανᾶτο πτέρυγας ἀνθρώπῳ
7 προστιθείς. οὐκοῦν διέφθειρε τὸν υἱόν. ἔοικε δὲ καὶ Ὅμη-
ρος λοιδορεῖν τινα τέκτονα τῶν Τρώων οὐ καλῶς ἐργασάμε-
νον τὰς ναῦς τῷ Ἀλεξάνδρῳ, αἷς ἔπλευσεν εἰς τὴν Ἑλλάδα,
οὐδὲν ἔχων αἰτιάσασθαι κατὰ τὴν τέχνην. φησὶ γάρ·

> ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐίσας
> ἀρχεκάκους·

οὐκ ἐγκωμιάζων αὐτὸν ἐν τῇ ποιήσει τῶν νεῶν, ἀλλὰ ψέγων 380 R II.
πολὺ μᾶλλον ἢ εἰ λέγων αὐτὸν ποιῆσαι τὰς ναῦς ἢ βραδείας

5, 2. οἷόν τε. οἴονται M. ‖ τὰς P, τοὺς C, εἶναι reliq. ‖ 4. δ' ἄν. ἂν om. P. ‖ 5. τὰ κατά. τὰ om. PCM. ‖ ἄν. ἂν δ' BM. ‖ 6. τοιούτου τινός. τοιοῦτόν τινος M. ‖ κατὰ τὴν. τὴν om. B. ‖ διαφέροντα. διαφέροντος corr. C (pr. man. vulg.). ‖ 7. οἷόν τε. οἴονται M. ‖ τὸν ἰδιώτην. τῶν ἰδιωτῶν C. — 6, 1. ἄν. ἂν οὖν Reisk. ‖ τῷ συμφερόντως PBM. Pflugk., ἐν τῷ συμφεράντως Reisk., τὸ συμφερόντως reliq. ‖ 2. δεῖ. δὴ BM. ‖ 5. ἀπώλλυντο. ἀπόλλυντο M. ‖ 6. οὐ γάρ. οὐδ' αὖ Iacobs., εἰ γὰρ Pflugk. ‖ εἰργάσατο. ἠργάσατο M. ‖ συμπράττων — ὀρθῶς εἰργάσατο om. PC (corr. add.). ‖ συμπράττων. malim οὐδὲ συμπράττων. ‖ νόσῳ BC. r, νήσῳ M. vm. ‖ 7. οὐδέ. οὐκ (mrg. vulg.) M, οὔτε Pflugkius. malim τὴν βοῦν. ‖ 9. Ἴκαρον. εἴκαρον M. ‖ 10. τήνδε. τῇδε (mrg. vulg.) M. — 7, 3. ἔπλευσεν Reisk., εἰσέπλευσεν reliq. ‖ 5. ἐίσας. ἐείσας M. ‖ 8. ἢ εἰ. εἴη B. mrg. m. ‖ ἤ. οὐ γὰρ B. ‖ βραδείας.

ἢ ἄλλο τι ἁμάρτημα ἐχούσας ᾐτιᾶτο περὶ τὴν ναυπηγίαν.
ψέγει δὲ ὁμοίως καὶ κυνηγέτην τινὰ καὶ καταγελᾷ τῆς ἐμπει-
ρίας, ὅτι εἰς οὐδὲν δέον ἐκέκτητο αὐτήν, ἀλλὰ τὰ μὲν θηρία
ἠπίστατο βάλλειν, ἐν δὲ τῷ πολέμῳ οὐκ ἐτύγχανεν οὐδενὸς,
ἀλλ' ἀχρεῖος ἦν διὰ τὴν δειλίαν· καὶ οὔ φησιν αὐτῷ τότε
8 βοηθῆσαι τὴν Ἄρτεμιν. οὐκοῦν ἐκ τούτων δῆλον, ὅτι δεῖ
φρονήσεως καὶ ἀρετῆς καὶ πρὸς ἃ ἐπίστανται οἱ ἄνθρωποι
καὶ πρὸς ἃ οὐκ ἐπίστανται· καὶ οὕτως ἂν ἅπαντα διαφέροι
πάντων ὁ σώφρων, οἷον χρὴ εἶναι τὸν φιλόσοφον, καὶ ποιῶν
τι τούτων καὶ μὴ ποιῶν, κἂν ὁπωσοῦν ποιῇ κατὰ τὴν τέχνην.
ὡς δὲ τῶν ζωγράφων γράψει κρεῖττον οὐκ ὢν ζωγράφος, ἢ
τῶν ἰατρῶν ἄμεινον θεραπεύσει κατὰ τὴν ἰατρικὴν οὐκ ὢν
ἰατρὸς, ἢ τῶν μουσικῶν μουσικώτερον ᾄσεται οὐκ ὢν ἔμπει-
ρος μουσικῆς ἢ μετρίως ἔμπειρος γεγονὼς, ἢ τῶν ἀριθμητι-
κῶν περὶ τοὺς ἀριθμοὺς, ἢ τῶν γεωμετρῶν ἐμπειρότερος
φανεῖται περὶ γεωμετρίαν ἢ περὶ φυτείαν τῶν γεωργῶν, ἢ
περὶ κυβερνητικὴν τῶν κυβερνητῶν, ἢ σφάξειν θᾶττον τῶν
μαγείρων, ἢ διελεῖν, δέον διελεῖν, τῶν αὐτὸ τοῦτο ἔργον πε-
9 ποιημένων, οὐ χρὴ διανοεῖσθαι. καίτοι τῶν νῦν βασιλέων τις
ἐπεθύμει σοφὸς εἶναι τὴν τοιαύτην σοφίαν, ὡς πλεῖστα ἐπι-
στάμενος· οὐ μέντοι τὰ τοιαῦτα, ἃ μὴ θαυμάζεται παρὰ τοῖς
ἀνθρώποις, ἀλλὰ ἐφ' οἷς στεφανωθῆναι ἔστι, κηρύττειν καὶ
ᾄδειν πρὸς κιθάραν καὶ τραγῳδεῖν καὶ παλαίειν καὶ παγκρα-
τιάζειν. φασὶ δὲ καὶ γράφειν καὶ πλάττειν ἱκανὸν αὐτὸν
εἶναι καὶ αὐλεῖν τῷ τε στόματι καὶ ταῖς μασχάλαις ἀσκὸν
ὑποβαλόντα, ὅπως διαπεφευγὼς ᾖ τὸ αἰσχρὸν τὸ τῆς Ἀθηνᾶς.
οὔκουν ὑπῆρχε σοφός.

βραδίας M. ‖ 9. περί. τὸ περὶ r. — 8, 1. τούτων. τούτου B. ‖ 3. οὕτως. οὗτος M. ‖ 5. κἂν ὁπωσοῦν. καὶ ὅπερ οὖν M. ‖ ποιῇ. ποιεῖ C. ‖ κατὰ τήν. κἂν κατὰ Reisk. ‖ 8. ᾄσεται. ἄγεται BCM. ‖ 10. περὶ PBM (mrg. παρὰ), διοίσεται περὶ Reisk., παρὰ reliq. ‖ ἀριθμούς. ἀριθμητικοὺς C. ‖ 12. κυβερνητῶν. κυβερνητικῶν B. ‖ σφάξειν C, σφάξιν M, σφάζειν reliq. ‖ 13. δέον. ὡς δέον PC. ‖ τῶν. τὸν C. ‖ πεποιημένων. πεποιημένον C. — 9, 2. ἐπεθύμει M. vm, ἐπιθυμεῖ PBC. r. ‖ 3. θαυμάζεται. θαυμάζηται M. ‖ 4. κηρύττειν καί. καὶ κηρυχθῆναι Seldenus. frustra. ‖ 7. τῷ τε PBCM. r, τότε vm. ‖ 8. ὑποβαλόντα B, ὑποβάλλοντα reliq. ‖ τὸ τῆς. τὸ om. PC.

ΛΟΓΟΣ οβ.

ΠΕΡΙ ΤΟΥ ΣΧΗΜΑΤΟΣ.

1 *Διὰ τί ποτε οἱ ἄνθρωποι, ὅταν μέν τινα ἴδωσιν αὐτὸ* 382 R II.
μόνον χιτῶνα ἔχοντα, οὔτε προσέχουσιν οὔτε διαγελῶσι, λογι-
ζόμενοι τυχόν· ναύτης ἐστὶν ὁ ἄνθρωπος καὶ ὅτι οὐδὲν δεῖ
καταγελᾶν τούτου ἕνεκα· ὁμοίως οὐδ' εἴ τινα ἴδοιεν γεωργοῦ
στολὴν ἔχοντα ἢ ποιμένος ἐξωμίδα ἢ διφθέραν ἐνημμένον ἢ
κοσσύμβην ὑποδεδυκότα, οὐ χαλεπαίνουσιν, ἀλλ' οὐδὲ προσ-
ποιοῦνται τὴν ἀρχήν, ἡγούμενοι προσήκειν τὴν στολὴν ταύτην
2 *τῷ τοιοῦτόν τι πράττοντι. τούς γε μὴν καπήλους ἑκάστοτε*
ὁρῶντες πρὸ τῶν καπηλείων ἀνεζωσμένους οὐδέποτε τωθά- 628 M.
ζουσι, καταγελῷεν δ' ἂν τοὐναντίον, εἰ μὴ οὕτως ἐνεσκευ-
ασμένοι εἶεν, ὡς οἰκείου τοῦ σχήματος ὑπάρχοντος τῇ ἐργασίᾳ,
ἣν μεταχειρίζονται· ἐπειδὰν δέ τινα ἴδωσιν ἀχίτωνα ἐν ἱματίῳ
κομῶντα τὴν κεφαλὴν καὶ τὰ γένεια, οὐχ οἷοί τέ εἰσι πρὸς
τούτους τὴν ἡσυχίαν ἄγειν οὐδὲ σιγῇ παρέρχεσθαι, ἀλλ'
ἐφίστανται καὶ ἐρεθίζουσι καὶ ἤτοι κατεγέλασαν ἢ ἐλοιδόρη-
σαν ἢ ἐνίοτε ἕλκουσιν ἐπιλαβόμενοι, ὅταν τινὰ ὁρῶσι μὴ πάνυ
ἐῤῥωμένον αὐτὸν μηδὲ ἄλλον μηδένα παρόντα τὸν ἐπιβοηθή-
σοντα· καὶ ταῦτα εἰδότες, ὅτι τοῖς καλουμένοις φιλοσόφοις
ξυνήθης ἐστὶν ἡ στολὴ αὕτη καὶ τρόπον τινὰ ἀποδεδειγμένη. 383 R II.
3 *ὃ δὲ ἔτι τούτου παραδοξότερον· ἔνθα γὰρ ἐνίοτε βλέπουσιν*

Orat. LXXII. (apud Morellum LXXI.) Collati sunt PBCM. — 1, 1. *αὐτό* B. Cobet., *αὐτοῦ* CM (at *ου* in litura). vm, *αὐτὸν* mrg. m, *ναύτου* P. Selden. (idem et *ναυτικὸν*). r. ‖ 2. *προσέχουσιν* CM, *προσέχουσι* reliq. ‖ 4. *οὐδ'* PCM, *οὐδὲ* reliq. ‖ 5. *ἢ διφθέραν. ἔχοντα ἢ διφθέραν* BM (at *ἔχοντα* obel. notat.). ‖ 6. *κοσσύμβην. κο-σύμβην* BM. ‖ *ὑποδεδυκότα. ἀποδεδυκότα* (corr. vulg.) M. ‖ 8. *πράττοντι* PC, *πράξαντι* reliq. — 2, 2. *ἀνεζωσμένους. ἐνεζωσμένους* BM. ‖ *τωθάζουσι. θαυμά-ζουσι* PC, *τῷ θαυμάζουσι* (corr. vulg.) M. ‖ 3. *μή. μὲν* P. ‖ 5. *ἐπειδὰν* BCM, *ἐπειδὴ* reliq. ‖ 7. *τούτους τήν. τούτους* P, *τούτοις* C, *τούτοις τὴν* M. ‖ 8. *ἐρεθί-ζουσι. αἱρεθίζουσι* M. ‖ 12. *ξυνήθης* M, *ξυνηθές* reliq. ‖ *ἀποδεδειγμένη* BM. marg. m, *ἀποδεδειγμένον* reliq. — 3, 1. *ἔτι. ἐστὶ* PC.

ἀνθρώπους τοὺς μέν τινας πίλους ἐπὶ ταῖς κεφαλαῖς ἔχοντας,
ὡς νῦν τῶν Θρᾳκῶν τινες τῶν Γετῶν λεγομένων, πρότερον
δὲ Λακεδαιμόνιοι καὶ Μακεδόνες, ἄλλους δὲ τιάραν καὶ ἀνα-
ξυρίδας, καθάπερ οἶμαι Πέρσαι τε καὶ Βάκτριοι καὶ Παρ-
θυαῖοι καὶ ἄλλοι πολλοὶ τῶν βαρβάρων· οἱ δ' ἔτι τούτων
ἀτοπώτεροι εἰώθασιν ἐπιδημεῖν πτερὰ ἔχοντες ἐπὶ ταῖς κεφα-
λαῖς ὀρθά, ὥσπερ Νασάμωνες· οὐκοῦν οὐδὲ τούτοις πάνυ τι
τολμῶσι πράγματα παρέχειν οὐδ' ἐνοχλεῖν προσιόντες. καίτοι
Γέτας μὲν ἢ Πέρσας ἢ Νασάμωνας, τοὺς μὲν οὐ πολλοὺς
4 βλέπουσι, τοὺς δὲ σπανίως ἐπιδημοῦντας. τῶν δὲ τοιούτων
ἀνθρώπων ὀλίγου νῦν μεστὰ πάντα καὶ σχεδὸν πλείους γεγό-
νασι τῶν σκυτοτόμων καὶ κναφέων καὶ τῶν γελωτοποιῶν
ἢ ἄλλην ὁποίαν βούλει τέχνην ἐργαζομένων· ὥστε καὶ ἐφ'
ἡμῶν ἴσως ῥηθῆναι εἰκότως, ὅτι πλεῖ πάντα ὁμοίως ἀκάτια
5 καὶ πᾶσα βοῦς ἀροτριᾷ. οὐ τοίνυν κατὰ τοῦτο μόνον ξυνήθης
αὐτοῖς ἡ ὄψις, ἀλλὰ καὶ τὰ ἀγάλματα ὁρῶσιν ἐν τοῖς ναοῖς,
οἷον Διὸς καὶ Ποσειδῶνος καὶ ἄλλων πολλῶν θεῶν ἀγάλματα
ἐν τοιαύτῃ διαθέσει τοῦ σχήματος. παρὰ μὲν γὰρ Αἰγυπτίοις
καὶ Φοίνιξι καὶ ἑτέροις τισὶ τῶν βαρβάρων οὐχ ὁ αὐτὸς τύπος
τῶν ἀγαλμάτων, ὥσπερ οἶμαι παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ πολὺ
διαφέρων. ἐνθάδε δὲ ὁ αὐτός ἐστιν. καὶ ἀνδρῶν εἰκόνας
ὁρῶσι πολιτῶν τῆς πόλεως καὶ ἐν τῇ ἀγορᾷ καὶ ἐν τοῖς ἱεροῖς, 381 R II
στρατηγῶν καὶ βασιλέων, οὕτως ἀνακειμένας, γένεια καθει- 629 M.
6 κότων. ἀλλὰ τί δεῖ ταῦτα λέγειν; σχεδὸν γάρ τι καὶ τῶν
Ἑλλήνων οἱ πλείους ὁμοίως πρὸς τοῦτο ἔχουσι καὶ οὐδὲν
αὐτοὺς ἡ ξυνήθεια ἀποκωλύει τὸ μὴ οὐκ ἐρεσχελεῖν μηδὲ
ὑβρίζειν, ἐπειδάν τινα ἴδωσι τοιοῦτον· λέγω δὲ τῶν πολλῶν

2. πίλους. σπήλους M. ‖ 3. Γετῶν BCM. Selden. r, γε τῶν P. vm. ‖ 6. δ' ἔτι M, δὲ ἔτι reliq. ‖ 7. ἀτοπώτεροι PC, ἀτοπώτερον reliq. ‖ ἐπιδημεῖν. ἀποδημεῖν PCM. ‖ 8. Νασάμωνες. respicit hunc locum Eustath. in Dionys. Perieg. ad v. 200. Sintenis. ‖ 9. οὐδ'. οὐδὲ C. — 4, 3. γελωτοποιῶν iure suspectum Geelio. ‖ 4. βούλει. βούλῃ M. ‖ 5. ῥηθῆναι. ῥησθῆναι C. ‖ πάντα. malim πάνθ'. ἡμῖν πάντα Reisk. ‖ ἀκάτια. malim τἀκάτια. — 5, 4. τοιαύτῃ PBM. τῇ αὐτῇ reliq. ‖ 5. βαρβάρων. βάρων B. ‖ 7. εἰκόνας. εἰκώνας M. ‖ 8. τῆς. πανταχοῦ τῆς vel ὅπου τύχῃ τῆς Reisk., πολιτῶν in πολλαχοῦ mutat Boiss. ad Eunap. p. 340, in ὅπου δήποτε Iacobs. ‖ 9. στρατηγῶν καὶ βασιλέων BCM, καὶ βασιλέων om. reliqui, unde Pflugkius ἀρχαίως οὕτως ἀνακειμένων. ‖ ἀνακειμένας r, ἀνακείμενα reliq. — 6, 3. τὸ μὴ CM, τοῦ μὴ reliq. ‖ ἐρεσχελεῖν. ἐρεσχηλεῖν M. ‖ 4. λέγω δέ. δὲ om. BM.

καὶ ἀδόξων, οὓς μὴ δεδοίκασιν ὡς ἱκανοὺς ἀμύνεσθαι· ἐπεὶ
τούς γε τοιούτους σχεδὸν δυσωποῦνται καὶ θαυμάζουσιν. τυ-
χὸν οὖν τοιοῦτόν ἐστι τὸ γιγνόμενον. τοὺς μὲν ναύτας καὶ
τοὺς γεωργοὺς καὶ ποιμένας, ἔτι δὲ Πέρσας καὶ Νασάμωνας,
οὐκ οἴονται καταφρονεῖν αὐτῶν οὐδὲ εἶναι πρὸς αὐτοὺς οὐ-
7 δένα ἐκείνοις λόγον, ὅθεν οὐδὲ φροντίζουσιν. τοὺς μέντοι
φιλοσόφους ὑπονοοῦσιν ὡς καταφρονοῦντας αὐτῶν καὶ κατα-
γιγνώσκοντας πολλὴν ἀμαθίαν καὶ δυστυχίαν, καὶ ὅτι φανε-
ρῶς μὲν οὐ καταγελῷεν, ἰδίᾳ δὲ παρ' αὐτοῖς οὕτως ἔχουσιν,
ὡς πάντας ἀθλίους ὄντας τοὺς ἀπαιδεύτους, ἀρξαμένους ἀπὸ
τῶν πλουσίων δὴ καὶ μακαρίων δοκούντων, οὓς αὐτοὶ ζηλοῦσι
καὶ σμικρὸν διαφέρειν οἴονται τῶν θεῶν εὐδαιμονίας ἕνεκεν·
καὶ ὅτι ἀτιμάζοιεν καὶ διαγελῷεν ὡς πολυτελῶς ἐσθίειν τε
καὶ πίνειν καὶ καθεύδειν μαλακῶς βουλομένους καὶ μετὰ γυ-
ναικῶν ἑκάστοτε ὡραίων καὶ παίδων ἀναπαύεσθαι καὶ πολλὰ
χρήματα ἔχειν καὶ θαυμάζεσθαι ὑπὸ τοῦ πολλοῦ ὄχλου καὶ
8 περιβλέπεσθαι, ὧν οὐδὲν ἡγοῦνται μεῖζον οὐδὲ κάλλιον. διὰ
δὴ ταύτην τὴν ὑποψίαν δυσχεραίνουσι τοὺς μὴ ταὐτὰ σφίσι 385 R II
θαυμάζοντας μηδὲ τιμῶντας μηδὲ τὴν αὐτὴν περὶ τῶν μεγί-
στων ἔχοντας διάνοιαν. οὐκοῦν προκαταλαμβάνουσιν αὐτοὶ
λοιδοροῦντες καὶ τωθάζοντες ὡς ἀθλίους καὶ ἀνοήτους, εἰδό-
τες, ὅτι, εἰ μὲν τούτους ἀποφανοῦσιν ἄφρονας καὶ μαινομέ-
νους, ἅμα καὶ αὐτοὺς ἀποδείξουσι σωφρονοῦντας καὶ νοῦν
ἔχοντας· εἰ δὲ παραχωρήσουσιν ὡς τούτων ἃ χρὴ γιγνωσκόν-
των καὶ πολλοῦ ἀξίων, ἅμα καὶ αὐτοὺς ὁμολογήσουσι δυστυ-
χεῖς καὶ ἀναισθήτους καὶ οὐδὲν εἰδότας ἁπλῶς ὧν προσήκει
9 ἀνθρώπους ἐλευθέρους εἰδέναι. ἔτι δὲ, ἐὰν μέν τινα ἴδωσιν 630 M

5. ἐπεὶ M. Pflugk., ἐπεί γε reliq. ‖ 8. ἔτι. ἔστι (corr. vulg.) M. ‖ 9. αὐτούς. sic dedi. αὐτοὺς reliq. ‖ 10. οὐδέ. οὐδὲν PCM. — 7, 2. καταφρονοῦντας. καταφρονοῦσιν B. ‖ καταγιγνώσκοντας PM, καταγινώσκοντας reliq. ‖ 4. οὐ. malim οὐκ ἄν. ‖ καταγελῷεν BCM (corr. καταγελῶσι), καταγελῶσι reliq. ‖ 7. σμικρὸν PBCM. r, σμικρῶν vm. ‖ ἕνεκεν. ἕνεκα B. ‖ 8. ἀτιμάζοιεν καὶ διαγελῷεν. ἀτιμάζοιεν καὶ καταγελῷεν marg. m, ἀτιμάζουσι καὶ καταγελῶσι Reisk. ‖ ὡς. ὁρῶντες Reisk. ‖ πολυτελῶς ἐσθίειν τε καί. sic dedi. om. PC, in M mrg. add. πολυτελῶς ἐσθιόντάς τε καὶ, ut reliq. ‖ 9. πίνειν. sic dedi. πίνοντας reliq. ‖ βουλομένους om. B, in M mrg. add. ‖ 10. ἀναπαύεσθαι. ἀναπάβεσθαι P (et ita saepius). ‖ 11. ὑπὸ τοῦ. ὑπὸ τοῦ ποτοῦ M. ‖ 12. μεῖζον οὐδὲ κάλλιον. μέγα καὶ καλὸν Reiskius. — 8, 2. σφίσι. φησὶ B, φίσιν M (at in litura). ‖ 6. ἀποφανοῦσιν. sic dedi. ἀποφαίνουσιν reliq. ‖ 8. γιγνωσκόντων. γινωσκόντων C. ‖ 9. ἀξίων. ἀξίους B.

ὡς ναύτην ἐσταλμένον, ἴσασι τοῦτον πλευσούμενον, κἂν ὡς
γεωργὸν ἕτερον, γεωργήσοντα· τόν γε μὴν ποιμένος ἔχοντα
στολὴν ἴσασι καὶ τοῦτον, ὅτι ἄπεισιν ἐπὶ τὰ πρόβατα καὶ
περὶ ἐκεῖνα διατρίψει· ὥστε ὑπ' οὐδενὸς λυπούμενοι τούτων
ἐῶσιν αὐτούς· ὅταν δέ τινα ἴδωσι τὸ σχῆμα ἔχοντα τὸ τοῦ
φιλοσόφου, λογίζονται, ὅτι οὗτος οὔτε πρὸς τῷ πλεῖν ἐστιν
οὔτε πρὸς γεωργίᾳ οὔτε προβάτων ἕνεκεν οὕτως ἔσταλται,
ἀλλ' ἐπ' ἀνθρώπους παρεσκεύασται ὡς νουθετήσων τε καὶ
ἐξελέγξων καὶ οὐδέν τι θωπεύσων οὐδένα αὐτῶν οὐδὲ φεισό-
μενος οὐδενὸς, τοὐναντίον δὲ κολάσων ὡς ἂν δύνηται αὐτοὺς
10 μάλιστα τῷ λόγῳ καὶ ἐπιδείξων, οἷοί εἰσιν. οὐκοῦν δύνανται
ἡδέως ὁρᾶν αὐτοὺς, ἀλλὰ προσκρούουσι καὶ διαμάχονται,
ὥσπερ οὐδ' οἱ παῖδες ἡδέως ὁρᾶν δύνανται οὓς ἂν ἴδωσι παι-
δαγωγῶν σχῆμα ἔχοντας καὶ παρεσκευασμένους οὕτως, ὡς
ἐπιπλήξοντας αὐτοῖς καὶ οὐκ ἐπιτρέψοντας ἁμαρτάνειν οὐδὲ 386 R II
ῥαθυμεῖν. εἰ γάρ τοι καὶ τοῖς παισὶν ἐξῆν τῶν τοιούτων
καταγελᾶν καὶ ὑβρίζειν, οὐδὲν ἂν πρότερον τούτου ἐποίουν.
οὐ μέντοι ἅπαντες ἀπὸ ταύτης τῆς διανοίας προσέρχονται
καὶ ἐνοχλοῦσιν, ἀλλ' ἔστι γένος ἀνθρώπων πολυπραγμονοῦν
τοιαύτην πολυπραγμοσύνην καὶ τρόπον τινὰ οὐ πονηρῶν·
11 οὗτοι προσίασιν οὓς ἂν ἡγῶνται φιλοσόφους ἀπὸ τῆς στολῆς,
ὡς ἀκουσόμενοί τι παρ' αὐτῶν σοφὸν καὶ ὃ οὐκ ἂν παρ' ἑτέ-
ρου ἀκούσειαν, πυνθανόμενοι καὶ περὶ Σωκράτους, ὅτι σοφός
τε ἦν καὶ διαλέγοιτο τοῖς προσιοῦσι λόγους φρονίμους, καὶ
περὶ Διογένους, ὅτι καὶ αὐτὸς πρὸς ἅπαντα εὐπόρει λόγου
καὶ ἀποκρίσεως. τὰ μέν γε τούτου καὶ διαμνημονεύουσιν οἱ
πολλοὶ, τὰ μέν τινα ἴσως εἰπόντος αὐτοῦ, τὰ δὲ καὶ ἄλλων
12 συνθέντων. τῶν γε μὴν ἑπτὰ σοφῶν τὰς γνώμας ἀκούουσι
καὶ ἐν Δελφοῖς ἀνατεθῆναι πρότερον, οἷον ἀπαρχάς τινας

9, 2. κἄν. καὶ P. ‖ 4. ἴσασι. ἵστασιν M. ‖ 5. διατρίψει r, διατρίψοι reliq. ‖ τούτων. τοῦτον B. ‖ 6. αὐτούς. αὐτοῦ B. ‖ τὸ τοῦ. τὸ om. P. ‖ 7. τῷ πλεῖν M, τὸ πλεῖν reliq. ‖ ἐστιν. ἔστιν οἷ Reiskius, qui legebat τὸ πλεῖν et γεωργίαν. ‖ 8. γεωργίᾳ M, γεωργίαν reliq. ‖ οὕτως. οὗτος C. ‖ 9. παρεσκεύασται BCM. Reisk., παρασκεύασται P, παρεσκεύασθαι reliq. ‖ τε. ται M. — 10, 1. δύνανται. δύναται M. ‖ 3. ἴδωσι PBCM. r, ἴσωσι vm. ‖ 9. πολυπραγμονοῦν P, πολυπραγμονῶν M, πολυπραγμόνων reliq. ‖ 10. πονηρῶν. πονηρὸν C. — 11, 2, καὶ ὃ B. vr, καὶ om. PC, ὃ om. M. m. ‖ 5. ὅτι καί. ὅτι οὐκ (mrg. vulg.) M. ‖ λόγου καί. καὶ om. P. ‖ 6. τὰ μέν γε. καὶ τὰ μὲν M. ‖ τούτου καί. καὶ om. P. ‖ 7. ἄλλων BC. Selden., ἄλλως reliq. — 12, 1. ἀκούουσι καί. ἀκούουσιν Reisk.

τῆς σοφίας τῆς ἐκείνων καὶ ἅμα τῆς τῶν ἀνθρώπων ἕνεκεν ὠφελείας, ὡς τῷ ὄντι δὴ θεῖα ταῦτα καὶ σχεδόν τι τῶν χρησμῶν θειότερα, οὓς ἡ Πυθία ἔχρα καθίζουσα ἐπὶ τοῦ τρίποδος, ἐμπιμπλαμένη τοῦ πνεύματος. τὸ γὰρ αὐτῷ χρη- 631 M.
σθὲν ἕκαστος ἀκούσας ἄπεισι καὶ οὐκ ἀνατίθεται ταῦτα, ὥστε δὴ καὶ πᾶσιν ἀνθρώποις εἶναι γνώριμα· τὰ δὲ ἐκείνων δόγματα κοινὰ ἀπεδείχθη τοῖς ἀφικνουμένοις παρὰ τὸν θεόν,
13 ὡς ὁμοίως ξυμφέρον πᾶσιν εἰδέναι καὶ πείθεσθαι. εἰσὶ δὲ οἳ καὶ τὸν Αἴσωπον οἴονται τοιοῦτόν τινα γενέσθαι, σοφὸν μὲν καὶ φρόνιμον, αἱμύλον δὲ ἄλλως καὶ ξυνθεῖναι λόγους ἱκανόν, 387 R II.
οἵων αὐτοὶ ἥδιστ' ἂν ἀκούοιεν. καὶ τυχὸν οὐ παντάπασι ψευδῆ οἴονται, εἰ τῷ ὄντι Αἴσωπος τοῦτον τὸν τρόπον ἐπειρᾶτο νουθετεῖν τοὺς ἀνθρώπους καὶ ἐπιδεικνύναι αὐτοῖς, ἅττα ἁμαρτάνουσιν, ὡς ἂν μάλιστα ἠνείχοντο αὐτόν, ἡδόμενοι ἐπὶ τῷ γελοίῳ καὶ τοῖς μύθοις· ὥσπερ τὰ παιδία ταῖς τίτθαις μυθολογουμέναις προσέχουσί τε καὶ ἥδονται. ἀπὸ δὴ τῆς τοιαύτης δόξης, ὡς καὶ παρ' ἡμῶν ἀκουσόμενοί τι τοιοῦτον, οἷον Αἴσωπος ἔλεγεν ἢ ὁποῖον Σωκράτης ἢ ὁποῖα Διογένης, προσίασι καὶ ἐνοχλοῦσι καὶ οὐ δύνανται ἀπέχεσθαι, ὃν ἂν ἴδωσιν ἐν τούτῳ τῷ σχήματι, οὐ μᾶλλον ἢ τὰ ὄρνεα, ἐπειδὰν ἴδωσι γλαῦκα, ἐφ' ᾧ καὶ ξυνετίθει λόγον Αἴσωπος
14 τοιοῦτον· ὡς τὰ ὄρνεα ξυνῆλθε πρὸς τὴν γλαῦκα καὶ ἐδεῖτο τῆς μὲν ἀπὸ τῶν οἰκοδομημάτων σκέπης ἀπανίστασθαι, πρὸς δὲ τὰ δένδρα τὴν καλιὰν, ὥσπερ καὶ αὐτὰ, καὶ τοὺς τούτων μεταπήγνυσθαι κλῶνας, ἀφ' ὧν καὶ ᾄδειν ἔστιν εὐσημότερον·

3. ἕνεκεν PBCM, ἕνεκα reliq. ‖ 4. ὠφελείας. ὠφελίας M. ‖ 5. χρησμῶν. χρησίμων M (at ι obel. notat.). ‖ ἔχρα BCM (corr. ἔχθρα). Selden., ἔχθρα reliq. ‖ 6. ἐμπιμπλαμένη M, ἐμπιπλαμένη reliq. ‖ τὸ γάρ. γὰρ in M a corr. add. ‖ αὐτῷ. αὐτοῦ corr. M (prim. man. vulg.). ‖ 8. γνώριμα· τά. γνωρίσματα M, γνώρισμα τὰ P. ‖ 9. τὸν θεὸν BM. Selden., τῶν θεῶν reliq. ‖ 10. ξυμφέρον. ξυμφέρων P. — 13, 3. ξυνθεῖναι. ξυνθῆναι B. ‖ 4. οἵων. οἷον C. ‖ τυχὸν οὐ Selden., τυχὸν reliq. ‖ 5. ψευδῆ. ψευδεῖς Geel. ‖ εἰ. ἢ B, ἡ M, εἴγε Selden. ‖ 7. ἠνείχοντο. ἠνίχοντο M, ἀνέχοιντο Reisk. ‖ αὐτόν. αὐτοῦ B, αὐτὸ αὐτὸν C. ‖ 9. μυθολογουμέναις PB, μυθολογουμένας CM, μυθολογούσαις Reisk., μυθολογούμενα reliq. ‖ ἀπὸ δὴ PBCM, δὴ om. reliq. ‖ 13. ὅν. οἳ C. ‖ ἐν om. B. ‖ 14. ἐπειδὰν BCM, ἐπειδὴ reliq. ‖ ἐφ' ᾧ—ἀποδέχεσθαι τὴν γλαῦκα om. P (at in marg. add. usque ad v. ἀπόνασθαι). om. C et M (at add. mrg. sic, ut cuiusque versus extremae literae perierint). ‖ ξυνετίθει. συνετίθει M. — 14, 1. καὶ periit in M. ‖ 2. τῆς μὲν ἀπό. ἀπὸ μὲν τῆς Geelius, qui ὀπῆς retinet. ‖ σκέπης Reisk., om. mrg. P, periit in M, ὀπῆς reliq. ‖ ἀπανίστασθαι. ἐπανίστασθαι B. ‖ 3. καλιάν. κα M. ‖ 4. μεταπήγνυσθαι.

καὶ δὴ καὶ πρὸς δρῦν ἄρτι ταυτηνὶ φυομένην, ἐπειδὰν πρὸς ὥραν ἀφίκηται, ἑτοίμως ἔχειν ἱζάνειν καὶ τῆς χλοερᾶς κόμης ἀπόνασθαι. ἀλλ' οὖν τήν γε γλαῦκα μὴ τοῦτο τοῖς ὀρνέοις ποιεῖν παραινεῖν μηδὲ φυτοῦ βλάστῃ ἐφήδεσθαι ἰξὸν πεφυ-
15 κότος φέρειν, πτηνοῖς ὄλεθρον. τὰ δὲ μήτε τῆς ξυμβουλῆς 358 R II
ἀποδέχεσθαι τὴν γλαῦκα· τοὐναντίον δὲ ἔχαιρε τῇ δρυὶ φυομένῃ· ἐπειδὴ δὲ ἱκανὴ ἦν, καθίσαντα ἐπ' αὐτὴν ᾖδεν. γενομένου δὲ τοῦ ἰξοῦ ῥᾳδίως ἤδη ὑπὸ τῶν ἀνθρώπων ἁλισκόμενα μετενόουν καὶ τὴν γλαῦκα ἐθαύμαζον ἐπὶ τῇ ξυμβουλῇ. καὶ νῦν ἔτι οὕτως ἔχουσιν, ὡς δεινῆς καὶ σοφῆς οὔσης αὐτῆς, καὶ διὰ τοῦτο ἐθέλουσι πλησιάζειν, ἡγούμενα ἀγαθόν τι ἀπο- 622 M.
λαύειν τῆς ξυνουσίας. ἔπειτα οἶμαι προσίασι μάτην ἐπὶ κακῷ. ἡ μὲν γὰρ ἀρχαία γλαὺξ τῷ ὄντι φρονίμη τε ἦν καὶ ξυμβουλεύειν ἐδύνατο· αἱ δὲ νῦν μόνον τὰ πτερὰ ἔχουσιν ἐκείνης καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ ῥάμφος, τὰ δὲ ἄλλα ἀφρονέστε-
16 ραί εἰσι τῶν ἄλλων ὀρνέων. οὐκοῦν οὐδὲ ἑαυτὰς δύνανται οὐδὲν ὠφελεῖν· οὐ γὰρ ἂν παρὰ τοῖς ὀρνιθοθήραις ἐτρέφοντο δεδεμέναι καὶ δουλεύουσαι. καὶ ἡμῶν ἕκαστος τὴν μὲν στολὴν ἔχει τὴν Σωκράτους καὶ Διογένους, τὸ δὲ φρονεῖν πολλοῦ δέομεν ὅμοιοι εἶναι τοῖς ἀνδράσιν ἐκείνοις ἢ ζῆν ὁμοίως αὐτοῖς ἢ λόγους τοιούτους διαλέγεσθαι. τοιγάρτοι οὐδὲν ἄλλο ἢ βλεπόμενοι, ὡσπερεὶ γλαῦκες, ὄχλον πολὺν ξυνάγομεν τῷ ὄντι 359 R II
ὀρνέων αὐτοί τε ὄντες ἠλίθιοι καὶ ὑφ' ἑτέρων τοιούτων ἐνοχλούμενοι.

in M perierunt literae γνυσ. ‖ εὐσημότερον. τερον M. ‖ 5. ἄρτι ταυτηνὶ. ἄρτι τα M, ταυτηνὶ ἄρτι r. ‖ ἐπειδὰν BM, ἐπειδὴ reliq. ‖ 6. ἀφίκηται. ἀφι M. ‖ χλοερᾶς κόμης. χλοε μης M. ‖ 7. γλαῦκα. γλ M. ‖ 8. παραινεῖν. παρα M. ‖ ἰξὸν periit in M. ‖ 9. ὄλεθρον. ὀλε M. — 15, 2. ἀποδέχεσθαι. perierunt lit. δε in M. hunc locum sic tentat Reiskius: μὴ ἤθελε τῆς ξυμβουλῆς ἀποδέχεσθαι aut μὴ τῆς ξυμβουλῆς ἀπεδέχετο. ‖ 3. ἐπειδὴ δὲ. malim ἐπειδή τε. ‖ ἱκανὴ PC. r, ἱκανὰ BM. vm. ‖ ᾖδεν. ἴδεν M. ‖ 5. ἐθαύμαζον. ἐθαύμαζε B, ἐθαύμαζεν BM (corr. vulg.). ‖ 7. ἀπολαύειν. ἀπολάβειν C. — 16, 1. ἑαυτάς. αὐτάς M. ‖ 2. οὐδὲν om. P, οὐδὲ M. ‖ γὰρ ἄν. ἂν om. C. ‖ 4. ἔχει τὴν. ἔχει τοῦ v, τὴν om. P. ‖ τὸ δὲ. τῷ δὲ M. ‖ 5. ὅμοιοι PCM. r, ὅμοιον B. vm. ‖ 7. ὡσπερεί. malim ὥσπερ αἱ. ‖ πολύν. πολλὺν M.

ΛΟΓΟΣ ογ.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

1 Ἆρά γε τὸ πιστεύεσθαι τοῖς πιστευομένοις ἀγαθόν ἐστι καὶ τοιοῦτον, οἷον τὸ πλουτεῖν καὶ τὸ ὑγιαίνειν καὶ τὸ τιμᾶσθαι τοῖς τιμωμένοις καὶ ὑγιαίνουσι καὶ πλουτοῦσιν, αὐτοῖς ἐκείνοις τινὰ φέρον ὠφέλειαν; λέγω δὲ, οἷον εἴ τις δημοσίᾳ τύχοι πιστευόμενος ὑπὸ τῆς αὑτοῦ πόλεως ἢ ἑτέρας στρατιὰν ἢ χρήματα ἢ τείχη, καθάπερ ἤδη πολλοὶ τὰ τοιαῦτα ἐπετράπησαν· οἱ δὲ καὶ αὐτὰς τὰς πόλεις μετὰ παίδων καὶ γυναι-
2 κῶν εἰρήνης τε οὔσης καὶ πολέμου καταλαβόντος ἐνίοτε. καὶ νὴ Δία εἴ τις ἀπ' ἀνδρὸς βασιλέως ἢ τυράννου πιστεύοιτο χρυσίον ἢ ἀργύριον ἢ ναῦς ἢ ὅπλα ἢ ἀκρόπολιν ἢ ξύμπασαν τὴν ἀρχὴν, ὥσπερ Λεπτίνης μὲν παρὰ τοῦ ἀδελφοῦ πολλάκις Συρακούσας παρέλαβε, Φίλιστος δὲ παρὰ τοῦ νεωτέρου Διονυσίου, Μάγοι δὲ παρὰ Καμβύσου τὰ Περσῶν βασίλεια, ὅτε εἰς Αἴγυπτον ἐστρατεύετο, παρὰ δὲ Δαρείου Μιθράνης τὴν Σάρδεων ἀκρόπολιν, Περσαῖος δὲ παρ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον, πολὺ δὲ τούτων πρότερον Ἀτρεὺς παρ' Εὐρυσθέως 390 R II. 633 M.
τὸ Ἄργος, ὅτε Εὐρυσθεὺς ἐπ' Ἀθήνας ἐστρατεύετο οὐκ ἐκδιδόντων Ἀθηναίων τοὺς Ἡρακλέους παῖδας· ὁ δὲ υἱὸς αὐτοῦ ὁ Ἀγαμέμνων, ἡνίκα ἐπὶ Τροίαν ἔπλει, μουσικῷ ἀνδρὶ ἐπί-
3 στευσε τὴν γυναῖκα καὶ τὴν οἰκίαν. τούτους ἅπαντας φῶμεν

Orat. LXXIII. Collati sunt PBCMS. — 1, 2. τὸ om. S. ‖ τὸ τιμᾶσθαι PBCM, τὸ om. reliq. ‖ 3. τιμωμένοις. μωμένοις C. ‖ 4. τινὰ φέρον. φέρει τινα S. ‖ οἷον. om. S. ‖ 5. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ στρατιὰν. sic dedi. στρατείαν reliq. ‖ 8. καταλαβόντος. καταβαλόντος C. — 2, 2. ἀπ'. malim ὑπ' vel παρ'. ‖ ἢ τυράννου om. S. ‖ 5. Συρακούσας. Συρακούσσας BM. ‖ 7. Μιθράνης. Μηθράνης B. apud Diodor. 17, 21 Μιθρίνης vocatur. ‖ τὴν. τις τὴν C. ‖ 8. Περσαῖος M. Reisk., Περσεὺς reliq. ‖ παρ' M, παρὰ reliq. ‖ 9. Εὐρυσθέως. Εὐρυσθέος B. ‖ 10. Εὐρυσθεύς. εὐρυσθέους (corr. vulg.) M. ‖ 11. Ἀθηναίων PBCM, τῶν Ἀθηναίων reliq. ‖ 12. ὁ Ἀγαμέμνων. ὁ om. S. ‖ ἀνδρί. ἀνδρὶ Αἰγίσθῳ S. ‖ ἐπίστευσε. ἐπίστευε B. ‖ 13. τὴν γυναῖκα καὶ τὴν οἰκίαν. τὴν οἰκίαν καὶ τὴν γυναῖκα S. — 3, 1. φῶμεν om. S.

τοὺς πιστευομένους ἀγαθόν τι ἀπολαύειν αὐτοὺς τῆς πίστεως; καὶ αὖ τοὺς ὑπὸ τῶν ἰδιωτῶν πιστευομένους ἢ γυναῖκας ἢ παῖδας ἢ τὴν οὐσίαν· καθάπερ οἶμαι πολλοὶ ἐπιτρόπους καὶ κηδεμόνας καταλείπουσιν, οἱ μὲν ἀποδημοῦντες, οἱ δὲ ἀποθνήσκοντες· οἱ δὲ παρακαταθήκας διδόασιν ἄνευ μαρτύρων οὐ δεδιότες, μὴ ἀφαιρεθῶσιν· ἔνιοι δὲ τῶν νόμων ἀπαγορευόντων μὴ καταλιπεῖν κληρονόμους, οὓς αὐτοὶ βούλονται, ἑτέρους καταλείπουσιν ἐντειλάμενοι τὰ χρήματα ἀποδοῦναι τοῖς
4 αὑτῶν ἐπιτηδείοις; τούτοις δὴ πᾶσι λυσιτελεῖν φῶμεν τὸ πρᾶγμα καὶ τὴν δόξαν, ἣν ἔχοντες περὶ αὐτῶν ἐπιτρέπουσιν αὐτοῖς οἱ τὰ σφέτερα ἐπιτρέποντες, μάλιστα δὲ τοῖς τελευταίοις, τοῖς παρανόμως πιστεύεσθαι δοκοῦσιν· ἢ τοὐναντίον χαλεπὸν εἶναι τὸ τοιοῦτον καὶ πολλῆς ἀσχολίας καὶ φροντίδων αἴτιον, ἐνίοτέ γε μὴν καὶ κινδύνων τῶν μεγίστων; ἔξεστι δὲ σκοπεῖν εὐθὺς ἀπὸ τῶν δοκούντων εἶναι μεγίστων· οὗτοι γὰρ τῶν μὲν ἰδίων ἐξ ἀνάγκης ἀμελοῦσι καὶ χρημάτων καὶ τέκνων, προσέχουσι δὲ τοῖς κοινοῖς καὶ ἐπὶ τούτων εἰσί· καὶ πολλάκις μὲν ὑπὸ τῶν ἐπιβουλευόντων ταῖς πόλεσιν ἢ πολεμίων ἢ πολιτῶν τινων ἀπόλλυνται, πολλάκις δὲ καὶ ὑπ' αὐτῶν τῶν πόλεων 388 R
ἀδίκως διαβληθέντες. οἱ μὲν γὰρ οὐσίας ἀφῃρέθησαν, τοὺς δὲ καὶ ὀνείδη συνέβη κτήσασθαι καταδικασθέντας κλοπῆς, οἱ
5 δὲ ἐξέπεσον ἐκ τῶν πατρίδων, οἱ δὲ καὶ ἀπέθανον· ὥσπερ οὖν λέγουσι Περικλέα μὲν ἁλῶναι κλοπῆς παρὰ Ἀθηναίοις, τὸν κάλλιστα καὶ ἄριστα προστάντα τῆς πόλεως, Θεμιστοκλέα δὲ ἐκπεσεῖν ὡς προδιδόντα, ὃς παραλαβὼν αὐτοὺς οὐ δυναμένους τὸ ἔδαφος τῆς πατρίδος οἰκεῖν, ἀλλὰ παραχωροῦντας τοῖς πολεμίοις αὐτοῦ τοῦ ἄστεος καὶ τῶν ἱερῶν, οὐ μόνον ταῦτα πάντα ἀπέδωκεν, ἀλλ' ἔτι καὶ τῶν Ἑλλήνων ἡγεμόνας 611 M
ἐποίησεν ἀφελόμενος Λακεδαιμονίους ἐξαρχῆς ἔχοντας τὴν

2. αὐτούς. αὐτῶν r. ‖ 3. καὶ αὖ τοὺς B. Reisk., καὶ αὐτοὺς reliq. ‖ 5. καταλείπουσιν. καταλίπουσιν M. ‖ 7. δεδιότες. δεδειότες B. ‖ 9. καταλείπουσιν. καταλίπουσιν M. ‖ 10. αὑτῶν. sic dedi. αὐτῶν reliq. — 4, 1. τούτοις PBCM. r, τούτους reliq. ‖ 3. δὲ Pflugk., δὴ reliq. ‖ 5. ἀσχολίας καὶ φροντίδων BC, ἀσχολίας καὶ φροντίδος M, φροντίδος καὶ ἀσχολίας S, ἀσχολίας καὶ φροντίδος reliq. ‖ 6. γε μὴν Reisk., δὴ S, μὴν reliq. ‖ καὶ κινδύνων P, καὶ om. reliq. ‖ 11. ἀπόλλυνται. ἀπώλλυνται B. ‖ δὲ καὶ PC, καὶ om. reliq. ‖ 13. συνέβη. ξυνέβη B. ‖ 14. ἐξέπεσον PBM (corr. ἐξέπεσαν), ἐξέπεσαν reliq. — 5, 4. ὡς PBSM, ὥσπερ reliq. ‖ 5. τὸ ἔδαφος PCMS, τοὔδαφος reliq. ‖ ἀλλὰ παραχωροῦντας PBCM. Obs. p. 61, ἀλλ' ὑποχωροῦντας Iacobs., ἀλλ' ἀποχωροῦντας reliq. ‖ 7. ταῦτα πάντα BCM, πάντα om. reliq.

6 τιμὴν ταύτην. Μιλτιάδης δὲ, ὁ πρῶτος νικήσας τοὺς βαρβά-
ρους μετὰ μόνων τῶν πολιτῶν καὶ τὸ Περσῶν φρόνημα καθ-
ελὼν, ὃ πρότερον εἶχον, ὡς ἁπάντων ἀνθρώπων κρείττους
ὄντες, οὗτος μετ' οὐ πολὺν χρόνον εἰς τὸ δεσμωτήριον ὑπ'
αὐτῶν ἐνέπεσε, καὶ προσέτι ὁ υἱὸς αὐτοῦ Κίμων ἄτιμος ἦν
ἂν τὸν ἅπαντα χρόνον, εἰ μὴ τὴν ἀδελφὴν Ἐλπινίκην ἐξέδω-
κεν ἀνδρὶ ταπεινῷ καὶ χρήματα ἔχοντι, ὃς ὑπὲρ αὐτοῦ τὴν
ζημίαν κατέβαλε, τὰ πεντήκοντα τάλαντα. καίτοι Κίμων
ὕστερον Ἀθηναίοις Κύπρον ἐκτήσατο καὶ πεζῇ ἅμα καὶ ναυσὶν
ἐνίκησε τοὺς βαρβάρους περὶ Παμφυλίαν· ἀλλ' ὅμως τὸν τοι-
οῦτον αὐτὸν ὄντα καὶ τοιούτου πατρὸς, εἰ μὴ χρημάτων εὐπό-
7 ρησεν, ἄτιμον εἴων ἐν τῇ πόλει. Φωκίωνα δὲ ὕστερον, τὸν
ὑπὲρ ὀγδοήκοντα ἔτη βιώσαντα, τούτων δὲ τὰ πλείω στρατη-
γήσαντα καὶ τὴν πόλιν διαφυλάξαντα ἐν τοῖς χαλεπωτάτοις
καιροῖς καὶ χρηστὸν ὑπ' αὐτῶν ἐκείνων ὀνομασθέντα, τοῦτον
οὐκ ἤρκεσεν αὐτοῖς ἀποκτεῖναι μόνον, ἀλλ' οὐδὲ νεκρὸν εἴασαν
ἐν τῇ Ἀττικῇ, ἀλλ' ὑπὲρ τοὺς ὅρους ἐξέβαλον. Νικίας δὲ ὁ 392 R II.
Νικηράτου [διὰ τὸ πιστεύεσθαι ὑπὸ τῶν πολιτῶν] ἐπιστάμε-
νος τὴν ἐν Σικελίᾳ στρατείαν, οἵα ἔσοιτο, καὶ ἀπὸ τοῦ θεοῦ
καὶ τῷ λογίζεσθαι, ὅμως ἠναγκάσθη στρατεύσασθαι νοσῶν
διὰ τὴν πίστιν ταύτην. καὶ εἰ μὲν ἀποβαλὼν τὴν στρατιὰν
ἢ μέρος αὐτῆς αὐτὸς γοῦν ἐσώθη, δηλονότι οἴκοι ἀφικόμενος
ἀπολώλει ἄν. ἐπεὶ δὲ τοῦτο εἰδὼς προσελιπάρει πάντα τρό-
8 πον, ληφθεὶς ὑπὸ τῶν πολεμίων τοῦτο ἔπαθεν. καὶ ταῦτα
ἐμοὶ περὶ μιᾶς πόλεως εἴρηται καὶ τῶν ἐν μιᾷ πόλει πολιτευο-
μένων, οὐδὲ τούτων ἁπάντων. τοὺς δὲ παρὰ τοῖς τυράννοις
δοκοῦντας πιστοὺς εἰ ἐπεξίοιμι, οἵων δὴ τετυχήκασι, πολλῶν
ἂν ἴσως μοι δεήσαι πάνυ ἡμερῶν. σχεδὸν γὰρ τὸ γεγηθέναι
ἐκείνους ἀδύνατόν ἐστιν. οἳ μὲν γὰρ ἂν παράσχωσι καθ' 635 M.

6, 1. νικήσας PBCMS. Casaub. r, οἰκήσας vm. || 2. μόνων. μόνον B. || 3. ἁπάντων ἀνθρώπων PBCMS, ἁπάντων ἀνθρώπους marg. m, ἁπάντων reliq. || 4. οὗτος. οὕτως B. || 7. ταπεινῷ. δαπάνῳ Iacobs. || καὶ χρήματα. καὶ malim abesse. || 9. ἐκτήσατο. ἐκτίσατο M. || 10. τὸν τοιοῦτον. τὸν om. S. || 12. εἴων. εἴων ἂν Reisk. — 7, 1. Φωκίωνα. φωκείωνα M. || 2. τούτων. τούτω B. || πλείω. πλεῖστα S. || 7. [διὰ τὸ πιστεύεσθαι ὑπὸ τῶν πολιτῶν] inducenda. || 9. στρατεύσασθαι. στρατεύσεσθαι C. || 10. πίστιν. πίστην M. || στρατιὰν. στρατείαν B. || 12. εἰδὼς. φειδὼς (mrg. vulg.) M. || προσελιπάρει. προσελειπάρει M. — 8, 2. πόλεως εἴρηται PBCM, εἴρηται πόλεως reliq. || 4. οἵων. ὧν (mrg. οἷον) C. || 5. μοι δεήσαι. δεήσοι PC. || ἡμερῶν. ἡμέρων B. || τὸ om. S. || 6. ἐκείνους. ἐκείνοις PC. corr. M(pr.

αὐτῶν αἰτίαν ὡς ἀδικήσαντες διὰ τοῦτο ἀπόλλυνται καὶ οὐκ ἔστιν οὐδεμιᾶς συγγνώμης τυχεῖν· οἳ δ' ἂν ἄνδρες ἀγαθοὶ φανῶσι καὶ διαφυλάττειν δυνάμενοι τὰ πιστευθέντα παραχρῆμα μὲν τιμῆς τινος ἔτυχον, μετ' οὐ πολὺ δὲ ἀπόλλυνται
9 φθονούμενοι καὶ ὑποπτευόμενοι. οὐ γὰρ δοκεῖ λυσιτελεῖν τοῖς μονάρχοις οὐδένα ἄνδρα ἀγαθὸν εἶναι παρ' αὐτοῖς οὐδ' εὐδοκιμοῦντα φαίνεσθαι παρὰ τῷ πλήθει. αἱ δὲ παρὰ τῶν ἰδιωτῶν πίστεις κινδύνους μὲν ἥττους ἴσως ἔχουσιν, ὅτι καὶ τὰ πράγματα ἐλάττω ἐστὶν, ἀσχολίαν δὲ μυρίαν καὶ πόνους, καὶ πολλάκις οὐδὲ χάρις οὐδ' ἡτισοῦν συνέπεται. πολλάκις δὲ συμβαίνει παρ' αὐτῶν τῶν εὖ παθόντων αἰτίαν ἔχειν, ὡς οὐ δικαίως οὐδὲ καθαρῶς ἅπαντα ἀπο-
10 δόντων. τί δὴ βουλόμενος ταῦτα ἐγὼ διῆλθον; οὐ γὰρ δὴ νουθετῶν σε τοιαύτην νουθεσίαν οὐδὲ ἀποτρέπων τοῦ πιστὸν 301 R II
εἶναι. πολὺ γὰρ ἂν εἴην τοῦ Ζήθου φαυλότερος τοιαῦτα ἐπιτιμῶν, ὡς ἐκεῖνος ἐνουθέτει τὸν ἀδελφὸν, οὐκ ἀξιῶν φιλοσοφεῖν αὐτὸν οὐδὲ περὶ μουσικὴν διατρίβειν ἐάσαντα τὴν τῶν ἰδίων ἐπιμέλειαν· ἔφη δὲ αὐτὸν ἄτοπόν τινα καὶ ἀσύμφορον μοῦσαν εἰσάγειν· ὥσπερ ἂν τυχὸν εἴποι τις καὶ σὲ τοιαύτην προῃρῆσθαι πρᾶξιν, οὐκ ἀργὸν οὐδὲ φίλοινον οὐδαμῶς, χρημάτων μέντοι τῶν αὐτοῦ ἀτημελῆ ἴσως· καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος·

ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.

man. vulg.). ‖ καθ' αὐτῶν PC. Reisk., κατ' αὐτὸν M, κατ' αὐτῶν reliq. ‖ 8. δ' ἂν PCMS. Pflugk., δ' reliq. ‖ 9. πιστευθέντα. πεπιστευμένα S. ‖ 10. τινος ἔτυχον. ἔτυχόν τινος S. — 9, 2. μονάρχοις. μονάρχαις S. ‖ οὐδένα. οὐδὲν BM. ‖ 4. ἥττους ἴσως. ἴσως ἥττους S. ‖ 7. παθόντων. πεπονθότων S. ‖ 8. ὡς. καὶ C. ‖ ἀποδόντων. malim ἀποδόντας. — 10, 2. ἀποτρέπων PBCM. Anonym. apud Reisk. r, ἀποτρέπον reliq. ‖ 3. τοιαῦτα. ταῦτα S. ‖ 7. τυχὸν. τυχὸν ἂν PM. ‖ εἴποι. εἴπη PC. ‖ τοιαύτην om. S. ‖ 8. προῃρῆσθαι PCMS. Seld., προειρῆσθαι reliq. ‖ 9. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 10. τόδε. τότε C. versus est Euripidis. conf. Fragm. Antiop. 21—27. Dind. ‖ 11. κενοῖσιν. κενοί εἰσιν B.

ΛΟΓΟΣ οδ.

ΠΕΡΙ ΑΠΙΣΤΙΑΣ.

1 *Δ*. Ἐπίστασαί τινας ἤδη βλαβέντας ὑπὸ ἐχθρῶν; —
Α. πῶς γὰρ οὔ; — *Δ*. τί δέ; ὑπὸ τῶν καλουμένων φίλων καὶ
συνήθων ἢ καὶ ὑπὸ συγγενῶν τινων, ἐνίους δὲ καὶ ὑπὸ τῶν
ἔγγιστα, ἀδελφῶν ἢ υἱῶν ἢ πατέρων; — *Α*. ἔγωγε πολλούς. — 636 M.
Δ. τίς οὖν ἡ αἰτία, δι' ἣν οὐ μόνον οἱ ἐχθροὶ τοὺς ἐχθροὺς
ἀδικοῦσιν, ἀλλὰ καὶ οἱ λεγόμενοι φίλοι ἀλλήλους καὶ νὴ Δία
πολλοὶ καὶ τῶν οὕτως ἀναγκαίων; — *Α*. δῆλον, ὡς ἡ κακία
τῶν ἀνθρώπων, ὑφ' ἧς ἕκαστος οἶμαι καὶ αὐτός ἐστιν αὐτῷ
βλαβερός. — *Δ*. πάντας ἄρα δεῖ ἐπ' ἴσης φυλάττεσθαι καὶ μὴ 394 R II.
πιστεύειν μηδὲν μᾶλλον, κἂν φίλος ἢ συνήθης ἢ πρὸς αἵματος
εἶναι δοκῇ; — *Α*. πάντας, ὡς ὁ λόγος οὗτός φησιν. — *Δ*. οὐ-
κοῦν ὀρθῶς ἔγραψεν ὁ τοῦτο γράψας τὸ ἔπος·

νᾶφε καὶ μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τᾶν φρενῶν; —
2 *Α*. ἴσως ὀρθῶς. — *Δ*. καὶ μὴν οὗτος ὁ ποιητὴς οὐ πρὸς τοὺς
ἐχθροὺς ταῦτα ὑποτιθέμενος, ἀλλὰ πρὸς τοὺς νομιζομένους

Orat. LXXIV. Collati sunt PBCM. S usque ad § 8. Iacobsius ut Anonymi adnotationem e margine exempli Morelliani, quod in bibliotheca Gothana servatur, quasdam scripturas enotavit. sed earum pleraeque e libro MS. petitae sunt, qui libri S simillimus fuisse videtur. — 1, 1. ἐπίστασαι. ἐπίστασε M. ‖ 2. δέ. δαὶ B. ‖ 3. ὑπὸ MS, ὑπὸ τῶν reliqui, unde τινας pro τινων Selden. ‖ 4. ἀδελφῶν. καὶ ἀδελφῶν B. ‖ ἢ πατέρων PBM (corr. καὶ πατέρων). S. Anonym. apud Iacobs., ἢ παρ' ἀνθρώπων mrg. m, ἢ καὶ πατέρων Selden., καὶ πατέρων reliq. ‖ 5. οἱ ἐχθροί. οἱ om. PC. ‖ 7. ἀναγκαίων — ὑπὸ τῶν § 2, 9. in M mrg. add. ‖ 8. καὶ αὐτός. καὶ αὐτῷ S. ‖ ἐστιν αὐτῷ βλαβερός PBC (at uterque αὐτῷ), αὐτῷ ἐστι βλαβερός Anon. apud Iacobs., ἐστι βλαβερὸς αὐτῷ reliq. ‖ 9. ἄρα δεῖ. δεῖ om. S, sed inserit post φυλάττεσθαι. ‖ ἐπ' ἴσης Pflugk., τοὺς φίλους ἐπ' ἴσης reliq. ‖ μὴ om. M. ‖ 10. κἂν Casaub., ἢ ἂν reliq. ‖ πρὸς om. B. ‖ 11. εἶναι. ἐγγὺς εἶναι S. totum locum sic constituit Anon. ap. Iacobs.: ἢ αἵματος ἐγγὺς εἶναι. ‖ 12. ὁ om. M. ‖ τὸ. τοῦτο τὸ S. ‖ 13. νᾶφε. μάθε BS. ‖ μέμνασ'. sic dedi. μέμνησο PBMS, μέμνασο reliqui. fragmentum Epicharmi est. ‖ ἄρθρα ταῦτα τᾶν φρενῶν om. S, ταῦτα om. M. ‖ φρενῶν. φρενᾶν B. — 2, 1. οὗτος. malim οὕτως. δῆλος Pflugk. ‖ 2. ἐχθρούς. χορούς PBC.

φίλους. οὐδὲ γὰρ ὑφ' ὧν τις μισούμενος ἐπίσταται, τούτοις
ἂν ἐξουσίαν δοίη καθ' αὑτοῦ. πῶς ἂν οὖν διακελεύοιτο ἀπι-
στεῖν, οἷς μηδὲ πιστεύει; φέρε τοίνυν κἀκεῖνο ἴδωμεν. ὑπὸ
τίνων πλείους ἀπολώλασι, πότερον ὑπὸ τῶν ὁμολογουμένων
ἐχθρῶν, ἢ τοὐναντίον ὑπὸ τῶν προσποιουμένων εἶναι φίλων;
ἐγὼ μὲν γὰρ ὁρῶ καὶ τῶν πόλεων τῶν ἁλουσῶν πλείονας ὑπὸ
τῶν προδοτῶν ἀπολομένας ἢ ὑπὸ τῶν πολεμίων εἰλημμένας
κατὰ κράτος, καὶ τῶν ἀνθρώπων πλείους τῷ παντὶ τοῖς φί-
λοις καὶ τοῖς συνήθεσιν ἐγκαλοῦντας τῶν αἰτιωμένων τοὺς
3 ἐχθροὺς ἐπὶ ταῖς συμφοραῖς. ἔτι δὲ πρὸς μὲν τοὺς πολεμίους
ἅπασι τείχη καὶ φρούρια κατεσκευασμένα καὶ τούτων ἐνίοτε
πολλῶν ἐτῶν μηδεμίαν χρείαν γενομένην· πρὸς δὲ τοὺς συμ-
πολιτευομένους καὶ τῶν αὐτῶν κοινωνοῦντας ἱερῶν καὶ θυ-
σιῶν καὶ γάμων καὶ φυλέτας ὄντας ἀλλήλων καὶ δημότας καὶ
συγγενεῖς τὰ δικαστήρια καὶ τοὺς νόμους καὶ τὰ ἀρχεῖα. καὶ
ταῦτα οὐδέποτε ἠρεμεῖ. μεσταὶ γοῦν αἱ πόλεις ἀεὶ κατηγο-
ρούντων, ἀπολογουμένων, δικαζόντων, δικαζομένων, καὶ οὐδὲ 395 R II.
ἐν ταῖς ἱερομηνίαις ἢ ταῖς σπονδαῖς ἀλλήλων ἀπέχεσθαι δύ-
νανται. τίθενται οὖν ἑτέρους νόμους ὑπὲρ τῶν ἀδικημάτων
τῶν ἐν ταῖς ἑορταῖς καὶ τούτους ἱεροὺς καλοῦσιν, ὥσπερ τὸ 631 M.
ὄνομα ὠφελοῦν. ὁ γὰρ τῆς κακίας πόλεμος διηνεκὴς ἅπασι
4 πρὸς ἅπαντας, ἄσπονδος ὢν καὶ ἀκήρυκτος. μάλιστα δὲ
οὗτος συνέστηκε τοῖς ἐγγὺς πρὸς ἀλλήλους. τὸν μὲν οὖν ἐν
εἰρήνῃ βουλόμενον βιοῦν καὶ μετ' ἀσφαλείας τινὸς εὐλαβεῖ-
σθαι δεῖ τὴν πρὸς ἀνθρώπους κοινωνίαν καὶ τὴν φύσιν ἐπί-
στασθαι τῶν πολλῶν ἑτοίμην οὖσαν πρὸς τὸ μεταδοῦναι κα-
κίας τινὸς, καὶ μηδὲ ἂν μυριάκις λέγῃ φίλος εἶναι πιστεύειν.
οὐ γάρ ἐστι παρ' αὐτοῖς βέβαιον οὐθὲν οὐδὲ ἀληθές· ἀλλ'

3. οὐδὲ γάρ. sic dedi. οὐ δὴ M, οὐ γὰρ Reisk., οὐδὲ reliqui. εἴ γε Pflugkius, qui infra οὐκ ἂν pro ἄν. ‖ 4. δοίη PS. Anonym. apud Iacobs., δῴη C. mrg. m, δῷ reliq. ‖ 5. μηδέ. μηδεὶς Reiskius. frustra. ‖ 7. τοὐναντίον om. S. ‖ εἶναι φίλων. φίλων εἶναι S. ‖ 8. ἁλουσῶν. ἁλουστῶν B. ‖ πλείονας. πλεῖον C. ‖ 9. ἀπολομένας B, ἀπολυμένας S, ἀπολλομένους M, ἀπολλυμένας reliq. — 3, 2. ἅπασι τείχη. ἅπας εἰ τίχη (corr. ἅπας εἰ τύχη) M. ‖ φρούρια. φρουρὰ P. ‖ 4. καὶ θυσιῶν. καὶ om. PC. ‖ 5. φυλέτας BCMS. r, φιλέτας P. vm. ‖ 6. ἀρχεῖα. ἀρχαία m. ‖ 7. ταῦτα PCM, τὰ τοιαῦτα reliq. ‖ ἠρεμεῖ. ἠρεμεῖν Pflugk. ‖ ἀεὶ P, αἰεὶ reliq. ‖ 8. οὐδέ. sic dedi. idem voluit Pflugk., οὔτε reliq. ‖ 9. ἀπέχεσθαι. ἀποσχέσθαι B. ‖ 12. πόλεμος Interpr. r, ἔπαινος reliq. ‖ 13. ἀκήρυκτος. ἀκήρατος C. — 4, 3. μετ' PCM, μετὰ reliq. ‖ 7. οὐθὲν PBCM, οὐδὲν reliq. ‖ οὐδέ. sic dedi. οὔτε reliq.

ὃν ἂν ἁπάντων προτιμῶσιν, ἤδη καὶ τοῦ ζῆν, ἐὰν οὕτω τύχῃ,
μετὰ μικρὸν ἔχθιστον νομίζουσι καὶ οὐδὲ τοῦ σώματος ἀπέ-
5 χονται πολλάκις. ὁ γοῦν ἐραστὴς τὸν ἐρώμενον ἀποσφάττει
διὰ τὸ λίαν φιλεῖν, ὡς οἴεται, παροξυνθεὶς ἐκ τῆς τυχούσης
αἰτίας. ἕτεροι δ' ἑαυτοὺς ἀποκτιννύασιν, οἱ μὲν ἄκοντες δι'
ἀκρασίαν, οἱ δὲ ἑκόντες μηδενὸς ὄντος αὐτοῖς ἀτόπου κατὰ
τὸν βίον ἢ τῆς ἐν αὐτοῖς μοχθηρίας. τὰς μὲν γὰρ ἄλλας
βλάβας τὰς εἰς ἑαυτὸν ἑκάστου δῆλον ὡς οὐκ ἐπεξελθεῖν ἔστιν.
ποία δὴ πίστις πρὸς τοὺς τοιούτους ἢ τίς ἀσφάλεια; ἢ πῶς
ἂν ἐμὲ ἀγαπήσειεν ὁ μηδ' αὑτὸν ἀγαπῶν; τὸ γὰρ πρὸς τοὺς
Ἀθηναίους ῥηθὲν, ὅτε ἐν ἐσχάτοις ὄντες ἠξίουν τι περὶ Σά-
μου, καλῶς ἂν οἶμαι λεχθείη πρὸς τοὺς φιλίαν ὑπερχομένους
τῶν φαύλων· ὃς αὐτὸς αὑτὸν οὐ φιλεῖ, πῶς ἄλλον φιλεῖ, ἢ 396 R II.
6 ξένον ἢ τέκνον ἢ ἀδελφόν; τί οὖν; ὅταν τις φιλοφρονῆται
καὶ καθ' ἱερῶν ὀμνύῃ καὶ μονονοὺ κατατέμνειν αὑτὸν ᾖ πρό-
θυμος; ἀκούειν μὲν ἤδη τούτων ἐξ ἀνάγκης καὶ νὴ Δία ἴσως
κατανεύειν· εἰδέναι μέντοι σαφῶς, ὅτι μηδὲν αὐτῶν ἐστιν
ἰσχυρόν. Ἠλέκτρα τὸν Ὀρέστην δακρύοντα ὁρῶσα καὶ προσ-
αγόμενον αὐτὴν ποτὲ μὲν ᾤετο ἄνεσίν τινα αὐτῷ γεγονέναι,
τοῦ μέντοι παντάπασι πιστεύειν πολὺ ἀπεῖχεν. ὁρῶσα γοῦν
μετ' ὀλίγον παρακινοῦντά φησιν· 638 M.

οἴμοι κασίγνητ', ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου.

7 τὴν θάλασσαν οὕτως ἠρεμοῦσαν πολλάκις ἰδεῖν ἔστιν, ὥστ'
οἶμαι καὶ τὸν δειλότατον καταφρονῆσαι. τί οὖν; διὰ τοῦτο

8. ὃν ἄν. ἂν om. S. ‖ ἁπάντων. πάντων M. ‖ ἤδη PCMS. r, ἢ δὴ S. vm, καὶ δὴ Selden., νὴ Δία Reisk., ἤδη δὲ (vel καὶ νὴ Δία) Pflugk. ‖ 9. μικρὸν. σμικρὸν B, μικρὸν ἤδην S, μικρὸν ἤδη Anonym. apud Iacobs. ‖ ἀπέχονται PBCMS. r, ἀπέχοντας vm, ἀπέχοντες Selden. — 5, 1. γοῦν. γὰρ S. Anonym. apud Iacobs. ‖ 3. δ' ἑαυτοὺς C. r, δὲ αὑτοὺς PB, δὲ αὑτοὺς M. vm. ‖ ἀποκτιννύασιν M, ἀποκτεννύασιν BS, ἀποκτιννύουσιν reliq. ‖ 5. ἢ τῆς. τῆς om. B. ‖ 8. αὑτὸν. αὐτὸν M. ‖ 10. ὑπερχομένους. ὑπεχομένους BM. ‖ 11. πῶς om. P, in M a corr. add. — 6, 1. φιλοφρονῆται. φιλοφρονῆτε M. ‖ 2. αὐτὸν P, αὑτὸν reliq. ‖ 3. ἀκούειν μὲν ἤδη τούτων ἐξ ἀνάγκης. ἀκούειν μὲν τούτων ἐξ ἀνάγκης ἤδη S. ‖ ἤδη. δεῖ (vel δεήσει vel χρὴ) Selden. ‖ 5. δακρύοντα ὁρῶσα. ὁρῶσα δακρύοντα ἄλλως S. ‖ 6. ποτὲ. τότε Reisk. ‖ ᾤετο. ὡς τὸ C. ‖ 7. παντάπασι. παντάπασιν M. ‖ 8. μετ'. ἐπ' P (mrg. vulg.). ‖ ὀλίγον. ὀλίγων M. ‖ 9. κασίγνητ'. κασίγνητε PCM. conf. Eurip. Or. v. 247. ‖ 10. μετέθου. μετέθου λύσσαν Porson. ad Eurip. l. l. — 7, 2. δειλότατον. δειλώτατον M. ‖ διὰ τοῦτο πιστεύειν δεῖ. δεῖ διὰ τοῦτο πιστεύειν C.

*πιστεύειν δεῖ καὶ μήτε ἀγκύρας ἔχοντα μηδὲ πηδάλιον μήτε
τἆλλα τὰ πρὸς τὴν σωτηρίαν ἀνάγεσθαί ποτε; ὄψει γάρ, ἂν
οὕτω τύχῃ, μετ᾽ ὀλίγον κατερείσαντος ἀνέμου κλύδωνα ἰσχυ-
ρὸν καὶ*

> *κύματα τροφόεντα πελώρια, ἶσα ὄρεσσι, —*
> *κυρτὰ φαληριόωντα·*

*καὶ τὸν νῦν σοι φαινόμενον πρᾷον καὶ πολλὴν ἐνδεικνύμενον
εὔνοιαν καὶ σπουδὴν τῆς τυχούσης αἰτίας καταλαβούσης
ἄγριον εὑρήσεις καὶ χαλεπὸν καὶ πᾶν ὁτιοῦν κακὸν ἕτοιμον
8 ἐργάσασθαι. πόσα δοκεῖς τὴν Μήδειαν εὔξασθαι τοῖς θεοῖς
ὑπὲρ τῶν τέκνων, ἢ ποσάκις ἀγωνιᾶσαι νοσούντων, ἢ ποσά-
κις ἀντ᾽ ἐκείνων αὐτὴν ἂν ἑλέσθαι τελευτᾶν; ἀλλ᾽ ὅμως αὐ-
τόχειρ αὐτῶν ἐγένετο. νὴ Δία, ἐρεῖ τις, ὀργιζομένη καὶ ζηλο-
τυποῦσα. τοὺς πολλοὺς δὲ οὐκ ἂν οἴει ὀργίσασθαι καὶ ζηλο-
τυπῆσαι; τί δέ; φθονῆσαι; τί δέ; ἐλπίσαι; σχεδὸν γὰρ ἀεὶ
καὶ συνεχῶς ἐν τούτοις εἰσίν. μὴ τοίνυν πίστευε τοῖς εὐνοεῖν* 387 R II
*φάσκουσι καὶ μηδέποτε ἐγκαταλιπεῖν τὴν πρὸς σὲ φιλίαν.
ὥσπερ γὰρ αἱ τὸν ἄνεμον σημαίνουσαι ταινίαι κατὰ τὴν
στάσιν ἀεὶ τοῦ πνεύματος αἰωροῦνται, νυνὶ μὲν οὕτως, πάλιν
δὲ ἐπὶ θάτερα· τὸν αὐτὸν τρόπον ἡ τῶν φαύλων διάνοια
9 πρὸς πᾶσαν φορὰν οὕτως ἔχει. τοῖς δούλοις οὐδεὶς πιστεύει
συντιθεμένοις διὰ τὸ μὴ κυρίους ἑαυτῶν εἶναι· πολὺ μᾶλλον
οὐ χρὴ προσέχειν ταῖς τῶν τοιούτων ὁμολογίαις. τῷ παντὶ
γὰρ πλεῖον ἀπέχουσι τῆς ἐλευθερίας διὰ τὴν κακίαν οἱ ἄν-
θρωποι. τοῖς νεωτέροις τοσούτων ἐτῶν νόμος οὐκ ἐᾷ συμ-*

3. *ἀγκύρας. ἀγκύραν* P. ‖ *μηδὲ πηδάλιον. μήτε πηδάλιον* C. ‖ 4. *ποτε.* om. S, *ποι* Reisk. ‖ 5. *οὕτω. οὕτως* M. ‖ *μετ᾽. μήτ᾽* M. ‖ *κατερείσαντος. κατερίσαντος* M. ‖ 7. *τροφόεντα. τε τροφόεντα* PC ex Od. 3, 290. ‖ *ὄρεσσι. ὄρεσιν* C, *ὄρεσσιν* PM. ‖ 8. *φαληριόωντα. φαληρίωντα* P, *φαληριόεντα* S. conf. Il. 13, 799. — 8, 1. *τὴν Μήδειαν εὔξασθαι τοῖς θεοῖς ὑπὲρ τῶν τέκνων. τοῖς θεοῖς τὴν Μήδειαν ὑπὲρ τῶν τέκνων εὔξασθαι* S. ‖ 2. *ἀγωνιᾶσαι νοσούντων ἢ ποσάκις* om. C. ‖ 3. *αὐτὴν ἂν ἑλέσθαι τελευτᾶν. ἑαυτὴν ἑλέσθαι* PC. ‖ *τελευτᾶν. τῶν αὐτοῖς* C. ‖ 4. *αὐτῶν* om. S. ‖ *ὀργιζομένη καὶ ζηλοτυποῦσα. ὀργιζομένην καὶ ζηλοτυποῦσαν* BMS. ‖ 5. *οἴει ὀργίσασθαι.* sic dedi. *οἴει* BMS, *οἴῃ* reliq. ‖ 6. *τί δέ; φθονῆσαι* PMS, om. C, *τί δαὶ φθονῆσαι* reliq. ‖ *τί δέ* PCMS, *τί δαὶ* reliq. hic explicit S. ‖ 6. *ἀεί.* sic dedi. *αἰεὶ* reliq. ‖ 7. *πίστευε. πιστεύετε* B, *πιστεύεται* M. ‖ 10. *ἀεὶ* P, *αἰεὶ* reliq. ‖ *οὕτως. ἑτοίμως* Pflugkius. malim abesse. — 9, 2. *πολύ. καὶ πολὺ* B. ‖ 3. *οὐ. οὖν οὐ* Reisk. ‖ *τῶν τοιούτων* PC, *τούτων* reliq. ‖ 5. *τοσούτων. τοσοῦτον* C. ‖ *νόμος. ὁ νόμος* r. ‖ *συμβάλλειν. συμβάλειν* BC.

βάλλειν ὡς ἀπίστοις οὖσιν, οὐδὲ γυναικὶ παρ' Ἀθηναίοις
συναλλάσσειν πλὴν ἄχρι μεδίμνου κριθῶν διὰ τὸ τῆς γνώμης
ἀσθενές. τῶν μέντοι πάνυ νεωτέρων οὐθὲν διαφέρουσιν οἱ
φαῦλοι, μᾶλλον δὲ οὐδὲ τῶν παιδαρίων, πλὴν τῷ δύνασθαι
καὶ τῇ πανουργίᾳ· διὸ μᾶλλον αὐτοῖς ἀπιστεῖν ἐκείνων προσ-
10 ήκει. μακάριον γὰρ ἂν ἦν, εἰ, καθάπερ παῖδα καὶ μειράκιον 639 M.
καὶ νεανίσκον καὶ πρεσβύτην χρόνος ποιεῖ, καὶ φρόνιμον
οὕτως καὶ δίκαιον καὶ πιστόν. καὶ μὴν τῶν γυναικῶν τῶν
φαύλων οὐδέν εἰσι βελτίους οἱ ἄνδρες οἱ μοχθηροί. κατὰ
γὰρ τὸ σῶμα διαφέρουσιν, οὐ κατὰ τὴν διάνοιαν. καθάπερ
οὖν πρὸς οὐδὲν ἐκείνας ἐᾷ προσίεσθαι τῶν πλείονος ἀξίων ὁ
νόμος, ἀλλ' ὥρισται, μέχρι τίνος προσήκει· τὸν αὐτὸν οἶμαι
τρόπον καὶ τοῖς πολλοῖς μέχρι τῶν ἐλαχίστων κοινωνητέον·
πράξεων δὲ μειζόνων ἢ λόγων ἀναγκαίων ἢ τῆς ἀσφαλείας
11 τῆς περὶ τὸν βίον οὐδέποτε. καὶ γὰρ εἴ ποτε ἀπέχονται τοῦ
κακῶς ποιεῖν δι' ἣν δήποτε αἰτίαν, ὥσπερ τὰ θηρία πολλάκις
ἠρεμεῖ κοιμώμενα ἢ ἐμπεπλησμένα, τὴν μέντοι φύσιν οὐκ ἀπο- 398 R II.
βέβληκε τὴν αὑτῶν· παραπλησίως δὴ κἀκεῖνοι χρόνον τινὰ
οὐκ ἔβλαψαν, ἔπειτα συμβάσης προφάσεως καὶ τὸν τόκον,
φασί, καὶ τὸ κεφάλαιον τῆς πονηρίας ἐκτίνουσιν. ὁ Λάκων
ἐν ὁμιλίαις τινῶν συντιθεμένων αὐτῷ καὶ ἀξιούντων παρ'
αὐτῶν λαμβάνειν ἣν ἂν προαιρῆται πίστιν ὑπὲρ τῆς φιλίας,
μίαν ἔφη πίστιν εἶναι τὸ ἐὰν θέλωσιν ἀδικῆσαι μὴ δύνασθαι,
12 τὰς δὲ λοιπὰς πάσας εὐήθεις καὶ τελέως ἀσθενεῖς. ταύτην
μόνην παρὰ τῶν πολλῶν τὴν πίστιν δεῖ λαμβάνειν, ἑτέραν δὲ
οὐδεμίαν. ἡ γὰρ ἐκ τῶν λόγων καὶ τῆς συνηθείας καὶ τῶν
ὅρκων καὶ τοῦ γένους καταγέλαστος. ὁ Ἀτρεὺς ἀδελφὸς ἦν
τοῦ Θυέστου καὶ τῶν παιδαρίων, ἃ κατέκοψεν, θεῖος. ὁ Ἐτε-

6. παρ'. παρὰ M. ‖ 7. συναλλάσσειν. συναλάσσειν M. ‖ 8. μέντοι. sic dedi. μὲν οὖν Pflugk., μὲν γὰρ reliq. ‖ πάνυ. παίδων τῶν Pflugk. ‖ νεωτέρων. μετεώρων PC. ‖ 10. διό. δὲ B, in M διὸ in litura. ‖ προσήκει. προσήκειν B. — 10, 1. ἦν om. PBC. ‖ μειράκιον. μιράκιον corr. M (pr. man. vulg.). ‖ 3. οὕτως. οὕτως ἐποίει Reisk. ‖ 6. οὖν πρὸς οὐδέν. οὖν οὐδὲ B, οὐδὲν (mrg. vulg.) M. — 11, 2. δήποτε αἰτίαν P, δήποτε τί ἂν M, ποτε αἰτίαν C, ποτ' αἰτίαν reliq. ‖ 4. δή. δὲ M. ‖ κἀκεῖνοι P, καὶ ἐκεῖνοι reliq. ‖ 5. τὸν τόκον r, τὸν om. reliq. ‖ 6. ἐκτίνουσιν. ἐκτείνουσι M. ‖ 7. ἐν ὁμιλίαις. malim ἀνομολογίας. ‖ αὐτῷ. αὐτοὺς M. ‖ καὶ om. M. ‖ παρ' αὐτῶν PC, αὐτὸν B, αὑτῶν reliq. ‖ 8. προαιρῆται. προαιρῶνται BM. ‖ 9. μὴ om. M. — 12, 2. παρά. περὶ C. ‖ ἑτέραν. ἑτέρας C. ‖ 4. ἦν. ὢν B, ὢν (corr. vulg.) M. ‖ 5. τοῦ Θυέστου. τοῦ om. PC. ‖ θεῖος. ὁ θεῖος BM. m. ‖ Ἐτεοκλῆς. ἐτεοκλεῖς M.

οκλῆς καὶ ὁ Πολυνείκης οὐ μόνον ἀδελφοὶ κατὰ τὸν νόμον,
ἀλλὰ καὶ ἐξ υἱοῦ καὶ μητρὸς γεγονότες, τῶν ξυγγενεστάτων·
ὥστ', εἴπερ ὠφέλει τι τὸ γένος, οὗτοι μάλιστα ἁπάντων ἀλλή-
λους μᾶλλον ὤφειλον ἀγαπᾶν· ἀλλ' ὁ πιστευθεὶς πρῶτον τὸν
πιστεύσαντα ἐξέβαλε καὶ τῆς πατρίδος ἀπεστέρει καὶ μετὰ
13 *ταῦτα ἀλλήλους ἀπέκτειναν. ὁ Θησεὺς τὸν Ἱππόλυτον, πατὴρ*
ὢν καὶ Ποσειδῶνος υἱὸς, διαβολαῖς πεισθεὶς ἀπέκτεινε κατα-
ρασάμενος. ὁ Πρίαμος πρότερον εὐδαιμονίᾳ διαφέρων καὶ
τοσούτων ἐθνῶν καὶ τηλικούτου τόπου βασιλεύων,

ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει 610 M.
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,

διὰ τὸν υἱὸν καὶ τὴν ἀκρασίαν τὴν ἐκείνου πάντων ἀθλιώ-
τατος ἐγένετο. καὶ οὗτοι μὲν ἐπίσημοι. πόσον δὲ οἴει πλῆθος
ἐν ἑκάστῃ πόλει τῶν ἀφανῶν καὶ δημοτικῶν Ἀτρέων καὶ
Θυεστῶν, τῶν μὲν καὶ ἀποκτιννύντων κρύφα, τῶν δὲ εἰς 389 R II
14 *ἄλλα ἐπιβουλευόντων; Ἀερόπας μέν γε καὶ Κλυταιμνήστρας*
καὶ Σθενεβοίας οὐδὲ εἰπεῖν ἔστιν. ἀλλὰ τὰ μὲν τοῦ γένους
καὶ τῆς οἰκειότητος τοιαῦτα· τὰ δὲ τῶν ὅρκων ὁ Πάνδαρος
ὤμοσε τῷ Μενελάῳ, ὥσπερ καὶ οἱ λοιποὶ Τρῶες, ἀλλ' οὐδὲν
ἧττον ἔτρωσεν αὐτόν. Τισσαφέρνης οὐκ ὤμοσε μὲν τοῖς
περὶ Κλέαρχον; τί δὲ ὁ βασιλεύς; οὐχὶ καὶ τοὺς βασιλείους
θεοὺς καὶ τὴν δεξιὰν ἀπέστειλεν; Φίλιππος δὲ ὁ Μακεδὼν οὐ
διετέλει καθάπερ ἄλλο τι τῶν εἰς τὸν πόλεμον εὐχρήστων καὶ
τὴν ἐπιορκίαν παρεσκευασμένος καὶ δυσὶ τούτοις τὰς πόλεις
αἱρῶν, τῷ τε παρασπονδεῖν καὶ τῷ τοὺς προδώσοντας παρα-
σκευάζειν, τῷ παντὶ πρὸς ἐκεῖνον τὸν τρόπον οἰκειότερον ἔχων;

6. *Πολυνείκης. πολυνίκης* BM. ‖ 8. *ὥστ', εἴπερ* PB. marg. m. r, *ὡς εἴπερ* M, *ὥσπερ* C. vm. ‖ *ὠφέλει* Pflugk. p. 7, *ὠφελεῖ* reliq. ‖ 9. *μᾶλλον* delet Pflugk. p. 7. ‖ 10. *ἐξέβαλε. ἐξέβαλλε* PC. — 13, 2. *πεισθεὶς. πισθεὶς* M. ‖ 5. *ὅσσον. ὅσον* C. ‖ *Μάκαρος* PBΓM, *μακάρων* reliqui. conf. Il. 24, 544. ‖ *ἐέργει. ἔργει* M. ‖ 6. *καθύπερθε* CM (corr. *καθύπερθεν*), *καθύπερθεν* reliq. ‖ 10. *Θυεστῶν. θυετῶν* C. ‖ *καὶ ἀποκτιννύντων. καὶ μισούντων καὶ ἀποκτιννύντων* Reiskius. frustra. ‖ *ἀποκτιννύντων. ἀποκτεννύντων* B, *ἀποκτεινύντων* M. — 14, 2. *Σθενεβοίας* BM, *Σθενεβοιᾶς* reliq. ‖ 3. *οἰκειότητος. οἰκιότητος* M. ‖ 5. *Τισσαφέρνης. τισαφέρνη* P, *τισαφέρνης* M. ‖ *οὐκ* BM (corr. *δὲ οὐκ*), *δὲ οὐκ* reliq. ‖ *μὲν τοῖς. τοῖς* Reisk., *τοὺς* PC. ‖ 6. *τί δὲ* PC. Reisk., *τίς δὲ* M, *τί δαὶ* reliq. ‖ *βασιλείους. βασιλίους* M. post *θεοὺς* Reiskius *ὤμοσε* excidisse suspicatur. ‖ 7. *ἀπέστειλεν.* vide ne quid hic exciderit. ‖ 10. *τῷ τε* PC, *τῷ* reliq. ‖ *καὶ τῷ. καὶ* om. BM. ‖ *παρασκευάζειν. κατασκευάζειν* (corr. vulg.) M. ‖ 11. *τῷ παντὶ. καίτοι τῷ παντὶ* (et infra *εἶχεν*) Pflugk. ‖ *τὸν τρόπον*

τοῖς μὲν γὰρ προδόταις ἀργύριον ἦν ἀνάγκη διδόναι, τοῖς
15 θεοῖς δὲ περὶ ὅρκων οὐθὲν ἐτέλει. τὸν δὲ Λύσανδρον τὸν
Λακεδαιμόνιον γνώμην ἀποφαίνεσθαι λέγουσιν, ὅτι τοὺς μὲν
παῖδας ἀστραγάλοις καὶ σφαίραις ἐξαπατᾶν δεῖ, τοὺς δὲ ἄν-
δρας ὅρκοις καὶ ῥήμασιν. ἡ κερδαλῆ δὲ ἀλώπηξ ἑτέρα τίς
ἐστι παρὰ Ἀρχιλόχῳ; τὸν δὲ τοῦ Γλαύκου χρησμὸν οὐκ οἴει 400 R II.
πρότερον δεδαηκέναι τοὺς πλείστους τῶν ἀνθρώπων·

ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.

καὶ τούτους μὲν τοὺς προειρημένους καὶ τοιούτους ἑτέρους
διὰ τὰς περιστάσεις συμβέβηκεν ἐνδόξους γεγονέναι· τῶν δὲ
ἀφανεστέρων Γλαύκων ἢ Πανδάρων μεσταὶ μὲν ἀγοραὶ ἀν- 641 M.
θρώπων, μεσταὶ δὲ ἀγυιαί. διὸ μήτε τὸν Ἀπόλλωνα μήτε
16 τὴν Ἀθηνᾶν σύμβουλον τῆς ἐπιορκίας λαμβάνουσιν. ἀλλ' ἡ
συνήθεια τοῖς ἀνθρώποις μέγα δίκαιον τοῦ μηθὲν ἀδικεῖν
καὶ σπονδαὶ καὶ τράπεζαι. τὸν Εὔρυτον ἀπέκτεινεν ὁ παρ'
αὐτῷ ξενισθείς,

σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν,
τὴν ἥν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν.

καίτοι θεὸς ἔδοξεν οὗτος ὁ τὴν τῶν θεῶν ὄπιν οὐκ αἰδεσάμε- 401 R II.
νος οὐδὲ τὴν τράπεζαν καὶ

BM. Obs. p. 62, τρόπον Casaub., τρόπῳ reliq. ‖ ἔχων Casaub., ἔχειν reliq. ‖ 13. περὶ ὅρκων BCM. Casaub. (idem περιορκοῦντα). r, περὶ ὅρκον vm. ‖ ‖ ἐτέλει BCM. Obs. p. 62, ἐτέλλει P, ἔδει Casaub., ἐθέλει vm, ὤφειλε r. — 15, 2. ἀποφαίνεσθαι. ἀποφήνασθαι marg. m. ‖ τοὺς μέν. τούτους μὲν M. ‖ 3. σφαίραις. σφέραις M. ‖ 4. ὅρκοις. οἴκοις M. ‖ ῥήμασιν Obs. p. 62, χρήμασιν reliq. ‖ ἡ delet Reisk. ‖ ἑτέρα τίς ἐστι B. mr, ἑταίρα τίς ἐστι PCM. v, ἑταίρα τις ἦν marg. m, ἕτερόν τι λέγει Geel. ‖ 5. παρά. malim ἢ παρά. ‖ τὸν δὲ PBCM. r, τοῦ δὲ vm. ‖ 6. δεδαηκέναι. sic dedi. δεδοικέναι γρ. δεδωκέναι C, δεδόχται δεδοικέναι mrg. m, ἐγνωκέναι vel δεδοκιμακέναι vel τεθρυλληκέναι Reisk., ἐζηλωκέναι Geel., δεδωκέναι reliq. ‖ 7. ὄμνυ'. ὀμνῦ P, ὀμνύειν B. mrg. M (pr. man. vulg.). ‖ 8. μὲν τοὺς PBCM. r, τοὺς om. vm. ‖ 10. ἀγοραὶ ἀνθρώπων PBCM, ἀνθρώπων ἀγοραὶ reliqui, μεσταὶ μέν τ' ἀνδρῶν ἀγοραί, μεσταὶ δέ τ' ἀγυιαί Iacobsius. at depromta sunt haec ex initio Arati Phaenom.: ἐκ Διὸς ἀρχώμεσθαι, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί· μεστὴ δὲ θάλασσα καὶ λιμένες. in P ἀνῶν est, vulgare compendium v. ἀνθρώπων. ‖ 12. σύμβουλον. ξύμβουλον C. — 16, 2. μέγα δίκαιον. μέγα καὶ δίκαιον BM. marg. m. ‖ 4. ξενισθείς. ξενωθεὶς M (at ω in rasura). marg. m. ‖ 6. οἱ. ἰο M. ‖ δὲ πέφνε. δ' ἔπεφνε PM. ‖ 7. καίτοι θεὸς BM. mrg. m, καὶ τοῖς θεοῖς PC. vm, καίτοι καὶ θεοῖς r. ‖ οὗτος BM. mrg. m, φίλος οὗτος reliq. ‖ ὁ τὴν r, ὁ om. reliq. ‖ αἰδεσάμενος. ἐδισάμενος M.

τέρπεται ἐν θαλίῃ κατέχων καλλίσφυρον Ἥβην.

τὸν Ἀρχίλοχον οὐδὲν ὤνησαν οἱ ἅλες καὶ ἡ τράπεζα πρὸς τὴν
17 ὁμολογίαν τῶν γάμων, ὧν φησιν αὐτός. ὁ Λυκάων ἀνόητος, εἰς τὸν Ἀχιλλέα δεύτερον ἐμπεσὼν δέον αὐτὸν ἢ μάχεσθαι προθύμως ἢ φεύγειν τάχιον.

πὰρ γὰρ σοὶ πρώτῳ, φησὶ, πασάμην Δημήτερος ἀκτήν.

τοιγαροῦν πρότερον, ὁπότε οὐδέπω μετειλήφει τῆς παρ' αὐτῷ τροφῆς, εἰς Λῆμνον ἀπεμποληθεὶς ἐσώθη· τότε δὲ ληφθεὶς ἀπεσφάγη. τοσοῦτον αὐτὸν ὤνησεν ἡ Δημήτηρ. τὰς νήττας καὶ τὰς πέρδικας οὐ πρότερον θηρεύομεν, πρὶν ἂν φάγωσι
18 παρ' ἡμῶν. ὁ δὲ Αἴγισθος τὸν Ἀγαμέμνονα

δειπνίσσας ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.

καὶ ὑπὸ μὲν τῶν Τρώων οὐδὲν ἔπαθεν ἐν δέκα ἔτεσιν, οἷς ἐπολέμει, καὶ οὐδεπώποτε αὐτοῖς συνέστιος ἐγένετο· εἰς δὲ τὴν οἰκίαν ἐλθὼν διὰ τοσούτου χρόνου, θύσας τοῖς θεοῖς, τὴν δὲ αὐτοῦ τράπεζαν παραθέμενος, ὑπὸ τῆς ἰδίας γυναικὸς
19 οὕτως ὠμῶς ἀνῃρέθη. καὶ μετὰ ταῦτα κάτω περιτυχὼν τῷ Ὀδυσσεῖ μέμφεται Κλυταιμνήστραν· μηδὲ γὰρ τοὺς ὀφθαλμοὺς αὐτοῦ τελευτῶντος συγκλεῖσαι· πρὸς δὲ τούτοις παρακελεύεται μηδέποτε πιστεύειν γυναικὶ,

μηδέ οἱ ἐκφάσθαι πυκινὸν ἔπος.

καίτοι ἡ Κλυταιμνήστρα οὐχ ὅτι γυνὴ ἦν ταῦτα διέθηκεν 612 M
αὐτὸν, ἀλλ' ὅτι πονηρά· καὶ οὐδὲν μᾶλλον οὐ χρὴ γυναικὶ
20 ἤπιον εἶναι ἢ ἀνδρί. ἀλλ' οἶμαι τῶν περιπεσόντων ἕκαστος, ὑφ' 402 R II
οὗ πέπονθε κακῶς, ἐκεῖνο μάλιστα ὑφορᾶται καὶ προλέγει φυλάττεσθαι τοῖς ἄλλοις, ὁ μὲν ὑπὸ ἔχεως πληγεὶς ὄφιν, ὁ δὲ ὑπὸ σκορπίου σκορπίον· ὃν δ' ἂν κύων δάκῃ, ὄψει βακτηρίαν αἰεὶ περιφέροντα. τὸ αὐτὸ δὴ τοῦτο καὶ πρὸς ἀνθρώ-

17, 1. *Λυκάων*. sic dedi. possit *Λυκάων ὁ*. *Λυκάων ὢν* reliqui. *ὢν* post *ἀνόητος* transponit Anonym. apud Iacobs. ‖ 3. *τάχιον*. *τάχειον* M. ‖ 4. *πὰρ γὰρ* PCM (corr. *παρὰ γὰρ*), *παρὰ γὰρ* reliqui. conf. Il. 21, 76. ‖ *Δημήτερος*. *Δημήτρος* v, *Δημήτιος* m. ‖ 5. *αὐτῷ*. *αὐτῶν* M. ‖ 6. *τροφῆς*. *τρυφῆς* PC. ‖ 8. *καὶ τὰς* CM, *καὶ τοὺς* P, *γὰρ καὶ τοὺς* reliq. ‖ *θηρεύομεν*. *θύομεν* Iacobs. ‖ 9. *παρ' ἡμῶν*. *παρ' ἡμῖν* marg. m. — 18, 2. *δειπνίσσας* Od. 11, 411, *δειπνήσας* B, *διπνίσας* M, *δειπνίσας* reliq. ‖ *ὥς*. *ὅς* C. ‖ *φάτνῃ*. *φάτνην* BM. ‖ 6. *τὴν δὲ*. *καὶ τὴν* P. ‖ *αὐτοῦ*. sic dedi. *αὑτοῦ* reliq. — 19, 2. *Κλυταιμνήστραν*. *κλυταιμνήστρα* P. ‖ 5. *ἐκφάσθαι*. sic dedi. *ἐκφθᾶσθαι* C, *ἐκφᾶσθαι* reliq. ‖ *πυκινὸν*. *πυκνὸν* M. immutavit Homeri versum Il. 11, 788. conf. Od. 11, 442. ‖ 6. *ταῦτα*. malim *ταύτῃ*. — 20, 2. *ἐκεῖνο*. *ἐκεῖνον* PBM. ‖ 3. *ἔχεως* PBCM. mrg. m, *ἔχιος* reliq. ‖ *ὄφιν*. malim *ἔχιν*. ‖ 5. *δή*. *δεῖ* M.

πους πεπόνθασιν οἱ πολλοί. ᾧ μὲν ἐκ γυναικός τι συνέβη δεινὸν, οὗτος δὴ κέκραγεν·

ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας;

ἄλλον ὑποδεχθεὶς ξένος ἐλύπησεν, ὡς ὁ Ἀλέξανδρος τὰ τοῦ Μενελάου κτήματα καὶ τὴν γυναῖκα ὑφελόμενος. ὁ τοιοῦτος πρὸς τοὺς ξένους διαβέβληται, πρὸς ἀδελφὸν ἕτερος, ἄλλος
21 πρὸς υἱόν. τὸ δὲ πρᾶγμα οὐ τοιοῦτόν ἐστιν. οὐδὲ γὰρ ὁ ἀδελφὸς οὐδὲ ὁ συγγενὴς οὐδὲ ὁ ξένος πέφυκεν ἀδικεῖν, ἀλλ' ὁ μοχθηρὸς ἄνθρωπος· τοῦτο δὲ μικροῦ δεῖν ἐν πᾶσίν ἐστιν. ἀλλ' εἰ νοῦν ἔχεις, πάντας εὐλαβοῦ. ξένος· εὐλαβοῦ. μέτριος εἶναί φησι· μᾶλλον εὐλαβοῦ· τοῦτο ἀκίνητον ὑπαρχέτω. νὴ Δί' ἀλλ' ἐπιδείκνυται δεξιοῦ τινος εὔνοιαν· οὐκοῦν ἀποδέχου τοῦτον τοῖς θεοῖς εἰδὼς χάριν, εἰ βούλει δὲ, κἀκείνῳ· πρὸς δὲ τὸ μέλλον φυλάττεσθαι χρὴ αὐτόν. ὃ γάρ τις ἐπὶ τῆς τύχης εἶπε, πολὺ μᾶλλον ἂν ἐπ' ἀνθρώπων τοῦτο ῥηθείη, τὸ μηδένα εἰδέναι περὶ μηδενὸς, εἰ μέχρι τῆς αὔριον διαμενεῖ
22 τοιοῦτος. τὰς γοῦν πρὸς αὑτοὺς παραβαίνουσι συνθήκας καὶ συμβουλεύουσιν αὑτοῖς ἕτερα, καὶ ἄλλα συμφέρειν νομίζοντες ἄλλα πράττουσιν. ὅθεν, ὅταν τις ἐκ τοῦ πιστεύειν περιπέσῃ 403 R II
τινὶ τῶν δυσκόλων, γελοῖός ἐστιν αἰτιώμενος ἐκεῖνον δέον ἑαυτὸν, καὶ θεοὺς ἐνίοτε ἐπιβοώμενος ὑπ' ἀνδρὸς ἀπατηθεὶς φίλου καὶ συνήθους. οἱ δὲ θεοὶ καταγελῶσιν εἰδότες, ὅτι ἑαυτὸν ἐξηπάτησεν ἐπ' ἄλλῳ ποιησάμενος. οἱ προσπταίοντες ἐν ταῖς ὁδοῖς ἢ νὴ Δία ἐμπεσόντες εἰς πηλὸν ἢ βόθρον οὐκ 643 M
ὀργίζονται τοῖς λίθοις ἢ τῷ πηλῷ· τελέως γὰρ ἂν ἦσαν ἀπό-

6. οἱ πολλοί. ᾧ P, οἱ πολλοὶ. ῷ C, οἱ πολλοὶ ὦ mrg. M (text. τῷ), οἱ πολλοί. τῷ reliqui. unde οἱ πολλοί. Ἱππολύτῳ Valcken. ad Eurip. Hippol. v. 616 et Herodt. 9, 55, Ἱππολύτῳ Iacobs. ‖ μέν. μὲν γὰρ mrg. m. ‖ τι. εἰ BM, τι εἰ mrg. m. ‖ 7. οὗτος M. Reisk., οὕτως reliq. ‖ δή. ἀεὶ M. ‖ 10. ἄλλον. ἄλλος C. ‖ ὡς ὁ M, ὁ om. reliq. ‖ 12. ἕτερος. ἕτερον C. — 21, 1. οὐδέ. οὐ (corr. vulg.) M. ‖ 2. ὁ συγγενής. ὁ om. C. ‖ 3. δέ. δὴ B. ‖ 4. ξένος. εὐλαβοῦ om. CM (mrg. add.), ξένος εἶναί φησιν· εὐλαβοῦ Reisk. ‖ 6. δεξιοῦ τινος εὔνοιαν. δεξιούμενος εὔνοιαν Casaub., δόξαν τινὸς εὐνοίας Reisk., malim δὴ ξένου τινὸς εὔνοιαν. ‖ 8. χρὴ αὐτόν M, χρὴ om. reliqui, unde καλόν pro αὐτόν Pflugk. ‖ 9. τοῦτο ῥηθείη PBCM, ῥηθείη τοῦτο reliq. — 22, 1. αὑτούς. sic dedi. αὐτοὺς reliq. ‖ 2. αὑτοῖς. sic dedi. αὐτοῖς reliq. ‖ καὶ ἄλλα. ἃ καὶ B, ἄλλα in M a corr. add. ‖ 4. τινὶ τῶν δυσκόλων PC, τῶν δυσκόλων M, τῷ δυσκόλῳ reliqui. possit τῳ δυσκόλῳ. ita visum est Pflugkio. ‖ δέον ἑαυτόν. sic dedi. ἑαυτὸν δὲ B, ἑαυτὸν δέον M (at δέον obel. notat.), οὐχ ἑαυτὸν reliq. ‖ 9. πηλῷ.

23 πληκτοι· δέον αὐτοὺς αἰτιᾶσθαι καὶ τὸ μὴ προσέχειν. τί οὖν; τις φήσει, δεῖ θηρίου βίον προαιρεῖσθαι καὶ ζῆν ἔρημον; οὐ θηρίου, ἀλλ' ἀνδρὸς φρονίμου καὶ ζῆν ἀσφαλῶς ἐπισταμένου. πολὺ γὰρ ἀσφαλεστέρα καὶ κρείττων ἡ ἐρημία τῆς πρὸς ἀνθρώπους κοινωνίας, ἐὰν ἀδεῶς γίγνηται καὶ χωρὶς κοινωνῶν προσοχῆς· ὥσπερ οἶμαι τοῖς πλέουσι τὸ πέλαγος συμφέρει μᾶλλον τῆς γῆς, εἰ μή τις ἐν εὐδίᾳ πλέοι καὶ σαφῶς εἰδὼς τοὺς τόπους· ἐν μὲν γὰρ τῷ πελάγει σπάνιον εἴ που διεφθάρη ναῦς, πρὸς δὲ ταῖς ἀκταῖς καὶ περὶ τὰς ἄκρας ἰδεῖν ἔστι τὰ
24 ναυάγια. τοιγαροῦν ὅταν χειμὼν καταλάβῃ, τῶν μὲν ἀπείρων ἕκαστος ἐπιθυμεῖ τῆς γῆς, ὁ δὲ κυβερνήτης ὡς πορρωτάτω φεύγει. καίτοι λιμένας μὲν εὕροι τις ἂν ἀκλύστους, οἷς ἔνεστι πιστεύσαντας ἀσφαλῶς ὁρμεῖν, ἡλίκον ἄν ποτε ἀρθῇ τὸ πνεῦμα· τῶν δὲ ἀνθρώπων οἱ μετριώτατοι τοῖς θερινοῖς ὅρμοις ἐοίκασιν, οἵτινες πρὸς τὸ παρὸν σκέπουσι· κἀκείνων γὰρ ἕκαστος, εἰ πρὸς ἕν τι τῶν κατὰ τὸν βίον ἐπιεικής, οὐ μέντοι καὶ πρὸς τἄλλα ὑπάρχει. χρημάτων μὲν γὰρ ἕνεκεν οὐδέν σε ἀδικήσειεν ἄν· ἔστω γὰρ εἶναί τινα τοιοῦτον· ἀλλὰ τάχ' ἂν 101 R
ὀργῆς ἢ φιλοτιμίας καταλαβούσης οὐκ ἂν ἐπιγνοίης αὐτὸν ἀσάλευτον καὶ πιστὸν [ἀλλ' ὡς ὑπὸ μηδενὸς πάθους κινούμε-
25 νον, ἐφ' ᾧ τις ἂν πιστεῦσαι βεβαίως δύναιτο]. οὐκοῦν τοῖς γε τοιούτοις ὅσον ὑπ' ἀνάγκης καὶ τελέως ὀλίγον δεῖ χρῆσθαι, τὸ πλέον αὐτὸν ἐγρηγορότα καὶ φυλάττοντα, ὡς τοὺς Ἀχαιοὺς τὸν Ἕκτορά φησιν ὁ ποιητής·

— ὁ δ' ἰδρείῃ πολέμοιο

πλῷ M. ‖ 10. τό. τῷ B. — 23, 2. τις φήσει. φήσει τις PC, φήσει M. ‖ 3. ἀλλ'. ἀλλὰ M. ‖ 4. κρείττων. κρεῖττον B. ‖ πρὸς BM, πρὸς τοὺς reliq. ‖ 5. γίγνηται. γίνηται C. ‖ κοινωνῶν. κοινῶν PM. ‖ 6. ὥσπερ PCM (corr. καὶ ὥσπερ). Obs. p. 62, καὶ ὥσπερ reliq. ‖ 7. εἰ μή BM. mrg. m, εἰ δή reliq. ‖ τις. τι mrg. m. ‖ 8. διεφθάρη Obs. p. 62, διαφθαρῇ reliq. — 24, 1. καταλάβῃ. καταλάβοι M. ‖ 2. ἐπιθυμεῖ PBCM. r, ἐπιθυμῇ vm. ‖ 3. ἀκλύστους. ἀκλείστους Vales. p. 78. ‖ 6. σκέπουσι. σκοποῦσιν M. ‖ γὰρ om. M. ‖ 7. εἰ πρὸς M, εἰ om. reliq. ‖ 8. μὲν γάρ. δὲ M. ‖ ἀδικήσειεν ἄν. sic dedi. ἂν om. reliqui, unde supra οὐδὲν ἂν Pflugkius. ‖ 10. ἐπιγνοίης. ἔτι γνοίης Selden., ἔτ' ἐπιγνοίης Reisk. ‖ 11. [ἀλλ' ὡς (ἄλλως B) ὑπὸ μηδενὸς πάθους κινούμενον, ἐφ' ᾧ τις ἂν πιστεῦσαι βεβαίως δύναιτο.] haec glossema videntur v. ἀσάλευτον. ἀλλ' ὡς (vel τὸν ἄλλως) ὑπὸ μηδενὸς πάθους κινούμενον, ἐφ' ᾧ τίς ἂν πιστεῦσαι βεβαίως δύναιτο; Pflugk. p. 7. — 25, 2. ὑπ' ἀνάγκης P, ὑπὸ ἀνάγκης BM, ἀνάγκῃ r, ἀνάγκης reliq. ‖ 3. φυλάττοντα. φυλαττόμενον Reisk. ‖ 5. δ' ἰδρείῃ. δὲ ἰδρίῃ B, δὲ ἰδρίῃ M.

ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους
σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.

ὁμοίως ἐν τῷ βίῳ δεῖ τὴν φρόνησιν καὶ τὴν ἐπιστήμην προ-
βεβλημένους καὶ καλυφθέντας αὐτῇ φεύγειν καὶ φυλάττεσθαι 644 M.
τὴν τῶν ἀνθρώπων κακίαν καὶ τὰς τέχνας καὶ τὰς ἐπιβουλάς,
26 αἷς εἰώθασι χρῆσθαι. καθόλου δὲ θαυμαστὸν, εἰ τὸ μὲν
φαγεῖν ἀπὸ τῆς αὐτῆς τραπέζης ἐμποδὼν ἔσται τῇ πονηρίᾳ
καὶ νὴ Δία τὸ πιεῖν ἀπὸ τοῦ αὐτοῦ κρατῆρος καὶ τὸν αὐτὸν
λύχνον ὁρᾶν, τὸ δὲ τὸν ἥλιον βλέπειν τὸν αὐτὸν καὶ ἀπὸ τῆς
αὐτῆς τρέφεσθαι γῆς οὐδεὶς ὑπολογίζεται τῶν πονηρῶν, ἀλλὰ
τὸ μὲν πανδοκεῖον ἢ νὴ Δία οἶκος ἕτερος ἐκ λίθων καὶ ξύλων
ᾠκοδομημένος συγκίρνησιν ἀνθρώπους καὶ δύναται συνάγειν
εἰς φιλίαν, ὥσπερ Ὀδυσσεὺς ἀξιοῖ·

αἰδεῖσθαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν.

οὕτως ἡγεῖται τὴν σκηνὴν ἀξιωτέραν αἰδοῦς, καὶ ταῦτα ἐκ
ξύλων τῶν ἐν τῇ πολεμίᾳ γεγονυῖαν, ἥπερ αὐτούς. ὁ δὲ σύμ-
πας οὐρανὸς, ὑφ' ᾧ πάντες ἐσμὲν ἀρχῆθεν, οὐδὲν ὠφελεῖ 405 R II.
πρὸς ὁμόνοιαν οὐδὲ ἡ τῶν ὅλων κοινωνία θείων οὖσα καὶ με-
γάλων, ἀλλὰ τοὐναντίον ἡ τῶν μικρῶν καὶ οὐδενὸς ἀξίων.
27 καὶ ὁ μὲν ἴδιος ἑκάστῳ πατὴρ, πολλάκις οὐδενὸς ἄξιος πρεσ-
βύτης, μέγα δίκαιον, ὥστε μὴ ἐπιβουλεύειν ἀλλήλοις τοὺς ἐκ
τοῦ αὐτοῦ γένους· ὁ δὲ κοινὸς ἁπάντων ἀνδρῶν τε θεῶν τε,
ἐξ οὗ πάντες γεγόναμεν, οὐ κατὰ Λάχητα ὢν οὐδὲ κατὰ
Σίμωνα, οὐ δύναται κατασχεῖν οὐδὲ κωλῦσαι τὴν ἀδικίαν
τῶν ἀνθρώπων. καὶ μὴν ὅτι γε τοῖς λόγοις οὐκ ἂν πιστεύοι
τις τοῖς ὑπὲρ τῆς φιλίας· τοῦτο γὰρ λοιπόν ἐστι· φανερὸν
28 δήπου. γελοῖον γὰρ ἀργύριον μὲν δανείζοντα τοῖς πολλοῖς μὴ
ῥᾳδίως ἄν τινα πιστεῦσαι λόγῳ μόνῳ, ἀλλὰ μαρτύρων δεῖσθαι
καὶ γραμμάτων, καὶ πολλοὺς καὶ ταῦτα παραβαίνειν. τί οὖν;

6. ταυρείῃ. ταυρίῃ M. ‖ κεκαλυμμένος. κεκαλυμμένας B. ‖ 7. σκέπτετ'. σκέπετ' M. — 26, 6. πανδοκεῖον PCM, πανδοχεῖον reliq. ‖ 7. ᾠκοδομημένος. οἰκοδομημένος M. ‖ 9. αἰδεῖσθαι PCM, αἴδεσσαι Il. 9, 636, αἰδεῖσθε reliq. ‖ τοί om. C, τε (corr. vulg.) M. ‖ 10. οὕτως PCM, καὶ οὕτως μὲν vm, καὶ οὗτος μὲν B. r, καὶ οὗτος μείζονος Pflugk. ‖ ἀξιωτέραν (vel μᾶλλον interponit) Geel., ἀξίαν reliq. ‖ 11. ἥπερ. ᾗπερ r. ‖ αὐτούς. αὐτοὺς P. ‖ σύμπας. ξύμπας B. ‖ 14. ἡ. ἢ m. ‖ μικρῶν. σμικρῶν B. — 27, 1. ἄξιος PCM, ἄξιος ὂν B, ἄξιος ὢν reliq. ‖ 3. αὐτοῦ γένους PBCM. Reisk., αὐτοῦ τοῦ γένος m, αὐτοῦ τοῦ γένους reliq. — 28, 1. δανείζοντα. δανίζοντα M. ‖ πολλοῖς. malim πέλας. ‖ 2. μόνῳ. μόνον BM. ‖ 3. παραβαίνειν. post hoc v. excidisse quaedam intellexit Reiskius.

φησίν, οὐκ ἤδη τινὲς ἐγένοντο φίλοι τῶν πρότερον; οἷον πῶς ἂν λέγοι τοὺς ἡμιθέους θρυλλουμένους τούτους, Ὀρέστην καὶ Πυλάδην καὶ Θησέα καὶ Πειρίθουν καὶ Ἀχιλλέα καὶ Πάτροκλον; εἰ δ' οὖν τις συγχωρήσειεν, ἀληθῆ τὴν δόξαν εἶναι 615 M. ταύτην, δῆλον, ὡς τρεῖς ἂν εἶεν φιλίαι γεγοννῖαι ἐν τοσούτῳ χρόνῳ, ἐν ὅσῳ πλεονάκις ἂν εἴποι τὸν ἥλιον ἐκλελοιπέναι.

ΛΟΓΟΣ οε.

ΠΕΡΙ ΝΟΜΟΥ.

1 Ἔστι δὲ ὁ νόμος τοῦ βίου μὲν ἡγεμών, τῶν πόλεων δὲ 405 R II
ἐπιστάτης κοινός, τῶν δὲ πραγμάτων κανὼν δίκαιος, πρὸς ὃν ἕκαστον ἀπευθύνειν δεῖ τὸν αὑτοῦ τρόπον· εἰ δὲ μή, σκολιὸς ἔσται καὶ πονηρός. οἱ μὲν οὖν τοῦτον φυλάττοντες ἔχονται τῆς σωτηρίας, οἱ δὲ παραβαίνοντες πρῶτον μὲν αὑτοὺς ἀπολλύουσιν, ἔπειτα καὶ τοὺς ἄλλους, παράδειγμα καὶ ζῆλον αὐτοῖς ἀνομίας καὶ βίας παρέχοντες. ὥσπερ δὲ τῶν πλεόντων οἱ τοῦ πυρσοῦ μὴ διαμαρτάνοντες, οὗτοι μάλιστα σώζονται καὶ τοὺς λιμένας εὑρίσκουσιν· οὕτως οἱ κατὰ τὸν νόμον ζῶντες ἀσφαλέστατα πορεύονται διὰ τοῦ βίου καὶ τῆς καταγωγῆς τῆς
2 δεούσης τυγχάνουσιν. ἀνθρώπῳ μὲν οὖν ἤδη τις συμβούλῳ χρησάμενος μετενόησεν, οὐ μέντοι νόμῳ. τοσούτῳ δὲ τῶν τειχῶν ταῖς πόλεσι χρησιμώτερός ἐστιν, ὥστε ἀτείχιστοι μὲν πολλαὶ τῶν πόλεων διαμένουσι, νόμου δὲ χωρὶς οὐκ ἔστιν οὐδεμίαν οἰκεῖσθαι πόλιν. οὐ μόνον δὲ συμφέρει τοῖς θνητοῖς,

5. λέγοι PCM, λέγοιμι reliqui. malim λέγοι τις. ‖ θρυλλουμένους. θρυλουμένους P. ‖ 6. Πειρίθουν. περίθουν M. ‖ 9. εἴποι. εἴπη PC, εἴποις r.

Orat. LXXV. Collati sunt PHBCM. — 1, 3. δεῖ. ἀεὶ δεῖ C (apud Boisson.). ‖ 5. αὑτούς. αὐτοὺς M. ‖ 6. αὐτοῖς BM (corr. αὐτοὺς), αὐτοὺς reliq. ‖ 7. ἀνομίας. ἀνομοίας M. ‖ 8. διαμαρτάνοντες. διαμαρτάνοντα C. — 2, 1. ἀνθρώπῳ. ἀνθρώπων H. ‖ 2. μετενόησεν. μετενόησε PHC. ‖ οὐ μέντοι νόμῳ om. PHBC. ‖ τοσούτῳ. τοσοῦτο PHC. ‖ 3. ἀτείχιστοι. ἀτίχιστοι M.

αλλα καὶ τοῖς θεοῖς. ὁ γοῦν κόσμος ἀεὶ τὸν αὐτὸν νόμον
ἀκίνητον φυλάττει καὶ τῶν αἰωνίων οὐδὲν ἂν παραβαίη τοῦ-
τον. ὅθεν οἶμαι καὶ βασιλεὺς εἰκότως ἀνθρώπων καὶ θεῶν
κέκληται, τὴν μὲν βίαν καταλύων, τὴν δὲ ὕβριν καθαιρῶν,
τὴν δὲ ἄνοιαν σωφρονίζων, τὴν δὲ κακίαν κολάζων, ἰδίᾳ δὲ
καὶ κοινῇ πάντας τοὺς δεομένους ὠφελῶν, τοῖς μὲν ἀδικου-
μένοις βοηθῶν, τοῖς δὲ ἀπορουμένοις περί τινος μηνύων τὸ
3 δέον. ὅταν γάρ τις συμβάντος τινὸς αὐτῷ δυσκόλου πράγμα-
τος ζητῇ τὸ συμφέρον, οὐδὲν οἶμαι δεῖ φίλους παρακαλεῖν 646 M.
οὐδὲ συγγενεῖς, ἀλλὰ ἐλθόντα παρὰ τοὺς νόμους πυνθάνε- 407 R II.
σθαι. καὶ οὐκ ἂν τὸ οἰκεῖον σκοπῶν χεῖρον ἐκείνῳ παραινέ-
σειεν, οὐδὲ ἀγνοήσας τὸ βέλτιον οὐδὲ δι' ἀσχολίαν τινὰ ἢ τὸ
μὴ φροντίζειν τοὺς σκεπτομένους παραιτήσαιτ' ἄν. τοὐναν-
τίον γὰρ ἁπάντων ὁμοίως κήδεται καὶ σχολὴν ἄγει πρὸς τὰ
τῶν ἄλλων πράγματα καὶ οὐδὲν ἴδιον οὐδὲ ἐξαίρετόν ἐστιν
4 αὐτῷ. καὶ μὴν τοσούτῳ γε τῆς παρὰ τῶν θεῶν μαντείας
ὠφελιμώτερός ἐστι νόμος, ὅσῳ τοὺς μὲν χρησμοὺς ἤδη τινὲς
ἠγνόησαν καὶ δοκοῦντες πράττειν κατ' αὐτοὺς τἀναντία ἐποί-
ησαν, ὅθεν οἶμαι συμφοραῖς ἐχρήσαντο. παρὰ τοῦ νόμου δὲ
οὐδέν ἐστι σκολιὸν οὐδὲ ἀμφίβολον, ἀλλ' ἁπλῶς ἅπαντα, ἃ
προσήκει, τοῖς δεομένοις φράζει. ἄρχων δὲ ἁπάντων καὶ κύ-
ριος ὢν χωρὶς ὅπλων καὶ βίας κρατεῖ· τοὐναντίον γὰρ αὐτὸς
καταλύει τὴν βίαν· ἀλλὰ μετὰ πειθοῦς καὶ βουλομένων προ-
έστηκεν. πείσας γὰρ πρότερον καὶ δοκιμασθεὶς, οὕτως [νόμος]
5 γίγνεται καὶ τὴν ἰσχὺν τὴν αὑτοῦ λαμβάνει. τηλικαύτην δὲ
ἔχει δύναμιν, ὥστε καὶ τοῖς θεοῖς οὗτός ἐστιν ὁ βοηθῶν.
τοὺς γὰρ ἱεροσύλους καὶ τοὺς παραβαίνοντας τὴν πρὸς αὐτοὺς
εὐσέβειαν κολάζει. καὶ μὴν αὐτόν γε οὐδὲ εἷς οἷός τέ ἐστιν
ἀδικῆσαι. τῶν γὰρ παραβαινόντων τὸν νόμον ἕκαστος οὐκ
6 ἐκεῖνον, ἀλλ' ἑαυτὸν βλάπτει. τοσαύτης δὲ δικαιοσύνης καὶ
φιλανθρωπίας μεστός ἐστιν, ὥστε καὶ τοῖς ἀτυχοῦσι χρησι-

7. τοῦτον. τούτων BM. — 3, 1. τινὸς αὐτῷ PHBCM, αὐτῷ τινος reliq. ‖ 2. συμφέρον. ξυμφέρον B. ‖ 3. συγγενεῖς. ξυγγενεῖς B. ‖ 4. παραινέσειεν. παραινίσιεν M. ‖ 5. οὐδὲ. sic dedi. οὔτε reliq. ‖ οὐδὲ δι'. sic dedi. οὔτε δι' reliq. ‖ 6. τοὺς σκεπτομένους Morell., τοῦ σκεπτομένου Reisk., τοὺς κλεπτομένους PHBCM. v, τοὺς πυθομένους mr. — 4, 4. συμφοραῖς. ξυμφοραῖς B. ‖ 6. φράζει. φράξει M. ‖ 8. πειθοῦς. πειθῆς C. ‖ 9. [νόμος] om. PHBC. ‖ 10. αὐτοῦ. sic dedi. αὑτοῦ reliq. — 5, 4. οὐδὲ εἷς. οὐδεὶς M, οὐδὲ εἷς m. ‖ οἷός. οἷοί C.

μώτερος καθέστηκε τῶν γένει προσηκόντων καὶ τοῖς ἀδικουμένοις ἰσχυρότερος τῆς αὐτῶν ἐκείνων ῥώμης καὶ πατράσιν υἱέων εὐνούστερος καὶ παισὶ γονέων καὶ ἀδελφοῖς ἀδελφῶν. πολλοὶ γοῦν ὑπὸ τῶν φιλτάτων ἀδικούμενοι πρὸς τοῦτον καταφεύγουσιν. εἰ δὲ καὶ μηδὲν ὑπὸ μηδενὸς εὖ πεπονθώς, ὅμως πᾶσιν ὧν ἂν εὐεργετήσωσιν ἑτέρους ἐκτίνει τὰς χάριτας, 468 R II
καὶ γονεῦσι παρὰ παίδων τὰς ὁμοίας κομιζόμενος καὶ τοῖς ἰδίᾳ τινῶν εὐεργέταις παρὰ τῶν εὖ παθόντων καὶ τοῖς κοινῇ 647 M.
7 φιλοτιμουμένοις παρὰ τῆς πόλεως. κάλλιστα δὲ καὶ τὰ ἆθλα τῶν εὐεργεσιῶν πεποίηκε, στεφάνους καὶ κηρύγματα καὶ προεδρίας ἐξευρών, ἃ τοῖς μὲν παρέχουσιν οὐδεμίαν φέρει δαπάνην, τοῖς δὲ τυγχάνουσι τοῦ παντὸς ἄξια καθέστηκεν. ὅ τι δ' ἂν ἐθέλῃ τῶν εὐτελεστάτων, εὐθὺς τοῦτο μέγα καὶ τίμιον ἐποίησεν. οὗτός ἐστιν ὁ τὸν κότινον οὕτω μέγα καὶ τηλικαύτης ἄξιον σπουδῆς ἀποδείξας καὶ τὰ σέλινα καὶ τὴν πίτυν καὶ τὸν τοῦ θαλλοῦ στέφανον. οὗτος ὁ τὰ τρία ῥήματα, οἷς ἕκαστος κηρύττεται τῶν ἀγαθῶν, πολλοῖς ἀποφή-
8 νας τοῦ ζῆν τιμιώτερα. οὗτός ἐστιν ὁ τὰς πανηγύρεις συνάγων, ὁ τοὺς θεοὺς τιμῶν, ὁ τὴν ἀρετὴν αὔξων· οὗτος ὁ τὴν θάλατταν καθαίρων, ὁ τὴν γῆν ἥμερον ποιῶν, ὁ τοῦ Διὸς ἐτεὸν υἱός, ὁ τὴν ἀήττητον καὶ ἀνυπέρβλητον ἰσχὺν ἔχων· τοσοῦτον ἁπάντων σωφροσύνῃ καὶ πίστει διαφέρων, ὥστε καὶ γυναικῶν κοινωνίαν καὶ παρθένων ὥραν καὶ παίδων ἀκμὴν τούτῳ πάντες πεπιστεύκαμεν. ἔτι δὲ καὶ παρθένου τῆς Δίκης
9 οὔσης μόνος αὐτῇ διὰ σωφροσύνην σύνεστιν. οὗτος ἐπίκουρος γήρως, διδάσκαλος νεότητος, πενίας συνεργός, φύλαξ πλούτου, τῇ μὲν εἰρήνῃ σύμμαχος, τῷ δὲ πολέμῳ ἐναντίος· οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ πλεῖστον ἰσχύει. τὸν γοῦν

6, 5. εὐνούστερος. εὐνουστότερος B. ‖ 7. εἰ δὲ. malim ᾗ δή. ‖ εὖ πεπονθώς, ὅμως. sic dedi. εὖ πεπονθὼς ὁ νόμος ἐστιν PHC, πεπονθὼς νόμος M, εὖ πέπονθεν ὁ νόμος reliq. ‖ 8. πᾶσιν M, ἀλλὰ πᾶσιν PHC, πᾶσιν ὅμως reliq. ‖ ὧν ἂν εὐεργετήσωσιν PHCM, εὐεργέτης ὧν reliq. ‖ ἑτέρους PHM, ἑτέροις reliq. ‖ ἐκτίνει. ἐκτίνειν M. ‖ 9. ὁμοίας. ἀμοιβὰς Wyttenb. ad Plut. Moral. I, 46. a. ‖ κομιζόμενος. κομιζομένων B. m. ‖ τοῖς ἰδίᾳ. τῶν ἰδίᾳ B. ‖ 10. εὐεργέταις. εὐεργεσίαις C. ‖ παθόντων. πεπονθότων (corr. παθόντων) C. — 7, 1. κάλλιστα. μάλιστα B, καλλίστας M. ‖ δὲ καί. καὶ om. M. ‖ τὰ ἆθλα Casaub. r, τὰς ἀμοιβὰς Reisk., τὰς ἄλλας reliq. ‖ 5. εὐτελεστάτων. ἀτυχεστάτων B, εὐτυχεστάτων M (corr. vulg.). mrg. m. ‖ 6. οὕτω. sic dedi. οὕτως reliq. ‖ μέγα HBM, μέγαν reliq. ‖ 8. τρία om. C. marg. m. — 8, 3. τοῦ om. P. ‖ 4. ἐτεὸν marg. m, ἑστὼς PHBM, ἐτεὸς reliqui. an ἐτεῶς? — 9, 4. πλεῖστον. sic dedi. πλεῖον M, πλέον reliq.

παρὰ τῶν ἐχθίστων κήρυκα πεμπόμενον οὗτός ἐστιν ὁ σώζων 409 R II.
καὶ διαφυλάττων, παντὸς θώρακος καὶ πάσης ἀσπίδος ἰσχυ-
ρότερον αὐτῷ δοὺς ὅπλον, τὸ κηρύκειον· ἔστι δὲ τοῦ νόμου
σύμβολον. διὰ τοῦτον τοὺς ἀποθανόντας οὐδεὶς ἔτι κρίνει
πολεμίους οὐδὲ τὴν ἔχθραν καὶ τὴν ὕβριν εἰς τὰ σώματα αὐ-
τῶν ἐπιδείκνυνται. τοσούτῳ δὲ ταῖς πόλεσι χρησιμώτερός
ἐστιν ἤπερ τὰ πηδάλια ταῖς ναυσὶν, ὥστε ἡ μὲν ἀποβαλοῦσα
τοὺς οἴακας ναῦς οὐκ ἂν ἀπόλοιτο, μὴ χειμῶνος καταλαβόν-
τος, πόλιν δ' οὐκ ἔνι σωθῆναι τοῦ νόμου λυθέντος, οὐδ' ἂν
μηδὲν ἔξωθεν συμβαίνῃ δεινόν. ὥσπερ δὲ ὑπὸ τῆς ἐν αὐτῷ
διανοίας διοικεῖται καὶ σώζεται τῶν ἀνθρώπων ἕκαστος, ἡ δὲ
ταύτης διαφθορὰ μανίαν καὶ παρακοπὴν φέρει· παραπλησίως, 648 M.
ἄν τις ἀνέλῃ τὸν νόμον ἐκ τοῦ βίου, καθάπερ οἶμαι τὸν νοῦν
ἀπολωλεκὼς, εἰς παντελῆ μανίαν καὶ ταραχὴν περιστήσεται.

5. σώζων. σάζων m. ‖ 7. αὐτῷ. αὐτὸ BC. ‖ κηρύκειον. κηρύκιον H. ‖ ἔστι—σύμβολον suspecta Geelio. ‖ 8. σύμβολον. σύμβωλον M. ‖ 9. οὐδὲ PHCA. mr, οἱ δὲ BM. v. mrg. m. ‖ καὶ τὴν. γὰρ καὶ τὴν marg. m. ‖ 10. ἐπιδείκνυνται. ἀποδείκνυνται BM mrg. m. — 10, 1. τοσούτῳ. τοσοῦτο HM. ‖ ταῖς om. HBC, τὸ M. ‖ 2. ὥστε. ὅσῳ Pflugkius, at dubitanter. ‖ ἡ μὲν PHBCM. Casaub., ἡμῖν reliq. ‖ ἀποβαλοῦσα. sic dedi. idem voluit Pflugk., ἀποβάλλουσα reliq. ‖ 5. συμβαίνῃ. συμβαίνει C, συμβαίνοι M. ‖ 7. διαφθορὰ PHB. Casaub., διαφορὰ reliq.

ΛΟΓΟΣ ος.

ΠΕΡΙ ΕΘΟΥΣ.

1 *Ἔστι δὲ τὸ ἔθος γνώμη μὲν τῶν χρωμένων κοινὴ, νόμος δὲ* 410 R II.
ἄγραφος ἔθνους ἢ πόλεως, δίκαιον δὲ ἑκούσιον καὶ κατὰ ταὐτὰ
πᾶσιν ἀρέσκον, εὕρεμα δὲ ἀνθρώπων οὐδενὸς, ἀλλὰ βίου καὶ
χρόνου. τῶν μὲν οὖν ἄλλων νόμων ἕκαστος ἅπαξ δοκιμα-
σθεὶς ἔλαβε τὴν ἰσχύν· τὸ δὲ ἔθος ἀεὶ δοκιμάζεται. καὶ
νόμος μὲν οὐδεὶς ῥᾳδίως ὑπὸ πάντων κριθήσεται· ταῖς γὰρ
τῶν πλεόνων δόξαις κυροῦται· ἔθος δὲ οὐκ ἐνῆν γενέσθαι μὴ
προσδεχθὲν ὑπὸ πάντων. κἀκεῖνος ἀπειλῶν καὶ βιαζόμενος
μένει κύριος, ὑπὸ δὲ τῶν ἐθῶν πειθόμενοι καὶ καλὰ καὶ
2 *συμφέροντα κρίνομεν αὐτά. διό μοι δοκεῖ τις ἂν προσεικάσαι*
τὸν μὲν ἔγγραφον νόμον τῇ δυνάμει τῆς τυραννίδος· φόβῳ
γὰρ ἕκαστον καὶ μετὰ προστάγματος διαπράττεται· τὸ δὲ
ἔθος μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας. βουλόμενοι γὰρ
αὐτῷ πάντες καὶ δίχα ἀνάγκης ἕπονται. καὶ νόμους μὲν
ἴσμεν πολλοὺς ἀνῃρημένους ὑπὸ τῶν θέντων αὐτοὺς ὡς πονη-
ρούς· ἔθος δὲ οὐκ ἂν οὐδεὶς ῥᾳδίως δείξειε λελυμένον. καὶ
μὴν τῷ παντὶ ῥᾷόν ἐστιν ἀνελεῖν ὅ τι βούλει τῶν ἐγγράφων
3 *ἢ τῶν ἐθῶν. τὰ μὲν γὰρ ἂν ἀπαλείψῃς, ἡμέρᾳ μιᾷ ἅπαξ*
λέλυται· συνήθειαν δὲ πόλεως οὐκ ἔστιν [εἰ μὴ] ἐν πάνυ πολλῷ

Orat. LXXVI. Collati sunt PHBCM. titulus. *περὶ ἔθους. περὶ ἔθνους* C. — 1, 1. *τό. ὅ* M. ‖ *ἔθος. ἔθνος* C. ‖ *τῶν χρωμένων. τῶν χρόνων* P (mrg. vulg.). C, *τῷ χρόνῳ* (mrg. vulg.) H. ‖ 2. *κατὰ ταὐτὰ* PH, *ταὐτὸ* Vales. p. 78, *ταὐτὰ* B, *ταῦτα* reliq. ‖ 3. *ἀρέσκον. ἀρέσκην* C. ‖ 4. *νόμων ἕκαστος. νόμος ἑκάστῳ* B, *νόμος ἕκαστος* M. ‖ 5. *ἀεὶ δοκιμάζεται* PHC, *αὐτὸ δοκιμάζεται* B, *ἀποδοκιμάζεται* M, *αὐτὸ ἀποδοκιμάζεται* marg. m, *αὐτὸ ἀεὶ δοκιμάζεται* reliqui. possit *ἀεί ποτε δοκιμάζεται.* ‖ 7. *πλεόνων* BCM, *πλειόνων* reliq. ‖ *ἐνῆν. ἔνεστι* PHC. ‖ 9. *ἐθῶν. ἐθνῶν* C. — 2, 3. *ἕκαστον. ἕκαστος* M. ‖ 5. *αὐτῷ* M, *αὐτὸ* reliq. ‖ *ἕπονται* Geel., *οἴονται* reliqui. *αἱροῦνται* vel *προσίενται* Reisk., *δέχονται* Iacobs., *αἰδοῦνται* Pflugk. ‖ *νόμους μέν. μὲν* om. C. ‖ 7. *δείξειε. δείξει* M. ‖ *λελυμένον. λελυμένου* C. ‖ 8. *ῥᾷόν. ῥᾴδιόν* PHBCM. ‖ 9. *ἐθῶν. ἐθνῶν* C. — 3, 1. *ἀπαλείψῃς. ἀπολείψῃς* M. ‖ *ἡμέρᾳ μιᾷ ἅπαξ* PHC, *ἅπαξ ἡμέρᾳ μιᾷ* reliq. ‖ 2. [*εἰ μὴ*] om. PH, in

καταλῦσαι χρόνῳ. κἀκεῖνοι μὲν ἐν σανίσιν ἢ στήλαις φυλάτ-
τονται· τῶν δὲ ἕκαστον ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἀσφαλε- 411 R II.
στέρα δὲ καὶ κρείττων ἡ τοιαύτη φυλακή. καὶ μὴν ὁ μὲν
ἔγγραφος νόμος αὐστηρός ἐστι καὶ ἀπηχής, ἔθους δὲ οὐδὲν
ἥδιον. ἔπειτα τοὺς νόμους παρ' ἄλλων πυνθανόμεθα, τὰ δὲ
4 ἔθη πάντες ἐπιστάμεθα. κἀκείνων μέν εἰσιν οὐ σαφῶς ἔνιοι 649 M.
γεγραμμένοι καὶ διαστρέφονται πολλάκις ὑπὸ τῆς τῶν ῥητό-
ρων δυνάμεως· τῶν δὲ ἐθῶν οὐδὲν ἀμφίβολον οὐδὲ σκολιὸν
οὐδ' ἂν περιγένοιτ' αὐτῶν λόγος. κἀκείνων μὲν ἀεὶ δεῖ μνη-
μονεύειν, εἰ μέλλοιμεν αὐτοῖς ἐμμένειν· τοῦ δὲ ἔθους οὐκ
ἔστιν οὐδὲ βουλομένους ἐπιλαθέσθαι· τοιαύτην γὰρ ἔχει
φύσιν, ὥστε ἀεὶ ὑπομιμνήσκειν αὐτοῦ. καθόλου δὲ τοὺς μὲν
νόμους φαίη τις ἂν ποιεῖν δούλων πολιτείαν· τὰ δὲ ἔθη τοὐ-
ναντίον ἐλευθέρων. ἐκεῖνοι μὲν γὰρ ποιοῦσιν εἰς τὰ σώματα
κολάσεις· παραβαινομένου δὲ ἔθους τὴν ζημίαν εἶναι συμβέ-
βηκεν αἰσχύνην. ὥστε ἐκεῖνος μὲν φαύλων, οὗτος δὲ ἀγαθῶν
ἐστι νόμος. εἰ γὰρ ἅπαντες ἦσαν ἀγαθοί, δηλονότι τῶν ἐγ-
γράφων ἡμῖν οὐδὲν ἂν ἔδει νόμων. ἔτι δὲ τῶν μὲν νόμων εἰσὶν
οἱ βασιλεῖς ἐπάνω καὶ πολλὰ πράττουσι παρ' αὐτούς, τοῖς δὲ
5 ἔθεσι κἀκεῖνοι κατακολουθοῦσιν. καὶ τῶν μὲν ἐγγράφων
οὐδὲν ἐν τοῖς πολέμοις ἰσχύει· τὰ δὲ ἔθη φυλάττεται παρὰ
πᾶσι, κἂν εἰς ἐσχάτην ἔχθραν προέλθωσιν. τὸ γοῦν μὴ κω-
λύειν τοὺς νεκροὺς θάπτειν οὐδαμῇ γέγραπται· πῶς γὰρ ἂν
ὑπήκουον οἱ κρατοῦντες τοῖς τῶν ἡττωμένων ἐπιτάγμασιν;
ἀλλ' ἔθος ἐστὶ τὸ ποιοῦν τῆς φιλανθρωπίας ταύτης τοὺς
κατοιχομένους τυγχάνειν. ὁμοίως τὸ τῶν κηρύκων ἀπέχεσθαι
καὶ μόνοις τούτοις πολλὴν ἀσφάλειαν εἶναι βαδίζουσιν. τῶν
μὲν οὖν νόμον παραβαινόντων οὐδεὶς ἂν ἐπιδείξειεν οὐδένα
οἶμαι φανερῶς ὑπὸ τῶν θεῶν κεκολασμένον· Λακεδαιμόνιοι 412 R II.

M a corr. add. ‖ 3. κἀκεῖνοι μὲν PHCM. marg. m, ἐκεῖνοι μὲν reliqui. possit ἐπεὶ οἱ μέν. ‖ 8. ἔθη. ἔθνη C. — 4, 5. τοῦ δὲ ἔθους. τοῦ ἔθνους C. ‖ 6. βουλομένους. βουλομένοις PHC. ‖ τοιαύτην PHCM, ἀλλὰ τοιαύτην reliq. ‖ γὰρ ἔχει. sic dedi. παρέχειν m, παρέχει reliqui, unde παρέχεται Pflugkius. ‖ 7. αὐτοῦ Obs. p. 63, αὐτοὺς reliq. ‖ 10. ἔθους. τοῦ ἔθους B. ‖ 11. ἐκεῖνος. ἐκεῖνο C. ‖ 13. ἡμῖν. ὑμῖν B. ‖ ἔδει νόμων PHCM (corr. καὶ τῶν νόμων), νόμων om. reliq. ‖ ἔτι δὲ τῶν μὲν νόμων. sic dedi. om. PHC, ἔτι τῶν μὲν νόμων M, καὶ τῶν νόμων μὲν reliq. ‖ 14. αὐτούς. αὐτοῖς PHC. — 5, 2. πολέμοις B. r, πολεμίοις reliq. ‖ παρὰ om. B. ‖ 7. τὸ τῶν. τὸ om. BM. ‖ 8. μόνοις τούτοις. μόνος τοῦτος C.

δ' ἐπεὶ παρέβησαν τὸ κηρύκων ἔθος, τοὺς παρὰ βασιλέως ἐλθόντας ἀνελόντες, ἐκολάσθησαν ὑπ' αὐτοῦ τοῦ δαιμονίου.

ΛΟΓΟΣ οζ. οη.

ΠΕΡΙ ΦΘΟΝΟΥ.

1 Δ. Ἆρα διὰ ταῦτα καὶ τὰ τοιαῦτα ἐνομίσθη σοφὸς ἐν τοῖς Ἕλλησιν Ἡσίοδος καὶ οὐδαμῶς ἀνάξιος ἐκείνης τῆς δόξης, ὡς οὐκ ἀνθρωπίνῃ τέχνῃ τὰ ποιήματα ποιῶν τε καὶ ᾄδων, 650 M ἀλλὰ ταῖς Μούσαις ἐντυχὼν καὶ μαθητὴς αὐτῶν ἐκείνων γενόμενος· ὅθεν ἐξ ἀνάγκης, ὅ τι ἐπῄει αὐτῷ, πάντα μουσικά τε καὶ σοφὰ ἐφθέγγετο καὶ οὐδὲν μάταιον· ὧν δηλονότι καὶ τοῦτο τὸ ἔπος ἐστίν· — Α. τὸ ποῖον; —

Δ. καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων; —

2 Α. πολλὰ μὲν καὶ ἄλλα φανήσεται τῶν Ἡσιόδου πεποιημένα καλῶς περί τε ἀνθρώπων καὶ θεῶν σχεδόν τι καὶ περὶ μειζόνων πραγμάτων ἢ ὁποῖα τὰ λεχθέντα νῦν· ἀτὰρ οὖν καὶ ταῦτα ἀπεφήνατο μάλ' ἀληθῶς τε καὶ ἐμπείρως τῆς ἀνθρωπίνης φύσεως. — Δ. βούλει οὖν ἐπιμελέστερον σκοπῶμεν αὐτά; — Α. καὶ πῶς ἡμᾶς ἀνέξονται τοσοῦτος ὄχλος περὶ τοιούτων διαλεγομένους; — Δ. τί δέ; οὐ σοφὰ καὶ περὶ σοφῶν ἤκουσιν

11. τὸ κηρύκων PHC, τῶν κηρύκων M, τῶν κηρύκων τὸ reliqui. ἐπὶ τῶν κηρύκων τὸ Reisk. ‖ 12. ἐλθόντας. συνελθόντας BM. ‖ τοῦ. τούτου C.

Orat. LXXVII et LXXVIII. Collati sunt P (usque ad § 4). HB. C (usque ad § 15). M. titulus. περὶ φθόνων M (corr. περὶ φθόνου α), περὶ φθόνου α reliqui, at in C a recentiore manu. duas eiusdem commentationis partes hucusque male discerptas rursus copulavi. conf. ad § 15 dicta. — 1, 5. ὅθεν Casaub., ὥστε Pflugk., ὃ ἦν reliq. ‖ ὅ τι Casaub., καὶ ὅ τι PH, καὶ ὅτι C, ἃ vel ὅσα Reisk., ὅτι reliq. ‖ ἐπῄει. ἐποίῃ C, ἂν ἐπῄει Casaub. ‖ 6. τε καί. τε om. M. ‖ καὶ οὐδέν. καὶ om. M. ‖ δηλονότι. δῆλον B. — 2, 2. περί τε. τε om. M. ‖ 3. ἢ ὁποῖα PHC, ὁποίων M, ὁποῖα reliqui. conf. § 4. ‖ ἀτάρ. αὐτὰρ PHC. ‖ 4. μάλ'. μάλα C. ‖ 5. σκοπῶμεν. sic dedi. idem voluit Pflugk., σκοποῦμεν reliq. ‖ 6. ἀνέξονται. ἀνάξονται M. ‖ 7. τί δέ PHCM, τι δαὶ reliq.

ἀκουσόμενοι; — Α. φαῖεν ἄν, ὥς μοι δοκοῦσιν. — Δ. ἀλλὰ 413 R II.
μὴ τὸν Ἡσίοδον φαῦλον ἡγοῦνται καὶ ὀλίγου ἄξιον; —
Α. οὐδαμῶς. — Δ. ἀλλὰ περὶ φθόνου καὶ ζηλοτυπίας καὶ
τίνες εἰσὶν οἱ πρὸς ἀλλήλους οὕτως ἔχοντες καὶ ἐπὶ τίσιν οὐ
χρήσιμον αὐτοῖς ἀκροᾶσθαι; — Α. πάντων μὲν οὖν χρησι-
3 μώτατον. — Δ. οὐκοῦν χρήσιμον ἤδη καὶ τὸ ἀποπειρᾶσθαι
τῶν ἀνδρῶν. φέρε δή, δι' ἄλλο τί φησι τούτους Ἡσίοδος
εἶναι φθονεροὺς καὶ δυσκόλως ἀλλήλοις ἔχειν ἢ διότι ἧττον
ἂν ἐργάζοιτο ἐκ τοῦ πράγματος ἕκαστος, ὅτου ἂν τύχῃ πράτ-
των, πολλῶν ὄντων ὁμοίων; — Α. διὰ τί γὰρ ἄλλο; — Δ. πό-
τερον οὖν κεραμεῖ μὲν λυσιτελεῖ μηδένα ἄλλον εἶναι κεραμέα
ἐν τῇ αὐτῇ πόλει τε καὶ κώμῃ, μαγείρῳ δὲ τοῦτο οὐ λυσιτε-
λές, ὅπως ἐξῇ αὐτῷ ἀποδίδοσθαι ὁποῖ' ἂν ἔχῃ τὰ κρέα τοῖς
δεομένοις, ἂν καὶ πάνυ λεπτὸν ἱερεῖον ἢ πρεσβύτερον τύχῃ
4 πριάμενος; — Α. δηλονότι καὶ μαγείρῳ. — Δ. τί δέ;
βαφεῖ τὴν βαφικὴν ἐργάζεσθαι τέχνην οὐ μόνῳ αὐτῷ ἄμει-
νον ἢ μεθ' ἑτέρων ἀντιτέχνων, ἵνα ὁποιαοῦν ἀποδιδῶται τὰ
βάμματα ταῖς γυναιξίν; ἀγαπήσουσι γὰρ ὠνούμεναι, κἂν
ὀλίγῳ βελτίω ἢ ὁποῖα εἰώθασιν αὐταὶ βάπτειν ἐν τοῖς ἀγροῖς
ὡς ἔτυχε, καὶ οὐ ζητοῦσι δευσοποιὰ καὶ ἁλουργῆ; — Α. πῶς 414 R II. 651 M.
γὰρ ζητοῦσι; — Δ. φέρε, πορνοβοσκῷ δὲ οὐ κερδαλεώτερόν
τε καὶ ἄμεινον πρὸς τὴν ἐμπολὴν μόνον ἔχειν τοῦτο τὸ ὄνειδος
καὶ μόνον αὐτὸν ἀκούειν κακῶς, ἢ σὺν ἑτέροις, ὁμοίως μὲν

11. τίσιν. τίδι C. — 3, 1. οὐκοῦν. οὐδὲ C. ‖ ἤδη. εἶναι BM. ‖ καὶ τό. τὸ om. BM. ‖ 3. φθονεροὺς PHBCM. Casaub., φανεροὺς reliq. ‖ ἧττον. ἧττον (superscr. α) P, ἥττονα H. ‖ 4. ἂν ἐργάζοιτο Geel., ἓν ἐργάζοιτο τῆς αὐτοῦ τέχνης M, ἐργάζοιτο τὸ τῆς αὐτοῦ τέχνης B. marg. m, ἐράζοι τὸ τὴν αὐτοῦ τέχνην v, ἐργάζοιτο τὴν αὐτοῦ τέχνην CPH. mr, unde post τέχνην Reiskius ἀσκῶν supplebat, Casaubonus: τέχνην ἐκ προστάγματος ὅ τι ἂν τύχῃ. Seldenus: τῇ αὐτοῦ τέχνῃ. Wyttenb. ad Eunap. p. 243: κατὰ τὴν αὐτοῦ τέχνην. ‖ 5. ἄλλο. ἄλλοι B. ‖ πότερον οὖν. οὖν om. PHCM. ‖ 6. κεραμεῖ. κέραμι M. ‖ 8. ἐξῇ. ἔξην C. ‖ ὁποῖ'. ὁποῖον H, ὁποῖ vm. — 4, 1. τί δέ PHM, τί δαί reliq. ‖ 2. μόνῳ αὐτῷ PHC, μόνον αὐτῷ vm, μόνον αὐτῶν marg. m, μόνον αὐτὸν BM. r. ‖ ἄμεινον. οὐκ ἄμεινον BM. ‖ 3. ἀποδιδῶται. ἀποδίδοται M. ‖ 4. ὠνούμεναι. ὠγούμεναι m. ‖ κἄν. καὶ M. ‖ 5. ὀλίγῳ. ὀλίγῳ ἢ Reisk. ‖ βελτίω ἢ ὁποῖα PHC. Reisk., βελτίων ὁποῖα M. v, βελτίω ᾗ, ἢ ὁποῖα Wyttenb. ad Plut. p. 653, βελτίω τῶν ὁποῖα Pflugk., βελτίω ὁποῖα reliq. ‖ αὐταὶ βάπτειν ἐν τοῖς ἀγροῖς PHCM, αὐτὰ βάπτειν ἐν τοῖς ἀγροῖς B. mrg. m, ἐν τοῖς ἀγροῖς αὐταὶ βάπτειν reliq. ‖ 6. ἔτυχε C, ἔτυχεν reliq. ‖ ζητοῦσι. ζητήσουσι r. ‖ 7. ζητοῦσι. ζητήσουσι r. ‖ κερδαλεώτερόν. κερδαλαιώτερον M. ‖ 8. τοῦτο τό. τὸ om. PHBCM.

ἐν πόλει τρέφοντα καὶ ἀσκοῦντα τοιοῦτον θρέμμα, ὁμοίως δὲ εἰς Πυλαίαν καὶ τὰς ἄλλας πανηγύρεις πορευόμενον καὶ περιάγοντα; — Α. καὶ πάνυ μοι δοκεῖ πορνοβοσκὸς εὔξασθαι ἂν
5 ἀνδρῶν ὁμοτέχνων πολλὴν ἐρημίαν. — Δ. ἆρ' οὖν καὶ περὶ πάντων ἁπλῶς οὕτως ὑπελάμβανε τῶν τὰς αὐτὰς ἐργασίας ἐργαζομένων, ὡς βλαβεροὺς ὄντας ἀλλήλοις καὶ ἐμποδὼν πρὸς τὸν βίον; — Α. περὶ πάντων, ὡς τὸ εἰκός. — Δ. ἀλλ' οὐκ ἔπρεπεν οἶμαι καθέκαστον ἐπεξιέναι. καὶ γὰρ ἐπ' ἄλλοις ἔθος ἐστὶν αὐτῷ περὶ ὅλου τοῦ πράγματος φράζειν ἐφ' ἑνὸς ἢ δυοῖν· οἷον, ὅταν φῇ μηδ' ἂν βοῦν ἀπολέσθαι τινὶ ἄνευ τῆς τοῦ γείτονος πονηρίας, οὐ δήπου φησίν, ὅτι βοῦν μὲν ἀπολέσαι [τις] ἂν γείτων πονηρός, εἰ μὴ ἄλλος συγγνῴη, πρόβατον δὲ οὐκ ἂν ὑφέλοιτο, ἐὰν δύνηται λαθεῖν, οὐδὲ αἶγα τῶν καλῶν, τῶν πολὺ ἀμελγομένων καὶ διδυμοτοκουσῶν· ἀλλὰ δηλονότι ὡς πρὸς
6 συνιέντας λέγει τοὺς ἐντυγχάνοντας τοῖς ποιήμασιν. οὐκοῦν περὶ πάντων αὐτὸν ἑνὶ λόγῳ φῶμεν ἔμβραχυ λέγειν οὕτω τῶν ὁμοτέχνων, ὡς οὔτε φιλούντων αὐτοὺς οὔτε λυσιτελούντων

10. τοιοῦτον PHCM, τοιοῦτο reliq. ‖ 12. πορνοβοσκὸς εὔξασθαι PHCM, πορνοβοσκῷ (om. εὔξασθαι) reliqui, unde post ἐρημίαν Casaubonus λυσιτελήσειν supplebat. — 5, 2. ὑπελάμβανε C, ὑπελάμβανεν reliq. ‖ 3. ἐμποδών. ἐμπόδια B. mrg. m, ἔμποδα M. ‖ 5. ἔπρεπεν. ἐπέτρεπεν HCM. ‖ ἔθος ἐστὶν HBM, ἐστὶν ἔθος reliq. ‖ 7. φῇ μηδ' ἄν. φησὶν οὐ HC. ‖ 8. δήπου. δείπου M. ‖ μὲν ἀπολέσαι [τις] ἄν. sic dedi. μὲν ἀπώλεσε τις ἂν HC, ἀπολέσαι ἂν M (corr. post ἂν add. εἰ μή), ἀπολέσαι αν εἰ μὴ reliqui, unde εἴ τινι pro εἰ μὴ Reiskius. conf. Hesiod. O. et D. 348. totus hic locus sic scriptus est in Palat. 124: οὐ δήπου φησὶν ὅτι βοῦν (μὲν add. a man. rec.) ἀπολέσαι (τις add. a man. rec.) ἂν εἰ μὴ γείτων πονηρὸς ᾖ ἢ ἄλλως συγγνώη, πρόβατον — verba autem ἢ ἄλλως συγγνώη lineola notata sunt. in mrg. ἂν γείτων πονηρὸς ᾖ, πρόβατον. igitur deleri voluit corrector v. ἢ ἄλλως συγγνώη. eadem leguntur in Cod. Vat. 1336 praeterquam quod μὲν et τις omissa sunt. ‖ 9. πονηρός, εἰ μὴ ἄλλος συγγνῴη. sic dedi. nam μὴ in alienum locum aberravit. πονηρὸς (om cett.) C, πονηρὸς ἢ ἄλλως συγγνώη BM, πονηρὸς ᾖ ἢ ἄλλως συγγνώη v. mrg. m, πονηρὸς ᾖ ἢ ἄλλως συγχέοι mr, unde Seldenus locum sic constituit: ἀπολέσαι ἄν, εἴ μοι γείτων πονηρὸς ᾖ ἢ ἄλλοις συγγνῴη, πρόβατον δ' οὐκ ἂν ἀφέλοιτο cett., Reiskius: ἢ ἄλλως ἀγνοείη, Iacobsius Add. p. 146 parum hic felix, Pflugkius: φησὶν ὅτι βοῦν ἀπολέσθαι, ἂν μὴ ὁ γείτων πονηρὸς ᾖ, οὐκ ἂν ἐγχωροῖ· πρόβατον δὲ οὐδὲν ἄτοπον, ἐὰν δύνηται, λαβεῖν. ‖ 10. ὑφέλοιτο Reiskius (idem ἀπόδοιτο), ἀπόλοιτο reliq. ‖ αἶγα. αἶξ HC. ‖ 11. διδυμοτοκουσῶν. διδυματοκουσῶν M (corr. διδυμειτοκουσῶν). ‖ πρός. πρὸ C. ‖ 12. συνιέντας. συνιόντας BM. — 6, 2. φῶμεν HC, φαμὲν reliqui (at in M α in rasura). ‖ ἔμβραχυ. sic dedi. ἐν βραχὺ M, ἐν βραχεῖ reliq. ‖ οὕτω corr. M (prim. man. οὕτως). ‖ 3. ὡς om B, in M a corr. add. ‖ αὐτούς. sic dedi. αὐτοὺς BM (corr. αὐτῶν).

ἀλλήλοις; — *Α.* πάνυ μὲν οὖν. — *Δ.* φέρε δὴ πρὸς θεῶν, ἡ 415 R II.
ναυτικὴ οὐ τέχνη ἐστὶν, ἀλλ' ἧττόν τι τῆς κεραμευτικῆς ἢ τῆς μαγειρικῆς τυγχάνοι ἂν τοῦδε τοῦ ὀνόματος; — *Α.* οὐχ ἧττον ἴσως. — *Δ.* ἆρ' οὖν ἐν νηὶ μεγάλῃ πολλὰ ἱστία ἐχούσῃ καὶ φόρτον πολὺν καὶ ἀνθρώπων ἐπιβατῶν ὅμιλον εἷς ναύτης καλῶς πράττοι ἂν, καὶ συμφέροι αὐτῷ μηδένα ἄλλον ἐν τῇ νηὶ πλεῖν μήτε μᾶλλον αὐτοῦ μήτε ἔλαττον ἐπιστάμενον τὰ ναυτικά· ἂν δὲ πολλοὶ ὦσιν, ἀσύμφοροι ἀλλήλοις ἔσονται καὶ πρὸς βλάβης, καὶ διὰ τοῦτο ἐν νηὶ μισοῦσιν ἀλλήλους οἱ
7 πλείονες ναῦται; — *Α.* τοῦτο μὲν ἕτερον τὸ τῶν ναυτῶν. ἀλλὰ κυβερνήτης γε οἶμαι κυβερνήτην οὐκ ἂν ἥδοιτο ὁρῶν συμπλέοντα αὑτῷ. — *Δ.* πότερον ὅταν χειμὼν ἰσχυρὸς ᾖ καὶ μὴ κατισχύῃ τοῖν πηδαλίοιν ἑκατέρου διὰ γῆρας ἢ διὰ βίαν 652 M.
τῆς θαλάττης, οὐδὲ τότε φιλεῖ κυβερνήτην ἄλλον οὐδ' εὔχεται φανεῖσθαι τὸν διαδεξόμενον, οὐδ' ὅταν κατακοιμηθῆναι δέηται πολλὰς ἐφεξῆς ἀγρυπνῶν νύκτας καὶ ἡμέρας· ἀλλὰ καὶ τότε ὁμοίως μισεῖ καὶ ζημίαν αὑτοῦ νενόμικεν, εἰ κυβερνήτης ἐν τῇ νηὶ ἕτερός ἐστιν; — *Α.* οὐκ ἂν ἴσως τότε μισοῖ. πῶς γάρ; ἀλλ' ἡμεῖς οὐ περὶ ναυτιλίας οὐδὲ περὶ τῶν ἐν θαλάττῃ
8 λέγομεν. — *Δ.* εἶεν. οὐκοῦν ὅ γε ἰατρὸς ἐπὶ γῆς ἰᾶται καὶ τέχνην οὐδὲν ἐλάττονα ἔχει τῶν τεκτόνων. — *Α.* τί οὖν δὴ τοῦτο; — *Δ.* ἆρά γε δοκεῖ σοι βούλεσθαι μόνος ἂν εἶναι τὴν τέχνην ἐπιστάμενος ἐν πόλει τηλικαύτῃ τὸ μέγεθος, καὶ ταῦτα πολλῶν νοσούντων; — *Α.* τί δὲ κωλύει βούλεσθαι μόνον 416 R II.
εἶναι; τοῖς μὲν γὰρ ἄλλοις ἴσως χεῖρον οὐ δυναμένοις ὑφ' ἑνὸς ἰατρεύεσθαι· τὸ δέ γε ἐκείνου τιμιώτερον οὕτως. οὐδὲ

Anonym. apud Iacobs., αὐτῶν reliq. ‖ 4. ἡ ναυτικὴ. εἰ ναυτικὴ HC, τῇ ναυτικῇ M. ‖ 5. οὐ τέχνη ἐστὶν, ἀλλ' Pflugk. p. 13, τέχνη ἐστὶν HC, τέχνη ἐστὶν, ἀλλ' BM. vmr, τέχνη; — *Δ.* ἔστιν. — *Α.* ἀλλ' Reisk. ‖ κεραμευτικῆς. κεραμικῆς B. ‖ 6. οὐχ ἧττον ἴσως. ἆρ' Pflugk. l. l., οὐχ ἧττον. ἴσως γὰρ reliq. ‖ 7. μεγάλῃ. μεγάλῳ C. ‖ 8. ἀνθρώπων. ἄλλον Pflugk. ‖ 10. ἔλαττον. ἔλασσον H. ‖ 11. ἀσύμφοροι. ἀσύμφθοροι B. ‖ 12. πρὸς βλάβης. ἐπὶ βλάβης C, ἐπιβλαβεῖς H. in Cod. Vat. 1336 vulgata est. item in Cod. 124, at mrg. habet ἐπιβλαβεῖς. — 7, 2. κυβερνήτης γε οἶμαι om. HC. ‖ ἥδοιτο Selden., ἡγοῖτο reliq. ‖ 3. αὑτῷ. sic dedi. αὐτῷ reliq. ‖ πότερον. πρότερον B. ‖ χειμὼν. χιμὼν M. ‖ 4. μὴ. οὐ HC. ‖ κατισχύῃ. κατισχύσῃ BM. marg. m. ‖ 5. εὔχεται. δέχεται H. ‖ 6. φανεῖσθαι. φανίσθαι M. ‖ διαδεξόμενον. διδαξόμενον M. ‖ 8. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ εἰ om. BM. ‖ 9. ἐστιν om. BM. ‖ 10. ναυτιλίας. ναυτηλίας vm. — 8, 1. ἐπὶ γῆς om. HC. ‖ 3. ἂν a corr. add. in M. ‖ 5. τί δὲ HCM, τί δαὶ reliq. ‖ 6. μὲν γὰρ HBM, γὰρ om. reliq. ‖ 7. γε. τε M.

γαρ εἰπεῖν ἔστιν, ἡλίκων ἂν καὶ ὅσων μισθῶν τυγχάνοι μόνος
9 ἐν τοσούτοις νοσοῦσιν ἱκανὸς ὢν ἰᾶσθαι. — Δ. ἀλλ' οὐ μαινόμενον ἰατρὸν λέγω σοι. — Α. τί δέ; μαινομένου σοι δοκεῖ τὸ ἐπιθυμεῖν σφόδρα τιμᾶσθαι καὶ πολλὰ χρήματα λαμβάνειν; — Δ. ὅταν γε αὐτὸς ὑπὸ ληθάργου ἐχόμενος ἢ φρενίτιδι περιπεσὼν χαίρῃ, ὅτι οὐδένα ἔχοι τὸν ἰασόμενον οὐδὲ τὸν δώσοντα μανδραγόραν πιεῖν ἢ ἄλλο φάρμακον ὑγιεινὸν, ἵνα δὴ μόνος ἔχῃ τοὺς ἐν τῇ πόλει μισθούς τε καὶ τιμάς. εἰ δὲ δὴ σὺν αὐτῷ καὶ τὰ παιδία νοσοῖ καὶ ἡ γυνὴ καὶ οἱ φίλοι πάντες ἐπισφαλῶς, ἆρα καὶ τότε εὔχοιτ' ἂν μηθένα ἄλλον ἰατρὸν εὑρεθῆναι τὸν βοηθήσοντα· ἐὰν δὲ φανῇ τις, κατὰ τὸν Ἡσίοδον κοτέειν μέλλει καὶ ἐχθρὸν ἡγεῖσθαι τὸν αὑτοῦ
10 σωτῆρα καὶ τῶν φιλτάτων; φέρε, ἐὰν δὲ συμβῇ πρᾶγμα τοιοῦτον, ὁποῖόν ποτε συνέτυχε περὶ τοὺς Αἰγυπτίους ἰατρούς; ἐκεῖνοι γὰρ ἰώμενοι Δαρεῖον τὸν Πέρσην, ὡς ἔτυχεν αὐτῷ πεσόντι ἀπὸ τοῦ ἵππου μεταχωρήσας ὁ ἀστράγαλος, οὐχ οἷοί τε ἦσαν ἰᾶσθαι κατὰ τὴν αὑτῶν τέχνην, ἀλλ' εἰς ἀγρυπνίας τε καὶ ἀλγηδόνας δεινὰς ἐνέβαλον αὐτὸν ἕλκοντες καὶ βιαζόμενοι τὸ ἄρθρον. τούτους μὲν οὖν ἐκέλευσε φυλάττειν, ὅπως 653 M
ἀποθάνοιεν στρεβλωθέντες. πυθόμενος δ' ἐν τοῖς αἰχμαλώτοις εἶναί τινα Ἕλληνα ἐπιχειροῦντα ἰᾶσθαι, καλέσας αὐτὸν
11 ὑπὸ ἀμηχανίας ἐκέλευσεν, εἴ τι ἔχοι, βοηθεῖν. ἦν δὲ ἄρα 417 R II
Δημόδοκος ὁ Κροτωνιάτης, ὅσπερ ἄριστος ἐδόκει τῶν τότε ἐν τοῖς Ἕλλησιν ἰατρῶν· ὃς καὶ παραχρῆμα μὲν καθυπνῶσαι αὐτὸν ἐποίησεν, εἶτα καταπλάττων καὶ καταιονῶν καὶ τἆλλα ἐπιμεληθεὶς ὀλίγων ἡμερῶν ὑγιῆ ἀπέδειξεν. κελεύσαντος δὲ

8. μόνος BM (corr. εἰ μόνος). Reisk., εἰ μόνος reliqui, unde εἷς μόνος Iacobs. Add. p. 190, ὁ μόνος Pflugk. ‖ 9. ἱκανὸς ὤν. ἱκανῶς ὢν M, δύναται HC. — 9, 2. σοι om. H. ‖ τί δέ HCM, τί δαί reliq. ‖ 4. ὅταν γε HCM, ἀλλ' ὅταν γε reliq. ‖ αὐτὸς. αὐτὸς νοσοῖ Reisk., αὐτὸς ᾖ Iacobs. ‖ ληθάργου. ληθαργοῦς M. ‖ 5. χαίρῃ H (corr. χαίρει). BM. Pflugk., χαίρει reliq. ‖ ἔχοι. ἔχει r. ‖ 6. πιεῖν. ποιεῖν M. ‖ 8. νοσοῖ. νοσεῖ HC. ‖ 9. ἆρα. sic dedi. ἄρα reliq. ‖ εὔχοιτ' ἄν. εὔχοιτο H. ‖ 11. μέλλει om. HC, μέλλειν M. ‖ αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 12. τῶν BHCM. r, τὸν vm. — 10, 4. οἷοί. οἷόν C. ‖ 5. αὑτῶν. sic dedi. αὐτῶν reliq. ‖ 6. ἀλγηδόνας δεινὰς HCM, δεινὰς om. reliq. ‖ 7. ὅπως. ὅπως ἂν C. ‖ 9. ἐπιχειροῦντα. ἔμπειρον ὄντα Selden. — 11, 2. Δημόδοκος. Δημοδόκης BM. ‖ ὅσπερ ἄριστος. ὃς περιάριστος M. ‖ 3. μὲν om. BM. ‖ καθυπνῶσαι. ὑπνῶσαι H. ‖ 4. εἶτα om. BM. ‖ καταπλάττων. καταπλάττον m. ‖ καταιονῶν. κατεονῶν M. ‖ τἆλλα HC, τὰ ἄλλα reliq. ‖ 5. ὀλίγων BM, δι' ὀλίγων reliq.

Δαρείου λαβεῖν ὅ τι βούλεται τοὺς ἰατροὺς παρῃτήσατο ἀφεῖναι αὐτόν. καὶ μέντοι ἀφείθησαν ἐκείνου δεηθέντος. πότερον οὖν τότε ἐφθόνουν τῷ Δημοδόκῳ καὶ ἐχθρὸν ἡγοῦντο, ᾗ φησιν Ἡσίοδος ἐπὶ τῶν κεραμέων ἢ τεκτόνων, λυσιτελεῖν νομίζοντες αὐτοῖς, εἰ μηδεὶς ἄλλος ἰατρὸς ἐφάνη βασιλέα ἰασάμενος, ἢ σφόδρα ἠγάπων καὶ χάριν ᾔδεσαν; — Δ. εἰκὸς μὲν
12 ἦν χάριν εἰδέναι. — Δ. καὶ μὴν θωρακοποιοί εἰσιν ἐν ταῖς πόλεσι καὶ κρανοποιοὶ καὶ τειχοποιοὶ καὶ δορυξόοι καὶ ἕτεροι πλείους· εἰ οὖν τούτοις λυσιτελεῖ ἕνα ἕκαστον ἐν ἑκάστῃ τῶν πόλεων εἶναι τῆς τέχνης δημιουργὸν μᾶλλον ἢ τοὺς ἱκανούς, ἡδέως ἔγωγ' ἂν πυθοίμην. δῆλον γάρ, ὡς πολεμίων ἐπιόντων καὶ μήτε τῶν τειχῶν ἑστηκότων μήτε ὡπλισμένων ἁπάντων
13 ἀναγκάζοιντ' ἂν ἄνοπλοι καὶ ἀτείχιστοι διακινδυνεύειν. ὥστε ἁλούσης τῆς πόλεως οὐκ ἂν ἴσως οὗτοί γε ἀποθάνοιεν, ληφθέντες δὲ καὶ δεθέντες προῖκα ἂν ἐργάζοιντο τοῖς πολεμίοις πρὸς ἀνάγκην, ἀνθ' ὧν πρότερον θρυπτόμενοι πολλῆς τιμῆς ἀπεδίδοντο τούς τε θώρακας καὶ τὰ κράνη καὶ τὰ δόρατα, καὶ γνῷεν ἄν, ὅτι οὐκ ὀρθῶς οὐδ' ἐπ' ἀγαθῷ ἐφθόνει καὶ ἐμήνιε διὰ τὴν τέχνην οὔτε χαλκεὺς χαλκεῖ οὔτε τέκτονι τέκτων, οὐδὲ λῷόν τε καὶ ἄμεινον ἦν αὐτῷ μόνον ἢ σὺν ὀλίγοις
14 εἶναι τῆς τέχνης ἐργάτην. ἀλλὰ δὴ τοῖς μὲν ἄλλοις σχεδὸν 418 R II.
οὐκ ἀεὶ βέλτιον, ὥς φησι βούλεσθαι αὐτοὺς Ἡσίοδος, μόνοις δὲ τοῖς κεραμεῦσι καὶ μαγείροις τε καὶ βαφεῦσι καὶ πορνοβοσκοῖς. οὐκοῦν ἡ ζηλοτυπία καὶ ὁ φθόνος καὶ τὸ μηδένα ἄλλον ἐθέλειν πράττειν τὸ αὐτὸ ἔργον μαγειρικόν τε καὶ βα- 654 M.

6. λαβεῖν. λαθεῖν C. ‖ 8. τότε. πότε BCM. ‖ τῷ Δημοδόκῳ BCM, τῷ om. reliq. ‖ 10. αὐτοῖς. sic dedi. αὐτοῖς reliq. — 12, 1. θωρακοποιοί. θορακοποιοί M. ‖ 2. καὶ τειχοποιοὶ om. HC, in M mrg. add. ‖ 3. ἕνα. ἵνα C. — 13, 2. οὗτοί γε. γε οὗτοι C. ‖ 3. δεθέντες. δοθέντες M. ‖ 4. θρυπτόμενοι. καὶ ῥυπτόμενοι C, θρυπτόμενοι καὶ M. ‖ 6. ἂν om. B. ‖ ἐφθόνει. ἐφρόνει BCM. ‖ 7. χαλκεὺς χαλκεῖ HC, χαλκεὺς χαλκείου M, χαλκεῖ χαχλεὺς Reisk., χακλεῦσι χαλκεὺς reliq. ‖ 8. οὐδὲ λῷόν. sic dedi. οὔτε λώιόν reliq. ‖ τε καί. τι καί HCM. ‖ ἦν om. B. ‖ μόνον. μόνῳ Pflugk. ‖ ἢ om. B. ‖ 9. ἐργάτην Obs. p. 63, ἐργάταις reliq. — 14, 2. βέλτιον, ὥς Seldenus (idem ei φησιν οὓς servato v. βελτίους), βελτίους reliq. ‖ φησι. φήσει BM. hunc locum sic scribit Casaubonus: οὐκ ἂν εἴη βέλτιον φῄς (vel φήσεις) βούλεσθαι τὸ τοῦ Ἡσιόδου. verum assecutus est Seldenus, nam quod φασιν apud Wolfium legitur, typographi errorem esse existimo. ‖ αὐτοὺς HCM. Selden., αὐτοῖς B, αὐτοῦ reliq. ‖ 3. βαφεῦσι. βρέφεσιν M. ‖ 4. μηδένα. μηδὲν C. ‖ 5. αὐτὸ HCM, αὐτοῦ reliq. ‖ μαγειρικόν. μαγιρικὸν M. ‖ βαφικόν. βαφικόν τε C.

φικὸν καὶ κεραμευτικὸν καὶ ἔτι μᾶλλον πορνοβοσκοῖς προσ-
ῆκον [ᾗπερ ἰατροῖς τε καὶ κυβερνήταις ἢ ἄλλο τι σπουδαιότε-
ρον πράττουσιν]. εἶεν. ἀλλ' εἰ κυβερνήταις τε καὶ ἰατροῖς
καὶ οἷς νῦν δὴ ἐλέγομεν οὐ βέλτιον ἐν σπάνει τῶν ὁμοτέχνων
ζῆν, ἦπου τοῖς γε φρονίμοις καὶ σοφοῖς ἀνδράσι λῷόν τε
15 καὶ ἄμεινον ὁρᾶσθαι μόνοις; — Α. οὐδαμῶς. — Δ. ὅτι πρὸς
τῷ μεγαλόφρων τε εἶναι καὶ ἄλυπος ὁ νοῦν ἔχων καὶ φιλάν-
θρωπος καὶ τὴν ἀρετὴν ἐπίστασθαι συμφέρουσαν αὑτῷ τήν
τε αὑτοῦ καὶ τὴν τῶν πέλας καὶ μηδέποτε ἂν ὑπὲρ τούτων
μηδένα μηδὲ τῶν φαυλοτέρων ἄλλον ἄλλῳ φθονεῖν, ἃ κοινὰ 119 R II.
ὑπάρχει πᾶσιν ἀγαθά· πρὸς τούτοις πᾶσιν οὐδὲ τῶν ἄλλων,
ἐφ' οἷς ὅ τε φθόνος γίγνεται καὶ τὸ βασκαίνειν ἀλλήλοις τοὺς
πολλούς, οὔτε θαυμάζει τὸ παράπαν οὐδὲν οὔτε ἄξιον σπου-
16 δῆς νενόμικεν, οἷον δὴ χθὲς περὶ πλούτου ἐλέγομεν. ὥστε
οὐδ' ἂν φθονήσειεν οὐδενὶ χρυσοῦ ἢ ἀργύρου ἢ βοσκημάτων
ἢ οἰκίας ἢ ἄλλου τῶν τοιούτων, ὑπὲρ ὧν ἐλέγομεν· ὥς φησιν
ἕτερος ποιητὴς οὐχ αὑτοῦ γνώμην ἀποφαινόμενος, ἀλλὰ τὴν
τῶν ἀνθρώπων ἐξηγούμενος δόξαν·

οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·

6. κεραμευτικὸν BCM, κεραμικὸν reliq. ‖ ἔτι. εἴ τι M. ‖ 7. [ᾗπερ ἰατροῖς τε καὶ κυβερνήταις ἢ ἄλλο τι σπουδαιότερον πράττουσιν] inducenda. ἢ τοῖς pro ἢ est in HC. ‖ 8. ἀλλ' εἰ. ἄλλῃ M. ‖ 9. δὴ ἐλέγομεν. διαλέγομεν B, διελέγομεν marg. m. ‖ ὁμοτέχνων. ὁμοίων B. mrg. m, ὁμοθέων M. ‖ 10. ἦπου. εἶπου C, ἤπου M. possit μή που et infra ᾗ λῷόν. ‖ τοῖς γε. sic dedi. τοῖς τε reliq. ‖ λῷόν τε r, ἢ λώϊόν τι H, ἢ λῷόν τε CM, λῷόν τι vm. ‖ 11. μόνοις οὐδαμῶς om. BM. — 15, 1. ὅτι M, ἔτι reliqui. vulgo haec ab antecedentibus separantur, quasi alius orationis initium. exitum hunc esse Orat. 77 demonstravi in libello, quem G. Hermanno gratulaturus edidi a. 1840. p. 7. ea autem suspicio nunc Codice H et C confirmatur. nam C explicit post v. οὐδαμῶς, in H sequitur Or. VII. itaque vetustus liber, unde C et fortasse alii multi originem duxere, in fine mancus erat. postea aut ipsius illius libri extrema folia reperta sunt, aut e plenioribus libris quae deerant suppleta; sed latuit librarios non novam hanc esse commentationem, sed prioris partem. aliud argumentum suppeditant BM, in quibus desunt duo extrema antecedentis orationis verba; infit autem in M haec orat. a v. ὅτι, cuius loco reliqui ἔτι habent. porro M in titulo omittit $\bar{\beta}$. cui quidem haud multum tribuendum est, quoniam in dissertationibus de Gloria quoque numerus omissus est. quamquam istic a correctore additus est, hoc loco non est. ‖ 2. τῷ. τὸ B. ‖ 3. καὶ τὴν. τῷ καὶ τὴν Selden. ‖ 5. φθονεῖν Wyttenb. ad Plut. Moral. p. 653 Oxon. idem antecedentia sic scribit: μηδενὶ μηδὲ τῶν φαυλοτέρων ἄλλῳ (om. verbo ἄλλον), φρονεῖν reliqui, unde ἄλλον ἄλλο Casaub. ‖ ἃ B. Wyttenb. l. l., ἢ ἃ reliq. ‖ 7. ὅ τε M. Obs. p. 63, ὅ om. reliq. — 16, 6. οἷσίν τ' Od. 17, 423, οἷοι reliqui, at M in

ὡς μόνον καλουμένων αὐτῶν ἀφνειῶν, ἀλλ' οὐκ ὄντων κατ'
17 ἀλήθειαν. εἶεν. οὐκοῦν χρημάτων μὲν κρείττων ὁ γενναῖος
καὶ τέλειος ἀνὴρ ἡμῖν δοκεῖ· περὶ δὲ δόξης τυχὸν ἐρίζοι ἂν
καὶ φθονοῖ, οὓς ἂν τιμωμένους μᾶλλον παρὰ τῷ πλήθει
βλέπῃ καὶ μειζόνων ἐπαίνων τυγχάνοντας; ἢ οὐκ ἀγνοεῖν
φήσομεν, ὥς ἐστιν ἡ δόξα ὁ παρὰ τῶν πολλῶν ἔπαινος·
εἰ δὲ τῶν πολλῶν, δηλονότι τῶν οὐκ εἰδότων; — *Α.* οὐ- 655 M.
18 δαμῶς τοῦτό γε εἰκὸς αὐτὸν ἀγνοεῖν. — *Δ.* φέρε, οὐκοῦν
δοκεῖ σοι ἀγαθὸς αὐλητὴς ἥδεσθαι ἐπὶ τῇ τέχνῃ καὶ μέγα
φρονεῖν ὑπὸ ἀμούσων καὶ ἀτέχνων ἐπαινούμενος, κἂν εἰ
περιστάντες αὐτὸν παῖδες, συφορβοὶ καὶ ποιμένες θαυμάζοιεν
καὶ κροτοῖεν, ἐπαίρεσθαι ἐπ' αὐτῷ τούτῳ καὶ τοῦ παντὸς
ἄξιον ἡγεῖσθαι τὸν παρ' ἐκείνων ἔπαινον; ἀλλὰ μὴν ἐδή-
λωσεν ὁ Θηβαῖος αὐλητής, οὐδὲ τῷ θεάτρῳ πάνυ προσ-
έχων τὸν νοῦν οὐδὲ τοῖς κριταῖς ἀπείροις οὖσιν αὐλήσεως,
καὶ ταῦτα περὶ ἄθλου καὶ νίκης ἀγωνιζόμενος, ἀλλ' ὅμως 420 R II.
οὐδὲ μικρὸν ἐκβῆναι τοῦ ῥυθμοῦ τοῦ πρέποντος ἐτόλμησεν·
19 αὐτῷ δὲ καὶ ταῖς Μούσαις αὐλεῖν ἔφη. τί οὖν; οἴει τὸν
Ὀρφέα, τὸν τῆς Μούσης υἱόν, εἰ ἀληθὴς ὁ κατ' αὐτὸν μῦθος,
μᾶλλον ἂν χαίρειν τῶν ὀρνίθων καταπετομένων πρὸς αὐτὸν
ᾄδοντα καὶ τῶν θηρίων κηλουμένων ὑπὸ τῆς φωνῆς καὶ παρ-
εστηκότων πρᾴως καὶ ἀθορύβως, ὁπότε ἄρξαιτο μελῳδεῖν,
ἔτι δὲ τῶν δένδρων προσιόντων ἅμα τῷ καρπῷ τε καὶ ἄνθει
καὶ τῶν λίθων κινουμένων καὶ ξυνιόντων, ὥστε μεγάλα ἕρ-
ματα ἀθροίζεσθαι λίθων πλησίον αὐτοῦ, μᾶλλον ἐπὶ τούτοις
γιγνομένοις ὁρῶντα τέρπεσθαι καὶ μεγαλαυχεῖσθαι, νομίζοντα
τῆς μουσικῆς ἥκειν ἐπ' ἄκρον, ἢ εἴπερ ἡ μήτηρ αὐτὸν ἡ Καλ-
λιόπη κιθαρίζοντα ἐπῄνεσέ τε καὶ εἶπε καταψῶσα ἅμα τὴν
κεφαλήν, ὡς ἱκανῶς ἔχοι μουσικῆς καὶ σοφώτατος εἴη τὰ τῆς
20 τέχνης; ἐγὼ μὲν γὰρ οἶμαι μᾶλλον ὑπὸ Φιλάμμωνος αὐτὸν
ἐθέλειν ἐπαινεθῆναι περὶ μουσικήν, ἢ εἴ τις ἦν τῶν τότε ἐμ-

rasura. ‖ ἀφνειοί. ἄφνιοι M. — 17, 1. οὐκοῦν. οὔκουν M. ‖ 3. ἐρίζοι ἄν. sic dedi. ἐριζοίαν M, ἐρίζοι reliq. ‖ 4. βλέπῃ. βλέπει M. ‖ μειζόνων. μιζόνων M. ‖ 5. ἐστιν. ἔστην M. ‖ 7. αὐτόν. αὐτῶν B. — 18, 2. ἐπὶ τῇ τέχνῃ Reiskius transponebat post φρονεῖν. ‖ 3. ἀμούσων καὶ ἀτέχνων BM, ἀτέχνων καὶ ἀμούσων reliq. ‖ 5. τοῦ Reisk., τούτῳ B, τοῦτο reliq. ‖ 10. μικρόν. σμικρὸν B. — 19, 7. ἕρματα. ἕρμαια Casaub. ‖ 8. μᾶλλον. μᾶλλόν τι Selden. ‖ τούτοις. τούτοις οἴει Reisk. ‖ 11. καταψῶσα. καταψήσασα BM (corr. vulg.). — 20, 2. περὶ μουσικήν. περὶ μουσικῆς r.

πειρος κιθαρῳδίας, ἢ ξυμπάντων ἁπλῶς τῶν θηρίων τε καὶ
ὀρνέων· ἀλλ' οὐδὲ τῶν κύκνων ἐπιβοώντων καὶ συμφθεγγο-
μένων φροντίσαι ἂν οὐδέν, ὅτι οὐκ εἶχον τέχνην οὐδὲ ἐπι-
στήμην περὶ τὸ μελῳδεῖν. εἶεν. τί δέ; ὑγείας μάρτυρα
καὶ ἐπαινέτην βούλοιτ' ἂν ὁ νοῦν ἔχων ἀνὴρ ἕνα λαβεῖν,
ὅστις ἰατρικὸς καὶ περὶ σώματος θεραπείας ἔμπειρος, ἢ πολ-
λὰς μυριάδας ἀνθρώπων οὐδὲν ἐπαϊόντων, οἵ, ἂν οὕτω
τύχῃ, πεπλησμένον ὁρῶντες αὐτὸν ὑπὸ νόσου καὶ οἰδοῦντα
καὶ ὕπουλον μακαρίζοιεν ὡς Πουλυδάμαντα τὸν Θετταλὸν καὶ 421 R II 606 M.
21 Γλαῦκον τὸν Καρύστιον, ἡγούμενοι διαφέρειν εὐεξίᾳ; ἀλλὰ
εἰς μὲν αὔλησιν καὶ κιθαρῳδίαν καὶ τὸ περιεῖναι παλαίοντα
ἢ πυκτεύοντα τῶν ἄλλων ἁπάντων ὁ τῶν ἐπισταμένων ἔπαι-
νος ἥδιστος τοῖς εἰδόσι καὶ πλείστης σπουδῆς ἄξιος· εἰς δὲ
φρόνησιν καὶ δικαιοσύνην καὶ ξύμπασαν ἀρετὴν ἱκανὸς εὐφρᾶ-
ναι τὸν νοῦν ἔχοντα καὶ ἀποπληρῶσαι τὴν διάνοιαν ὁ τῶν
22 ἠλιθίων καὶ τῶν ἐπιτυχόντων; — *Α.* οὐδαμῶς. — *Δ.* καὶ πό-
τερον οἴει τὸν ἔμπειρον τῆς τεκτονικῆς τέχνης, εὐθύ τι ἐργά-
σασθαι βουλόμενον, ἑνὶ προσαρμόσαντα κανόνι καὶ μιᾷ στάθμῃ
σταθμησάμενον ἥδιον ἔχειν καὶ πεποιθέναι περὶ τῆς ὀρθότη-
τος μᾶλλον, ἢ πολλοῖς τε καὶ ἀνωμάλοις ξύλοις ἀπευθύνοντα
καὶ καταμετροῦντα; φέρε πρὸς Διός, ἆρα ἀκήκοας ζωγράφου
χαρίεντος ἔργον γραφήν τινα προθέντος εἰς τὸ φανερὸν ἵππου
23 θαυμαστήν τε καὶ ἀκριβῶς ἔχουσαν; φασὶ γὰρ αὐτὸν κελεῦ-
σαι παραφυλάττειν τὸν παῖδα τοὺς ὁρῶντας, εἰ ψέγοιεν ἢ
ἐπαινοῖεν, καὶ μνημονεύσαντα ἀπαγγεῖλαι πρὸς αὐτόν. τῶν
δὲ ἕκαστον ἄλλον ἄλλο τι λέγειν περὶ τῆς γραφῆς καὶ αἰτιᾶ-
σθαι, τὸν μέν τινα οἶμαι τὴν κεφαλήν, τὸν δὲ τὰ ἰσχία, τὸν 422 R II

4. *συμφθεγγομένων* Selden., *συμφθειρομένων* reliq. ‖ 6. *εἶεν* BM. Reisk., *οἷον* reliq. ‖ *τί δέ* M. Reisk., *τί δαί* reliq. ‖ *ὑγείας. ὑγίας* M. ‖ 7. *ἐπαινέτην. ἐπαινετεῖν* M. ‖ *ἕνα λαβεῖν* M. Obs. p. 63, *ἀναλαβεῖν* reliq. ‖ 9. *οἳ* Casaub. r, *οἵ* M (mrg. *ὣ*), *ὣ* B, *ᾧ* vm. ‖ 10. *πεπλησμένον. πεπρημένον* BM. ‖ 11. *Πουλυδάμαντα* BM, *Πολυδάμαντα* reliq. ‖ 12. *εὐεξίᾳ. εὐεξίαν* mrg. m. — 21, 2. *τὸ περιεῖναι* Reisk., *τὸ* om. reliqui. in r nescio quomodo v. *περιεῖναι* transpositum post *ἁπάντων*. ‖ *ἢ* M, *δι' ἢ* v, *δ' ἢ* reliqui, unde *νὴ Δί' ἢ* Reisk. ‖ 3. *ἁπάντων* r, *ἁπάντων οὐδαμῶς* reliqui. *οὐδαμῶς*, quod a v. 7 huc aberravit, iam m uncis inclusit. ‖ 4. *πλείστης. πλήστης* M. ‖ *εἰς* BM. Casaub. r, *εἰ* vm. ‖ 6. *ὁ τῶν* r, *ὁ* om. reliq. ‖ 7. *οὐδαμῶς* r, om. reliq. — 22, 2. *εὐθύ. εὐθύς* M. ‖ 3. *στάθμῃ* om. M. ‖ 4. *ἔχειν. ἔχει* B. ‖ *πεποιθέναι* BM. r ex Interpr., *πεπονθέναι* vm. ‖ 7. *προθέντος* BM. r ex Interpr., *προσθέντος* vm.

δὲ περὶ τῶν σκελῶν, ὡς, εἰ τοιαῦτα ἐγεγόνει, πολὺ κάλλιον
ἂν εἶχεν. ἀκούσαντα δὲ τὸν γραφέα τοῦ παιδὸς, ἐργασάμε-
νον ἄλλην γραφὴν κατὰ τὴν τῶν πολλῶν δόξαν καὶ ἐπίνοιαν
κελεῦσαι θεῖναι παρὰ τὴν πρότερον. εἶναι οὖν πολὺ τὸ δια-
φέρον. τὴν μὲν γὰρ ἀκριβέστατα ἔχειν, τὴν δὲ αἴσχιστα καὶ
24 γελοιότατα καὶ πᾶσι μᾶλλον ἢ ἵππῳ ἐοικέναι. δῆλον οὖν,
ὡς, εἰ σφόδρα προσδεήσεται τοῦ παρὰ τῶν πολλῶν ἐπαίνου
τῆς αὐτοῦ γνώμης ἡγούμενος κυριώτερον τὸν ἐκείνων ψόγον
τε καὶ ἔπαινον, οὕτως ἕκαστα πράξει καὶ προθυμήσεται τοι-
οῦτον παρέχειν ἑαυτὸν, ὁποῖον ἀξιοῦσιν οἱ πολλοί. καὶ δῆλον,
ὅτι ἔσται ταχὺ μάλα ἐοικὼς ἀντ' ἐκείνου τοῦ πρότερον ἵππου
τοῦ φαύλως καὶ κατὰ τὴν τοῦ ἑνὸς εἰργασμένου τέχνην τῷ
θαυμαστῷ καὶ πολυτέχνῳ δημιουργήματι, μηδὲ αὐτοὺς ἐκεί- 651 M.
νους ἀρέσκοντι τοὺς δημιουργοὺς, ὑπὸ τῆς ἁπάντων ἐπινοίας
25 καὶ δημιουργίας συγκειμένῳ. καθάπερ ὁ μῦθός φησι τὴν
Πανδώραν οὐχ ὑφ' ἑνὸς τῶν θεῶν πεπλασμένην, ἀλλὰ κοινῇ
ὑπὸ πάντων ἄλλο ἄλλου δωρουμένου καὶ προστιθέντος, οὐδα-
μῶς σοφὸν οὐδ' ἐπ' ἀγαθῷ τὸ πλάσμα γενόμενον, παντοδα-
πὸν δὲ καὶ ποικίλον τοῖς λαβοῦσιν ἀποβῆναι κακόν. ὅπου δὲ 423 R II.
θεῶν ὄχλος καὶ δῆμος κοινῇ δημιουργῶν καὶ ἐργαζόμενος οὐχ
οἷός τε ἐγένετο καλῶς τε καὶ ἀμέμπτως ἐργάσασθαι· τί ἂν
φαίη τις τὸν ὑπό γε ἀνθρωπίνης δόξης πλαττόμενον καὶ δη-
μιουργούμενον βίον τε καὶ ἄνδρα; δῆλον οὖν, ὡς, εἴ τις ἔφυ
τῷ ὄντι φρόνιμος, οὐδὲν ἂν προσέχοι τῷ λόγῳ τῶν πολλῶν
οὐδὲ θεραπεύοι τὸν παρ' ἐκείνων ἔπαινον ἐξ ἅπαντος, ὅς γε
οὐδὲ μέγα οὐδὲ τίμιον οὐδὲ ἀγαθὸν ὡς ἔπος εἰπεῖν τοῦτόν
ποτε ἡγήσεται. μὴ νομίζων δὲ ἀγαθὸν βασκαίνειν ἐπ' αὐτῷ
26 τοῖς ἔχουσιν ἀδύνατος. οὔκουν τοιοῦτος ἡμῖν ὁ γενναῖος καὶ
σώφρων καὶ κεκολασμένος ἀνὴρ, πλούτους τε καὶ ἐπαίνους
καὶ στεφάνους Ὀλυμπικούς τε καὶ Πυθικοὺς καὶ γράμματα

23, 9. πρότερον. προτέραν Reisk. ‖ 10. ἀκριβέστατα. ἀκριβεστάτην M. — 24, 5. ἀξιοῦσιν. ἀξιώσουσιν Reisk. ‖ 7. φαύλως. τοῦ καλοῦ Casaub., καλῶς Seldenus. ‖ 8. μηδὲ. malim τῷ μηδὲ. — 25, 1. φησι. φασι B. ‖ 4. ἐπ' ἀγαθῷ BM. mrg. m, ἀγαθὸν reliq. ‖ πλάσμα BM (corr. πεπλασμένον). Pflugk., πεπλασμένον reliq. ‖ 6. καὶ alterum om. B. ‖ 10. τῷ. τὸ M. ‖ 11. ὅς γε. sic dedi. ὥστε reliq. ‖ 12. τοῦτόν ποτε. sic dedi. τοῦτον πώποτε r, τοῦτό ποτε reliq. ‖ 13. νομίζων. νομίζοντα Reiskius (aut in proximis ἀδυνατεῖ vel οὐ δύναται). ‖ 14. ἀδύνατος. sic dedi. ἀδύνατον reliq. — 26, 3. Ὀλυμπικούς BM, Ὀλυμπιακούς reliq. ‖ καὶ tertium om. M.

ἐν στήλαις καὶ μαρτυρίας ἐγγράφους δήμων καὶ βασιλέων
διώκων, ὅπως ἂν ᾗ περίβλεπτος καὶ φανερὸς, ἀλλ' εὐσταλής
τε καὶ ἄτυφος ὡς οἷόν τε χωρῶν διὰ τοῦ βίου, ταπεινὸς καὶ
κεκολασμένος αὐτὸς ὑπ' αὑτοῦ καὶ τῆς αὑτοῦ διανοίας, οὐθε-
νὸς ἔξωθεν κόσμου προσδεόμενος οὐδὲ ἐπιθέτου τιμῆς οὐδὲ
φαλάρων καὶ πτερῶν, ὥσπερ οἱ κακοὶ μισθοφόροι πτερὰ καὶ
λόφους ἀναλαβόντες καὶ Γοργόνας ἐπὶ τῶν ἀσπίδων καὶ τοῖς
δορατίοις ψοφοῦντες, ἔπειτα φεύγουσιν, εἰ μικρὸς καταλάβοι
27 κίνδυνος. οἵους πολλοὺς ἰδεῖν ἔστι τῶν οἰομένων εἶναι μα-
καρίων, ξεναγούς τινας καὶ δημαγωγοὺς καὶ σοφιστὰς, ἐν
θεάτροις καὶ παρὰ τοῖς μαθηταῖς καὶ κατὰ σκηνὰς ἐντὸς
στρατοπέδου μεγαλαυχουμένους, ὅταν τύχωσιν ὑποπιόντες τῆς
μεσημβρίας,

Τρώων ἀνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος 424 R II
στήσεσθαι·

τοὺς δὲ αὐτοὺς τούτους ἑνὸς ἀνθρώπου κατατρέχοντος καὶ
διώκοντος προτροπάδην φεύγοντας, ξύμπαντας οὐ φαινομέ- 655 R
28 νους ἐκείνου ἀξίους. ἀλλὰ μὴν οὐδ' ἡδονάς τινας σιτίων ἢ
ποτῶν ἢ ἀφροδισίων ἢ γυναικὸς κάλλος ἢ παιδὸς ὥραν τε-
θαυμακὼς καὶ τούτων ἐπιθυμῶν καὶ μεγάλα ἡγούμενος εὐδαι-
μονίζοι τοὺς τυγχάνοντας αὐτῶν, σατράπας καὶ δυνάστας
καὶ νὴ Δία βαναύσους τινὰς καὶ οἰκότριβας πεπλουτηκότας,
τοὺς μὲν ἀπὸ τῆς τέχνης, τοὺς δὲ τὰ τῶν δεσποτῶν ὑφαιρου-
μένους· αὑτὸν δὲ οἰκτείροι τῆς ἀπορίας τε καὶ ἐρημίας τού-
των, ἃ τῶν ἀνθρώπων ἡγοῖτο τῶν εὐτυχῶν· διὰ δὲ τοῦτο

4. μαρτυρίας BM (corr. μαρτυρίαις). Casaub., μαρτυρίαις reliq. ‖ ἐγγράφους BM. Casaub., ἐγγράφοις reliq. ‖ 6. οἷόν τε. οἴονται M. ‖ 8. ἐπιθέτου. ἐπὶ θεοῦ B. ‖ 9. πτερῶν. πετρῶν B. ‖ 11. ἔπειτα. ἐπὶ τὰ M. — 27, 3. ἐντὸς στρατοπέδου M, ἐν τῷ στρατοπέδῳ reliq. ‖ 4. ὑποπιόντες. sic dedi. ὑποπίνοντες reliq. ‖ 6. διηκοσίων B, διηκοσίοις M, διακοσίων reliq. ‖ 8. κατατρέχοντος. κατέχοντος BM. ‖ 10. ἐκείνου. Casaub. r, ἐκείνους reliq. — 28, 1. μὴν οὐδ'. μὴ δι' M (corr. μὴν δι'). malim μὴν οὐδ' ἄν. ἂν interponit Pflugkius infra post εὐδαιμονίζοι. ‖ σιτίων. σίτων M. ‖ 3. καὶ τούτων. καὶ in M a corr. add. ‖ μεγάλα. μέγα M. ‖ 5. οἰκότριβας BM. Vales. p. 78, οἰκοιότριβας reliq. ‖ 8. ἃ τῶν. sic dedi. ἃ om. reliq. ‖ ἡγοῖτο. καὶ ἡγοῖτο M. ‖ τῶν. sic dedi. οὐ τῶν reliqui. locum sic scribit Casaubonus: τούτων· ἑαυτόν τε τῶν ἀνθρώπων ἡγοῖτο οὐ cett. Seldenus: αὐτὸν δὲ οἰκτείρων — τούτων τῶν ἀθλιωτάτων ἡγοῖτο, οὐ τῶν εὐτυχῶν. Reiskius: ἀνθρώπων, καὶ τῶν ἀθλίων ἕνα ἑαυτὸν ἡγοῖτο. Iacobsius: αὐτὸν δὲ οἰκτείρων — τούτων τῶν ἀγαθῶν, ἡγοῖτο οὐ τῶν εὐτυχῶν. Geelius: τούτων τῶν ἀγαθῶν, καὶ (e M) ἡγοῖτο οὐ τῶν εὐτυχῶν. Pflugkius: ἐρημίας, καὶ τοῦτο τῶν ἀθλίων ἡγοῖτο, οὐ τῶν εὐτυχῶν.

ἐκείνοις φθονοῖ καὶ ἐπιβουλεύοι πάντα τρόπον καὶ εὔχοιτ' ἂν
29 ἀπολέσθαι αὐτούς. ἢ καὶ συγχωρήσωμεν τὸν γενναῖον ἄνδρα
καὶ μεγαλόφρονα τὸ τῶν κυνῶν τε καὶ ἵππων καὶ ἄλλων θη-
ρίων πεπονθέναι πάθος, ἃ οὐ δύναται κατέχειν ἑτέρων ἐμ-
πιπλαμένων τε καὶ ὀχευόντων, ἀλλὰ χαλεπαίνει καὶ ἀγανακτεῖ
καὶ ὀργίζεται τοῖς ἀπολαύουσι καὶ ἕτοιμα ἐπιπηδᾶν καὶ δάκνειν
καὶ κυρίττειν καὶ πάντα τρόπον ἀλλήλοις πολεμεῖν ἐστι περὶ
τῶν ἡδονῶν· κἀκεῖνον οὕτως ἔχειν φῶμεν, ὡς ὁμολογοῦντα 425 R II.
τούτων εἶναί τι σπουδαῖον καὶ τὸν Σαρδανάπαλον ἡγούμενον
ζηλωτὸν, ὃς ἔφη διατελέσαι τὸν βίον εὐωχούμενός τε καὶ
ὑβρίζων μετὰ εὐνούχων καὶ γυναικῶν, καὶ διὰ τοῦτο ζηλοτυ-
πεῖν αὐτὸν τὴν τῶν τράγων τε καὶ ὄνων εὐδαιμονίαν; —
30 Δ. μὴ γὰρ οὐδὲ εὐσεβὲς τὰ τοιαῦτα περὶ τοῦ μετρίου καὶ
πεπαιδευμένου διανοηθῆναί ποτε ἀνδρός. — Δ. οὐκοῦν εἰ μήτε
διὰ δόξαν μήτε διὰ χρήματα μήτε δι' ἡδονὰς βρώσεων ἢ πό-
σεων ἢ μίξεων αὐτὸν ἢ ἄλλον οἴεται μακάριον, μηδὲ ὅλως
εἶναί τι τῶν τοιούτων περιμάχητον ἢ τίμιον· οὐκ ἂν διαφέ-
ροιτο περὶ αὐτῶν οὐδ' ἂν φθονήσειεν οὐδενὶ ἐκείνων, οὐ
μᾶλλον ἢ τῆς ψάμμου τῆς ἐπὶ τοῖς αἰγιαλοῖς ἢ τῶν κυμάτων
τοῦ ψόφου τε καὶ ἤχου τοῖς πρὸς τῇ θαλάττῃ οἰκοῦσιν·
31 οὐδ' εἴ τῳ χρυσίον αὐτόματον ἐκ τοῦ οὐρανοῦ τὸν κόλπον
ἐμπλήσειεν, ὥσπερ τῇ Δανάῃ δή ποτε λέγουσιν ἐν οἰκήματι 659 M.
χαλκῷ φυλαττομένῃ χρυσίον ἐξαίφνης ἄνωθεν εἰσρυῆναι διὰ
τὸ κάλλος αὐτῆς· οὐδὲ εἰ χειμάῤῥους αὐτῷ ποθεν ἐπέλθοι
χρυσὸν πολὺν καὶ ἄθρουν καταφέρων, ὥσπερ ἰλὺν, καθάπερ
οἶμαί φασι Κροίσῳ πρότερον τὸν Πακτωλὸν διὰ μέσων ἀφι-

9. ἐκείνοις Casaub., ἐκεῖνος reliq. ‖ φθονοῖ. φθονοίη Casaub. — 29, 1. ἢ om. B. ‖ συγχωρήσωμεν M, συγχωρήσομεν reliq. ‖ 3. κατέχειν. κατέχειν ἑαυτὰ Reiskius. at conf. Orat. 52, § 16. ‖ 6. κυρίττειν. κιρύττειν (corr. vulg.) M. ‖ ἐστι περὶ. sic dedi. ἔτι περὶ reliqui, unde ἐστι. περὶ οὖν Reisk., εἴ γε περὶ (et infra φαμὲν pro φῶμεν) Pflugk. ‖ 7. κἀκεῖνον Casaub. r, κἀκεῖνο reliqui. maiorem distinctionem inter ἡδονῶν et κἀκεῖνον interposui, delevi post πολεμεῖν. ‖ 8. Σαρδανάπαλον. σαρδανάπαλλον M. ‖ ἡγούμενον. ἡγουμένων M. ‖ 9. ὅς. ὡς M. ‖ 11. αὐτόν. αὐτοῦ (vel αὐτὸν τῆς et εὐδαιμονίας) Casaub. — 30, 1. εὐσεβές. εὐσεβὲς ἢ Pflugk. p. 9. ‖ 3. μήτε δι' BM, δι' om. reliq. ‖ 6. οὐ μᾶλλον ἢ Reisk., οὐ μᾶλλον om. reliq. — 31, 2. δή ποτε M, δή om. reliq. ‖ 3. φυλαττομένῃ BM. Casaub., φυλαττομένην reliq. ‖ ἐξαίφνης. ἐξίφνης M. ‖ 4. χειμάῤῥους. χίμαρρος M. ‖ ἐπέλθοι. ἐπέλθῃ BM. ‖ 5. ἰλύν. εἰλὺν M. ‖ καθάπερ M, ὥσπερ reliq. ‖ 6. Κροίσῳ BM. Casaub., Κροῖσον reliq. ‖ μέσων. μέσον B.

κινούμενον Σάρδεων ἕτοιμα χρήματα κομίζειν, πλείω φόρον τε
καὶ δασμὸν ἢ ξύμπασα Φρυγία καὶ Λυδία καὶ Μαίονές τε
32 καὶ Μυσοὶ καὶ ξύμπαντες οἱ νεμόμενοι τὴν ἐντὸς Ἅλυος. οὐδέ
γε τὸν λαβόντα παρὰ Κροίσου τὴν δωρεὰν ἐκεῖνον Ἀλκμέωνα
ἐζήλωσεν οὔτε Σόλων οὔτε ἄλλος οὐδεὶς τῶν τότε σοφῶν ἀν-
δρῶν, ᾧ φασι τὸν Λυδὸν ἐπιτρέψαι τοὺς θησαυροὺς ἀνοίξαντα 126 R II
φέρειν αὐτὸν ὁπόσον βούλεται τοῦ χρυσοῦ. καὶ τὸν εἰσελ-
θόντα πάνυ ἀνδρείως ἐμφορήσασθαι τῆς βασιλικῆς δωρεᾶς,
χιτῶνά τε ποδήρη καταζωσάμενον καὶ τὸν κόλπον ἐμπλήσαντα
γυναικεῖον καὶ βαθὺν καὶ τὰ ὑποδήματα ἐξεπίτηδες μεγάλα
καὶ κοῖλα ὑποδησάμενον· τέλος δὲ τὴν κόμην διαπάσαντα καὶ
τὰ γένεια τῷ ψήγματι καὶ τὸ στόμα ἐμπλήσαντα καὶ τὰς γνά-
θους ἑκατέρας μόλις ἔξω βαδίζειν, ὥσπερ αὐλοῦντα τὴν τῆς
Σεμέλης ὠδῖνα, γέλωτα καὶ θέαν Κροίσῳ παρέχοντα καὶ
33 Λυδοῖς. καὶ ἦν τότε Ἀλκμέων οὐδεμιᾶς ἄξιος δραχμῆς ὡς
εἶχεν ἱστάμενος. οὔτε οὖν ἐπὶ τούτοις, ὡς ἔφην, ζηλοτυπή-
σειεν ἄν, οὔτε εἴ τινα βλέποι θαυμαζόμενόν τε καὶ ὑμνούμε-
νον ὑπὸ ἀνθρώπων μυρίων ἢ δισμυρίων, εἰ δὲ βούλει κρο-
τούμενον καὶ ταινιούμενον, κορωνιῶντα καὶ γαυριῶντα, κα-
θάπερ ἵππον ἐπὶ νίκῃ, παραπεμπόμενον ὑπὸ πλειόνων ἢ ὁπόσοι
προπέμπουσι τοὺς νυμφίους· αὐτὸς δὲ ἀδοξότερος μὲν εἴη τῶν
πτωχῶν, ἐρημότερος δὲ τῶν ἐν ταῖς ὁδοῖς ἐῤῥιμμένων, μηδενὸς
δὲ ἀξιούμενος παρὰ μηδενὶ λόγου, καθάπερ Μεγαρέας ποτέ
φασι, διὰ τὸ μὴ δύνασθαι θεραπεύειν μηδὲ πρὸς χάριν ὁμι- 127 R II
λεῖν, ἅτε αὐστηρὸς ὢν τὴν φύσιν καὶ ἀληθείας φίλος οὐδὲν
ἀποκρυπτόμενος· οὐδὲ οὕτως πείσεται τὸ τῶν κεραμέων τε
καὶ τεκτόνων καὶ ἀοιδῶν· οὐ καμφθήσεταί ποτε δι' ἔνδειαν 680 M.
ἢ δι' ἀτιμίαν οὐδὲ μεταβαλεῖ τὸν αὑτοῦ τρόπον, κόλαξ καὶ
34 γόης ἀντὶ γενναίου καὶ ἀληθοῦς φανείς. καίτοι τί ποτε

8. καὶ Μαίονές. sic dedi. Μαίονές reliq. — 32, 1. οὐδέ γε. οὐδέ τε M. ‖ 2. τὴν. τὴν δὲ M. ‖ Ἀλκμέωνα BM, Ἀλκμαίωνα reliq. ‖ 3. ἐζήλωσεν. ἐξήλωσεν M. ‖ 9. διαπάσαντα B. Selden., διασπάσαντα reliq. ‖ 10. γένεια. γένια M. ‖ 11. ὥσπερ — ὠδῖνα Iacobsius transponit post ἑκατέρας. — 33, 1. Ἀλκμέων M, Ἀλκμαίων reliq. ‖ οὐδεμιᾶς. οὐδὲ μιᾶς Casaub. ‖ 2. ἔφην BM. r, ἔφη vm. ‖ 4. εἰ δὲ M. Pflugk., οὐδ' εἰ Seldenus (idem ἢ ὅσων), οὐδὲ reliqui, unde Casaubonus post γαυριῶντα supplebat ὁρῶν ἄλλον. ‖ βούλει. sic dedi. idem visum est Pflugkio. βούλεται reliqui. βούλει ἔτι Seldenus (vel βουλευτὸν servato v. οὐδέ). ‖ 5. καθάπερ. καὶ καθάπερ mrg. m. ‖ 6. ἢ ὁπόσοι. πόσοι M. ‖ 7. αὐτὸς δέ. εἰ καὶ αὐτὸς Casaub. ‖ 8. ἐῤῥιμμένων. ἐρριμμένων M. ‖ 13. οὐ. οὐκ m. ‖ ἔνδειαν. ἔνδιαν M.

βούλονται τῶν μακαρίων τινὲς θεραπεύεσθαι πρὸς ἀνθρώ-
πων ἐλευθέρων εἶναι φασκόντων, καὶ τοὺς καλουμένους φιλο-
σόφους ἐπὶ θύραις αὐτῶν ὁρᾶσθαι ταπεινοὺς καὶ ἀτίμους,
καὶ νὴ Δία καθάπερ ἡ Κίρκη ἐβούλετο τὴν οἴκησιν αὐτῆς
φυλάττεσθαι ὑπὸ λεόντων δειλῶν καὶ κατεπτηχότων; οὔκουν
οὐδὲ ἐκεῖνοι λέοντες ὄντες ἐφύλαττον αὐτὴν, ἀλλὰ δύστηνοι
ἄνθρωποι καὶ ἀνόητοι, διεφθαρμένοι διὰ τρυφὴν καὶ ἀργίαν.
35 οὐκοῦν ὅταν ἴδῃ τις τῶν φιλοσόφων τινὰ καλουμένων περὶ
τὰς αὐλὰς καὶ πρόθυρα σαίνοντα καὶ ταπεινὸν, ἐκείνων ἄξιον
ἀναμνησθῆναι τῶν λεόντων κυσὶν ὁμοίων πεινῶσι καὶ δειλοῖς,
ὠρυομένων ὀξύτατον, ἅτε ὑπὸ φαρμάκων διεφθαρμένων.
ἀλλὰ δή ἐστιν οὐκ οἶδ' ὁποῖόν τι ἡ τοιαύτη ἐπιθυμία. μυρίοι
μὲν γάρ εἰσιν, οἳ ἑκόντες καὶ πάνυ προθύμως θεραπεύουσι
τοὺς πλουσίους καὶ δυνατοὺς καὶ μεστὰ πάντα κολάκων ἐστὶ
36 καὶ μετ' ἐμπειρίας καὶ τέχνης αὐτὸ πραττόντων. ὥστε οὐκ
ἀπορίᾳ τοῦδε τοῦ χρήματος ζητοῦσι παρὰ τῶν εὖ πεφυκότων. 128 R II.
ἀλλ' ἔστιν ὅμοιον τοῦτο ἑτέρῳ ἐπιχειρήματι τῶν σφόδρα ἀκο-
λάστων, οἳ γυναικῶν ἀφθόνων οὐσῶν δι' ὕβριν καὶ παρανο-
μίαν ἐπιθυμοῦσιν ἐκ τῶν ἀνδρῶν γυναῖκας σφίσι γενέσθαι
καὶ λαβόντες παῖδας ἐξέτεμον. ὅθεν πολὺ κάκιον καὶ δυστυ-
χέστερον γένος εὐνούχων ἐγένετο, ἀσθενέστερον τοῦ γυναι-
37 κείου καὶ θηλύτερον. ἀλλ' ὅ γε πρὸς ἀλήθειαν ἀνδρεῖος καὶ
μεγαλόφρων οὐκ ἂν ποτε πάθοι τοιοῦτον οὐδὲν οὐδ' ἂν
πρόοιτο τὴν ἐλευθερίαν τὴν αὑτοῦ καὶ τὴν παῤῥησίαν τιμῆς
τινος ἄτιμου χάριν ἢ δυνάμεως ἢ χρημάτων, οὐδ' ἂν φθονοῖ
τοῖς μεταβαλλομένοις τε καὶ μεταμφιεννυμένοις ἐπὶ τοιαύταις
δωρεαῖς, ἀλλ' ἡγοῖτ' ἂν ὁμοίους τοῖς μεταβάλλουσιν ἐξ ἀν-
θρώπων εἰς ὄφεις ἢ ἄλλα θηρία· ἐκείνους μὲν οὐ ζηλῶν οὐδὲ

34, 5. καὶ νὴ Δία. sic dedi. εἰ μὴ Casaub., καὶ δὴ Pflugk., καὶ μὴ reliqui, unde Reiskius delebat μή. ‖ 7. οὐδέ. οὔτ' ἂν (et infra καὶ ὅταν ἴδῃ τις) Pflugk. ‖ ἀλλὰ BM (corr. ἀλλὰ καί). Reisk., ἀλλὰ καὶ reliq. ‖ 8. ἄνθρωποι. οἱ ἄνθρωποι M. ‖ διεφθαρμένοι. καὶ διεφθαρμένοι Reisk. — 35, 1. ἴδῃ BM. r ex Interpr., ἤδη vm. ‖ καλουμένων. καλινδούμενον Reisk. ‖ 3. ὁμοίων. ὁμοίως B. corr. M. ‖ πεινῶσι. πίνωσι M. ‖ δειλοῖς, ὠρυομένων. δειλοῖ σορυωμένων M. ‖ 4. διεφθαρμένων. διεφθαρμένους (corr. vulg.) M. ‖ 5. τι ἡ M. Reisk., ἡ om. reliq. ‖ 7. πάντα B. Selden. r, πάντων reliq. ‖ 8. καὶ. τῶν Reiskius. conf. Iacobs. Add. p. 158. — 36, 2. ζητοῦσι. θεραπεύεσθαι ζητοῦσι Casaub. ‖ εὖ. malim οὐ. — 37, 2. τοιοῦτον οὐδὲν M, τοιοῦτον B, τοιοῦτο reliqui, unde τοῦτο Reisk. ‖ 3. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 6. ὁμοίους Casaub. r, ὁμοίως reliq. ‖ 7. εἰς ὄφεις ἢ

βασκαίνων αὐτοῖς τῆς τρυφῆς, ἀλλὰ τοὐναντίον ὀλοφυρόμε-
νος καὶ ἐλεῶν, ὅταν ἐπὶ δώροις, ὥσπερ οἱ παῖδες, ἀποκείρων- 661 M.
38 ται, καὶ ταῦτα τὰς πολιάς· αὐτὸς δὲ τὸ καθ' αὑτὸν πειρά-
σεται διαφυλάττειν εὐσχημόνως καὶ βεβαίως, μηδέποτε λείπων
τὴν αὑτοῦ τάξιν, ἀρετὴν δὲ καὶ σωφροσύνην τιμῶν ἀεὶ καὶ
αὔξων καὶ πάντα ἐπὶ ταῦτα ἄγων· τὰ μὲν πείθων καὶ παρα-
καλῶν, τὰ δὲ λοιδορούμενος καὶ ὀνειδίζων, εἴ τινα δύναιτο
ἐξελέσθαι ἀφροσύνης καὶ φαύλων ἐπιθυμιῶν καὶ ἀκρασίας
καὶ τρυφῆς· ἰδίᾳ ἕκαστον ἀπολαμβάνων καὶ ἀθρόους νουθε-
τῶν, ὁσάκις ἂν καιροῦ τύχῃ τινός,

ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι·

39 μέχρις ἂν οἶμαι διέλθῃ τὸν βίον κηδόμενος ἀνθρώπων, οὐ 429 R II.
βοῶν οὐδὲ ἵππων οὐδὲ καμήλων τε καὶ οἰκημάτων· ὑγιὴς μὲν
ἐν λόγοις, ὑγιὴς δὲ ἐν ἔργοις· ἀβλαβὴς μὲν συνοδοιπόρος, ὅτῳ
γένοιτο, καὶ σύμπλους, ἀβλαβὴς δὲ σύμβουλος· ἀγαθὸς δὲ
θύουσι φανείς· οὐ στάσιν ἐγείρων οὐδὲ πλεονεξίαν οὐδὲ ἔρι-
δας καὶ φθόνους καὶ αἰσχρὰ κέρδη, σωφροσύνης δὲ ὑπομι-
μνήσκων καὶ δικαιοσύνης καὶ ὁμόνοιαν αὔξων, ἀπληστίαν δὲ
καὶ ἀναίδειαν καὶ μαλακίαν ἐξελαύνων ὅσον δυνατὸν, πολὺ
τῶν σπονδοφόρων καὶ τῶν κηρύκων τῶν ἐν τοῖς πολέμοις
40 ἐκεχειρίας κομιζόντων ἱερώτερος. βούλεται μὲν οὖν καὶ προ-
θυμεῖται, καθ' ὅσον οἷός τέ ἐστι, βοηθεῖν ἅπασιν· ἡττᾶται
δ' ἑτέρων ἐνίοτε ἀνθρώπων καὶ ἐπιτηδευμάτων καὶ οὐδὲν ἢ
μικρὸν ἰσχύει παντελῶς. λοιπὸν δὲ τὴν αὑτοῦ διάνοιαν κα-
θαίρει τῷ λόγῳ καὶ πειρᾶται παρέχειν ἀδούλευτον, πολὺ
μᾶλλον περὶ τῆς ἐλευθερίας μαχόμενος ἡδοναῖς τε καὶ δόξαις
καὶ ἀνθρώποις ἅπασι μετ' ὀλίγων τῶν βουλομένων ἢ Λακε-
δαιμόνιοί ποτε τὰ στενὰ καταλαβόντες ἐμάχοντο πρὸς ἅπαν-

Obs. p. 63, ἐποφθείσῃ M, ἐπ' ὄφεις ἢ reliq. — 38, 3. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 4. ταῦτα. ταύτην Reisk. ‖ 8. τύχῃ. τύχης M. ‖ 9. ἄλλον BM. r, ἄλλων vm. — 39, 1. μέχρις. μέχρι M. ‖ κηδόμενος Casaub., ἡδόμενος reliq. ‖ 2. καμήλων. malim κειμηλίων. ‖ οἰκημάτων. ὀχημάτων vel κτηνῶν Reisk. ‖ 3. συνοδοιπόρος BM (corr. συνοδοιπόροις). Casaubonus (vel συνοδοιπόροις ἢ et infra γένοιτο σύμπλους). r, σὺν ὁδοιπόροις vm. ‖ 4. καὶ om. B, ἢ M. ‖ 5. φανείς. φανεὶς οἰωνός Obs. p. 64. ἐξηγητὴς supplet Reiskius. an ita scripsit: ἀβλαβὴς δὲ σύμβολος θύουσι φανείς? ‖ 9. πολέμοις B. r, πολεμίοις reliq. — 40, 2. βοηθεῖν M. Casaub., βοήθειαν reliq. ‖ 3. ἑτέρων suspectum Casaubono. ‖ οὐδὲν ἢ μικρὸν BM. r, ἢ om. reliq. ‖ 4. αὑτοῦ. sic dedi. αὐτοῦ reliq. ‖ 6. ἡδοναῖς Geel., ὀδύναις Reisk., ἢ ὀδύναις reliq. ‖ 7. ἀνθρώποις ἅπασι. ἀνοίᾳ ἁπάσῃ Geel.

τας τοὺς ἐκ τῆς Ἀσίας, ὀλίγοι τὸν ἀριθμὸν ὄντες, τρεῖς ἐφε- 430 R II.
ξῆς νύκτας τε καὶ ἡμέρας, μέχρι κυκλωθέντες δι' ἑνὸς ἀνδρὸς
προδοσίαν ἐν ταὐτῷ μένοντες κατεκόπησαν· οἳ τὴν Σπάρτην
41 ἐνόμιζον ἐλευθέραν διαφυλάττειν ἀτείχιστον οὖσαν· τὸ δὲ 662 M.
σῶμα ἀσκῶν καὶ συνεθίζων κατὰ τὴν ἑαυτοῦ δύναμιν πονεῖν,
οὐκ ἐῶν θρύπτεσθαι λουτροῖς τε καὶ ἀλείμμασι καὶ μύροις,
μέχρις ἂν γένηται μαλακώτερον καὶ σαθρότερον, ὥσπερ κακὸν
σκεῦος· ταῦτα δὲ ὁρῶντες ἔνιοι δι' εὐήθειαν αὐτὸν ἐπιτη-
δεύειν καὶ ἀφροσύνην φασὶ, τὸ πλουτεῖν ἐάσαντα καὶ τὸ
τιμᾶσθαι καὶ τὸ διὰ παντὸς ἥδεσθαι, καὶ καταφρονοῦσι καὶ
42 μαίνεσθαι νομίζουσι καὶ ἀτιμάζουσιν· ὁ δὲ οὐκ ὀργίζεται πρὸς
αὐτοὺς οὐδ' ἔχει χαλεπῶς· ἀλλ' ἔστιν οἶμαι καὶ πατρὸς εὐνού-
στερος ἑκάστῳ καὶ ἀδελφῶν καὶ φίλων· καὶ δὴ καὶ τοὺς πο-
λίτας τοὺς αὐτοῦ καὶ φίλους καὶ συγγενεῖς αἰδούμενος μὲν,
οὐκ ἀποκρυπτόμενος δὲ, τοσούτῳ μᾶλλον, ὅσον τῶν ἄλλων
οἰκειοτέρους τε καὶ ἀναγκαιοτέρους νενόμικεν, ὡς οἷόν τε
ἐπιτείνας τοὺς λόγους καὶ σφοδροτέραν τὴν νουθεσίαν καὶ
43 παρακέλευσιν ποιούμενος αὐτῷ τε κἀκείνοις. οὐδὲ γὰρ ἰατρὸς,
ὅτῳ ἀνάγκη πατέρα ἢ μητέρα ἢ τοὺς ἑαυτοῦ παῖδας ἰᾶσθαι
νοσοῦντας ἢ καὶ αὐτὸν διὰ σπάνιν τε καὶ ἐρημίαν ἄλλων
ἰατρῶν, εἰ δέοι τέμνειν ἢ καίειν, ὅτι φιλεῖ τὰ τέκνα καὶ τὸν
πατέρα αἰσχύνεται καὶ τὴν μητέρα, διὰ τοῦτο ἀμβλυτέρῳ τῷ
σιδήρῳ τέμοι ἂν καὶ χλιαρωτέρῳ τῷ πυρὶ καίοι· τοὐναν-
44 τίον δὲ ὡς οἷόν τε ἰσχύοντι καὶ ἀκμαίῳ. τὸν γοῦν Ἡρακλέα
φασὶν, ἐπειδὴ οὐκ ἐδύνατο ἰάσασθαι τὸ σῶμα ὑπὸ νόσου
δεινῆς κατεχόμενον, τοὺς υἱοὺς καλέσαι πρώτους κελεύοντα 431 R II.
ὑποπρῆσαι λαμπροτάτῳ πυρί· τῶν δὲ ὀκνούντων καὶ ἀποστρε-
φομένων, λοιδορεῖν αὐτοὺς ὡς μαλακούς τε καὶ ἀναξίους αὐ-
τοῦ καὶ τῇ μητρὶ μᾶλλον ἐοικότας, λέγοντα, ὡς ὁ ποιητὴς
φησι·

9. τρεῖς—κατεκόπησαν delet ut interpolata Geelius. ‖ 11. οἳ in M a corr. add. ‖ 12. διαφυλάττειν. malim δεῖν διαφυλάττειν. ‖ ἀτείχιστον. ἀτίχιστον M. — 41, 3. ἀλείμμασι. ἀλίμμασι M. ‖ 4. μέχρις. μέχρι M (corr. vulg.). ‖ 5. δι' BM, καὶ δι' reliqui, unde οἰόμενοι post εὐήθειαν supplebat Reisk. ‖ 6. φασὶ. ἥν φασι Reisk. ‖ 7. καὶ καταφρονοῦσι Iacobs. Add. p. 20, καταφρονοῦσι reliq. — 42, 5. δὲ. δὲ νουθετεῖ Geel. ‖ ὅσον BM, ὅσῳ Casaub., ὅσων reliq. ‖ 6. οἷόν τε. οἴονται M. ‖ 7. τὴν νουθεσίαν om. B. — 43, 6. καίοι B, καὶ οὐ M, καίοι ἂν reliq. ‖ 7. οἷόν τε. οἴονται M. — 44, 2. ἐδύνατο. ἐδύναντο BM. ‖ 6. ὡς ὁ BM, ὁ om. reliq.

ποῖ μεταστρέφεσθ' ὦ κακοὶ
καὶ ἀνάξιοι τῆς ἐμῆς σπορᾶς,
Αἰτωλίδος ἀγάλματα μητρός;

45 *οὐκοῦν αὐτῷ πρώτῳ χρὴ καὶ τοῖς φιλτάτοις καὶ ἐγγυτάτω μετὰ πλείστης παῤῥησίας τε καὶ ἐλευθερίας προσφέρεσθαι,* (83 R) *μηδὲν ἀποκνοῦντα μηδὲ ὑφιέμενον ἐν τοῖς λόγοις. πολὺ γὰρ χεῖρον διεφθαρμένου σώματος καὶ νοσοῦντος ψυχὴ διεφθαρμένη, μὰ Δία οὐχ ὑπὸ φαρμάκων χριστῶν ἢ ποτῶν οὐδὲ ὑπὸ ἰοῦ τινος διεσθίοντος, ἀλλ' ὑπό τε ἀγνοίας καὶ πονηρίας καὶ ὕβρεως καὶ φθόνου δὴ καὶ λύπης καὶ μυρίων ἐπιθυμιῶν. τοῦτο τὸ νόσημα καὶ τὸ πάθος χαλεπώτερον ἐκείνου καὶ πολὺ μείζονος καὶ λαμπροτέρου δεόμενον ἐμπρησμοῦ· ἐφ' ἣν ἴασιν καὶ ἀπόλυσιν χρὴ παρακαλεῖν ἀπροφασίστως καὶ πατέρα καὶ υἱὸν καὶ ξυγγενῆ καὶ ἀλλότριον καὶ πολίτην καὶ ξένον.*

8. *μεταστρέφεσθ' ὦ* M (corr. *μεταστρεφέσθων*). r, *μεταστρεφέσθων* B, *μεταστρέφεσθ' ὧν* v, *μετασρεφέσθων ὧν* m, *μεταστρεφέσθων ὡς* Casaubonus. versus hunc in modum scripserim:

ποῖ μεταστρέφεσθ' ὦ κακοὶ
κἀνάξιοι σπορᾶς τᾶς ἐμᾶς
Αἰτωλίδος ματρὸς ἀγάλματα. —

45, 1. *αὐτῷ.* sic dedi. *αὐτῷ* reliq. ‖ 4. *χεῖρον* Reisk. (idem *χεῖρον καὶ μιαρώτερον*), *χεῖρον καὶ* reliq. ‖ 5. *χριστῶν* Casaub. r, *χρειστῶν* M, *χρηστῶν* B. vm, *λυγρῶν* mrg. m. ‖ *οὐδέ. οἱ δὲ* corr. M (pr. man. vulg.). ‖ 6. *ἀγνοίας. ἀνοίας* M. ‖ 9. *δεόμενον* BM. Casaub., *δεομένου* reliq.

ΛΟΓΟΣ οθ.

ΠΕΡΙ ΠΛΟΥΤΟΥ.

1 Φέρε πρὸς θεῶν, ἐπὶ τίνι μάλιστα θαυμάζειν καὶ ἐπὶ τῷ 432 R II.
μεγαλοφρονεῖν καὶ μακαρίζειν ἄξιον πόλιν ἁπασῶν μεγίστην
καὶ δυνατωτάτην; πότερον ἐπὶ νόμων ἀρετῇ καὶ πολιτῶν
ἐπιεικείᾳ καὶ σωφροσύνῃ τῶν ἀρχόντων; ἢ ταῦτα μὲν μικρὰ
καὶ οὐδενὸς ἄξια καὶ ῥᾴδια τοῖς τυχοῦσιν, ἐπὶ δὲ ἀνθρώπων
πλήθει καὶ ἀγορᾶς ἀφθονίᾳ καὶ τῇ πολυτελείᾳ τῶν οἰκοδο-
μημάτων δεῖ μακαρίζειν αὐτὴν καὶ τοῖς Σύρων καὶ Βαβυλω-
νίων ὑφάσμασι καὶ ὅτι χρυσῷ τὰς οἰκίας ἐρέπτουσι καὶ μεστὰ
πάντα ἀργύρου καὶ ἠλέκτρου καὶ ἐλέφαντος, ὁποῖα Ὅμηρος
εἴρηκε τὰ Ἀλκινόου καὶ τὰ Μενελάου βασίλεια ὑπερβάλλων
τό τε ἀληθὲς καὶ τὸ δυνατὸν σχεδὸν, οὕτως ἅπασαν ἠσκημέ-
νην τὴν πόλιν· καὶ νὴ Δία ἐπὶ ταῖς γραφαῖς καὶ τοῖς ἀνδριά-
σιν, ὧν οὐδὲν ὤνησε τοὺς πρότερον ἔχοντας, ἀλλὰ παρ' ὧν 433 R II.
ἐκεῖνα ἐκομίσθη, τούτους ἴδοι τις ἂν δούλους καὶ ταπεινοὺς
2 καὶ πένητας; εἰ γὰρ ἦν ὄφελός τι χαλκοῦ καλῶς κεκραμένου
καὶ κρατήρων καὶ βωμῶν καὶ θυμιατηρίων περιττῶς εἰργα-
σμένων, ἡ Κορινθίων πόλις ἂν εὐδαίμων ἦν καὶ πολὺν ᾤκεῖτο 664 M.
ἂν χρόνον σώζουσα τοὺς ἑαυτῆς οἰκήτορας καὶ πολίτας. εἰ
δ' αὖ λίθων εὐχρόων καὶ ποικίλων, ἡ Τηίων ἢ Καρυστίων
καί τινων Αἰγυπτίων καὶ Φρυγῶν, παρ' οἷς ἐστι τὰ ὄρη ποι-
κίλα· ἀκούω δ' ἔγωγε τῶν ὀρῶν τὰς πάνυ παλαιὰς τῆς αὐτῆς

Orat. LXXIX. Collati sunt BM. titulus. περὶ πλούτου M. v. Photius, περὶ πλούτου τῶν ἐν Κιλικίᾳ B. mr. — 1, 1. καὶ — μεγαλοφρονεῖν malim cum Casaubono post v. καὶ μακαρίζειν collocata. ‖ 2. μεγαλοφρονεῖν. μέγα φρονεῖν M. Reiskius. conf. Orat. 18, § 10. Lobeck. ad Aiac. v. 1120. ‖ 4. ἐπιεικείᾳ. ἐπιεικίᾳ M. ‖ μικρά. σμικρὰ B. ‖ 7. Σύρων. Σήρων bene Reiskius. ‖ 8. ἐρέπτουσι. ἐρέφουσι Casaub., ἐρεποῦσιν M. ‖ 10. ὑπερβάλλων. ὑπερβάλλον B. ‖ 11. ἅπασαν. ἅπασαν πλάσας Casaub. ‖ 14. ἐκομίσθη Obs. p. 64, ἐκοσμήθη reliqui, unde οἷς οὕτω pro ὧν Casaubonus. — 2, 1. εἰ. ἡ B. ‖ 5. ἡ Τηίων Casaub. r, Ὑμηττίων Jacobs. Add. p. 23, ἡ Τηίων reliq. ‖ 6. Φρυγῶν. φρυγίων M. ‖ 7. ὀρῶν. ὁρῶν M,

εἶναι πέτρας· ἀλλ' ὅμως οὐδενός εἰσι βελτίους οὐδ' εὐτυχέ-
3 στεροι τῶν πάνυ ματαίων τε καὶ ἀθλίων. εἰ δέ γε ὠφέλει
τὸ κεκτῆσθαι χρυσίον, οὐδὲν ἐκώλυεν Αἰθίοπας τοὺς ἄνω
μακαριωτάτους εἶναι δοκεῖν, ὅπου τὸ χρυσίον ἀτιμότερον ἢ
παρ' ἡμῖν ὁ μόλιβδος· καί φασιν αὐτόθι τοὺς κακούργους ἐν
παχείαις δεδέσθαι πέδαις, ἀλλ' οὐδὲν ἧττόν εἰσι δεσμῶται
καὶ πονηροὶ καὶ ἄδικοι. τὸ δὲ μακαρίζειν τοὺς πλουσίους
καὶ πολλὰ χρήματα ἔχοντας, τὰ δὲ ἄλλα μηδὲν διαφέροντας
τῶν πάνυ φαύλων, ὅμοιον, οἷον εἴ τις τοὺς ἐκεῖ δεσμώτας
ἰδὼν προϊόντας ἐκ τῆς εἱρκτῆς ἐζήλου καὶ πάντων εὐδαιμονέ-
4 στατον ἔκρινε τὸν ἔχοντα τὰς μείζους πέδας. εἰ δὲ ἐλέφας
θαυμαστὸν κτῆμα καὶ περιμάχητον, Ἰνδοὶ πολὺ πάντων ὀλ-
βιώτατοι καὶ ἄριστοι, παρ' οἷς ἔῤῥιπται τὰ τῶν ἐλεφάντων
ὀστᾶ καὶ οὐδεὶς πρόσεισιν, ὥσπερ ἐνθάδε τὰ τῶν βοῶν τε 431 R II
καὶ ὄνων· καὶ πολλαχοῦ φασιν ἐν τοῖς τοίχοις ἐνοικοδομεῖ-
σθαι τὰ κρανία τῶν ἐλεφάντων αὐτοῖς ὀδοῦσιν. τί δὲ χρὴ
περὶ Κελτῶν λέγειν, ὅπου φασὶ ποταμόν τινα καταφέρειν τὸ
ἤλεκτρον καὶ πολὺ πανταχοῦ κεῖσθαι παρὰ ταῖς ὄχθαις ἐκ-
βεβρασμένον, ὥσπερ αἱ ψῆφοι παρ' ἡμῖν ἐπὶ τῶν αἰγιαλῶν;
καὶ πρότερον μὲν οἱ παῖδες ἔπαιζον τάδε ἐῤῥίπτουν· νῦν δὲ
κἀκεῖνοι συλλέγουσι καὶ φυλάττουσιν αὐτὸ, παρ' ἡμῶν μεμα-
5 θηκότες, ὅτι εἰσὶν εὐδαίμονες. ἆρα ἐνθυμεῖσθε, ὅτι πάντες
οὗτοι· λέγω δὲ τοὺς Κελτοὺς καὶ Ἰνδοὺς καὶ Ἴβηρας καὶ Ἄρα-
βας καὶ Βαβυλωνίους· φόρους παρ' ἡμῶν λαμβάνουσιν, οὐ
τῆς χώρας οὐδὲ τῶν βοσκημάτων, ἀλλὰ τῆς ἀνοίας τῆς ἡμε-

οἰκιῶν Casaub.: κιόνων Morell. ex Interpr., σορῶν Reiskius. totum locum sic constituit Cobetus: τῶν ὀρῶν τινα σπήλαια διαυγοῦς ἔχειν πέτρας. ‖ 9. ματαίων Obs. p. 65 (vel ταλαιπώρων), παλαιῶν reliqui, unde ἐλεεινῶν Casaub., φαύλων Selden., νέων Reisk., δειλαίων Geel., εὐτελῶν vel ταπεινῶν Pflugk. — 3, 1. δέ γε M, γε om. reliq. ‖ 5. παχείαις. παχείαις χρυσαῖς Casaub. (idem παχείαις ἐκ χρυσοῦ). ‖ πέδαις. παῖδες M, χρυσοῦ πέδαις Valcken. ‖ 8. ὅμοιον, οἷον. sic dedi. ὅμοιον ὡς Casaub., ὅμοιον ἢ Pflugk., ὅμοιον reliq. ‖ 9. ἰδὼν προϊόντας BM, προϊόντας ἰδὼν reliq. — 4, 6. τί δὲ M, τί δαὶ reliq. ‖ 7. περὶ Κελτῶν. περικείτων M. ‖ 9. τῶν αἰγιαλῶν M. Casaub., τὸν αἰγιαλὸν reliq. ‖ 10. ἔπαιζον τάδε ἐῤῥίπτουν. ἔπαιζον τὰ δὲ ἐῤῥείπτουν M, ἐζήτουν καὶ διεῤῥίπτουν Obs. p. 65, possit παίζοντες διεῤῥίπτουν. παίζοντες τὰ τεμάχη αὐτοῦ ἐῤῥίπτουν Reisk., ἔπαιζον καὶ διεῤῥίπτουν Pflugk. — 5, 1. ἐνθυμεῖσθε. ἐνθυμεῖσθαι M. ‖ 2. Κελτούς. σκαιοτάτους M. ‖ Ἴβηρας. malim Σῆρας. ‖ 3. ἡμῶν BM. Selden., ὑμῶν reliq. ‖ 4. ἀλλὰ BM, ἀλλά γε Casaub., ἀλλὰ καὶ reliqui. ‖ ἡμετέρας BM,

τέρας; οὐ γάρ, ἂν μὲν τοῖς ὅπλοις κρατήσαντές τινες ἀναγ- 665 M.
κάσωσιν αὐτοῖς ἀργύριον ὑποτελεῖν τοὺς ἡττημένους, τοῦτο ὀνομάζεται φόρος καί ἐστιν ἀνθρώπων οὐ σφόδρα εὐτυχῶν οὐδὲ ἀνδρείων, δασμὸν ἑτέροις παρέχειν· ἐὰν δέ τινες μήτε ἐπιστρατευσαμένου μηδενὸς μήτε ἀναγκάσαντος, δι' εὐήθειαν δὲ καὶ τρυφήν, ὃ περὶ πλείστου ποιοῦνται ἁπάντων, ἀργύριον, πέμπωσιν ἑκόντες διὰ μακρᾶς μὲν ὁδοῦ, πολλῆς δὲ θαλάττης τοῖς μηδὲ ἐπιβῆναι ῥᾳδίως δυναμένοις τῆς ἡμετέρας γῆς, οὐ
6 τῷ παντὶ κάκιόν τε καὶ αἴσχιον τὸ γιγνόμενον. πλὴν ὅτι λί- 435 R II
θους μικροὺς καὶ ἀσθενεῖς καὶ νὴ Δία θηρίων ὀστᾶ διδόντες λαμβάνουσιν ἀργύριον καὶ χρυσίον, ἀντὶ χρηστῶν ἄχρηστα ἀντικαταλλαττόμενοι. μάλιστα δὲ θαυμάζω πολλάκις ἐννοῶν, ὅτι Μῆδοι μὲν τὰ Σύρων λαβόντες ἠγάπων καὶ ἔχαιρον, Πέρσαι δὲ τὰ Μήδων, Μακεδόνες δὲ τὰ Περσῶν, καὶ τότε ᾤοντο εὐτυχεῖς γεγονέναι καὶ πράττειν ἄμεινον, ὅτε εἶχον τὰ τῶν ἀθλίων καὶ δυστυχούντων κτήματα. ταῦτα δὲ οὐκ ἄλλως ἔγωγε ληρῶν εἶπον, ἀλλ' ὅτι τῶν τοιούτων, ὑπὲρ ὧν ἔχουσι τὴν πᾶσαν σπουδὴν καὶ ἐφ' οἷς θαυμάζουσιν οἱ πολλοὶ τοὺς κεκτημένους, οὐδέν ἐστιν ὄφελος, ἀλλ' οὐδεμιᾶς ἄξια δραχμῆς τὰ σύμπαντα· οὐδ' ἂν γένοιντο ἄνθρωποί ποτε εὐδαίμονες ἀνόητοι καὶ ἄφρονες, οὐδ' ἂν τὸν ἐν Σούσοις παράδεισον οἰκοδομήσωσιν, ὃς ἦν, ὥς φασι, μετέωρος ἅπας.

ὑμετέρας reliq. ‖ 5. τοῖς ὅπλοις. τοῖς πόλοις M, ταῖς ὅπλαις vm. ‖ 6. αὐτοῖς. sic dedi. αὐτοῖς reliq. ‖ 9. μήτε M (corr. μηδέ), μηδὲ reliq. ‖ εὐήθειαν. εὐηθίαν M. ‖ 11. πέμπωσιν M, πέμπουσι reliq. ‖ 12. ῥᾳδίως δυναμένοις BM, δυναμένοις ῥᾳδίως reliq. ‖ οὐ τῷ Casaub. r, οὕτω reliq. ‖ 13. γιγνόμενον B, γινόμενον reliq. — 6, 2. μικρούς. σμικρούς B. ‖ ἀσθενεῖς. malim ἀγεννεῖς. ‖ 4. ἀντικαταλλαττόμενοι. ἀντικαταλαττόμενοι M. ‖ ἐννοῶν Reisk., ἐνίων reliq. ‖ 5. λαβόντες M, λαμβάνοντες reliq ‖ ἠγάπων καὶ ἔχαιρον M, ἠγάπων καὶ om. reliq. ‖ 11. δραχμῆς. δραγμῆς M. ‖ 12. τά in M a corr. add. ‖ ἄνθρωποί ποτε εὐδαίμονες M, αὐτοί ποτε εὐδαίμονες B, εὐδαίμονες ἄνθρωποι Reisk., ποτε ἄνθρωποι εὐδαίμονες reliq. ‖ 14. οἰκοδομήσωσιν. οἰκοδομήσουσιν BM, οἰκομήσωσιν v, ἐνοικήσωσιν Reisk.

ΛΟΓΟΣ π.

ΤΩΝ ΕΝ ΚΙΛΙΚΙΑι ΠΕΡΙ ΕΛΕΥΘΕΡΙΑΣ.

1 Ὑμεῖς μὲν ἴσως θαυμάζετε καὶ παράδοξον ἡγεῖσθε καὶ 436 R II.
οὐδαμῶς σωφρονοῦντος ἀνδρός, ὅστις ἁπάντων ἀποστάς, περὶ
ἃ οἱ πολλοὶ σπουδάζουσι, καὶ τρόπον τινὰ ἐάσας κατὰ ῥοῦν
φέρεσθαι, χρήματά τε καὶ δόξας καὶ ἡδονάς, οὔτε γεωργὸς
οὔτε ναύκληρος οὔτε στρατιώτης οὔτε στρατηγὸς, περίεισιν·
οὐ σκυτοτόμος, οὐ τέκτων, οὐκ ἰατρὸς, οὐ ῥήτωρ, οὐκ ἄλλο 665 M.
τι σύνηθες πρᾶγμα ποιῶν· οὑτωσὶ δὲ ἀτόπως ἰών τε καὶ
ἀπιὼν καὶ παριστάμενος, ἔνθα μηδὲν αὐτῷ πρᾶγμά ἐστιν,
2 ἀλλ' ὡς ἂν τύχῃ τε καὶ ὁρμήσῃ· βουλευτήρια μὲν καὶ θέατρα
καὶ συλλόγους ἀτιμάσας, ἐκκλησιάζων δὲ μόνος αὐτός· καὶ
θεωρῶν οὐκ ὀρχουμένους οὐδὲ ᾄδοντας οὐδὲ πυκτεύοντας
οὐδὲ παλαίοντας, ἀλλ' ὠνουμένους καὶ βαδίζοντας καὶ λαλοῦντας καὶ μαχομένους· ποτὲ μὲν τούτοις ἅπασι προσέχων εὖ
μάλα καὶ τερπόμενος πολὺ μᾶλλον ἢ παῖδες ἐν ἀγῶσι καὶ
θεάτροις, οὐ προκαταλαμβάνων οὐδὲ ἀγρυπνῶν οὐδὲ θλιβόμενος· ποτὲ δὲ αὖ μήτ' ἀκούων μηδενὸς μήθ' ὁρῶν, ἀλλὰ
μηδ' εἶναι νομίζων αὐτοὺς, ἐννοῶν ὃ βούλεται καὶ πράττων
3 ἀδεῶς. ἐγὼ δὲ τοῦτο μὲν λαμπρὸν ἡγοῦμαι καὶ μακάριον, εἴ
τις ἐν οἰκέταις ἐλεύθερος εἶναι δύναται καὶ ἐν ὑπηκόοις αὐτόνομος· ὑπὲρ οὗ δὲ πολλὰ μὲν Λυδοὶ Φρυξὶ, πολλὰ δὲ Φρύγες Λυδοῖς ἐπολέμησαν, πολλὰ δ' Ἴωνές τε καὶ Δωριεῖς καὶ

Orat. LXXX. Collati sunt BM. titulus. *τῶν ἐν Κιλικίᾳ περὶ ἐλευθερίας* M. v, *τῶν ἐν Κιλικίᾳ* om. B. mr. — 1, 1. *ὑμεῖς. ἡμεῖς* M. ‖ *ἴσως. ἴσως με* M. ‖ *ἡγεῖσθε. ἡγεῖσθαι* M. ‖ 3. *σπουδάζουσι. θαυμάτοισι* mrg. m. ‖ 7. *ποιῶν* Obs. p. 65, *κοινὸν* reliqui, unde *καὶ κοινὸν* Reisk. — 2, 2. *συλλόγους ἀτιμάσας. συλλέγουσα τιμάσας* M. ‖ 7. *ἀγρυπνῶν. ἐγκύπτων* Geel. ‖ *θλιβόμενος. θλειβόμενος* M. ‖ 8. *αὖ* Casaub., *ἂν* reliq. ‖ *μηδενός. μηθενὸς* M. ‖ *μήθ' ὁρῶν* BM. Geel., *μηδ' ὁρῶν* reliq. ‖ *ἀλλὰ μηδ' εἶναι* Obs. p. 65, *δ' εἰδέναι* M, *ἀλλὰ μηδ' εἰδέναι* reliq. ‖ 9. *αὐτοὺς, ἐννοῶν. αὐτὸς ἐννοῶν* Geel. — 3, 2. *οἰκέταις* Casaub., *οἰκείαις* B, *οἰκίαις* reliq. ‖ 3. *ὑπὲρ οὗ δὲ.* sic dedi. *δὲ* om. reliq. ‖ 4. *ἐπολέμησαν. πολέμησαν* M. ‖

ξύμπαντα γένη, ἀνόητοι εἴδους αὐτονομίας ἔρωτι οὐδεὶς 437 R II. ἐγκεχείρηκεν τοῖς αὐτὸς αὑτοῦ χρῆσθαι νόμοις. οἱ δὲ ξύμπαντες περὶ τῶν Σόλωνος καὶ Δράκοντος καὶ Νομᾶ καὶ Ζαλεύκου νόμων ἐρίζουσιν, ὅπως τούτοις, ἀλλὰ μὴ τούτοις ἕπωνται, μηδενὸς αὖ μηδὲ ἐκείνων οἷα ἐχρῆν θέντος. Σόλωνα μέντοι καὶ αὐτὸν εἰρηκέναι φασίν, ὡς οὐκ αὐτῷ μὲν ἀρέσκοντα εἰσηγεῖτο Ἀθηναίοις, ἀλλ᾽ οἷς αὐτοὺς ὑπελάμβανε χρήσεσθαι.
4 δῆλον οὖν, ὅτι πονηροὺς ἔγραφε νόμους, εἴπερ τοὺς ἀρέσοντας πονηροῖς ἔγραφεν. ἀλλ᾽ ὅμως καὶ αὐτὸς τούτοις ἐχρῆτο πονηροῖς τε οὖσι καὶ οὐκ ἀρέσκουσιν αὐτῷ. δῆλον οὖν, ὅτι τούτων μὲν οὐδενὶ μετῆν αὐτονομίας, οὐδὲ ἐσπούδαζον οὐδὲ ἐπολέμουν, ὅπως ὦσιν ἐλεύθεροι. ἀλλὰ γὰρ ἄφθονόν τε καὶ πολλὴν δουλείαν ἐντὸς τῶν τειχῶν ἐγκαθείρξαντες, ἔπειτα ἐπάλξεσι καὶ πύργοις καὶ βέλεσιν ἠμύνοντο, ὅπως μὴ εἰσίοι 631 M ἔξωθεν παρ᾽ αὐτούς· ὥσπερ εἴ τις νεὼς διεῤῥηγμένης, κλύδωνος ἔνδον ὄντος, φυλάττοιτο καὶ πράγματα ἔχοι, μή ποτε ἄνωθεν ὑπερβάλῃ. καθάπερ οὖν φασι τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης πολιορκεῖσθαι καὶ ἀποθνήσκειν οὐκ ἔνδον οὔσης, ἀλλ᾽ ἐν Αἰγύπτῳ, ταὐτὸ πάθος οὗτοι πεπόνθασιν· ὑπὲρ τῆς ἐλευθερίας ἐμάχοντο καὶ ἠγωνίων οὐκ οὔσης παρ᾽ αὐτοῖς.
5 ἀλλ᾽ ὅμως ἐκεῖνοί τε ἔλεγον πάντα πάσχειν ὑπὲρ τῶν νόμων καὶ νῦν φασιν ἐν τούτοις εἶναι τὴν δίκην, ὁπόσ᾽ ἂν αὐτοὶ 438 R II. δυστυχεῖς ὄντες συγγράφωσιν ἢ παρ᾽ ἄλλων ὁμοίων παραλά-

δ᾽. δὲ M. ‖ 5. ἀνόητοι εἴδους. malim ἀνόητοι, εἰ ἀλοὺς vel ἀνόητοι, ψευδοῦς. num εἶδος non sic dici videtur ut εἴδωλον. hunc locum sic constituit Casaubonus: γένη ἀνοήτων· τῷ δὲ τῆς αὐτονομίας ἔρωτι οὐδεὶς ἐγκεχείρηκεν οὐδὲ τῷ τοῖς αὐτὸν αὑτοῦ χρῆσθαι νόμοις. Seldenus: ἰδίας γοῦν vel γ᾽ ἰδίας pro v. εἴδους. Reiskius: ἀνόητοι, εἰ ἀληθοῦς αὐτονομίας κατέχεσθαι (vel ἐνθουσιᾶν) ἔρωτι οὐδεὶς ἐγκεχείρηκεν, οὔτε τῷ τοῖς cett. Geelius omisso cum M οὔτε mutat εἴδους in εἴ γε. Pflugkius: γένη ἀνθρώπων· τῷ δ᾽ οὖν τῆς εἰλικρινοῦς αὐτονομίας ἔρωτι —ἐγκεχείρηκεν οὐδὲ cett. ‖ 6. ἐγκεχείρηκεν. ἐκεχείρηκεν B, ἐνκεχείρηκεν M. ‖ τοῖς M, οὔτε τοῖς reliq. ‖ χρῆσθαι. χρᾶσθαι BM. ‖ 7. Νομᾶ. sic dedi. νόμα BM, Νουμᾶ reliq. ‖ 9. αὖ. ἂν Reiskius vel μηδ᾽ αὐτῶν pro αὖ μηδέ. ‖ θέντος. sic dedi. τιθέντος Pflugk., τεθέντων reliq. ‖ 10. μέντοι. μέν γε Pflugk. ‖ εἰρηκέναι Iacobs. Add. p. 225, εἰδέναι reliqui, quo servato αὐτοὶ pro αὐτὸν scribit Pflugkius. ‖ ὡς οὐκ αὐτῷ μέν. sic dedi. ὡς ὅτι αὐτῷ μὴ reliqui, unde ὡς αὐτῷ μὴ Iacobs. l. l. ‖ 11. ὑπελάμβανε. ὑπολαμβάνειν M (corr. vulg.). — 4, 1. ἀρέσοντας M (corr. ἀρέσκοντας), ἀρέσκοντας reliq. ‖ 3. αὐτῷ. αὐτῷ M. ‖ 7. μὴ εἰσίοι B. r, μὲν εἰσίειν M, μὴ εἰσίοιεν vm. ‖ 9. ἔνδον. ἔνδονον M. — 5, 2. ὁπόσ᾽ ἂν Pflugk., ὁπότ᾽ ἂν B, ὁποῖ᾽ ἂν r, ὁπόταν reliqui, unde Casaubonus infra συγγραφὰς συγγράφωσιν. ‖ 3. ὁμοίων.

βωσιν. νόμον δὲ τὸν ἀληθῆ καὶ κύριον καὶ φανερὸν οὔτε ὁρῶσιν οὔτε ἡγεμόνα ποιοῦνται τοῦ βίου. τοιγαροῦν ὥσπερ ἐν μεσημβρίᾳ, λάμποντος ἡλίου, δᾷδας ἴασι καὶ δαλοὺς ἀράμενοι, τὸ μὲν θεῖον φῶς ἐάσαντες, καπνῷ δὲ ἑπόμενοι κἂν μικρὸν αἴθυγμα δεικνύντι πυρός. ὁ μὲν οὖν τῆς φύσεως νόμος ἀφεῖται καὶ ἐκλέλοιπε παρ' ὑμῖν, ὦ κακοδαίμονες, ἄξονας δὲ καὶ γραμματεῖα καὶ στήλας φυλάττετε καὶ ἀνωφελῆ στίγματα.
6 καὶ τὸν μὲν τοῦ Διὸς θεσμὸν πάλαι παρέβητε, τὸν δὲ τοῦ δεῖνος ἢ τὸν τοῦ δεῖνος ὅπως μηδεὶς παραβήσεται, σκοπεῖσθε. καὶ τὴν ἀράν, ἣν Ἀθηναῖοι περὶ τῶν Σόλωνος ἔθεντο νόμων τοῖς ἐπιχειροῦσι καταλύειν, ἀγνοεῖτε κυριωτέραν οὖσαν ἐπὶ τοῖς ἐκείνου νόμοις. πᾶσα γὰρ ἀνάγκη τὸν συγχέοντα τὸν θεσμὸν ἄτιμον ὑπάρχειν. πλὴν παῖδας καὶ γένος οὐκ ἐπέξεισιν, ὡς ἐκεῖ, τῶν ἁμαρτανόντων, ἀλλ' ἕκαστος αὑτῷ γίγνεται τῆς ἀτυχίας αἴτιος. τὸν οὖν ἐπιχειροῦντα τοῦτον σώζειν, ὡς ἂν οἷός τε ᾖ, καὶ τό γε καθ' αὑτὸν φυ- 498 R
7 λάττειν οὐδέποτε ἂν μὴ φρονεῖν φαίην ἔγωγε. πολὺ δὲ μᾶλλον ὑμᾶς θαυμάζω καὶ ἐλεῶ τῆς χαλεπῆς καὶ παρανόμου δουλείας, ἐν ᾗ ζεύξαντες αὑτοὺς ἔχετε· οὐχ ἑνὶ δεσμῷ μόνον περιβαλόντες οὐδὲ δυσίν, ἀλλὰ μυρίοις, ὑφ' ὧν ἄγχεσθε καὶ πιέζεσθε πολὺ μᾶλλον τῶν ἐν ἁλύσει τε καὶ κλοιῷ καὶ πέδαις 633 M
ἑλκομένων. τοῖς μὲν γάρ ἐστι καὶ ἀφεθῆναι καὶ διακόψασι φυγεῖν, ὑμεῖς δὲ ἀεὶ μᾶλλον κρατύνεσθε τὰ δεσμὰ καὶ πλείω

ὁμοίως BM. ‖ 6. δᾷδας. δαίδας M. ‖ ἴασι. ἰᾶσι B, ἱστᾶσι Casaub, περιίασι Reisk. ‖ καὶ om. m. ‖ 7. ἐάσαντες. ἐλάσαντες BM. ‖ κἂν μικρόν. κἂν σμικρὸν B, πάμμικρον Reisk. ‖ 8. αἴθυγμα. θίγμα M. ‖ 9. καὶ ἐκλέλοιπε. sic dedi. in idem incidit Pflugk., καὶ λέλοιπε reliqui. Pflugkius sic quoque locum constituit: ἀνεῖται καὶ λέλυται citans Eur. Or. 930. ‖ 10. φυλάττετε. φυλάττεται M. — 6, 2. ἢ τὸν τοῦ. τὸν om. B. ‖ 3. τῶν M. Casaub., τὸν reliq. ‖ 4. νόμων M. Casaub., νόμον reliq. ‖ 5. πᾶσα. πᾶς M. ‖ συγχέοντα Casaub. r, συνέχοντα reliq. ‖ 6. τόν. τὸν δὲ M, malim τόνδε τόν. ‖ ἄτιμον ὑπάρχειν Obs. p. 65, Ἀθηναῖον ἐπάρχειν BM, Ἀθηναίων ἐπάρχειν vm, Ἀθηναίων ἐπάρατον εἶναι Casaubonus (idem τῇ ἀρᾷ τῶν Ἀθηναίων ἔνοχον εἶναι), Ἀθηναίας ἐπάρατον εἶναι Seldenus (qui servat συνέχοντα), ἀνθρώπων ἐπάρατον εἶναι Pflugkius. conf. Demosth. p. 640, 1. R. ‖ 8. αὑτῷ r, αὐτῶν reliq. ‖ οὖν. οὖν οὐκ Casaub. ‖ 9. τοῦτον. sic dedi. τοῦτον ἂν reliqui, unde ἀνασώζειν Casaub. ‖ 10. φαίην om. M. — 7, 3. ζεύξαντες. ζεύσαντες M. ‖ αὑτοὺς B, αὐτοὺς reliq. ‖ οὐχ ἑνί. οὐκ ἐν BM. ‖ 4. περιβαλόντες Pflugk., περιβάλλοντες reliq. ‖ καὶ πιέζεσθε. καὶ πιέζεσθαι M, om. v. ‖ 5. ἁλύσει. ἀνύσει (corr. ἅλυσι) M. ‖ κλοιῷ. κλίῳ M. ‖ πέδαις. παῖδες M. ‖ 6. ἑλκομένων. εἱλουμένων Geel. ‖ ἔστι καί. ἐστὶν οὐκ M. ‖ 7. κρατύνεσθε. κρατύνεσθαι M.

καὶ ἰσχυρότερα ἀπεργάζεσθε. καὶ μή, ὅτι οὐχ ὁρᾶτε αὐτά, ψευδῆ καὶ ἄπιστον ἡγεῖσθε τόνδε τὸν λόγον· σκοπεῖτε δὲ Ὁμήρου τοῦ καθ' ὑμᾶς σοφωτάτου, ποῖ ἄττα δεσμὰ τὸν Ἄρη φησὶ κατασχεῖν,

ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσιν, —
ἠΰτ' ἀράχνια λεπτά, τά γ' οὔ κέ τις οὐδὲ ἴδοιτο.

8 μὴ οὖν οἴεσθε τὸν μὲν Ἄρη θεὸν ὄντα καὶ ἰσχυρὸν οὕτως ὑπὸ λεπτῶν τε καὶ ἀοράτων πεδηθῆναι δεσμῶν, αὐτοὺς δὲ πάντων θηρίων ἀσθενεστάτους ὄντας μὴ ἄν ποτε ἁλῶναι δεσμοῖς ἀφανέσιν, ἀλλ' εἰ μὴ σιδήρου τε καὶ ὀρειχάλκου πεποιημένα εἴη. τὰ μὲν οὖν σώματα ὑμῶν, οἷα δὴ στερεὰ καὶ τὸ πλέον γῆς γέμοντα, τοιούτων δεῖται τῶν κρατησόντων· ψυχὴ δὲ ἀόρατός που καὶ λεπτὴ φύσει πῶς οὐκ ἂν δεσμῶν τοιούτων τυγχάνοι [κατὰ τὸν Ἥφαιστον αὐτόν]; 440 R II.
ὑμεῖς δὲ στεῤῥοὺς καὶ ἀδαμαντίνους πεποίησθε πάσῃ μηχανῇ πλεξάμενοι καὶ τὸν Ἥφαιστον αὐτὸν ὑπερβεβλημένοι τῇ τέχνῃ τε καὶ σπουδῇ πρὸς τὸ πᾶν ὑμῶν μέρος τῆς ψυχῆς καταδεδέσθαι
9 καὶ μηδὲν ἐλεύθερον εἶναι μηδὲ αὐτόνομον. τί γὰρ ἦν ἡ Κνωσίων εἱρκτὴ καὶ τὸ τοῦ Λαβυρίνθου σκολιὸν πρὸς τὴν σκολιότητα καὶ τὸ δυσεύρετον τῆς ἀφροσύνης; τί δ' ἡ Σικελικὴ φρουρὰ τῶν Ἀττικῶν αἰχμαλώτων, οὓς εἰς πέτραν τινὰ ἐνέβαλον; τί δ' ὁ Λακώνων Κεάδας καὶ τὸ παρὰ Πέρσαις οἴκημα μεστὸν τέφρας; ἢ νὴ Δία εἴ τινας κόρας χαλεποὶ πατέρες, ὡς ὁ τῶν ποιητῶν λόγος,

8. ἀπεργάζεσθε. ἀπεργάζεσθαι M. ‖ 10. ὑμᾶς. sic dedi. ἡμᾶς reliq. ‖ ἄττα. ἅττα Iacobs. et Cod. Paris. apud Boisson. Anecdt. II, p. 278. ‖ 11. φησὶ om. M, φασι B. ‖ 12. ὠκύτατόν. Od. 8, 331. ‖ 13. ἠΰτ' Od. 8, 280. ‖ τά γ' Od. l. l., τά κ' reliq. — 8, 4. ἀλλ' εἰ. εἰ Reisk., πλὴν εἰ Pflugkius. at conf. Orat. 31, § 75. Seldenus post εἴη quaedam excidisse opinatur. ‖ ὀρειχάλκου. ὀριχάλκου BM. ‖ 5. πεποιημένα Reiskius (idem ἐκπεποιημένα), εὖ πεποιημένα reliq. ‖ ὑμῶν. ἡμῶν B. ‖ στερεά. στεραιὰ M. ‖ 6. γῆς M, ὀργῆς reliq. ‖ τοιούτων. sic dedi. τοσούτων reliq. ‖ δεῖται Geelius, δεῖ reliq. ‖ κρατησόντων. κρατησάντων M. ‖ 7. πῶς οὐκ Geelius, πῶς reliq. ‖ 8. [κατὰ τὸν Ἥφαιστον αὐτόν] delenda esse vidit Geelius. de hoc loco sic iudicat Reiskius, aut deesse aliquid post v. τυγχάνει, quale εἰ μὴ καὶ χαλκέων τύχοι, aut deletis v. κατὰ τὸν Ἥφαιστον αὐτόν infra post Δαίδαλον interponit καὶ τὸν Ἥφαιστον αὐτόν. Casaubonus cum Interprete v. κατὰ τὸν Ἥφαιστον αὐτόν post ἀδαμαντίνους transponit. ‖ 9. δὲ. γε Geel. ‖ καὶ ἀδαμαντίνους. καὶ om. m. ‖ πεποίησθε. πεποιῆσθαι M. ‖ 10. Ἥφαιστον. sic dedi. conf. v. 8. Δαίδαλον reliq. — 9, 1. ἦν. ἂν (corr. vulg.) M. ‖ 3. δ' ἡ M, δὲ ἡ reliq. ‖ 4. πέτραν. πέραν B. ‖ 5. Κεάδας BMA, Καιάδας reliq. ‖ παρά. πα (corr. vulg.) M. ‖ 6. εἴ τινας. εἴ τινες B, οἵ τινας M.

χαλκέων περιβόλων ἐφρούρησαν εἰρκταῖς.

οὐδὲ ἐγὼ νήφειν ἐν τοῖς λόγοις ἔτι μοι δοκῶ τῶν ἀνθρωπίνων συμφορῶν μνησθεὶς ἐπὶ πλέον καὶ τῆς αἰσχρᾶς καὶ δυσχεροῦς δουλείας, ἣν δεδούλωσθε πάντες· ὅθεν οὐ νημάτων ἐστὶ M λεπτῶν εὐπορήσαντας ἐξελθεῖν βοηθείᾳ κόρης ἄφρονος· ὥσπερ ἐκεῖνοι Θησέα φασὶν ἐκ Κρήτης σωθῆναι· εἰ μή τις αὐτῆς οἶμαι τῆς Ἀθηνᾶς παρισταμένης καὶ σωζούσης ἅμα.
10 εἰ γὰρ ἐθέλοιμι πάσας εἰπεῖν τὰς εἱρκτὰς καὶ τὰ δεσμὰ τῶν ἀνοήτων τε καὶ ἀθλίων ἀνθρώπων, οἷς ἐγκλείσαντες αὐτοὺς ἔχετε, μὴ σφόδρα ὑμῖν ἀπηνής τε καὶ φαῦλος δόξω ποιητής, ἐν οἰκείοις τραγῳδῶν πάθεσιν. οὐ γὰρ μόνον, ὡς οἱ δόξαντες ὑμῖν κακοῦργοι, πιεζοῦνται τραχήλου τε καὶ χειρῶν καὶ ποδῶν, ἀλλὰ καὶ γαστρὸς καὶ τῶν ἄλλων μερῶν ἑκάστου R II ἰδίῳ δεσμῷ τε καὶ ἀνάγκῃ κατειλημμένου. οἱ δ' εἰσὶ ποικίλοι τε καὶ πολύτροποι· καί μοι δοκεῖ τις ἂν ἰδὼν τῇ ὄψει τερ-
11 φθῆναί τε καὶ σφόδρα ἄγασθαι τὴν ἐπίνοιαν. πρώτη μὲν γὰρ οἶμαι πρὸς ἕκαστον ἔστη δέσποινα χαλεπὴ μὲν ἄλλως καὶ δυσμενὴς καὶ ἐπίβουλος ἰδεῖν, εἰ δ' ἄρα καὶ μειδιῶσα, προσαπαντᾷ σαρδάνιον μάλα τοῖον, [χαλεπὴ δὲ ἡδονὴ] καὶ φέρει

9. οὐδὲ ἐγὼ Geel., οὐδέ τῳ reliqui, unde οὐδέπω Reisk., Pflugkius servato v. τῳ infra ἔτ' οἶμαι pro ἔτι μοι scribit. possit οὐδέ τοι. ‖ 11. ὅθεν οὐ νημάτων ἐστι λεπτῶν. sic dedi. ὅθεν μνημάτων ἐστὶν οὐ λεπτῶν M, ὅθεν νημάτων ἐστὶν οὐ λεπτῶν reliqui, unde ὅθεν οὐ λεπτῶν νημάτων ἐστιν Reiskius. de traiectione negationis iam Casaubonus monuerat. ‖ 13. ἐκεῖνοι Reiskius (idem ἐκεῖ), ἐκεῖνον reliq. ‖ Θησέα. τὸν Θησέα Reisk., Iacobsius delet, servat ἐκεῖνον. — 10, 2. ἀνοήτων. sic dedi. om. M (corr. θνητῶν), θνητῶν reliq. ‖ ἐγκλεισαντες. ἐγκλήσαντες M. ‖ αὐτοὺς. sic dedi. αὐτοὺς reliq. ‖ 3. ἔχετε. ἔχουσι r. ‖ 4. οἰκείοις. οἰκόοις (corr. οἰκίοις) M. ‖ 5. πιεζοῦνται. πιέζονται m. ‖ τραχήλου. ἐπὶ τραχήλου Casaub. ‖ 6. ἀλλὰ καί. sic dedi. καὶ om. reliq. ‖ μερῶν. ὀρῶν B. ‖ ἑκάστου Casaub. r, ἕκαστον reliq. ‖ 7. κατειλημμένου Casaub. r, κατειλημμένον reliqui. post hoc verbum excidisse quaedam statuit Reiskius. ‖ οἱ δ'. αἱ δ' r. ‖ ποικίλοι. ποικίλαι r. ‖ 8. τῇ ὄψει. sic dedi. τῇ om. reliq. — 11, 2. ἔστη Reisk. (idem εἶσι), ἐστι reliqui. προσεικαστός ἐστι Geelius pro v. πρὸς ἕκαστον ἔστη. ‖ δέσποινα. δέσποινα ἡ ἡδονὴ Reisk. ‖ 3. ἰδεῖν. εἰδεῖν M. ‖ προσαπαντᾷ. προς ἅπαντας M, πως ἀπαντᾷ Pflugk. ‖ 4. σαρδάνιον B, σαρδόνιον reliq. ‖ [χαλεπὴ δὲ ἡδονὴ] interpretis esse videntur. καλεῖται δὲ ἡδονὴ Cens. p. 372, quod retracto, quod nec in proximis cupiditatis genus nominatur. locum sic constituit Casaubonus: χαλεπὴ οὐδὲν ἧττον, καὶ φέρει γε δεσμά. Geelius: χαλεπὴ δὲ ἡ ἡδονὴ καὶ φέρει δεσμά. Pflugkius: τοῖον, ἀλλ' οὐ πάντῃ γε ἡδονὴ καὶ φέρει δεσμά. ‖ φέρει Geel., φέρειν reliq.

δεσμὰ κατὰ τὴν αὐτῆς φύσιν εὐανθῆ καὶ μαλακὰ τὴν πρώ-
την, οἷς εἰκός ἐστι καταδεῖσθαι βασιλεῖς ἢ τυράννους καὶ
πάντας, ὅσοι μακαρίων παῖδες κέκληνται· τούτων δὲ χαλε-
12 πώτερον οὐδὲν οὐδὲ μᾶλλον ἐμφύεται καὶ πιέζει. μετὰ δὲ
ταύτην ἦλθεν ἑτέρα κλοιόν τινα φέρουσα χρυσοῦν ἢ ἀργυ-
ροῦν· τοῦτον δὲ περιθεῖσα ἕλκει μὲν ἰδιώτας περὶ πᾶσαν γῆν
καὶ θάλασσαν, ἕλκει δὲ βασιλεῖς καθ' Ἡσίοδον, σύρει δὲ
πόλεων στρατηγοὺς ἐπὶ πύλας, ὥστε ἀνοίγειν καὶ προδιδόναι.
φησὶ δὲ κήδεσθαι τούτων, οὓς ἂν ἀπολλύῃ, καὶ ποιεῖν εὐδαί-
μονας· ὥσπερ Ἀστυάγην ποτὲ Κῦρος ἐν χρυσαῖς ἔδησε πέδαις
13 ὡς ἂν δηλονότι πάππου κηδόμενος. πολὺ δ' ἂν ἔργον εἴη διεξ-
ιέναι καὶ πάσας τὰς ἰδέας τῶν δεσμῶν. ἕνα δ' οὖν ἄξιον
μὴ παρεῖναι, τὸν παραδοξότατον αὐτῶν καὶ ποικιλώτατον,
ὃν ἡ χαλεπωτάτη φέρει δέσποινα, χρυσῷ καὶ ἀργύρῳ καὶ 442 R II.
παντοίοις λίθοις τε καὶ ψήφοις καὶ ζώων κέρασι καὶ ὀδοῦσι 610 M.
καὶ ὀστράκοις, ἔτι δὲ ἁλουργέσι βαφαῖς καὶ ἑτέροις μυρίοις
τισίν, ὥσπερ ὅρμον πολυτελῆ καὶ θαυμαστὸν ἀσκήσασα καὶ
πολλά τινα ἐν αὐτῷ σχήματά τε καὶ μορφὰς μιμησαμένη,
στεφάνους τε καὶ σκῆπτρα καὶ τιάρας καὶ θρόνους ὑψηλούς·
καθάπερ οἱ περιττοὶ τεχνῖται κλίνας τινὰς ἢ θύρας ἢ ὀροφὰς
οἰκιῶν κατασκευάζοντες ἕτερ' ἄττα μηχανῶνται φαίνεσθαι·
λέγω δὲ οἷον θυρῶν ἐξοχὰς θηρίων κεφαλαῖς ἀπεικάσαντες
14 καὶ κιόνων ὁμοίως. ἔτι δὲ καὶ ἦχος ἐν τούτῳ καὶ φωνὴ παν-
τοία κρότων τε καὶ ποππυσμῶν [καὶ ἠχεῖ ταῦτα τὰ δεσμά].
πάλιν οὖν τοῦτον περιβάλλει δημαγωγοῖς τε καὶ βασιλεῦσιν.

5. αὐτῆς. αὑτῆς M. ‖ 7. πάντας. πάντες BM. ‖ κέκληνται. κέκληται M. — 12, 2. ἦλθεν delet Geelius. ‖ 4. βασιλεῖς. καὶ βασιλεῖς ἐπὶ θρόνους Reisk. ‖ Ἡσίοδον. post hoc v. aliquid excidisse, quale ὥστε ἁρπάζειν καὶ φονεύειν, existimat Reisk. ‖ 6. φησὶ Obs. p. 66, φασὶ reliq. ‖ κήδεσθαι τούτων Casaub., καὶ δεῖσθαι τούτων BM. vm, καὶ αἰδεῖσθαι τούτους r. ‖ 7. Ἀστυάγην. ἀστυάγειν M. ‖ πέδαις. πίδες (corr. vulg.) M. — 13, 2. καὶ πάσας. καὶ om. M. ‖ ἕνα. ἔνθα BMA. ‖ ἄξιον BM, ἄξιον εἶναι reliqui, unde ἄξιόν ἐστι Reisk., ἄξιον οἶμαι Iacobs. Add. p. 225. ‖ 3. τὸν. τὸ B. ‖ 8. σχήματά Obs. p. 66, ὄχημα M, ὀχήματά reliq. ‖ τε καὶ M, τε om. reliq. ‖ 10. καθάπερ οἱ. καθὰ M. ‖ κλίνας. κλείνας M. ‖ 12. ἐξοχὰς M. Reisk., ἐξοχαῖς reliq. ‖ κεφαλαῖς Reisk., κεφαλὰς reliq. — 14, 2. ποππυσμῶν. ποπυσμῶν B, πομπυσμῶν M. ‖ [καὶ ἠχεῖ ταῦτα τὰ δεσμά] critici alicuius Dionem cavillantis, non Dionis sunt. ‖ καὶ ἠχεῖ. κατηχεῖ Geel. ‖ 3. περιβάλλει. περιβάλλειν M. ‖ δημαγωγοῖς. δημαγωγοὶ M.

ἀλλ᾽ ὅπως μὴ πόῤῥω που αὐτοὶ φερώμεθα ὑπὸ τῆς εἰκόνος, ὥσπερ ὄντως εἰδώλῳ τινὶ λόγου ἐπακολουθοῦντες, ὡς Ὅμηρος Ἀχιλλέα ἐποίησε τῷ τοῦ Ἀγήνορος ἑπόμενον μακρὰν ἀπελθεῖν· ἱκανῶς ἔχει.

6. Ἀγήνορος Morell. ex Il. 21, 595. Ἀντήνορος reliq. || 7. ἔχει om. B.

APPENDIX I.

ΕΓΚΩΜΙΟΝ ΚΟΜΗΣ.

1 Ἀναστὰς ἕωθεν καὶ τοὺς θεοὺς προσειπὼν ὅπερ εἴωθα,
ἐπεμελούμην τῆς κόμης· καὶ γὰρ ἐτύγχανον μαλακώτερον τὸ
σῶμα ἔχων, ἡ δὲ ἠμέλητο ἐκ πλείονος. πάνυ γοῦν συνέ-
στραπτο καὶ συνεπέπλεκτο τὰ πολλὰ αὐτῆς, οἷον τῶν οἰῶν
τὰ περὶ τοῖς σκέλεσιν αἰωρούμενα, πολὺ δὲ ταῦτα σκληρότερα,
ὡς ἂν ἐκ λεπτοτέρων συμπεπλεγμένα τῶν τριχῶν. ἦν οὖν
ὀφθῆναί τε ἀγρία ἡ κόμη καὶ βαρεῖα, μόλις δὲ διελύετο, καὶ
2 τὰ πολλὰ αὐτῆς ἀπεσπᾶτο καὶ διετείνετο. οὐκοῦν ἐπῄει μοι
τοὺς φιλοκόμους ἐπαινεῖν, οἳ φιλόκαλοι ὄντες καὶ τὰς κόμας
περὶ πλείστου ποιούμενοι ἐπιμελοῦνται οὐ ῥαθύμως, ἀλλὰ
κάλαμόν τινα ἔχουσιν ἀεὶ ἐν αὐτῇ τῇ κόμῃ, ᾧ ξαίνουσιν αὐτήν,
ὅταν σχολὴν ἄγωσι· καὶ τοῦτο δὴ τὸ χαλεπώτατον, χαμαὶ
κοιμώμενοι φυλάττουσιν, ὅπως μηδέποτε ἅψωνται τῆς γῆς,
ὑπερείδοντες ὑπὸ τὴν κεφαλὴν μικρὸν ξύλον, ὅπως ἀπέχῃ τῆς
γῆς ὡς πλεῖστον, καὶ μᾶλλον φροντίζουσι τοῦ καθαρὰν φέρειν
τὴν κόμην ἢ τοῦ ἡδέως καθεύδειν. ἡ μὲν γὰρ καλούς τε καὶ
φοβεροὺς ἔοικε ποιεῖν, ὁ δὲ ὕπνος, κἂν πάνυ ἡδὺς ᾖ, βραδεῖς
3 τε καὶ ἀφυλάκτους. δοκοῦσι δέ μοι καὶ Λακεδαιμόνιοι μὴ

Hanc declamationem ut Dionis affert Synesius Ed. Petav. p. 64. c.—65 d. his verbis praemissis: *δεῖ δὲ οὐδὲν ἐξελίττειν τὸ βιβλίον, ἀλλ᾽ αὐτὸς ἐρῶ· καὶ γὰρ οὐδὲ πολύστιχόν ἐστι, γλαφυρὸν μέντοι, καὶ τὸ κάλλος αὐτοῦ προσιζάνει τῇ μνήμῃ, ὥστε οὐδὲ βουλόμενον ἐπιλαθέσθαι με οἷόν τε.* demonstravit Geelius (Lettre à M. Hase sur le Discours de Dion Chrysostome intitulé éloge de la chevelure par I. Geel. Leyde 1839) integram hanc esse disputationem, non ut vulgo existimabatur, fragmentum; at Dionis esse non persuasit mihi. conf. Praefat c. I. § 16. — 1, 1. *προσειπὼν ὅπερ* Geel., *προσειπών, ὅπερ* reliq. ‖ 2. *τὸ σῶμα* Cod. n. 1040. ‖ 4. *οἰῶν τὰ περί. ὀΐων τὰ ἔρια τὰ περὶ* Geel. — 2, 7. *ὑπὸ τὴν κεφαλὴν* Geel., *ὑπὲρ τὴν κεφαλὴν* Codd. 1039 et 1040, *ὑπὸ τῆς κεφαλῆς* reliq. ‖ 10. *φοβερούς. φοβεροὺς αὐτοὺς* Cod. 1039.

ἀμελεῖν τοῦ τοιούτου πράγματος, οἳ τότε ἥκοντες πρὸ τῆς μάχης τῆς μεγάλης τε καὶ δεινῆς, ὅτε μόνοι τῶν Ἑλλήνων ἔμελλον δέχεσθαι βασιλέα, τριακόσιοι τὸν ἀριθμὸν ὄντες, ἐκάθηντο ἀσκοῦντες τὰς κόμας. δοκεῖ δέ μοι καὶ Ὅμηρος πλείστης ἐπιμελείας ἀξιοῦν τὸ τοιοῦτον· ἀπό γε μὲν ὀφθαλμῶν οὐ πολλάκις ἐπαινεῖ τοὺς καλούς, οὐδ' ἀπὸ τούτου μάλιστα ἡγεῖται τὸ κάλλος ἐπιδείξειν· οὐδενὸς οὖν τῶν ἡρώων ὀφθαλμοὺς ἐγκωμιάζει ἢ Ἀγαμέμνονος, ὥσπερ καὶ τὸ ἄλλο σῶμα ἐπαινεῖ αὐτοῦ, καὶ οὐ μόνον τοὺς Ἕλληνας ἑλίκωπας καλεῖ, ἀλλ' οὐδὲν ἧττον καὶ τὸν Ἀγαμέμνονα τὸ κοινὸν ἐπὶ
4 τοῖς Ἕλλησιν· ἀπὸ δὲ τῆς κόμης ἅπαντας· πρῶτον μὲν Ἀχιλλέα·

ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

ἔπειτα Μενέλαον, ξανθὸν ἐπωνομάζων ἀπὸ κόμης· τῆς δὲ Ἕκτορος χαίτης μέμνηται·

— ἀμφὶ δὲ χαῖται
κυάνεαι πεφόρηντο.

Εὐφόρβου γε μὴν τοῦ καλλίστου τῶν Τρώων ἀποθανόντος οὐδὲν ἄλλο ὠδύρετο λέγων·

αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

5 καὶ τὸν Ὀδυσσέα, ὅταν ἐθέλῃ καλὸν γεγονότα ὑπὸ τῆς Ἀθηνᾶς ἐπιδεῖξαι· φησὶ γοῦν·

κυάνεαι δ' ἐγένοντο ἔθειραι.

πάλιν δὲ ἐπὶ τοῦ αὐτοῦ·

— καδδὲ κάρητος
οὔλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

καὶ πρέπειν γε μᾶλλον τοῖς ἀνδράσι φαίνεται καθ' Ὅμηρον ὁ κόσμος ὁ τῶν τριχῶν ἢ ταῖς γυναιξίν. γυναικῶν γοῦν περὶ κάλλους διεξιὼν οὐ τοσαυτάκις φαίνεται κόμης μεμνημένος. ἐπείτοι καὶ τῶν θεῶν τὰς μὲν θηλείας ἄλλως ἐπαινεῖ· χρυσῆν γὰρ Ἀφροδίτην καὶ βοῶπιν Ἥραν καὶ Θέτιν ἀργυρόπεζαν· τοῦ Διὸς δὲ μάλιστα ἐπαινεῖ τὰς χαίτας·

ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος.

3, 2. οἳ τότε ἥκοντες. οἳ τωθάζοντες Geel., οἳ τότε ἠριστηκότες Hasius. ‖ 6. μὲν. sic dedi. μὴν reliq. ‖ 8. οὖν om. Cod. 1039, γοῦν Geel. ‖ 12. ἅπαντας. πάντας Codd. 1039 et 1040, ἐπαινεῖ Geel. — 4, 8. ὠδύρετο. malim ὀδύρεται. — 5, 8. τῶν τριχῶν Codd. 1039 et 1040. Morellus, τῶν om. reliq. ‖ 10. χρυσῆν γάρ. χρυσῆν λέγων Geel.

APPENDIX II.

Epistolae Dionis (?) e codice Ottoboniano. conf. Add. §. 9 et 10.

Ἐπιστολαὶ Δίωνος.

I.

Συνίστημί σοι τὸν φέροντα τὴν ἐπιστολὴν ἄνδρα πράγματα μὲν ἔχοντα δι' ἀντιδίκου φιλονεικίαν, αὐτὸν δὲ τοῖς φίλοις παρέχειν οὐ βουλόμενον, ἔτι δὲ καὶ τἆλλα οἷον ἂν σὺ ἐπαινέσαις, μέτριος καὶ ἐπιεικής. τὸ γὰρ τοῦ γένους καὶ πολιτικοῦ ἀξιώματος οὐδ' οἶμαί σε δεῖσθαι πυνθάνεσθαι. καὶ γὰρ καὶ ταῦτα αὐτῷ ὑπάρχει.

II.

Ῥούφῳ.

Τερένιον τὸν ἐμὸν ἑταῖρον φθάνεις μὲν ἐπιστάμενος, οὔπω δὲ ἱκανῶς, ὅσον ἐγὼ βούλομαι. οὐδὲ γὰρ νῦν ἂν δυναίμην ἴσως εἰπεῖν ἅπαντα τὰ προσόντα αὐτῷ· τοσαῦτα μέντοι ἄξιον αὐτὸν μαρτυρῆσαι, ὡς καὶ γέγονεν ἡμῖν ἐκ πλείονος φίλος καὶ ὅσα πεῖραν ἤδη τῷ χρόνῳ δέδωκε, καὶ περὶ τοὺς λόγους πρότερον μὲν ἐζήλωσε, νῦν δὲ καὶ ὑπερεβάλετο. ἔστι γὰρ ῥήτωρ ἀγαθός, ἔτι δ' ἂν γένοιτο βελτίων σοὶ συνὼν καὶ ὑπὸ σοῦ προαγόμενος. σὺ δέ μοι τὰ πολλὰ περὶ πολλῶν χαριζόμενος ἐν τοῖς μάλιστα ἂν χαρίζοιο καὶ Τερένιον σαυτοῦ νομίζων.

I, 4. *ἐπαινέσαις*. sic dedi. *ἐπαινίσῃς* codex. ‖ 5. *οὐδ' οἶμαι*. sic dedi. *οὐ δίομαι* codex.

II, 1. *Τερένιον*. malim *Τερέντιον* hic et 9. ‖ 2. *νῦν ἄν*. sic dedi. *ἄν* om. cod. ‖ 5. *καὶ ὅσα*. malim *ὥστε*. ‖ 6. *ὑπερεβάλετο*. sic dedi. *ὑπερεβάλλετο* cod.

III.

Εὐσεβίῳ.

Παρόντα σε βλέπειν οἴομαι ταῖς ἐπιστολαῖς ἐντυγχάνων αἷς ἐπιστέλλεις, ὥστ' εἰ γράφοις μοι συνεχέστερον ἥκιστα ἐπὶ τῇ ἀπουσίᾳ δυσχεραίνοιμι.

IV.

Εὐσεβίῳ.

Ἀνιαρὰ μὲν εἶναι τὰ συμβάντα δράκοντα καὶ κακῶν ἔσχοντα τίς οὐκ ἂν ὁμολογήσειεν, ἀνθρώπινα δὲ καὶ πολλοῖς ἤδη γεγενημένα. διὸ καρτερεῖν μὲν ἐπ' ἐκείνοις ἀνάγκη καὶ φέρειν ἑκόντας· δεῖ γάρ, κἂν ἄλλως ἔχοι κἂν σφόδρα τοῦ πάθους ἡττῷτο· ὑπὲρ δὲ τῶν ὄντων ὁρᾶν ὀρθῶς, ἵνα τὰς μὲν συμφορὰς ἄριστα διηνυκέναι δοκῇ, περὶ δὲ τοῦ ζῶντος οὐκ ἄριστα φρονεῖν.

V.

Σταβιανῷ.

Οὐκ ὄκνῳ τοῦ γράφειν οὐδ' ὑπεροψίᾳ τινὶ σεσιώπηταί μοι τὰ πρότερον· καὶ σοὶ ἂν ὁμολογούμενον εἶναι σχετλιώτατον ἀνθρώπων, εἰ τέχνῃ μὲν τὸ λέγειν ἀσκήσας ἐπιστέλλειν οὐκ ἐβουλόμην, ἠμέλουν δὲ φίλου, ᾧ καὶ συνεχόρευσα τὰ Μουσῶν καὶ τὰ ἱερὰ συνετελέσθην, ὅσα δὴ πάντων ἐν Ἕλλησιν ἁγιώτατα.

III, 2. *γράφοις.* sic dedi. *γράφεις* cod. || *ἥκιστα.* malim *ἥκιστα ἄν.* || 3. *δυσχεραίνοιμι.* sic dedi. *δυσχεράνοιμι* cod.

IV, 1. *δράκοντα.* num *Δράκοντι* vel *Δρακοντίδᾳ*? || 2. *ἔσχοντα.* imo *ἔσχατα.* || 4. *ἑκόντας.* malim *ἑκόντα.* || *κἂν.* malim *κεὶ.* || *κἂν.* malim *κεὶ.* || 6. *οὐκ.* malim abesse.

V, 1. *οὐκ ὄκνῳ* cod. Neapol., *οὐ καὶ ὄκνῳ* cod. Ottob. || 2. *ὁμολογούμενον.* imo *ὡμολόγουν ἐμαυτόν.* || 4. *φίλου.* sic dedi. *φίλε* cod.

APPENDIX III.

Scholia quaedam e Codice Urbinate 124 excerpta a Cobeto.

Orat. I, §. 1. *ἐν Ἀλεξανδρείᾳ τῇ Νειλώᾳ πρὸς Οὐεσπασιανὸν αὐτοκράτορα.* perperam.

Orat. IV, §. 116. *ὥσπερ ἐν ἀγῶνι σφιττοῖ τρίτον εἰσάγειν* (at *ν* erasum) *χορὸν ὡς ἐκεῖ τὸν φιλότιμον.*] *ὁ Σφιττὸς δῆμος τῆς Ἀττικῆς, ἀφ' οὗ καὶ Χαιρεφῶν ἦν ὁ Σωκρατικός. σκηνικοῦ δὲ ἀγῶνος ἐκεῖ τελουμένου τρίτος εἰσήγετο χορὸς οὐδενὶ τῶν ἄλλων σκηνικῶν ἀγώνων τοῦτο νενομισμένον.* Ineptum hominem! *Cobetus.*

Orat. VII, §. 44. *οὐχ ἥκιστα μὲν τὰ κρέα ἡμεῖς*] *συνακουστέον τὸ δοῦναι θέλοιμεν, ἵνα ᾖ οὕτως· μάλιστα δοῦναι ἡμεῖς θέλοιμεν τὰ κρέα, ἅτινα δὲ ἂν ᾖ δίδομεν, τά τε ἐν ἁλσὶ τά τε ξηρὰ καὶ υ* (superscr. *π*. sc. *ἐκ*) *καπνοῦ.* — §. 52. *μὴ γὰρ εἴη κερδᾶναι κῆδος τοιοῦτον*] *κῆδος ἐνταῦθα τὸ κτῆμα λέγεται. καὶ ἡ συγγένεια κατ' ἐπιγαμίαν καὶ τὸ πένθος καὶ ἡ θεραπεία καὶ ἡ λύπη καὶ ἡ φροντίς.* — §. 55. *ἐν τοῖς φασκωλίοις*] *φασκώλια ταινιοειδῆ βαλλάντια ἐξ ὑφασμάτων λινέων, ἃ καὶ τοῖς βραχίοσι ἔσθ' ὅτε καὶ ταῖς ζώναις πειλίουσι* (*π* superscr. *ε*. scribe *περιειλύουσι*) *καὶ δὴ νῦν καλοῦσι βαρβαρικώτερον φοῦνδας. δοκῶ* (scr. *δοκεῖ*) *δέ μοι καὶ τὰς καλουμένας φασκίας ἐντεῦθεν παρωνομάσθαι. ἔχει γάρ τι λείψανον ἡ λεγομένη φασκία τοῦ φασκωλίου, μᾶλλον δὲ μικρὰν παραποίησιν.*

Orat. XI, §. 23. *ἰάζειν ἅμα καὶ ἰαστὶ διαλέγεσθαι*] *ἰάζειν τὸ θρυπτικῶς διαζῆν καὶ πολυτελῶς, ἰαστὶ δὲ διαλέγεσθαι τὸ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασι διαλελυμένως χρῆσθαι καὶ λέξεσιν ἰωνικαῖς, ὡς τὸ ἀμβώσας καὶ τὸ ἀνακραινόμενον* (at

αυ compendio. fortasse *τὸ ἄνα καὶ τὸ ἀνόμενον*). — *ἄλλο. ἄλλο τὸ ἰάζειν καὶ ἕτερον τὸ ἰαστὶ λέγειν. ἰάζειν γὰρ τὸ ἰωνικῶς φθέγγεσθαι, ἤτοι τὸ κατὰ διάλυσιν τὰ ὀνόματα καὶ τὰ ῥήματα προφέρειν καὶ εἴτι ἕτερον τῶν στυχείων* (scr. *στοιχείων*) *μεταλαμβάνοντας. ἰαστὶ δὲ διαλέγεσθαι τουτέστιν κατὰ τὸν τῶν ἰώνων τρόπον συντάξεις τινὰς τοῦ λόγου παραλαμβάνειν ἢ καὶ ἰδιάζοντά τινα ὀνόματα προφέρειν, ἃ ἡ κοινὴ λέξις ἐφ' ἑτέρων παραλαμβάνει.* — §. 27. *βατταρίζουσι*] *βατταρίζειν τὸ ἐπισεσυρμένως φωνεῖν καὶ συγκεχυμένως, ὃ καὶ βερβερίζειν οἱ ἰδιῶται φασιν διαφθείροντες τὴν λέξιν.* — §. 92. *οὐκ ὄντων δὲ ἑτέρων ποιητῶν*] *ποιητὴς μὲν οὐδείς ἐστι τούτων πρὸ ὁμήρου μεμνημένος. δίκτυς δὲ ὄνομα κρὴς, ὃς παρατυχὼν τῷ τρωικῷ πολέμῳ γράφει* (legitur *γράφῃ*) *τε τὰ πραχθέντα ἐκεῖ χαλκοῖς* (legitur *χαλκαῖς*) *πίναξι καὶ ἑαυτῷ συνθάπτει. οἳ καὶ εὑρέθησαν χρόνῳ μακρῷ ὕστερον ἐπὶ νέρωνος ἓξ καὶ βιβλίοις κατετέθησαν συμφώνοις κατὰ πάντα ὁμήρῳ.*

Orat. XII, §. 10. *τὸ γιγνώσκειν τοὺς σοφούς τε καὶ δεινοὺς*] *ἔοικεν ἀπολλώνιον λέγειν τὸν τυανέα ὁμόχρονον αὐτῷ ὄντα.* — §. 39. *ἐξ αὐτῶν γιγνομένην τῶν ἔργων*] *ποίων; τῆς εὐτάκτου τῶν ὄντων δηλαδὴ φορᾶς τε καὶ διεξαγωγῆς καὶ διακοσμήσεως καὶ οἰκονομίας καὶ τοῦ μηδὲν γίγνεσθαι εἰκῆ καὶ μάτην, ἀλλὰ σὺν λόγῳ τε καὶ τάξει. διὸ καὶ παῦλος ὁ θεῖός φησιν· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων* (legitur *κτησμάτων*) *ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. εἰ γὰρ κτιστὰ, παρὸ κτίσμα καλεῖται, ἔχει πάντως τὸν κτίστην. πόθεν δὲ, ὅτι κτιστά; ἀπὸ τοῦ μὴ ἀΐδια εἶναι καὶ ἄφθαρτα, ἀλλ' ἐν διηνεκεῖ ῥύσει τε καὶ γενέσει, τοῦ μὲν ὡς ἐν ποταμίῳ ῥεύματι ὑπεκρέοντος, τοῦ δὲ εἰσιόντος τε καὶ ἐπιγινομένου· οὐκ ἂν ἐπεισιόντος* (sic Cobetus. legitur *ἐπισιόντος*) *καὶ ἐπιγινομένου, εἰ μὴ τὸν* (sc. *διὰ τὸν*) *ἐπεισάγοντα καὶ ποιοῦντα* (*καὶ*) *κατευμεγέθει. ἀλλ' ὅτι* (sc. *κατευμεγεθοῦντα τὰ*) *ῥευστὰ ταῦτα καὶ φθορᾷ ὑποκείμενα. καὶ διότι ῥευστὰ παῦλος πάλιν ὁ θεῖος ἐπιδείκνυσι μετὰ τοῦ καί τινι κρείττονι γνώσει τούτων ἡμᾶς ἐμβιβάζειν οὕτως πως τῷ λόγῳ διεξιών· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. τί διὰ τούτων δηλῶν; ἢ πάντως, ὅτι ἀσώματος ὢν καὶ μηδενὶ παραβαλλόμενος σωματικῷ εἴδει καὶ σχήματι καὶ ὄγκῳ καὶ μεγέθει. ἀπὸ γοῦν τῶν ἔργων αὐτοῦ*

τεκμήραιτ' (legitur τεκμέρετ') ἄν τις οὐ μόνον τὸ ὑπερμεγεθὲς αὐτοῦ, ἄλλο (superscr. τ. scribe ἀλλ' ὅτι) καὶ ἄναρχος καὶ αἰώνιος ὢν ποιητής ἐστι τοῦδε τοῦ φθαρτοῦ καὶ ἀλλοιωτοῦ κόσμου. οὐδὲν γὰρ τῶν ὑπό τινος ποιουμένων ταυτότητι τοῦ ποιοῦντος καταλαμβάνεται, εἰ μὴ καὶ πολλῷ τῷ μέσῳ τὸ διάφορον κτώμενον.

Orat. LXXII, §. 1. ἐξωμίδα] ἡ μὲν ἐξωμὶς χιτὼν ἦν λευκὸς, ἄγναπτος, ἄσημος, κατὰ τὴν ἀριστερὰν πλεύραν ῥαφὴν οὐκ ἔχων. ἦν δὲ καὶ περίβλημα. ἐλέγετο δὲ καὶ χιτὼν ἑτερομάσχαλος διὰ τὸ μὲν (sc. μίαν) ἔχειν μασχάλην, ἀφ' ἧς καὶ ἡ χεὶρ εἶχε τὴν ἔξοδον. ἡ γὰρ ἀριστερὰ γυμνὴ ἀπὸ τῶν ὤμων καθότι ῥαφὴν οὐκ εἶχεν τὰ ἐ (κατὰ Cobetus. an τὰ ἐπὶ?) τὴν ἀριστερὰν πλευρὰν τὸ χιτώνιον, ἀλλὰ περιήγετο κατὰ ταύτην τὸ ὕφασμα ἐνειλημένον (sc. ἀνειλημμένον), παρὸ καὶ χειρίδος ἠμοίρει. καὶ ἡ μὲν ἐξωμὶς τοιαύτη. ἡ δὲ κοσσύμβη ἱμάτιον θυσανωτὸν ἦν τὰ ἄκρα τῶν στημόνων, ἃ δὴ κροσσοὺς καλοῦμεν, ἀπερίτμητα ἔχον (legitur ἔχων). διογενιανὸς δὲ ἐξωμίδα φησὶν, ὃ χιτῶνος ὁμοῦ καὶ ἱματίου παρεῖχε χρείαν· χιτῶνος μὲν διὰ τὸ ζώννυσθαι, ἱματίου δὲ, ὅτι τὸ ἕτερον μέρος ἀνεβάλλετο. κοσσύμβην δὲ ἕτεροι λέγουσιν ἐγκόμβωμα ὃ αἱ κρῆσσαι φοροῦσιν, ὅμοιον ἀσπιδίσκῃ, καὶ περίζωμα αἰγύπτιον. ἡ δὲ διφθέρα ἱμάτιον ἦν γεωργικὸν παχὺ ἤτοι ἀπὸ σκύτους ἔξω τὴν τρίχωσιν προβεβλημένον ἢ ὑφαντὸν ἐξ ἐρέως αὐτοῦ (at ου compendio) ἐξώμαλλον (scribe ἐξ ἐρίου ὡσαύτως ἐξώμαλλον), ψῦχος καὶ ὑετὸν ἐπιτήδειον ἀποστέγειν.

Hinc intelligitur et ipsa scholia ista perfutilia esse et scholiastam corruptis admodum Dionis exemplis usum esse.

ADDITAMENTUM AD PRAEFAT. C. II.

Quod significavi Praef. c. II § 6, fore ut de Codd. Romanis certiora quam in Praef. referre possem, non ad irritum spes mea cecidit. Hoc quoque Geelii benignitati debeo. Cobetus enim, vir acumine pariter et diligentia spectabilis, Codd. Romanos Dionis omnes evolvit et scripturae diversitatem e plurimis enotavit. Has vero schedas ad Geelium transmisit; Geelius illas mecum communicavit. Accepi haec praestantissima subsidia quo tempore secunda pars Dionis typis perscribi coepta erat; pleraque ad ea pertinebant, quae a typothetis iam erant absoluta; haec ad calcem libri reperies. Quae licebat suo loco inseri, inserui. Horum pars longe maxima ipsi debetur Cobeto; quaedam eius amicis Badhamio et Tischendorfio. Cobetus autem non modo scripturae varietatem e libris multis excerpsit, sed de universa Codicum forma religiosissime exposuit. Haec igitur praemittam; subiiciam scripturae diversitatem ad *meam* editionem diligenter exactam.

CAPUT I.

DE CODICIBUS DIONIS ROMANIS VENETO ET NEAPOLITANO.

§ 1. Cod. Vat. 99 (V). conf. Praef. II, § 7. form. 4. saec. circiter XI. explicit verbis *καὶ τὸ ἐξηπατῆσθαι πολὺν χρόνον* Orat. XI, § 125. cetera perierunt. Omnia huius Codicis Dionea contulit Cobetus cum ed. Reiskiana.

§ 2. Cod. Vat. 91 (H). conf. Praef. II, § 8. bombyc. form. max. saec. XIII. insunt alia quaedam et aliquot Oratt. Dionis.

contulit Cobetus Or. VII. LII et LIII (cum ed. Reisk.), Or. LIV—LVIII (cum ed. Venet.), Orat. LXII—LXIV (cum ed. Venet.), Badham Orat. LXV—LXX usque ad § 3 (cum ed. Reisk.), Cobetus Orat. LXXV—LXXVII (cum ed. Reisk.) Oratio autem VII sequitur Orat. LXXVII. fere cum P conspirat, quo vetustior est et maioris auctoritatis. nondum igitur hoc libro melior inventus est.

§ 3. Cod. Vat. 123 (X). conf. Praef. II, § 9. chart. forma VIII saec. XIV—XV. constat foliis 442. insunt fol. 1—9. Dionis Orat. VIII et VI usque ad § 50. explicit ita: *οὐ ῥᾴδιον μὴ ἄλλων ἀφαιροῦ*—; fol. 9—12 epigrammata quaedam; fol. 12 usque ad finem Herodotus. contulit Cobetus Orat. VIII cum ed. Reiskii.

§ 4. Cod. Vat. 1336 (F). chart. form. max. saec. XV. insunt et alia et fol. 97 *δίωνος τοῦ χρυσοστόμου ῥητορικαὶ μελέται* hoc ordine: Or. X. VIII. IX. VI. XXX. XXIX. XVI. XVII. XXI—XXVI. XLIV. LXIII—LXIX. LXXIII—LXXX. XIV. XV. XI. fol. 168 sic explicit Or. XI: *τέλος τῶν τοῦ δίωνος τοῦ χρυσοστόμου λόγων.* sequuntur *προλεγόμενα τῶν ἀριστείδου λόγων.* contulit cum ed. Reisk. Cobetus Or. VIII. X. XI inde a § 55 usque ad § 146 (hinc usque ad finem Orationis Badham). XVII. XXIX. XLIV. De hoc libro sic iudicat Cobetus: „Fere conspirat cum vulgata. parum aut nihil boni continet.“

§ 5. Cod. Palat. 117 (P). conf. Praef. II, § 12. sic explicit fol. 165: *ἐνταῦθα νῦν ἔσχηκεν ἡ βίβλος τέλος τῶν τοῦ σοφοῦ δίωνος ἡδίστων λόγων.* fol. 176 incipit alius Codex priori agglutinatus. insunt Oratt. hae: LXII. LXIII. LII. LIV, Plutarchi *περὶ ἀρετῆς καὶ κακίας*, Synesii quaedam, alia perfutilia, *οὐδὲν ὑγιές.* contulit cum hoc Cod. Cobetus Or. I—X. XII. XIII. LIII. LXII. LXIX—LXXVII. Cobetum quoque huic libro plurimum tribuisse hinc intelligitur, quod prope totum contulit, pleraque cum exempl. Reisk., cum ed. Ven. LXIX—LXXII.

§ 6. Codex Vaticanus 1383 (Q). membran. forma 12 saec. XV. e libris Fulvii Ursini. Insunt *διογένης ἢ ἰσθμικὸς ἐκ τοῦ δίωνος τοῦ χρυσοστόμου* (Orat. IX), aurea carmina, quaedam Platonis et Isocratis. Contulit Cobetus cum ed. Reiskii. nihil facit ad Dionem emendandum.

§ 7. Codex Urbinas 123. membran. forma IV saeculi XIV—XV. insunt paucae Dionis Orationes, plurimae Aristidis. Orat. XVI. XV. LIII, sequuntur multae Oratt. Aristidis. fol. 394. r. LIV. LV. LII. XVIII. X. his manus recentior quaedam excerpta subiecit, 1) locum e Rhodiaca (XXXI) *δίωνος ἐν τῷ ῥοδιακῷ: θεαγένης ἦν — ἀνὴρ* § 95—97. 2) ex Alexandrina (XXXII) *νῦν μὲν γὰρ ἁμαρτάνετε — τοῦ θεοῦ* § 3. 3) e Tarsica II (XXXIV) *ἀνὴρ φρὺξ — τὸ σύμβολον* § 5—6. contulit Cobetus Orat. XV cum ed. Ven., XVI et XVIII cum ed. Reisk.

§ 8. Codex Urbinas 124 (U.) conf. Praef. II, § 10. membr. form. IV mai. saec. XIV. insunt Dionis Oratt. omnes eodem ordine, quo in ed. Veneta. adscripta sunt scholia multa in mrg. ab homine christiano neque docto neque acuto, credo Arethae episcopi, cuius de Dione commentatio libro praemissa est (conf. Praef. c. II § 19). Hactenus Cobetus. Scholia aliquot excerpta reperies in Appendice III. contulit cum hoc libro Cobetus Orat. XXXI usque ad § 23 (ed. Ven.), XXXII usque ad § 19 (ed. Reisk.), deinde passim aliquot eiusdem Orationis, porro XXXIII, XXXVII locos. verissime autem indicavit Cobetus deterioris hunc codicem generis esse.

§ 9. Codex Ottobonianus N. 90. chart. forma max. saec. XV. insunt *δίωνος τοῦ χρυσοστόμου ῥητορικαὶ μελέται* Orat. I—IV. XXXVIII. XXXIX. XLI. XL. XVIII. LXXV. fol. 62. *ἐπιτάφιος περικλέους. (οἱ μὲν πολλοὶ τῶν ἐνθάδε—). ἀπολογία σωκράτους πρὸς τοὺς δικαστάς (Σωκράτους δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι—).* fol. 70. *ἐπιστολαὶ ἰουλιανοῦ.* fol. 73. *ἰσιδώρου πηλουσιώτου ἐπιστολαί.* fol. 75. *ἀνδρονίκῳ τῷ καλλίστου νικόλαος ὁ σεκουνδινὸς εὖ πράττειν· πρεσβεύοντι παρὰ τῷ μεγίστῳ.* fol. 77. *βησσαρίων καρδηνάλη μιχαὴλ τῷ ἀποστόλῳ· ἀφίκετο ὡς ἡμᾶς βραδύτερον μὲν ἢ αὐτὸς ᾤου —.* fol. 79. *ἐπιστολαὶ ἡρακλείτου. ἡράκλειτος ἑρμοδώρῳ εὖ πράττειν· ἄχρι τίνος — σὺ δὲ χαῖρε ἀγαθὸς ὤν. — βασιλεὺς δαρεῖος ἡράκλειτον ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει:* (subscriptis punctis notata ut delenda) his continuantur: *καλλινίκου εἰς τὰ πάτρια ῥώμης· οὔτε ἡ καθ' ἡμᾶς γῆ πρὸς ἕτερον οὐδὲν ἐναρμόστως εἶχε —. ἁλοῦσά τις φαρμακείας οὐχ οἵα τε ἦν καυθῆναι. ὑπέσχετό τις γυνὴ καύσειν αὐτὴν καὶ ἔκαυσεν. ἀξιοῖ ἀδριανὸς ὁ ῥήτωρ καὶ ταύτην καῆναι:* — sequuntur aliae declamationes

eiusdem, tum τοῦ αὐτοῦ περὶ προόδου τοῦ βαβυλωνίων βασιλέως et alia quaedam perfutilia. fol. 84. ἐπιστολαὶ δίωνος numero V, quas reperies in Appendice II. — sequuntur Epistolae Aeschinis Socratici et fol. 86. φιλοστράτου ἐπιστολαὶ ἐρωτικαί. His addit Cobetus: „In Codice Neapolitano 218 chart. forma max. saec. XV, qui continet collectionem Epistolarum, reperiuntur fol. 106. r. ἐπιστολαὶ δίωνος. sunt eaedem, quae leguntur in Cod. Ottoboniano, nulla scripturae discrepantia, nisi in initio Ep. V. οὐκ ὄκνῳ τοῦ (ubi Ottobon. οὐ καὶ ὄκνω τοῦ). contulit Cobetus Orat. XXXVIII usque ad § 11, addens: „Cetera excutere non est tanti."

§ 10. Codex Neapolitanus I. E. 15. conf. Praef. II, § 40. chart. forma max. saec XV—XVI. liber pessime habitus ac minimi pretii. insunt Orationes Dionis paucae vitiose descriptae. ultima est Orat. XIX, quam contulit Badhamius usque ad v. θαυμάζω καὶ ἀγαπῶ (§ 4, 4), quibus explicit liber.

§ 11. Codex Marcianus (Venetus) 422 (Y). conf. Praef. II, § 36. quod ibi repetii e Mor. Bibl. MSS., hunc librum fere conspirare cum altero Cod. Veneto (T), retractandum est. nam in Orat. XII fere cum P conspirat; in Orat. XXX longe corruptissimus est omnium, quos novimus Dionis librorum. contulit enim cum hoc libro Cobetus Orat. XII et Orat. XXX. ed. Reisk.

§ 12. Codex, quem significavi Praef. II, § 26, nunc asservatur, ut docuit me Kayserus, vir doctissimus, in bibliotheca Laurent.

ADDITAMENTA.

Scripturae diversitas e codd. Italicis enotata, ad meam vero editionem conformata.

Additum *sic* significat Codicis scripturam in mea quoque editione esse. addidi vero, ubi aliqua scriptura adhuc codicum auctoritate destituta erat. nec non indicavi, si quid vulgato praestabilius in his libris esse videretur, ita tamen ut minora fere praetermiserim. signum ' indicat novae paginae initium.

ORAT. I.

Contulit Cobetus cum V (Vaticano 99) et P (Palatino 117) exemplum Reiskianum.

p. 1. §. 2, 2. *οὕτως* V. — 3, 2. *καὶ* om. P. || 5. *δυνατὸν ἐρεῖν ἐξιούσης* P. ||
p. 2. *τὸν αὐτῆς* VP. — '6, 2. *τινα διελθεῖν* om. P. || 3. *αὔλημα δίκαιον φρόνιμον*
P, *δίκαιον αὔλημα καὶ φρόνιμον* V. || 5. *ὁρμώσης* P. — 7, 1. *ἐπαυδεῖν* (corr.
ἐπαυλεῖν) V. || 3. *ἀρεστὸν* (pro *πρέπον*) P. — 8, 7. *πρότερον* (sic) VP. —
9, 2. *καὶ πόθεν. καὶ* om. V. || 4. *ὅσον* VP. hoc igitur reponendum
p. 3. est. || '6. *τῶν ἐντυγχανόντων* V. || 9. *ᾠδοὶ τινῶν* P. — 10, 4. *δεῖ. δὴ*
P. — 12, 4. *πολλοῖς τισι* VP. — 13, 5. *προσέχοντος* V. || 6. *τε* om.
p. 4. V. || '8. *ἀλλ' οἷον* P. || *αὐτὸν* VP. || *ἀξιοῖ* V. — 14, 2. *ὁμοίως* om.
V. || 7. *θαυμάζωσιν* (sic) VP. || 9. *συγχωρεῖ τε καὶ ποιεῖ* P. — 15, 2. *οὕ-*
p. 5. *τως* P. || 6. *ἔστι δὲ* V. — '20, 3. *ἐπιμελομένους* P. || 7. *ἵλεω* VP. recte.
— 21, 2. *διὰ τὴν ἀρχὴν* om. P. || 7. *αὐτὰς* V. || *ὠφελοῦντες ἀεὶ* VP. —
22, 2. *εἰπεῖν* P. || 3. *τοὺς δὲ* (sic) P, *δὲ* om. V. || *μὴ δὲ* P. —
p. 6. '23, 4. *ἐστὶ τῆς ἡδονῆς ἀκόρεστος* VP (sic et B. nam in adn. crit.
hoc aberravit ad 24, 2.). || 5. *νενόμικεν* V. — 24, 2. *ἐστὶ* VP. —
25, 1. *δεδοίκασιν* V. || 2. *θαρροῦσιν* V. || 3. *πάντες* VP. || 6. *τῷ γε
μὴν* — *βιοῦν* om. V, in P mrg. addita, ubi legitur *μήτι τοῦ πεπον-
θότος περιγίγνεται βίος.* || 10. *ἀποδρᾶναι θέλειν* (sic) P, *ἀποδιδράναι
θέλειν* V. — 26, 2. *καὶ φρονικὸν* V, *καὶ σωφρονικὸν* P. — 27, 2. *καὶ*
p. 7. *εἰδὼς* om. V. || 4. *τυγχάνει* (corr. *τυγχάνῃ*) V. || '5. *ὥστε* (pro *ὥστ'*)
VP. — 28, 3. *οὐδέποτε* P. || *ἑώρακεν* V. || 5. *ἀνόητον* VP. || 7. *κύνας*

om. VP. || *μητεισαγρυπνήσειέν ποτε* (a sec. man. literis *σα* superscr. *υν*)
V. — 29, 4. *τῶν δ'* VP. || 5. *νεὼς* (sic) VP. — 30, 3. *ἀναγκάζοι*
VP. || 5. *γινόμενος* V. || 6. *μηδένα ὢν ἐπιθυμεῖν* P. || 7. *δ' ἑαυτὸν* V,
p. 8. *δὲ αὐτὸν* P. — 31, 1. *τοιούτου* V. || 2. *ἢ φίλου* V. || '3. *τίς δὲ δυσ-
χεραίνειν — ἀτυχίαις* om. VP. — 33, 6. *ψευσαμένους* P. — 34, 2. *μα-
καρίσειεν* P. || 4. *γὰρ* om. VP. || 6. *πάντας* VP, quod nunc retinen-
dum existimo. — 35, 3. *φυλάττουσι τίνος δὲ* V. || 4. *ὁ* ante *τίνος* om.
VP. (in adn. cr. scribe: 4. (pro 3.) *ὁ τίνος* Reisk. etc.) || *τοῦ διὰ μηδὲν*
p. 9. VP. — '38, 4. *ὅσοι ποτε* P. — 39, 2. *τε* om P. || 3. *καὶ Φύξιος* om. VP.
conf. Or. XII. §75. — 40, 3. *κηδαιμονίαν* V. || 5. *ἑταίριος* V. — 41, 4. *ἀν-*
p. 10. *θρώπων* VP. || 7. *γενέσθαι* VP. — '42, 2. *ὁποῖόν τε τὸ ξύμπαν αὐτό τε
ευδαιμον καὶ σοφὸν ἀεὶ διαπορεύεται* V, *ὁποῖόν γε τὸ ξύμπαν αὐτό τε γὰρ
εὔδαιμον καὶ σοφὸν καὶ ἀεὶ διαπορεύεται* P. apparet igitur sic scripsisse
Dionem: *ὁποῖόν γε τὸ ξύμπαν αὐτό τε εὔδαιμον καὶ σοφὸν ἀεὶ διαπορεύε-
ται.* || 3. *ἵν'* (pro *ἐν*) V. — 44, 3. *μιμεῖται* V. || 7. *αὐτῆς τε* V. || *πανθεὶς*
p. 11. VP. — 45, 4. *κοσμῇ* VP. — '46, 2. *ἢ* VP. || *ἀπώνατο πολλῆς* V. || 6. *ὀχή-
ματος* (pro *ἅρματος*) P. — 47, 4. *ζῶντι* V. || *τεθνηότι γ' ἐψιοωνται* V,
τεθνηῶτι γ' ἐφεψιόωνται P. || 6. *μέντοι* VP. || *φορεύουσιν* V (at *ευ* siglo).
|| 7. *τέ μιν* VP. — 48, 1. *ἥδιστα καὶ* VP. hoc igitur reponendum est.
— 49, 1. *μῦθον ἐθέλοις τινα* VP. hoc igitur Dioni restituendum. ||
2. *ἱερὸν καὶ ὑγιῆ* VP. hoc repone. || 3. *ἄτονος* V. — 50, 3. *γοῦν* VP.
p. 12. — '52, 6. *ἐν μεσημβρίᾳ* P. — 53, 1. *καὶ* (ante *καταλαμβάνω*) om.
VP (hic post *καταλαμβάνω* habet *οὖν*). — 54, 4. *αὐτῆς* V. || *ἔχει*
P. || 5. *νέμει* P. || 8. *γεννήσεως* P. — 55, 1. *ἐπεὶ* om. VP. || 2. *εἴς δε
τὸν τόπον* V. || *οὐκε . . . . άσω* (inter *ε* et *α* aliquid erasum est) V,
p. 13. *οὐ γὰρ ἐάσω* P. || '3. *καὶ* ante *μετὰ* om. P. || *ἤδη* V. — 56, 5. *δὲ*
om. P. || *ἀνδρί τε* VP. || 7. *μῦθον κἂν σοῦ* P. — 57, 1. *πάντων* P. ||
2. *οὐδὲν* P. || *ἐπίνοιαν* V. || 3. *τε* (pro *ποτε*) V. || 4. *ποτε* VP. || 5. [*ὡς
ἔστι μαθεῖν*] om. VP. — 58, 3. *ἐπινοίας* V (corr. *ἐπιπνοίας*). || 6. *ἐγρη-*
p. 14. *γόρως* VP. — 59, 3. *ἀλλὰ* om. V. || '5. *τότε — οὐ μόνον* ut reliqui
libri VP, nisi quod V om. *τῶν* ante *ἐκεῖ*, ambo autem habent *ταῦτα
μὲν οὖν*. — 61, 1. *πολύτροπος* P. || 2. *περιττὸς* VP. || 4. *εἴη* VP. —
64, 2. *ἐποιεῖτο ὁρμάς τε διδοὺς ἀγαθῶν ἀγώνων ἐσημαινε* (sic) *τε δι'*
p. 15. *οἰωνῶν* P. || 3. *ἐσήμηνε* V. — '65, 1. *ἐπεὶ δὲ* VP. sic igitur re-
scribe. || *ἑαυτοῦ* VP. || 2. *πλούτου* VP. || 5. *πολλὰ* om. V. || 6. *πολλοὶ*
VP. — 66, 2. *παρά του* V. || *πεμφθείη* P. || 9. *πολύ τε* V. —
67, 3. *εἰς αὐτὰς ἑκατέρα* V, *εἰς αὐτὰς ἑκατέραν* P. || 4. *πλατεῖα* V.
p. 16. — '68, 3. *ὥστ'* VP. || *ἐκείνους* P. || 4. *καὶ τῷ αἰθρίῳ* P. || 5. *κατω-
τέρα* P. — 69, 2. *τοῦτο δὲ ἦν ἡρακλέους* V. || 3. *τἄνδον* P. —
p. 17. 71, 5. *αὐτῇ* P. — 72, 3. *εὐθενούντων* V. || 6. *ζώιοις* V. — '75, 3. *ἐγγὺς
οὕτως* V. || 7. *πράξασθαι* V. — 76, 2. *δὴ* VP, quod nollem cum
Reiskio in *δὲ* mutassem. || 5. *φονεύοντες οἱ ταλαίπωροι παῖδές τε γο-
νεῦσιν ἐπιβουλεύοντες καὶ γονεῖς* P. || 6. *γονεῦσιν* V. || 8. *μετ'* P. —
77, 2. *ὁποίαν πρότερον* VP. || 3. *ἐπισφαλὴς καὶ* VP. totum igitur locum,
quem perperam constitui, sic scribe et interpunge: *ὡς μία μὲν ἐφαί-*

νετο πρόδηλος, καὶ αὐτὴ σχεδὸν, ὁποίαν πρότερον εἶπον, ἐπισφαλὴς
p. 18. καὶ π. cett. — '78, 4. ἄλλας τινὰς VP (quod me invito non rece-
ptum est). || 5. διαθέσεις VP. || 8. ἀκμάζων V. — 79, 4. ἦθος καὶ
ἀντὶ V. || 5. εσηρει V. — 80, 3. ὑφεώρα VP. || ἐτίμαζεν P. ||
4. ἠγνόει VP. || 5. περιέβλεπεν VP. || 7. ἥρπασεν ὅτι P. — 81, 2. ἀλουρ-
γίδων VP, quod Dioni reddendum est. || 5. ἠφίει VP, quod perperam
p. 19. cum m in ὑφίει mutavi. illud genuinum est. — '82, 2. αἷς V. —
83, 1. ἐτεθέατο (sic) P, ἐθεᾶτο V. ceterum augmenti omissio Dioni
usitatior est. || 3. τὰ πράγματα V, in P om. τῶν πραγμάτων καὶ πο-
τέρα. — 84, 7. βλάψοι P. || 8. ἀνημέρους ἀνθρώπους καὶ πονηροὺς
V. || 11. σοι om. V. || τυγχάνοις P.

ORAT. II.

p. 20. '1, 6. αὐτὸν VP. || 8. συνέπονται P. — 2, 3. ἀνιστῶντες P. ||
p. 21. 4. γε om. VP. — '3, 5. ὅτι μοι δοκεῖς ἐμῷ πάτερ P (corr. vulg.). —
4, 3. νικόντων V. || 4. κωμῳδοδιδασκάλων V. — 5, 4. δυναιτ' P. ||
5. παντ''σι (i. e. πάνταισσι) P. — 6, 2. ἢ πρέπ'' P. || προσέχειν καὶ
ἄνδρας (at σ erasum) V, in P siglum est, quod ἄνδρας significare
videtur, καὶ autem om. || 5. εἰ δὲ μή, πῶς V. || 7. ἥττωσιν V. —
7, 3. ἄχθομαι V. || 4. αὐτὸν ὁ Φίλιππος P. — 8, 2. ἄξιον om. V.
p. 22. — '9, 7. ἀτλαιγενέων V, ἀτλαγενάων P. || περιτελλομενάων V. ||
8. ἄρχεστ' V. || ἀμητοιο ἀροτοιο τε δυομενάων V, ἀμητοῖο ἀροτοῖο
δὲ δυσομενάων P. — 10, 5. ἐκεῖνα P. || 7. ἐλαύνοντες V, ἐλαύνουσιν
P. || 8. τὰ δὴ V. — 11, 2. τῷ ἐν P. || τὸ (ante ἐπὶ) om. VP. hoc
p. 23. igitur delendum est. || 5. ὕμνον V. — '12, 6. φήσας P. — 13, 1. γε-
λάσας ἔφη ἤδος ὦ Ἀλέξανδρε V (at corr. ἤδος in οἶδας mutavit),
γελάσας λέγει ἦ δ' ὅς ὦ Ἀλέξανδρε P. fortasse igitur sic scribendum
est: γελάσας· οἶδας, ἦ δ' ὅς, ὦ Ἀλέξανδρε. || 5. οὐ μέντοι V. —
14, 3. ὕμνησεν P. || 4. δὲ ἤρετο VP. — 15, 5. ὅρους VP. || 9. δυνά-
μεως κυριος ἄλλῳ V. — 16, 1. μικρὸν V. || ἀλλ' ὑπ' ἐμοῦ γε βασι-
λεύῃ ἔφη ὦ ἀλέξανδρε V, ἀλλ' οὐχ ὑπ' ἐμοῦ γε βασιλεύῃ ὦ. ἀ. P.
p. 24. hoc videtur a Dione scriptum esse. || '7. τηρείδων VP. hoc igitur re-
ponendum est. — 17, 3. πάβεται P. || 4. ἅμα τῇ V, ἅμα P. || καὶ
ἐπεξάτην (at καὶ del. corr.) P. || 7. καὶ τοὺς ὀλυμπιασι κηρυκος ἥδιστ'
ἀνακουοιμι φθεγγομένου V, καὶ τοῦ ὀλυμπίασι κήρυκος ἥδιστ' ἂν
ἀκούοιμ' ἂν φθεγγομένου P. || 9. ἂν ante αὐτὸς om. VP, nec eo valde
opus est. — 18, 5. εἴη V. || παρέχουσαν P. || 6. δεοιταβασιλεῖ V. || in
adn. crit. corrige: σὺ γοῦν. καὶ τοῦ M (mrg. vulg.). || 7. ἀντιλέγεις V. —
p. 25. 19, 1. καὶ VP. recte. || 2. τοῖς Ἀθηναίοις V. || '5. ἂν τῷ τε ἀχιλλεῖ V,
ἂν τῷ ἀχιλλεῖ P. || τῶν om. VP. hoc igitur delendum est. — 20, 2. τὸν
δὲ V. || 3. διομήδη V. || dele in textu καὶ ante ὑπερβάλλοντα, quod me
invito remansit. || 4. τῇ συνέσει τε καὶ P. in textu dele τε. — 21, 2. οἵους ὅ
p. 26. τε V. — 22, 4. πρὸς om. V. || 8. καταχεῖν (corr. vulg.) P. — '24, 3. προσ-

ἥκων (corr. *προσῆκον*) P. || 7. *γινόμενον τε ἴδωσι* V, *γειγνομενον τ' ἐσίδωσι* P. — 25, 2. *σὰς* om. V, num P dubium. — 26, 5. *χαίροντα* V, quid P habeat ignoro. || *ἐγγυτάτης τῶν* V. — 27, 4. *μόνην* VP. || *καὶ τὴν* VP. || 5. *λέγειν* P. — 28, 5. *σαρποὺς ἢ ἀνακρέοντος* P. (facile con-
p. 27. funduntur *ρ* et *φ*. *Cobetus*.) — '29, 3. *ἂν* om. V. — 30, 3. *τοῦτο ὑπὲρ οὗ* VP. || 5. *οὐκ ἔκλυτα* om. VP. || *οὐκ ἐρωτικὰ* P. || 7. *οὐδὲ* VP. || 8. *ἀλλ' ἐκ* P. — 32, 5. *κακοὶ* VP. || 6. *τυγχάνοντες* V. —
p. 28. '33, 1. *ἐφρόντιζε* P. — 34, 1. *τι δέ* VP. || 4. *ἠλέκτρῳ καὶ ἐλέφαντι* VP. hoc igitur reponendum est. || 7. *ἱλάσκεσθαι* VP (fortasse servandum). || *καὶ* om. VP. — 35, 2. *Σαρδαναπάλου* (sic) V (corr. *σαρ-*
p. 29. *δαναπάλλου*). P. || *περινινον* V, *περὶ νῖνον* P. — '36, 3. *μαρδωνίου* VP. || 4. *ἔχουσιν* VP. — 37, 7. *σχεδον ται οὐ πολὺ* V (at *ταὶ* siglo exaratum est), *σχεδὸν οὔτε πολὺ* (corr. *σχεδὸν τε οὐ πολὺ*) P. || *σεμειράμιδος* V. || 8. *ξέρξου βασιλέων* V, *ξέρξου τῶν βασιλείων* (at pr. m. *τῶν βασιλέων*) P. — 38, 3. *ὑψηρεφες* VP. || 4. *χρυσοῦ τε* V. — 39, 1. *αὐτὴν* P. — 40, 3. *ἀπεικάζει* VP (non deterius vulgato). || 5. *κρημὔναις* V.
p. 30. — '41, 2. *τὸ* (sic) V (corr. *τὰ*). || 7. *καὶ ἑτέρων* om. V. — 42, 5. *εἰς* om. P. || 6. *προσόδῳ* VP. quod nollem mutassem. || 7. *πολυδαβροσυνη δηλος ορᾶσθαι* V, *πολλῇ γ' ἀβροσυνη δῆλος ὁρᾶσθαι* (at *θαι* superscr.) P. igitur sic locum constitue: [*Μενέλαος δὲ*]

πολὺ δ' ἁβροσύνῃ δῆλος ὁρᾶσθαι. ||

8. *ταντᾰλιδῶν* V. — 43, 3. *παρεσκευασμένον* V. || 4. *ἐστι* V. || 5. *τριγχοις* V, *τριγκοῖς* (corr. *θριγκοῖς*) P. || *εὐεργεες* VP. hoc igitur
p. 31. repone. || 6. *δικλειδες* V. || *ὑπεροπλίσαιτο* V. — '44, 3. *γε* om. VP. || 6. *τῶν* om. V. — 45. *διομήδη* V. || 6. *αἴτημα λαβεῖν* P. — 46, 2. *φασι* V. — 47, 3. *καὶ τὸν* V. || *ἐστὶ* V. || 6. *ἐν Ἰθάκῃ καὶ ταῦτα* VP. — 48, 3. *ἣν*
p. 32. *γὰρ ἂν θέλῃ* V, *ἣν γὰρ θέλῃ ἂν* P. || '9. *μηδ'* V. || *ἀφικνεῖσθαι* corr. P (pr. man. *ἐφικνεῖσθαι*). — 49, 2. *ἥρωσι* VP. || 6. *τοῖς* om. V. || 8. *τρυφῶντάς* VP. || 9. *σπουδάζοντας* VP. igitur scribe *σπουδάζοντα*. — 50, 4. *οὐδ' ἄρα οἱ τό γ'* VP. hoc Dioni redde. — 51, 3. *ὁ* om. V. || 4. *ψελίων* V. || 5. *χαλκιων* V, *χαλκείων* P. — 52, 4. *δεδιότες* V. ||
p. 33. *σημάντορες* V. — '53, 2. *φασει* (at *ει* siglo) V. || 3. *πλεον ἐδοξεναν εὐθὺς* V. — 54, 1. *οὖν* om. VP. — 55, 3. *μήτε αὐλούντων μήτε κιθαριζόντων* om. P. || 4. *διδόντων* V. — 56, 5. *τε* post *ὀρχήσεις* om.
p. 34. VP. || 6. *καταλύειν καὶ ἀσελγεῖς* V. — '57, 1. *δὲ ὠμὲν ἅσεται* (corr. *δὲ ᾠδὴν μὲν ἅσεται*) P. || *καὶ* om. P. || 2. *πρέπουσαν μάλα* VP. sic igitur scribendum. || 4. *οἷον* P. || 5. *ἤγγειλεν* V. || 6. *πόλιος* P. rectius. || 9. *παρὰ τοῖς* P. — 58, 2. *ἢ οἷον*. *ἢ* om. VP. || 6. *τόνδε τ' ἄγωμεν* P. in textu corrige *δ'* pro *τ'*. — 59, 1. *οἷα ἡ* (sic) P, *οἷα* (om. *ἡ*) V. || 4. *ἄγετ' ὦ παρτα εὐάνδρου κουροι πατερων πολιηταν* V, *ἄγετ' ὦ σπάρτας εὐάνδρου κοῦροι πατέρων πολιητᾶν* (sic) P. || 6. *προβάλλεσθαι* P (corr. *προβαλ-*
p. 35. *λεσθε*). || 7. *βάλλοντες* V, *βάλλετε* P. — '60, 3. *γινομένην* V. || 5. *ὁ ποιητὴς* V. — 61, 2. *καὶ ἀριθμούμενον* V. — 62, 2. *αὐτους* V, *αὖ τοὺς* P. hoc reponendum. || 4. *ὦ* VP. || *δάμαλις* (corr. *δαμάλης*) P. || 6. *τε* V. || 7. *ἐπιστρέφεται* P. || *δὲ* VP. || 8. *ὑψηλᾶς* et *κορυφᾶς* P. || *ὀρέων*

κορυφάς. praefero nunc *κορυφὰς ὀρέων*, quamvis libris invitis. ‖
p. 36. 10. *ἔλθοις μοι* P. ‖ 11. *ἐπακούων* P. ‖ '12. *γ' ἀγαθὸς* P. ‖ *γίνευ* P. ‖
13. *δὲ ἔρωτα* V, *δέ τ' ἔρωτα* P. ‖ 14. *ὦ δ' εννυσε* V, *ὦδ' ἐν νῦ σε* P.
— 63, 1. *ἢ* VP. ‖ *τὰς* om. V. ‖ 4. *γενοίμαν* VP. ‖ *ἐλεφαντίη* (at *ιη*
siglo) P. ‖ 5. *φορέοιεν* V. ‖ 6. *γενοίμαν* VP. ‖ *μέγα* om. V. ‖ *καλὴ
γυνὴ* P. ‖ *φοροῖεν* V. ‖ Postrema huius scolii verba *καθαρὸν θεμένη
νόον* non a Dione, sed a librariis omissa puto. — 64, 6. *αἴσθαλοεν*
p. 37. V. — 65, 4. *πάντα* V. ‖ '6. *στρατειαν* V. ‖ *ἄλλους* om. VP. igitur
delendum est. — 66, 4. *οὕτως* VP. ‖ 6. *ἀγρομένοισι* VP (corr. *ἀγρο-
μένῃσι*). — 67, 1. *εἴρηκε μοι δοκεῖ* V. ‖ 3. *ἂν* om. VP. ‖ *παραβάλλων*
V, *παραβάλων* P. ‖ *προθυμίαν* VP. ‖ 7. Quod conieci, *λύκος*, retra-
cto. ‖ *ζώια* V. ‖ *οἱ* om. VP. ‖ 8. *γινόμενοι* VP. ‖ *αὐτῶν* VP. —
68, 2. *πεποίηνται* V. ‖ *ἑτοιμη καὶ διαιτη χρῆται νεμόμενος* VP, quod
p. 38. fortasse verum est. ‖ 3. *μηδὲν* VP. ‖ 5. *ἀνελλειπῆ* V. — '69, 4. *βοη-
θῶν προθυμούμενος σωιζειν* V, *βοηθῶν καὶ προθυμούμενος σώζειν* P. ‖
6. *θηρίων* om. VP. in adn. crit. adde post (Geel.): *θηρίων* om. reliq. ‖
χρὴ om. VP. — 70, 3. *φανῆναι* om. V, *δόξαι* P. hoc igitur praefe-
rendum. ‖ 4. *μὴ τὸ πολεμεῖν* V. ‖ 5. *τε καὶ ἄριστον* VP. quod reponen-
dum est. ‖ 6. *προσεισθαι* V (at *ει* siglo). ‖ *ἡγεμόνειαν* V. — 71, 3. *ἡγε-
μόνειαν* V. ‖ *τῶν ὑπηκόων σώζειν* V. ‖ 6. *ἄλλων* VP. ‖ 7. *ἢ δυνατον*
V. ‖ *εἴη παρατων* V, *εἴη* (om. *πάντων*) P. — 72, 3. *καὶ τὴν μακα-
ριωτέραν* V. ‖ 5. *θεῷ* V. ‖ *ἀποφαίνοντα τιμιώτατον πρῶτον μὲν αὐτὸν
p. 39. ἔπειτα* P. ‖ 6. *τοὺς ἄλλους* om. V. — '73, 4. *τοὺς δὲ ἔξωθεν ἐπι-
βουλεύοντας* V. — 74, 1. *ἔμψυχον* V. ‖ 4. *ηκοντα* V. ‖ 5. *γίνηται* V.
— 75, 3. *καὶ θεῶν* om. P. ‖ 7. *ὀξύτερος διαβολῆς* V, *ὀξύτερος ὑπὸ
p. 40. διαβολῆς* P. ‖ 10. *αὐτοῦ* VP. — 76, 2. *αὐτοῦ* VP. — '77, 3. *μή τις*
VP. ‖ 6. *ἂν θυρσον τὸν Σκύθην.* quod favet coniecturae Wytten-
bachianae (*Ἰδάνθυρσον*).— 78, 3. *τε* VP. ‖ 4. *ἠξίωσαν* VP. ‖ *καὶ καθάπερ*
V. — 79, 3. *στάγειραν* P. ‖ 6. *καὶ* om. VP. in fine legitur in V: *περὶ βα-
σιλείας β. ἀλεξάνδρου πρὸς τὸν πατέρα διάλεξις ὡς δεῖ τῇ παρ' Ὁμή-
ρου δόξῃ τὸν βασιλέα πείθεσθαι. καὶ τὰ ἔπη προθεὶς εἰς διδασκαλίαν
τῇ ἀριστοτέλους πάντων μᾶλλον ἁρμόζειν ἱκανόν φησι παιδεῦσαι τὸν
ποιητήν* (fort. *ὡς διδασκαλίᾳ — ἁρμόζοντα*).

ORAT. III.

p. 41. '1, 3. *τῶν Περσῶν* VP. ‖ 5. *γινώσκειν* P. ‖ 6. *ἄλλοθεν* V. ‖
χρυσευμάτων V. ‖ 7. *ἢ πολλῶν ἀνθρώπων* P. ‖ 8. *τε αυτου* V. —
2, 4. *αὐτοκράτωρ* V. ‖ *τῆς σῆς φύσεως* P. — 3, 4. *ἐπεὶ δὲ ὁρῶ* V,
ἐπειδὴ δὲ ὁρῶ P. — 4, 1. *ἀπολαύοντα* V, *ἀπολάβειν* P. ‖ 2. *ῥαθυ-
μοῦντά τε ὡς* P. ‖ 4. *οὐδενὸς ὅ τι βούλεται* VP. — 5, 1. *οὗτος ἀνὴρ*
p. 42. P. ‖ *νομιμότερος* V. ‖ '6. *τροφῆς* VP. — 6, 2. *ἢ* om. VP. ‖ 3. *μόνου*
P. ‖ *ὅτ' ἂν δὲ* V, *ὅταν δὲ* P. ‖ *ὑπακούωσι* VP. ‖ 5. *ἀνήριθμα δὲ*
VP. ‖ *ἀνθρώπων καὶ μικτὰ ἀνθρώποις* V, *ἀνθρώπων καὶ ἄμικτα*

ἀλλήλοις P (sic et in C). repone igitur particulam καὶ, quae me in-
vito omissa est. || ἀποβλέπῃ VP. || πάντων οὗτος (sic) P (in V aut ita,
aut πάντων δὲ omisso οὗτος). — 7, 2. ὀφελεῖ V. || 2. βουλεύεται δὲ
V. || 4. ἅπαντας VP, quod reponendum est. || 5. αὐτὴν V (corr. αὐτῆς),
αὐτῆς P. — 8, 2. νικῶν P. || 3. παρατάττοντα VP, unde Cobetus
πράττοντα scribendum esse existimat. — 4. μόνον P. || 5. ὥστε περι-
ετερου πονειν ανάγκαιον V, ὥστε περὶ ἑτέρων πονεῖν ἀναγκαίων P. ||
p. 43. 6. τοῦτο P. — '10, 4. τίνι δὲ ἀνδρείας — σώζεται leguntur post
πάντα ἔξεστι VP. hoc igitur Dioni restituendum est. || 5. ἔξεστι VP. —
11, 2. εὐφρανεῖ V. || 4. μήτε πράξαντι μηδὲν V. — 12, 1. λέγω δὲ (om. καὶ)
P. || 2. ἐν πλείονι P, quod nunc praefero. — 14, 1. καὶ τοίνυν πάντες VP.
— 16, 2. ὁπόταν VP. || οἱ (sic) V, εἰς P. || 3. ἀηδέστερον VP. || 4. κολα-
κεύειν; ἄλλον γὰρ ἀδίκως ἐπαινῶν τις αὐτὸς δίκαιος ψέγεσθαι. καὶ
p. 44. μὴν V. — 17, 1. οὐδὲ εὔδοξον V, οὐδὲν ἔνδοξον P. || '2. ἀρετὴν τοῦτο
V, ἀρετήν τις τοῦτο P (τις me invito in texto omissum esse ostendit
adnot. crit.). || ἐπιτηδεύῃ (sic) VP. || τις ἂν εὕροι (sic) P, τις om. V et
ante ἂν et post εὕροι. — 18, 3. ἀληθῶς (sic) VP. || καὶ τό γε VP, quod
nunc praefero. || 4. δίδωσιν (sic) VP. || 6. ἐργάζονται om. VP. deleas
igitur. — 19, 1. οἶμαι ποτε VP. || ὁ πονηρὸς P. || 5. τῶν ἐν αὐτῷ πραγμά-
των P. || 7. εἶναι om. VP. itaque deleas. — 20, 3. ἢ μὴ χαρίζεσθαι
V. — 21, 1. αὐτίκα τὸν VP. || 3. αἴσχιστον VP. || 4. ἢ τὸν V. || 5. ουδε
p. 45. αν τον ανοητον V. || '6. πιθανώτερος VP. || 8. γὰρ ὑπὲρ ἑαυτοῦ VP. quod
ferri potest. — 23, 2. καταγινώσκεται VP. — 24, 3. ἅμα καὶ δικά-
ζει V, ἅμα δικάζει P. — 25, 1. μήτε ἐγὼ P. || 4. τὸ ποῖον V. —
26, 1. ποιεῖσθαι (sic) VP. || 5. εἴωθε V. — 27, 3. τὰ αὐτὰ περὶ
p. 46. VP. || '6. ἀληθεύουσιν VP. — 28, 1. τινα om. VP. libris igitur paren-
dum est. || 4. ὑγιείας V, ὑγίας P. || 5. ἰατροὶ V. || 7. δικαίως καλοῦνται
P. — 29, 3. τὴν περὶ om. V. || 4. ὁ ἐκεῖνο (sic) VP. — 30, 5. μὲν
ποιῆσαι πεζεύεσθαι θαλατταν V. P habet scripturam a me receptam.
— 31, 2. θάλασσαν V. — 32, 3. σκόπει γὰρ τοῦτο om. VP. nec iis
p. 47. valde opus est. — '33, 3. ἀσθενέστατος V. || 4. μηδὲ ἕνα (sic) VP. ||
κεκτημένον V. || 5. διατρυψαι V, διαθρύψαι P. recte. || μακελη V. —
34, 5. οὐδὲ τῆς ἡδονῆς VP. || 7. ἀλλὰ καὶ μέγιστα P. || πῶς οὐ σφόδρα
ηττωμενον γυναικῶν, ηττομενον δε ευνούχων V, πῶς οὐκ ἄνανδρος
σφόδρα ἡττώμενος μὲν γυναικῶν ἡττώμενον δὲ εὐνουχων P. — 35, 1. σὺ
τὸν ἰσχυρὸν VP. || 3. ἄλλως (corr. ἄλλοις) ἀλλ' οὐδὲ ἑαυτῷ V, ἄλλοις
ἀλλ' οὐδὲ ἑαυτῳ P. igitur ἄλλοις praeferendum. — 36, 1. ἐκεῖνο
μέντοι οἶσθα (sic) P, ἐκεῖνο μὲν οἶσθα V. || 2. ὦ Σώκρατες P. —
p. 48. 37, 3. μέρους om. V. — 38, 2. ἄρα VP. || '3. τούτων ἅπαντες VP.
igitur scribe τούτων, ἃ πάντες. || 5. γινώσκειν VP. — 39, 2. προ-
έστηκεν VP. || εἴρηκας V. || εἰ μὲν εὐγνώμων V, εἰ μὲν οὖν εὐγνώμων
P. recte V. || 5. πρῶτος εὐδαίμων καὶ φρόνιμος ὢν V, πρῶτος
καὶ φρόνιμος εὐδαίμων ὢν P. || 6. καὶ τῆς VP. || οὐ διδαχθεὶς το τε
αυτου V, οὐ δι . . . . τό τε αὐτοῦ P. — 40, 2. πληστα V. || 5. ὑπηρετας
αὐτους τρυφῆς V. — 41, 2. μονῆς VP. || 3. κτήμασιν V, κτήμασιν (at

corr. κτήνεσιν) P. in adn. crit. adde: κτήμασιν reliq. || 4. φθείρων
VP. hoc igitur repone. || 7. τύραννον κελευστῆρα VP. || ὥς ποτε VP,
non deterius vulgato. || 8. ὁ Ἀπολλώνιος P. || 9. ὑπακουεν αὐτῷ (corr.
p. 49. ὑπακουειν) V, ὑπακούοι ἐν αὐτῷ P. — '43, 1. ταῦτα δὲ V. || 3. post
ἀρχὴ addunt VP: βασιλεὺς δὲ καὶ αὐτοκράτωρ ὁ αὐτὸς ἀνυπεύθυνος
ἄρχων. — 44, 3. ἰσχύει V. || οὕτως VP. || 4. αὐτοκράτορος καὶ βασι-
λέως VP. — 45, 1. ὀνομάζεται VP. || γινομένων V. || 2. τε VP. || 4. εὖ
om. V. — 47, 1. σχεδὸν καὶ σ. VP. || σωφροσυνη καὶ ἀρετη V, σωφρο-
σύνη καὶ ἀρετὴ P. || 2. καὶ κατάστασιν V. || 3. νμον (pro νόμιμον) V.
p. 50. — '48, 2. καὶ παράνομοι VP. || 3. δυνατη τε τυραννὶς V, δυνατὴ τυ-
ραννὶς P. || 6. συστᾶσα P. — 49, 1. δ' P. || 4. καὶ δημαγωγῶν V. ||
5. μεταβαλομένου V. || ἀλλ' ὡς ὑπεμνήσθη P. || 7. δυναμένου V. —
50, 1. εὐδαιμονίας VP. non deterius vulgato. || 5. σμήνεσιν διασημαι-
νούσης VP. || 7. ἂν om. VP. || 8. ἀριστῳ θεῶ τα περι τοῦ διος (lacuna)
τοσοῦτος δὲ ὢν V. eadem, sed sine lacuna in P. igitur sic locum scribe:
ἀρίστῳ θεῷ τάττεται. τοιοῦτος δὲ ὤν. nam τῷ Διὶ vel τὰ περὶ τοῦ
Διὸς mrg. adscripta videntur. — 51, 3. θεραπεύσει VP, non dete-
rius vulgato. || 4. ἔχοι V. — 52, 1. ἡγεῖτο V, νομίσει P. || 3. ἐκεῖνος
P. || 4. τῶν om. VP. igitur deleas. || 5. παρανομον δε των θεων V. ||
p. 51. '6. θεραπεύειν VP. || 7. αὐτοὺς σπουδάσει P. || τούτους· ἐκείνους V. ||
9. μετὰ τὴν V. — 53, 2. οὐ μόνον οὐ V. || 3. τοὺς τὰ ἱερὰ P. || 5. ἀνο-
ήτους καθόλου V. — 54, 3. μεταβαλλούσας V, μεταβαλούσας P (at corr.
μεταβαλλούσας). — 55, 4. et 5. αὐτοῦ VP. || 7. ὡς (pro ᾧ) V. || 8. ἄχθε-
σθαι ἅτε προσηκούσας αὐτῷ νομιζων V, ἄχθεσθαι ἅτε προσηκούσας
αὐτῶν νομιζων τὰς ἐργασίας P. — 56, 1. οὕτω (sic) VP. || 5. κυνη-
γέτης ὡς ἀεὶ θηρῶντα κάμνειν V, κυνηγέτης εἰς ἀεὶ θηρῶν κάμνει P.
p. 52. (in adn. critic. dele: [καίτοι—κυνηγεσίᾳ] suspecta.) — '57, 1. οὔ γε
μὴν P. || 2. αὐτοὺς ἀνεχεσθαι V. || 4. ἔλαττον V. || ὄντα om. V. —
62, 3. ἀσθενίας V. — 63, 2. καὶ μηδὲ VP. hoc igitur reponendum
p. 53. est. || 7. ἕως τε ἐγένοντο V. num ἔστε? — '64, 5. περιπεσῶν P. || πέ-
τρες P. — 65, 3. κλέψειεν V. || 5. παράγειν τὸ P. — 66, 3. τροφῆς
καὶ ὑγιείας τῆς ἑαυτοῦ μόνης τε καὶ σωτηρίας (omissis reliquis) P. —
68, 1. δὲ οἱ καθ' V, δὲ καθ' P. || 4. ὅτε VP. || ἀπολιπούσης P. || 7. σκύ-
λει (at eadem manu superscr. σκύλλει). || 7. καὶ πολλὰ μὲν ἀνιᾶται
λυπουμένη VP. — 69, 1. σῶμα παρούσης αὐτῶ μόνον P. vide ne sic
scripserit: σῶμα αὐτὸ μόνον παρούσης. || 3. ἢ om. V. || 4. καὶ om. V. ||
γίνεσθαι P (in V est γίγνεσθαι). || δι' ὀρρωδίαν VP. hoc igitur repone. ||
p. 54. '5. τοῦτο VP. || 7. θαλάσσης VP. || 8. ταλαιπορώτερον V. — 71, 2. πλεῖν
P (at corr. πλέον, cui superscriptum est siglum, quod πλέειν signifi-
care videtur). — 72, 2. σαρδαναπαλλος V. || 3. ἐπιταισχρου V, ἐπὶ
τ' αἰσχροῦ P (at ου a corr. deletum et superscr. ω). — 74, 4. μὲν
ζῶα V. || 7. τὸ ζῆν V. || 75, 1. ἥπου VP. || 2. post ἰσχυράν punctum
p. 55. repone. || 6. ἀκοσμίαν ἔχοντα φανῆναι V. — '76, 3. τε om. V. || μα-
κρᾶς P. || ἀεὶ om. V. || ἀγαπῶν ὁδὸν V, ἀπιὼν ὁδὸν P. repone igitur
ἀγαπῶν. — 77, 3. ἕνεκα P. || 3. δεόμεθα δὲ πάντων μάλιστα ἡμεῖς

VP. hoc repone. || 7. *παράσχη* (sic) P, *παράσχοι* V. || 78, 2. *πάλιν ταλα*
(ead. man. superscr. *ταλλα*) *καὶ ἡμεῖς* V. || 5. *ἀφ᾽ ἡμῶν ἀφιστάμενος τὸ* V.
— 79, 1. *οὕτως* V. — 80, 3. *καὶ τρόπον τινὰ λανθάνειν. καὶ συνεθίζων*
p. 56. *ἡμᾶς* V. || *διὰ* om. V. || 4. *διὰ* om. V. — '81, 3. *ἄγωμεν* V. || 4. *ἐγρη-
γορέναι χρόνον* VP. me invito *χρόνον* in texto omissum est. || 6. *περι-
στάμενος* V. — 82, 3. *ἦ που* VP. || 4. *τοιοῦτο* VP. — 83, 2. *ὑγίειαν*
P. || 3. *σωτηρίαν ἐν δε δόξαν* V, *σωτηρίαν καὶ δόξαν* P. || 6. *γίγνονται*
V, *γίνωνται* P. || *πόνους ἀεὶ χαλεποτέρους ποιεῖ φαίνεσθαι. ὁ γὰρ ἀεὶ
τρυφῶν ἄνθρωπος* V (reliquis omissis). in P est, quod recepi, at *μὲν*
p. 57. deest inter *τοὺς* et *πόνους*. — '58, 3. *εἰ μὴ τάχιστα ἀπολοῦνται
ἀλλὰ καὶ μᾶλλον ἥτι τούτων ἑώρα δεομένους αὐτοὺς* V, *εἰ μὴ τάχιστα
ἀπὸ λοῦνται ἀλλὰ καὶ μᾶλλον ἥτινος τούτων ἑώρα δεομένους αὐτοὺς* P.
— 59, 1. *πλείους ἡ μὲν* V. || 2. *οὐδένα* V, *οὐδενὸς δὲ* P. || *τοσοῦτό γε
μᾶλλον* P. || 4. *καὶ* pro *ὡς* VP. || *τε μὴ* (sic) VP. || 5. *πολεμικῶν* V. —
60, 2. *καὶ* om. VP. || 4. *πόσῳ δὲ* V. — 61, 3. *ἡ* ante *τῶν* om. V. ||
4. *εὐφρονειν* V, *εὖ φρονεῖν* P. || *γνώμην* VP. || 5. *ποτε θαρρύνειν* V. ||
p. 58. '6. *ἥδιον* V, *ἴδιον* P. — 86, 1. *ὁ δὲ φιλίαν γε μὴν* P. || *νενόμικε* VP.
sic scribe. || 3. *τὸ βασιλεύειν* VP. || 4. *οὐδ᾽ ἂν οὕτω — τῶν φίλων* om.
V. || *οὕτως* P. — 87, 4. *σπουδαιότερα* VP. — 88, 2. *συμβάλωσιν* (sic)
VP. — 90, 1. *τούτων μὲν ἄλλων* V. || 2. *καὶ ἀχρησιμα* V. — 91, 2. *πάν-
τως ἡδονήν* VP. || 3. *διὰ τοῦτο οὐκ εὐθὺς* V. || 4. *τὰ* om. P. || *ἀξύμφορα*
p. 59. P. — '92, 2. *ἐστὶ* om. V. — 93, 1. *καὶ οἰκίαι πολυτελεῖς* (sic) V,
καὶ οἱ πολυτελεῖς P. || 2. *καὶ* ante *ἀνδριάντες* om. VP. || *τῆς παιδειας τε* V. ||
4. *πορφύρα* VP, me invito non receptum. || *ὀσμαὶ θεαμάτων* V. in P id
esse videtur, quod recepi. || 6. *παιδικὰ* VP. hoc genuinum est. || 7. *ταῦτα
δὲ* P. — 95, 1. *μόνον* VP, quod me invito non receptum est. — 96, 2. *τερ-
πνότερον* P. || 5. *ἀγαπῶσιν* V. recte. — 97, 1. *εἰ μὴ καὶ* (sic) P, at corr.
εἰ δὴ καὶ. || 4. *συνευοχουμένων* V. — 98, 1. *ἀφροδίσια αὐτὰ* P. || 2. *ἀνυβρι-*
p. 60. *στώτατα* V. — '100, 2. *φιλίας δὲ ἀεὶ μὲν καὶ τοῖς ὑγιαίνουσι σφόδρα
δεὶ καὶ* V. || 3. *ἢ* (sic) P, *καὶ* V. || 4. *πενίᾳ λαμπρύνει* VP. — 101, 3. *οὐκ*
om. V. sequor nunc Reiskium. || 6. *ἡ* om. V. — 102, 1. *ἐκείνην νενόμικα* VP.
hoc repone. || 2. *ἢ* (sic) VP. — 103, 1. *ᾧ γὰρ* VP. || 2. *δυσμενης δε ει τις*
p. 61. *ἀρα εστιν* V. — '104, 1. *καὶ ὦτα* om. VP. || 3. *ἀλλὰ καὶ* P. — 105, 2. *τὰ
ἐπὶ γῆς* V. || *θεάσασθαι* V. — 106, 1. *γλώσσῃ* VP. || 3. *ἐργάσεται* V. —
107, 2. *ἐγχωριοστις* V. || 4. *περὶ πολλῶν δὲ ὁρᾶν* VP. || 5. *χαλεπὸν*
p. 62. *μηδαμοῦ* V. — 109, 1. *ἡ δὲ δόξα* V. || 2. *εὐδοξεῖν* (om. *εἴη*) V. —
'110, 3. *χαριζόμενος ἅμα μὲν ὡς χαριζόμενος ἥδεται* V. —
111, 1. *ἐν μὲν γὰρ* P. || 3. *ἔχειν* om. V. — 128, 1. *οὕτως δ᾽* VP. ||
δεῖν εἶναι μακάριος P. || 3. *ὅτι τοὺς φίλους* P. — 129, 7. *ὁρωσιν. οἱ
δὲ τοὺς ἄλλους* V. || 8. *τούς τε* V. || *ἐπὶ μᾶλλον* P. — 130, 2. *νησαίους*
(corr. *νισαίους*) V. || 3. *Θετταλῶν* (sic) P, *θεταλῶν* V. || 4. *ἰνδικοὺς* P.
p. 63. — '131, 4. *τὸ ἀρχῆς* VP. hoc igitur repone. || 5. *τὸ πράγματα* (sic)
P, *τὸ* om. V. — 132, 4. *μᾶλλον* om. VP. || 5. *δὲ* (ante *εὐδοξοτέρα*)
om. V. || 6. *ὑπῆρχε* VP. sic igitur scripsisse videtur. — 112, 1. *καὶ
ἄλλο μὲν οὐδὲν* VP. || 2. *ἢ τῶν γονέων* V. || 3. *πρεσβυτέρων οἱ τοὺς* V. ||

4. συνόντων — ἀγαπῶσι μᾶλλον δὲ om. V. || *ἢ οἱ τοὺς ἐξ* P. || 5. *ἀκου-
όντων επαλλους οἳ σφόδρα* V. — **113**, 3. *μὲν γὰρ καὶ* P. || 6. *ἀδύνα-
τον* V. || *δὴ τῶν* V. (in textu *ἓν* me invito omissum est). || 7. *εἶναι,
ὥστε καὶ παθεῖν ὑπὸ φίλου κακῶς τῶν ἀδυνάτων εἶναι κέκρικεν* V, in
p. 64. P eadem, at om. v. *τῶν ἀδυνάτων εἶναι.* — '**114**, 4. *καὶ μέμφεσθαι*
VP. || 5. *φεύγειν* P. — **115**, 4. *οὕτως* VP. || 5. *αὐτῷ* VP. — **117**, 1. *τοὺς
μὲν ὁμοίους* V, *τοὺς μὲν γὰρ ὁμοίους* P. — **118**, 4. *οἱ φίλοι* om. P.
— **119**, 3. *ὅ γε τοὺς* V. — **120**, 5. *τοὺς μὲν ζῶντας μάλιστα* VP. —
p. 65. **121**, 1. *τοῖς μὲν γὰρ φίλοις* VP. || '3. *οὐχ οἴονται* V. || 4. *ὁποιποτ᾽ ἂν*
VP. — **122**, 1. *ου κείτις μόνον* V. — **123**, 5. *ἀπελαφρύνει* P. —
124, 5. *ἐνίας αὐτῶν* VP. recte omissa est particula. || 6. *τὸν* om. V.
— **125**, 2. *διαπονοῦσι* VP. — **126**, 2. *καὶ παλαίστρας* V, *καὶ παλαί-
στραι* P. || 5. *καὶ σιτων* V, in P compendium est, quod idem signifi-
care videtur. — 5. *καὶ πάντων ἄρχων* V, *καὶ πάντων καὶ ἄρχων* P.
p. 66. — '**127**, 4. *στρατειαν ἐξέταζεν* V. || 6. *ὁδευτὴν* VP. hoc reponendum
est, etsi in lexicis hanc vocem non reperiam. — **133**, 1. *ἐπειδὴ
ἄνθρωπον* VP. || 2. *καὶ τοῦτο* VP. || 3. *ἔχειν δεῖ* P. || 5. *τὰ ἀξιώματα* VP. —
134, 1. *γὰρ* om. V. || *ἀλλους* (pro *ἀλοὺς*) V. — **135**, 2. *οὐδέποτε* VP. ||
3. *ἡγεῖται* P. || 4. *γίνεται* P. || *ῥωμαλαιώτερον* P. — **136**, 4. *καὶ ψύχους
πειραθῆναι* V. — **137**, 3. *ἔκτειναν* V. || *ζητοῦντας* V. || *μή τι αὖ* P? ||
κινδυνεύοντες (sic) P, *κινδυνεύοντας* V. || 5. *εὑρεῖν τε* P. || 6. *πληγῆναι*
(corr. *συμβῆναι*) P. praefero Seldeni *συστῆναι*, vel *ὑποστῆναι.*

ORAT. IV.

p. 67. '*ἐγγυς παραινετικος εστιν ὁποιον εἶναι δεῖ τὸν βασιλέα* V. —
1, 5. *θαυμάζοντες καὶ ἐπαινοῦντες* VP, quod Dioni restituendum est.
— **2**, 3. *τἀληθῆ και ἡγοῦνται* V. || *περὶ τῶν* V. || 4. *ὑπερβαλλόντως* V.
— **3**, 1. *συνουσίαν* V. — **4**, 2. *φιλοτιμώτατος* V. || *ἐξεταστης* V. ||
p. 68. '5. *μόνον πανταχοῦ* VP. — **5**, 1. *μὲν* om. P. || 2. *πάντων* VP. || 4. *ου-
δένα ἄνδρα* VP. — **6**, 2. *τε* om. VP. || 3. *περὶ τοῦ διογένους δὲ* V. ||
4. *ἔλεγεν* VP. || *ἃ ἔπραττεν* VP. || 5. *τῆς πενίας* V. — **8**, 4. *ἐπιθυμοῖ*
p. 69. V, *ἐπιθυμεῖ* P. — **10**, 1. *ουδενανθρωπων* V. — '**11**, 3. *ονοματος* V.
— **12**, 5. *θύραις* P. || 6. *οὐδὲ οἶκος* (sic) P, *οὔτε οἶκος* V. || *οὐδε εσται*
(sed siglo) V, *οὐδὲ ἑστίαι* P. — **13**, 2. *ἵδρυνται* V, quod praetulerim.
— **14**, 2. *Κρανείῳ* VP. || 3. *ὄχλον περὶ αὐτὸν εἶχεν* VP. haec igitur ver-
borum collocatio Dioni restituenda est. — **15**, 3. *αὐτῷ* (corr. *αὐτοῦ*)
P, *αὐτῷ* V. || 7. *τὸ ψεῦδος* V. — **16**, 2. *ἡ ἔφη* V. || *ἡ γὰρ* V, *ἢ γὰρ* P. || *ἔχοις* P.
p. 70. — '**17**, 1. *ονομα εἶπεν ἀκούω* P. || 2. *περιπετομένων* (sic) P, *πετομένων* V. ||
3. *γινώσκω* VP. || 5. *ἐμαυτόν γε* VP. — **18**, 1. *με ἂν ἴδοις ὥσπερ* V, *με ἂν* ÷
τόδε δὲ μοι εἰπε (in mrg. *ὄψῃ ὥσπερ τὸν ἥλιον οἱ τυφλώττοντες*) P. ||
4. *δ᾽ ἑαυτὸν* V, *δὲ αὐτὸν* P. || *μετενόει δὲ* (at superscr. *τε*) P. —
19, 3. *τοὺς ἀστραγάλους* V. || *εἰπόντος οὖν αὐτοῦ* P. || 8. *καὶ τοιοῦτος
ἂν ὑ.* V (unde Cobetus *καίτοι οὕτως ἂν*), *καὶ τοιοῦτος ὢν ὑ.* P. —

20, 4. πότερον ἀληθὴς ἢ ψευδὴς εἶναι δοκεῖ ὁ λόγος. ἄδηλόν ἐστιν ἔφη. ἄδηλον ἐφη εστιν V, πότερον ἀληθὴς εἶναι δοκεῖ σοι ὁ λόγος. ἄδηλον ἔφη ἐστίν. ἐὰν cett. P. hanc scripturam nunc veram esse iudico. nam illud ἢ ψευδὴς vel ἢ οὐκ interpretis esse videtur. —
p. 71. '22, 5. οὐδέν σοι θεῶν οὔτε P. || προσήκοι V. — 23, 2. ἀνοήτοις μὲν ἐν V, ἀνοίς μὲν γὰρ ἐν P. || 4. οὐ δοκεῖ V. || 5. εἶναι VP. — 24, 1. ὁ om. P. || 2. ἄριστα VP (?). || βασιλεύοι (om. τις) V. || 3. οὐδὲ ἔστιν, ἔφη VP. hunc ordinem Dioni restitue. || βασιλεύειν κακῶς ἀγαθὸν ὄντα P. — 25, 2. εἶναι τοῦτον VP. hoc igitur repone. || 3. ἰατρὸν. οὐκ ἔστιν οὐδ' ἂν πάντες φασιν Ἕλληνες καὶ βάρβαροι — ἀγνοῆται. καθάπερ VP. ||
p. 72. 4. μὴ om. V. || 7. δερεα V. — '29, 5. εκεινη V. — 30, 1. καλοῦσι δὲ (om. καὶ) VP. hoc igitur repone. || 2. οἶμαι παιδιάν (sic) VP. — 31, 2. δίχα παιδείαςVP. || οἱ πρότεροι VP. || 2. τοὺς om. V. || τῆς om. P. || ἐπιτυγχάνοντες V. || καὶ τὰς VP. recte. || 3. καὶ om. VP. hoc igitur eiicias. ||
p. 73. 5. γίνεται VP. || 6. μεμύηται VP. — '32, 2. ἄνθρωπος οὔτε VP. || 4. μένειν VP. — 33, 2. εὐθὺς οἶδεν V. || 4. περιπέσοι P. || 5. ἐπέδειξεν VP. || 6. κατρίψει (sic) V, κατατρίψῃ P. || 7. ὅτε πρὸς δύσιν V. — 34, 2. ξυνιεῖσαι V. — 35, 1. τούτων δ' αἱ μὲν V. || 2. αυται VP. || 3. μιμοῦνται
p. 74. VP. — 36, 2. κατά τι τὸν VP. τὸν igitur restituendum. — '37, 1. οὖν om. V. || 2. in VP verba ἐν τοῖς λόγοις superscripta sunt, sed ita, ut post πλανωμένους inserenda videantur. || 4. θαλάττῃ (sic) VP. — 38, 1. ἐπείπερ VP. || 3. συνειδεῖν V. || 4. δεήσει V. — 39, 5. διείλεκται (sic) VP. — 40, 1. το οριζειν V. || 3. τινων om. VP. || 4. ὅτι (pro οἴει) V. — 41, 4. αὐτὸ V. || 5. τρέφεσθαι om. V. — 42, 2. ταυτα V, ταῦτα P. || 3. οὕτως VP. mox
p. 75. malim δήπου κἂν (i. e. καὶ ἐν) τοῖς. — '43, 1. ἢ (sic) VP. || 2. ἐπιθυμεῖ V. || τι (sic) VP. || 3. ἔοικεν VP. — 44, 3. οὐχ om. VP. || 6. βασιλική V. — 45, 1. οὖν VP. || 2. εἰς σοῦσα P. || 3. Σακῶν om. V. || 5. λιαν V. — 46, 1. καὶ ὁ Ἀλέξανδρος om. P. || 3. ἢ οὐδ' ἄρα V. — 47, 3. ὡς VP. || βασιλεας VP. igitur βασιλεὺς (servato ὡς) probabilius est. || 4. φασιν VP. — 48, 2. τοὺς φιλονεικοῦντας V, τοὺς φιλονικοῦντας P. ||
p. 76. '5. τῇ om. V. — 49, 1. μὲν VP. — 50, 5. πᾶσιν VP. || 8. μὴ om. P. — 51, 1. μονον ουδ' ἴσως οὐκ ἂν ὑπερεῖδεν V. || 3. πάντα τρόπον (sic) VP. || σοι μὲν V. || 4. ἀνδρεῖον ἐλῶ καὶ ὅτι P. — 52, 2. κἀκεῖ τῇ VP. hoc igitur repone. — 53, 3. ὑπερβαλομενος V, ὑπερβαλλόμενος P. || 5. οὐδ' ἂν — ὥσπερ ὕδρος leguntur post διανηξάμενος VP. || κύρων V. || 6. δὲ τὸ V. || 7. προσ-
p. 77. λάβοις VP. — '54, 5. μαχημώτατος V. — 55, 1. και τις ειπεν ειπε μοι V. || 2. πόλεμος VP. || ἐὰν P. || 3. οὐ λυδίζων VP. quod servandum est. — 56, 4. αυτῶν V, αὐτῶ P. || 5. μέχρι ἂν VP. || 6. ἀνὴρ VP. — 58, 3. τοῦ-
p. 78. τον αὐτῷ V. — '59, 2. με V. || 3. διαπερώνησον V. || μόνων V. || 5. μάθῃς P. hoc etiam in C est, non μήθῃς. || ἀνελευθερώτεροι (sic) V, ἀνελευθερώτατοι P. — 60, 4. ἐκεῖνον VP. — 61, 1. ἔφη οὖν αὐτὸν μηδὲ VP. hoc repone. || 2. ἔχειν VP. reponendum. || 4. εἶπεν VP. || οἷον om. V. — 63, 2. οὐδὲ αὐτῇ V. || 4. μάχεται V. — 65, 2. καὶ τὸ
p. 79. VP. || οὕτως VP. — '66, 1. οὖν om. VP, quod praefero. || 3. καταγέλαστον VP. || μικροῦ V. — 67, 3. καθέζουσιν V. — 68, 4. χρόνον (sic)

VP. — 70, 3. *πράττειν* P (mrg. *προστάττειν*). || 4. *δὲ* om. P. || *με* V.
p. 80. — 71, 2. *ὁ* om. P. || '4. *αὐτὸν* om. V. || *οἴει* om. P. || 5. *ἐγέλασεν* VP.
— 72, 2. *ὁ* om. VP. || 4. *τυχὼν* V. || *ἀλλ'* VP. || 5. *ἀνθρώπων* V. ||
6. *σὺ* VP. — 74, 3. *ἐπειδὴ* VP. — 75, 2. *τὸν αυτου* V. || 4. *ἀλλὰ*
p. 81. *μὴν ὡς* V. — '80, 3. *τοῦ ἀγαθοῦ καὶ τοῦ φρονίμου δαίμων* V. —
81, 2. *ἐπάγομαι* V. || 5. *δει* at eadem man. superscr. *δή*. || 6. *καλον*
p. 82. V. — 82, 2. *διαφοραι* V. || '6. *οὐδὲ συμφορὰν δαιμόνιον ἧς* VP. ||
7. *ἄραιτο* V. — 83, 5. *ἄλλοι* VP. — 84, 6. *εἴδεσι νήσους καὶ* V,
εἴδεσι νήσους τε καὶ P. quod admittendum videtur. — 85, 7. *τὰ ἄλλα*
VP. || 8. *ἐπιδεῖξαι* VP, non deterius vulgato. || *φθεγκόμενον* P. Cobetus
mavult *φλεγόμενον*. — 87, 3. *ἢ ἐκεῖνοι* VP. || *τοῦ πλάττειν* VP. —
p. 83. '88, 2. *γινώσκουσι* VP. — 89, 1. *οὐδὲ ἄσχημον* V, *οὐδὲν ἄσχημον*
P. || 3. *και καθαπερ ταις ὁρᾶσθαι* VP. || *ἐν δέοι* P. || 5. *ἀποστρέψαι*
VP. || 6. *προαγώγην* V. || *ἔρωτα καὶ ζωῆς* VP, non deterius vulgato. —
90, 2. *ἔνιοι τῷ περὶ* V, *ἔνιοι περὶ* P. || 3. *ἐξαττη* V (at siglo), *ἐξάντι*
P. || 5. *ἃ φασιν* VP. — 91, 1. *φιλοχρήματος αιμων χρυσοῦ* V ||
2. *ἁπάσης* V. || 7. *πλέον οὐκ εἶναι* V. || *μὴ* om. P. || '9. *συγγενεων* V. —
p. 84. 92, 6. *σύμβολα* VP. || 7. *καὶ δικαίως λεγομένου* V. — 93, 3. *πρὸς
αὐτὸν τὸν* V. || 7. *ἔκφρων* VP. || *δαπανώτατα* VP. || 8. *προβαιτον και
φθανον* V (quod ferri potest), *προβαίνων καὶ φθάνων* P. — '95, 4. *ὁ*
p. 85. *δὲ δὴ δοκῶν* VP. || 6. *ἐπιβλέποντος* V, *ἐπεβλέποντος* P. — 96, 1. *ὅδε ὁ
δαίμων* om. VP. || 5. *ἑτέρων* V, *ἑταίρων* P. || *ὁ δὲ δαίμων* V, *ὅδε ὁ δαί-
μων* (sic) P. — 97, 4. *ἅτε ἐν βασιλέως* V. — 98, 3. *σάραβον* V,
σάραμβρον P. || 7. *οἴει ὡς* om. VP. quibus deletis constructio constat. ||
δικαίως VP. hoc igitur restitue. — 99, 3. *ἔχει καὶ κρατεῖ* V, *κατέχει
καὶ κρατεῖ* P. hoc reponendum videtur. || *ἐκείνοις* VP. hoc restituen-
dum est Dioni. || 5. *καὶ ἀπροφάσιστον* V. — 100, 1. *λέγω* om. P. ||
νῦν τὸν αὐτὸν ἡγούμενον VP. in textu transpone *αὐτὸν* ante *ἡγού-*
p. 86. *μενον*. || 3. *ἀναφέροντος* V. — '101, 2. *ἀναφέρων* P. || 3. *καὶ προ-
τείνων* V. || *πολυειδὴς περὶ* V. || 5. *πάντα τὰ ὁράματα* VP. || 6. *τὰ πρὸς*
P. hoc recipiendum. || 7. *λουτρῶν δὲ* V. || 8. *δὲ καὶ τῆς* VP. an *δὲ καὶ
δὶς τῆς*? || *χρήσεων* VP. — 102, 1. *ἔλξεις* (sic) VP. || 3. *ταῦτα πάντα*
VP. hoc igitur repone. || 4. *μὲν* VP. || 6. *πλείων* P. — 103, 1. *δ' ἔτα*
p. 87. V. || *τούτων* VP. || 4. *φιλοψύχων* V. || 6. *δεδουλωμένων* P. — '106, 3. *πρόσ-
εστι ζημία ὀνείδη* V, *προσεστι ζημία καὶ ὀνείδη* P. reponenda est V
scriptura, quam cum coniectura essem assecutus, deserui propter
scripturam M *προσεισιν μυριάον εἴδη*. || *προάγει* V, non deterius vul-
gato. || 4. *τιμωρία πρόσεισι* V. || 5. *κτήσεσιν* V. || 6. *ταῦτα ἴασιν* V. —
107, 1. *ἀγενέστερος* VP. || 3. *θεῖα. ὁ μὲν* V, *θεῖα. καὶ ὁ μὲν* P. || 5. *πα-
ραχωρῶν* P. — 108, 2. *ἄτριπτος* V, *ἄτρεστος* P. — 109, 2. *πρέποι*
VP. vide igitur, ne *ἄρ' ἂν οὖν* scripserit. — 110, 1. *μὴν διατρυφῶν*
p. 88. V. || '4. *ἀσελγεῖ κώμῳ* P. || 5. *πλαγίως* P. — 111, 4. *ἀλλὰ* VP. hoc
igitur repone. — 112, 1. *καμάτου* V. || 5. in V *μάχλον* compendio
exaratum est, *μαλακὸν* P. — 114, 1. *τοῦτον* V. || *και κεκοσμημένη* P.
p. 89. — '116, 1. *οὐκ οὖν* VP. || 2. *εἰσάγειν χορὸν ὡς ἔκει τὸν φιλότιμον* V,

εἰσάγειν ὡς ἐκεῖ τὸν φιλότιμον χορὸν (at verbo *φιλότιμον* superscr. *β*,
verbo *χορὸν α*) unde apparet, librarium sic legisse: *ὡς ἐκεῖ χορὸν,*
τὸν φιλότιμον, quo scriptura a me admissa comprobatur. || 3. *τὰ νῦν*
P. || 5. *ἕστηκεν* VP. — **117**, 6. *πατρὸς* VP. quod nollem a me ne-
glectum; nam ita Dio scripsit. — **118**, 1. *ἀλλ'* P. || 5. *ὑψηλοῦ* V. —
119, 2. *ἐπιεικῶς* VP, non deterius vulgata. || 3. *καὶ πολλάκις* P. ||
p. 90. 4. *φόβου* VP. — **120**, 4. *ἰκαρίου* VP. || '5. *δαιδαλον* V. — **122**, 2. *λέγω*
δὴ V. || 7. *ἄθλιον ἀλλὰ καὶ* V. || *πρώτως* P. — **123**, 2. *ὅδε* VP. ||
5. *ἂν οὖν ὁ* VP. || 6. *καὶ μεταβολῇ* VP. nec opus est articulo. || 8. *τῇ*
ψυχῇ VP. || *ἀναγκάζει* VP. || 9. *ὑπ' αὐτῶν* P. — **124**, 3. *ἐπιδείξεσι βα-*
p. 91. *σιλέων* VP. || *λεγομένη δὴ φιλίαις* V. — '**127**, 1. *εἰκὸς* om. V. et recte
opinor. nam veram nunc Geelii emendationem antecedentium *ἔτι δὲ*
αὖ τὸ existimo. || 3. *πυκνότερόν τε* VP. — **128**, 2. *αὐτοῖς* VP. ||
3. *ἰσχύει* V. || 6. (in adn. crit. post *σὺν στέλλεται* adde M.) || 7. *δυ-*
σθυμίας VP. — **129**, 3. *ἐδύνατο* V, *ἐδύνατο* (corr. *ἐδύναντο*) P. ||
p. 92. '7. *ἐπαίρουσα* V, *ἐπέρουσα* P. — **130**, 2. *κινδυνεύσει* VP. || 4. *συγγε-*
νοσκοτεινῇ καὶ V. — **131**, 2. *ἔρωτος* (sic) P, *ἔρωτι* V. — **133**, 5. *πε-*
p. 93. *ριβαλλειν* V. — **134**, 5. *διψει* P. — **135**, 2. *ἕνεκα* V. || '5. *καὶ κλῆ-*
ρον V. || 6. *σαρδαναπάλλου* V. || 8. *ἐνύβρισα* P. — **136**, 2. *δυνησόμενος*
VP. — **137**, 1. *ποιήσει* VP. — **138**, 2. *ἀεί τε* P. — **139**, 1. *μετα-*
βαλλόμενοι V, *μεταλαβόντες* P.
Ad finem orationis eadem leguntur in V, quae ex M attulimus,
nisi quod *εἶναι δεῖ τὸν βασιλέα*.

ORAT. V.

p. 94. '**1**, 1—5. *μῦθον — ἀδολεσχίας* om. VP. — **2**, 5. *ἀντ'* VP. hoc
p. 95. repone. — **3**, 1. *οὕτως* V. || 2. *εἴασεν εἶναι μάτην* P. || '3. *λεγόμενα*
P. — **4**, 2. *ἐπ' αὐτὸν* V. — **7**, 1. *πορδάλεις* V. — **8**, 3. *πλέουσι* VP.
— **9**, 1. *διαθάλαττα* P. || *τενίαι* V. || 4. *τόπος ὃν ἐκδέχεται* V. —
p. 96. **10**, 4. *ἐκεῖ μᾶλλον* VP. igitur *δὲ* deleatur. — '**12**, 1. *ἰδέα ἥδε* V. ||
4. *θνητῆς παρθένου* V. — **13**, 3. *αὐτὰ* VP. — **14**, 2. *τάχιστα* om. V. ||
μηδένα VP. || 5. *δὲ* (pro *τε*) V. || 6. *μὲν* om. VP. — **15**, 2. *δὲ* (pro *δ'*) V. || *ἀπο-*
κρύπτειν V. — **16**, 2. *θρασὺς καὶ ἀκόλαστος* P. || 3. *μείζω* VP. || *τελεωτέ-*
p. 97. *ραν* V. — '**17**, 1. *καὶ χρὴ* VP. || *ἔχοντα* P. || *ἐκεῖναι* VP. || 2. *παιδείας*
V. || 3. *ὀρέγονται* V. || *ἡμεῖς* V. || praefero nunc Reiskianum *τρυφῆς*. —
18, 2. *τρέπειν* (sic) P, *πρέπειν* V. || 5. *καὶ τυχάνειν αὐτῶν* V, *τυγχάνειν*
δὲ αὐτῶν P. || 6. *τὸν* om. VP. igitur deleas. — **19**, 1. in adn. crit.
corrige: *συναγαγόντος* reliq. || 3. *οὕτως* VP. || *πανταχόθεν περισχόντα*
V. || *ἐμβάλλειν* V. || 4. *ἀπολειφθείσας* VP. — **20**, 2. *ἐπεὶ* P. || 5. *διέφθει-*
p. 98. *ραν* VP. || *πανσυδί* VP. — **21**, 2. *διαφορᾶς* VP. — '**22**, 1. *τοὺς πολ-*
λοὺς VP. hoc igitur restituas. || 2. *εἴ ποι τις* VP. || *αὐτοῦ* VP. || 3. *ἐξελ-*
θὼν VP. || *τὸ τῶν* VP. nollem articulum a me expulsum. *δὴ* enim
ostendit, haec ex animo conantis dici cum quadam ironia. || *εἶτ'* om.

Digitized by Google

VP. — 23, 2. αὐτοῦ VP. || 3. αὐτὸ V. — 24, 1. βούλεσθαι P. ||
2. τοῖς νεωτέροις VP. || ἔτι χαρισώμεθα VP. — 25, 4. cum Geelio
μαστοὺς, τὸν τραχ. (deleto καὶ) nunc scribendum existimo. || 5. καὶ
p. 99. τοὺς VP. hoc igitur repone. — 26, 2. θάτερον om. V. — '27, 5. σα-
πρόν τε καὶ P, σαπρὸν δὴ καὶ V, ut vulgo legebatur. hoc enim prae-
termissum est in adn. crit.

ORAT. VI.

Codex X est Palatinus 123. conf. Add. C. I. §. 3. contulit Cobetus usque ad §. 16.

1, 4. τῷ μὲν χειμῶνι X. || 5. δὲ ἐν VPX. || εὐδινοτάτοις V. —
2, 1. οὕτως V. || μεταλάττειν V. || 5. ἀναμένειν (corr. ὑπομένειν) P. ||
p. 100. 6. πινόμενον VPX, νόμενον Cobetus. || ὀλίγον V. || '8. πάλιν VPX. —
3, 1. συνίου V. || 4. εἰσήκοντας VPX, fortasse servandum. || 5. ἐκεῖ
VX. || 6. λέχεον V. — 4, 3. βασιλέων V. || κράνειον VPX. || 6. παιραιέως
VX. || συντιθεμενον V. || 7. οὐ om. X. — 5, 2. λιμνῶν VPX, quod nol-
lem a me mutatum. || 3. τό γε νόμισμα V. — 6, 3. οὖν VX. || αὐτῷ
p. 101. X. || 4. μέγαρα V, μεγάρων P. || '7. οὐ om. VPX. — 7, 1. ειωθη V. —
8, 1. οὐδὲν γὰρ VX. || 3. ῥιγῶντα V. || 5. μᾶλλον δὲ ὑγίαινε τῶν P,
μᾶλλον μὲν τῶν X. || 7. πειρωμένων ὑγίαινέ τε καὶ ἔζη X. — 9, 4. ὁπότε
δὲ ἤδη VP. || τοῦτον οὐκ VP, τοῦτο οὐκ X. — 10, 2. probo nunc Pflug-
p. 102. kianum οὐ προλαμβάνων. || 4. μικρὸν VPX. hoc repone. — 11, 1. οἰκίᾳ
VPX. || ἀφθόνως X. || '3. δίψειν V. || οικεια τροφη μεν V, οἰκείαν καὶ
τροφὴ μὲν X. || 6. αὐτοῖς VPX. || 8. δέονται δὲ ἐσθῆτος om. V. || χειμῶ-
νος P. || 9. δύρους VPX. sic igitur scribendum. — 12, 3. δίψῃ V. ||
5. μᾶζαν V. recte. — 13, 3. πάντες V (at ες compendio). X, om. P.
— 14, 1. καὶ ὑγιεινοτάτας VP. dele igitur articulum. || αναπαυσαις
(pro ἐν ἀπάσαις) V. || 2. ἀνεπταμένας V. || 4. ηυχετο V. || 5. γινόμενος
p. 103. V. — 15, 4. γυμνοῦσθαι VPX. hoc restitue. — '16, 3. ἐκεῖνο χρη-
μάτων V. || 5. ἀτοπώτατον VPX. || ἦν om. P. || ἀδαπανώτατον εἶναι P.
— 17, 4. ἀκράτειαν V. || 5. τούτῳ P. non deterius vulgato. || 6. ὡς
om. VP. || 8. quae corrupta e C protuli, emendatius scripta leguntur
in P: περὶ τούτου σαφέστερον ἐν τῷ διαγνωστικῷ γαληνὸς καὶ καθυ-
λακτῶν ἡδονῆς ἅπερ κύων (adscripta sunt ad v. εἴπερ οἱ ἄνθρωποι
οὕτως εἶχον). haec ad διαγνώσεις Galeni referri, e corrupta libri C
scriptura collegerat Geelius, qui id mihi literis significavit. —
18, 5. δέονται V. || 6. ελοντας V, ἰόντας P. — 19, 1. τὸ om. V. —
p. 104. '20, 2. ἠδύνατο V. || 3. τὸν om. V. || 4. τὴν ἀπορίαν VP, quod non
deterius est vulgato. — 21, 1. οὖν om. V. — 22, 5. τοῦτο δὲ ἰσχυρὰ V.
— 23, 1. οὕτως V. — 24, 2. ἀσκληπιαδῶν (sic) VP. || 4. μαντεων
p. 105. κολακευομένων P. — 25, 4. ἐπὶ τούτῳ P. — '26, 4. οὔτε VP. —
27, 1. οὕτως V. || 5. ψιλότερα VP. hoc repone. — 28, 6. τροφῆς τῆς
p. 106. V. — 29, 3. [καὶ] om. VP. igitur deleas. || 5. οὕτως VP. — '30, 8. τῇ

om. P, nec eo opus est. — 31, 1. τροφῇ ὅπως V. || 5. ὡς τῶν ἀπάν-
των ἐπιπόνως P. — 32, 5. ἀποχωροῦντας VP. — 33, 3. προσήνοις
V. || 4. βορειότατα V. — 34, 3. ἅπαντα δὲ P. || 5. μηδεαν V. || 7. ἢ
om. V. || 7. δυνήσωνται P. || 8. ἐπιλείπῃ V. || τὰ ἀναγκαῖα VP. || 9. αὐτῶν VP.
p. 107. || '10. πράττων V. || 11. ὡς om. VP. recte vero abest. || οὐδεὶς συνεισι
της V. || αυτου V. — 35, 2. οὐκ ἔτ' αὐτὸν V. || 3. ἁπάντων om. V. ||
6. δὲ om. P. — 36, 2. μηδὲ ἐσθίοντα VP. || 4. εἶναι om. VP. || 6. δὲ
αὖ VP. || 7. αὐτῷ βοηθεῖν VP. — 38, 2. δὲ αὐτὸν VP. || 5. ὡπλισμέ-
p. 108. νους — χωρεῖν om. V. in P solum χωρεῖν om. || '7. μέν γε V. —
39, 1. προπειράτοντας P, προπειράσαντας V. || 4. οὕτως. — 40, 2. ἂν
παύσασθαι P. || 7. οὐδέ γ' V. || εἰ μή τι VP. || 9. ἐπιγίγνεσθαι VP. —
41, 3. φησίν V. — 42, 1. ἀφέλοιτο VP. || 2. ὁ θάνατος om. V. nec
p. 109. his valde opus est. || '5. οὔτε V. || 7. παρειληφότων VP. — 43, 2. μο-
νάρχαις P. || 5. οὐδὲ (sic) VP. — 44, 2. οὗτος γιγνόμενος P. || 3. ἀπο-
λουμενος P, unde Cobetus μέμνηται pro μεμνῆσθαι. — 45, 1. τότε
μὲν χαίρειν V, τότε χαίρειν P. || ἐπειδὴ P. || 5. μη δυνατον ᾖ V. —
46, 1. κατ' αὐτὴν ὁ θεὸς V, ὁ θεὸς γὰρ αὐτοῖς P. — 47, 2. δοκοῦσι
p. 110. om. V. et potest omitti. — '48, 6. μηδέποτε παύσασθαι V. —
49, 4. μήτε τυγχάνοντες V. — 50, 2. πλεῖστα καὶ δικαίως V, πλεῖστα
μὴ δικαίως P. fortasse πλεῖστα κεἰ δικαίως. || 3. ἐστι VP. || 5. ἃ πολ-
λοῖς V. || 6. δὲ VP. || 9. αὐτῷ P, non deterius vulgato. — 52, 4. ἀσφα-
p. 111. λῶς V. || '5. μήτε ἔνδον V. || παρ' αὐτοῖς (sic) P, παρ' αὐτοῖς V. ||
μηδ' ἐπιβαίνειν V. || 6. μετὰ VP. — 53, 2. θανόντας P. || ὅσα V. ||
4. θανούμενος V. || 5. βουλεύεται V. — 55, 2. ἀλλὰ τῇ. quod non
spernendum. || τὰ om. V. — 56, 2. ἀποδράσειν V. || 3. καὶ om. VP.
p. 112. igitur deleas. || 7. οὐδὲ ἂν VP. || 8. καὶ V (pro κἂν). — '57, 2. ἂν
om. P. — 58, 2. ταπεινοτέρων VP. non deterius vulgato. — 59, 3. δὲ
om. P. || πρότερον ἂν τοὺς P. || 4. οἱ τρέφοντες (sic) P, οἱ om. V. || ἀγαπη-
4. οὐδὲ σωσιν P. — 60, 2. βούλομαι, φησὶ, νύκτωρ P. || 3. κηρυκίου VP. ||
VP. || 5. μὲν om. VP. — 61, 1. ἐὰν VP. hoc repone. — 62, 1. μὲν
p. 113. om. V. || 2. ἀοικότερος τοῦ νῦν P. || '3. ὄροβοι τὰ V. || 4. τῆς τέφρας
V. || κρανίας V. || 6. ἀντέχειν V.

ORAT. VII.

H (Vaticanus 91) et P (Palatinus 117) a Cobeto collati cum exemplo Reiskiano.

2, 1. μὲν οὖν P. || 7. σχολῇ (at eadem man. superscr. χηλῇ) H.
p. 114. — '3, 1. καταληφθῇς P. || 4. συχνὸν HP. || 6. ῥάχιν HP. — 4, 2. προ-
βὰς HP. || 4. κατὰ κρημνοῦ HP, quod praetulerim. || 7. δοκεῖ HP.
— 5, 1. τῇδέ που HP. — 6, 2. ἔφη παρ' ἡμῖν P. || 3. οὐκ ἔστι πλώιμα
p. 115. HP, non deterius vulgato. || 6. οὕτως H. || 8. εἴ μοι mavult Cobetus.
— 8, 3. ἄλην (corr. ἄλλην) P. — 9, 3. αὐτὰρ HP. || 5. κηρύκια HP
(sic et BCL, quod corrigas in adn. crit.). || 5. ἔχοντας ὃς ὡς δὴ H. —

p. 116. 10, 2. τὰ om. HP. || ‘5. δύ' HP. — 11, 2. ἀπεργαζόμενοι P. ||
4. δ' οὐχ ἧττον H, δὲ καὶ οὐχ ἧττον (corr. οὐ χεῖρον) P. || 5. βουκό-
λον H. || 8. καὶ om. HP. — 12, 5. τὰ (pro ἄττα) P. || βοίδια HP, quod
praefero. || ἀποδέδωκε HP. — 13, 7. τὸν om. HP. — 14, 1. τότε HP. ||
2. δὲ om. HP. || 3. καὶ om. P, in H v. καὶ διὰ μέσου πόταμος omissa,
p. 117. at margini adscripta. || 7. οἶστρον φέροντες HP non male. — ‘15, 2. ἀρέ-
οις P. || 3. μεστὰ (at compendio) P. || 4. πολὺ P. || 6. μέχρις H. ||
7. μικροῦ HP. hoc repone. || παντελῶς . . . τεῖχος εἰργασμένοι, verbo
τεῖχος eadem man. superscr. τοῖχον, in mrg. ὃ ἔτυχον man. rec. H,
παντελῶς οἱ τοῖχον εἰργασμένοι P. — 16, 1. τοῦτό γε ἐπήρκεσαν H,
τοῦτό τε ἐπήρκεσαν P. || 3. τὸ δὲ καὶ H. hoc reponendum videtur. —
17, 2. τῶν αὐτῶν τινα H. hoc igitur reponendum est. || ἢ πρωὶ ma-
vult Cobetus. || ὑλάκουν H. || 3. hic quoque αὐτὸν pro ἄνθρωπον
scribendum duco. — 17, 5. ὀψὲ μεταμανθάνοντες om. HP, at in H
marg. adscriptum κείμενον: ὀψὲ μεταμανθάνοντες. || καὶ ante εἴποτε a
corr. add. in H. (om. et N.) || ἀλφή τις HP. || ὁπότε δὲ πεινῶντες εἶεν
p. 118. μᾶλλον HP. — ‘18, 4. οὕτως HP. — 20, 1. οὕτως HP. || 4. περι σου
HP. || 5. ἔλεγον HP. — 21, 6. ἀπωσάμην (corr. ἀπωμοσάμην) H. —
p. 119. 22, 6. κρατερὸν HP. — 23, 3. ταῦτ' H. || ἐν τούτῳ HP. || ‘7. κώμην
H. — 24, 5. ὅτι σοι διηγοῦμαι. hoc igitur restitue. || πολὺν om. P. ||
7. ἱλαροὶ P. || 8. καὶ (ante ὀργίλως) om. HP. — 26, 5. δ' ἐκάθησαν (cui
man. recent. superscr. θε) H, δ' ἐκαθέστισαν P. possit et δὲ κατέ-
p. 120. στησαν. — ‘28, 1. ἂν om. HP. recte. || 4. ὑπερτελοῦσι HP. —
29, 3. ἅπαντες om. HP. — 30, 3. οὐκ ἐγέλων HP. || 8. σχεδὸν
ἅπασαν H. — 31, 4. τοσοῦτον HP. — 32, 3. ἕνεκεν H. hoc re-
p. 121. pone. — ‘33, 8. δικαίως om. HP. — 34, 2. καταφθείρουσι HP. ||
4. ὀρεινὰ HP. || 6. ἐθέλει HP, quod ferri potest. || 7. ἂν om. HP. ||
p. 122. δοίην HP. — 36, 3. καὶ om. HP. — ‘37, 3. βοσκημάτων οὐδὲν H,
in P μηδὲν — οὗτοι om. — 39, 2. ὑμῖν om. P. || πεποιήκασι HP. —
39, 4. τοῦ θέρους (corr. τὸ θέρους) H, τε θέρους P. || 6. ἕωθεν P. || ἐμβάλ-
λειν P. || τὰ (ante περὶ) om. HP. || 7. πρώτους HP. — 40, 7. γεωργή-
p. 123. σαντες nunc non sollicitandum existimo. — ‘41, 2. ἀντέλεγεν HP. ||
3. δεῖν HP. || 5. οὐθὲν HP. — 43, 2. τέσσαρα HP. || 5. ἐστιν HP. ||
ἄλλα HP. — 44, 2. εἶπον οὔ. καὶ σὺ H, εἶπον ἆ. καὶ σὺ P. || 5. τὰ
p. 124. δ' ἄλλα H. || 6. σκελίδες δὲ HP. || ‘7. ἄλλα γε νέα H, ἄλλα γενέα P.—
45, 1. ἐνταῦθα δὲ (pr. man. supersc. δὴ) H. — 46, 1. ὑμῶν ἀφίκηται
P. || 4. ἔσω δὲ P. || 6. φέρουσαι H. — 48, 5. δοκεῖ HP. || 6. χαρισόμεθα
p. 125. HP. || 7. ἀφαιρεῖσθαι δεῖ HP. recte. — ‘49, 7. εὔξασθε HP. — 50, 2. ὅταν
γέ τοί ποτε HP. in textu ποτε errore omissum est. || 4. ἀλλὰ πῶς HP. —
p. 126. 51, 5. λαβεῖν om. P. || 6. οὕτως H. — ‘53, 2. ἕνεκεν μαρτυρίας H. ||
3. ὅς γε (sic) P, οὕς γε H. || ὅθεν ποθὲν HP. || 4. περιπέσῃ HP. ||
6. ἄλλος τις τοιοῦτος (sic) H, ἄλλος τις τὸν οὗτος P. || ἐμοῦ om. P.
— 54, 3. μηδ' HP. — 55, 2. τὸν πρᾶ καθήμενον HP. — 56, 4. ἀνέ
p. 127. τριβε HP. — ‘57, 2. ἡμῖν φαγεῖν H. || οὗτοι H. — 58, 6. γε om. H.
59, 1. τάδ' ἐκείνου HP. — 61, 5. δὲ om. P. || 6. αὐτοὺς HP. —

p. 128. 62, 2. εἶπε HP. ‖ '4. εἶπεν HP. ‖ δύναται P. — 63, 1. ἀπωσάμην λήψεσθαι (corr. ἀπωμοσάμην) H. Cobetus mavult ἀπώμοσα μή. at conf. § 21, 6. ‖ 4. ἐνώχλησε HP. — 66, 1. καίτοι — ἠπιστάμην om. HP. ‖ 5. οὐδενὸς ἀπελίποντο P. — 67, 2. αὐτῷ υἱὸς P. ‖ 3. λαγῶν H,
p. 129. λαγὼν P. ‖ '5. λαγῶν H, λαγὼν P. — 68, 5. ὅτι HP. — 69, 6. καὶ ἐνταῦθα HP. — 70, 7. δεῖ καὶ H. — 71, 1. τί δέ HP. ‖ 4. λαγῶ H. ‖ ἐγὼ ἔφη H, ἐγὼ δὲ ἔφη P (at δὲ punctis notatum). ‖ 6. οὐδέποτε
p. 130. HP. ‖ 7. ἐγένετο om. HP, quod praetulerim. — '72, 3. ἐσιώπησε HP. ‖ 6. ὁ ἀδελφὸς HP. ‖ ἱερεῖον πάλαι γε πλοῦτος P. ‖ 7. ὄπισθεν HP. — 73, 4. ἄλλοι HP. — 74, 5. ἤθελεν HP. ‖ ἀλλ' HP. —
p. 131. 75, 4. φύλλα ἀπὸ P. teneo nunc vulgatam. — 76, 6. ἄνδρα αὐτῆς HP. ‖ '7. ἡμῖν HP. ‖ 8. ἕτοιμά εἰσι τὰ ἄλφιτα καὶ ἄλευρα HP. vide igitur, ne sic scripserit: ἕτοιμά ἐστι· τὰ ἄλφιτα καὶ ἀλ. nam asyndeto hic suus locus est. — 77, 1. πλησίον οὗτος HP. — 79, 2. περιλαβοῦσα HP. ‖ 4. θέλουσι HP. — 81, 1. διόπερ καὶ om. HP. recte. ‖ ἅπαντα δὲ HP. recte. ‖ 2. οὐδ'
p. 132. HP. ‖ 6. εἴ τι τῶν HP, non deterius vulgato. — '82, 1. εἰ κατ' HP. ‖ 3. οὐδαμῇ πω HP. ‖ 6. αἰσχύνοιτο HP. ‖ 7. μεταδόντας P. ‖ 8. οὐδὲ HP. — 83, 5. ὥσπερ H. ‖ τὸν om. HP. ‖ 6. ὀνειδίζοντα τὴν ἐλευθερίαν P.
p. 133. — 84, 6. ἥξει H. — '85, 4. γε om. HP. — 86, 5. οὐδαμῇ HP. ‖ ἥκοντα om. P. ‖ 6. ῥάκεσι παρὰ τῆς σώφρονος HP, quod nunc cum Cobeto praefero vulgatae. — 88, 5. τε om. P. — 89, 3. νὴ δία H. ‖ 4. τὰ νῦν τὰ τοῖς πρότερον HP (at corr. delevit secundum τὰ, deinde
p. 134. τὰ superscripsit verbo τοῖς). — '90, 3. προσενεχθῆναι αὐτῷ τῷ ὀδυσσεῖ HP. — 92, 4. ἀργοῖς οὐδὲ HP. ‖ ἐμπιπλαμένοις HP. — 93, 2. ἢ τὰ ἑλένης HP. ‖ μενελάου H. ‖ 3. οὐ γὰρ HP. ‖ ὑποδέχοιντ' HP. ‖ τοιούτοις P.
p. 135. — 94, 1. μενελάῳ HP. — '96, 1. καθῆτο HP. ‖ 5. ἦν διὰ HP. — 97, 1. οὐ cum Geelio deleverim. ‖ 2. κατὰ τὸν ποιητὴν om. H (in mrg. add. καὶ τὸν ποιητὴν), καὶ τὸν ποιητὴν P. ‖ καὶ om. H. — 98, 8. ἐφ' HP. —
p. 136. '100, 6. δὴ om. HP. ‖ 7. τοιοῦτον HP. — 101, 1. ἂν HP. ‖ 2. καὶ τοὺς συνηγόρους HP. — 102, 2. αὐτοῖς τούτοις τοῖς πένησιν HP. ‖ 8. γράφων. post hoc verbum in H eodem tenore sequuntur v. περὶ δὲ τῶν λοιπῶν § 132, 4. in P nihil excidit. — 103, 1. γεωργικῶν
p. 137. P. ‖ 7. ἄγοντα P. — 104, 5. τῶν P. ‖ 6. μεγάλας τε P. — '105, 3. μισθῷ P. ‖ τἆλλ' P. ‖ 5. τῆς τε P. ‖ κἂν φρυγάνων P, quod nunc praefero. ‖ 6. ἢ φύλλων P. — 106, 1. ἀναγκάζονται P. — 107, 5. ἐάσομεν P.
p. 138. — 108, 5. ἀστῶν P. — '110, 4. σώματος P. ‖ 5. ψυχῆς P. — 111, 1. οὖν om. P. recte. ‖ 3. μηδ' P. — 112, 1. ἀποτρέπει P. ‖ ἐπιοῦσι P (corr. μετιοῦσι). ‖ 3. δὴ τὰς (pro δῆτα) P. ‖ 4. in adn. crit. post
p. 139. Casaubon. adde: καὶ μὴ reliq. ‖ '5. παρέχων P. — 113, 4. ὀνομάζοντες (sic) P. — 114, 1. φέρ' P. ‖ 3. τύπῳ τε P. ‖ 5. φροντίζοντες P. ‖ 8. ἔριθος ἢ μήτηρ ἢ τρυγ. P. scribo nunc ἔριθος ἢ ἡ μήτηρ ἢ τρυγήτρια. — 115, 3. πενίαν om. P. ‖ 6. τοῦ ὀνείδους om. P. nec desiderabitur omissum. ‖ 7. βαρύτερον ὂν τοῦτ' P. — 116, 1. εἰ γάρ τῳ P. ‖ 2. ξυμβαίνοντα P. ‖ 3. διὰ τὸ βλασφημεῖν P. ‖
p. 140. '4. πλέον om. P. ‖ 6. λέγοντας P. ‖ 8. ἀτρέπτους P. — 117, 4. δια-

φερούσας P. || 5. ἐπεχούσῃ (at compendio) P. || 6. ὡς ἄρα P. || ψευδῆ
P. || 8. τὰ δ' ἐλέφαντι P. || 9. αὖ τῶν P. — 118, 3. ἂν τὸ τοιοῦτον
p. 141. P. || 4. ἀγωνιζώμεθα P. — '119, 2. διά om. P. || 4. οὐκ om. P. ||
5. κιθαρῳδοὺς ἢ αὐλητὰς P. || 7. ἔχουσι P. || 8. ὁμήρου τε καὶ P. hoc
repone. — 120, 2. χαλεπαίνουσι P. || 6. ὑπὲρ P. — 121, 2. αὐτῶν. ||
8. προέκρινεν αὐλοῖς P. — 122, 1. φοβηθέντες(sic) P. || ἐπιτιμηθέντας P. ||
3. ψεγόμενα πάντα (corr. delevit primum α, at alius superscr.) P. ||
p. 142. 4. ἄλλα γε. — '123, 2. προτιθέντες. || 3. συμβόλων P. || 6. αὖ τοὺς
P. || δικορράφους. non melius vulgato. || 8. μὴ ἀδικοῦσι τὰ P. ||
9. ἱκετεύειν. || 10. σφόδρα — πόλει collocat ante καὶ ἀναισχυντήσειν
P. || 11. δοκοῦντος P. || 12. ἀξιοῦμεν. — 124, 3. τε om. P. || ἔστιν
ἃ P. || 5. οἷον δή. hoc nunc praefero. || 7. ἢ ὑφ' ἡμῶν P. || ὡς om.
P. et potest abesse. — 125, 2. ἡ ἀρίστη P. || γένοιτο καὶ πολλῶν
p. 143. P. — '126, 1. αὖ τῆς P. — 127, 2. καὶ (ante καθόλου) om.
P. || 5. περὶ γεωργῶν P. || 7. πέφηνεν P. — 128, 2. μακροὶ P. ||
δοκῶσιν. || 3. λέγωσι P. || 4. ὡς οὐκ αὐτὰς λιπόντων τὴν ὅλων P. ||
5. ὡς ἂν P. — 129, 2. ἐπειδὴ P. — 130, 2. ἐκείνῳ πεμπτέον P. ||
p. 144. '7. ξυμβαίνοντα P. — 131, 3. ἄλλως P. || 5. γινομένου P. || 4. περὶ
δὲ. haec rursus leguntur in H. — 133, 4. μήτε οὖν πένητα μήτε οὖν
πλούσιον H. || 6. γιγνομένους συναγαγοῦσαι HP. || 9. προστάντας HP.
p. 145. — '134, 3. ἀφθόνως HP, quod ferri potest. || 10. ἀποτελούντων
HP. || οὔτε HP. — 137, 1. ἂν δ' ἄρα HP. || ἐσκιρωμένα (corr. ἐσκιρρωμένα) H. || 4. in adn. crit. corrige cum nulla script. discr. ||
p. 146. 5. ἀλλ' ἀεὶ HP. — 138, 1. δεῖ δὲ P. || 4. καὶ ὁμότιμον om. HP || '7. post
αἰσχρῶν comma ponas. || 8. τρεφομένους P. || 9. τολμῆσαι HP. || ἀλλ'
ἀπὸ HP. quod reponendum est. || 10. καὶ ὑφειμένοις HP. || 11. τὴν
αἰσχύνην HP. — 139, 2. ταύτας om. HP. || 3. τε cum Reiskio delendum erat. || 7. εὑρέσθαι HP. — 140, 3. εὑρήκατε HP. || 7. μικρᾶς
HP. hoc repone. — 141, 1. ὄψεσθαι αὐτὸ (mrg. ὄψεσθε δὲ αὐτὸ) H,
p. 147. ὄψεσθε αὐτῷ P. || '9. τε om. HP, non deterius vulgato. — 142, 3. δὴ
om. HP. recte. || 5. χορείας HP. — 143, 1. εἰ οὖν HP. || 4. ἔρωτας
τῶν θεῶν λεγομένους HP. — 144, 1. νὴ δί' P. || 3. δωρεῶν HP. —
p. 148. 145, 6. περὶ om. HP. || 7. πενίτων P. || '8. ἄλσεσιν HP. || 9. μακαρίοις
HP. || 10. ἰδίᾳ P. || ταῦτα πάντα P. — 147, 1. πολλοὺς τοὺς τοιούτους
om. HP. haec v. fortasse post ἐσομένους collocanda sunt. — 148, 3. μένουσι HP. || 5. χρὴ om. P. — 149, 2. βλάβης καὶ φθορᾶς P. || τό τε
p. 149. P. || '5. ἀκρατείας HP. || καὶ om. P. non male. || γινόμενον P. || 6. ζητεῖν
P. — 150, 1. τε HP. || 4. ἂν εἰ σὺν HP. || 5. φέρων μήποτε HP. ||
ἀποτυγχάνοι H. — 151, 2. εὑρίσκειν P. || 6. ἄρξαντας — δικάσαντας —
στρατηγήσαντας HP. post v. δικάσαντας καὶ explicit H, at quae desunt
rec. man. margini adscripsit. — 152, 2. τῶν ἡδονῶν εὑρήσων εἶδος
mrg. H, εὑρήσων τῶν ἡδονῶν (om. εἶδος) P. et εἶδος abesse potest. ||
4. πολλάκις πρὸς τὴν πολλὴν mrg. H. P.

ORAT. VIII.

Codicis V scripturas e Kayseri schedis adnot. crit. inseruimus. itaque ea tantum e Cobeti copiis afferemus, quae a Kayseriana collatione discrepant, ea lege, ut scripturas diserte a Cobeto prolatas asterisco notemus. X est Vaticanus 123, qui hanc Orat. sine auctoris nomine habet; P. Palatinus 117. Contulit hos libros Cobetus cum ex. Reisk.

p. 150. ‘1, 5. οὗτος δὲ X. — 2, 1. ἀντισθένην V*X. || 4. ἤκουε X. ||
5. ταῦτα V. — 3, 7. τοὺς δὲ βραδεῖς καὶ νόθρους V*. —
p. 151. ‘4, 6. κρανείῳ PX. — 5, 4. δεῖ γὰρ V*P, δεῖν γὰρ ἔλεγε X. ||
5. πλεῖστοι V*P. hoc restituendum. || νοσοῦσιν X. || 6. ἀποδημεῖν
PX. — 6, 3. γὰρ om. P. || 4. ὧν ἕνεκα ἀποδημοῦσι P, πρὸς
ἅτινα ἀποδημοῦσι X. — 7, 4. ὑπέσχετο per compend. V*. || 5. αὐ-
τοὺς P. in X est πάντες ἄνοι ὀφθαλμοὺς αὐτῷ. — 8, 3. ἐκέλευεν
(sic) V*, ἐκέλευσεν X. || 5. ἐκεῖνοι P. in X est ἧττον οὗτος (corr.
p. 152. οὕτως) ὑπὸ τούτων ἢ ἐκεῖνος (corr. ἐκείνως). — ‘9, 2. ἀκούειν et μὲν
om. X. || 4. μαχομένου PX. || 5. ἀναγιγνώσκοντων (sic) V*, ἀναγινω-
σκόντων X. || 10. ὅταν τύχῃ X. — 10, 2. οὐδὲ γὰρ οὐδὲν ᾤοντο οὐ-
δὲν X. || 3. ὠφελήσεσθαι P. || 5. ἀκούσας ἢ εἰπὼν X. — 11, 6. θεώ-
μενος X. — 12, 3. τῶν ἑλλήνων ἀντιβλέψαι P (corr. ἀντ. τῶν ἑλλ.). ||
p. 153. ‘5. ἀλλὰ τοὺς σωφρονίζοντας P, ἀλλὰ τοὺς σώφρονας X. — 13, 6. δια-
τετμημένων PX. idem est in omnibus MSS. nam excidit hoc in adn.
crit. ἐντετμημένων est in vmr, haud dubie verum. — 14, 3. περι-
καθαίροντας P. || 5. ἁλσὶ (sic) V*. || θαλάσσῃ PX. || 8. υἱῶν V* (com-
pendio). P. — 15, 4. αἱ γυναῖκες PX. || 6. κοινὸν τῶν PX. —
16, 2. παρακαλούμενον VX. || φιλονεικοῦντας X. || 3. ὑπομένοντας X. ||
p. 154. καρτερεῖν καὶ τεμνόμενον om. P. || ‘4. καιόμενον (sic) V*, κλώμενον P,
καόμενον X. || μᾶλλον PX. — 17, 4. θαρρῶν, οὐ χαλεπὸν δειλῶν
καὶ ἀδυνάτων ἄνδρας ἰσχυροὺς P. hoc admittendum est, in proximis
autem ὁμοίως, etsi P habeat ὁμοίους. in X est, quod legitur in textu,
nisi quod ὄψεται om. || 5. μάλιστα om. X. || ὁμοίως X. || 6. διέσπασαν
οὓς κατέλαβον X. || 8. ἐπειδ' ἂν P. — 18, 4. πολλάκις ἐπεύησαν (at
ευη siglo) P, καὶ ἐπέβησαν X. || 5. αὐτὸν (corr. αὐτοὶ) P. αὐτὸν re-
p. 155. ponendum. || 5. ἀποχωρῶσι PX. || 9. δοκοῦσι PX. — ‘19, 3. ἂν δὲ
V*. || 6. πυγμάχοις P. || 7. ἀποκτιννύντες P. — 20, 7. ἀξίνες V*. ||
8. ξίφεσιν V*. || μεγάλοις P. — 21, 1. ὁ τρόπος X. || post μάχης habet
οὐδὲ γὰρ ἄντικρυς βιάζεσθαι τὴν ἡδονήν, ἀλλ' ἐξαπατᾶν καὶ γοητεύειν
δεινοῖς φαρμάκοις P. in X est idem praeter οὐ γὰρ (pro οὐδὲ γάρ). ||
3. ἅττα V*PX. — 22, 2. εἶναι PX. — 23, 2. ἐπιγίνεται P. scribe
igitur ἐπιγίγνεται. || καὶ ὡς πολὺ ταύτῃ P, ὡς πολὺ καὶ ταύτῃ X. ||
p. 156. ‘3. ἀφὴ X. — 24, 2. δὲ om. P. || 6. ἢ πλήξασα VPX (in adn. cr.
corrige ἢ πλήξασα). — 25, 2. γίνονται PX. || 4. ἰόντες PX. || 5. ἄλ-
λους PX. — 26, 3. ἐμοὶ καρτεροῦντι καὶ παραβαλλομένῳ πρὸς ἡδο-
νὴν P, ἐμοὶ καρτερὸν ὄντα καὶ παράδοξον πρὸς ἡδονὴν X. || 5. ἀθλίων

(sic) V* (compendio), ἀθέων X. || 6. χορεύουσι VPX. — 27, 3. ζήτην
p. 157. ζῆθον P, ζῆθον X. || ‘6. scribo nunc cum Pflugkio Ἰασίωνα. conf. XXIX, 18, 2. || κινύραν. τοῦ δὲ πέλοπος X. hoc recipiendum est, delendum vero ἔλεγον. nam ὅτι suspensum est e v. ἐθαύμαζον. — 28, 2. ὄφελος ὂν ἀνθρώπου P, ὄφελος ἄνωθέν που X. || 4. ἐγίγνωσκον (sic) V*, ἐγίνωσκον PX. || 5. εἶχε PX. || 10. ἔσονται (sic) V*, γένωνται X. — 30, 2. προελθεῖν P. || 3. ἀλλ' V*. || 6. χλανιδίων P. — 31, 3. ὑφ'
p. 158. αὐτὸν PX. || πωλεῖν ἠρημένον καὶ ἵππον τρέφειν X. || ‘4. διήρπαξεν (sic) V*, διήρπαξεν (corr. διήρπαξεν) P, διήρπαξεν X. || πλουσιώτατόν τε X. || 6. ἀπέκτεινεν PX. || 7. ἀπήλασε VPX. — 32, 6. συγγενόμενος δὲ PX. || 8. πρὸ τῶν V*X. — 33, 5. φοβήσας PX. — 34, 2. ἐνόμισε X. || 5. βραχύτερος X. || ἐγίνετο PX. || καὶ ἀσθενέστερος αὐτοῦ P, αὐτοῦ καὶ
p. 159. ἀσθενέστερος X. || 8. αὐλῇ P. — ‘35, 1. μόνον om. PX. || 2. ἀπελθὼν PX, quod nollem sollicitassem. || αυγεω V*, αὐγέᾳ P, αὐγέω X. || 3. ἐκφορεῖ X. || ἐκάθηρεν X. || 4. εἶναι καὶ πολεμητέον om. P. — 36, 4. οἱ om. X. || 5. ἔφασαν. me invito remansit pro ἔφασκον. in PX est ἔφασαν. || 6. οἱ om. P. recte opinor.

Addo scripturas e F (Cod. Vat. 1336) a Cobeto enotatas, unde intelligitur, eum cum deterioris generis libris fere conspirare. Contulit autem Cobetus cum exemplo Reiskiano; nec operae pretium esse duxi haec ad meam editionem conformare.
p. 150. 151. ‘1, 5. οὗτος δὲ ἔφυγε. — 2, 4. τῇ παρουσίᾳ. — ‘5, 4. δεῖν γὰρ ἔλεγε. — 7, 5. πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον.—
p. 152. ‘10, 2. οὐ (corr. οὐδὲν) γὰρ ᾤοντο οὐδέν. — 11, 1. διὰ δὴ τοῦτο. —
p. 153. ‘13, 3. ἐμπεπλησμένον. || 6. διατετμημένων. — 14, 5. ἔψοντας ἁλσὶ καὶ θαλάσσῃ. — 15, 4. ὥσπερ αἱ γυναῖκες. his scholion adscriptum est: οὐ γυναῖκας λέγει, ἀλλὰ τοὺς γυναικώδεις. σκώπτει δ' εἰς τοῦτο τοὺς ἕλληνας. reliqua scholia eiusdem pretii sunt. Cobetus. || 7. μη-
p. 154. δένα αὐτὸν. — 16, 3. δίψος ὑπομένοντας. || ‘4. καὶ μηδὲν μᾶλλον. — 17, 4. ὄψεται om. || 5. ὁμοίους (corr. ὁμοίως). || 8. ἐπειδὰν συνή-
p. 155. 156. θεις. — ‘21, 5. ἐπιβουλευούσης. — ‘23, 3. ἡ δὲ ἀφή. — 25, 2. σῦς
p. 157. ὤν. — 26, 5. ἀθέτων (scholion: ἀσύνετος καὶ ἀβέβαιος). — ‘28, 1. τοῦ δὲ πέλοπος. || 3. ὄφελος ἄνωθέν που. || 8. ἄθλιον ὄντα. || 10. ἔσωνται. — 31, 3. τοὺς ὑφ' αὐτὸν πωλεῖν ἠρημένον καὶ ἵππον τρέφειν. —
p. 158. ‘35, 2. παρ' αὔγειον (corr. αὔγειω) πολύ τι.

ORAT. IX.

Codices VP et Vaticanum 1383 (Q) contulit Cobetus cum exemplo Reiskiano.
p. 160. ‘1, 8. καὶ om. Q. — 2, 1. ἐνιατοτέρους (sic) VP. || 3. μέχρι ὑποστέλλεται P, μέχρι ὑποστέλλει V, μέχρις ὑποστέλλῃ Q. ὑποστέλλει nunc probo. — 3, 1. δε επισκοπων V. || οτι επιπληττοι το τον

κυνος V, ὅτι ἐπιπλήττοιτο τοῦ κυνὸς P, ὅτι ἐπιπλήττοιτο τὸ τοῦ κυνὸς
Q. ‖ 2. διὰ τὴν χαλεπότητα V, διὰ χαλεπότητα (corr. διὰ τὴν χ.) P. ‖
τῷ λοιδορεῖσθαι Q. ‖ 5. καὶ κακίστοις VPQ. — 4, 3. κρανεῖον VP. ‖
αὐτοὶ VPQ. ‖ 4. βλέπουσι V. ‖ καὶ οἷς νομίζουσιν VPQ. ita et reliqui
praeter M. hinc corrige adn. crit. ‖ ῥᾷον εἶναι Q. ‖ 8. εἰ ἐπιδημοῦν-
τος Q. ‖ ἰατροῦ μὴ προσήεσαν VQ, ἰατροῦ οἵ γε οὐδὲ προσίεσαν P. ‖
πρὸς αυτ ἀλλ᾽ P (at προς αυτ librarius delevit), ἀλλὰ Q. ceterum
p. 161. ἀλλὰ in textu muta in ἀλλ᾽. — ‘5, 4. μεσαδίας VP, θεσσαλίας Q. ‖
βωρυσθένους V. ‖ 5. οὗτοι δὲ VQ. ‖ καὶ βραχύ τι ἀκοῦσαι λέγοντος
post γενέσθαι leguntur in VPQ. — 6, 2. ἀποκρίνεσθαι VQ. ‖ 3. γεύε-
σθαι VP. ‖ 5. οὕτως V. — 7, 2. ἔπαιεν VPQ. ‖ 3. εἰώθειν VQ. ‖ ἀνατει-
νομένου VQ. ‖ 7. οὕτω καὶ τότε Q. ‖ μετατρεπόμενος VQ. — 8, 1. τοιού-
των ληρούντων ἐνίοτε (om. ἠνείχετο) V, τοιούτων ληρούντων ἐνίοτε κατε-
p. 162. φρόνει P. ‖ 3. ἐπ᾽ αὐτοῖς VQ. ‖ ἄλλην τινα δυναστείαν P. ‖ ‘7. τινὲς δὲ
VQ. — 9, 2. οἱ πολλοὶ δὲ οὐκ P. ‖ 7. στρεφομένου Q. ‖ 8. φέροντα
VQ. — 11, 3. ὁ δὲ om. V. ‖ 5. τανῦν VPQ. — 12, 3. ἀμαχώτατον
καὶ δυσμαχώτατον VP. ‖ 5. ἀξιοῖ (sic) VP, ἄξιος Q. ‖ 6. ἀπηρήκασι
p. 163. VP. — ‘13, 1. οὖν om. VP. ‖ 5. πεποίηκε VPQ. ‖ 6. αὐτοῦ P, in V
compendium est, quod αὐτὸς significare videtur. ‖ καὶ ὅτι—εἶναι
δεῖ. haec delenda sunt. ‖ 8. δεῖ om. VQ. — 14, 5. εἰς τὸν Q. —
15, 2. διόγενες βέλτιστε ἀνδρῶν P. ‖ 4. σὺν αὐτῷ τρέχοντας VQ. ‖ 5. οὐδ᾽
ἔλαττον VPQ. ‖ οὐδ᾽ ἐλαττόνων VPQ. — 16, 3. ἀλλ᾽ οὐδὲ τῶν Q. ‖
p. 164. 4. ἁπάντων VQ. ‖ 5. καὶ τοὺς ἀετοὺς καὶ κύνας Q. ‖ ‘7. ἐστι VPQ. —
17, 1. βραδύτατος VPQ. — 18, 2. πέφυκας ἥττων P. ‖ 5. γάρ τι P. ‖
6. μόνον om. VP. igitur deleas. ‖ γεγονα P. ‖ 7. ποιω τινι θᾶττον V,
ποίω τινι τρώ (superscr. πω) θᾶττον P. — 19, 3. δεῖ P. ‖ 5. ἀν-
θρώπων om. P. — 20, 1. τί δαί Q. ‖ 2. ἐχρῆν σε P. ‖ 3. χωλοὺς οὐ
p. 165. χωλὸς VPQ. — 21, 2. ὁπότ᾽ PQ. ‖ ‘5. στήσαντες V, σείσαντες P. —
22, 6. ἐπὶ τοῦτο V. ‖ 7. πολὺ Q. ‖ ἀθλητῶν πολλοὶ P. ‖ ἢ om. VQ.

ORAT. X.

Collati sunt a Cobeto cum ed. Reisk. VPF (Vaticanus 1336).

p. 166. 1, 8. πράττοιεν VF. — 2, 2. μέλλω VP. ‖ 3. με om. V. ‖ ‘4. καὶ
νῦν VP. — 3, 1. εὖ γενόμενος F. ‖ 5. οὐ γὰρ om. VP. ‖ 6. σὺ om.
VP. — 4, 1. οὐχὶ κακοὶ F. ‖ 5. ἀλλ᾽ οὐ ἄνου δὲ P (at librarius ἄνου
delendum significavit). ‖ 6. ἀπαλλαγέντος P. ‖ 7. καυτοι V. ‖ 8. αὐ-
τοὺς VPF. — 5, 2. μέν γες κυνῶν P. ‖ 3. τοῦτον μανέντα F. ‖ 7. ὑέων
p. 167. V. — 6, 2. οὕτω ἂν F. ‖ 3. ὡς εἰ F. ‖ ‘4. ἐπιζητει V. ‖ 6. ἐκεῖνος οὐδὲν
παθὼν ὑπ᾽ ἐμοῦ ἐτόλμησεν ὡς ὁρᾷς V. — 7, 2. κάκιστα VF. ‖ 7. ὃ F. ‖
9. ἔφη om. F. — 8, 1. δαὶ F. ‖ 3. ἂν om. VP. ‖ 4. μαδίσεις V, βαδί-
σης P, βαδίσεις F. ‖ καὶ ἂν V. ‖ 6. καὶ οὕτως P. — 9, 1. οἱ (pro
ὁπόσα) P, πόσα F. ‖ 3. παραμελούντων F. ‖ 4. αὐτῶν τα VP, αὐτῶν
p. 168. τε τα F. ‖ 5. ἀκρατείας V. ‖ ‘6. πάθοιεν F. ‖ οὐκ αὐτοὺς V. ‖ 7. δε-

σμεύοντες V. recte. || 8. οὐδ' om. P. — 10, 6. τὸ om. V. — 11, 10. ἀν-
θρώπῳ (sic) VP, ἀνθρώπων F. || τινὶ πολλαὶ V. || δι' VP. || γίνεται
F. || πρὸς οὐδὲν μᾶλλον τυγχάνων αὐτῶν, ἀλλὰ F.' —' 12, 2. σαυ-
p. 169. τὸν νονηλεύσεις P. || '7. εἰ εἶχες VQ, εἶχες P. || τούτε μὲν P (corr.
τότε μὲν). — 13, 2. παῖδες καὶ καὶ Q. || τε om. V. || 4. καταφρονοῦ-
σιν VP. || αὐτοὶ μὴ ὦσιν VP. || πολλοὶ PQ. || 6. ἀλλὰ ὦ V. —
14, 2. ἀποδῶ VPQ, quod defendi potest. || 3. αὐτῶ V, αὐτὸν P. ||
11. τε καὶ P. — 15, 1. οὖν om. VP. || 2. σπουδάσεις κτήσασθαι V. ||
p. 170. ὦ ὡς δυνήσῃ P. || 3. τοῖς αὐτοῦ P. || '5. συνδουλεύσεις VQ. || 6. πο-
νήσεις (sic) P, ποιήσεις VQ. — 16, 2. ἀλυπότερα V. || 5. οὔτε χεῖρας
οὔτε πόδας ἔχοντα VP, οὔτε πόδας ἔχοντα Q. — 16, 9. ὅτι om. Q. ||
11. δειχθῆναι V. — 17, 2. ἀπηγόρευον Q. || 4. αὐτὸν αὐτῷ VP, αὐ-
τὸν αὐτῷ Q. || 6. καὶ om. V. || 8. ἔγωγε VQ. — 18, 1. τί δαί Q. ||
p. 171. 3. οὐδὲν ἄρα V, οὐδὲ παρὰ P, οὐδεὶς οὖν Q. || '6. εἰκὸς—αὐτοῖς om.
V. || 7. πρόσεστι VPQ. || 8. ὀρνέων VPQ. || 9. θαυμάσαι ἂν V, θαυ-
μάσαις ἂν PQ. || πρόβατι Q. — 19, 1. ὠφελουμένους VQ. || 2. τοὺς
δὲ καὶ βλαβέντας V, τοὺς δὲ βλαβέντας Q. || 6. ἔοικε VPQ. || τί δαὶ Q. ||
9. διαφθεῖραι καὶ ἀπορρῆξαι VQ. (quae vulgata scriptura erat. hoc addas
in adn. crit.). — 20, 1. δαὶ Q. || 7. δαὶ Q. || ἢ δόρατος ἡ χρῆσις
VQ. — 21, 1. εἰπεῖν VQ. || ἀκούσαντα VQ. || 2. ὅμως δὲ VP, ὅμως
p. 172. δ' Q. || 4. μεῖζω γὰρ VPQ. || '5. εἰ οὖν V (εἰ compendio), ἢ οὖν PQ. || 6. ἢ
ἵππου VQ. || δαὶ VQ. || ἢ θεοῦ VQ. || 7. τις χρῆσθαι δύναται Q, τις
om. V. || 8. γιγνώσκων αὐτό P. hoc vero reponendum est, ut solum
Diogenis argumentationi conveniens. in proximis malim ἆρ' ὁ pro
ὁ γάρ. || 9. ἀδύνατος—ἀγνοῶν om. P. — 22, 1. δοκεῖ μοι om. Q. ||
3. ἐγώ VQ. || δῆλον ὅτι P. rectius. || 5. οὐ om. P. || γινώσκεις VPQ. —
23, 4. ξάνθον σκάμανδρον παρ' ἐκείνοις καλεῖσθαι Q, in V om. ξάν-
θον. || καὶ τὴν χαλκίδα ὄρνεον κύμινδιν VQ. || 6. βατειαν VP, βαττεῖαν Q. ||
7. μυρρίνης VPQ. — 24, 1. οὖν om. P. || 3. διγλώττῳ ἐπισταμένῳ P.
nec admodum opus est particula καί. διὰ γλωττῶν ἐπισταμένῳ VQ. ||
p. 173. εἴπερ ἄρα mavult Cobetus. || ἐπίστατο P. || '7. οὖν nunc servo. || 8. ἀφηκο-
μενος V. || 10. ἀλλὰ ἐκτιθέναι V, ἀλλὰ καὶ ἐκτιθέναι Q. — 26, 3. ἀλυν
VPQ. — 27, 3. ὡς συμβουλεύσαντος (sic) P, ὡς om. VQ. || 4. καίτοι
μὴ νόμιζε VP. hoc igitur reponendum. || τι om. P. || 8. προθυμήσῃ
p. 174. VQ. — '28, 3. ὀρθῶς καὶ μὴ VQ. || 5. ἀναγνώσεις V. || δὲ καὶ P. quod
praetulerim. || 6. αλλοτιουν V. || συμβουλεύῃ V. — 29, 1. ἔλαθεν V. ||
3. ἀπήλαυσε P. — 30, 4. αὐτὸν VPQ. || εἰλᾶτο V (at ει compendio). —
p. 175. 31, 3. ἐκέλευε P. || 4. οὔτ' ἔγνω Q. || 5. ὄνομα τοῦ Q. || '7. ἤκουσα
λέγοντος VQ. — 32, 2. ἑῶσα VQ. || 3. οὖν om. P. || 5. ὅσῳ om. VP. ||
ἡγησάμενον αὐτὸν εἶναι (sic) P, ἡγησάμενοι εἶναι VQ. || 6. τοῦτο κά-
κιστα P. || 7. ὃ γὰρ ἂν V.

ORAT. XI.

V a Cobeto collatus usque ad § 126 et F (Vat. 1336) inde a § 54 usque ad finem Orationis.

p. 176. 1, 1. ἅπαντας ἀνθρώπους. — 2, 3. πολλάκις ὄντων. — ‘3, 5. ἂν ἕλοιντο (mrg. eadem manu ἀνείλοντο). — 4, 2. ἡγήσασθε (ead. man. ἡγησεσθε superscr.). — 5, 4. παρ᾽. || 5. δεικνῦναι. || 7. παρ᾽
p. 177. ἐκείνων. — ‘7, 2. μηδ᾽ ἂν ἑλεῖν. || 6. malim οὐδὲ κατακρίψας. || 7. οὔτε ὀρέστης. hoc reponendum. — 8, 1. καὶ. || 3. μητέρι. || 4. αὐτὸν. || 6. ἐπιδεικνύοι om. hoc solum delendum; reliqua nunc retineo. —
p. 178. 10, 2. οὕτως. || τύφος. || ‘6. παθόντες (at corr. παθόντας). — 12, 6. κρόνος παῖς ἀγκυλομήτης (corr. κρόνου). — 13, 1. διαιτᾶν. —
179. 180. ‘17, 3. τὸ om. || 4. ἐπῄνει. — ‘18, 8. δεσμὰ. hoc igitur repone. || 11. περὶ. — 19, 3. λέγων. || 5. ἐκείνῳ. || 6. αὐτὸς. — 20, 7. μὲν
p. 181. om. || 8. τοιοῦτο. || 9. παρ᾽ αὐτοῖς θεοῖς. — ‘22, 8. βατειαν. — 23, 1. οὐ ξάνθος ἀλλὰ σκάμανδρος. || 2. οὕτως om. || 5. ᾽ιαστὶ (corr. θεϊστὶ). || 6. ὥσπερ δὴ. — 24, 1. in V quoque eadem leguntur, quae in BM, hac scripturae diversitate (conf. adn. critic.): πέρας δὲ. ||
p. 182. οἷον τόπον δέ τινα. || βατειαν. || χρῆσθαι ὀνόμασιν. — ‘25, 4. δεύτερον
p. 183. om. || 5. τὰ ἄλλα. || οὖν om. — ‘26, 3. καὶ om. || 8. ὅταν. || 9. τῇ αὐτῇ. || 11. προσεῖναι. — 27, 1. οὐθὲν οὐδὲ. || 3. οὐδὲ οὐχ ὡς. —
p. 184. 28, 1. ἐπέτρεπεν. || 3. οὖν ὠργίζοντο. || 6. ἔμελλον. — ‘29, 5. οὐδὲ. || 8. ἄλλοτε. || 12. καθελεῖν τοὺς ἀδελφοὺς. || 13. τὴν γῆν. — 30, 3. ἐμπιπραμένην. || 4. φθεγγομένων. || 6. ἐβούλετο μεθ᾽ ὅσου τάχα. — 31, 1. θάνατον. || 4. στρατείαν (sic). || 5. οὕτως. — 32, 2. τι om. || 5. πραγμάτων — ἀπολειπομένων. haec quoque de-
p. 185. lenda videntur. || ‘6. post v. ἀπολειπομένων leguntur, ut vulgo: ἔστι δὲ — ἔληται, cum hac scripturae diversitate: ὅν τε πατὴρ. || υἷας — θύγατρας om. || ποτι γαιῃ. || ὀλοῇς. || δ᾽ αμπύματον. || προτησι θυρῃσιν. ||
p. 186. επην και τις ὀξεῖ δουρὶ. — 33, 4. τε om. — ‘36, 7. οὐχ om. || ὑπεχόμενος.
p. 187. — 37, 5. ἐν τῷ ὄνυχι. || 7. δὲ. || χρωμένῳ. — ‘38, 2. δ᾽ ἐν. || 6. ταύτας. || 7. μενέλαον. — 40, 2. διακεῖσθαι ὑμᾶς. || 3. ταῦτα. — 41, 4. ἀφίκοιτο. quod praefero. || 5. ἄγνοιαν παρέχοντος. — 42, 3. νομίζουσι. ||
p. 188. ‘7. μηδὲ. — 43, 2. ὁ om. || 6. κατ᾽ αὐτὸ. — 44, 3. αὐτῆς om. ||
p. 189. 7. ἀπιέναι. — 45, 2. ἑορακὼς. || 7. γράμμασι. — ‘46, 6. γὰρ om. || αὐτῷ. — 47, 2. πλεισθένους. || 3. σικυωνίων, quod praetulerim. || τινας om. || 5. θερμόδοντος. — 48, 3. οὕτως δὲ. || 5. ἀπέχοντας τοὺς. scribo igitur ἀπέχοντας τοῖς ἐνδοξοτάτοις. || 7. βασιλεύοντα. — 49, 1. πολλῆς om. || 2. κάλλει εἰς λόγους αὐτὸν. || 4. καὶ λέγοντα. ||
p. 190. τοῦ πριάμου. — ‘50, 2. μέχρι. — 51, 3. τῶν μὲν. || 4. οἰκείαν. || 5. κηδεύσειε. — 52, 3. συμφέροι. || 4. οὕτως. || 5. δ᾽ ἔπιθεν λέγων
p. 191. αὐτὸν. — ‘53, 2. ἔλλησι. || 3. κωλύσει. || 5. οὕτως. — 54, 4. καὶ ἐλπίσαι καταλιποῦσαν. hoc recipiendum est. — Hinc etiam Codicem F (Vaticanum 1336) contulit Cobetus. — 55, 3. καὶ ἢ VF. || 9. χραίσμοι
p. 192. σμοι V. — ‘57, 4. οἴαις V. || 6. οὔκουν VF. || λέγουσι VF. — 58, 1. οὕτω πως VF. || φασιν VF. || 5. μηδὲν τούτων VF. hoc igitur repo-

p. 193. nas. || '9. φροτίσασαν V. || 11. ἀφείλαντο (corr. ἀφείλοντο) V. — 59, 2. τὰ γιγνόμενα VF. || 6. συναπᾶραι — μητέρα om. F. || 7. ἱκανὸν ἦν πιτθέως θυγατέρα οὖσαν V. hoc repone. || 8. ἀλλ'. — 60, 7. ἔτι δὲ πρότερον πεζῇ ἀπὸ σπάρτης ἐπὶ θάλατταν κατιόντων παραχρῆμα ὡς εἰκὸς περιβοήτου γενομένης V. in F est vulgatum, nisi quod τοῖς ἀπὸ σπάρτης. || 9. οὕτως VF. — 61, 4. ἐπεί τοι VF. || 5. μετὰ ταύτης
p. 194. V. || Μενέλαος V. — '62, 3. ἀντιποιήσηται VF. recte. — 63, 8. πλουσιωτάτην V. — 64, 4. στρατείας (sic) V, στρατιᾶς F. || 9. στρατείας (sic) V,
p. 195. στρατιᾶς F. || 10. προσήκειν γὰρ (sic) V, προσῆκε δὲ F. — '65, 10. ἀνθρώπων om. V. — 66, 2. αὐτὸν VF. — 67, 5. εὕρασθαι V. || 7. ἀλλ' om. VF. — 68, 3. τυνδάρεων VF. || τοῖς βασιλεῦσι τοῖς τῆς ἀσίας V. || 4. μενελαω V. || ἀπελπίσαντι VF. || 5. καὶ om. F. || 7. τοῦ οἰνομάου F. ||
p. 196. σον VF. — '69, 2. πολεμουμένου — πάσχοντος — ἔχοντος V, πολεμουμένους — πάσχοντος (priori σ superscr. ε) — ἔχοντος F. || 8. καὶ om. VF. — 70, 1. δαιφόβῳ V. || 3. ἀπεῖναι V. || 5. ἔτι δὲ καὶ F (?). || 7. ἔμελλε VF. — 71, 3. τεθνήκασι F. || 5. στρατείαν V. || 6. σῶσαι
p. 197. om. VF. || '7. ἔλοιεν (sic) V, ἔλθοιεν F. — 72, 7. τυνδάρεων VF. || μηδὲν F. — 73, 2. ἐκείνου VF. — 74, 6. πρωτεσίλαος VF. || 9. κατέβαινον F. — 75, 2. ἅπαντα μετὰ τῆς F. || 3. εἰῶν πρὸς VF. —
p. 198. '76, 4. ἀφιέντας F. || πιθανώτατον (sic) VF. || 7. προκεχωρήκασι VF. — 77, 2. ἐγένοντο VF. || 5. κλοπεῖαι VF. || τρώϊλος VF. || 6. μνήστωρ F. — 78, 2. τε ἀπελθὼν οὕτως ὀλίγου V. || 6. τρώϊλος VF. — 79, 4. ἐπίεσε
p. 199. VF. || 5. ὅπερ V. recte. || '6. γίνεσθαι VF. — 80, 5. ἀπεῖναι V. — 81, 1. τούτων (corr. τοῦτον) V. || 6. ἀλέξανδρον F. || 9. δεῖ V. — 82, 2. μενέλαος F. || ὡς κενὰς (at ὡς a corr. deletum) V. || 3. χάρεις (corr. χάριτας) V. — 83, 1. καὶ om. F. || ἡ τοῦ ἕκτορος καὶ αἴαντος μονομαχία V, ἡ τοῦ ἕκτορος καὶ ἡ τοῦ αἴαντος μονομαχία F. || 3. διάλυσις αὐτῶν (supersc. αὐτοῦ) αἴαντος νικῶντος. πέρας δὲ οὐδὲν, καὶ F. || 5. λέγειν V. —
p. 200. 84, 1. γ' V. || '8. [τοὺς Ἀχαιοὺς] om. VF. in F διώκοντος καὶ νικῶντος (corr. νικῶντος καὶ διώκοντος). — 85, 2. ἀληθὲς VF. — 86, 2. ἀνόητον
p. 201. VF. || 10. διομήδη V. — 87, 2. τὸν ἄρη V. || '4. θαυμάζειν αὐτοὺς V. || 6. τἀληθῆ V. — 88, 2. ὥστε V. || 4. φησὶ F. || 6. διομήδη VF. || 7. ἔπειτα ἐγγὺς V. — 89, 2. τὸν αὔσταθμον V. || 4. κατειλημμένους VF. — 90, 4. γενόνασι VF. — 91, 2. ἐδύνατο V. || 4. στρατείαν. ||
p. 202. '8. μέγα μήτε VF. || τρώϊλον VF. — 92, 1. οὐκέτι τἀληθοῦς F. || 4. τὰ ἄλλα V. || 5. καὶ τὰ F. || 6. ἢ συγγραφέων V. || 10. ὡς εἰκὸς σφόδρα περὶ τῶν παλαιῶν VF. || 12. ποιεῖν F. || γινώσκοντας F. — 93, 1. οὕτως VF. || 4. ἕνεκεν VF. || 5. νεῶν αὐτὰ (corr. αὐτοὺς) V. || 7. ἀπάγειν V. || 8. σχεδὸν VF. — 94, 4. ἄλλως VF. || 6. ἀποχωροῦντα VF. —
p. 203. '95, 5. ταμιευόμενος V. || 9. ἐβουλήθη F. || προσεῖχεν VF. — 96, 2. δειτοῦ. || 3. ὄντι om. V. || 5. καὶ om. V. || 6. ὡς pro ἐπεὶ F (?). || βραδύνοντα V. || 8. συλλαβὼν F. || 9. εἴρηκε VF. — 97, 6. ἀφείλατο (corr.
p. 204. ἀφείλετο) V. || οὕτως VF. || '9. καὶ τὸν ὑπὸ V. || οὕτως VF. — 98, 6. μὲν ἐν τῇ σκηνῇ ἔμενεν V, quod praetulerim. || 9. ἀμύνειν τοῖς τρωσὶν VF. || 10. ἅπαξ ὅτῳ ἐβούλετο. (sic et M a pr. m.) hoc reponendum est. — 99, 1. οὕτως

VF. || 2. ἐπιτρέπων V. || 3. τὰ αὐτοῦ V, αὐτοῦ F. || 4. πᾶν V. || εὔχετο. — 100, 3. λέγειν VF. || 4. αοπλον V. recte. || 5. μηδὲ ἀπόπληκτος VF. || 6. ἀλλ' om. V. — 101, 1. ἐμπόδιον F. || 2. διὰ πρόρρησιν (sic) V, δι' ἀπόρρησιν
p. 205. F. || ‘3. αὐτὸν ὡς ἀποθανούμενον (reliquis omissis) V, αὐτὸν εἰ ἐξῆει πάντως ἀποθανούμενον F. ἐξῆει nunc servo. || 4. ἐξονῆν. scribe ἐξόν. || 5. τὴν πρόρρησιν (sic) V, τὴν ἀπόρρησιν F. || 6. τοῦ om. F. || 7. ἴσον F. || τιμὰν κεφαλῇ F. — 102, 1. ὡς δὲ ἑώρων (corr. ἑώρα) V, ὡς δὲ ἑώρα F. || τὰ ἄλλα VF. || 4. ἔργον ἂν VF. || 5. φανερώτερον F. || 6. καὶ om. V. || 7. ἀπήλλαξεν VF. || 8. διὰ τοῦ ἀχιλλέως VF. — 104, 3. τό τε VF. || ἀφείλατο (corr.
p. 206. ἀφείλετο) V. || 4. ὃς om. V. || 5. ὑπερεῖχεν V. || ‘μέχρι τῶν τειχῶν haud dubie corrupta sunt. || 9. καὶ om. F. — 105, 3. ποιήσει VF. || 9. πεποίηκεν οὕτως VF. || 10. ἕλληςι F. — 106, 1. καὶ om. V. || 2. καὶ πολὺ VF. || 5. γὰρ om. VF. || 6. καὶ γὰρ ἐκ τοῦ F. || 7. οὕτως V. || 10. συνέχεε F. — 107, 1. καὶ πειθανως (corr. καὶ ἀπιθάνως) V. || 5. μόλις ποτε. recte. locus enim sic constituendus est. πάνυ δὲ ἀσθενῶς—αὐτὸν· ἐξ ὧν—σχεδόν· οὐ γὰρ—ἀηδής· μόλις ποτὲ cett.
p. 207. in F est μόλις δὲ. — ‘108, 5. αὐτοῦ εἰκαθεῖσαν V. || 7. εὑρίσκειν VF. — 109, 3. προσθεὶς V. recte. || 5. αἰσθανομένου. || κομίσαι om. V. igitur deleas. || 7. ουτως V. — 110, 2. νικῶντας τοὺς ἀθηναίους καὶ
p. 208. φεύγοντας V. — 111, 4. ἀποδράσαι VF. — ‘112, 4. τούτῳ δὲ VF. || 10. τῶν δὲ αἰχμαλώτων V. || 11. χρημάτων (corr. κτημάτων) F. —
p. 209. 114, 1. μένειν ἦν F. || 2. λῃστεύοντες V. || ‘11. ἁπάντων πάντες V, ἅπαντας πάντες F. — 115, 2. τιν' F. || 3. ἔσωθεν VF. || 7. ἀναπλεύσαντες (corr. ἀναπνεύσαντες) V. || περιεβάλλοντο F. — 116, 1. ὑφόρμων V. || τοῦ τείχους F. || 8. ὑπὸ μέμνονος F. — 117, 1. τοῦ om. F. || 5. ἀπέκτεινε νεοπτόλεμος V, κατέκτανε νεοπτόλεμος F. || 6. νηὸς F.
p. 210. — ‘118, 6. συμβάσεως F. || 8. στρατεύειν F. || ἐπὶ ἀσίαν F. — 119, 3. τῇ τοῦ F. || 4. corrige in textu γῆρας τὸ αὐτοῦ. || αὐτοῦ VF. || 6. βουλομένους V. || 7. διαλῦσαι τὰ δαπανηθέντα om. F. || 10. καὶ τὸν ἀλέξανδρον F. — 120, 4. μηδὲ γὰρ V. || 5. γυναικῶν τος δέ. || 8. ἐπιβουλεύειν ἂν VF. || 9. ὡς δὲ V. — 121, 2. μηδὲ γὰρ.
p. 211. fortasse genuinum. || ‘5. δεῖ om. VF. || 6. αὐτοῖς εὑρήσειν V, αὐτοῖς εὑρεῖν F. — 122, 4. γίνονται F. || τρωσί τε καὶ F. || 5. ψεῦδος ἴσως γενόμενον V, ψεῦδος ὡς οὐ γενόμενον F. || 6. συγχέαι om. F. || ἃς ὤμοσαν VF. || 7. καὶ ὁ ἀγαμέμνων F. — 123, 4. ἐτελέσθη V. || 6. γελοίως ἐνέχθη F. || 7. ὑπὸ ἵππον F. || 8. τῷ om. V. — 24, 5. malim Σκαμανδρίῳ. conf.
p. 212. Il. 6, 402. || ‘10. πολὺν χρόνον. his verbis explicit folium versum Codicis V. cetera perierunt. Cobetus. Reliqua contulit vir doctissimus cum solo F. — 125, 2. διὰ τὸ. || 3. μηδένα. || 4. τοῦτο om. || 5. κομίζουσι. — 126, 3. ἀλλ' οὔτε. || 8. συμμάχων nunc servo. — 127, 3. πό-
p. 213. λεως εἰπεῖν. || εἰσιν ἐν. || 5. εἰς ἅπαξ. || μόνων. || λέγουσι. — ‘128, 2. ἐν τῇ τροίᾳ. || 7. τοῖς ἡττημένοις. — 129, 3. νῦν δὲ δοκοῦντες. || 6. δεινοῦ διώκοντος. || 7. εἰ τύχῃ. — 130, 7. μενέλεῳ. || 9. τὸ πλεῖστον
p. 214. om. || ‘11. καὶ om. || 12. ἀνάγκῃ om. — 131, 3. καὶ διακινδυνεύειν. in adn. crit. scribe: καὶ μὴ διακινδυνεύειν. sic dedi. καὶ διακινδυνεύειν

Digitized by Google

p. 215. reliqui. — 132, 1. *πάντα.* — 133, 4. malim *ἐξέπεσον οἱ ἐκ.* || 5. *συμφο-*
ράν. || '7. *μετὰ τῶν Δωριέων.* — 134, 2. *τὰ δ'.* || 3. *ἐτράπησαν* om. ||
4. *τῶν ἑλλήνων νεότης.* || 7. *στρατιᾶς.* || *ἢ δειλοὺς.* — 135, 2. *κατέμεινε.* ||
τε (pro *γε*). || *τε* om. || 5. *στρατιᾶς.* || 7. *ὅμως* (pro *τέως*). — 136, 2. *μενέ-*
λεων. || 5. *γὰρ ἀπὸ τῆς.* || *τόπος* om. || *ἐστί.* || 8. *τραγῳδοποιῶν.* —
p. 216. '137, 3. *ἐγένοντο.* — 138, 2. *ἔφυγον.* || 7. *μικρῶν.* || 10. *τῆς ἀρίστης*
γῆς. — 139, 2. *συμφοραῖς.* || 6. *αὐτὰ σῶσαι.* || 7. *ἀλλὰ μετὰ.* in textu
comma ponas ante *ἀλλ'.* — 140, 1. scribe *Ἕκτορα ἔφη, ὡς.* —
p. 217. '142, 1. *ταῦτα δὲ.* || *ἑλέσθαι ἕκτορος.* || 3. *φρονήσεως.* || 5. *καὶ* om. ||
στερόμενον. — 143, 2. *τὸν αἰνείαν ἐπίθετο στόλον ἐλθεῖν.* || 4. *διη-*
p. 218. *γησάμενος.* || 7. *εἶχε.* — '144, 4. *λαβόντας.* || 5. *παρέντες.* —
145, 1. *ὑπ'.* — 146, 3. *τελευταίως.* || 4. *εἴποι.* || *σκιρήτην.* || 5. *λακε-*
δαιμονίων ὀνομάζουσι. || 7. *ἐλευθερώσαντα* et *ἀνελόντα.* — 147, 1. *πεί-*
p. 219. *θουσι καὶ τολμῶσι λέγειν.* || '5. *τὸ πεισθῆναι ἔτι.* || 6. *οὐ πολὺ.* || 9. *ἐκ*
τῶν πρὸς τῆς ἀσίας. || *ὥσπερ εἰ προσεδοκᾶτο.* || 10. *δὲ καί.* —
148, 2. *ἔγωγ' οὖν.* || 4. *ἐρετριέαν.* || 5. *ἀρταφρένην.* || *κἀκείνους τε.* —
p. 220. 149, 5. *ἀνδραποδίσαι.* || 9. *συγγινώσκειν.* — '150, 1. *οὖν ἄν.* ||
2. *ἀλλ' οὐδὲ ἐστιν.* || 3. *ἐπιστρατεύωνται.* || 5. *ὀλίγων.* — 151, 1. *οὐδὲ*
ἐλέγετο. || 6. *ὥσπερ γάρ.* — 152, 1. *ἄριστον ὄντα ὑπὸ τοῦ φαυλοτά-*
του τῶν ἑλλήνων ἀποθανεῖν. || 5. *βασιλέας* (at compendio). || *ἀνελεῖν*
αἴσχιστον ἄν. πρὸς. — 153, 4. *βασιλεῦσι.* || *ἐπὶ τῷ τάφῳ.* || 6. *παν-*
p. 221. *ευπρεπῆ.* — '154, 5. *παρὰ τοῦ.* || 6. *δυστήναν.* || 8. *τὴν ἱέρειαν κόρην.*
deleo nunc *ἀπό.*

ORAT. XII.

Codicem Palatinum 117 (P) et Marcianum 422 (Y) contulit Cobetus cum exemplo Reiskiano.

p. 222. '1, 4. *δήποτε* PY. || 6. *καὶ ὅταν γε* PY. ceterum in textu sic
distingue: *ὄρνεα· ὅταν γε ἴδῃ μόνον, τὰ μὲν* cett. — 2, 3. *αὐτὸν* PY. ||
5. *θέατρον* PY. || 9. *ἤ τινα ἀκτίνων* PY. — 3, 1. *εἰ δ' αὖ τις* PY (hinc
corrige adnot. crit.). recte. || 2. *ἐθέλει* (sic) Y, *ἐθέλοι* P. hoc nunc praefero.
|| 3. *οὐδ' ὅπως* om. PY. recte. || *μέσῳ δὲ μάλα* PY. || 4. *παρέχειν* P. || *περι-*
στρεφόμενον PY. || 7. *ταῶ* P. || *καλλωπιζόμενοι πάντα ταῦτα* P. Y (at hic
p. 223. *καλλωπιζόμενον*). — '4, 2. *οὐδ' ὅταν* PY. || 5. *οὔκουν* P. || 8. *ἠϊόνος* PY. ||
λίμνη P. || 9. *μικρὰν* P. — 5, 3. *ἡδίστου* (corr. *ἡδίστων*) P. || 4. *ταὼς*
ποικίλους ὅπερ ἐστὶ πολλοὺς σοφ. P. Y (at hic *σοφιστὰς πολλοὺς*). ||
7. *ἀπηκάζω* P. || 8. *οὐκ ἂν εὐδαιμονίας* P. — 6, 1. *εἶναι* om. Y. || 2. *τῆς τε*
PY. || 4. *αὐτὸν* PY. || 7. *τῶν ἄλλων* om. PY, nec eo valde opus est. —
p. 224. '7, 7. *φύεσθαι* PY. — 8, 8. *μὲν αὐτοῖς οὐδὲν ἔτι* PY. — 9, 6. *τότε*
ἀληθὲς Y. || 6. *ὥσπερ τὴν* PY. — 10, 7. *ἀπίωσιν* PY. || *μένοντές που*
p. 225. PY. || '9. *παλιμβάκτροις* PY. || 11. *αὐτῆς ἔσεσθαι τῆς* PY. — 11, 1. *δὲ*
αὐτοὶ μὴ βούλεσθαι PY. || 3. *μὴ δοκοῦντες* P. || 8. *καὶ πᾶσι* P, *πάσῃ*
(om. *τῇ*) Y. || 9. *πλοῦτόν φασιν ἀρετῇ καὶ κῦδος* Y. || *λόγος ἀρετῇ*
PY. — 12, 4. *ἀλλ' ἀνάγκη διὰ* Y. || 6. *ἀπειριμένων* P. || *ἤδη καὶ βῶλον*

PY. || 7. δήτι τῶν PY. || 8. ἡμῖν om. Y. || 9. καταγελῶν P. — 13, 1. ἐκεί-
p. 226. νοις αὐτὴ μὲν P. || '3. λυσιτελέστερον Y. || 4. πρβάλλειν (superscr. ο)
P, προσβάλλειν Y. || 7. οὐδένα PY. || 8. ὥστε PY. || 9. οὐ μεγάλα ἂν
ὠφέλουν (corr. ὀφέλουν) P. || 10. αὐτὸν PY. || 12. οὐδεὶς ἀναλαμβάνει
(superscr. μοι) P. — 14, 1. σχεδοννοῦν P, σχεδὸν οὖν Y. || 2. κἀνε-
πιστημοσύνης P. || 4. ταῦτα P. || 7. αὐτῶν μάλιστα P. || ἡγεῖσθαι PY. —
p. 227. '16, 4. χρὴ δὲ ἡμᾶς (corr. add. ἐᾶν), χρὴ δὲ ἐᾶν ἡμᾶς Y. || ἐνβραχὺ
(corr. ἐν βραχεῖ) Y. corrige igitur ἐμβραχὺ cum Geelio. || ἕπεσθε
corr. P. || 5. ἐν τοῖς λόγοις om. PY. || 6. ἐξῆκα PY. || 8. πορευόμενος
PY. || γε τῶν χώρας (corr. χώρων) P. — 17, 4. ἀπὸ τῆς γλώττης PY.
post v. συνευχομένων leguntur in PY, quae in adn. crit. posui, nulla
scripturae discrepantia, nisi quod αὐτός τε καὶ in utroque legitur.
conf. § 26. || 6. ἔχον (sic) P. Y (at corr. ἔχων). || 7. ἄλλο PY. scri-
ptura notabilis. — 18, 1. ἔγωγε om. PY. || 3. ὅπλων (pro κούφων) Y. ||
ἀνόπλων τὴν βαρεῖαν ὅπλισιν στρατιώτης οὐδ' ἀκοντιστὴς PY. scribe
cum M: ἀνόπλων τὴν βαρεῖαν ὅπλισιν στρατιωτῶν. || 4. οὐ λιθοβόλος
p. 228. PY. non deterius vulgato. || οὐδὲ αὖ P. — '19, 2. νόθους PY. || 3. ἀλλ'
ὑμετέρους PY. || 4. ὑσπλήγων P. || 6. ἔνθα γε PY. non deterius vul-
gato. || 8. πάντα δὲ ὅπλων om. P. || 9. ὁ (ante ῥάθυμος) om. PY. —
21, 6. τοῦδε om. PY. in adn. crit. corrige: τοῦδε τοῦ. τοῦ C, τοῦδε m. —
p. 229. '22, 6. λέγοντας PY. — 23, 3. εὔξασθαι PY. || 8. καί τις PY. || ἢ ὁ PY.
— 24, 2. δι' ἐνέπετε P. || 5. ῥεῖα μὲν βριάει PY. || ῥέα δὲ (sic) PY. —
p. 230. '25, 5. δηλονότι καὶ παγκάλων Y. — 26, 2. ἐναρθῆ (superscr.
p. 231. ἐναργῆ) P. || 15. τανῦν om. PY. signum orationis turbatae. || '16. σκοπῶ
δὲ PY. || 17. δὲ om. PY. || 19. αὐτογενῶς φασὶν PY. || 21. διά τε πελ-
τῶν (at compendio) P. || 23. γίνεται Y. || 24. ὧν λόγοιν Y. || τινὰ εἰκό-
τως ἔχειν ἄξιον συνεξανύειν PY. — 27, 1. περὶ δὲ PY. || 5. καὶ om.
p. 232. P. || 7. ἀπάτης χωρεῖ PY. || '8. κατανυστάξαι PY. || 9. malim πρεσβυ-
τάτους καὶ πλησιαιτάτους. — 28, 2. καθ' αὑτοὺς om. P. || ἀλλ' ἐν
PY. || 3. μᾶλλον δὲ συμπεφυκότες om. PY. || 5. ξύνεσιν — ἅτε δὴ om.
PY. || λαμπόμενοι PY. || 6. τε om. Y. || 10. ἡμέρων τε καὶ Y. || 14. ὀνο-
μάζειν καὶ δηλοῦν PY. (ita etiam C, quod addas adn. criticae; ibi-
dem corr. BUA pro AUA. || comma ante εὐμαρῶς transpone. ||
15. καὶ μνήμας PY. || λαμβάνοντες Y. — 29, 4. ἐμπιπλάμενοι PY. ||
p. 233. 5. συμπάσης PY. || 6. εὖ πορίσαντος PY. — '30, 3. μητρὸς καὶ γῆς P. ||
6. ἅμα δρόσῳ (sic) PY. || γλυκεῖα Y. || 7. καὶ δὴ καὶ τοῦ PY. || 9. αἰεὶ
P. || λήθης PY. || ἐκκειμένης PY. — 31, 1. δικαιοτέραν λέγομεν PY. ||
2. ἁπλῆν PY. || 6. πρώτην om. Y. — 32, 2. ἐπινοῦντες (corr. ἐπινοοῦν-
τες) P. || 3. αἰσθανομένοις Y. || 4. ἕνεκεν P. || 5. τῆς om. P. — 33, 3. οἶκον
p. 234. PY. || '10. εἴη τῶν ἀνωνύμων καὶ βαρβάρων Y. — 34, 2. ἂν οἰστὸν
PY (dele colon post γένος in textu). || 6. θαυμαστῶν PY. || 10. ἔδει
μηδὲ P. — 35, 1. γιγνόμενον (sic) Y, ἔτι γιγνόμενον P. hoc repone. ||
p. 235. 2. μᾶλλον, ὅπως καὶ PY. hoc verum. || '6. μηδεμία μηδαμῶς ἔννοια
Y. || 8. ἐκφέρει PY. — 36, 1. δόξαμεν P. || 3. ἀπειρίαν καὶ τὴν ἀγν. Y. ||
6. κατασχοῦσαι γῆς τῶν P. || 7. μολύβδου P. || 10. διαγινώσκειν Y. ||

θεὸν ὑπερφρονοῦσι τὰ om. Y. — 37, 1. ἐκείνοις οὐδεὶς Y. || 4. καὶ
p. 236. ἐκ τοῦδε PY. || 6. τάδε δὲ ξύμπαντα PY. || ‘9. μηδενὸς — φέρεσθαι om.
Y. — 38, 3. νοῦν καὶ βίον ἐπ. Y. || 5. ἀκροωμένοις· οὐ PY. dele igi-
tur ἀλλ', quod propter sequentia incommodum est. || 6. οὖν om. Y. —
39, 4. οὐ κατὰ πλάνην συστᾶσαν PY. || 7. κοινὴν καὶ P (sic) (ita etiam BMU.
nam in adn. crit. 6. muta in 7.), κοινήν τε καὶ Y. || 8. λεγομένην PY. ||
p. 237. δι' οὐδετέρων PY. || 9. ἢ λόγοις PY. || 10. τε om. P. — ‘41, 3. ποίησιν
καὶ νομοθεσίαν PY. || ἔχοι P. || 4. ἐν om. PY. || πρέποι Y. || ποιητικὸν
PY. || 3. πρῶον διά καλοῦμεν PY. — 42, 4. καὶ ἀθανάτων γονέων
Y. || 8. ἀντιφιλοῦντος καὶ ἀντιστέργοντος ὅπως Y. — 43, 2. πρεσβύ-
τερον (at compendio) καὶ συγγενὲς Y. || 5. εὐεργετῶν PY. || 6. ὀφιλό-
μενον P. || ἀνέκτιστον PY. || dele uncos ante ἐν et post γιγνόμενον et
locum sic scribe: ἐν δὲ (sic M) τοῖς περὶ τῶν θεῶν λόγοις καὶ μύθοις
μᾶλλον τοῦτο ἰδεῖν ἔστιν ἐπ' ἀ. γ. || 7. μύθοις τε καὶ λόγοις PY. ||
p. 238. γινόμενον Y. — ‘44, 4. παρὰ τὰ PY. || λέγω δὴ PY. || 8. ὥρᾳ PY. ||
11. τὸ αὐτοῖς PY. || 15. ὑπονοίας PY. — 45, 4. ἀλλὰ θεῶν PY. —
p. 239. ‘46, 2. ἐβούλοντο εἶναι τοῖς PY. || in adn. crit. corrige: ἀηδεῖς ABCUM
(corr. ἀηδεῖς εἶναι), ἀηδεῖς εἶναι reliq. || 4. ὡς δὲ καὶ Y. || 7. ὄψεως
καὶ ἐξηγούμενοι PY. — 47, 2. λόγῳ γιγνομένης πρὸς Y. || 4. διὰ om.
PY. || 5. ἔχειν ἡγούμενον Y. || 6. λόγων PY. — 48, 3. γὰρ ἂν αὐτὸν
p. 240. φείδεσθαι PY. || 5. τε om. Y. || ‘11. in adn. crit. punctum interpone
post v. Reiskius. || ἀγαλμάτων ἡμετέρων καὶ Y. — 49, 5. ξυμπάν-
των τῶν Y. || 9. ἔτι δὲ (sic) PY. scribe εἴτε (sic M) pro ἔτι δὲ. ||
πρὸς τὴν ἐργασίαν μου. Y. || 11. οὐκ ὀλίγοις om. Y. — 50, 5. μὲν
οὖν PY. || 6. πάλιν Ἕλλησι P. || 7. ὁπόσοι Y. — 51, 1. τὴν ἂν ἄλο-
p. 241. γον ἐκπλήξει (at ι a corr. add.) P, τὴν ἄλογον ἐκπλήξει Y. || ‘5. σβέ-
σαντα PY. || 6. τερφθέντα PY. || 8. συμφορὰς PY. || 9. ἐπιβαλόμενος
P. || 11. οἴεται PY. — 52, 1. οὕτως PY. || 4. τοσοῦτον Y. || 5. εἰκὸς
om. PY. || 9. [ἐποίεις] om. PY. || 10. σκοπῶμεν Y. || 11. ἀπολογησά-
p. 242. μενος ἱκανῶς PY. || 14. ἂν om. PY. — 53, 2. ἀγὼν PY. || ‘5. μακρὰ
Y. || καὶ ἄσημα συλλέγοντες τῶν PY. || 7. γε om. PY. — 54, 2. ἴφι-
τον τὸν P. || 5. προέχοντα Y. || ὑστέρων P. || 6. in C est ἢ μᾶλλον δὲ.
in g [ἢ] μᾶλλον δὲ. hinc corrige adn. crit. — 55, 1. πρὸς δὲ ταῦτα
P. || 4. περὶ ἀρχῆς οὐδὲ περὶ στρ. PY. || 5. οὐδὲ νεῶν P, οὐδὲ περὶ
νεῶν Y. || πεζῶν PY. || 7. θεοῦ τῆς P. — 56, 1. ἐγὼ ἐγενόμην πρῶ-
τος ἐξ Y. || 2. ἔφην ὅτι PY. || 3. οὐδέπω τε σαφῆ P. || περὶ τούτων
p. 243. om. Y. — ‘57, 4. ὡς ἐκείνων μὲν PY. || δυναμένους P. — 58, 2. σε-
λήνης σύμπαντος P. || 5. τὰ τῆς PY. || 6. μεστὰ πάντων PY. || 7. οἷον
PY. || 8. οὕτως om. Y. — 59, 5. γινόμενον Y. || 6. σῶμα καὶ ἀγγεῖον
PY. || 9. ζητοῦντες ἐνδείκνυσθαι Y. || συμβόλου (sic) PY. || 11. καὶ
τὰς μικρὰς P. — 60, 1. in adn. crit. corr. 60, 3. nam pro infe-
p. 244. riore γὰρ in C legitur οὖν. || ‘3. ὁρᾶν χρὴ τὰ Y. || μὲν οὖν PY. ||
4. ὁρᾶν PY. — 61, 3. οὕτως PY. || 7. ἀτήμους P. — 62, 6. ὑπὲρ
τῆς τιμῆς Y. || βουλήσεις καὶ δημιουργίας PY. || 8. πρὸς οὐρανὸν —
p. 245. μίξεις om. P. — ‘63, 2. οὐδενὶ θνητῷ (sic) PY. || 3. ὁμήρου πολὺ PY. ||

4. δόξαντος ἡμῖν Y. || 5. ζημίαν ἕτοιμος ὑπέχειν ἐγώ PY. — 64, 3. ἅμα om.
PY. || 3. αὐτῶν Y. || 4. ψυχῆς μου βουλήματα P. || 7. γλῶττ' PY. || 9. πολὺς
νόμος P, νομὸς πολὺς Y. — 65, 1. κινδυνεύοι Y. || 2. λέξεων P. || τούτων
δὲ μόνον P, τοῦτον δὲ μόνον Y. || 3. οὐδὲν οὖν Y. || 7. δόξαν καὶ πολὺ
p. 246. P. — '66, 4. τὴν om. P. || 6. πολλῷ om. P. || 9. φιλοχρηματίαν
PY. — 67, 5. κηλήσει P. || 7. παραπρέπων P. — 68, 5. πυρὸς καὶ
ἀνέμων Y. || 6. ἔτι δὲ καὶ PY. || 9. ἐξεῦρε καὶ PY. || ὀνόμασε P, ὠνό-
p. 247. μασε Y. || 12. τῷ ὄντι δεινὰ Y. || '13. ταραχὴν τε καὶ PY. —
69, 2. φανερῶν PY. || καὶ ἡδέων ὀνομάτων Y. — 70, 2. αὐτῷ P, ἐν
αὐτῷ Y. || 4. παντοδαπὰς περιλαβεῖν PY. || 5. προστιθέναι PY. ||
6. ἡγῶντο P. || 8. ἐπινοίᾳ PY. || ἐναχθεὶς P. || 9. πλῆθος ἐπήρυσεν
PY (ut reliqui. hinc corrige adn. crit.). || 11. ἔλαβε PY. || 12. καὶ
ὀλίγον PY. || πετρώδει καὶ στερεᾷ κάμνον ὕλῃ PY. — 71, 2. παραμεῖναι
p. 248. Y. || 3. τῇ αὐτοῦ αἰεὶ P. || '4. ἔτεσι PY. || πιστότερα — ἡ μὲν γὰρ om. P
(at add. mrg.). || 5. δυσπιστότερα PY. || 6. ἐνεργείας PY. || τοῖς om. P. ||
8. γοητευομενα PY. — 72, 3. καὶ om. P. || τῷ γοῦν ὁμήρῳ μὲν P. || 6. in
textu corr. τὸν ὑπὸ. || 7. ἀποθειχθέντα (mrg. δειχθέντα) P. —
73, 3. προέχειν Y. || σχεδὸν γὰρ PY. || πρῶτον P. || ἐπέδειξας PY. malo
nunc ἐπέδειξα. || 4. alterum θεῶν non sine veri specie delet Geelius. —
74, 5. καὶ βίου PY. || καὶ (ante πατέρα) om. Y. — 75, 3. πατὴρ
θεῶν PY. || βασιλέων εἷς P, βασιλεὺς (om. εἷς) Y. in adn. crit. sic
corrige: εἷς om. CD. Orat. I, § 39. g. ibidem addas: ὀνομάζεται.
ἐπονομάζεται D. Orat. I. l. l. g. probo autem nunc Geelii rationem,
p. 249. qui omisso εἷς scribit ἐπονομάζεται. || '4. πρὸς δὲ αὖ τοῖς Y. || 7. τὴν
om. PY. — 77, 1. ὅσου P, ὅσον Y. || ἐπιδεῖξαι P. || 4. τὸ om. Y. || 5. καὶ
p. 250. νόμιμον PY. || 9. τὸ (ante χρηστὸν) om. Y. — '78, 2. δὲ καὶ PY. || 4. ἴριν
P. || 5. ἢ ἐπιβάλλοντα PY. || 6. στρατιώτῃ PY. || 7. ἢ om. PY (in adn. crit.
post v. Geel. adde: ἢ om. reliq.). || 9. ἢ ἡμιθέων P (?). || 11. ἠθέλησα
γε ἂν P. Y (nisi quod γ' habet). hoc igitur Dioni reddas. — 79, 3. ἐκ
γὰρ τῶν PY. || 5. κεφαλῇ κείμενον στέφανον Y. || 7. πάν (superscr.
τα) ἄπορον P. — 80, 3. ἀληθέστερον καὶ ὀρθὸν PY. || ἀλλ' οὔτι P. ||
p. 251. '5. ὄψιν ἦν P. || 6. ἐς χεῖρας PY. — 81, 1. ἀέρα τε ἢ PY. || 3. ἔργμα
PY. || 6. εἰς ταυτογενὲς καὶ PY. || ζῶν καὶ P, ζώων καὶ Y. || ἢ μόνον
τοῦτο σχεδὸν πάνυ P. — 82, 1. δὴ om. PY. || 4. εἰκότος ἀπαιτῆτε
P. || 6. τιμῶντα P. || 7. παραχωρήσαιμι (om. ἂν) PY. || 8. κρείττονα
ἀνέσθαι ἐμοῦ ποτε περὶ τὴν P, κρείττονα γενέσθαι ἐμοῦ ποτε περὶ
τὴν Y. || 9. ἅπαντα πόνον (superscr. κόσμον ἢ τόπον) P. || ξυμβαλεῖν
p. 252. P. — 84, 1. ταῦτα P. || '2. ἴσως οὖν τοὺς Y. || 5. ὅπως τε δεῖ P,
ὅπως τε χρὴ Y. verba ὅπως — ποιητῶν tantum in edit. Reisk. omissa
sunt. hinc corr. adn. crit. || ἱδρεῖσθαι Y. || 6. θεῶν P. || περί τε PY. ||
7. ἐπινοίας θεῶν P. || 9. ἐρρέθη Y. — 85, 2. τοιοῦτον P. || 6. ἀπαρχὰς εὐε-
ξεσίας (at hoc postremum compendio) Y. repone igitur ἀπαρχὰς. || 7. ἔθνη
(corr. ἔθη) P. || 8. διαφυλάττεις P. || 9. αὐτόν γε οὐκ ἀγαθὴν P,
αὐτήν γ' οὐκ ἀγαθὴν Y. || κομιδῇ Y. || γῆράς τε PY. || 10. ἔσσαι Y.

ORAT. XIII.

Cum P (Palatino 117) contulit Cobetus exemplum Reiskianum.
p. 253. ‘1, 3. *ταῦτά τε καὶ.* ‖ 9. *ἑτέρους.* quod nunc praefero vulgato. —
p. 254. 2, 5. *βωμόν.* ‖ *αἴρουσαι.* — 3, 1. *ἆρα.* — ‘5, 5. *ἀποκρινάμενον.* ‖
6. *πόλεως τρόπον.* ‖ 10. *ἀσθενεῖ δὲ ἅτε.* vide igitur, ne sic scribendum sit: *ἀσθενεῖ δέ γ᾽ ἅτε.* — 6, 1. *πρὸς δή.* ‖ 4. *νομίζοντας.* ‖ ‘7. *ἐν-*
p. 255. *θυμήθην.* ‖ 10. *οὕτω ἐπιθεσπίσας.* — 7, 2. *πόδαβρε.* ‖ *πολυψηφίδα.* —
9, 2. *συμβούλῳ ἱκανῷ.* ‖ 3. uncos dele. ‖ 9. *ἀπέλθοις.* ‖ 10. *κατ᾽ ἀνθρώπου.* ‖ *γε* om. ‖ *θεοῦ.* — 10, 2. *τοσούτους πλάνους* (superscr. *τοσούτην*
p. 256. *πλάνην*). ‖ ‘4. *μέχρι.* — 12, 3. *ὅτι.* ‖ 4. *ἐρωτῶσι.* ‖ 5. *μεταστάντα.* ‖
p. 257. 6. *τοῦτο.* — 13, 3. *καὶ τοῖς πολλῆς ἀμαθείας.* ‖ ‘9. *οἷά τε δυνάμενα.* Cobetus ita scribendum existimat: *οὐχ οἷά τε ἀπαλλαγῆναι.* vere. — 14, 2. *καταμεμφόμενος ἦν. ἐνίοτε δὲ καὶ* (at *κ* a corr. deletum) *ὑπὸ ἀπορίας ἀνῆγον ἐπί.* ‖ 5. *πανταχοῦ δέ.* ‖ 6. *ἐπὶ τῷ δικαστηρίῳ κατ᾽ ἀγορὰν.* — 15, 8. *παλαιὰ* om. — 16, 3. *ἀνυποστόλου* (at compen-
p. 258. dio). ‖ *ποῖ φέρεσθε ὦ* om. ‖ *καὶ* om. ‖ ‘11. *ἡγεῖσθαι.* ‖ 12. *χρημάτων ἐχρῆν.* ‖ 13. *κἀκείνους.* — 17, 3. *υἱεῖς.* ‖ *ἀσκοῦντες.* ‖ 6. *κατοικίσειεν* (sic). ‖ 7. *ποίαν τις ἂν ὑμῖν δοκῇ γενέσθαι πόλιν.* ‖ 11. *δὲ καὶ γυναῖκες.* ‖ 12. *τοὺς τῶν ὑμετέρων παίδων.* — 18, 3. *κατευθύνῃ.* (in adnot. crit. corrige *κατιθύνων* r, *κατευθύνῃ* cett.). ‖ 7. *ἰώμενος*
p. 259. *θεραπεύῃ.* — ‘19, 10. *κιθαρίσωσιν ἢ.* ‖ *περσέπτολιν δεινὰν θεόν.* ‖ *τῷ πόδε.* — 20, 6. *ὅτι πένης ἐστὶν οὐδείς, οὗ ἕνεκα τραγῳδίαν τις ἐδίδαξε.* haud dubie reponendum. scribe vero *ἔστιν* et *ἐδίδαξεν.* —
p. 260. ‘22, 5. *οὐκ εἰ δικαιοτάτους* (sic). ‖ 7. *ποιήσητε.* ‖ 8. *ἀποδείξοιτε.* ‖ *τριηλάτας.* — 23, 1. *εἰ δέ τις λέγοιτο πολιτικῶν.* ‖ 3. *ταῦτα* (superscr.
p. 261. *ταύτα*) *μὲν οἱ Ἀθηναῖοι.* — ‘24, 1. *ἂν* om. ‖ 8. *κακοδαιμόνων. καὶ τοῖς ἐν αὐτοῖς ὑπῆρχων.* unde Cobetus *καί τις ἐν* cett. — 25, 2. *καταβάλοι ἄν.* — 26, 1. *εἴ ποτε.* ‖ 2. *ἀγραμματότεροι.* ‖ 6. *συμβέβηκεν*
p. 262. nunc servo. — 27, 1. *ἐπισταμένως, ὧν χρή.* ‖ ‘5. *αὐτούς.* recte. ‖ 6. *οὐκ ἐπισταμένους.* — 28, 1. *οὕτως δὴ παρακαλεῖν.* ‖ 4. *φιλοσοφήσουσι.* — 29, 1. *πρός τε αὖ τούς.* scribo: *πρός τε τούς.* ‖ 3. *γενόμενος ἡσυχίαν ἄγει.* ‖ 5. *ἀνόητος δείξω.* ‖ 7. *διαλέγομαι* (corr. *διαλέγωμαι*). ‖ *περὶ τῶν ἀμαζομένων*, at compendio obscuriore (corr. *ἀμοιρομένων*, mrg. *καὶ περὶ τῶν θεῶν ἀμηρομένων*). in Cod. Urbinate 124 est *περὶ*
p. 263. *τῶν θαυμαζομένων.* ‖ 9. *καὶ ὅσης παιδείας πολλῆς καί.* — ‘33, 3. *δὲ*
p. 264. deleo. ‖ ‘8. *τῷ ὄντι* om. — 34, 8. *ταῦτα* om. — 35, 5. *ἔλαττον.* ‖ 9. *ἀνακύψεται καί.* — 36, 3. Cobetus pro *εἴπερ* mavult *οἵπερ*
p. 265. scribi. non accedo. ‖ 5. *τὸν* om. ‖ ‘7. *ὁ* om. ‖ 10. *θυσίαν.* (?) — 37, 2. *ὡς χαλεπὸν — πρότερον ὄντες* om. ‖ *καὶ* ante *τοξικὴν* om. — Postrema huius Orat. verba contulit Cobetus cum Urbinate 124, quem ubique cum vulgata conspirare affirmat.

In Orat. XIV, 8, 12 post *μεταβῆναι* repone signum interrogandi. ‖ 22, 7. dele *ὀρθάς.* In adnot. crit. addas: 4, 7. *κελεύσῃ* A. ‖ 9, 1. *ὅτι* om. A. ‖ 11, 6. *οὐδέπω* A.

ORAT. XV.

Contulit Cobetus Cod. Urbinatem 123 cum ed. Veneta.

p. 272. ‘1, 6. λόγοις ἕτερος. || 8. οὐχ ὡς. — 2, 3. ἢ ἐλεύθερος. || 5. σοὶ δ᾽. ||
7. malim οἱ ἀνδρεῖοι ἀλεκτρυόνες. || 9. περὶ αὐτοῦ. — 3, 3. τοὔνομα. ||
p. 273. ‘8. δὲ ἐπιστάμεναι. — 4, 1. ἔγωγε σου. || 4. εἰπεῖν ἐξ οὗ. || 8. αὐτοῦ. ||
σαυτοῦ ἀλλὰ καὶ. || ὁμόσαις ἴσως. ἔοικεν. || 11. εἶναι om. — 5, 3. πολλοὶ
ἀθηναῖοι. || συγγίνονται. || τῇ ἀρδάνου. || 6. σαρδέων. — 6, 7. συγγίνεσθαι. ||
p. 274. 9. συγγίνεσθαι. — ‘8, 1. ἔφη om. || κατηγορίας. || 2. ὁ νόμος δίδωσι. ||
4. ἐπίσταμαι. hoc nunc servo. || 10. ἔτι. || 11. ἀναγκαζόμενοι. — 9, 1. δί᾽,
ἔφη. || πανδίωνος. || εἶπε om. || 2. ἐλευθέραις. || 3. μὴ μόνον. || 6. ἑκόν-
p. 275. τες ποτὲ. || ἀλλότρια. || 7. ἀμφίωνα. — ‘10, 6. ἤ. || 10. ἀλλ᾽ ἐλάφου. ||
11. οὐ μᾶλλον. || 12. δούλη om. — 11, 9. ἐστι. || 14. εὐεργεσίας. —
12, 2. λεγομένων om. || οἱ ποιηταὶ εἰς θεοὺς. || 3. ἐξετάζεσθαι τὰ πρότε-
p. 276. ρον. recte. || 4. αὐτῶν om. || 5. καὶ ἐπώνυμοι. || ‘11. ἢ εἰς ποσειδῶνα. ||
οὐδέ γε ἐμοὶ περὶ δουλείας. — 13, 1. ἔφη, γένος. || 10. μὴ om. —
14, 2. ἐδούλευσεν. || 4. ἠξίωσε. || τί δ᾽ ἀθηναῖοι. || 7. γενόμενοι. ||
p. 277. 6. δ᾽. || ‘8. ἠλλήνιζεν. — 16, 1. καὶ ἕτεροί γε. || 2. τῶν νῦν ἐνθάδε
(sic). || 3. ἀπογινώσκω. || 5. ἀναχθεὶς. — 17, 4. ποτὲ. — 18, 5. οὕ-
p. 278. τως, ἔφη. — ‘20, 3. καὶ εἴ τι τούτου. || 5. οὐδὲν ἧττον δοῦλοι. ||
7. δοῦλος (sic). || 8. σὲ δ᾽ αὖ. — 21, 2. σὲ δ᾽ οὐκ. || γενέσθαι. ||
3. οὐδεὶς. || 5. συμπολεμήσαντας. — 22, 2. καταβάλλοις. || 3. ἀλλ᾽. ||
p. 279. 6. ὁ κῦρος. || ἀστυάγους καὶ ὁπότε δὲ ἠδυνήθη. — ‘23, 1. πῶς ἄν. ||
2. ἂν om. || 6. δ᾽. || 8. ἀναμφιβόλως διακρίνοι. || 9. ἀλλὰ περὶ παντὸς
ἔσοιτο (om. εὐμαρὲς). — 24, 3. ἢ om. || 4. ἢ τῶν. || 6. ἠμφισβήτει. ||
7. ποτ᾽. || 9. ἐνίοτε. — 25, 1. εἶναι τοὺς. || 2. τὰ ἄλλα σύμπαντα. ||
γὰρ ἄλλως. || 3. χρησαμένου || κληρονομήσαντος ἢ πριαμένου. || 4. τινὲς
p. 280. δ᾽. || 6. ληϊσάμενος. || ‘8. ἐστί. || 9. φάναι. || ἀλλ᾽. || πολέμων, unde
Cobetus πολέμῳ. — 26, 7. γίνεται. — 27, 2. αὐτοὺς. || τούτου om. ||
4. ἐλευθέρων γεγονότες τῶν. || 5. μεσσηνίους ἐκείνους. || 6. ὡς δὲ. — 28, 4. τῶν
μεσσηνίων ἀποδόσθαι. || 5. repone δουλεύοντας. || γὰρ λακεδαιμόνιοι. ||
p. 281. 10. μηδ᾽ ἄλλος. || ‘11. καὶ κατ᾽. — 29, 1. οὗτος. || 4. ὥσπερ ὁ ἐλεύθε-
ρος. || 7. ἔτι δ᾽ ὥσπερ. || 10. πάνυ. — 30, 4. ἵππον om. || 6. ἐτύγ-
χανεν. || 7. φησὶ τὸν ἵππον εὐγενῆ. || 9. οὐδὲν. || 11. τοῦτο καὶ ἐπ᾽. —
p. 282. 31, 2. ἔχοιεν. || 6. πάντα. || 7. δουλείας καὶ ἐλευθερίας. || ‘8, ἦν ἔθος. ||
10. οὐδὲ ἄλλους μὲν δούλους — ἄλλους δὲ ἐλευθέρους om.

ORAT. XVI.

Contulit Cobetus cum Urbinate 123 exemplum Reiskianum.

1, 6. ἀπαλλάττοντα. hoc restitue. || 7. τί δ᾽. || 8. καθικνεῖται.
p. 283. καὶ γὰρ πάχος. — ‘2, 5. τῆς λύπης ἀφίστασθαι. || 6. μὴ ἔσεσθαι. ||
εἰ μή. — 3, 1. ἐκείνων τινὸς. || τὸ μή τι τῶν προκειμένων παρεῖναι
ἤ. — 4, 2. γινώσκηται. || 6. καὶ ὅλως. || 10. ἐστὶν οὕτω δεινὸν. —

p. 284. 5, 1. *κἂν.* ‖ 2. *τοῦτο.* — 6, 2. *προσελθόντες.* ‖ '7. *ὥστε μὴ ὑπὸ*
μηδενός. ‖ 9. *ἔστι χρεία.* ‖ 10. *μή γε μή.* — 7, 3. *ὡς μή.* ‖ *μηδ'.* ‖
4. *δ'.* — 8, 5. *ἀντὶ τοῦ — δέχεσθαι* om. ‖ 7. *τἆλλα σοι ἔχοι.* ‖ 9. *καὶ*
μεταξὺ (in textu corrige *κἂν μὴ μεταξὺ*, in adn. crit. 9. pro 7.). ‖
ἀθρόον. — 9, 1. *δ' ἐκεῖνο ἐνθυμηθῇς.* ‖ *ἔστιν ὅλως.* ‖ 3. *ἤδη* om. ‖
p. 285. 4. *ἐπὶ πλῆθος ἔλθῃς.* — '10, 1. *δυνάμει τινὶ χρησάμενον.* ‖ 3. *μήτε*
παρὰ τῶν. — 11, 2. *αὐτὸ τό.* ‖ 4. *τοῦτο ἀσθενοῦς.*

ORAT. XVII.

Contulit Cobetus Codicem F (Vaticanum 1336) cum exemplo Reiskiano.

p. 286. 1, 2. *δεῖν* om. — '2, 6. *ἔργῳ* om. ‖ 9. *ἐπειδή.* ‖ 10. *οὕτως.* ‖
11. *τοὺς* om. ‖ *εἰδῶσι.* — 3, 4. *τά γε.* ‖ 6. scribe *γάρ ἐστιν.* — 4, 5. *καὶ*
τῷ ὄντι. — 5, 2. *προσήκειν.* ‖ 5. *ὁ ἱεροφάντης* post *τοῖς μυουμένοις.* ‖
p. 287. 7. *τιν' ἀπόρρησιν.* — '6, 2. *ᾱ* (superscr. *ην*) pro *πρώτην.* ‖ 3. *τοῦτο*
om. ‖ 6. *μὲν* om. ‖ 9. *αὐτόν.* — 8, 3. *οὕτως.* — 9, 5. *μαίνῃ* Eurip. *τέκνον*
p. 288. pro *βροτοῖς.* ‖ 6. *καὶ φίλους εἶναι φίλοις.* ‖ '9. *αἰεί.* ‖ 10. *δ'.* — 10, 1. *δ'*
ἑξῆς. ‖ 6. *καὶ ἔτι τό.* scribo nunc *καὶ τοῦτο.* — 11, 2. *πλείστου.* ‖
3. *ἄνοι* (i. e. *ἄνθρωποι*) pro *πάντες.* ‖ *ἀπολύουσι.* ‖ 10. *ὅταν οὖν ἐν τοῖς*
p. 289. *θείοις.* ‖ 12. *ὥσπερ τοῦ.* — '12, 3. *τίς γάρ ποτε.* ‖ 4. *πλέονος.* ‖ 6. *ἐμφανῆ*
om. — 13, 6. *ἀμφότεροι*, at corr. *οι* in *οις* mutavit. ‖ 7. malim nunc
p. 290. *αἰκισαμένων* vel *αὐτισαμένων.* — 15, 1. *φασί.* ‖ '3. *περὶ τῶν.* ‖ *πέρα.* ‖
5. *τυχεῖν θανάτου.* ‖ 6. *ἡμῖν.* — 16, 7. *ἐπέθηκεν αὐτοῖς.* ‖ 8. *οὕτως.* ‖
11. *ἰσχυρόν.* — 17, 6. *ἐν ἑνὶ* non deterius vulgato. — 18, 1. *θέλει.* ‖
p. 291. 2. *οὐδὲν ἔτι.* ‖ *σκοπεῖν.* ‖ '7. *τινά.* ‖ 9. probo *ὑπερβάλῃ.* — 19, 3. *δια-*
μένειν. ‖ 5. *ὅτι.* ‖ 7. in adn. crit. ante *τούτων* pone 7. ‖ 9. *λελύσθαι*
πᾶσαν. — 20, 3. *ἀλλ' ὥσπερ.* — 21, 3. *ἑτοιμάζει.* ‖ 7. *ξυναγαγόντες.* ‖
p. 292. '11. *ἐπιθυμοῦσιν ἅπαντες ἔχειν.* — 21, 5. *τοὺς γὰρ — ἀλλὰ* om.

ORAT. XVIII.

Contulit Cobetus Urbinatem 124 cum exemplo Reiskiano.

p. 293. '2, 2. *πρὸς τῷ* (et in proximis ter *τῷ* pro *τὸ*). ‖ 6. *δ'.* ‖ 7. *δ'*
ἐπιθυμιῶν. ‖ 8. *οὐ λόγῳ εὐφραίνοντα*, at *λόγῳ* et *εὐφραίνοντα* com-
pendiis exarata. possit *ἢ ὁμοῦ λόγῳ εὐφραίνοντα.* — 3, 1. *ἰδεῖν ἐστιν.* ‖
p. 294. 2. *ἀναδιδάσκοντας.* ‖ 5. *παρὰ τῶν θεῶν.* ‖ '7. *ταῦτα συνεώρακας.* —
4, 4. *κακός.* ‖ 7. *ἀνδρὶ ἐπὶ πλεῖστον παιδείας ἥκοντι καί.* ‖ 10. *ἦν —*
εἰδὼς om. — 5, 2. *πολλὰ λέγω πρὸ τοῦ.* ‖ 3. *μὲν* om. ‖ 5. *λόγων* om. ‖
p. 295. 6. *δ' οὔτε.* — '6, 7. *ἀλλ' ὥσπερ.* ‖ *σώματος*, corr. *σώμασιν.* hoc igitur
reponendum. ‖ 8. *ἀπολείψεως.* ‖ *οὕτω σοι περὶ τοὺς λόγους ἐπιμελείας*
ἐστὶ χρεία. igitur locum sic constitue: *οὕτω σοι περὶ τοὺς λόγους ἐπι-*
μελείας ἐστὶ χρεία μᾶλλον ἡδονῇ μεμιγμένης. ‖ 9. *πόνων.* ‖ *δὴ* om. ‖

10. τε om. || 12. τῷ τραγικῷ. || καὶ τοῦτον. || 15. γινώσκειν. — 7, 2. κω-
μῳδίας μένανδρον ἤ. || 4. δεομένοις θεραπείας. || 5. εἴη λέγειν. || 9. ἀπα-
p. 296. θήματος. — ‘8, 2. καὶ πρῶτος om. || 3. ἑαυτοῦ. || 4. ἐλεγεῖα καὶ ἰαμβεῖα
καὶ διθύραμβοι καὶ ἴαμβοι. || 5. ἄξιοι. || τῷ δὲ πράττοντι καὶ ἅμα. —
9, 4. ἀλλὰ καὶ ἐνίοτε παρά. || 10. μηδὲν οἷς ἔπραττεν. — 10, 2. εἴ
ποτε εὔφορόν σοι. || 3. ἐπαγγελίας. || 5. δ' ἄκρων. || 6. ἱστορικόν. ||
p. 297. 7. οὐδ' ὁ λόγος περὶ. || ‘8. τὸ ῥᾴθυμον τὸ περὶ. || 10. ἐπαγγελίας. —
11, 6. ὑπερίδῃ. || 12. τοῦ om. — 12, 3. ὀλίγων. || δὲ om. || 6. ἢ
οὐκ. || 7. ὥσπερ om. || ὑπὲρ γὰρ τοῦ. || 9. παραβάλοι. — 13, 1. τρέ-
p. 298. ψομαι δή. || ‘6. ἔργον om. hoc igitur delendum est. — 14, 2. δ'
ἔγωγε. || 4. εἴτε καὶ ἐν δικαστηρίῳ om. || 5. μηδ' ὡς. || 7. ἐμοὶ δοκεῖ.
hoc igitur repone. || 9. ἐπαγγελίας. — 15, 3. ὅς. || 4. ὑπόσχοιτο. ||
p. 299. 8. φύσεως. — 16, 1. ἔμοιγ' οὖν. || 3. μήτι παθεῖν ὑπ'. || ‘5. τὴν
αὐτῶν διάνοιαν. || 6. ἔνεστι. || 8. τινά. — 17, 5. ὦ ἐπιμνησθείς. ||
6. μεταμελήσῃ. || ἀλλ' ἐν. — 18, 3. ἑτοιμότερος ὁ λέγων καὶ ὑπα-
γορεύων. || 4. ἔπειτα δ' ἐλάττονι. || ἔπειτα δὲ πρὸς. || 5. τὸ γράφειν. —
p. 300. ‘19, 6. τοῦτο κατάσχοις. || πλεῖστα. || 8. ἔχεις. || 9. πράττεις. —
20, 1. ἀλλ'. || 2. σὺ δ'. || 4. ἀνέπεισαν. || 9. ἐγενόμεθα. — 21, 4—7. καὶ
ὡς τοῖς—πράττοντα ἴδοι om. || 8. τοὺς συμβεβουλευκότας. ὡς καὶ
ἔγωγε.

Orat. XX, 2, 6. servo nunc καὶ αὐτόν. — 3, 10. scribo nunc ἑτοῖμα pro τὰ αὐτά. — 9, 1. scribo nunc ἰδεῖν γε cum B. — 15, 12. retineo ὁδὸς. — Orat. XXI, 2, 12. post καλοῦ punctum repone. — 5, 6. malim αὐτοῖς καὶ τὸ ταῖς. — 7, 2. scribe τί δὲ σοί. — 15, 2. νιός delendum videtur. — Orat. XXII, 4, 4. dele τε. — 5, 11. comma ante κατὰ deleas. — Orat. XXIII, 7, 8. post νῦν punctum reponas. — 10, 10. scribo nunc καί τι ὀνίνασθαι. — 11, 5. malim τὸ δαίμονι.

ORAT. XIX.

Codicem Neapolitanum I. E. 15. (conf. Addit. § 10). contulit Badhamius cum exemplo Reisk. usque ad § 4.

p. 301. ‘1, 4. διὰ τὴν ἄλλην μεταβολήν. || 7. ἀλλ'. — 2, 2. συγγένε-
σθαι. || 3. δὴ καί. || 4. τινα ἄσαντα αὐτοῖς. || 5. πρώτων. || 6. ἀρίω-
p. 302. νος. || ἐκ τοῦ. || 7. γὰρ εἰδοῖεν. || ‘8. ἐπιδημῶντα. — 3, 4. ἔμπειρος τῆς
μουσικῆς. || 5. γεγονὼς μετὰ ταὐτὸν χρόνον ὀρφεῖ. || 6. ἐπικολούθουν. ||
9. ἀκρόασιν. — 4, 5. ἀγαπῶ. hoc verbo explicit Codex.

ORAT. XXIX.

Contulit Cobetus Codicem Vaticanum 1336 (F) cum exemplo Reiskiano.

p. 339. ‘1, 6. *ἐφαίνετο τὸ.* ‖ 6. *ἥκιστα.* — 2, 3. *γίνεται.* ‖ 7. *μικρὸν.* ‖
p. 340. 9. *τυχεῖν συνέβη.* ‖ 10. *ὅδ᾽ ἂν.* — ‘4, 2. *οἱ μὲν γὰρ ἄλλοι τῶν.* ad haec verba hoc scholion adscriptum est: *εἰσὶ γὰρ τινες οἱ καθ᾽ ἕκαστον μὲν τῶν μελῶν οὐ τὸ εὐπρεπὲς ἔχουσι, χάρις δέ τις αὐτοῖς κατὰ τὴν ὅλην σύνθεσιν ἐπιλάμπει, οὓς καὶ εὐθεάτους τινὲς εἰρήκασι. τοῦτο δὲ καὶ ἐπ᾽ ἄλλων πολλῶν ἰδεῖν ἔνεστι, οὐχ ἧττον δὲ καὶ ἐπὶ τῶν γραμμάτων.* — 5, 4. *οὔπω.* ‖ 7. *πάντα.* — 6, 6. *ὠράθη.* —
p. 341. 7, 2. *δὴ* om. ‖ ‘5. *ἀνδρεία καὶ σωφροσύνη καὶ φρόνησις.* non male. ‖ 8. *ομως.* ‖ 9. *εἰ δὲ.* — 8, 4. *αὐτοῦ.* ‖ 5. *γὰρ ἀναμφίβολον.* ‖ 5. *ἀποδεικνύναι.* hoc repone. ‖ 6. *γίγνεται.* — 9, 5. *ἦλθε.* ‖ 8. *δ᾽ ἄθλησις.*—
p. 342. 10, 3. *ἤσκησε.* ‖ ‘7. *πρὸς εἰδότας ὑμᾶς* legitur post *ἐπεξιέναι.* ‖ *ἄλλως τε — τυχόντας* om. ‖ 8. *δὲ.* — 11, 1. *ἐπίστασθε δὲ ὁμοίως.* ‖ 3. *ὅταν τοσούτοις. ὅτι* legendum esse vidit et Cobetus. ‖ 7. *ἐκ τῆς μάχης.* ‖ 8. *τις ἂν διαγενέσθαι.* ‖ 9. *πλείστους ἂν ἀγῶνας.* ‖ *ἐν δὲ τῇ — ἠγωνίσατο* (§ 12, 1) om. — 12, 3. *τῇ μὲν.* ‖ 4. *φαυλοτέρου.* ‖ 7. *τῷ*
p. 343. *ὅλῳ.* — ‘13, 7. *βούλεσθαι* om. ‖ 8. *ὄπισθεν.* — 14, 3. *τοσούτῳ.* ‖ 4. *ὑπῆρχε.* — 16, 1. *δὲ* om. ‖ 7. *ἀθλητῶν εἴρηκα καὶ ἀποδειχθέν-*
p. 344. *τος.* ‖ *ἄριστος ἦν ἐν.* ‖ ‘11. *γίγνεσθαι.* — 17, 2. *χαλεπώτατον τὴν ἀνδρείαν καὶ σωφροσυνην.* ‖ 7. *οὐδὲ.* ‖ 8. *παῖς μὴν.* — 18, 2. *Ἰάσο-*
p. 345. *νος.* ‖ 3. *τοῦ* om. — 19, 1. *τὰ* om. ‖ 2. *ἄξιος δ᾽ ἂν καὶ.* — ‘20, 5. *φησὶν ὅμηρος γενέσθαι.*

ORAT. XXX.

Contulit Cobetus cum codice Marciano 422 (Y) et Vaticano 1336 (F) usque ad § 22, hinc Tischendorfius usque ad finem.

p. 346. ‘1, 1. *πρότερον περὶ χαριδήμου ὅπως ἐτελεύτησεν. εὐθὺς* Y. ‖ 2. *τῆς τοῦ* F. ‖ 5. *ἐπιστάμενος ἀλλ᾽ ὡς ἤκουσε τα* Y, *ἐπιστάμενος ἀλλ᾽ ὡς ἤκουσε γὰρ τὰ* F. ‖ 7. *τούτοιν* YF. ‖ *δὴ λέγων* om. Y. ‖ 8. *μεσήνῃ* Y. ‖ *μετὰ σοῦ* om. Y. ‖ 9. *γὰρ ἔφασκεν αὐτοῖν* Y. — 2, 2. *ἐδόκει μοι ἀμφ.* Y. ‖ 4. *τι* om. Y. ‖ 6. *ὅσιον εἰπεῖν, εἴ τις* Y, *ὅσιον ὑμῖν, εἴ τις* F. ‖ *ἐφίλει μᾶλλον* Y. — 3, 3. *χαριέντα γεγονέναι*
p. 347. YF. ‖ 4. *ἡμέτερον καὶ τοῦτον ἑταῖρον* Y. ‖ ‘10. *οὐδένα εὔμοιρον εὐψυχότερον* (at *εὔμοιρον* delevit corr.) Y, in F est *εὗρον* pro *ἔγνων.* — 4, 1. *πολλὰ ἂν* YF. ‖ 2. *ἐνεγκωμίαζες* YF. ‖ 5. *συγγενῶν* Y. ‖ *τῶν γνωρίμων* YF. ‖ 6. *ἤδη* om. F. — 5, 1. *εἰδότες. μᾶλλον δὲ οὕτως εἰπεῖν ἐστὶν οἰκειότερον περὶ ἐκείνου, ὡς οὔτ᾽ ἐμὲ οὔτε σὲ ἐμιμεῖτο, ἀλλ᾽* Y. ‖ 3. *ἐπεφύκει* Y. ‖ *ἡμᾶς* Y. ‖ *ὧν* om. Y. ‖ 8. *ἐλευθέριαι* YF. ‖ 10. *ἀναίδην* Y. ‖ *οὖν* om. Y. ‖ 12. *ὄντα. καὶ εἴ τι ἄλλο διηλέχθη πρὸς ὑμᾶς ὡς λίαν ἡδὺ καὶ θαυμαστόν. ὥστε ἐμοὶ δοκεῖ πάτριόν τι* Y. — 6, 1. *ἀλλ᾽ εἴ τι* F. ‖ 2. pro *ἐπέστειλεν* Cobetus

p. 348. mavult *ἐπέσκηψεν*. ‖ ‘3. *ὥς τε ἐμοὶ* F. ‖ *πατρὶ ὄντι* (sic) F. ‖ 4. *οὐχ*
ὅπως οὐκ ὠλοφύρατο αὐτὸν ἀλλ᾽ οὐδὲ λυπουμένῳ ἐῴκει. τοὐναντίον
δὲ ἅπαν. ἡμᾶς τε γὰρ παρεμυθεῖτο Y. ‖ 5. *καὶ τὰ τελευταῖα* F. ‖
6. *ἐκέλευσε* Y. ‖ 8. *ἐξεστηκὼς ὢν ἤδη* Y. ‖ *ταῦτα* om. F. ‖ *ποιῇ* YF. —
7, 2. *κέλευσον εἰπεῖν* YF. ‖ 3. *τε* om. YF. ‖ 7. *γνῶναι μᾶλλον, ὅσον*
F. ‖ 8. *θαρρῶν ἀπέθνησκεν* (corr. *ἔθνησκεν*) Y. — 8, 1. *ἔστι τοιαῦτα*
F. ‖ 2. *γιγνομένων ὑπ᾽ ἐκείνου* Y. — 9, 6. *μηδ᾽ εἰ* F. — 10, 2. *οὐ*
p. 349. *τερπνὸν* Y, *οὔτε που τερπνὸν* F. ‖ *οὐδὲ γὰρ* Y. ‖ ‘4, *τιτάνων γένους*
ἐσμὲν Y. ‖ 7. *τιμωρίᾳ ἐσμὲν* (superscr. *γεγόναμεν*) Y. — 11, 5. *καὶ*
πηλοῦ om. Y. ‖ *καὶ ὕδατος* om. Y. ‖ 6. *καὶ ποτὲ δὲ αὖ* Y. —
12, 1. *πάντα* om. Y. ‖ 3. *συμβαίνει* YF. ‖ 6. *καὶ ξύλα* YF. ‖ *συντι-*
θέντας Y, *ξυντιθέντες* F. ‖ 7. *ἐποικοδομῇ* Y, *ἐνοικοδομῇ* F. ‖ 8. *ταῦτα*
p. 350. om. Y. ‖ *ἐκ τῆς γῆς* YF. — 13, 2. *παράσχοι* Y. — ‘14, 6. *βίας*
πολλῆς καὶ πειθοῦς τινος Y, *βίας τινὸς καὶ πείθους* F. — 15, 4. *τε*
om. Y. ‖ *συγκείμενον καὶ μαλακῶν* F. ‖ 5. *καὶ ξηρῶν ἐκ τῶν* om. Y. ‖
6. *ὥσπερ* YF. ‖ 8. *ἀνακινοῦσα οὐ δοκούσας* Y. — 16, 3. *αὐτὰ* YF. ‖
p. 351. 5. *ὀξὺ* Y, om. F. ‖ 6. *ὑπερβάλλοι* YF. — 17, 3. *ἕκαστος* YF. ‖ ‘8. *ἐφ᾽*
ἡμῶν Y. ‖ *ἔστιν ἰδεῖν* Y. — 18, 1. *ὁμοίως ὥσπερ καὶ ταῖς τύχαις τε*
καὶ Y. ‖ 2. *τιμαῖς καὶ δόξαις* F. ‖ 4. *παρὰ τοῦτο ἄτοπον καὶ ἔλαττον*
κακοπαθεῖν Y. (*ἄτοπον*, ni fallor, fuit lectoris nota in mrg. *Cobe-*
tus.) — 19, 1. *ἰσχυροτέροις γὰρ* Y. ‖ 5. *δεδεμένοις* om. Y. —
20, 2. *εἶναι τὴν ἄλυσιν ἔφασκεν* Y. ‖ 6. *διαβεβλημέναι* Y. — 21, 4. *κρί-*
p. 352. *κους τοὺς τῆς* Y. ‖ ‘22, 4. *κατωτάτου* F. ‖ 7. *ἀναγκάζειν ὥστε πάντα*
Y. ‖ *πράττοντας* (pro *πάσχοντας*) F. — 23, 1. *ῥίνῃ τινὶ* YF. ‖ 3. *ἀπο-*
κεκρύφθαι YF. ‖ 6. *φιλοπόνους καὶ φιλοτίμους* Y. ‖ *εὑρίσκειν* YF. ‖
7. *αὐτὸ ὑπ᾽ αὐτῶν* YF. ‖ 10. *ᾗ δύνατον* YF. ‖ *ἀπεργάσωνται* Y. —
24, 1. *γίνεται* Y. ‖ 2. *στερεῶν λόγῳ* (superscr. *ὄντων*) F. ‖ 3. *κατε-*
σθίει Y. ‖ 5. *χρήσατο* F. ‖ 8. *χρεῶ* YF. ‖ *σφιγγόμενος οὐδὲ κρατούμε-*
p. 353. *νος* Y. ‖ ‘9. *τινας* om. Y. ‖ 10. *ἐποίησαν* Y. — 25, 2. *τὸν δία* (corr.
τὸν βίον) F. ‖ 4. *δέ ἐστι τούτου πολὺ βελτίων λόγος* Y. ‖ 7. *ἡμᾶς* om.
Y. — 26, 3. *ἐόντας* YF. ‖ *γὰρ τοῦ τῶν* F. ‖ 5. *τινὰ* om. Y, *τινὰ αὐ-*
τῶν om. F. ‖ 6. *ἐρήμῳ κατοικίσαι* F. ‖ 8. *καὶ εὐδαίμονες* om. Y. ‖
σμικρὰς F. ‖ 9. *αὐτὸς* om. Y. ‖ 10. *εἰς ἐρίφους καὶ λ.* F. ‖ 12. *θεῶν*
YF. ‖ *οἱ κτίσαντες* (sic) YF. ‖ 13. *χείρω* Y. ‖ *διαφορὰν* Y. — 27, 1. *ἀν-*
θρώπους ὄντας διαφέρειν ἀνθρώπων Y. ‖ 3. *νεοκατάστατος ἔτυχεν*
p. 354. *ὢν* Y. ‖ 7. *ἐγγόνους* F. ‖ 8. *δι᾽ ἑαυτῶν* Y. ‖ ‘9. *τὰς ἀσθενείας συμ-*
βαίνειν Y. — 28, 1. *οἶκός ἐστι* om. F. ‖ 3. *ἀνδρῶν καλουμένων* YF. ‖
4. *οἴκους τινας* Y. ‖ *ἑωρῶμεν* F. ‖ 5. *γραφῇ* Y. ‖ *τείχους* (corr. *τοί-*
χους) Y. ‖ *καὶ θύρας — ἀνθρώπων* om. Y. ‖ 6. *εἰργασμένας* F. ‖ 7. *τῶν*
ἀνθρώπων F. ‖ *ἐνειδῆ αὐτὸν ὄντα καὶ ποικίλον ἀστροῖς* Y. ‖ 9. *τοῦ*
om. — 29, 3. *εἰς εὐωχίαν* Y. ‖ 7. *σμικροῖς* F. ‖ 8. *γὰρ παρ᾽ ἡμῖν*
FY. ‖ 9. *διὰ μαρτύρων τινῶν*. — 30, 3. *ἔτι καὶ* F. ‖ 8. *τραπέζαις* om. ‖
p. 355. *κατακλιθῶσι* Y, *κατακλινθῶσιν* F. — ‘31, 6. *αἱροῦσαι* F. ‖ *γίνεσθαι*
Y. ‖ 7. *ἀπάθειαν* (om. *ἅπασαν*) F. — 32, 1. *τόπον* (pro *πόνον*)
YF. ‖ 4. *ὃ δὲ — πόῤῥω* om. Y. ‖ *ὧδε ἔφη* F. ‖ *καταχεῖσθαι* F. ‖ 5. *ὀρ-*

γάνων (corr. ἀέρων) F. — 33, 3. ἀσελγεῖς (pro ἀκρατεῖς) Y. || 5. ἐγ-
γεκυφότας F. || σῦς F. — 34, 3. οὖς ἂν YF. || 5. καταλείπειν· οἱ δὲ
ταῦτα F, in Y δὲ ταῦτα—μεθ' ἑαυτῶν om. || 6. μετὰ αὐτῶν F. —
35, 4. ὃ δὴ—ἡμεῖς om. Y. || 6. τούς τε (pro τούτους) F, in Y om.
p. 356. τούτους. || '7. ξυμποτῶν F. — 36, 2. καθάπερ—αὐτοῖς om. Y. ||
τὰς παρ' αὐτοῖς F. || 5. ὀνομάζεσθαι—Ἀκράτειαν om. YF. —
37, 5. εἶναι om. YF. || 6. δεῖ YF. || 7. προσλαμβάνοντας πολλαπλάσιον
καὶ συγκεραννύντας Y. — 38, 2. μή τι διαμαρτὼν σφήλῃ Y. || 3. κα-
ταβάλλῃ YF. || 5. μικρὸν F. recte. || 7. διαλείπειν, ἀλλὰ κελεύειν αὐτὴν
p. 357. θᾶττον Y. — '39, 2. ὀργεῖσθαι (corr. ὀργεῖσθαι) F. || προσπίπτοντας
YF. || 5. γὰρ ἐν ἀρχῇ καταδαρθεῖν F. || 6. ὑπὸ ἡδονῆς F. || 7. σώματος
YF. || 9. εἰ μήτε F. || ἀποθάνωσιν YF. || οὕτως γὰρ οἶκος (corr. ὕπνος)
F. — 40, 2. ὠφελοῦσιν (pro ἐξεμοῦσιν) F. || γίνεται YF. || 4. ἰσχύσῃ
βιάζεται καὶ κουφίζεται Y. || 7. ἔχουσιν YF. || καθάπερ—χρώμενοι om.
YF. — 41, 2. φοβούμενος F. || 3. ἐλεύθερος om. YF. || 4. τυράννου
(pro δυνάστου) Y. || 7. ἔχῃ YF. || 8. κατάκειται F. || 12. αἰσθάνοντες
p. 358. (corr. αἰσθάνονται) F. — 42, 1. ὅπως μοι δοκῶσιν F. || '8. ἑαυτοὺς
YF. — 43, 1. ὅπῃ δ' ἂν YF. || 4. ὅπῃ YF. || παρῆλθον οὔτε ὅπως
om. F. || 5. τις αὐτῶν πολὺν YF. — 44, 1. ταῦτα μὲν οὖν F. || καὶ
πάνυ ὁρῶν YF. || 3. κἂν τῷ (sic) YF. || 4. αὐτὸν κελεύει Y. || 5. οὗτος
om. YF. || 6. σώματι YF. || ἐστιν om. F. — 45, 4. μεγάλης τε καὶ
ἀληθοῦς ἀνδρείας Y. || 5. παραμυθήσομαι Y. || τοιούτους F. || 6. οὐδὲ
γὰρ ἐμαυτὸν (corr. ἐγὼ) οἷός τε εἰμὶ ἐμαυτὸν παραμ. Y. || ἱκανὸς F.—
p. 359. '46, 6. τοῦδε ἀποθανόντος om. Y. || 7. ὥς τά γε ταῦτα YF.

Igitur Cod. Y, qui Orationem XII. emendatissime scriptam servavit, in hac Oratione nihil habet auctoritatis, sed vel deteriore librorum genere deterior est.

ORAT. XXXI.

Codicem Urbinatem 124 cum edit. Venet. contulit Cobetus usque ad § 23. hinc passim aliquot locos.

p. 361. '1, 1. ἐστιν om. || 3. ἐπειδή. — 2, 2. ἀκούσασι μηδέν. || δεόντων
p. 362. περί. — '4, 2. ἂν om. || 4. εὑρεῖν om. || 5. ἔξῃ. || 9. καὶ μηδένα—
τοιούτων om. — 5, 1. προσειπεῖν. || 4. τὰ om. || 7. μὲν om. —
p. 363. '7, 4. ἃ νομίζω. || 5. ἐν τούτῳ οὐχ ἥκιστα. || 9. δύναμιν ἑκάστους καί. —
p. 364. 8, 7. γνώμη. — 9, 6. ὅς. || '14. καταβαλλόντων. — 10, 7. οὐδῶν. ||
p. 365. 9. προσάγοντας. — '12, 3. ἐστὶν ἕκαστα πρός. || 5. αἰτίοις. || 6. φασιν. —
p. 366. 14, 4. σκοπῶ. || γὰρ om. — '16, 7. τῶν ὑπὲρ τοιούτων. || 8. εἰς. ||
p. 367. 9. ἡγεῖσθαι. || 12. προῃρημένων. — 17, 4. πλείοσι. — '18, 5. ἐφ'
αὐτούς. || 7. μεῖζον ἐκείνων ἁπάντων. — 20, 4. φιλοτιμιῶν. || 5. ἡγού-
p. 368. μενοι. || 5. στολή. — '22, 1. γὰρ ἔτι περί. — 5. μόνους. || ποιοῦν.
tanti non videtur cetera excutere. Cobetus.

ORAT. XXXII.

Contulit Cobetus codicem Urbinatem 124 cum ex. Reisk. usque ad § 18.

p. 416. '1, 3. ὥστ'. — 2, 7. μείζονα καί. — 3, 4. ἐμβάλλειν. || 5. τη-
p. 417. ρήσαντες. || 7. οὐκ ἄλλο ἥρμοζε δὲ παιδεία. || '9. ἂν ἄνδρες. — 5, 1. τοῦτο. || περὶ ταῦτά ἐστε. || 8. συνετῶς. — 6, 2. πάντας. || 4. ἐς
p. 418. ὅτι. || '10. ἀθηναῖος. πρᾶγμα ἀνώμοτον. || 12. ἀπολέσθαι. — 7, 4. χρή. || 5. βαρύνεσθε. || 6. δυσωπῆσθε. || ἡνίκα παύσετε. — 8, 2. διὰ τούς. ||
p. 419. 4. οἱ δὲ θέλουσι. || 6. φωνὰς ἀσκοῦσιν. — 9, 1. ἐστὶ. || '4. ἀλλὰ χρειῶν. || 11. παῖδα. || 12. οἶδ'. — 10, 3. διδοῦσιν ὡς. || 7. καὶ τοῦτο
p. 420. δέ. — 11, 2. ἀγειόχασι. — '12, 1. οὐ κατ' ἐμαυτοῦ. || μοι om. — 13, 2. ἀπαγγέλλοντες παίζουσι. — 14, 2. ἄρξωμαι. — 15, 3. πρὸς
p. 421. ὑμᾶς· ἀλλ' ἀπανταχῇ. — '16, 5. αὖ. — 17, 6. οὐκ ἔχοντες. || 7. καὶ
p. 422. κακίας πρόνοια. || '10. ἐξαιροῦσι. — 18, 4. εἰς τέλος ἐλθεῖν. || 6. ἐπιεικέστερον. || 9. πλῆρες. — Hinc passim contulit Cobetus. § 23, 7. καὶ γαληνὸς ἐν τ' ἠχῶι πᾶν πτα. — § 79, 9. αἴξασκε (sic). — § 82, 2. αἴξασκε (sic). || 3. οὐδὲ κάθηντο (sic). || 4. οἶδ' ὑπὸ νίκης. || 8. ζοῖθόν τ' ἔπιον. || 9. κλαγγῇ τέ γε πέτονται. — § 83, 2. φόνον. — § 84, 7. ἀποτείνῃς.

Ex his intelligitur, melius librorum genus in duas familias distribuendum esse. ad alteram familiam pertinent VM, ad alteram praestantiorem HPC. Y (ex parte). haec vero non omnes complectitur Dionis Orationes, quo factum est, ut Y, qui in Orat. XII huius familiae exemplum sequitur, in Orat. XXX vel corruptissimis Dionis libris corruptior sit. si melioris generis familiae discrepant, tantum ratione, non librorum auctoritate res diiudicari potest. ceterum ne deteriore quidem genere possumus carere. nam meliores illae familiae aliquoties correctoris scripturam habent, etsi aliquanto saepius deterioris generis libri interpolati sunt.

SUPPLEMENTUM TABULAE SIGLORUM.

(Conf. Praef. P. XXIV.)

F = Vaticanus 1336. conf. Add. § 4.	Q = Vaticanus 1383. conf. Add. § 6.
H = Vaticanus 91. conf. Add. § 2.	X = Vaticanus 123. conf. Add. § 3.
P = Palatinus 117. conf. Add. § 5.	Y = Marcianus 422. conf. Add. § 9.

INDEX ORATIONUM.

I. De Regno I. *Περὶ βασιλείας α.*
II. De Regno II. *Περὶ βασιλείας β.*
III. De Regno III. *Περὶ βασιλείας γ.*
IV. De Regno IV. *Περὶ βασιλείας δ.*
V. Fabula Libyca sive de Regno V. *Λιβυκὸς μῦθος.*
VI. Diogenes sive de Tyrannide. *Διογένης ἢ περὶ τυραννίδος.*
VII. Euboïcus sive Venator. *Εὐβοϊκὸς ἢ κυνηγός.*
VIII. Diogenes sive de Virtute. *Διογένης ἢ περὶ ἀρετῆς.*
IX. Diogenes sive Isthmia. *Διογένης ἢ Ἰσθμικός.*
X. Diogenes sive de Servis. *Διογένης ἢ περὶ οἰκετῶν.*
XI. Troiana de Ilio non capto. *Τρωικὸς ὑπὲρ τοῦ Ἴλιον μὴ ἁλῶναι.*
XII. Olympica sive de prima Dei cognitione. *Ὀλυμπικὸς ἢ περὶ τῆς πρώτης τοῦ θεοῦ ἐννοίας.*
XIII. Athenis de Exilio. *Ἐν Ἀθήναις περὶ φυγῆς.*
XIV. De Servitute et Libertate I. *Περὶ δουλείας καὶ ἐλευθερίας α.*
XV. De Servitute et Libertate II. *Περὶ δουλείας καὶ ἐλευθερίας β.* (*Περὶ δούλων* apud Photium).
XVI. De Aegritudine. *Περὶ λύπης.*
XVII. De Avaritia. *Περὶ πλεονεξίας.*
XVIII. De Dicendi exercitatione. *Περὶ λόγου ἀσκήσεως.*
XIX. De sua auscultandi cupiditate. *Περὶ τῆς αὐτοῦ φιληκοΐας.*
XX. De Recessu. *Περὶ ἀναχωρήσεως.*
XXI. De Pulcritudine. *Περὶ κάλλους.*
XXII. De Pace et Bello. *Περὶ εἰρήνης καὶ πολέμου.*
XXIII. Quod felix sapiens sit. *Ὅτι εὐδαίμων ὁ σοφός.*
XXIV. De Felicitate. *Περὶ εὐδαιμονίας.*
XXV. De Genio. *Περὶ τοῦ δαίμονος.*
XXVI. De Consultatione. *Περὶ τοῦ βουλεύεσθαι.*
XXVII. De Compotatione. *Διατριβὴ περὶ τῶν ἐν συμποσίῳ.*
XXVIII. Melancomas I. *Μελαγκόμας α* [*τῇ τάξει β*].
XXIX. Melancomas II. *Μελαγκόμας β* [*τῇ τάξει α*].
XXX. Charidemus. *Χαρίδημος.*
XXXI. Rhodiaca. *Ῥοδιακός.*
XXXII. Ad Alexandrinos. *Πρὸς Ἀλεξανδρεῖς.*
XXXIII. Tarsica I. *Ταρσικὸς α.*
XXXIV. Tarsica II. *Ταρσικὸς β.*
XXXV. Celaenis Phrygiae. *Ἐν Κελαιναῖς τῆς Φρυγίας.*
XXXVI. Borysthenitica. *Βορυσθενιτικός, ὃν ἀνέγνω ἐν τῇ πατρίδι.*
XXXVII. Corinthiaca. *Κορινθιακός.*
XXXVIII. Ad Nicomedenses de Concordia cum Nicaeensibus. *πρὸς Νικομηδεῖς περὶ ὁμονοίας τῆς πρὸς Νικαεῖς.*
XXXIX. De Concordia. *περὶ ὁμονοίας ἐν Νικαίᾳ πεπαυμένης τῆς στάσεως.*
XL. In Patria de Concordia cum Apamensibus. *ἐν τῇ πατρίδι περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας.*
XLI. Ad Apamenses de Concordia. *Πρὸς Ἀπαμεῖς περὶ ὁμονοίας.*
XLII. Disputatio in patria. *Διάλεξις ἐν τῇ πατρίδι.*
XLIII. Politica in patria. *Πολιτικὸς ἐν τῇ πατρίδι.*
XLIV. Grati animi significatio adversus patriam honores decernentem. *Φιλοφρονητικὸς πρὸς τὴν πατρίδα εἰσηγουμένην αὐτῷ τιμάς.*

XLV. Defensio. Ἀπολογισμὸς ὅπως ἔσχηκε πρὸς τὴν πατρίδα.
XLVI. De Tumultu. Πρὸ τοῦ φιλοσοφεῖν ἐν τῇ πατρίδι.
XLVII. Concio in patria. Δημηγορία ἐν τῇ πατρίδι.
XLVIII. Politicus in Concione. Πολιτικὸς ἐν ἐκκλησίᾳ.
XLIX. Recusatio magistratus in Senatu. Παραίτησις ἀρχῆς ἐν βουλῇ.
L. De Administratione in Senatu. Περὶ τῶν ἔργων ἐν βουλῇ.
LI. Ad Diodorum. Πρὸς Διόδωρον.
LII. De Aeschylo, Sophocle, Euripide, sive de Philoctetae arcu. Περὶ Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου ἢ περὶ τῶν Φιλοκτήτου τόξων.
LIII. De Homero. Περὶ Ὁμήρου.
LIV. De Socrate. Περὶ Σωκράτους.
LV. De Homero et Socrate. Περὶ Ὁμήρου καὶ Σωκράτους.
LVI. Agamemnon sive de regno. Ἀγαμέμνων ἢ περὶ βασιλείας.
LVII. Nestor. Νέστωρ.
LVIII. Achilles. Ἀχιλλεύς.
LIX. Philoctetes. Φιλοκτήτης. ἔστι δὲ παράφρασις.
LX. Nessus et Deianira. Νέσσος ἢ Δηιάνειρα.
LXI. Chryseis. Χρυσηίς.
LXII. De Regno et Tyrannide. Περὶ βασιλείας καὶ τυραννίδος.
LXIII. De Fortuna I. Περὶ Τύχης α.
LXIV. De Fortuna II. Περὶ Τύχης β.
LXV. De Fortuna III. Περὶ Τύχης γ.
LXVI. De Gloria I. Περὶ δόξης α.
LXVII. De Gloria II. Περὶ δόξης β.
LXVIII. De Gloria III. Περὶ δόξης γ.
LXIX. De Virtute. Περὶ ἀρετῆς.
LXX. De Philosophia. Περὶ φιλοσοφίας.
LXXI. De Philosopho. Περὶ φιλοσόφου.
LXXII. De Corporis cultu. Περὶ τοῦ σχήματος.
LXXIII. De Fide. Περὶ πίστεως.
LXXIV. De Incredulitate. Περὶ ἀπιστίας.
LXXV. De Lege. Περὶ νόμου.
LXXVI. De Consuetudine. Περὶ ἔθους.
LXXVII et LXXVIII. De Invidia I et II.
LXXIX. De Divitiis [in Cilicia]. Περὶ πλούτου [τῶν ἐν Κιλικίᾳ].
LXXX. De Libertate in Cilicia. Περὶ ἐλευθερίας τῶν ἐν Κιλικίᾳ.

Digitized by Google

LIPSIAE, IMPRESSIT BERNH. TAUCHNITZ JUN.

Digitized by Google

Digitized by Google

Digitized by Google